PATROLOGIÆ

CURSUS COMPLETUS,

SEU BIBLIOTHECA UNIVERSALIS, INTEGRA, UNIFORMIS, COMMODA, OECONOMICA,

OMNIUM SS. PATRUM, DOCTORUM SCRIPTORUMQUE ECCLESIASTICORUM,

SIVE LATINORUM, SIVE GRÆCORUM.

QUI AB ÆVO APOSTOLICO AD ÆTATEM INNOCENTII III (ANN. 1216) PRO LATINIS ET AD CONCILII FLORENTINI TEMPORA (ANN. 1439) PRO GRÆCIS FLORUERUNT :

RECUSIO CHRONOLOGICA

OMNIUM QUÆ EXSTITERE MONUMENTORUM CATHOLICÆ TRADITIONIS PER QUINDECIM PRIORA ECCLESIÆ SÆCULA ET AMPLIUS,

JUXTA EDITIONES ACCURATISSIMAS, INTER SE CUMQUE NONNULLIS CODICIBUS MANUSCRIPTIS COLLATAS, PERQUAM DILIGENTER CASTIGATA ; DISSERTATIONIBUS, COMMENTARIIS VARIISQUE LECTIONIBUS CONTINENTER ILLUSTRATA ; OMNIBUS OPERIBUS POST AMPLISSIMAS EDITIONES QUÆ TRIBUS NOVISSIMIS SÆCULIS DEBENTUR ABSOLUTAS, DETECTIS AUCTA ; INDICIBUS ORDINARIIS VEL ETIAM ANALYTICIS, SINGULOS SIVE TOMOS, SIVE AUCTORES ALICUJUS MOMENTI SUBSEQUENTIBUS, DONATA ; CAPITULIS INTRA IPSUM TEXTUM RITE DISPOSITIS, NECNON ET TITULIS SINGULARUM PAGINARUM MARGINEM SUPERIOREM DISTINGUENTIBUS SUBJECTAMQUE MATERIAM SIGNIFICANTIBUS, ADORNATA ; OPERIBUS CUM DUBIIS, TUM APOCRYPHIS, ALIQUA VERO AUCTORITATE IN ORDINE AD TRADITIONEM ECCLESIASTICAM POLLENTIBUS, AMPLIFICATA ;

DUCENTIS ET QUADRAGINTA INDICIBUS SUB OMNI RESPECTU, SCILICET, ALPHABETICO, CHRONOLOGICO, ANALYTICO, ANALOGICO, STATISTICO, SYNTHETICO, ETC., RES ET AUCTORES EXHIBENTIBUS, ITA UT NON SOLUM STUDIOSO, SED NEGOTIIS IMPLICATO, ET SI FORTE SINT, PIGRIS ETIAM ET IMPERITIS PATEANT OMNES SS. PATRES, LOCUPLETATA ; SED PRÆSERTIM DUOBUS IMMENSIS ET GENERALIBUS INDICIBUS, ALTERO SCILICET RERUM, QUO CONSULTO, QUIDQUID NON SOLUM TALIS TALISVE PATER, VERUM ETIAM UNUSQUISQUE PATRUM, ABSQUE ULLA EXCEPTIONE, IN QUODLIBET THEMA SCRIPSERIT, UNO INTUITU CONSPICIATUR ; ALTERO SCRIPTURÆ SACRÆ, EX QUO LECTORI COMPERIRE SIT OBVIUM QUINAM PATRES ET IN QUIBUS OPERUM SUORUM LOCIS SINGULOS SINGULORUM LIBRORUM SCRIPTURÆ VERSUS, A PRIMO GENESEOS USQUE AD NOVISSIMUM APOCALYPSIS, COMMENTATI SINT :

EDITIO ACCURATISSIMA, CÆTERISQUE OMNIBUS FACILE ANTEPONENDA, SI PERPENDANTUR CHARACTERUM NITIDITAS, CHARTÆ QUALITAS, INTEGRITAS TEXTUS, CORRECTIONIS PERFECTIO, OPERUM RECUSORUM TUM VARIETAS TUM NUMERUS, FORMA VOLUMINUM PERQUAM COMMODA SIBIQUE IN TOTO PATROLOGIÆ DECURSU CONSTANTER SIMILIS, PRETII EXIGUITAS, PRÆSERTIMQUE ISTA COLLECTIO UNA, METHODICA ET CHRONOLOGICA, SEXCENTORUM FRAGMENTORUM OPUSCULORUMQUE HACTENUS HIC ILLIC SPARSORUM, VEL ETIAM INEDITORUM, PRIMUM AUTEM IN NOSTRA BIBLIOTHECA, EX OPERIBUS ET MSS. AD OMNES ÆTATES, LOCOS, LINGUAS FORMASQUE PERTINENTIBUS, COADUNATORUM,

ET EX INNUMERIS OPERIBUS TRADITIONEM CATHOLICAM CONFLANTIBUS, OPUS UNICUM MIRABILITER EFFICIENTIUM.

SERIES GRÆCA POSTERIOR,

IN QUA PRODEUNT PATRES, DOCTORES SCRIPTORESQUE ECCLESIÆ GRÆCÆ AB ÆVO PHOTIANO USQUE AD CONCILII FLORENTINI TEMPORA ;

ACCURANTE J.-P. MIGNE,

Bibliothecæ cleri universæ,

SIVE CURSUUM COMPLETORUM IN SINGULOS SCIENTIÆ ECCLESIASTICÆ RAMOS EDITORE.

PATROLOGIA, AD INSTAR IPSIUS ECCLESIÆ, IN DUAS PARTES DIVIDITUR, ALIAM NEMPE LATINAM, ALIAM GRÆCO-LATINAM. AMBÆ PARTES PENE JAM INTEGRE EXARATÆ SUNT. LATINA, DUCENTIS ET VIGINTI DUOBUS VOLUMINIBUS MOLE SUA STANS, DECEM ET CENTUM SUPRA MILLE FRANCIS VENIT : GRÆCA DUPLICI EDITIONE .TYPIS MANDATA EST. PRIOR GRÆCUM TEXTUM UNA CUM VERSIONE LATINA LATERALI COMPLECTITUR, NOVEMQUE ET CENTUM VOLUMINA, PRO PRIMA SERIE GRÆCA, NON EXCEDIT. POSTERIOR AUTEM VERSIONEM LATINAM TANTUM EXHIBET, IDEOQUE INTRA QUINQUE ET QUINQUAGINTA VOLUMINA RETINETUR. SECUNDA SERIES GRÆCO-LATINA SEXAGINTA VOLUMINA PROBABILITER NON SUPERABIT ; DUM HUJUS VERSIO MERE LATINA TRIGINTA VOLUMINIBUS ABSOLVETUR. UNUMQUODQUE VOLUMEN GRÆCO-LATINUM OCTO, UNUMQUODQUE MERE LATINUM QUINQUE FRANCIS SOLUMMODO EMITUR ; UTROBIQUE VERO, UT PRETII HUJUS BENEFICIO FRUATUR EMPTOR, COLLECTIONEM INTEGRAM, SIVE LATINAM, SIVE GRÆCAM COMPARET NECESSE ERIT ; SECUS ENIM CUJUSQUE VOLUMINIS AMPLITUDINEM NECNON ET DIFFICULTATES VARIA PRETIA ÆQUABUNT. ATTAMEN, SI QUIS EMAT INTEGRE ET SEORSIM COLLECTIONEM GRÆCO-LATINAM, VEL EAMDEM EX GRÆCO LATINE VERSAM, TUM QUODQUE VOLUMEN PRO NOVEM VEL PRO SEX FRANCIS SOLUM OBTINEBIT. ISTÆ CONDITIONES FUTURIS PATROLOGIÆ SERIEBUS APPLICANTUR, SI TEMPUS EAS TYPIS MANDANDI NON NOBIS DEEST.

PATROLOGIÆ GRÆCÆ TOMUS CXXVI.

THEOPHYLACTUS BULGARIÆ ARCHIEPISCOPUS.

EXCUDEBATUR ET VENIT APUD J.-P. MIGNE, EDITOREM,
IN VIA DICTA *D'AMBOISE*, OLIM PROPE PORTAM LUTETIÆ PARISIORUM VULGO *D'ENFER* NOMINATAM, SEU *PETIT-MONTROUGE*, NUNC VERO INTRA MŒNIA PARISINA.

1864

Digitized by Google

C550.4



Digitized by Google

TRADITIO CATHOLICA.

SÆCULUM XI. ANNUS 1070.

ΘΕΟΦΥΛΑΚΤΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ

ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ ΠΑΝΤΑ.

THEOPHYLACTI

BULGARIÆ ARCHIEPISCOPI

OPERA QUÆ REPERIRI POTUERUNT OMNIA.

ACCEDIT

FR. J. F. MARIÆ BERN. DE RUBEIS

DISSERTATIO

DE IPSIUS THEOPHYLACTI ÆTATE, GESTIS, SCRIPTIS AC DOCTRINA;

ACCURANTE ET DENUO RECOGNOSCENTE J.-P. MIGNE,

BIBLIOTHECÆ CLERI UNIVERSÆ,

SIVE

CURSUUM COMPLETORUM IN SINGULOS SCIENTIÆ ECCLESIASTICÆ RAMOS EDITORE.

TOMUS QUARTUS.

VENEUNT QUATUOR VOLUMINA 44 FRANCIS GALLICIS.

EXCUDEBATUR ET VENIT APUD J.-P. MIGNE EDITOREM,
IN VIA DICTA *D'AMBOISE*, OLIM PROPE PORTAM LUTETIÆ PARISIORUM VULGO *D'ENFER* NOMINATAM, SEU *PETIT-MONTROUGE*, NUNC VERO INTRA MŒNIA PARISINA.

1864

Digitized by Google

TRADITIO CATHOLICA.

SÆCULUM XI, ANNUS 1070.

ELENCHUS

AUCTORUM ET OPERUM QUI IN HOC TOMO CXXVI CONTINENTUR.

THEOPHYLACTUS BULGARIÆ ARCHIEPISCOPUS.

Expositio in Epistolam I S. Joannis. col. 9
— in Epistolam II S. Joannis. 67
— in Epistolam III ejusdem S. Joannis. 79
— in Epistolam S. Judæ apostoli. 86
Oratio in Adorationem venerandæ Crucis. 106
— in Præsentationem B. Mariæ. 130
Homilia in undecimum evangelium matutinum. 146
Historia martyrii XV martyrum. 151
Liber de iis quorum Latini incusantur. 222
Institutio regia. *Pars prior.* — *Panegyrica.* 254
Pars altera. — *Parænetica.* 266
Testimonium Annæ Comnenæ de Constantino Porphyrogenito. 287
Epistolæ XX ex codice Vaticano. 307
Epistolæ LXXV, ex Joan. Meursio. 358
Epistolæ XXXV a J. Lamio editæ. 502
Præfatio Bongiovanni ad Commentaria in V prophetas minores. 559
Procemium expositionis sanctorum prophetarum. 566
Expositio in Oseam prophetam. 575
— in prophetam Habacuc. 819
— in prophetam Jonam. 906
— in Nahum prophetam. 970
— in prophetam Michæam. 1050
APPENDIX AD THEOPHYLACTI OPERA. — *Vita S. Clementis Bulgariæ archiepiscopi.* 1191
Variæ Lectiones ad Comment. in 4 Evangelia. 1239
Syllabus fidissima vocum Græcarum quæ continentur in quatuor Evangeliorum volumine. 1247
Indices in Opera Theophylacti. 1251

Parisiis. — Ex Typis J.-P. MIGNE.

Digitized by Google

ΘΕΟΦΥΛΑΚΤΟΥ

ΕΙΣ ΤΗΝ Α' ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΕΠΙΣΤΟΛΗΝ.

—

THEOPHYLACTI IN EPISTOLAM I S. JOANNIS.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Α' ΕΠΙΣΤΟΛΗΣ ΙΩΑΝΝΟΥ. Α

Ἐπειδὴ αὐτὸς ὁ Ἰωάννης, ὁ τὸ Εὐαγγέλιον γράψας, αὐτὸς καὶ ταύτην ἐπιστέλλει, ὑπομιμνήσκων τοὺς ἤδη πιστεύσαντας εἰς τὸν Κύριον. Καὶ πρῶτον μὲν ὥσπερ ἐν τῷ Εὐαγγελίῳ, οὕτω καὶ ἐν ταύτῃ τῇ Ἐπιστολῇ θεολογεῖ περὶ τοῦ Λόγου, ἀποδεικνὺς αὐτὸν ἀεὶ εἶναι ἐν τῷ Θεῷ, καὶ διδάσκων τὸν Πατέρα φῶς εἶναι, ἵνα καὶ ἐν τούτῳ γνῶμεν τὸν Λόγον ὡς ἀπαύγασμα αὐτοῦ εἶναι. Θεολογῶν δὲ ἐξηγεῖται μὴ νεώτερον εἶναι τὸ καθ' ἡμᾶς μυστήριον, ἀλλ' ἐξ ἀρχῆς μὲν καὶ ἀεὶ τυγχάνειν αὐτό, νῦν δὲ πεφανερῶσθαι ἐν τῷ Κυρίῳ, ὅς ἐστι ζωὴ αἰώνιος καὶ Θεὸς ἀληθινός. Καὶ τὸ αἴτιον δὲ τῆς τούτου παρουσίας καὶ ἐπιφανείας τίθησι, λέγων εἶναι τοῦτο, ἐπὶ τῷ καταλῦσαι τὰ ἔργα τοῦ διαβόλου, καὶ ἡμᾶς ἐλευθερωθῆναι ἀπὸ τοῦ θανάτου, καὶ γινώσκειν ἡμᾶς τὸν Πατέρα καὶ αὐτὸν τὸν Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Γράφει γοῦν πρὸς πᾶσαν ἡλικίαν, πρὸς παιδία, πρὸς νεανίσκους, πρὸς γέροντας, ὅτι ὁ μὲν Θεὸς ἐγνώσθη, ἡ δὲ διαβολικὴ ἐνέργεια λοιπὸν νενίκηται, καταργηθέντος τοῦ θανάτου. Εἶτα λοιπὸν δι' ὅλης τῆς Ἐπιστολῆς περὶ ἀγάπης διδάσκει, θέλων ἡμᾶς ἀλλήλους ἀγαπᾷν, καὶ ἀποδεικνὺς, ὅτι δεῖ ἀλλήλους ἀγαπᾷν, ἐπειδὴ καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς. Ἐξηγεῖται οὖν περὶ διαφορᾶς φόβου καὶ ἀγάπης, καὶ τέκνων Θεοῦ, καὶ τέκνων διαβόλου, καὶ περὶ ἁμαρτίας θανατικῆς καὶ μὴ θανατικῆς, καὶ διαφορᾶς πνευμάτων. Καὶ λοιπὸν διαιρεῖ, ποῖον μὲν πνεῦμα ἐκ τοῦ Θεοῦ ἐστι, ποῖον δὲ τῆς πλάνης· καὶ πότε μὲν γινωσκόμεθα τέκνα Θεοῦ, πότε δὲ τοῦ διαβόλου· καὶ περὶ ποίας ἁμαρτίας ὀφείλομεν εὔχεσθαι ὑπὲρ τῶν ἁμαρτανόντων· καὶ περὶ ποίας οὐ δεῖ εὔχεσθαι· καὶ ὅτι ὁ μὴ ἀγαπῶν τὸν πλησίον οὐκ ἔστιν ἄξιος τῆς κλήσεως, οὐδὲ δύναται λέγεσθαι τοῦ Χριστοῦ. Καὶ τὴν ἑνότητα δὲ τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα δείκνυσι· καὶ ὅτι ὁ ἀρνούμενος τὸν Υἱὸν, οὐδὲ τὸν Πατέρα ἔχει. Διακρίνει δὲ ἐν τῇ Ἐπιστολῇ ταύτῃ λέγων· Καὶ τοῦτο ἴδιον τοῦ Ἀντιχρίστου εἶναι τὸ λέγειν, μὴ εἶναι τὸν Υἱὸν αὐτὸν τὸν Χριστὸν Ἰησοῦν, ἵνα ᾖ δῆλον, ὅτι ὡς μὴ ὄντος ἐκείνου ἑαυτὸν εἴπῃ εἶναι ὁ ψεύστης. Παραινεῖ δὲ δι' ὅλης τῆς Ἐπιστολῆς μὴ ἀθυμεῖν, τοὺς πιστεύοντας τῷ Κυρίῳ, εἰ μισοῦνται ἐν τῷ κόσμῳ, ἀλλὰ μᾶλλον χαίρειν, ὅτι τὸ μῖσος τοῦ κόσμου δείκνυσι τοὺς πιστεύοντας, μεταβεβηκέναι ἀπ' αὐτοῦ τοῦ κόσμου, καὶ εἶναι λοιπὸν τῆς οὐρανίου πολιτείας. Καὶ ἐν τῷ τέλει δὲ τῆς Ἐπιστολῆς πάλιν ὑπομιμνήσκει λέγων, ὅτι ὁ τοῦ Θεοῦ Υἱὸς ζωὴ αἰώνιός ἐστι Θεὸς ἀληθινὸς, καὶ ἵνα τούτῳ δουλεύσωμεν, καὶ φυλάττωμεν ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων.

402 ARGUMENTUM EPISTOLÆ I JOANNIS.

Joannes, qui Evangelium scripsit, hanc etiam conscripsit Epistolam, qua eos, qui in Dominum crediderant, commonefacit. Et primo quidem, sicuti in Evangelio, ita et hic Verbi divinitatem astruit, ostendens, eum semper fuisse, docensque, Patrem lucem esse, ut hac ratione, Verbum velut ipsius esse splendorem, intelligeremus. Theologice vero disserens, ostendit, haud novum esse mysterium nostrum, sed a principio et semper fuisse; nunc autem manifestatum esse in Domino, qui est vita æterna et Deus verus. Causam vero ipsius adventus et manifestationis exponit, dicens, ipsum venisse, ut diaboli destrueret opera, nosque a morte liberaret: atque ut Patrem et Filium Dominum nostrum Jesum Christum cognosceremus. Scribit itaque ad cujusvis ætatis homines, ad pueros, ad juvenes, ad senes, quoniam Deus cognitus est, et diaboli potestas devicta. Deinde per totam Epistolam documenta habet de charitate, volens, ut nos invicem diliganus: ostenditque hoc nobis præstandum esse, quoniam et Christus dilexit nos. Disserit igitur de diversitate timoris et dilectionis, de filiis Dei et filiis diaboli, de peccato mortali et non mortali, de diversitate spirituum: ac postea declarat, quinam spiritus ex Deo sit, et quinam ex diabolo; et quomodo cognoscere possimus filios Dei et filios diaboli, et cujus peccati veniam orare debeamus peccantibus; qualis vero non: et quod qui proximum non diligit, dignus non sit Dei vocatione, neque dici possit esse Christi. Unitatem etiam ostendit Filii cum Patre, et eum qui Filium negat, neque Patrem habere. Præterea docet, proprium Antichristi esse negare Filium ipsum esse Jesum Christum: ut hinc sit manifestum, quod velut si is non esset, seipsum talem dicturus sit ille mendax. Hortatur autem per totam Epistolam fideles, ne propterea quod odio habentur in hoc mundo, contristentur, sed potius gaudeant: quia odium, quo eos mundus prosequitur, ostendit ipsos ab eodem mundo discessisse, et jam ad cœlestem societatem pertinere. Demum in fine Epistolæ ad memoriam denuo revocat, quod Filius Dei sit vita æterna et verus Deus; præcipitque, ut ipsi serviamus, et ab idolis nos contineamus.

ΚΕΦΑΛΑΙΑ ΤΗΣ Α' ΕΠΙΣΤΟΛΗΣ ΙΩΑΝΝΟΥ.

α'. Εὐαγγελικὴ θεολογία περὶ Χριστοῦ. Ἐν ᾧ περὶ ἐξομολογήσεως καὶ προσοχῆς εἰς τὸ μὴ ἁμαρτάνειν. Ὅτι τήρησις τῶν ἐντολῶν τοῦ Θεοῦ τὴν γνῶσιν βεβαιοῖ.

403 *CAPITA EPISTOLÆ PRIMÆ JOANNIS.*

1. *Evangelica de divinitate Christi enuntiatio. Ubi de confessione et attentione ad non peccandum; et quod observantia mandatorum Dei cognitionem confirmat.*

Digitized by Google

2. *De charitate, sine qua est impietas. Ubi etiam agit de gratia cujuscunque secundum ætatem, et de aversione ab amore mundi.*
3. *De falsis fratribus Deum abnegantibus : et quod pietas in Christum Patris confessio sit : Patris enim glorificatio est prædicatio quod Filius sit Deus. Ubi etiam de divino et spirituali dono in sanctificatione, in spe in agnitionem Dei : quodque omnis qui est in Christo, absque peccato sit ; qui enim peccat, ex diabolo est.*
4. *De charitate erga proximum, et propensione ad largiendam eleemosynam. Ubi et de conscientia bona quæ est in fide Jesu Christi, ac de discretione spirituum per confessionem incarnationis Domini.*
5. *De dilectione fraterna ad divinum cultum.*
6. *De divinitate Filii in gloria Patris et de victoria contra diabolum per fidem Jesu Christi ad vitam æternam.*
7. *De fratre peccante jurando per orationem, et de vitando peccato : ubi etiam de detestatione cultus dæmonum.*

A β'. *Περὶ ἀγάπης, ἧς ἄνευ ἀσέβεια. Ἐν ᾧ παραίνεσις περὶ χάριτος ἑκάστου καθ' ἡλικίαν, καὶ περὶ ἀποτροπῆς τῆς εἰς τὸν κόσμον ἀγάπης.*
γ'. *Περὶ ψευδαδέλφων ἀρνησιθέων· καὶ ὅτι ἡ εἰς Χριστὸν εὐσέβεια, Πατρὸς ὁμολογία· ἡ γὰρ τοῦ Πατρὸς δοξολογία τοῦ Υἱοῦ ἐστι θεολογία. Ἐν ᾧ περὶ θείου καὶ πνευματικοῦ χαρίσματος ἐν ἁγιασμῷ ἐπ' ἐλπίδι εἰς γνῶσιν Θεοῦ. Ὅτι πᾶς ὁ ἐν Χριστῷ, ἐκτὸς ἁμαρτίας· ὁ γὰρ ἁμαρτάνων, ἐκ τοῦ διαβόλου ἐστίν.*
δ'. *Περὶ ἀγάπης τῆς πρὸς τὸν πλησίον, καὶ διαθέσεως μεταδοτικῆς. Ἐν ᾧ περὶ συνειδήσεως ἀγαθῆς τῆς ἐν πίστει Ἰησοῦ Χριστοῦ. Περὶ διακρίσεως πνευμάτων ἐξ' ὁμολογίᾳ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως.*
ε'. *Περὶ φιλαδελφίας εἰς θεοσέβειαν.*
ς'. *Περὶ θεολογίας Υἱοῦ ἐν δόξῃ Πατρός· καὶ περὶ νίκης τῆς κατὰ τοῦ πονηροῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς ζωήν.*
B ζ'. *Περὶ ἀντιλήψεως τοῦ ἁμαρτάνοντος ἀδελφοῦ διὰ προσευχῆς· καὶ περὶ τοῦ μὴ ἁμαρτάνειν. Ἐν ᾧ περὶ ἀποχῆς δαιμονικοῦ σεβάσματος.*

404 CAPUT I.

VERS. 1. *Quod fuit ab initio, quod audivimus, quod vidimus oculis nostris.* Hisce verbis cum Judæos tum gentiles, qui nostræ fidei mysterium veluti novum calumniantur, confutat, ostendens vetustissimum esse. Illud enim, *ab initio*, perinde est ac, *in principio* vel *solum concepto* ; vel, quod non solum lege, sed quacunque etiam visibili creatura anterius est. Hæc enim initium habuit ; hoc autem etiam ante ipsum initium erat. Nam quid de Græcorum mysteriis, quæ heri aut nudiustertius exorta sunt, dicemus? Ea enim, impudicitia applaudente, infirmam sero subsistentiam C accepere : cum scilicet immunditia, cujus ea et documentum et monumentum sunt, jam inter homines versaretur ; factusque jam esset a meliori luce ad effusam noctem progressus. Ostensa igitur mysterii nostri præstantia ex ejus antiquitate, addit etiam illud esse vitam, et vitam quidem non temporum intervallo definitam, sed subsistentem ; quippe quæ semper apud Patrem fuit : quemadmodum et in Evangelio ait illis verbis : *Et Verbum erat apud Deum*[1]. Illud quod *fuit*, vel *erat* non temporaneam exsistentiam significat, sed rei subsistentis essentiam, et omnium quæ esse sortiuntur principium et basim, et sine quo non possent ista subsistere. Quidquid enim productum est, esse aliquid dicitur, veluti angelus, cœlum, sol, etc. D Solus vero Filius absolute *est*, de quo participant quæcunque ad exsistendum pertrahuntur. Quare Paulus, *In ipso enim*, inquit, *vivimus, movemur, et sumus*[2]. Hanc velut introducteriam doctrinam ut quis suscepit, transit deinde ad ipsum videndum, non quidem corporaliter, sed per certam cognitionem ; et non oculis **405** corporis, sed mentis. *Contrectatio* dicta quidem est de Verbo vitæ, quæ a t[3] : *Ego sum vita.* Dici vero etiam potest de Verbo, quod *erat in principio*[4] : cum per legem et prophetas venturum audivimus, eumque jam præsentem in corpore clare vidimus et *contrectavi-*

[1] Joan. I, 1. [2] Act. XVII, 28. [3] Joan. XIV, 16. [4] Joan. I, 2.

ΚΕΦΑΛ. Α'.

Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν. Τοῦτο καὶ πρὸς Ἰουδαίους καὶ πρὸς Ἕλληνας, οἳ ὡς νεώτερον διαβάλλουσι τὸ καθ' ἡμᾶς μυστήριον. Δείκνυσιν οὖν, ὡς καὶ παλαιὸν τοῦτο· ἀπ' ἀρχῆς γάρ ἐστι, καὶ ἅμα τῇ ἐννοηθείσῃ ἀρχῇ· ἢ οὐ μόνον τοῦ νόμου, ἀλλὰ καὶ αὐτῆς τῆς ὁρατῆς [ἀνώτερον] κτίσεως. Ἡ μὲν γὰρ ἀρχὴν ἔσχεν· τοῦτο δὲ ἦν καὶ πρὸ τῆς ἀρχῆς ταύτης. Τῶν γάρ τοι χθὲς καὶ πρώην Ἑλληνικῶν τί ἄν τις καὶ λέγοι ; ἃ τῇ ἀσελγείᾳ περικροτούμενα ὀψὲ τὴν ὑπόστασιν ἔτυχεν, ἀκαθαρσίας ἤδη ἐμπολιτευομένης ἀνθρώποις, ἧς καὶ μάθημα καὶ ὑπόμνημα αὗτη, καὶ τῆς ἀπὸ τοῦ κρείττονος ἡμῶν ἐπὶ τὴν κεχυμένην νύκτα ἀπόρρυσις. Τὸ μεγαλεῖον οὖν παριστῶν τοῦ καθ' ἡμᾶς μυστηρίου διὰ τῆς κατὰ ταῦτα ἀρχαιότητος, ἐπάγει ὅτι καὶ ζωὴ τοῦτό ἐστιν, καὶ ζωὴ οὐ διαστήματι χρονικῷ μετρουμένη, ἀλλ' ἐνυπόστατος, ὡς πρὸς τὸν Πατέρα ἀεὶ οὖσα· ὥσπερ καὶ ἐν τῷ Εὐαγγελίῳ λέγει· *Καὶ ὁ Λόγος*, φησίν, *ἦν πρὸς τὸν Θεόν.* Τὸ, *ἦν*, τοῦτο οὐ χρονικὴν παρίστησιν ὕπαρξιν, ἀλλ' ἐνυποστάτου πράγματος οὐσίαν, καὶ πάντων τῶν τὸ εἶναι λαχόντων ἀρχήν τε καὶ βάσιν, καὶ οὗ χωρὶς οὐκ ἂν δύναιτο ταῦτα ὑποστῆναι. Ἕκαστον γὰρ τῶν γεννητῶν [*f.* γενητ.]. εἶναί τι λέγεται, οἷον εἶναι ἄγγελον, εἶναι οὐρανόν, εἶναι ἥλιον, τἆλλα πάντα· μόνος δὲ ὁ Υἱὸς [καθόπαξ] ὢν τυγχάνει· [οὗ] μετέχοντα πάντα πρὸς ὕπαρξιν ἔρχεται. Διὸ καὶ Παῦλός φησιν· *Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν.* Τούτου ἀκρόασιν κατὰ εἰσαγωγικὴν διδασκαλίαν πρότερόν τις δεξάμενος ἔρχεται ἐπὶ τὸ ἰδεῖν αὐτὸν, οὐ σωματικῶς, ἀλλ' ἐπιστημονικῶς, καὶ οὐ τοῖς σωματικοῖς ὀφθαλμοῖς, ἀλλὰ τοῖς νοεροῖς. Ψηλάφησον [*f.* Ψηλάφησις] εἴρηται καὶ περὶ τοῦ Λόγου τῆς ζωῆς, τῆς εἰπούσης· *Ἐγώ εἰμι ἡ ζωή.* Λελέξεται καὶ οὕτω περὶ τοῦ ἐν ἀρχῇ ὄντος Λόγου, ὅτι ἀκηκόαμεν διὰ τοῦ νόμου αὐτὸν καὶ τῶν προφητῶν, ὡς ἐλεύσεται. Τοῦτον ἐλθόντα ἐμφανῶς μετὰ σώματος εἴδομεν, καὶ ἐψηλαφήσαμεν· γυμνὸν γὰρ Θεὸν οὐδεὶς ἑώρακε πώποτε. Οὐ γὰρ ὡς ἔτυχε συγκατεθέμεθα τῷ ὀφθέντι,

Digitized by Google

ἀλλὰ μετὰ ψηλάφησιν, ὡς εἴρηται ἤδη, τοῦτ' ἔστι μετὰ συζήτησιν νομικήν τε καὶ προφητικὴν περὶ τούτου ἐπιστεύσαμεν τῷ ὀφθέντι σαρκὶ Λόγῳ, οὐχ ὃ οὖν ἦν ἐθεασάμεθα, ἢ ἐψηλαφήσαμεν (*τούτου γὰρ τὴν γενεὰν τίς διηγήσεται;*), ἀλλ' ὃ γέγονεν, ἤτοι γνωστικαῖς ἐπαφαῖς, ἢ καὶ αἰσθηταῖς· ὡς καὶ [Θωμᾶς;] μετὰ τὴν ἀνάστασιν· εἷς γὰρ ἦν καὶ ἀδιαίρετος, ὁ αὐτὸς καὶ θεατὸς καὶ ἀθέατος, καὶ κρατούμενος, καὶ μὴ περιδρασσόμενος, καὶ ἀναφὴς καὶ ψηλαφητὸς καὶ ἀνθρωπίνως φθεγγόμενος, καὶ ὡς Θεὸς ἐνεργῶν τὰ θαύματα. Τοῦτο δὲ διὰ τὴν ἄκραν ἑνότητα τοῦ Λόγου πρὸς τὴν σάρκα φαμέν.

A *mus;* nudum enim Deum nemo vidit unquam [5]. Non enim apparenti temere credidimus; sed post contrectationem, ut dictum est, hoc est, post discussa, quæ de illo in lege et prophetis exstant testimonia, credidimus Verbo in carne manifestato. Attamen non sicut erat eum perspeximus, aut contrectavimus, (*generationem enim ejus quis enarrabit* [6]?) sed quod factum est, contrectatione vel mentis, vel etiam sensus; ut Thomas post ipsius resurrectionem. Unus enim erat et individuus ipse, et visibilis et invisibilis, et prehensus et non comprehensus, et intactilis et attrectabilis, et humano more loquens, et ut Deus miracula faciens. Scilicet hæc omnia de eodem Verbo ob ejus arctam cum carne conjunctionem dicimus.

Ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ Λόγου τῆς ζωῆς. Καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν, καὶ μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν Πατέρα, καὶ ἐφανερώθη ἡμῖν. Ἀντὶ τοῦ, Ὃ ἑωράκαμεν, τοῖς ὀφθαλμοῖς εἴδομεν τοῖς ἰδίοις, καὶ ἐθαυμάσαμεν. Τὸ γὰρ θεάσασθαι ἀπὸ τοῦ θαυμάζειν, καὶ μετὰ θάμβους ὁρᾷν λαμβάνεται. Τὸ δὲ, ἐψηλαφήσαμεν, ἀντὶ τοῦ, ἠρευνήσαμεν. Ἔστι δὲ τὸ ἑξῆς οὕτως· *Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, καὶ ἑωράκαμεν, καὶ ἐθεασάμεθα τοῖς ὀφθαλμοῖς ἡμῶν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ Λόγου τῆς ζωῆς, ἥτις ζωὴ ἐφανερώθη· ἣν καὶ ἑωράκαμεν καὶ μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν, λέγω δὲ τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἐστὶ πρὸς τὸν Πατέρα, καὶ ἐφανερώθη ἡμῖν. Ὃ τοίνυν ἑωράκαμεν, τοῦτο καὶ ἀπαγγέλλομεν ὑμῖν.* Ἐνταῦθα ἡ ἀπόδοσις, ἐν τῷ, Ὃ τοίνυν ἑωράκαμεν. Οὐχ οὕτω δὲ ἐποιήσατο τὴν ἐπαγγελίαν ὥσπερ καὶ ἡμεῖς, πρῶτον μὲν διὰ τὴν τοῦ συντετμημένου λόγου χρῆσιν, ἔπειτα δὲ καὶ τὴν ἐρεσχελίαν τὴν Ἑλληνικὴν ἀτιμάζων, καὶ δεικνὺς ὡς οὐκ ἐν λόγοις ἡ σωτηρία ἡμῶν, ἀλλ' ἐν ἔργοις· καὶ ἐπὶ τούτοις ἐπιστατικωτέρους ἡμᾶς ἐργαζόμενος, ἵνα μὴ αὐτόθι προχείρως εὑρίσκοντες τὸ προκείμενον, ὑπτιώμεθα. Ἄλλως τε καὶ θεολογῶν ἐβουλήθη ἀσαφείᾳ κρύψαι τὰ τῶν βεβήλων ἀνώτερα ἀκοῦν, καὶ μὴ ἂν [*f.* οὐκ] ἀσφαλῶς αὐταῖς ἔκφορα ποιεῖν. Τὸ γὰρ βάλλειν τὰ ἅγια τοῖς κυσὶ, καὶ ῥίπτειν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, οὐ σώφρονος λογισμοῦ.

B Vers. 1, 2. *Quod perspeximus, et manus nostræ contrectaverunt de Verbo vitæ. Et vita manifestata est, et vidimus, et testamur, et annuntiamus vobis vitam æternam, quæ erat apud Patrem, et apparuit nobis.* Quod perspeximus, hoc est, quod propriis oculis vidimus et mirati sumus: nam perspicere hic est cum admiratione intueri. Contrectavimus autem perinde est ac, excussimus, scrutati sumus. Orationis vero series est hujusmodi: *Quod erat a principio, quod audivimus et vidimus, et perspeximus oculis nostris, et manus nostræ contrectaverunt de Verbo vitæ, quæ vita manifestata est, quam etiam vidimus, et testamur, et annuntiamus vobis, nempe vitam æternam quæ est apud Patrem, et manifestata est nobis. Quod igitur vidimus, hoc et annuntiamus vobis.* Hæc scilicet postrema verba, Quod igitur vidimus, etc. periodi complementum exhibent. Non ita tamen orationem suam digessit Joannes, cum majoris brevitatis gratia, tum ut Græcanica nugamenta negligeret, ostendens, non in verbis, sed in operibus positam esse salutem nostram; ac præterea, ut attentiores nos redderet, ne nimium facili et obvia rei propositæ intelligentia segniores evaderemus. Sed et illud addendum, Joannem, quandoquidem de rebus divinis disserebat, quæ profanis sublimiora sunt auribus, nec satis tuto omnibus pervia, obscuritate aliqua occulere voluisse: neque enim sobriæ mentis est, [7] sanctum dare canibus, et mittere margaritas ante porcos.

C

Ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν. Τί τοῦτο; Ὅτι ζωὴ αἰώνιος ὢν ἐφανερώθη ἡμῖν, καὶ θεαταὶ αὐτοῦ γεγόναμεν, καὶ πρὸ τοῦ σταυροῦ, καὶ μετὰ τὴν ἀνάστασιν. Ὁ γὰρ αὐτὸς καὶ τῷ σταυρῷ σαρκὶ προσηλώθη, καὶ τῇ αὐτῇ ἐξανέστη σαρκί. Καὶ τί κέρδος ἐκ τούτης, φησὶν, ὑμῖν κομίζομεν τῆς ἐπαγγελίας; Τὸ, ὥσπερ κοινωνοὺς ὑμᾶς λαμβάνομεν διὰ τοῦ λόγου ὧν εἰδομέν τε καὶ ἀκηκόαμεν, οὕτω κοινωνοὺς ἔχομεν καὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ. Τούτου δὲ τυχόντες, χαρᾶς ἂν πληρωθείημεν, ὡς τῷ Θεῷ κεκολλημένοι.

D Vers. 3. *Quod vidimus et audivimus, annuntiamus vobis.* Quid vero? Nempe quod vita æterna apparuerit nobis, nosque ejus **406** rei cum ante crucem tum post resurrectionem spectatores fuerimus. Idem enim ipse, qui carne affixus est cruci, eadem carne resurrexit. Sed quodnam, inquit, hoc nuntio lucrum vobis afferimus? Hoc nempe, ut quemadmodum eorum, quæ vidimus et audivimus consortes sermone vos facimus, ita etiam Patris Filiique ipsius Jesu Christi consortes habeamus: quod ubi assecuti fuerimus, gaudio tanquam Deo copulati replebimur.

Ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ' ἡμῶν. Καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ Πατρὸς

Vers. 3, 4. *Ut et vos societatem habeatis nobiscum, et societas nostra sit cum Patre et cum Filio*

[5] Joan. IV, 12. [6] Isa. LIII, 8. [7] Matth. VII, 6.

Digitized by Google

ejus Jesu Christo. Et hæc scribimus vobis, ut gaudeatis, et gaudium vestrum sit plenum. Nobis enim vos participes et consortes habentibus gaudium erit plenum, cujusmodi messoribus suis gaudens seminator in die mercedis suppeditat, iis nempe gaudentibus quod laboribus suis fruantur.

A καὶ μετὰ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ. Καὶ ταῦτα γράφομεν ὑμῖν, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. Ἡμῶν γὰρ ὑμῖν κοινωνούντων, πλείστην ἔχομεν τὴν χάριν ἡμῶν, ἣν τοῖς θερισταῖς ὁ χαίρων σπορεὺς ἐν τῇ τοῦ μισθοῦ ἀπολήψει βραβεύσει, χαιρόντων καὶ τούτων ὅτι τῶν πόνων αὐτῶν ἀπολαύουσι.

Vers. 5-8. *Et hæc est annuntiatio quam audivimus ab eo et annuntiamus vobis, Quoniam Deus lux est, et tenebræ in eo non sunt ullæ. Si dixerimus, quoniam societatem habemus cum eo, et in tenebris ambulamus, mentimur et veritatem non facimus. Si autem in luce ambulamus, sicut et ipse est in luce, societatem habemus ad invicem; et sanguis Jesu Christi Filii ejus emundat nos ab omni peccato. Si dixerimus, quoniam peccatum non habemus, ipsi nos seducimus, et veritas in nobis non est.* Priorem sermonem repetit, ostendens, quænam illa sit promissio quam audivit. Ait igitur eam esse, *Quoniam Deus lux est, et in eo tenebræ non sunt ullæ.* Sed a quo hoc audivit? Ab ipso Christo Domino, qui ait: *Ego sum lux mundi* [8]; et: *Ego lux in mundum veni* [8a]. Lux igitur est ille, et tenebræ in eo non sunt ullæ: lux vero spiritualis, quæ animæ oculos ad sui perceptionem movet, atque a cunctis hisce materialibus rebus avulsos ad sui solius amorem et desiderium allicit et urget. Tenebras vero hic vel ignorantiam, vel peccatum appellat: in Deo enim neque ignorantia est, neque peccatum; quippe quæ in rebus materia concretis, vel quæ, ut nos, affectibus subsunt, locum tantum habent. Si autem alicubi dictum de Deo est: *Posuit tenebras latibulum suum* [9]; at *Posuit*, inquit, *tenebras*, non, est tenebræ: diversum vero est, quod ponitur ab eo qui ponit. Tenebras igitur hic ignorantiam nostram appellat in eo sitam, quod Deum comprehendere non possimus. Sed hujusmodi tenebræ procul dubio in nobis sunt, non in Deo. Ponitur enim alicui, quod illi non inexsistit, et non ipsius causa, sed alterius in ordine ad ipsum. Peccatum etiam tenebras a sancto Joanne appellari, ex his quæ in Evangelio scripsit, manifestum **407** est; ibi enim ait: *Et lux in tenebris lucet, et tenebræ eam non comprehenderunt* [10]: ubi per tenebras natura nostra peccatis obnoxia significatur, quæ propter sui lubricitatem facile invido dæmoni ad peccatum provocanti cedit. Lux itaque cum in naturam nostram adeo victu facilem venisset, insuperabilis facta est, *eo quod iniquitatem non fecerit* [11], etc. Quandoquidem igitur nos consortes Dei dicit, participes simus ipsius qui *lux* est; cumque in hujusmodi luce tenebræ esse non possint, ut ostensum est, neque nos, qui lucis participes sumus, tenebras deinceps in nobis suscipiamus: ne velut mendacii rei plectamur, ac præterea a lucis ipsius communione depellamur. Quare mutuam nos inter et lucem communionem arcte retinentes, inexpugnabiles nos peccato reddamus. Sed quid erit, inquit, nobis, qui multis peccatis jam pridem nos astrinxi-

Καὶ ἔστιν αὕτη ἡ ἐπαγγελία, ἣν ἀκηκόαμεν ἀπ' αὐτοῦ, καὶ ἀναγγέλλομεν ὑμῖν, ὅτι ὁ Θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία. Ἐὰν εἴπωμεν, ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ, καὶ ἐν τῷ σκότει περιπατῶμεν, ψευδόμεθα, καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν. Ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν, ὡς αὐτός ἐστιν ἐν τῷ φωτὶ, κοινωνίαν ἔχομεν μετ' ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ αὐτοῦ καθαρίζει B ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἡ ἀλήθεια ἐν ἡμῖν οὐκ ἔστιν. Ἐπαναλαμβάνει τὸν λόγον, σαφηνίζων τίς ἡ ἀγγελία ἣν ἀκήκοε, καὶ φησιν, ὅτι αὕτη ἐστὶν, ὅτι *Ὁ Θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστι.* Καὶ ποῦ τοῦτο ἤκουσεν; Ἀπ' αὐτοῦ τοῦ Χριστοῦ, *Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου*, λέγοντος· καὶ, *Φῶς εἰς τὸν κόσμον ἐλήλυθα.* Φῶς οὖν ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστι· φῶς δὲ νοερὸν, τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς εἰς τὴν αὐτοῦ ἀντίληψιν ἀνακινοῦν, καὶ τούτων τῶν ὑλικῶν ἀποστρέφον ἁπάντων, καὶ πρὸς αὐτὸν μόνον τὴν ὄρεξιν ἐρωτικῷ πάθει κατασπεῦδον. Σκοτίαν δὲ, ἤτοι τὴν ἄγνοιαν, ἢ τὴν ἁμαρτίαν φησίν. Ἐν γὰρ τῷ Θεῷ οὔτ' ἄγνοια ὁρᾶται, οὔτε ἁμαρτία· περὶ τὴν ὕλην γὰρ C ταῦτα καὶ τὴν καθ' ἡμᾶς διάθεσιν. Εἰ δέ που εἴρηται· *Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ*· ἀλλ', *Ἔθετο*, εἶπεν, οὐχὶ, *Ἔστι* σκότος, ὥσπερ εἶπεν, *Ἔστι φῶς.* Ἕτερον γὰρ τὸ τιθέμενον τοῦ τιθέντος. Τὸ σκότος οὖν ἐνταῦθα τὴν ἐν ἀκαταληψίᾳ ἄγνοιαν ἡμῶν τοῦ Θεοῦ δηλοῦντός ἐστιν. Ἡμῶν δὲ τοῦτο, οὐ τοῦ Θεοῦ ἐστι. Τίθεται γάρ τι τῶν μὴ ἐνυπαρχόντων τινὶ, καὶ οὐχ ἑαυτοῦ χάριν, ἀλλά τινος τῶν περὶ αὐτόν. Ὅτι δὲ καὶ τὴν ἁμαρτίαν σκότος καλεῖ, ἀπὸ τῶν ἐν τῷ Εὐαγγελίῳ εἰρημένων αὐτῷ δῆλόν ἐστι. Φησὶ γάρ· *Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε*· σκότος τὴν ἁμαρτητικὴν ἡμῶν οὐσίαν δηλῶν, ἥτις διὰ τὸ εὐολίσθως ἔχειν ὑπείκει τῷ πρὸς τὴν ἁμαρτίαν ἐκκαλουμένῳ φθονερῷ ἡμῶν D δαίμονι. Τὸ φῶς οὖν τῇ καθ' ἡμᾶς οὐσίᾳ γενόμενον τῇ οὕτως εὐχειρώτῳ, τῷ ἐπηρεάζοντι ἀνάλωτος αὐτῷ καθάπαξ γεγένηται. *Ἁμαρτίαν* γὰρ *οὐκ ἐποίησε*, καὶ ἐξῆς. Ἐπεὶ οὖν κοινωνοὺς ὑμᾶς, φησὶ, Θεοῦ παραλαμβάνομεν, τοῦ φῶς ὑπάρχοντος, ἐν δὲ τῷ τοιούτῳ φωτὶ οὐκ ἂν ὑποσταίη σκότος, ὡς ἐδείχθη· μηδὲ ἡμεῖς οἱ τῷ φωτὶ κοινωνοῦντες, σκότος παραδεξώμεθα ἐν ἑαυτοῖς, ἵνα μὴ ψεύδους ὑπόσχωμεν δίκας, καὶ μετὰ τοῦ ψεύδους ἀποῤῥαγῶμεν τῆς τοῦ φωτὸς κοινωνίας. Ὥστε τῆς κοινωνίας ἐχόμενοι τῆς ἀλλήλων (δῆλον δὲ ὅτι καὶ τῆς ἡμῶν τε καὶ τοῦ φωτὸς),- ἀζωγρήτους ἑαυτοὺς καθιστάνομεν ἁμαρτίας. Ἀλλὰ πῶς ἔσται τοῦτο, φησὶν, ἡμῖν τοῖς πρότερον ἐνισχημένοις πολλαῖς ἁμαρτίαις; Οὐδεὶς γὰρ

[8] Joan. VIII, 12. [8a] Joan. XII, 46. [9] Psal. XVII, 10. [10] Joan. I, 5. [11] Isa. LIII, 9.

Digitized by Google

ἂν ἀληθὴς καὶ ἀληθεύειν ἐπανῃρημένος τολμήσειεν ἐρεῖν ὡς ἀναμάρτητός ἐστιν. Εἴ τις οὖν τῷ φόβῳ τούτῳ περικατείληπται [*f.* προκατ.], θαρρείτω, φησὶ· τῷ γὰρ αἵματι τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τῷ ἐκχυθέντι ὑπὲρ ἡμῶν κεκάθαρται ὁ τὴν κοινωνίαν αὐτοῦ ἀσπασάμενος. Σκόπει δὲ ὅτι, διὰ τὴν ἄκραν ἕνωσιν, Υἱὸν τοῦ Πατρὸς καὶ τὸ ἐξ ἡμῶν καλεῖ πρόσλημμα, οὐ πάντως ἀναμφιβόλως τὸ αἷμα, ἀλλ' οὐ τοῦ Θεοῦ. Πῶς οὖν οὐ λῆρος καὶ ἀσεβὴς Νεστόριος, διαιρῶν τὴν σάρκα τοῦ Υἱοῦ, καὶ Θεοτόκον μὴ ἀνεχόμενος τὴν αὐτοῦ Μητέρα καλεῖν; Ἰστέον δὲ, ὅτι ὅλος ὁ νοῦς τοῦ ῥητοῦ ἀνατροπή ἐστι τῆς τῶν Ἰουδαίων βλασφημίας. Αὐτοὶ γὰρ ἔφασκον περὶ τοῦ Χριστοῦ, ὅτι *Ἡμεῖς οἴδαμεν, ὅτι ἁμαρτωλός ἐστι.* Φησὶν οὖν, ὅτι *εἰ φωτὸς ἔργα πράττομεν*, κοινωνοὶ αὐτοῦ ἐσμεν· *εἰ δὲ μὴ πράττομεν*, ἀλλοτριούμεθα αὐτοῦ. Πῶς οὖν οὐκ ἀληθῶς φῶς ἐστι, καὶ ἁμαρτίαν οὐδεμίαν οὐκ ἐποίησεν, εἰ καὶ τοῖς ἀνόμοις ὑφ' ὑμῶν ἐλογίσθη; Ἐὰν οὖν, φησὶν, ἡμεῖς οἱ εἰπόντες, *Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν*, εἴπομεν ἀναιδῶς, οὐχ ἡμάρτομεν, ἑαυτοὺς πλανῶμεν τοῦτ' ἔστιν ἀπατῶμεν, ὡς μὴ οὔσης ἁμαρτίας τὸ σταυρῶσαι τὸν Χριστόν. Διὸ οὐκ εἶπε, Ψευδόμεθα, ἀλλ', *Ἑαυτοὺς ἀπατῶμεν*· ὅτι ἡ πλάνη ἐκτὸς τῆς ἀληθείας ἐστίν. Εἰ δὲ ἐπιγνῶμεν τὴν ἁμαρτίαν καὶ ὁμολογήσομεν, ἀφήσει ἡμῖν.

Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. Ἐὰν εἴπωμεν, ὅτι οὐχ ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτὸν, καὶ ὁ λόγος αὐτοῦ ἐν ἡμῖν οὐκ ἔστιν. Ἐπαναλαμβάνει τὸν λόγον φιλοτιμότερον χρώμενος, ὡς ἂν, τῷ κατακόρῳ τῆς τῶν ἐλέγχων προσαγωγῆς, αὐτούς τε ἐπιστήσῃ τῷ τοῦ ἐγκλήματος μεγέθει, καὶ ἐπὶ ὁμολογίαν παρακαλέσῃ. Ὅσον δὲ τὸ ἀπὸ τῆς ὁμολογίας τίκτεται ἀγαθὸν, ἐδήλωσεν εἰπών· *Λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς.* Τοῦτο δὲ καὶ ἔθος τῷ τοῦ παρόντος μαθητοῦ διδασκάλῳ τὰ αὐτὰ πολλάκις λέγειν, μετριώτερον πρῶτον, εἶτα τελειώτερον, ἐναργεστέραν τὴν γνῶσιν βουλομένου ποιεῖν. Πιστὸν δὲ τὸν Θεὸν, ἀντὶ τοῦ, ἀληθῆ, εἴρηκε. Πιστὸς γὰρ οὐ μόνον ἐπὶ τοῦ πεπιστευμένου, ἀλλὰ καὶ ἐπὶ τοῦ πιστωτικοῦ εἴρηται· ὃς ἀπὸ τοῦ ἑαυτοῦ ἀληθοῦς τρόπου ἔχει καὶ τὸ τοῖς ἄλλοις τούτου μεταδιδόναι. Πιστὸς μὲν οὖν οὕτως ὁ Θεὸς, δίκαιος δὲ, ὡς μὴ τοὺς αὐτῷ προσιόντας ἀπωθούμενος, ὁποῖα ἂν ὦσιν ἡμαρτηκότες. Ἀφίησιν οὖν τὰς ἁμαρτίας ἀναμφιβόλως, τοῖς διὰ μετανοίας προστρέχουσι τῷ ἁγίῳ βαπτίσματι, εἴτε καὶ εἰς αὐτὸν [*f. add.* εἴτε] καὶ εἰς ἑτέρους πεπλημμελήκασιν. Εἰ μὲν οὖν ὁμολογοῦμεν, φησὶν, τευξόμεθα καὶ τῆς καταλλήλου συγγνώμης· εἰ δὲ ἀναιδευόμενοι λέγομεν, ὅτι οὐχ ἡμάρτομεν, διπλοῦν ἐργασόμεθα τὸ κακὸν, καὶ ἑαυτοὺς ψεύστας ἀποφαίνοντες, καὶ εἰς τὸν Θεὸν βλασφημοῦντες. Αὐτὸς γάρ φησι διὰ τοῦ προφήτου· *Ἀνταπεδίδοσάν μοι*

A mus? Nemo enim qui verax sit ac mentiri nolit, dicere ausit se peccatum non habere. Si quis igitur hoc percellitur timore, confidat, inquit: qui enim societatem ipsius amplexus est, sanguine Filii ejus Jesu Christi pro nobis effuso jam mundatus est. Animadverte vero, quomodo propter arctam unionem, Filium Patris vocat assumptam ex nobis naturam, cujus scilicet procul dubio est sanguis, et non Dei. Quomodo igitur non delirus et non impius Nestorius, qui carnem a Filii persona separans, Matrem ejus Deiparam appellari non patitur? Sciendum vero, hocce apostoli dictum plenam etiam esse ejus refutationem blasphemiæ qua dixerunt: *Nos scimus, quia hic homo peccator est* [14]. Ait itaque, consortes nos ejus esse, si opera lucis facimus: si vero non facimus, alienos ab ipso esse. Quomodo igitur vera lux non est, et iniquitatem non fecit ullam, etsi pro nobis cum sceleratis reputatus est [15]? Si igitur, inquit, nos, qui diximus: [16] *Sanguis ejus super nos, et super filios nostros*, nos peccati expertes esse impudenter dixerimus, fallimus nosmetipsos, quasi peccatum non esset cruci affigere Christum. Quare non dixit, Mentimur, sed, *Ipsi nos seducimus*, seu erramus, quia error procul a veritate est. Si autem peccatum nostrum et agnoscimus et confitemur, dimittetur nobis.

B Vers. 9, 10. *Si confiteamur peccata nostra, fidelis est et justus, ut remittat nobis peccata nostra, et emundet nos ab omni iniquitate. Si dixerimus, quoniam non peccavimus, mendacem facimus eum, et verbum ejus non est in nobis.* Sermonem repetit, eo libentius utens, ut redargutionum frequentia delicti magnitudinem ob oculos illis poneret, et ad confessionem induceret. Quam magnum vero ex confessione pariatur bonum, significavit qui dixit: **408** *Dic tu prior peccata tua, ut justificeris* [17]. Solet autem apostolus iste in suis documentis eadem frequenter dicere, simplicius primo, deinde perfectius, cupiens clariorem firmioremque cognitionem reddere. Fidelem autem dicit Dominum, hoc est veracem. Fidelis enim dicitur non solum is, cui aliquid concreditum est, sed etiam qui ad fidem faciendam idoneus est, quique ex more vera dicendi consecutus est ut alios etiam veracitatis participes C efficere valeat. Sic igitur fidelis Deus est. Justus autem, quippe qui ad se accedentes, quantumcunque antea peccarint, non repellit. Certissime igitur iis, qui per pœnitentiam ad sanctum properant baptisma, peccata dimittit quæcunque seu contra ipsum, seu in alios perpetraverint. Si igitur confiteamur, inquit, veniam idoneam assequemur. Si autem impudenter dixerimus nos non peccasse, malum duplicabimus, nosque mendaces ac in Deum blasphemantes probabimus. Ipse enim dixit per prophetam: *Retribuebant mihi mala pro bonis* [18]. Et rursus per semetipsum [19]: *Si male locutus sum, testi-*

[14] Joan. IX, 24. [15] Isa. LIII, 12. [16] Matth. XXVII, 24. [17] Isa. XLIII, 2. [18] Psal. XXXIV, 12. [19] Joan. XVIII, 23.

Digitized by Google

monium perhibe de malo : si autem bene, quid me cædis ? Cum hæc ita se habeant, si dixerimus nos peccatum non habere, sermonem ipsius abnegamus, qui est spiritus et vita. *Verba* enim, inquit, *quæ ego loquor, spiritus et vita sunt* [18].

κακὰ ἀντὶ ἀγαθῶν · καὶ δι' ἑαυτοῦ πάλιν· *Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ · εἰ δὲ καλῶς, τί με δέρεις ;* Εἰ τούτων δὲ οὕτως ἐχόντων αὐτοὶ λέγομεν μὴ ἡμαρτηκέναι, τὸν λόγον αὐτοῦ ἀρνούμεθα, ὅς ἐστι πνεῦμα καὶ ζωή. *Τὰ ῥήματα* γὰρ, φησὶν, *ἃ ἐγὼ λαλῶ, πνεῦμά ἐστι καὶ ζωή.*

CAPUT II.

VERS. 1, 2. *Filioli mei, hæc scribo vobis, ut non peccetis. Sed et si quis peccaverit, advocatum habemus apud Patrem Jesum Christum justum. Et ipse est propitiatio pro peccatis nostris, non pro nostris autem tantum, sed etiam pro totius mundi.* Sciens apostolus naturæ nostræ instabilitatem et labilitatem, quodque insitam habeamus ad mala propensionem, unde necesse est (præsertim cum etiam invidus dæmon saluti nostræ insidietur), ut etiam qui per confessionem Deo reconciliati sunt, si indiligenter vivant, in peccata labantur ; idcirco subdit, quod etiamsi post obtentam veniam peccemus, haud desperandum nobis esse : quandoquidem possumus, si convertamur, salutem denuo consequi per mediationem Jesu Christi. Ipse enim interpellans pro nobis Patrem, propitium eum reddit pro peccatis nostris ; et non pro nostris tantum, sed etiam pro totius mundi. Hoc autem dixit, quia ad Judæos scribebat ; ne ad illos tantum restringeret pœnitentiæ effectus, sed ad omnes gentes extenderet : vel ut significaret, promissionem istam non solum eos qui tum vivebant, sed omnes etiam qui postea futuri essent, spectare. Advocatum vero eum dicit, quia causam nostram apud Patrem agit, cumque propitium nobis **409** reddit : quod humano more et dispensatorie est dictum ; quemadmodum illud : *Non potest Filius facere a se quidquam* [19] : nam ne Deo contrarius videretur, hoc dicit : siquidem quod etiam Filius potestatem haberet dimittendi peccata [20], ostendit in paralytico [21]. Quin etiam cum discipulis dedit potestatem remittendi peccata, demonstravit se propria auctoritate hoc dare. Verum, ut diximus, per œconomiam quamdam id dicit apostolus : vel ut ostenderet Filium ejusdem esse naturæ cum Patre, et æqualis potentiæ, et commune esse omnibus tribus divinis personis quidquid una operatur.

ΚΕΦΑΛ. Β'.

Τεκνία μου, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρτητε. Καὶ ἐάν τις ἁμάρτῃ. Παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα, Ἰησοῦν Χριστὸν δίκαιον. Καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν· οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. Τὸ ἀστάθμητον καὶ πλημμελὲς τῆς φύσεως ἡμῶν ἐπιστάμενος, καὶ ὅτι σύνοικον ἀεὶ ἔχοντες τὴν τε ἐπὶ τὰ χείρω ροπὴν, καὶ τὸν ἐφεδρεύοντα τῇ σωτηρίᾳ ἡμῶν φθονερὸν δαίμονα, ἀνάγκη μὴ προσεχόντως βιοῦντας ἁμαρτάνειν τοὺς ἤδη δι' ἐξομολογήσεως οἰκειωθέντας Θεῷ, ἐπάγει ταῦτα, ὅτι κἂν μετὰ τὴν ἄφεσιν πταίσωμεν, μὴ ἀπογνῶμεν ἑαυτῶν. Ἐπιστρέφοντες γὰρ τύχοιμεν καὶ πάλιν τῆς σωτηρίας διὰ τῆς τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μεσιτείας. Αὐτὸς γὰρ τῷ Πατρὶ περὶ ἡμῶν ἐντυγχάνων, ἱλάσεται περὶ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ οὐ περὶ τῶν ἡμετέρων μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. Τοῦτο δὲ εἶπεν, ὅτι πρὸς Ἰουδαίους ἔγραφε · καὶ ἵνα μὴ μόνοις ἐκείνοις περικλείσῃ τὰ τῆς μετανοίας, ἀλλὰ καὶ πρὸς τὰ ἔθνη ἐξαπλώσῃ ταύτην · ἢ ὅτι μὴ τοῖς κατ' ἐκεῖνο καιροῦ ἡ ἐπαγγελία μόνον, ἀλλὰ καὶ τοῖς μετέπειτα πᾶσι. Παράκλητον δὲ τὸν ὑπὲρ ἡμῶν, φησι τὸν Πατέρα παρακαλοῦντα, ἤτοι προτρεπόμενον. Ἀνθρωπινώτερον δὲ ταῦτα καὶ οἰκονομικώτερον εἴρηται · ὡς τὸ, *Οὐδὲν δύναται ἀφ' ἑαυτοῦ ποιεῖν ὁ Υἱός* · διὰ γὰρ τὸ μὴ ἀντίθεος δόξαι ταῦτά φησιν · ἐπεὶ ὅτι καὶ ὁ Υἱὸς ἐξουσίαν ἔχει ἀφιέναι ἁμαρτίας, ἔδειξεν ἐπὶ τοῦ παραλύτου. Ἀλλὰ καὶ τοῖς μαθηταῖς τοῦτο δοὺς τὸ ἀφιέναι ἁμαρτίας, ἐνέφηνεν ὡς αὐτοδεσπότως τοῦτο παρέχει. Ἀλλ', ὡς ἔφημεν, οἰκονομικῶς τοῦτο νῦν ὁ Ἀπόστολός φησιν, ἢ παριστῶν τὸ πρὸς τὸν Πατέρα τοῦ Υἱοῦ ὁμοφυές τε καὶ ὁμοδύναμον, καὶ ὅτι ὃ ἂν ποιῇ τὸ ἓν τῶν τριῶν ἁγιαστικῶν ὑποστάσεων; κοινόν ἐστι καὶ τῶν λοιπῶν.

VERS. 3. *Et in hoc scimus, quoniam cognovimus eum, si mandata ejus observemus.* Solet beatus hic vir iisdem vocibus ad diversa significanda uti. Ut cum ait : *In mundo erat, et mundus per ipsum factus est, et mundus eum non cognovit* [22]. Sic igitur et nunc utitur verbo *cognoscere* diverso sensu. Dicitur enim *cognoscere* et pro scire, et pro, cum aliquo perfecte uniri, juxta quod significatum dictum est illud, *Cognovit Dominus, qui sunt ejus* [23] ; et illud, *Qui non noverat peccatum, eum pro nobis peccatum fecit* [24].

Καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι ἐγνώκαμεν αὐτὸν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Ἔθος τῷ μακαρίῳ τούτῳ ἀνδρὶ, ταῖς ὁμωνυμίαις χρῆσθαι κατὰ ταὐτὸν, ὥσπερ καὶ, *Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, [f. add. καὶ] ὁ κόσμος αὐτὸν οὐκ ἔγνω.* Οὕτως οὖν καὶ νῦν κέχρηται τῷ, ἐγνωκέναι, ὁμωνύμως. Λέγεται γὰρ τὸ γινώσκειν καὶ ἐπὶ τοῦ ἐπίστασθαί τι, καὶ ἐπὶ τοῦ παντελῶς πρός τινα ἁνα [κε] κρᾶσθαι · καθὸ σημαινόμενον τὸ, *Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ* · καὶ τὸ, *Τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν.* Ὁ λέγων, ὅτι *Ἔγνωκα αὐτὸν, καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστὶ · καὶ ἐν τούτῳ*

[18] Joan. VI, 6. [19] Joan. V, 19. [20] Matth. IX, 6. [21] Joan. XX, 23. [22] Joan. I, 10. [23] II Tim. II, 19. [24] II Cor. V, 2.

Digitized by Google

ἀλήθεια οὐκ ἔστιν. Ὃς δ' ἂν τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ Θεοῦ τετελείωται. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ ἐσμεν. Καὶ ἀπὸ τοῦ ἐναντίου τὸ αὐτὸ κατασκευάζει περιουσιαστικώτερον χρώμενος τῇ ἀποδείξει.

Ὁ λέγων ἐν αὐτῷ μένειν, ὀφείλει, καθὼς ἐκεῖνος περιεπάτησε, καὶ αὐτὸς οὕτως περιπατεῖν. Διὰ τῶν ἔργων, φησὶν, ἡ τελεία δείκνυται ἀγάπη. Πλὴν ἐπειδὴ ἔστι τινὰ ὁρθὰς καὶ ἀκριβεῖς ποιεῖν ἐντολὰς, αὐτὸν δὲ νωθρότερον διακεῖσθαι, ὅπερ ἀπὸ Θεοῦ πόρρω ἐστὶ, διὰ τοῦτό φησιν, ὅτι ὁ ἐν Θεῷ ᾠκειωμένος κατὰ τὴν πρὸς Θεὸν οἰκείωσιν ἀξίως βιούτω.

Ἀγαπητοὶ, οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν, ἀλλ' ἐντολὴν παλαιὰν, ἣν εἴχετε ἀπ' ἀρχῆς. Ἡ ἐντολὴ ἡ παλαιά ὁ λόγος ἐστὶν, ὃν ἠκούσατε ἀπ' ἀρχῆς. Περὶ ἀγάπης λοιπὸν τῆς πρὸς τὸν πλησίον τρέπεται, καί φησιν, ὅτι ἡ πρὸς Θεὸν ἀνάκρασις, ἤτοι ἀγάπη, ἐκ τῆς εἰς τὸν πλησίον πρῶτον γινώσκεται ἀγάπης· οὐδὲ γὰρ ἐνδέχεται τὸν ἀπὸ τῆς τοῦ Θεοῦ γνώσεως πεφωτισμένον, καὶ τῆς ἀγάπης αὐτοῦ πεπληρωμένον, τὸ ἀπὸ τοῦ πρὸς τὸν ἀδελφὸν αὐτοῦ μίσους σκότος ἔχειν. Φῶς γὰρ καὶ σκότος κατὰ ταὐτὸν καὶ περὶ τὸ αὐτὸ ἀνύπαρκτα. Ὥστε ἀπὸ τῆς πρὸς Θεὸν ἀγάπης πεφωτισμένος, καὶ τὸν Θεὸν ἔχων, καὶ τὸ πρὸς τὸν ἀδελφὸν ἔχει φῶς, ὃ ἀπὸ τῆς τοῦ ἀδελφοῦ ἀνάπτεται ἀγάπης. Ὁ δὲ τὸν Θεὸν μὲν ἀγαπᾷν λέγων, μισῶν δὲ τὸν ἀδελφὸν, ἐν σκότῳ ὑπάρχει διηνεκεῖ, τυφλώττων ἀεὶ τοὺς γνωστικοὺς ὀφθαλμοὺς, ἅτε τὸ τῆς ἀνακράσεως τῆς τε πρὸς τὸν Θεὸν, τῆς τε πρὸς τὸν ἀδελφὸν ἀπολωλεκὼς φῶς. Καὶ οὐκ οἶδε λοιπὸν, ὅ τι χρήσεται ἑαυτῷ.

Πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν, ὅ ἐστιν ἀληθὲς ἐν αὐτῷ καὶ ἐν ὑμῖν, ὅτι ἡ σκοτία παρέρχεται, καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαίνει. Ὁ λέγων ἐν τῷ φωτὶ εἶναι, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν, ἐν τῇ σκοτίᾳ ἐστὶν ἕως ἄρτι. Ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ φωτὶ μένει, καὶ σκάνδαλον ἐν αὐτῷ οὐκ ἔστιν. Ὁ δὲ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῇ σκοτίᾳ ἐστὶ, καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ, καὶ οὐκ οἶδε ποῦ ὑπάγει, ὅτι ἡ σκοτία ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτοῦ. Ἐπειδὴ τῆς Ἐπιστολῆς καθολικῆς οὔσης, καὶ κοινῶς πρὸς ἅπαντας Ἰουδαίους καὶ Ἕλληνας, πρὸς μὲν Ἰουδαίους ἔχει λόγον τὸ εἰπεῖν, οὐ καινὴν ἐντολὴν αὐτοῖς γράφειν περὶ τῆς ἀγάπης, ἀλλὰ παλαιάν. Καὶ γὰρ ἐν ταῖς πλαξὶ τοῦ Μωϋσέως τὸ, Ἀγαπήσεις μετά γε Θεὸν καὶ τὸν πλησίον σου ὡς ἑαυτὸν, γέγραπται. Πρός γε μὴν Ἕλληνας, [τί ἂν εἴποι τις περὶ παλαιᾶς ἐντολῆς, οὐδαμοῦ] τούτου εὑρισκομένου; Φαμὲν οὖν ὡς καὶ τούτοις γέγραπται ὁ πρὸς τοὺς πλησίον νόμος ὁ περὶ ἀγάπης. Καὶ πῶς; Ἐν τῷ τῆς καρδίας πυξίῳ, φυσικαῖς ἐννοίαις ἐγγεγραμμένος· καὶ ὅτι αἱ ἐνεσπαρμέναι ἔννοιαι ἡμῖν φυσικὸς νόμος λέγεται, Παῦλος ἱκανὸς πιστώσασθαι τὸν λόγον εἰπών· Βλέπω δὲ ἕτερον νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός

A est. Qui autem servat verbum ejus, vere in hoc charitas Dei perfecta est : et in hoc scimus, quoniam in ipso sumus. Etiam a contrario idem astruit, abundantiore utens demonstratione.

Vers. 6. *Qui dicit se in ipso manere, debet, sicut ille ambulavit, et ipse ambulare.* Operibus, inquit, perfecta ostenditur dilectio. Verum quoniam fieri potest, ut quis recte et exacte servet mandata, ac nihilominus ipse minus recte se habeat, ut qui a Deo longe est, ideirco ait : qui Dei domesticus factus est, secundum hanc cum Deo conjunctionem digne vivat.

Vers. 7. *Charissimi, non mandatum novum scribo vobis, sed mandatum vetus quod habuistis ab initio. Mandatum vetus est verbum quod ab initio audistis.* Ad charitatem, quæ est erga proximum, sermonem convertit, et ait, quod conjunctio seu charitas erga Deum ex dilectione erga proximum præcipue cognoscatur : neque enim fieri potest, ut qui Dei cognitione illuminatus est, et ipsius dilectione repletus, odii in proximum caliginem habeat. Lux enim et tenebræ simul ac circa idem consistere haud possunt. Quare quisquis charitate erga Deum illuminatus est, Deumque habet, lucem etiam habet erga proximum, quæ a dilectione fratris accenditur. Qui autem se Deum diligere dicit et proximum odio habet, in perpetuis tenebris moratur, **410** semper cæcutiens intellectus oculis : utpote qui conjunctionis cum Deo et cum fratre lumen amisit; adeoque neque novit, quomodo seipso utatur.

Vers. 8-11. *Iterum mandatum novum scribo vobis, quod verum est et in ipso, et in vobis : quia tenebræ transierunt, et verum lumen jam lucet. Qui dicit se in luce esse, et fratrem suum odit, in tenebris est usque adhuc. Qui diligit fratrem suum, in lumine manet, et scandalum in eo non est. Qui autem odit fratrem suum, in tenebris est, et in tenebris ambulat, et nescit quo eat, quia tenebræ obcæcaverunt oculos ejus.* Quoniam hæc Epistola generalis est, ad Judæos et gentiles æque directa; ad Judæos quidem verba facit, cum ait se nequaquam novum de charitate mandatum præscribere, sed vetustum; nam et in tabulis Mosis scriptum est : *Diliges*, post Deum quidem, etiam *proximum tuum sicut te ipsum*[25]. Ad gentiles autem, inquiet quispiam, quid de *vetere* mandato, cum nullibi hoc reperiatur? At dicimus illis etiam perscriptam esse legem charitatis erga proximum. Sed quomodo? Scilicet inscripta est tabulæ cordis naturalibus ideis. Quod vero ideæ nobis insitæ lex naturalis dicantur, fidem plenam facit Paulus, dum ait : *Video aliam legem repugnantem legi mentis meæ, quæ est in me*[26]. Legem igitur seu mandatum gentiles etiam acceperunt, natura videlicet præcipiente, ut benigni simus erga alios omnes qui ejusdem nobiscum naturæ sunt : qua

[25] Deut. VI, 6. [26] Rom. VII, 23.

Digitized by Google

ratione etiam sociale animal est homo; quod sine mutua dilectione esse non potest. Sed et multos homines unum pro alio mortem subiisse vetustæ historiæ tradunt: quod maximæ charitatis argumentum esse Salvator noster definit: *Majorem hac*, inquiens, *dilectionem nemo habet, quam ut animam suam ponat quis pro amicis suis*[26]. Ita igitur lege charitatis erga proximum cum Judæis tum gentilibus posita, præter vetus, inquit, quod audistis, mandatum de charitate erga proximum, novum etiam scribo vobis: quod veritatem habet et in eo, qui Deo familiares vos reddidit per communionem ad ipsum, et in vobis qui communicastis cum ipso. Quoniam dixit ille: *Ego lux in mundum veni, et lux*[27] *vera*, juxta ipsius dictum, *jam lucet*, in luce autem non sunt tenebræ; reliquum est, ut luceat charitatis lux vera in vera et sincera affectione ad proximum; atque odii tenebræ prætereant, hoc est deleantur. Hoc enim apud beatum Paulum significat *transit*, vel præterit, ut cum ait: *Præterit figura hujus mundi*[28].

μου, τῷ ὄντι ἐν ἐμοί. Νόμον οὖν, ἤτοι ἐντολὴν παλαιάν, καὶ Ἕλληνες ἔλαβον, νομογραφούσης τῆς φύσεως, ἡμέρους εἶναι πρὸς ἀλλήλους καὶ πρὸς τὸ συγγενὲς ἅπαν, καθὸ καὶ συναγελαστικὸν ζῶον ὁ ἄνθρωπος, ὃ οὐκ ἂν ἐκτὸς γένοιτο ἀγάπης. Ἀλλὰ καὶ ἀλλήλων ὑπὲρ ἀποθανόντας [*f.* ὑπεραποθ.] ἀνθρώπους πολλοὺς παλαιαὶ ἀναγράφουσιν ἱστορίαι· ὃ τῆς μείζονος ἀγάπης γνώρισμα ὁ ἡμέτερος Σωτὴρ ἀποφαίνεται, *Μείζονα ταύτης*, λέγων, *οὐδεὶς ἔχει ἀγάπην, ἢ ἵνα τις θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ*. Οὕτως ἐντολῆς περὶ τοὺς πλησίον οὔσης τῆς ἀγάπης, καὶ Ἰουδαίοις καὶ Ἕλλησι κειμένης, φησίν, ὅτι πρὸς τῇ παλαιᾷ ἐντολῇ ἣς ἠκούσατε περὶ τῆς τοῦ πλησίον ἀγάπης ἔτι καὶ καινὴν ἐντολὴν γράφω ὑμῖν, τὴν τὸ ἀληθὲς ἔχουσαν ἔν τε τῷ οἰκειωμένῳ ὑμᾶς Θεῷ διὰ τῆς πρὸς αὐτὸν κοινωνίας, καὶ ἐν ὑμῖν τοῖς κεκοινωνηκόσιν αὐτῷ. Ἐπεὶ γὰρ ἐκεῖνός φησιν· *Ἐγὼ φῶς ἐλήλυθα εἰς τὸν κόσμον*· καὶ, *Τὸ φῶς τὸ ἀληθινὸν*, κατὰ τὸν ἐκείνου λόγον, *ἤδη φαίνει*, ἐν δὲ τῷ φωτὶ οὐκ ἔστι σκότος· λαμψάτω λοιπὸν τὸ τῆς ἀγάπης φῶς τὸ ἀληθινὸν ἐν τῇ πρὸς τοὺς ἀδελφοὺς ἀληθεῖ διαθέσει καὶ ἀνυποκρίτῳ, καὶ ἡ τοῦ μίσους παραγέσθω σκοτία, τοῦτ' ἔστιν ἀφανιζέσθω. Τοῦτο γὰρ τὸ, *παράγεται*, καὶ ἐν τῷ μακαρίῳ Παύλῳ σημαίνει ἡνίκα φησί· *Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου*.

411 Vers. 12. *Scribo vobis, filioli, quoniam remittuntur vobis peccata propter nomen ejus.* Quandoquidem dixit: *Mandatum novum scribo vobis*, declarat etiam eorum, qui Epistolam hanc recepturi erant, dispositionem. Declarat vero ex progressione, quæ in corporali augmento reperitur. Noverat enim, non omnes æquali animo ac studio suscepturos ejus sermonem: sed alios quidem imbecillius et rudius tanquam pueros, quibus spondet remissionem peccatorum per fidem in Jesum Christum: alios vero ut proficientes in virum perfectum, ut et alios filios ipsi progignere possint; quos cognitionem ejus habere testatur, qui est ab initio. Quis autem iste, nisi Dei Verbum, qui erat in principio apud Deum[29]? Alii vero tanquam adolescentes, quibus veluti juvenili robore et animo contra passiones ignominiæ certantibus victoriæ præmium pollicetur. Deinde alio modo idem repetit, ad mensuram spiritualis ætatis aptans doctrinæ suæ sermonem. Quoniam igitur, inquit, novi vos ad modum variarum ætatum quæ a me scribuntur suscepturos, necesse est, ut ego etiam juxta variam ætatis vestræ dispositionem doctrinam meam dimetiar: et ad aliquos quidem vestrum, veluti ad infantes, qui Patrem seu Deum cognoverunt, verba facere; ad alios vero veluti ad patres, qui plus cognitionis habent, quam pueri: non solum enim Patrem utcunque cognoscunt, sed etiam eum a principio, seu ab æterno, et inenarrabilem esse: erat enim in principio. Porro ad hos decet perfectiorem coram Deo habere sermonem. Adolescentibus vero, utpote robustis, atque ad luctam pugnamque idoneis, dicens victoriæ

Γράφω ὑμῖν, τεκνία, ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ. Ἐπειδὴ εἶπεν, *Ἐντολὴν καινὴν γράφω ὑμῖν*, ἐπισημαίνει καὶ τὴν διάθεσιν τῶν τὴν Ἐπιστολὴν δεξομένων. Ἐπισημαίνεται δὲ διὰ τῆς κατὰ τὴν σωματικὴν αὔξησιν προαγωγῆς τε καὶ προκοπῆς. Ἤδει γάρ, ὡς οὐχ ὁμοτίμως πάντες δέξονται τὸν λόγον, οὐδὲ μετὰ τῆς ἴσης σπουδῆς, ἀλλ' οἱ μὲν εἰσαγωγικώτερον, ὡς παῖδες, οἷς καὶ παρεγγυᾶται ἄφεσιν ἁμαρτιῶν διὰ τῆς εἰς Χριστὸν πίστεως· οἱ δὲ ὡς προκόψαντες εἰς ἄνδρα τέλειον τῆς ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, καὶ οὕτως ὡς καὶ ἑτέρους δύνασθαι τεκνοποιεῖν, οἷς καὶ ἔχειν τὴν γνῶσιν τοῦ ἀπ' ἀρχῆς μαρτυρεῖ. Τίς δὲ οὗτος, εἰ μὴ ὁ Θεοῦ Λόγος, ὃς ἦν καὶ ἐν ἀρχῇ πρὸς τὸν Θεόν; Οἱ δὲ ὡς νεανίσκοι, οἷς ὡς νεάζουσι καὶ σφριγῶσι, κατὰ τῶν τῆς ἀτιμίας παθῶν τὸ ἐπινίκιον μαρτυρεῖ. Εἶτα πάλιν καθ' ἑτέραν ἐπιβολὴν τὸ αὐτὸ ἐπαναλαμβάνει, πρὸς τὸ μέτρον τῆς πνευματικῆς ἡλικίας τὸν διδασκαλικὸν λόγον ἁρμοζόμενος. Ἐπεὶ οὖν, φησίν, οὕτως ὑμᾶς οἶδα κατὰ τὰς τῶν ἡλικιῶν διαφορὰς δεξομένους ὑμᾶς τὰ παρ' ἐμοῦ γραφόμενα, ἀνάγκη [καμὲ] παραμετρῆσαι τῇ διαθέσει τῆς ἡλικίας ὑμῶν τὴν διδασκαλίαν· καὶ τοῖς μὲν ὑμῶν ὡς παιδίοις ἐπεγνωκόσι τὸν Πατέρα (λέγει δὲ τὸν Θεὸν) διαλεχθῆναι· τοῖς δὲ ὡς πατράσιν, οἱ πλέον ἔχουσι τῶν παιδίων κατὰ τὴν γνῶσιν, τὸ [*f.* τῷ] μὴ ὡς Πατέρα μόνον ἐπεγνωκέναι, ἀλλὰ καὶ πλέον τούτου τῇ γνώσει ἐμμαθῆναι [ἐμμυηθ? ἐμβαθῦν?], καὶ τὴν ὕπαρξιν ἐπεγνωκέναι, ὡς ἀπ' ἀρχῆς, καὶ ἀδιεξίτητος· ἦν γὰρ ἀπ' ἀρχῆς· τούτοις δὲ [*f.* δὴ], καὶ τελεώτερον ἄξιον παρὰ Θεῷ ποιήσασθαι λόγον. Τοῖς δὲ νεανίσκοις ἰσχυροῖς οὖσι, καὶ πρὸς πάλην ἐπιτηδείοις καὶ ἀγῶνας, οἷς καὶ

[26] Joan. xv, 13. [27] Joan. xii, 46. [28] 1 Cor. vii, 31. [29] Joan. i, 1.

Digitized by Google

τὸ ἀπὸ τῆς νίκης ἀοίδιμον προσεῖναι λέγων, γενναίων δείκνυσι καὶ στρατηγικωτέρων δεῖσθαι λόγων.

Γράφω ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. — Τεκνία · ὡς διὰ τὸ ἄωρον καὶ ἀδιάκριτον τῆς νηπιότητος ἐξαμαρτοῦσι. Διὸ καὶ ἀξιοῦσθε συγγνώμης, φησὶν, ὅτε ἐξεγένετο ὑμῖν ἐπεγνωκέναι, ὅτι *Χρηστὸς Κύριος* τοῖς σύμπασι, *καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ*. — *Πατέρες*, ὡς διὰ τὸ προήκειν τῇ ἡλικίᾳ τὴν γνῶσιν ἀνειληφόσι τοῦ ἀπ' ἀρχῆς. *Νεανίσκοι*, οἱ ἐμπείρως ἔχοντες, διὰ τὸ ἀκμαῖον, καὶ ἑτοίμως τὸ ἀριστεῖον ἀποφέρεσθαι κατὰ τῶν ἀντιπάλων.

Γράφω ὑμῖν, νεανίσκοι, ὅτι νενικήκατε τὸν Πονηρόν. Ἔγραψα ὑμῖν, παιδία, ὅτι ἐγνώκατε τὸν Πατέρα. Ἔγραψα ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. Ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ ὁ Λόγος τοῦ Θεοῦ ἐν ὑμῖν μένει, καὶ νενικήκατε τὸν Πονηρόν. Τὰ προκείμενα ὀνόματα ἀπὸ τῆς ἡλικίας ἡρμόσατο τῷ ἠθικῷ λόγῳ· τὰ παρόντα δὲ ἀπὸ τῆς διαθέσεως ἐπαναλαμβάνει, ἀνελλιπῶς διοικούμενος τὴν νουθεσίαν.

Μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ. Ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἀγάπη τοῦ Πατρὸς ἐν αὐτῷ. Οὕτω τὸν λόγον διατήσας ταῖς τοῦ πνεύματος ἡλικίαις, ἐπιφέρει λοιπὸν τὸν τῆς παρακλήσεως λόγον, καί φησι· *Μὴ ἀγαπᾶτε τὸν κόσμον.* Ταῦτα ὡς παιδίοις λέγει· πεφύδηνται [*f.* ἐπτέρηνται] γὰρ ἀεὶ τὰ παιδία περὶ τὸ φαινόμενον ἡδύ. Εἶτα τὴν αἰτίαν εἰπὼν τοῦ διότι οὐκ ὀφείλει τις τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ ἀγαπᾷν, λοιπὸν πρὸς τοὺς πατέρας καὶ νεανίσκους ἐπιφέρει τὴν διδασκαλίαν· τελειωτέρας γὰρ οἱ τοιοῦτοι ἕξεως. Καὶ ἵνα μὴ νομίσῃς κόσμον τὸ σύστημα τὸ ἐξ οὐρανοῦ καὶ γῆς σημαίνειν, ἐπάγει τίς ὁ κόσμος, καὶ τί τὰ ἐν τῷ κόσμῳ. Καὶ κόσμον μὲν τὸν συρφετὸν ὄχλον φησὶν, ὃς οὐδὲ τὴν τοῦ Πατρὸς ἀγάπην ἔχει ἐν ἑαυτῷ. Τίνα δὲ τὰ ἐν τῷ κόσμῳ; Τὰ κατὰ τὴν ἐπιθυμίαν τῆς σαρκὸς ἐκτελούμενα, ἃ διὰ τῶν αἰσθητηρίων ἐνεργούμενα, τὴν ἐπιθυμίαν ἀνακινεῖ. Διὰ γὰρ τῶν ὀφθαλμῶν, τοῦ κυριωτάτου τῶν αἰσθητηρίων, καὶ τὰ λοιπὰ συνέλαβε. Περὶ δὲ τὴν ἐπιθυμίαν πᾶν ἐνθεωρεῖται κακὸν, μοιχεία, πότοι, ἔρωτες ἀπρεπεῖς, φόνοι· οἱ μὲν διὰ πλεονεξίαν, οἱ δὲ διὰ τὸ τοὺς ἀντικειμένους ἀφανίσαι. Δόλοι καὶ οὗτοι, ἵνα ὑποχείριον τῷ δόλῳ ποιήσωμεν ἅπαν τὸ ἐμποδὼν· καὶ ἁπλῶς ἅπαντα τὰ ἐχθρὰ Θεῷ δι' ἐπιθυμίας σαρκικῆς ἡμῖν ἐπιτελεῖται.

Ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ Πατρὸς, ἀλλὰ ἐκ τοῦ κόσμου ἐστί. Καὶ ὁ κόσμος παράγεται, καὶ ἡ ἐπιθυμία αὐτοῦ· ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ, μένει εἰς τὸν αἰῶνα. Εἴπομεν ἤδη ὅτι κόσμον τὸν συρφετὸν ὄχλον καλεῖ, διὸ καὶ ὁ Κύριος τοῖς μαθηταῖς φησιν· *Ἐκ τοῦ κόσμου οὐκ ἐστέ, καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ εἰμί.* Τούτου δὲ

A claritatem suppetere, indicat fortibus ac velut militaribus sermonibus opus esse.

Vers. 13. *Scribo vobis, patres, quoniam cognovistis eum, qui ab initio est. — Filioli*, ut qui ob immaturam et justæ discretionis incapacem ætatem peccant; adeoque venia, inquit, digni facti estis, cum vobis contigerit cognoscere, quoniam *Suavis est Dominus* universis, *et miserationes ejus super omnia opera ejus* [30]. *Patres*, ut qui ætatis progressu cognitionem acceperunt ejus, qui est ab initio. *Adolescentes*; qui ab ætatis flore habent, ut idonei et expediti sint ad virtutis præmium contra adversarios referendum.

Vers. 13, 14. *Scribo vobis, adolescentes, quoniam vicistis malignum. Scribo vobis, infantes, quoniam*
B *cognovistis Patrem. Scribo vobis, juvenes, quoniam fortes estis, et Verbum Dei manet in vobis, et vicistis malignum.* Præcedentia ætatum nomina morali sermoni accommodavit; ista vero ex affectione repetit, ut absolutissimam faceret commonitionem.

412 Vers. 15. *Nolite diligere mundum, neque ea quæ in mundo sunt. Si quis diligit mundum, non est charitas Dei in eo.* Ita distributo sermone per varias spiritus ætates, subdit deinde ipsam adhortationem, et ait: *Nolite diligere mundum.* Hoc velut infantibus seu puerulis dicit: semper enim isti percelluntur apparente voluptate. Deinde proposita
C ratione, cur mundum, et ea quæ in eo sunt, diligere quis non debeat, ad adolescentes seu juvenes doctrinæ sermonem transfert; quandoquidem hi perfectioris habitudinis sunt. Et ne putes mundi nomine cœli terræque complexionem significare, subdit quisnam sit mundus, et quidnam ea quæ in eo sunt. Et mundum dicit sordibus plenum, qui scilicet Patris charitatem non habet in seipso. Sed quænam quæ in mundo sunt? Quæ juxta concupiscentiam carnis perficiuntur, quæ sensibus percepta concupiscentiam movent. In oculis enim, qui præcipuum sensorium sunt, reliqua etiam comprehendit: et per concupiscen-
D tiam malum omne intelligitur, ut adulterium, ebrietates, amores impuri, cædes sive propter avaritiam sive ad perdendos adversarios: fraudes et hæ ut dolo submittamus quidquid nobis obstat; ac demum omnia quæ inimica sunt Deo, per concupiscentiam carnis in nobis perficiuntur.

Vers. 16, 17. *Quoniam omne quod est in mundo, concupiscentia carnis est et concupiscentia oculorum et superbia vitæ: quæ non est ex Patre, sed ex mundo est. Et mundus transit, et concupiscentia ejus. Qui autem facit voluntatem Dei, manet in æternum.* Jam diximus, apostolum mundum vocare incompositam vilium hominum turbam. Qua ratione Dominus discipulis suis dixit: *De mundo non estis, sicut et ego non sum de mundo* [31]. Hujus

[30] Psal. CXLIV, 9. [31] Joan. XV, 19; XVII, 18.

Digitized by Google

autem mundi, nempe mundanæ voluptatis et confusionis, pater est diabolus. Et ideo Dominus de suis discipulis ait ad Patrem : *Non rogo, ut tollas eos de mundo, sed ut serves eos a malo* [32] : quem et in maligno positum esse [33] alibi dixit, Aliter : Si malignus bono Patri opponitur; qui autem servit concupiscentiis, non est ex Patre, sed ex mundo; patet, eum, qui ex Patre non est, sed ex mundo, ex diabolo esse; quemadmodem et in Evangelio ait ad Judæos : *Vos ex patre diabolo estis* [34] : hoc est, ex carnalibus studiis quorum diabolus sator est et cultor. Et hæc quidem mundana concupiscibilia permanentiam non habent neque subsistentiam : quæ autem secundum voluntatem Dei sunt, perpetuo durant. Prudentis autem non est permanentia negligere, et pereuntibus adhærere : perinde enim hoc est, ac spectro velle domum ædificare.

A τοῦ κόσμου πατήρ, ὁ διάβολος, τῆς κοσμικῆς, φημι, ἡδυπαθείας καὶ συγχύσεως. Διὸ καὶ ὁ Κύριος περὶ τῶν μαθητῶν αὐτοῦ πρὸς τὸν Πατέρα φησίν· *Οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ*, ἤτοι τοῦ κόσμου, ὃν καὶ ἐν τῷ πονηρῷ ἀλλαχοῦ κεῖσθαί φησιν. Ἄλλως τε, εἰ ὁ πονηρὸς ἀντίκειται τῷ ἀγαθῷ Πατρὶ, ὁ δὲ ταῖς ἐπιθυμίαις τοῦ κόσμου δουλεύων οὐκ ἔστιν ἐκ τοῦ Πατρὸς, ἀλλ' ἐκ τοῦ κόσμου· εὔδηλον ὅτι ὁ ἐκ τοῦ Πατρὸς μὴ ὤν, ἀλλ' ἐκ τοῦ κόσμου, ἐκ τοῦ διαβόλου ἐστί· καθὼς καὶ ἐν Εὐαγγελίοις φησὶ πρὸς Ἰουδαίους· *Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ*· τοῦτ' ἔστιν ἐκ τῶν σαρκικῶν ἐπιτηδευμάτων, ὧν ὁ διάβολος σπορεύς τε καὶ φυτοκόμος. Καὶ ταῦτα δὲ, [φησὶ,] τὰ κοσμικὰ ἐπιθυμήματα οὐκ
B ἔχει τὸ μένον τε καὶ ἑστώς· τὰ δὲ κατὰ τὸ θέλημα τοῦ Θεοῦ, διαρκῆ καὶ διαιωνίζοντα. Οὐκ ἔστι δὲ σωφρόνων, τὰ μὲν ἑστῶτα παρατρέχειν, τῶν δὲ ἀφανιζομένων ἀντέχεσθαι, ταὐτόν τι ποιοῦντες τῷ περὶ φάσματα οἰκίας οἰκονομοῦντι [*f.* οἰκοδομοῦντι].

413 Vers. 18. *Filioli, novissima hora est : et sicut audistis, quia Antichristus venit, et nunc Antichristi multi facti sunt, unde scimus quia novissima hora est.* Illud, *Novissima hora est*, levius hoc modo redditur : Quandoquidem hæc catholica Epistola omni homini accommodata est; non idem autem omnibus constitutus est terminus, adeoque proprius cujusque finis ignotus est : idcirco congrue cujusvis mentem proprio fini applicat, ut, velut si extrema vitæ instaret hora, vigilantia et
C attentio excitetur, sicque immaculatus vivendi modus, ac puritas actionum inter Christianos vigeat. Aliter : Nemo, quantumvis insanus, potest ista deridere. Cum enim res quæque in tres partes dividatur, in primam, mediam et novissimam seu ultimam; quidquid a medio residuum est, ultimum vocari recte potest. Quare, si circa mediam mille annorum decadem Dominus in mundum venit (ferme enim in anno quinquies millesimo quingentesimo ipsius adventus contigit), omne quod ab ipso decurrit tempus, quippe quod medium consequitur, novissimum seu ultimum recte dici nemo jure negaverit. Quoniam igitur millenariorum fluxus ab adventu Domini medietatem excessit, recte tempus omne, quod exinde decurrit, ultimum
D appellari potest.

Παιδία, ἐσχάτη ὥρα ἐστί· καὶ καθὼς ἠκούσατε ὅτι ὁ Ἀντίχριστος ἔρχεται, καὶ νῦν Ἀντίχριστοι πολλοὶ γεγόνασιν· ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν. Τὸ, *Ἐσχάτη ὥρα ἐστὶν*, ἀνεπαχθέστερον οὕτως· Ἐπεὶ καθολικὴ Ἐπιστολὴ ἁρμόζουσα παντὶ ἀνθρώπῳ, οὐ μία δὲ ὁροθεσμία ζωῆς παντὶ, ἄδηλον δὲ ἑκάστῳ τὸ οἰκεῖον τέλος· εἰκότως οὖν τῷ οἰκείῳ τέλει ἐπέστησεν ἕκαστον, ἵν' ὡς περὶ ἐσχάτης τῆς ζωῆς ὥρας ἑκάστῳ ἐνεστηκυίας, νῆψις ἐπακολουθῇ· καὶ οὕτω βίος ἄμωμος, καὶ καθαριότης πράξεων εἰς ἀεὶ Χριστιανοῖς ἐμπολιτεύηται. Ἄλλως· Οὐκ ἔχει χώραν ὁ διαπαίζειν ταῦτα μελαγχολῶν. Παντὸς γὰρ πράγματος εἰς τρία μεριζομένου, πρώτου, καὶ μέσου, καὶ τελευταίου· πάντως τὸ ἀπὸ τοῦ μέσου πᾶν, ἔσχατον λέγεσθαι οὐδὲν ἀπεικός. Ὥστε εἰ κατὰ τὸ μέσον τῆς χιλιοστοῦς δεκάδος ὁ Κύριος παρεγένετο (σχεδὸν γὰρ ἐν τῷ πεντακισχιλιοστῷ πεντακοσιοστῷ ἡ ἐν γῇ παρουσία αὐτοῦ), τὸ ἀπὸ τούτου ὡς ἀπὸ τοῦ μέσου πᾶν, ἔσχατον λέγεσθαι, οὐδεὶς ἂν μέμψοιτο. Ἐπεὶ οὖν τὸ μέσον ἀπὸ τῆς τοῦ Κυρίου ἐλεύσεως ἡ χιλιοστὴς ὑπερέβη σωρεία, καλῶς ἂν τὸ ἀπὸ τούτου ἅπαν ἔσχατον λέγοιτο. Τοῦτο μὲν οὖν ἀληθέστατον καὶ κατὰ τὸν χρυσοῦν Ἰωάννην.

Vers. 19. *Ex nobis prodierunt, sed non erant ex nobis. Nam si fuissent ex nobis, permansissent utique nobiscum; sed ut manifesti sint, quoniam non sunt omnes ex nobis.* Subjungit de Antichristis et ex quibus ii sint : ac ait, quod *ex nobis*. Subdit vero hoc, quin aliquid præmitteret ad sermonis perspicuitatem. Dico igitur, enim, veluti si se ipsum prius interrogasset, Undenam hi Antichristi? proferre illud, *ex nobis*. Et ita quidem oportebat eum loqui; non ita tamen locutus est; fortasse, ut ista sermonis confusione molestiam quam ex illis

Ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν. Εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν μεθ' ἡμῶν· ἀλλ' ἵνα φανερωθῶσιν, ὅτι οὐκ εἰσὶ πάντες ἐξ ἡμῶν. Εἰπὼν περὶ Ἀντιχρίστων, ἐπιφέρει καὶ ἀπό τίνων, καί φησιν, ὅτι *Ἐξ ἡμῶν*. Ἐπιφέρει δὲ [τοῦτο] μηδὲν διαστειλάμενος εἰς σαφήνειαν τοῦ λόγου. Λέγω δὲ, ὥσπερ ἐρωτήσαντα ἑαυτόν· Καὶ πόθεν οἱ Ἀντίχριστοι οὗτοι; οὕτως εἰπεῖν τὸ, *Ἐξ ἡμῶν*. Οὕτως οὖν δέον ποιῆσαι, οὐχ οὕτως ἐχρήσατο, ἴσως τῇ συγχύσει τοῦ λόγου τὸ περὶ αὐτοὺς ἀηδὲς ἐνδεικνύμενος. Ἀλλὰ [διὰ] τί ἀπὸ τῶν τοῦ Κυρίου μα-

[32] Joan. xvii, 15. [33] Joan. v, 19. [34] Joan. viii, 44.

Digitized by Google

θητῶν οἱ Ἀντίχριστοι; Ἵνα ἔχοιεν τὸ πιστὸν τοῖς πλανωμένοις κομίζειν, ὡς ἀπὸ τῶν μαθητῶν ὄντες, καὶ κατὰ τὴν τοῦ διδασκάλου γνώμην ποιοῦντες τοῦ κηρύγματος τὸν λόγον, ἀλλ' οὐ πάντη ἀπεναντίας φερόμενοι τοῦ κηρύγματος. Διὰ τοῦτο, *Ἐξ ἡμῶν*, φησίν. Τὸ δὲ, *Ἐξῆλθον*, ὅτι γεγονότες μαθηταὶ ἀπέστησαν τῆς ἀληθείας, καὶ ἰδίας βλασφημίας ἐξεῦρον. Οὐ γὰρ ἦσαν ἐξ ἡμῶν, τοῦτ' ἔστι τῆς τῶν σωζομένων μοίρας. Εἰ γὰρ τοῦτο ἦν, μετὰ τῶν ἰδίων ἂν ἔμενον. Νῦν δὲ, φησὶ, τοῦτο πεποιήκασιν, ἵνα φανερωθῶσι, τοῦτ' ἔστι κατάδηλοι γένωνται, ὅτι πάντη ἀπηλλοτριῶνται ἡμῶν. Εἰσὶ γάρ τινες ἐν τούτοις, καὶ οὐκ ἐξ ἡμῶν ὄντες, οἷς δηλαδὴ συνῆψαν ἑαυτοὺς οἱ ἐξ ἡμῶν ἐξελθόντες. Δι' οὓς, φησὶν, εἴρηκα καὶ τὸ, *Οὐκ εἰσὶ πάντες ἐξ ἡμῶν.*

Καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ Ἁγίου, καὶ οἴδατε πάντα. Οὐκ ἔγραψα ὑμῖν ὅτι οὐκ οἴδατε τὴν ἀλήθειαν, ἀλλ' ὅτι οἴδατε αὐτὴν, καὶ ὅτι πᾶν ψεῦδος ἐκ τῆς ἀληθείας οὐκ ἔστι. Τίς ἐστιν ὁ ψεύστης, εἰ μὴ ὁ ἀρνούμενος, ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός; Οὗτός ἐστιν Ἀντίχριστος, ὁ ἀρνούμενος τὸν Πατέρα καὶ τὸν Υἱόν. Πᾶς ὁ ἀρνούμενος τὸν Υἱὸν, οὐδὲ τὸν Πατέρα ἔχει. Ὁ ὁμολογῶν τὸν Υἱὸν καὶ τὸν Πατέρα ἔχει. Ὑμεῖς οὖν ὃ ἠκούσατε ἀπ' ἀρχῆς ἐν ὑμῖν μενέτω. Ἐὰν ἐν ὑμῖν μείνῃ ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ Πατρὶ καὶ ἐν τῷ Υἱῷ μενεῖτε. Καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία ἣν αὐτὸς ἐπηγγείλατο ἡμῖν τὴν ζωὴν τὴν αἰώνιον. Εἰπὼν ταῦτα τὰ προεφωδευμένα, ἵνα μή τις δόξῃ ἑαυτῷ μόνῳ τὴν τούτων γνῶσιν ἀνατιθέναι, καὶ καταλαζονεύεσθαι διὰ τούτων τῶν ἄλλων πιστῶν ὡς μόνου ταύτην εἰδότος, εἰκότως ἐπιφέρει τὸ, *Καὶ ὑμεῖς χρίσμα ἔχετε·* ὥσπερ εἰ ἔλεγεν· Ἀλλὰ τί ταῦτα πρὸς ὑμᾶς ἐγὼ διεξέρχομαι ὡς πρὸς ἀγνοοῦντας ταῦτα; Καὶ οὐκ ἔστι παρ' ὑμῖν ἄγνοια τούτων. Ἐλάβετε γὰρ παρὰ τοῦ ἁγίου βαπτίσματος τὸ χρίσμα τὸ ἱερὸν, καὶ διὰ τούτου τὸ θεῖον Πνεῦμα. Ἐπεὶ δὲ τοῦτο ἴστε, ὅτι οὐχ ὡς ἀγνοοῦσιν ὑμῖν ἔγραψα ταῦτα, ἀλλ' ὡς εἰδόσι, τὸν ἔσχατον καιρὸν, τὴν τῶν Ἀντιχρίστων φορὰν, τὸ πάντας εἶναι ψεύδους μεστούς. Διὰ τὸ πλεονάσαι οὖν τὸ ψεῦδος, διὰ τοῦτο λέγω, φησὶ, καὶ τοὺς Ἀντιχρίστους πολλοὺς γεγονέναι. Εἰ γὰρ ὁ Χριστὸς ἀλήθειά ἐστιν, ὃν καὶ ὑμεῖς ἐγνωκότες, τὴν ἀλήθειαν ἔχετε ἐν ἑαυτοῖς· πάντως; ὁ ψεύστης ἐναντίος ὢν τῇ ἀληθείᾳ, ἤτοι τῷ Χριστῷ, Ἀντίχριστός ἐστιν. Καὶ τίς ὁ ψεύστης; Ὁ ἀρνούμενος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός. Τοῦτο Σίμων ὁ παμμίαρος ἐλήρει, ἄλλον εἶναι τὸν Ἰησοῦν, καὶ ἄλλον τὸν Χριστόν. Τὸν μὲν Ἰησοῦν, τὸν ἀπὸ τῆς ἁγίας Μαρίας, τὸν δὲ Χριστὸν, τὸν ἐπὶ τοῦ Ἰορδάνου καταβάντα ἀπ' οὐρανοῦ. Ὁ τῷ ψεύδει οὖν συγκροτούμενος τούτῳ, οὗτος, φησὶν, Ἀντίχριστός ἐστιν. Ἀλλὰ καὶ ὁ ἀρνούμενος τὸν Πατέρα καὶ τὸν Υἱὸν, καὶ οὗτος, φησὶ, ψεύστης ἐστὶ καὶ Ἀντίχριστος. Ἔλεγον γὰρ ἄλλοι πάλιν αἱρεσιῶται, [ὧν ὁ κατάρατος Οὐαλεντῖνος ἀπεγεννήθη,] ἄλλον εἶναι Πατέρα ἀκατονόμαστον, παρὰ τὸν λε-

A percipiebat, indicaret. Sed quare e Christi Domini discipulis exierunt Antichristi? Nempe ut haberent, quo seductorum multitudini fide digni videri possent, velut qui ex discipulorum numero exsistentes juxta Magistri sententiam prædicare debuissent. Cæterum non usquequaque contraria evangelicæ prædicationi illi efferebant; et idcirco ait: *ex nobis*. Dicit vero, *prodierunt*, quia, cum fuissent discipuli, a veritate desciverunt, propriasque blasphemias excogitaverant. Non autem erant *ex nobis*, hoc est ex salvandorum sorte; nam si ejusmodi fuissent, profecto cum suis permansissent. Nunc autem, inquit, hoc fecerunt, ut manifesti sint, hoc est, ut cunctis pateat eos penitus abalienatos a nobis esse. Sunt vero inter ipsos etiam nonnulli,
B qui non sunt ex nobis, quibus sese conjunxerunt, qui egressi sunt e nobis.

414 VERS. 20-25. *Sed vos unctionem habetis a Sancto, et nos is omnia. Non scripsi vobis quasi ignorantibus veritatem, sed quasi scientibus eam: et quoniam omne mendacium ex veritate non est. Quis est mendax, nisi is qui negat, quod Jesus est Christus? Hic est Antichristus, qui negat Patrem et Filium. Omnis qui negat Filium, nec Patrem habet: qui confitetur Filium, et Patrem habet. Vos quod audistis ab initio, in vobis permaneat. Si in vobis permanserit quod audistis ab initio, et vos in Filio et Patre manebitis. Et hæc est repromissio quam ipse pollicitus est nobis, vitam æternam.* Postquam
C præcedentia dixit, ne quis existimaret sibi soli horum cognitionem offerri, et propterea se supra alios fideles arroganter efferret, quasi solus eam haberet, convenienter subdit hoc: *Et vos unctionem habetis*, ac si diceret: Sed quid ego ista apud vos persequor, velut si ea ignoraretis? At non est apud vos ignorantia horum: sacram enim unctionem ex sancto baptismate, et per eam Spiritum sanctum accepistis. Quandoquidem igitur hoc nostis, non quasi ignorantibus scripsi, sed quasi scientibus novissimum tempus et Antichristorum incursionem, ideoque omnia esse plena mendacio. Quia igitur abundat mendacium, propterea dico vobis, multos esse Antichristos. Si enim Christus est veritas, quem et vos cognoscentes veritatem
D habetis in vobismetipsis, profecto quicunque mendax, qui contrarius est veritati seu Christo, est Antichristus. Sed quis est mendax? Qui negat quod Jesus est Christus. Hoc scelestissimus Simon effutiebat, alium esse Jesum et alium Christum: Jesum quidem eum qui ex Maria Virgine natus est; Christum vero qui ad Jordanem descendit e cœlo. Qui igitur isti favet mendacio, hic, inquit, Antichristus est. Verum et qui negat Patrem et Filium, et iste, inquit, mendax est et Antichristus. Dixerunt enim rursus alii hæretici, Patrem absolute dictum alium esse a Patre Christi. Hi vero etiam Filium negant, quia eum merum hominem esse dicunt, adeoque neutiquam natura Deum, ac Deum de Deo. Idcirco subdit: *Omnis, qui negat*

Digitized by Google

Filium, nec Patrem habet, quemadmodum Judæi, qui negantes Filium, pertendunt se nosse Patrem. Verum sciant isti se nec Patrem cognovisse. Nam si Patrem cognovissent, cognovissent utique etiam Filium, quoniam Pater est Filii unigeniti. Id ipsum vero et Simonis asseclæ nugabantur. Et illi quidem ita. Vos autem quod audistis ab initio, hoc est, Deum esse Filium, servate apud vosmetipsos: hoc enim significat per illud, *In vobis permaneat*. Si enim in vobis permaneat hoc, quod ab initio audistis, etiam vos in Filio et **415** in Patre permanebitis: hoc est, participes ejus eritis. Hæc enim est repromissio, quæ ait: *Sicut tu, Pater, in me, et ego in te, ut et ipsi in nobis unum sint* [35]. Et rursus: *Ut habeant vitam æternam. Hæc est autem vita æterna, ut cognoscant te solum Deum verum, et quem misisti Jesum Christum* [36].

γόμενον Πατέρα τοῦ Χριστοῦ. Αὐτοὶ δὲ οὗτοι καὶ τὸν Υἱὸν ἀρνοῦνται διὰ τοῦ ἄνθρωπον ψιλὸν λέγειν αὐτὸν, καὶ μὴ φύσει Θεόν, ὡς ἐκ Θεοῦ ὄντα Θεόν. Διὸ ἐπιφέρει· *Πᾶς ὁ ἀρνούμενος τὸν Υἱὸν, οὐδὲ τὸν Πατέρα ἔχει*· ὥσπερ Ἰουδαῖοι, ἀρνούμενοι μὲν τὸν Υἱὸν, προσποιούμενοι δὲ τὸν Πατέρα εἰδέναι. Ἀλλ' ἔστωσαν οὗτοι, ὅτι οὐδὲ τὸν Πατέρα ἔτι ἐπέγνωσαν. Εἰ γὰρ ᾔδεισαν, ᾔδεισαν ἂν καὶ τὸν Υἱὸν, ὅτι καὶ Υἱοῦ Πατήρ ἐστι μονογενοῦς. Τὸ δ' αὐτὸ καὶ οἱ ἀπὸ Σίμωνος ἐφιλάρουν. Ἐκεῖνοι μὲν οὖν οὕτως. Ὑμεῖς δὲ, ὅπερ ἠκούσατε ἀπ' ἀρχῆς, τοῦτ' ἔστι θεολογούμενον τὸν Χριστὸν, φυλάττετε παρ' ἑαυτοῖς. Τοῦτο γὰρ διὰ τοῦ, *Μενέτω ἐν ὑμῖν*, λέγει. Ἐὰν γὰρ ἐν ὑμῖν μένῃ τοῦτο, ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ Υἱῷ καὶ ἐν τῷ Πατρὶ μενεῖτε, τοῦτ' ἔστι, κοινωνοὶ αὐτοῦ ἔσεσθε. Αὕτη γάρ ἐστιν ἡ ἐπαγγελία, ἡ λέγουσα· *Ὥσπερ ἐγὼ ἐν σοὶ, Πάτερ, καὶ σὺ ἐν ἐμοὶ, καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσι*· καὶ πάλιν, *Ἵνα ἔχωσι τὴν ζωὴν τὴν αἰώνιον. Αὕτη δέ ἐστιν ἡ ζωὴ ἡ αἰώνιος, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.*

Vers. 26. *Hæc scripsi vobis de his qui seducunt vos.* Absoluto præcedente sermone, subdit etiam de seductoribus illorum, mediantibus scilicet hæresibus, quæ inundaverant. Deinde et rursus addit, quod antea diximus, ut molestiam amoveret, Et vos unctionem, quam accepistis. (Quid vero sit hoc, jam dictum est, nempe quod Spiritum sanctum inteiligat). Quoniam igitur, quem accepistis, Spiritus sanctus firmus apud vos est, non necesse habetis, ut aliquis doceat vos, sed sicut ipse Spiritus sanctus docet vos de omnibus; sicut igitur docuit vos, manete in ipso: verum est enim, et nullo modo mendacium, quod docuit vos.

Ταῦτα δὲ ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς. Ἀπαρτίσας περὶ τὸν προειρημένον [*f.* τὸν περὶ τῶν προειρημένων] λόγον, προστίθησι καὶ τὸν περὶ τῶν πλανώντων αὐτοὺς, τοῦτ' ἔστι διὰ τὰς ἐπικλυσάσας αἱρέσεις. Εἶτα πάλιν ἐπιφέρει, ὃ καὶ πρὸ τούτου εἴπομεν, τὸ ἀνεπαχθὲς αὐτοῖς περιποιούμενος, ὅτι *Καὶ αὐτοὶ δὲ τὸ χρίσμα ὃ ἐλάβετε*· τί δὲ τοῦτο, [εἴρηται ἤδη, ὅτι] τὸ Πνεῦμα τὸ ἅγιον λέγει. Ὃ οὖν ἐλάβετε Πνεῦμα ἅγιον, ἐπεὶ βέβαιον ἔχετε παρ' ἑαυτοῖς, οὐ χρείαν ἔχετε, ἵνα τις διδάσκῃ ὑμᾶς· ἀλλ' ὡς τὸ αὐτὸ Πνεῦμα διδάσκει ὑμᾶς περὶ πάντων, καθὼς καὶ ἐδίδαξεν ὑμᾶς, μενεῖτε ἐν αὐτῷ. Ἀληθὲς γάρ ἐστι καὶ οὐ ψεῦδος ὃ ἐδίδαξεν ὑμᾶς.

Vers. 27. *Et vos unctionem quam accepistis ab eo, maneat in vobis. Et non necesse habetis ut aliquis doceat vos; sed sicut unctio ejus docet vos de omnibus, et verum est et non est mendacium. Et sicut docuit vos: manete in eo.* Verborum ordo ita se habet: *Unctio quam accepistis, quoniam in vobis manet, non necesse habetis, ut aliquis doceat vos; sed sicut docuit vos, oportet vos manere in ipso.*

Καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε παρ' αὐτοῦ μενέτω ἐν ὑμῖν, καὶ οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ ὑμᾶς· ἀλλ' ὡς τὸ αὐτὸ χρίσμα διδάσκει ὑμᾶς περὶ πάντων, καὶ ἀληθές ἐστι καὶ οὐκ ἔστι ψεῦδος, καὶ καθὼς ἐδίδαξεν ὑμᾶς, μενεῖτε ἐν αὐτῷ. Τὸ ἑξῆς οὕτω· *Τὸ χρίσμα ὃ ἐλάβετε ἀπ' αὐτοῦ, ἐπεὶ ἐν ὑμῖν μένει, οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ ὑμᾶς· ἀλλὰ καθὼς ἐδίδαξεν ὑμᾶς, δεῖ μένειν ὑμᾶς ἐν αὐτῷ.*

Vers. 28, 29. *Et nunc, filioli, manete in eo, ut, cum apparuerit, habeamus fiduciam, et non confundamur ab eo in adventu ejus. Si scitis quoniam justus est, scitote quoniam et omnis qui facit justitiam, ex ipso natus est.*

Καὶ νῦν, τεκνία, μένετε ἐν αὐτῷ, ἵνα ὅταν φανερωθῇ, σχῶμεν παῤῥησίαν, καὶ μὴ αἰσχυνθῶμεν ἀπ' αὐτοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ. Ἐὰν εἰδῆτε ὅτι δίκαιός ἐστι, γινώσκετε, ὅτι πᾶς ὁ ποιῶν δικαιοσύνην, ἐξ αὐτοῦ γεγέννηται.

CAPUT III.

ΚΕΦΑΛ. Γ'.

Vers. 1. *Videte, qualem charitatem dedit nobis Pater, ut filii Dei nominemur, et simus.* Postquam dixit de Antichristorum incursione, et de tota eorum perversa doctrina, satisque confirmavit fideles, ut immutabiliter tenerent ea, de quibus primitus instructi fuerant, proponit deinde etiam futuram ob ista mercedem, ut magis eos præmiorum magnitudine ac claritate roboraret. Subdit itaque:

Ἴδετε ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ Πατὴρ, ἵνα τέκνα Θεοῦ κληθῶμεν, καὶ ἐσμέν. Εἰρηκὼς τὴν τῶν Ἀντιχρίστων φορὰν, καὶ πᾶσαν τὴν ἐνδιάστροφον αὐτῶν διδασκαλίαν, καὶ ἱκανῶς στηρίξας ἀμεταθέτως ἔχειν περὶ ἃ κατηχήθησαν, ἐπάγει λοιπὸν καὶ τὸν ἀποκείμενον διὰ ταῦτα μισθὸν, ὥσπερ ἰσχυροποιῶν αὐτοὺς διὰ τῆς τῶν ἐπάθλων λαμπρότητος, καί φησιν, ὅτι *Μένετε ἐν αὐτῷ.* Διὰ

[35] Joan. xv, 21. [36] Joan. xvii, 3.

Digitized by Google

τί; Ἵνα ἔχωμεν παῤῥησίαν ἐν αὐτῷ ὅταν φανερωθῇ. A Τί γὰρ περιφανέστερον, ἢ ζηλωτότερον παῤῥησίας, ἐπειδὰν ᾧ ἐπιδείκνυσθαι μέλλομεν τοὺς ἐν τῷ βίῳ πόνους ἡμῶν, μετὰ παῤῥησίας τοῦτο ποιῶμεν, μηδὲν αἰσχυνόμενοι ἐν τῇ παῤῥουσίᾳ [*f.* παρουσ.] αὐτοῦ; Καὶ ἐπειδὴ εἰκός τινας ζητεῖν, τίνα κατωρθωκότες εὐάρεστοι αὐτῷ γένοιντο; διδάσκει καὶ τοῦτο, καί φησιν, ὅτι Εἰ ἐγνώκατε αὐτὸν, ὅτι δίκαιός ἐστι, πάντως καὶ τοῦτο γινώσκετε, ὅτι ὁ ποιῶν δικαιοσύνην ἐξ αὐτοῦ γεγέννηται. Ὁ δίκαιος γὰρ [δικαίους γεννᾷ. Ὅσον δὲ τοῦτο εἰς καύχημα καὶ παῤῥησίαν ὑμῶν, οὐδεὶς ἀγνοεῖ,] ἀλλ' οὐδὲ τὴν τοῦ παρεχομένου πρὸς ὑμᾶς ἀγάπην τε καὶ χρηστότητα, ὅση τις καὶ οἵα ἐστίν. Οἴδατε γὰρ ὅτι ἔδωκεν ὑμῖν τέκνα αὐτοῦ γενέσθαι τε καὶ λογισθῆναι. Εἰ δὲ τοῖς ἐν τῷ κόσμῳ ἄδηλον τοῦτο, φησὶ, λέγω δὲ τὸ υἱοὺς ὑμᾶς B εἶναι Θεοῦ, μὴ θαυμάζετε τοῦτο. Διὰ γὰρ τοῦτο οὐ γινώσκει ὑμᾶς, ὅτι οὐδὲ τὸν υἱοθετήσαντα ὑμᾶς ἔγνω· κόσμον δὲ τὸν συρφετὸν ὄχλον λέγει. Εἶτα ἐπειδὴ τὸ τῆς υἱοθεσίας κατεσκεύασε, λέγει ἐπὶ τούτοις τρανότερον καὶ τὴν ἀποκειμένην δόξαν καὶ παῤῥησίαν τῶν υἱοθετηθέντων, καί φησιν·

Ἀγαπητοὶ, νῦν τέκνα Θεοῦ ἐσμεν. Διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ὑμᾶς, ὅτι οὐκ ἔγνω αὐτόν. —*Κόσμος*, ὁ συρφετὸς καὶ χοιρώδης ὄχλος, ὁ πρὸς μόνην τὴν ἐμπαθῆ ταύτην ζωὴν ἐπτοημένος, ὡς χοῖρος πρὸς βόρβορον.

Ἀγαπητοὶ, νῦν τέκνα Θεοῦ ἐσμεν, καὶ οὔπω ἐφανερώθη ὅ τι ἐσόμεθα. Οἴδαμεν δὲ ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστι. Καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ' αὐτῷ, ἁγνίζει ἑαυτὸν, καθὼς ἐκεῖνος ἁγνός ἐστι. Ὥσπερ εἰ ἔλεγε· Πάντως ἐγνώκατε διὰ τῶν προλαβόντων, ὡς εἰς Θεοῦ υἱοὺς ἀνελήφθημεν. Εἰ δὲ μὴ ἤδη ἐφανερώθη τοῦτο, μὴ θορυβῆσθε [*f.*—θεῖσθε]· τὸ γὰρ νῦν ἄδηλον, φανερὸν γενήσεται, ἐκείνου ἀποκαλυπτομένου. Ὅμοιοι γὰρ αὐτῷ ἀναφανέντες, τὸ τῆς υἱοθεσίας λαμπρὸν παραστήσομεν· οἱ γὰρ υἱοὶ πάντως ὅμοιοι τῷ πατρί. Ἀλλὰ τὴν πρὸς αὐτὸν παῤῥησίαν ἔχοντες [*f.*—τες] ὡς υἱοὶ, ὀψόμεθα αὐτὸν καθώς ἔστιν· οὐ κατὰ τὴν φύσιν (τοῦτο γὰρ ἀμήχανον γεννητῇ φύσει), ἀλλὰ τί; Ἁγνὸν ἁγνοὶ, δίκαιον δίκαιοι· τῷ γὰρ ὁμοίῳ D προσφύσονται καὶ οἱ ὅμοιοι. Διὰ γὰρ τοῦτο καὶ μικρὸν κατόπιν εἶπον [*f.* εἶπεν], ὅτι ὅμοιοι αὐτῷ ἐσμεν, οὐ κατὰ τὴν φύσιν. Εἶπε γὰρ ἂν οὐχ *ὅμοιοι*, ἀλλ' Οἱ αὐτοί. Νῦν δὲ ἐπεὶ μὴ τοῦτο ἔσται, εἶπε τὸ *Ὅμοιοι*, κατὰ τὴν τῆς δόξης ποιότητα δηλαδή. Ἐπισημαντέον δὲ, ὅτι οὐκ εἶπεν ἀνωτέρῳ, Πᾶς ὁ ποιήσας] ικαιοσύνην, ἢ Ὁ ποιήσων, ἀλλ' *Ὁ ποιῶν*. Παρακτικαὶ [*f.* πρακτ.]γὰρ ἀρεταὶ, καὶ ἐν τῷ γίνεσθαι ἔχουσι τὸ εἶναι· παυσάμεναι δὲ, ἢ μέλλουσαι, οὐδὲ τὸ εἶναι ἔχουσι.

Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, καὶ τὴν ἀνομίαν ποιεῖ, καὶ ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία. Καὶ οἴδατε ὅτι ἐκεῖνος ἐφανερώθη, ἵνα τὰς ἁμαρτίας ἡμῶν ἄρῃ· καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστι. Κα-

Manete in eo. Sed cur? Ut habeamus fiduciam in eo cum apparuerit. Quid enim hujusmodi fiducia aut præstantius aut desiderabilius esse potest? ut scilicet, cum labores nostros Deo exhibituri sumus, id cum fiducia et securitate faciamus, quin ullo modo confundamur in adventu ejus. Et quoniam fortasse ex iis nonnulli quærebant, **416** quid faciendum iis esset, quo grati Deo evaderent, et hoc edocet, et ait: Si scitis, quoniam justus est, omnino et hoc scitote, quoniam omnis qui facit justitiam, ex ipso natus est. Justus enim justos generat: quod quantum ad gloriam et fiduciam vestram conferat, nemo ignorat: sicut neque quæ et quanta sit dilectio et benignitas, quam vobis ipse exhibuit. Nostis enim eum vobis dedisse, ut filii ejus nominemini et sitis. Quod si hominibus mundanis, inquit, hoc ignotum sit vos esse filios Dei, ne miremini: propterea enim vos non cognoscunt, quia neque cognoscunt eum qui vos in filios adoptavit. Mundum autem inconditam turbam dicit. Deinde postquam quæ ad filiationem spectant expedivit, clarius exponit repositam gloriam et fiduciam eorum qui filii facti fuerint, et ait:

Charissimi, nunc filii Dei sumus. Propter hoc mundus non novit nos, quia non novit eum. Mundi nomine hic incompositam multitudinem et populi fæcem intelligit, qui scilicet sensualem tantummodo vitam sectantur, in eaque volutantur, ut sus in volutabro luti.

C Vers. 2, 3. *Charissimi, nunc filii Dei sumus: et nondum apparuit, quid erimus. Scimus autem quoniam, cum apparuerit, similes ei erimus: quoniam videbimus eum sicuti est. Et omnis qui habet hanc spem in eo, sanctificat se, sicut et ille sanctus est.* Hoc perinde est ac si diceret: Vos omnino ex præcedentibus nostis, quod in Dei filios assumpti simus. Quod si hoc nondum apparuit, ne turbemini: quod enim nunc occultum est, clarum fiet, cum ille revelabitur. Similes enim ei facti, filiationis claritatem obtinebimus. Filii enim omnino similes sunt patri. Verum et fiduciam ad ipsum habentes tanquam filii, videbimus eum sicuti est: non quidem secundum naturam: hoc enim a natura creata obtineri non potest. Sed quid ergo? Purum puri, justum justi: simili enim adhærescunt similes. Propterea etiam paulo ante dixit similes nos ei futuros, non secundum naturam; non enim dixisset, *similes*, sed, iidem. Quoniam vero hoc futurum non est, dixit *similes*, videlicet secundum gloriæ qualitatem. Adnotandum vero, quod superius non dixerit: Omnis qui fecit, aut facturus est justitiam. sed, *Qui facit*. Actuosæ enim sunt virtutes, et in ipso fieri habent suum esse. Cum autem cessant, aut futuræ tantum sunt, neque esse habent.

Vers. 4, 5. *Omnis qui facit peccatum, et iniquitatem facit, et peccatum est iniquitas. Et scitis, quia ille apparuit, ut peccata nostra tolleret: et peccatum in eo non est.* Postquam in superioribus sermonem

Digitized by Google

de justitia ex bonis justitiæ confirmavit, nunc ex contrario, et ex his **417** quæ ipsi insunt demonstrationem aggreditur, et ait: *Omnis qui facit peccatum*, quasi diceret: Vos qui in filios adoptati estis, operemini justitiam, neque eam otiosam relinquatis. Quemadmodum enim et in peccato, non qui fecit aut facturus est, ille est peccator aut iniquus, sed qui malo adhæret illudque operatur: sic etiam justus est, non qui otiosus manet, sed qui justitiam strenue exercet. Cæterum nullus vobis peccandi locus reliquus est, cum Christus ad delendum peccatum apparuerit: ac sicut ille omnis peccati expers est, ita vobis, qui in ipso manetis, et fide in eum confirmati estis, nulla peccandi potestas amplius relinquitur. Hoc significatur per illud, *Omnis qui in eo manet*, non peccat. Scendum autem peccatum esse lapsum a bono: iniquitatem vero esse legis impositæ transgressionem: et hoc utrumque principium proprium habet: illud quidem declinationem a bono, hæc autem legis latæ violationem: attamen quoad rem convenient. nam et peccans excidit a scopo, qui est secundum naturam et in natura: scopus enim humanæ naturæ est juxta rationem vivere procul abjecta omni absurditate. Iniquus vero immoderate abreptus contra legem naturæ inditam delinquit.

Vers. 6. *Omnis qui in eo manet, non peccat.* Qui videlicet indesinenti virtutes amore prosequitur, et nunquam ab earum exercitio cessat.

Vers. 6, 7. *Et omnis qui peccat non vidit eum nec cognovit eum. Filioli, nemo vos seducat. Qui facit justitiam, justus est, sicut et ille justus est.* Cum dixisset Christum apparuisse, et cur apparuerit explicasset, ut videlicet, qui peccatum non fecit, peccatum tolleret atque deleret, subdit: *Omnis qui peccat, non vidit eum.* Si enim vos, inquit, qui, cum ille apparuisset, eum vidistis, et quod eum videritis signum hoc recepistis, quod non facile (velut perfecte in ipso firmati) vincemini peccato; profecto qui peccant, eum non viderunt, adeoque neque noverunt eum. Per videre autem hic non simplicem visionis attactum intelligit: neque per cognoscere, rei notæ sibi per phantasiam imaginem efformare, sed per judicium et cum scientia ad illum accedere, ut supra diximus. His vero dictis, subdit confirmationem dicens: *Nemo vos seducat.* Neque enim diversimode se habet hoc: Qui facit justitiam, justum novit, et justus est, sicut et ille, nempe *Deus*: ac illud oppositum contra: Qui facit peccatum, ex peccatore est, qui est diabolus, qui ab initio peccat. Ideo sollicitus creaturæ Deus, qui est justitia et sanctitas, apparuit, seu huic mundo se manifestavit, **418** ut opera diaboli destrueret.

Vers. 8. *Qui facit peccatum ex diabolo est, quoniam ab initio diabolus peccat. In hoc apparuit*

A τασκευάσας τὸν περὶ τῆς δικαιοσύνης λόγον διὰ τῶν ἀνωτέρω ἀπὸ τῶν τῆς δικαιοσύνης καλῶν, νῦν ἀπὸ τοῦ ἐναντίου καὶ τῶν ἐνυπαρχόντων αὐτῷ ἐφορμᾷ τῇ ἀποδείξει, καὶ φησι· *Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν*· τοιοῦτόν τι λέγων, ὅτι Ὑμεῖς οἱ υἱοθετηθέντες, ἐργάζεσθε τὴν δικαιοσύνην, καὶ μὴ ἀργοὺς ἀποφαίνεσθε ταύτης ἑαυτούς. Ὡς γὰρ καὶ ἐπὶ τῆς ἁμαρτίας, οὐχ ὁ ποιήσας, ἢ ὁ ποιήσων, ἐκεῖνός ἐστιν ὁ ἁμαρτωλός, ἢ ὁ ἄνομος, ἀλλ' ὁ ἐχόμενος τοῦ κακοῦ τε καὶ ἐνεργῶν· οὕτω καὶ δίκαιος, οὐχὶ ὁ ἀπρακτῶν, ἀλλ' ὁ ἐνεργός. Οὐ μήν γε, φησὶ, χώραν σχοίητε ἁμαρτάνειν· Χριστοῦ γὰρ ἐπ' ἀναιρέσει τῆς ἁμαρτίας παραγενομένου, καθό.ε ἀμέτοχος ἦν ἁμαρτίας, οὐδὲ ὑμῖν ὑπολείπεται ἔτι ἁμαρτάνειν τοῖς ἐν αὐτῷ γενομένοις, καὶ βεβαιωθεῖσι τῇ εἰς αὐτὸν πίστει· τοῦτο σημαίνων διὰ B τοῦ, *Πᾶς ὁ ἐν αὐτῷ μένων*. Ἰστέον δὲ, ὡς ἁμαρτία μὲν ἡ τοῦ ἀγαθοῦ ἀπόπτωσίς ἐστιν· ἀνομία δὲ, ἡ περὶ τὸν θετὸν νόμον πλημμέλεια. Καὶ ταύτην ἔχουσιν ἀρχὴν ἑκάτερον τούτων· τὸ μὲν τὴν ἀπὸ τοῦ ἀγαθοῦ ἔκπτωσιν, τὸ δὲ τὴν περὶ τὸν θετὸν νόμον πλημμέλειαν. Συμφέρονται δὲ ταῦτα κατὰ ταὐτόν· ὅ τε γὰρ ἁμαρτάνων, τοῦ κατὰ τὴν φύσιν καὶ ἐν τῇ φύσει ἀπέτυχε σκοποῦ (σκοπὸς γὰρ τῇ ἀνθρωπείᾳ φύσει, τοῦ κατὰ τὸν λόγον ζῆν, τῆς ἀλογίας πόῤῥω ἀπῳκισμένῃ), ὡσαύτως καὶ ὁ ἀνομῶν πλημμελεῖ περὶ τὸν ἐν τῇ φύσει διδομένον νόμον, φερόμενος ἀκρατῶς.

Πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει. Ὁ ἀνενδότως τὰς ἀρετὰς μετιὼν καὶ μηδέποτε τῆς τούτων ἀπολήγων ἐργασίας.

C *Καὶ πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτὸν, οὐδὲ ἔγνωκεν αὐτόν. Τεκνία, μηδεὶς πλανάτω ὑμᾶς. Ὁ ποιῶν τὴν δικαιοσύνην δίκαιός ἐστι, καθὼς ἐκεῖνος δίκαιός ἐστιν.* Εἰπὼν ὅτι ἐφανερώθη, καὶ τὴν αἰτίαν δι' ἣν ἐφανερώθη, ἵνα ὡς μὴ ποιήσας ἁμαρτίαν, τὴν ἁμαρτίαν ἡμῶν ἄρῃ, τοῦτ' ἔστιν ἀφανίσῃ, ἐπιφέρει· *Πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτόν.* Εἰ γὰρ ὑμεῖς, φησὶν, οἵτινες φανερωθέντος αὐτοῦ ἑωράκατε αὐτὸν, καὶ σημεῖον τοῦ ἑωρακέναι αὐτὸν ἐλάβετε, τὸ μὴ εὐχείρωτοι εἶναι τῇ ἁμαρτίᾳ, ἅτε τελείως ἐν αὐτῷ ἱδρασμένοι· πάντως που οἱ ἁμαρτάνοντες οὐχ ἑωράκασιν αὐτόν· διὸ οὐδὲ ἔγνωσαν· ἑωρακέναι, οὐ τὴν κατὰ ψιλὴν ὄψεως λέγων ἔμφασιν, οὐδὲ τὸ κατὰ πρόχειρον D φαντασίαν ἐνηργηκέναι αὐτοὺς περὶ τὸ γνωστὸν, ἀλλὰ τὸ μετά τινος κρίσεως καὶ ἐπιστήμης τὴν πρὸς αὐτὸν πεποιηκέναι προσαγωγὴν αὐτοὺς, ὡς ἀνωτέρω εἰρήκαμεν. Εἰπὼν δὲ ταῦτα πρόεισι βεβαιωτικῶς, ὅτι *Μηδεὶς πλανάτω ὑμᾶς*. Οὐ γὰρ ἄλλως ἔχει ἢ οὕτως· Ὁ ποιῶν τὴν δικαιοσύνην τὸν Δίκαιον ἔγνωκε, καὶ δίκαιός ἐστιν ὡς καὶ ἐκεῖνος, τοῦτ' ἔστιν ὁ Θεός· ὥσπερ καὶ τὸ ἐναντίον· Ὁ τὴν ἁμαρτίαν ποιῶν, ἐκ τοῦ ἁμαρτωλοῦ ἐστιν, ὃς ἐστιν ὁ διάβολος, ὃς ἀπ' ἀρχῆς ἁμαρτάνει. Διὸ καὶ κηδόμενος τοῦ πλάσματος αὐτοῦ ὁ Θεὸς, δικαιοσύνη καὶ ἁγιασμὸς ὑπάρχων ἐφανερώθη, ἤτοι εἰς τὸν κόσμον ἐφάνη, ἵνα ἀφανίσῃ τὰ ἔργα τοῦ διαβόλου.

Ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστὶν, ὅτι ἀπ' ἀρχῆς ὁ διάβολος ἁμαρτάνει. Εἰς

Digitized by Google

τοῦτο ἐφανερώθη ὁ Υἱὸς τοῦ Θεοῦ ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου. Ἐπείπερ παρατραπεὶς [*f.* περιτρ.] ὁ διάβολος ἐν τῷ ἁμαρτάνειν, ἐξ αὐτοῦ χρηματίζει πᾶς ὁ ἁμαρτάνων. Προάρχεται γὰρ ἐν τῷ ἁμαρτάνοντι δι' ὑποβολῆς πονηρῶν λογισμῶν, ὡς ἐπὶ τοῦ Ἰούδα. Ἀλλ' ἐρεῖ τις· Πῶς ὁ διάβολος γίνεται ἐν τοῖς ἁμαρτάνουσιν, αὐτῶν πρὸ αὐτοῦ ἡμαρτηκότων ἐν τῷ διδόναι αὐτῷ τόπον; Πρὸς ὃν λεκτέον, ταὐτὸν εἶναι ποιεῖν τὴν ἁμαρτίαν τῷ ἁμαρτάνειν ἐν τῷ διδόναι τόπον τῷ διαβόλῳ· δίδωσι γὰρ αὐτῷ τόπον ὁ ἁμαρτάνων, ἐπιθυμίᾳ ὑπαχθεὶς μετὰ τοῦ δέξασθαι αὐτὸν, πρακτικῶς ἐπιτελῶν τὴν ἁμαρτίαν. Τοῦτο γὰρ σημαίνει τὸ ποιεῖν αὐτήν. Εὖ δὲ [εἶπε] καὶ τὸ, *Ὁ ποιῶν*, ἀλλ' οὐχ, Ὁ ποιήσας, τοῦ μετανοήσαντος οὐκ ἔτι ὄντος ἐκ τοῦ διαβόλου, ἀλλὰ μόνου τοῦ ἐνεργοῦντος αὐτὴν ἔτι. Οὕτω γὰρ καὶ τῆς ἁμαρτίας δοῦλός ἐστιν ὁ ποιῶν, [ἀλλ' οὐχ ὁ ποιήσας.] Πᾶς γὰρ ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας.

A *Filius Dei, ut dissolvat opera diaboli.* Quoniam subversus est diabolus peccando, ex illo nomen sumit quicunque peccat: is enim primum ingreditur peccantem suggestione pravarum cogitationum, ut in Juda. Sed, inquiet quispiam, quomodo diabolus intrat in eos qui peccant, cum isti jam tum peccaverint dando ei locum? Cui respondendum. idem esse facere peccatum, ac peccare dando locum diabolo: dat enim ei locum qui peccat concupiscentiæ subjectus, postquam illum recepit opere perficiens peccatum: hoc enim significat facere ipsum. Bene autem et hic dixit, *qui facit*, non, qui fecit: cum is quem pœnituit, non ampius sit ex diabolo, sed illi tantum, qui adhuc illud facit. Sic enim et peccati servus est, qui illud facit. Omnis namque qui facit peccatum, servus est peccati [37].

B

Πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ ἁμαρτίαν οὐ ποιεῖ ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει, καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ Θεοῦ γεγέννηται. Ἐν τούτῳ φανερά ἐστι τὰ τέκνα τοῦ Θεοῦ, καὶ τὰ τέκνα τοῦ διαβόλου. Πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ. Ἐπεὶ πᾶς ὁ τὴν ἁμαρτίαν ποιῶν ἐκ τοῦ διαβόλου ἐστὶ κατ' αὐτὸ τὸ ἁμαρτάνειν, καὶ υἱὸς τοῦ διαβόλου λέγεται, ὡς ὁ μακάριος Παῦλος πρὸς τὸν Ἐλύμαν φησίν· *Υἱὲ διαβόλου, οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου* [*τὰς εὐθείας*]; εὔδηλον, ὅτι ὁ ἐκ τοῦ Θεοῦ γεγεννημένος, ὡς Θεοῦ υἱός, οὐχ ἁμαρτάνει, ὅτι σπέρμα αὐτοῦ τοῦ Θεοῦ ἐστιν, ἤτοι τὸ Πνεῦμα ὃ ἐλάβομεν διὰ τοῦ χαρίσματος, οὗ ἠξιώθημεν· ὅπερ ἐν ἡμῖν μένον, ἀνεπίδεκτον ἁμαρτίας τὸν νοῦν ἡμῶν ποιεῖ· ἢ καὶ αὐτὸς ὁ Χριστός· ὃς ἐνοικῶν ἐν τοῖς πιστοῖς, ποιεῖ αὐτοὺς υἱοὺς Θεοῦ, καθὼς καὶ αὐτὸς ἐν τῷ σπέρματι Ἀβραὰμ ὁ Χριστὸς υἱὸς Ἀβραάμ ἐστι· καὶ ἐν τῷ σπέρματι Ἀβραάμ, ἤτοι τῷ Χριστῷ, εὐλογεῖται τὰ ἔθνη.

C

Vers. 9-10. *Omnis qui natus est ex Deo, peccatum non facit: quoniam semen ipsius in eo manet, et non potest peccare, quoniam ex Deo natus est. In hoc manifesti sunt filii Dei. Omnis qui non est justus, non est ex Deo, et qui non diligit fratrem suum.* Cum omnis qui peccatum facit, ex diabolo sit, et secundum quod peccat etiam filius diaboli dicitur, quemadmodum beatus Paulus dixit ad Elymam: *Fili diaboli, non desinis subvertere vias Domini* [38]? perspicuum est eum qui ex Deo natus est, veluti Dei filium non peccare: quoniam semen ipsius est vel Spiritus sanctus quem accepimus per gratiam, cujus digni facti sumus, qui in nobis manens facit ut mens nostra peccatum non admittat: vel ipse Christus, qui habitans in fidelibus, eos constituit filios Dei: sicut et ipse Christus in semine Abraham filius est Abraham: et in semine Abraham [39], nempe in Christo, benedicuntur omnes gentes.

Τοῦ Χρυσοστόμου. Ὁσάκις ἁμαρτάνομεν, ἐκ τοῦ διαβόλου γεννώμεθα· ἐκ τοῦ Θεοῦ δὲ πάλιν, ὁσάκις ἀρετὴν κατορθώσομεν. *Ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει.* Σπέρμα φησὶ τὸ Πνεῦμα, ὃ διὰ τοῦ βαπτίσματος λαμβάνομεν· ὅπερ ἐν ἡμῖν μένον, ἀνεπίδεκτον τὸν νοῦν ἁμαρτίας ποιεῖ. Εἰ μή τις δὲ γεννηθῇ ἐκ τοῦ Θεοῦ, τὸ Πνεῦμα τὸ ἅγιον οὐ λαμβάνει.

Chrysostomi. Quoties peccamus, ex diabolo nascimur: et rursus ex Deo, quoties virtutem exercemus. Quoniam semen ipsius in eo manet. Semen dicit Spiritum sanctum quem per baptisma accipimus: qui in nobis manens, efficit ne mens nostra peccatum recipiat. Qui vero ex Deo natus non fuerit, Spiritum sanctum non accipit.

D

Ἄλλου. Σπέρμα θεῖόν ἐστιν ὁ Χριστὸς, ὃς ἐνοικῶν τοῖς πιστοῖς, ποιεῖ αὐτοὺς γενέσθαι υἱοὺς Θεοῦ. Οὕτως ἐν τῷ σπέρματι τοῦ Ἀβραὰμ, ὃς ἐστι πάλιν Χριστὸς, εὐλογοῦνται πάντα τὰ ἔθνη. Ἄλλως· Σπέρμα τὴν πρώτην γένειαν τοῦ ἀρχηγέτου, ἤτις ἐκ περιουσίας ἀρετῶν, φησὶν· ὃς ἀρχηγέτης οἱονεὶ ἐποχέτ υσιν τῇ αὐτοῦ φατρίᾳ τῶν ἐπαινετῶν δοὺς, οἷς καὶ αὐτὸς περιφανὲς ἔσχε, τούτοις καὶ τοῖς ἑαυτοῦ διαδόχοις ἐναβρύνεσθαι, εἰ μάλιστα ἀνεξαλείπτως τὰ πατρικὰ διατηροῖεν πλεονεκτήματα, ἅπερ οὐ τὴν

Alterius. Semen divinum est Christus, qui habitans in fidelibus, facit eos esse filios Dei. Sic in semine Abrahæ, **419** qui est Christus, benedicuntur omnes gentes: Aliter. Semen primam dicit auctoris progeniem quæ est ex abundantia virtutum, qui auctor velut irrigationem quamdam laudabilium actionum germini suo tribuens, efficit, ut quibus ipse claritatem habuit, iis et successores sui gloriari valeant, si maxime indeficienter paternas conservent prærogativas: quæ non vul-

[37] Rom. VI, 17. [38] Act. XIII, 10. [39] Galat. III, 8.

Digitized by Google

garem pariunt gloriam, sicut Judæis, quanquam indesinenter dicerent Christo : *Semen Abrahæ sumus*[40].

VERS. 11-14. *Quoniam hæc est annuntiatio quam audistis ab initio, ut diligatis alterutrum. Non sicut Cain, qui ex maligno erat et occidit fratrem suum. Et propter quid occidit? Quoniam opera ejus maligna erant, fratris autem justa. Nolite mirari, fratres, si odit vos mundus. Nos scimus quoniam translati sumus de morte ad vitam, quoniam diligimus fratres.* Malum odii in fratrem, exemplo patefacit. Videte, inquit, quomodo Cain odio habens fratrem, ipsum interfecit, tametsi frater ejus esset; quia habebat opera mala patris sui diaboli. At Abel justa operans declaratus est filius Dei. Opponitur scilicet diabolus Deo, et prava opera opponuntur bonis. Et ideo Cain cum esset contrarius fratri, ipsum interfecit. Sic enim se habet naturalis sermonis series. At beatus Joannes ordinem immutavit, semper ei quod urgentius est insistens. Urgens autem illi erat, ut, quoniam de diabolo iisque qui per pravas operationes adoptati ab ipso erant, mentionem fecerat, eum qui initio mundi malis operibus in filium maligni evaserat, in exemplum proponere. Ut vero a Cain, et ab iis qui ipsum imitantes, ejus hæreditatem sunt habituri, sese expedivit, tunc demum ad dilectionem revertitur.

VERS. 14-16. *Qui non diligit fratrem, manet in morte. Omnis qui odit fratrem suum, homicida est. Et scitis, quoniam omnis homicida non habet vitam æternam in semetipso manentem. In hoc cognovimus charitatem Dei, quoniam ille animam suam pro nobis posuit : et nos debemus pro fratribus animas ponere. Qui habuerit substantiam hujus mundi, et viderit fratrem suum necessitatem habere, et clauserit viscera sua ab eo : quomodo charitas Dei manet in eo? Filioli, non diligamus verbo, neque lingua, sed opere et veritate.* Absoluto sermone de Cain et de malis operibus quæ ei conformia sunt, iterum ad charitatem accedit et ait, charitatem erga nos impulisse Dominum ad animam seu vitam suam ponendam pro nobis : adeoque nos etiam exemplo **420** isto debere pro fratribus nostris animam ponere. Verum quoniam hoc rarum et in paucis est, velut pudore eos afficiens, a multo minoribus incipit adhortationem, nempe ad amorem fraternum; ita ferme sermonem suum concinnans : Quid dico, nos debere pro fratribus animam ponere, cum videamus plerosque ne quidem in necessariis indigentiæ fratrem prospicere velle? Et quidem non loquor de iis qui et ipsi inopia laborant, sed de iis qui adeo divites sunt, ut mundum ipsum possidere videantur. Quapropter eos pudeat, quoniam, si circa parva hæc, viscera sua clausunt, adeoque indignos se reddidere charitate Dei; quid fecissent circa majus

[40] Joan. VIII, 33.

A τυχοῦσαν εὔκλειαν προσπορίζει· καὶ Ἰουδαῖοι, εἰ καὶ διακένως, ὅμως ἔφασκον τῷ Χριστῷ· *Σπέρμα Ἀβραάμ ἐσμεν.*

Ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία, ἣν ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους· οὐ καθὼς Κάϊν ἐκ τοῦ Πονηροῦ ἦν, καὶ ἔσφαξε τὸν ἀδελφὸν αὐτοῦ. Καὶ χάριν τίνος ἔσφαξεν αὐτόν; Ὅτι τὰ ἔργα αὐτοῦ πονηρὰ ἦν, τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια. Μὴ θαυμάζετε, ἀδελφοί μου, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος. Ἡμεῖς οἴδαμεν, ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν, ὅτι ἀγαπῶμεν τοὺς ἀδελφούς. Τὸ τῆς ἀδελφομισίας κακὸν ὅσον, διὰ παραδείγματος βεβαιοῖ. Ὁρᾶτε γάρ, φησὶν, ὡς Κάϊν, καὶ αὐτὸς μισήσας τὸν ἀδελφὸν, ἀπέκτεινεν αὐτὸν, καίτοι γε ἀδελφὸν αὐτοῦ ὄντα, B ἀλλ' ἐπεὶ τὰ ἔργα τοῦ πατρὸς αὐτοῦ πονηρὰ ἔχων, τοῦ διαβόλου, ὁ δὲ Ἄβελ δίκαια ἐργαζόμενος, υἱὸς ἐχρημάτιζε τοῦ Θεοῦ. Ἀντίκειται δὲ καὶ ὁ διάβολος τῷ Θεῷ, καὶ τὰ πονηρὰ ἔργα τοῖς ἀγαθοῖς. Διὰ τοῦτο καὶ ὁ Κάϊν τῷ ἀδελφῷ ἀντικείμενος, ἀπέκτεινεν αὐτόν. Οὕτως ἡ κατὰ τὸ ἀκόλουθον τοῦ λόγου διέξοδος. Ὁ μέντοι μακάριος Ἰωάννης ἐνήλλαξε τὴν τάξιν, τοῦ κατεπείγοντος ἀεὶ γινόμενος. Κατήπειγε γὰρ αὐτὸν, ἐπεὶ τοῦ διαβόλου ἐμνήσθη, καὶ τῶν αὐτῷ διὰ πονηρᾶς πράξεως υἱοθετουμένων, τὸν ἐξ ἀρχῆς κόσμου διὰ τῶν πονηρῶν ἔργων εἰς τέκνον ἀποδραμόντα τοῦ Πονηροῦ, παράδειγμα προβαλέσθαι. Ἀπηλλαγμένος δὲ τοῦ Κάϊν, καὶ ὧν οἱ τοῦτον ζηλοῦντες κληρονομεῖν ἔχουσι, πάλιν ἀνατρέχει ἐπὶ ἀγάπην.

Ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν μένει ἐν τῷ θανάτῳ. Πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἀν- C *θρωποκτόνος ἐστί. Καὶ οἴδαμεν, ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν αὐτῷ μένουσαν. Ἐν τούτῳ γινώσκομεν τὴν ἀγάπην, ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκε· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς θεῖναι. Ὃς δ' ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου, καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα, καὶ κλείσει [vulg.-σῃ] τὰ σπλάγχνα αὐτοῦ ἀπ' αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ Θεοῦ μένει ἐν αὐτῷ; Τεκνία μου, μὴ ἀγαπῶμεν λόγῳ, μηδὲ τῇ γλώσσῃ, ἀλλ' ἐν ἔργῳ καὶ ἀληθείᾳ.* Ἀπηλλαγμένος τοῦ Κάϊν καὶ τῶν κατ' αὐτὸν πονηρῶν ἔργων, πάλιν ἀνατρέχει ἐπὶ τὴν ἀγάπην, καί φησιν, ὅτι ἡ ἀγάπη ὑπὲρ ἡμῶν ἔπεισε τὸν Κύριον θεῖναι τὴν ψυχὴν αὐτοῦ, καὶ ὅτι ἐκ τούτου τοῦ ὑποδείγματος ὀφείλομεν καὶ ἡμεῖς D ὑπὲρ τῶν ἀδελφῶν τὴν ψυχὴν θεῖναι. Καὶ ἐπειδὴ σπάνιον τοῦτο καὶ παρ' ὀλίγοις, ὥσπερ ἐντρέπων αὐτοὺς, ἀπὸ τῶν μετριωτέρων ἄρχεται τὴν παράκλησιν τῆς φιλαδελφίας ποιεῖσθαι, οὕτω πως τὸν λόγον οἰκονομῶν· Τί φημι τὴν ψυχὴν ὑπὲρ τοῦ ἀδελφοῦ τιθέναι, ὅπου ὁρῶμεν [μηδὲ] τὴν τῶν ἀναγκαίων χρείαν ἀναπληροῦντας τὴν τῶν ἀδελφῶν; Καὶ οὐ τοὺς βίου σπανίζοντας λέγω, ἀλλὰ καὶ τοὺς ὅλον τὸν κόσμον ὕπαρξιν ἔχοντας πλούτου. Διὰ τοῦτο αἰσχυνέσθωσαν, ὅτι, εἰ περὶ τὰ μικρὰ ταῦτα τὰ σπλάγχνα ἀπέκλεισαν, καὶ ἀναξίους ἀπέφηναν τῆς τοῦ Θεοῦ ἀγάπης· τί ἂν περὶ

Digitized by Google

τὸ μεῖζον, τὸ ὑπὲρ τοῦ ἀδελφοῦ ἀποθανεῖν, ἐπιδείξαντο; Εἶτα καὶ ἄλλο ἐντρεπτικὸν αὐτῶν ἐπιφέρει, τῶν ἀποδεχομένων μὲν ἐν λόγῳ τὴν ἀγάπην, καὶ ἐπιδεικνυμένων τῇ γλώσσῃ μόνῃ, [*f.* add. καὶ] φησί· *Μὴ ἀγαπῶμεν λόγῳ καὶ γλώσσῃ, ἀλλ' ἐν τῷ ἔργῳ καὶ τῇ ἀληθείᾳ.*

A illud, quod est pro fratre suo mortem sustinere? Deinde et aliud addit quod pudore suffundere valebat eos, qui verbo tenus servant charitatem, eamque sola lingua exercent: et ait: *Non diligamus verbo, neque lingua, sed opere et veritate.*

Καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν. — Καὶ ἐκ τούτου, ἐν τίνι; Ἐν τῷ μὴ λόγῳ τὸν ἀδελφὸν ἀγαπᾶν, ἀλλ' ἐν ἔργῳ καὶ ἀληθείᾳ. Καὶ τί γινώσκομεν; *Ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν.* Πῶς; Ὁ γὰρ ἄλλο μὲν ὁμολογῶν, ἄλλο δὲ ποιῶν, μὴ σύμφωνον ἔχων τῷ λόγῳ τὴν πρᾶξιν, ψεύστης ἐστὶ, καὶ οὐκ ἀληθής.

VERS. 19. *In hoc cognoscimus quoniam ex veritate sumus.* In hoc: nempe in eo quod fratrem diligimus non verbo tantum, sed opere et veritate. Sed quid cognoscimus? *Quoniam ex veritate sumus.* Qua ratione? Quia qui aliud dicit, et aliud facit, haud conformem verbis habens operationem, is non verax est, sed mendax.

Καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν [*vulg.* πείσομεν] *τὰς καρδίας ἡμῶν. Ὅτι ἐὰν καταγινώσκῃ ἡμῶν ἡ καρδία, ὅτι μείζων ἐστὶν ὁ Θεὸς τῆς καρδίας ἡμῶν, καὶ γινώσκει πάντα. Ἀγαπητοὶ, ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν Θεόν. Καὶ ὃ ἐὰν αἰτῶμεν, λαμβάνομεν παρ' αὐτοῦ· ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν* [*vulg.* τηροῦμεν], *καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν.* Τοῦτό φησιν, ὅτι Διὰ τοῦ ἀληθεύειν (ἀληθεύσομεν δὲ, ὅταν κατὰ τοὺς λόγους καὶ τὰ ἔργα ἡμῶν προβαίνῃ) πείσομεν τὴν συνείδησιν ἡμῶν. Τοῦτο γὰρ βούλεται σημαίνειν διὰ τῆς καρδίας. Καὶ πῶς πείσομεν; Τοῦτο καθ' ἑαυτοὺς θέμενοι, ὡς ὑπὸ Θεῷ μάρτυρι ποιούμεθα τοὺς λόγους. Τὸ γὰρ, *ἔμπροσθεν*, τοῦτο σημαίνει. Ἐὰν γὰρ, φησὶ, μὴ οὕτω ποιήσωμεν, ἀλλ' ἡ συνείδησις, ἤτοι ἡ καρδία ἡμῶν, καταγινώσκῃ ἡμῶν, οὐ λανθάνομεν ἁμαρτάνοντες. Εἰ γὰρ τὴν συνείδησιν ἡμῶν βραχεῖαν οὖσαν, ὡς ἐκ βραχέος [*f.*—χέος] ζώου, οὐ λανθάνομεν ἐν τῷ ἁμαρτάνειν· πολλῷ μᾶλλον τὸν ἀπεριόριστον καὶ πανταχοῦ παρόντα Θεὸν οὐκ ἂν λάθοιμεν. Ἔστιν οὖν ὁ λόγος τοιοῦτος· Τεκνία, μὴ ψευδώμεθα εἰς ἀλλήλους, ἐν τῷ τῇ γλώσσῃ μόνῃ ἀγαπᾶν, ἀλλὰ καὶ ἔργῳ τὴν ἀγάπην ἐπιδεικνύωμεν· ἐν τούτῳ γὰρ γνωσόμεθα ὅτι ἐκ τῆς ἀληθείας, τοῦτ' ἔστιν ἐκ τοῦ Θεοῦ, ἐσμέν· καὶ ὃ λέγομεν, ὡς τοῦ Θεοῦ ἐπισκοποῦντος λέγωμεν· οὐκ ἂν δέ τις ἀνάσχοιτο, κἂν εἰ τῶν δαιμόνων ἀναιδέστερος ᾖ, ὑπὸ Θεῷ μάρτυρι ψεύσασθαι. Εἰ γὰρ μὴ οὕτω ποιήσομεν, ἀλλὰ λεγόντων ἡμῶν ἀγαπᾶν, ἡ καρδία ἡμῶν καταγινώσκει ἡμῶν ψεύδους, ἁμαρτάνομεν. Πῶς; Οἰόμενοι λανθάνειν τὸν πανταχοῦ παρόντα Θεόν. Οὕτω; οὖν, ἀγαπητοὶ, φησὶ, παρεσκευακότες ἑαυτοὺς, ἀκαταγνώστους ἑαυτοὺς ἡμῖν αὐτοῖς ἐν τῷ πρὸς ἀλλήλους δηλονότι ἀληθεύειν, παῤῥησίαν [*f.* — σίας] εὐπορήσομεν πρὸς τὸν Θεὸν, ἀφ' ἧς παῤῥησίας, καὶ ὃ ἐὰν αἰτήσωμεν, πάντως ληψόμεθα παρ' αὐτοῦ. Διὰ τί; Ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν. Μέγιστον γὰρ εἰς ὑπακοὴν ἐκκαλέσασθαι τὸν αἰτούμενον, ἡ παρὰ τῶν αἰτούντων εὐπείθεια, ὅταν ἀναμφιβόλως πρὸς ὃν ἡ αἴτησις γίνεται. Ἐπεὶ οὖν καὶ ἡμεῖς τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν, καὶ τὰ ἀρεστὰ αὐτῷ ποιοῦμεν, θαῤῥῶμεν ὡς οὐχ ἁμάρτωμεν τῶν αἰτήσεων, ἀντι[δίδοσθαι φιλούσης] τῆς παρ' ἀμφοῖν ἀκριβοῦς διαθέσεως ἀνυπερθέτως [τῷ] πρὸς τὴν χρείαν θατέρου

VERS. 19-22. *Et in conspectu ejus suadebimus corda nostra. Quoniam, si reprehenderit nos cor nostrum, major est Deus corde nostro, et novit omnia. Charissimi, si cor nostrum non reprehenderit nos, fiduciam habemus ad Deum: et quidquid petierimus, accipiemus ab eo: quoniam mandata ejus custodimus, et ea quæ sunt placita coram eo facimus.* Hoc ait, quia, Si veraces erimus (veraces vero erimus, si verbis conformia opera fuerint), suadebimus conscientiam nostram: hanc enim significat per *corda*. Et quomodo suadebimus? Hoc apud nos statuentes, quod sub Dei testimonio verba proferimus. (Hoc enim significat illud: *in conspectu ejus.*) Si enim, inquit, non ita fecerimus, sed cor nostrum, seu conscientia nostra, nos reprehendit, non latebit ipsam nos peccare. Si vero conscientiæ nostræ, quæ adeo, utpote ex pravo animali, brevis est, occulti esse non possumus, cum peccamus, quanto magis incircumscriptum et ubique præsentem Deum non latebimus? Talis igitur est hujus sermonis tenor: Filioli, ne mentiamur ad invicem, lingua tantum amantes, sed etiam opere dilectionem nostram ostendamus. Per hoc enim cognoscemus, quoniam ex veritate, hoc est, ex Deo sumus, et quod dicimus tanquam Deo inspectore dicamus: neque enim quisquam, etiamsi dæmonibus sit impudentior, ferre posset, ut coram Deo mentiretur. Si enim non ita fecerimus, **421** sed dicentibus nobis, quod diligamus, cor nostrum nos mendaci coarguerit, erramus. Quomodo? Putantes, nos latere Deum, qui ubique præsens est. Igitur, charissimi, inquit, tales nosmetipsos exhibentes, ut a nobis ipsis argui non possimus, de eo scilicet, quod veraces non simus ad invicem, confidentiam habebimus ad Deum: qua confidentia quidquid postulaverimus, ab eo impetrabimus. Quare? Quia videlicet præceptis ejus obtemperamus. Maxime enim ad impetrationem confert obedientia postulantis: dummodo tamen absque dubitatione postulatio fiat. Quoniam igitur nos mandata ejus custodimus, et ea, quæ sunt placita coram eo, facimus, confidamus, fore, ut petitionibus nostris non fraudemur: quandoquidem sincera affectio quæ inter duos est, rependere solet id quod in alterius

Digitized by Google

commodum cedit. At quodnam ejus præceptum custodimus? Nempe illud [41] : *Dilectionem habete ad invicem.* »

VERS. 23. *Et hoc est mandatum ejus, ut credamus in nomine Filii ejus Jesu Christi.* Illud *hoc* causaliter hic accipiendum, ut sic se habeat : Quoniam mandatum ejus est, ut credamus. Quoniam, inquit, mandatum habemus, ut fide in nomine Jesu Christi Filii ejus nos mutuo diligamus, idque jam fecimus : inde cognoscimus, firmatam in nobis esse gratiam, quæ est ex Spiritu ejus quem dedit nobis. Sciendum vero, in multis sacræ Scripturæ locis reperiri hoc : credere in nomine Domini nostri. Quid vero significat nomen? Non aliud profecto, nisi voluntatem, gloriam et honorem. Gloriam quidem et honorem, ut in eo : « *Admirabile est nomen tuum in universa terra* [42]. » Voluntatem autem, ut hic, et ubi dicitur [43] : *Pœnitentiam agite, et baptizetur unusquisque vestrum in nomine Domini Jesu*, id est in voluntate. Quænam est autem ejusmodi voluntas? Nempe, ut baptizentur omnes gentes in nomine Patris, et Filii, et Spiritus sancti [44].

VERS. 23 24. *Et diligamus alterutrum, sicut dedit mandatum nobis. Et qui servat mandata ejus, in illo manet, et ipse in eo : et in hoc scimus, quoniam manet in nobis, de Spiritu quem dedit nobis.* Hoc est, Mandavit, ut sincera affectione nos mutuo diligamus. At ubinam hoc præcepit? Scilicet, ubi dixit [45] : *Prout vultis, ut faciant vobis homines, et vos facite illis.* Si igitur gratum nobis est, ut alii erga nos bene et sincere affecti sint, eodem omnino modo etiam nos erga illos affecti simus oportet. Verum si tale est præceptum Domini, multo magis nobis in ipso manentibus, et ipse se nobis præbebit : non enim negare potest semetipsum ; hoc est : non enim deprehendi potest inaniter nobis præcepta sua dedisse; cum eadem ipse prior impleverit. **422** Quod si ita est, profecto si, quæ ille jubet, fecerimus, omnino etiam nos ipsum in iis obsequentem habebimus, quæ ab eo postulabimus, et donum ipsius firmum in nobis erit. Integer autem sensus ita se habet : Ut credamus in nomine Filii ejus Jesu Christi, et nos mutuo sincere diligamus, sicut ipse præcepit. Qui enim præceptis ejus obtemperat, in ipso manet, et ipse in eo. Cognoscimus vero, eum in nobis manere, ex Spiritu, seu ex dono, quod nobis dedit. Inviolato enim eo permanente, donum ipsius auferri a nobis nullatenus potest. Quomodo vero inviolatum permanebit? Si nihil eorum, quæ ipse nobis de dilectione præcepit, negligamus.

CAPUT IV.

VERS. 1, 2. *Charissimi, nolite omni spiritui credere, sed probate spiritus, si ex Deo sint : quoniam multi pseudoprophetæ exierunt in mundum. In hoc*

ἤκοντι. Καὶ ποίαν ἐντολὴν αὐτοῦ ἐφυλάξαμεν ; Τὴν λέγουσαν · Ἀγάπην ἔχετε ἐν ἀλλήλοις.

Καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύωμεν τῷ ὀνόματι τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ. — Τὸ, αὕτη, αἰτιολογικῶς ἀκουστέον · ἵνα ᾖ · Διότι ἡ ἐντολὴ αὐτοῦ ἐστι πιστεύειν. Ἐπεὶ, φησὶν, ἔχομεν ἐντολὴν, ἵνα τῇ πίστει ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ αὐτοῦ ἀγαπῶμεν ἀλλήλους, καὶ τοῦτο πεποιήκαμεν, ἐκ τούτου γινώσκομεν, ὅτι ἥδρασται ἐν ἡμῖν ἡ ἐκ τοῦ Πνεύματος αὐτοῦ χάρις, οὗ ἔδωκεν ἡμῖν. Ἰστέον δὲ ὅτι πολλαχοῦ τῆς Γραφῆς τὸ, ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν πιστεύειν, κεῖται. Τί δὲ τοῦτο σημαίνει ; Οὐκ ἄλλο πάντως, ἢ τὴν βούλησιν, τὴν δόξαν, τὴν εὐκλειαν. Τὴν δόξαν μὲν καὶ τὴν εὐκλειαν, ὡς ἐν τῷ, *Θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ* · τὴν βούλησιν δὲ, ὡς ἐνταῦθα, καὶ ἐν τῷ, *Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ*, ἀντὶ τοῦ, ἐν τῇ βουλῇ. Τί; δὲ ἡ [τοῦ Κυρίου Ἰησοῦ] βουλή ; Βαπτίζειν πάντα τὰ ἔθνη εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ ἁγίου Πνεύματος.

Καὶ ἀγαπῶμεν ἀλλήλους, καθὼς ἐντολὴν ἔδωκεν ἡμῖν. Καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ, ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ · καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ Πνεύματος οὗ ἔδωκεν ἡμῖν. Ἀντὶ τοῦ Ἀληθινῇ φησι διαθέσει ἀγαπᾷν ἀλλήλους. Καὶ ποῦ τοῦτο ; Ἐν ᾧ λέγει · *Καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ὁμοίως ποιεῖτε αὐτοῖς.* Εἰ οὖν τοὺς πλησίον ἡμῶν ἀγαπῶμεν ἀληθινῶς καὶ ἀδόλως πρὸς ἡμᾶς διακεῖσθαι, ὡσαύτως πάντως καὶ ἡμεῖς διατεθείημεν πρὸς αὐτούς. Ἀλλ' εἰ ἐντολὴ τοῦτο τοῦ Κυρίου, πολλῷ μᾶλλον ἡμῶν ἐν αὐτῷ μενόντων, καὶ αὐτὸς ἡμῖν ἑαυτὸν παρέξει · ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται, τοῦτ' ἔστιν, οὐκ ἐπὶ διακένοις ληφθείη τὰς ἐντολὰς αὐτοῦ ἡμῖν ἐπιχορηγῶν [ἀλλ' ἐν ἑαυτῷ πρώτως ταῦτα βεβαιώσαιτο]. Εἰ δὲ τοῦτο, πάντως, εἰ ἃ ἐντέλλεται ποιῶμεν, ἕξομεν αὐτὸν ὑπήκοον καὶ ἡμεῖς, ἐν οἷς ἂν αὐτὸν αἰτῶμεν, καὶ τὸ χάρισμα αὐτοῦ βέβαιον ἐν ἡμῖν. [Ὁ δὲ ὅλος νοῦς] ἔστιν οὕτως · Ἵνα πιστεύωμεν τῷ ὀνόματι τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἀγαπῶμεν ἀλλήλους ἀληθινῶς, ὡς ἡ ἐντολὴ αὐτοῦ. Ὁ γὰρ τηρῶν τὰς ἐντολὰς αὐτοῦ, ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ. Ἐκ τούτου δὲ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ Πνεύματος, ἤτοι τοῦ χαρίσματος, οὗ ἡμῖν ἔδωκεν. Ἀσύλου γὰρ τούτου μένοντος ἀναντίῤῥητον ἔχομεν τὸ ἀναφαίρετον τῆς δόσεως αὐτοῦ. Πῶς δὲ ἄσυλον ἔσται ; Ἐν τῷ μηδὲν ἡμᾶς παραβλάπτειν ἐξ ὀλιγωρίας ὧν ἐνετείλατο ἡμῖν περὶ ἀγάπης.

ΚΕΦΑΛ. Δ'.

Ἀγαπητοὶ, *μὴ παντὶ πνεύματι πιστεύητε* [vulg. πιστεύετε], *ἀλλὰ δοκιμάζετε τὰ πνεύματα εἰ ἐκ τοῦ Θεοῦ ἐστιν · ὅτι πολλοὶ ψευδοπροφῆται ἐξ-*

[41] Joan. XIII, 35. [42] Psal. VIII, 1. [43] Act. II, 38. [44] Matth. XXVIII, 19. [45] Luc. VI, 31.

Digitized by Google

εληλύθασιν εἰς τὸν κόσμον. Ἐν τούτῳ γινώσκεται τὸ Πνεῦμα τοῦ Θεοῦ· Πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστιν. Διελθὼν τὸν περὶ τῆς ἀγάπης εἰς τὸν πλησίον λόγον, καὶ ταύτην εἶναι γνώρισμα ἀποφηνάμενος τῆς τοῦ Πνεύματος διαμονῆς, οὗ ἐλάβομεν, νῦν ἐπιφέρει καὶ διάκρισιν τῶν ὄντως ἀδελφῶν, καὶ τῶν πλησίον· ἵνα ταύτην ἔχοντες, μὴ διὰ τὴν ἐντολὴν, τὴν περὶ τῆς ἀγάπης, περιπίπτωμεν τοῖς ψευδαδέλφοις, καὶ ψευδαποστόλοις, καὶ ψευδοπροφήταις [μείζονα ἑαυτοῖς βλάβην ἐκ τούτου πορίζοντες]. Ὡς γὰρ ὁμοτρόποις προσφυόμενοι, πρῶτον μὲν ἑαυτοὺς βλάψομεν, ἀσεβέσιν ἀνυποστόλως τοῦ λόγου κοινωνοῦντες τῆς πίστεως, καὶ τὰ ἅγια τοῖς κυσὶ παραθέμενοι [*f.* παρατιθ.], ἔπειτα καὶ τοὺς ἡμῖν προσανέχοντας. Ἡ γὰρ πρὸς αὐτοὺς ἡμῶν ἀγάπη, πολλοὺς πείσει λαμβάνειν αὐτοὺς διδασκάλους, καὶ πιστεύειν τοῖς ὑπ' αὐτῶν λεγομένοις ἀφυλάκτως ἐκ τῆς μεθ' ἡμῶν κλεπτομένους αὐτῶν συναναστροφῆς. Καὶ τί τὸ γνώρισμα τούτων, ἀλλ' ἢ τοῦτο; φησί· Πᾶν πνεῦμα, ἤτοι προφητείας ἀξίωμα, ἢ ἀποστολῆς, ὃ ὁμολογεῖ Κύριον Ἰησοῦν ἐν σαρκὶ ἐληλυθέναι, ἐκ τοῦ Θεοῦ ἐστιν· ὃ δὲ τοῦτο μὴ ὁμολογῇ, οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ἀλλὰ τὸ ἀξίωμα τούτου ἐκ τοῦ Ἀντιχρίστου ἐστὶν ὃ ἀκηκόατε. Πότε; Ἐξ οὗ πρὸ μικροῦ ἔλεγεν, ὅτι Πολλοὶ Ἀντίχριστοι ἐν τῷ κόσμῳ, τοῦτ' ἔστιν οἱ πρόδρομοι τοῦ Ἀντιχρίστου. Τὴν δὲ ὁμολογίαν τῆς τοῦ Χριστοῦ ἐν σαρκὶ παρουσίας οὐχὶ γλώσσῃ φησὶ γίνεσθαι, ἀλλὰ τοῖς ἔργοις, ὡς ὁ μακάριος Παῦλός φησι· *Πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ὑμῶν* [*vulg* ἡμ.] *φανερωθῇ*. Ὃς οὖν ἐνεργὸν ἔχει τὸν Ἰησοῦν, καὶ τῷ κόσμῳ ἀπέθανε, καὶ οὐκέτι τῷ κόσμῳ ζῇ, ἀλλὰ τῷ Χριστῷ, καὶ περιφέρει τοῦτον, οὐκ ἐν τῇ τοῦ Χριστοῦ μόνον σαρκὶ, ἀλλὰ καὶ ἐν τῇ ἑαυτοῦ, οὗτος ἐκ τοῦ Θεοῦ ἐστιν. Ὃς δὲ οὐχὶ Χριστῷ ζῇ, ἀλλ' ἑαυτῷ καὶ τῷ κόσμῳ, τοῦτ' ἔστι ταῖς ἡδυπαθείαις τοῦ κόσμου, ὁ τοιοῦτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ. Διὸ καὶ Παῦλος πάλιν φησί· *Ὅπου γε ἐν ὑμῖν ἔριδες καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε καὶ κατὰ ἄνθρωπον περιπατεῖτε*; Ὁ δὲ κατὰ ἄνθρωπον περιπατῶν Πνεῦμα Χριστοῦ οὐκ ἔχει· ὁ δὲ Χριστοῦ Πνεῦμα μὴ ἔχων, τοῦτ' ἔστιν, ὁ μὴ κατὰ Χριστὸν ζῶν, οὐκ ἔστιν οὗτος τοῦ Χριστοῦ.

Καὶ πᾶν πνεῦμα, ὃ μὴ ὁμολογῇ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ οὐκ ἔστι· καὶ τοῦτό ἐστι τὸ τοῦ Ἀντιχρίστου, ὃ ἀκηκόατε ὅτι ἔρχεται, καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη. — Ἐν τῷ κόσμῳ εἶναι τὸν Ἀντίχριστον ἤδη φησὶν, οὐ σωματικῶς, ἀλλὰ διὰ τῶν προοδοποιούντων αὐτοῦ τὴν παρουσίαν ψευδοπροφητῶν, καὶ ψευδαποστόλων, καὶ αἱρεσιωτῶν. Οὗτος δὲ ὁ Ἀντίχριστος, ἄνθρωπος τὸν Σατανᾶν περιφέρων ἔσται, ὑπεραιρόμενος ὑπὲρ πάντα [λεγόμενον] Θεὸν ἢ σέβασμα. Διὸ καὶ τὰ εἴδωλα σέβειν ἀθετήσει (οὓς θεοὺς λεγομένους ἐσήμανε· διὰ δὲ τοῦ, *σέβασμα*, τὸν Χρι-

A *cognoscitur Spiritus Dei : Omnis spiritus qui confitetur Jesum Christum in carne venisse, ex Deo est.* Absoluto sermone de charitate, cum hanc edixisset esse certum indicium permanentis in nobis Spiritus quem accepimus, nunc subjungit proprium eorum, qui vere sunt fratres et proximi, characterem : ne occasione præcepti charitatis, in falsos fratres, pseudoapostolos et pseudoprophetas incidamus, indeque magnum nocumentum reportemus. Quandoquidem iis, velut si ejusdem nobiscum essent moris, adhærentes, primum quidem valde officeremus nobis, impiis verbum communicantes, et sancta dantes canibus; deinde aliis quoque, qui nobiscum versantur, damnum inferremus; nostra enim ad ipsos dilectio multos persuaderet,
B ut eos sibi magistros asciscerent, et incaute seducti ex ea, quam nobiscum habent, conversatione cuncta quæ ab iis dicuntur, crederent. At quodnam est horum indicium? Hoc scilicet, ait : Omnis spiritus, seu omnis propheta, vel apostolus, qui confitetur Dominum Jesum in carne venisse, ex Deo est. Qui autem hoc non confitetur, non est ex Deo, sed ex Antichristo, de quo audistis. Quando? Cum paulo ante dixit, quoniam Multi in mundo sunt Antechristi, hoc est, præcursores Antichristi. At vero confessionem adventus Christi in carne non lingua faciendam ait, sed operibus; quemadmodum et beatus Paulus dicit [46] : *Semper mortificationem Jesu in corpore nostro circumferentes, ut*
C *et vita Jesu manifestetur in corporibus nostris.* Qui igitur habet in se operantem Jesum Christum, et mundo mortuus est, et non amplius huic mundo vivit, sed Christo, et hunc circumfert non tantum in carne propria Christi, **423** sed etiam in sua ipsius carne, hic ex Deo est. Qui autem non Christo, sed sibiipsi, et mundo, seu mundi deliciis vivit, iste non est ex Deo. Quapropter Paulus rursus ait [47] : *Cum sit inter vos zelus et contentio, nonne carnales estis, et secundum hominem ambulatis?* Qui autem secundum hominem ambulat, Spiritum Christi non habet. Qui autem Spiritum Christi non habet, hoc est, qui secundum Christum non vivit, hic non est Christi.

D

Vers. 3. *Et omnis spiritus qui non confitetur Jesum in carne venisse, ex Deo non est : et hic est Antichristus, de quo audistis, quoniam venit, et nunc jam in mundo est.* In mundo jam esse Antichristum ait, non quidem per propriam personam, sed per eos, qui ipsi viam parant : nempe per pseudoprophetas, pseudoapostolos et hæreticos. Hic autem Antichristus homo erit Satanam quaquaversum circumferens, qui sese extollet supra omne quod dicitur Deus, aut, quod colitur [48] : et ideirco idola colere dedignabitur (quæ per deos dictos significavit apostolus; sicut per id quod

[46] II Cor. IV, 10. [47] I Cor. III, 3. [48] II Thess. II, 4.

Digitized by Google

colitur, seu per *numen* Christianismum intelligit), et se solum Deum esse ostendere conabitur.

VERS. 4-5. *Vos ex Deo estis, filioli, et vicistis eos, quoniam major est, qui in vobis est, quam qui in mundo. Ipsi de mundo sunt : ideo de mundo loquuntur, et mundus eos audit. Nos ex Deo sumus. Qui novit Deum, audit nos : qui non est ex Deo, non audit nos.* Postquam notos fecit veros prophetas et apostolos, subdit : Vos autem, cum ex Deo sitis, filioli, vicistis eos, nempe pseudoprophetas. Quomodo ? Quoniam in vobis Deus major est, quam qui in mundo, secundum quem pseudoprophetæ vivere elegerunt. Deinde aliud etiam addit pseudoprophetarum indicium, quod maxime etiam simpliciores fideles contristabat. Verisimile enim est, horum nonnullos ægre tulisse, cum cernerent, illos quidem passim summo in pretio, sese autem despectui haberi. Unde ait : Nolite contristari, si vulgus vos quidem despicit, illos autem suspicit : ad simile enim simile tendit. Ipsi namque de mundo loquentes, hoc est, docentes secundum desideria carnis, mundanos habent obsequentes : perversi scilicet perversos. Nos autem, ut qui ex Deo et a concupiscentiis mundi alieni sumus, ipsis grati acceptique esse non possumus. Audit vero nos, qui temperanter vivit, et per hoc Deum cognoscens, promptus est ad nobis præbendum auditum. Quod et Christus ait : *Qui habet aures audiendi, audiat :* docens, eum qui ad obediendum est paratus, etiam aures ad audiendum habere [49]. Cætera ex ipsis manifesta.

VERS. 6-10. **424** *In hoc cognoscimus Spiritum veritatis, et spiritum erroris. Charissimi, diligamus nos invicem : quia charitas ex Deo est. Et omnis qui diligit, ex Deo natus est, et cognoscit Deum. Qui non diligit, non novit Deum, quoniam Deus charitas est. In hoc apparuit charitas Dei in nobis, quoniam Filium suum unigenitum misit Deus in mundum, ut vivamus per eum. In hoc est charitas : non quasi nos dilexerimus Deum, sed quoniam ipse prior dilexit nos, et misit Filium suum propitiationem pro peccatis nostris.* Distinctis hucusque, quos complecti et quos rejicere debemus, subjungit de reliquo tanquam obsignationem eorum quæ dixit, quod ex hoc cognoscamus et eos qui spiritum veritatis, et eos qui habent spiritum seductionis, falsæ scilicet prophetiæ : ac iterum repetit sermonem de charitate. Cumque ostendisset quosnam oporteat diligere, videlicet, qui similibus gaudent moribus, inhæret de reliquo iis, quæ a principio dixerat, asserens ex Deo esse et dilectionem et diligentem : et quidem eum tantum, qui diligit, ex Deo natum esse, eumque cognoscere : eum autem qui charitatem non habet, Deum non cognoscere. Quomodo autem is, qui non diligit, Deum non cognoscat, astruit in hunc modum :

στιανισμὸν), καὶ ἑαυτὸν μόνον ἀποφαίνειν ἐπιχειρήσει Θεόν.

Ὑμεῖς ἐκ τοῦ Θεοῦ ἐστε, τεκνία, καὶ νενικήκατε αὐτούς, ὅτι μείζων ἐστὶν ὁ ἐν ὑμῖν, ἢ ὁ ἐν τῷ κόσμῳ. Αὐτοὶ ἐκ τοῦ κόσμου εἰσὶ, διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσι, καὶ ὁ κόσμος αὐτῶν ἀκούει. Ἡμεῖς ἐκ τοῦ Θεοῦ ἐσμεν. Ὁ γινώσκων τὸν Θεὸν, ἀκούει ἡμῶν. Ὃς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, οὐκ ἀκούει ἡμῶν. Διὰ τῶν προεφοδευομένων γνωρίσας τοὺς τοῦ Κυρίου προφήτας καὶ ἀποστόλους, ἐπιφέρει· Ὑμεῖς δὲ ἐκ τοῦ Θεοῦ ὄντες, τεκνία, νενικήκατε αὐτούς, ἤτοι τοὺς ψευδοπροφήτας. Πῶς; Ὅτι ὁ ἐν ὑμῖν Θεὸς μείζων ἐστὶν, ἢ ὁ ἐν τῷ κόσμῳ, καθ' ὃν οἱ ψευδοπροφῆται ζῆν εἵλοντο. Εἶτα τούτοις ἐπιφέρει καὶ ἕτερον γνώρισμα τῶν ψευδοπροφητῶν, ὃ μάλιστα καὶ τοὺς ἁπλουστέρους τῶν πιστῶν ἐλύπει. Εἰκὸς γάρ τινας τούτων καὶ ἀσχάλλειν ὁρῶντας ἐκείνους μὲν τοῖς πολλοῖς περισπουδάστους, ἑαυτοὺς δὲ καταφρονουμένους. Καί φησι· Μὴ λυπεῖσθε, εἰ ὑπὸ πολλῶν καταφρονεῖσθε ὑμεῖς, ἐκεῖνοι δὲ ὑπὸ τούτων προσλαμβάνονται· τῷ γὰρ ὁμοίῳ τὸ ὅμοιον προστρέχει. Αὐτοὶ ἐκ τοῦ κόσμου [εἰσὶ, καὶ ἐκ τοῦ κόσμου] λαλοῦντες, τοῦτ' ἔστι κατὰ τὰς σαρκικὰς ἐπιθυμίας διδάσκοντες, ἔχουσιν αὐτοὺς κατηκόους, ἐνδιάστροφοι ἐνδιαστρόφους. Ἡμεῖς δὲ, ἅτε ἐκ τοῦ Θεοῦ ὄντες, καὶ τῶν τοῦ κόσμου ἐπιθυμιῶν ἠλλοτριωμένοι, ἀπαράδεκτοι αὐτοῖς κατιστάμεθα. Ἀκούει δὲ ἡμῶν ἐκεῖνος ὁ σωφρόνως ζῶν, καὶ διὰ τοῦτο τὸν Θεὸν ἐπιγνώσκων, ἕτοιμος ὑπέχειν τὴν ἀκοήν· ὃ καὶ ὁ Χριστός φησιν· *Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω·* τὸν πρὸς εὐπείθειαν παρεσκευασμένον ἐκείνῳ προσμαρτυρῶν καὶ τὰ [*f.* τὸ] ὦτα ἔχειν.

Ἐκ τούτου γινώσκομεν τὸ Πνεῦμα τῆς ἀληθείας, καὶ τὸ πνεῦμα τῆς πλάνης. Ἀγαπητοὶ, ἀγαπῶμεν ἀλλήλους· ὅτι ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστι· Καὶ πᾶς ὁ ἀγαπῶν, ἐκ τοῦ Θεοῦ γεγέννηται, καὶ γινώσκει τὸν Θεόν. Ὁ μὴ ἀγαπῶν, οὐκ ἔγνω τὸν Θεὸν, ὅτι ὁ Θεὸς ἀγάπη ἐστίν. Ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ Θεοῦ ἐν ἡμῖν, ὅτι τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἀπέσταλκεν ὁ Θεὸς εἰς τὸν κόσμον, ἵνα ζήσωμεν δι' αὐτοῦ. Ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν τὸν Θεὸν, ἀλλ' ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς, καὶ ἀπέστειλε τὸν Υἱὸν αὐτοῦ ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν. — Διαστειλάμενος τοῖς ἤδη λεχθεῖσιν αὐτῷ ὧν ἀντέχεσθαι χρὴ, καὶ ὧν μὴ, ἐπιφέρει λοιπὸν ὡς ἐπισφράγισμα τῶν εἰρημένων, ὅτι ἐκ τούτου γινώσκομεν τοὺς τὸ Πνεῦμα τῆς ἀληθείας ἔχοντας, καὶ τὸ πλάνον πνεῦμα τὸ τῆς ψευδοπροφητείας. Καὶ μετὰ ταῦτα ἀναλαμβάνει πάλιν τὸν περὶ ἀγάπης λόγον. Δείξας γὰρ τίνας χρὴ ἀγαπᾶν, ὅτι τοὺς ὁμοιοτρόπους, ἔχεται λοιπὸν τῶν ἐξ ἀρχῆς, ἐκ τοῦ Θεοῦ εἶναι λέγων καὶ τὴν ἀγάπην καὶ τὸν ἀγαπῶντα τοῦτον καὶ [*f.* δὲ] μόνον τὸν ἀγαπῶντα, ἐκ τοῦ Θεοῦ γεγεννῆσθαι, καὶ ἐπιγινώσκειν τὸν Θεὸν, τὸν δὲ μὴ ἔχοντα τὴν ἀγάπην καὶ τὸν Θεὸν ἀγνοεῖν. Πῶς δὲ ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω τὸν Θεὸν, κατασκευάζει οὕ-

[49] Matth. xi, 15.

Digitized by Google

τω. Ὁ Θεὸς ἀγάπη ἐστί. Πόθεν δῆλον; Ἀφ' οὗ A ἀπέστειλε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ εἰς τὸν κόσμον, ἵνα τὴν ὄντως ζωὴν παράσχῃ ἡμῖν, καὶ ζήσωμεν δι' αὐτοῦ. Ὥσπερ γὰρ ἀγαθότης λέγεται, ὅτι δι' ἀγαθότητα ὑπέστησε τὸν νοητὸν κόσμον καὶ τὸν αἰσθητόν· οὕτω καὶ δι' ἀγάπην τὴν εἰς ἡμᾶς δοὺς τὸν μονογενῆ Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἔδειξε καὶ διὰ τούτου ὅτι ἀγάπη ἐστί. Διὸ καὶ αὐτὸς ἐπιφέρει· *Ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη* [ἀντὶ τοῦ, ἐν τούτῳ δείκνυται, ὅτι ἀγάπη ἐστὶν ὁ Θεός]. Εἶτα ἐξαίρων τὸ τῆς τοῦ Θεοῦ ἀγάπης καλὸν, φησίν· Οὐχ ὅτι ἡμεῖς ἠγαπῶμεν αὐτὸν, τοῦτο ἐποίησεν ὁ Θεὸς, τὸν ἑαυτοῦ Υἱὸν ὑπὲρ ἡμῶν δοὺς, ἀλλὰ προκατάρχων τῆς εἰς ἡμᾶς εὐεργεσίας δι' ἀγάπης, ἀπέστειλε τὸν Υἱὸν αὐτοῦ· καὶ οὐ μόνον ἀπέστειλεν, ἀλλὰ καὶ ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν διὰ τοῦ ἰδίου αἵματος ἡμῶν ἱλάσασθαι. B Εἰ οὖν οὕτω, φησὶν, ἠγάπησεν ἡμᾶς ὁ Θεὸς, καίτοι μηδὲν ἡμῶν εἰς φύσιν αὐτῷ κοινωνούντων· πολλῷ μᾶλλον πλέον ὀφείλομεν καὶ ἡμεῖς τοὺς συγγενεῖς ἡμῶν ἀγαπᾶν, καὶ γνόντας τὸ ἀπὸ τῆς ἀγάπης καλὸν καὶ ἄλλοις τοῦτο διακονεῖν. Ὥσπερ γὰρ ἔγκλημα τῷ μὴ αἱρουμένῳ τὸ αἱρετὸν, οὕτως ἔπαινον περιποιεῖ τοῖς ἀγαπῶσι τοὺς ἀξίους ἀγάπης, διὰ τὸ εἶναι ἀγαπητούς. Οὕτω δὲ διατεθέντες ἔχομεν ἀμφότερα, καὶ τὸ ἀγαπητοὶ, διὰ τὸ ὑπὸ Θεοῦ ἀγαπᾶσθαι καὶ προσλῃφθῆναι ὑπ' αὐτοῦ, καὶ τὸ ἀγαπητικοὶ, διὰ τῆς πρὸς τοὺς πλησίον ἀγάπης.

Ἀγαπητοὶ, εἰ ὁ Θεὸς οὕτως ἠγάπησεν ἡμᾶς καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν. Θεὸν οὐδεὶς πώποτε τεθέαται. Ἐὰν γὰρ ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη C *αὐτοῦ ἐν ἡμῖν τετελειωμένη ἐστίν. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν, ὅτι ὁ Πατὴρ ἀπέσταλκε τὸν Υἱὸν Σωτῆρα τοῦ κόσμου.*— Εἴπομεν καὶ πρὸ τούτου, ὡς ἔθος τῷ μακαρίῳ τούτῳ, τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἀναλαμβάνειν. Κατὰ ταύτην καὶ νῦν τὴν ἀγωγὴν χρώμενος τῷ λόγῳ, φησί· *Θεὸν οὐδεὶς πώποτε τεθέαται.* Ἐπεὶ γὰρ περὶ τῆς ἀγάπης τῆς τῶν ἀδελφῶν ποιούμενος τὸν λόγον, τὸν Θεὸν εἰς ὑπόδειγμα προήγαγε, δόντα τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ διὰ τὴν περὶ ἡμᾶς ἀγάπην εἰς θάνατον· ἀκόλουθον δὲ ἦν εἰπεῖν τινα· Καὶ πόθεν τοῦτο λέγεις περὶ πραγμάτων ἀθεάτων; συντρέχων οὖν τοῖς οὕτω λέγουσι, φησὶ καὶ αὐτὸς, ὅτι Θεὸν μὲν οὐδεὶς πώποτε τεθέαται, σύμφημι καὶ αὐτός· ἀλλ' ἐκ τῆς [*f. add.* περὶ *vel.* εἰς] ἀλλήλους ἀγάπης, φησὶ, γινώσκομεν, ὅτι ὁ Θεὸς ἐν ἡμῖν ἐστι. Καὶ καλῶς τοῦτό φησιν· ὅτι πολλὰ τῶν ἀθεάτων ἡμῖν ἐκ τῶν ἐνεργειῶν αὐτοῦ καταλαμβάνομεν· ἀμέλει ὥσπερ οὐδὲ ψυχήν τις ἑώρακεν, ἀλλ' ἐκ τῶν ἐνεργειῶν οὖν καὶ κινημάτων κατανοῆται [*f.* -νοεῖτ.], ὅτι ἔστιν ἐν ἡμῖν καὶ ἐνυπάρχει· οὕτω καὶ τὴν εἰς ἡμᾶς αὐτοῦ ἀγάπην ὡς διά τινος κινήσεως καὶ ἐνεργείας γινώσκομεν. Εἰ δὲ τοῦτο οὐκ ἔξω τοῦ εἰκότος, οὐδὲ ὁ θεῖος οὗτος ἀνὴρ [παρὰ τὸ εἰκὸς] ἐκ τῆς ἐνεργείας εἶναι τὸν Θεὸν καὶ ἐν ἡμῖν δείκνυσι. Καὶ τίς ἡ ἐνέργεια; Ἡ εἰς τοὺς πλησίον ἡμῶν ἀγάπη καθαρά· τοῦτο γνώρισμα τῆς τε

Deus, charitas est. Unde hoc manifestum? Ex eo quod Filium suum unigenitum misit in hunc mundum, ut veram vitam nobis tribueret, et nos viveremus per ipsum. Quemadmodum enim dicitur bonitas, quia ex bonitate intellectualem ac sensibilem mundum condidit; ita etiam, cum propter charitatem erga nos unigenitum Filium suum mundo dederit, per hoc ostendit, quod charitas sit. Idcirco hic subjungit apostolus: *In hoc est charitas.* Deinde divinæ charitatis præstantiam extollens, Non quasi, inquit, dilexerimus eum, hoc fecit Deus, dans pro nobis Filium suum; sed ipse primus exercens in nos beneficentiam suam, propter charitatem misit Filium suum: et non solum misit, sed ideo misit, ut peccata nostra proprio sanguine expiaret. Si ita igitur, inquit, dilexit nos Deus, quanquam nos nullatenus simus ejusdem cum ipso naturæ; multo magis etiam nos debemus eos, qui ejusdem nobiscum naturæ sunt, diligere, et cognoscentes charitatis præstantiam, eam in alios exercere. Quemadmodum enim peccati reus est, qui quod est eligendum non eligit; ita laus multa comparatur illis, qui digni sunt dilectione, ac propterea quod chari sunt. Nos autem ita animo affecti, utrumque habemus: nempe et chari sumus, quia a Deo diligimur, et ab ipso suscipimur; et amatores, propter charitatem erga proximum.

VERS. 11-14. *Charissimi, si sic Deus dilexit nos,* **425** *et nos debemus alterutrum diligere. Deum nemo vidit unquam. Si diligimus invicem, Deus in nobis manet, et charitas ejus in nobis perfecta est. In hoc cognoscimus, quoniam in eo manemus, et ipse in nobis, quoniam de Spiritu suo dedit nobis. Et nos vidimus et testificamur quoniam Pater misit Filium suum Salvatorem mundi.* Jam supra diximus, solitum esse beatum hunc apostolum eadem plus semel repetere. Juxta hunc morem etiam nunc prosequens sermonem, ait: *Deum nemo vidit unquam.* Quoniam enim de charitate in fratres verba faciens, Deum, qui dedit Filium suum unigenitum ad mortem propter charitatem qua dilexit nos, in exemplum adduxit, ac pronum erat alicui interrogare, Unde hoc dicis de rebus quæ sub visum non cadunt? hinc, ut ista aientibus occurreret, ait: D Et ipse, quod Deum nemo viderit unquam, assentior: verum ex mutua charitate, inquit, cognoscimus, quod Deus in nobis sit. Et recte quidem multa, quæ videre haud possumus, ex effectibus certo deprehendimus. Videlicet, quemadmodum neque animam quisquam vidit, attamen ex ipsius operationibus et motibus intelligimus eam nobis inesse; ita et ejus in nos charitatem veluti per quamdam motionem et operationem cognoscimus. Quod si hoc absurdum non est, profecto ne illud quidem incongruum, quod sanctus iste vir ex operatione Deum nobis inesse demonstret. Sed quænam est hæc operatio? Dilectio para erga proximum nostrum: hæc est certum indicium et

Digitized by Google

nostræ in ipso, et ipsius in nobis permanentiæ. Et hoc, inquit, quoniam de Spiritu suo dedit nobis. Purus enim pura et munda dispensat. Quoniam igitur per puram charitatem consortes ipsius efficimur, hinc et nos, inquit, qui cum in carne vidimus, cognovimus et testamur, Patrem misisse Filium suum Salvatorem mundi. Verum ultra cognitionem nostram ipse etiam enarravit, perfectiorem nobis hujus rei notitiam suppeditans, alicubi quidem dicens [50] : *Exivi a Patre, et veni in mundum* : quia nempe Pater propter nostri dilectionem misit e cœlo Filium suum unigenitum in mundum. Alibi vero clarius [51] : *Si enim*, inquit, *Deus dilexit mundum, ut Filium suum unigenitum daret, ut omnis, qui credit in eum, non pereat ;* et [52], *Non misit Deus Filium suum in mundum, ut judicet mundum, sed ut salvetur mundus per ipsum :* habemus igitur, inquit, et a proprio intuitu, et ex enarratione Unigeniti qui est in sinu Patris [53], quemadmodum in Evangelio dicitur, et ab operatione mutuæ charitatis, quod Deus sit in nobis, et ex Spiritu suo nobis dederit, et quod ipsius participes simus.

A ἡμῶν ἐν αὐτῷ μονῆς, καὶ τῆς ἐκείνου ἐν ἡμῖν, καὶ ὅτι, φησὶ, τοῦτο ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν· ὁ γὰρ καθαρὸς καθαρὰ καὶ ἄχραντα δανείζεται. Ἐπεὶ οὖν διὰ τῆς καθαρᾶς ἀγάπης αὐτῷ κοινωνοῦμεν, ἐκ τούτου καὶ ἡμεῖς, φησὶν, οἱ κατὰ σάρκα τεθεαμένοι αὐτὸν ἐγνωμεν καὶ μαρτυροῦμεν, ὅτι ὁ Πατὴρ ἀπέσταλκεν αὐτὸν Σωτῆρα τοῦ κόσμου. Ἀλλὰ καὶ πρὸς τῇ ἡμετέρᾳ γνώσει καὶ αὐτὸς ἐξηγήσατο, τελεώτερον ἡμᾶς τῇ τοιαύτῃ ἐμβιβάζων γνώσει· ποτὲ μὲν λέγων· *Ἐξῆλθον ἀπὸ τοῦ Πατρὸς, καὶ ἐλήλυθα εἰς τὸν κόσμον.* Τοῦτο περὶ τοῦ καταπέμψαι ὑπὲρ τῆς ἡμετέρας ἀγάπης ἀπ' οὐρανοῦ τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ εἰς τὸν κόσμον. Καὶ δι' ἑτέρων δὲ πάλιν τρανότερον· *Τοσοῦτον γὰρ*, φησὶν, B *ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται·* καὶ, *Οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον.* Ἔχομεν τοίνυν καὶ ἀπὸ τῆς αὐτοψίας αὐτῆς, φησὶ, καὶ ἀπὸ τῆς τοῦ Μονογενοῦς ἐξηγήσεως, τοῦ ὄντος εἰς τὸν κόλπον τοῦ Πατρὸς, ὡς ἐν Εὐαγγελίοις εἴρηται, καὶ ἀπὸ τῆς ἐνεργείας διὰ τῆς εἰς ἀλλήλους ἀγάπης, ὅτι ὁ Θεὸς ἐν ἡμῖν, καὶ ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν, καὶ κοινωνοῦμεν αὐτῷ.

426 Vers. 15,16. *Quisquis confessus fuerit, quoniam Jesus est Filius Dei, Deus in eo manet, et ipse in Deo. Et nos cognovimus et credidimus charitati quam habet Deus in nobis. Deus charitas est. Et qui manet in charitate, in Deo manet, et Deus in eo.* Hoc ad id quod paulo ante dictum est, C nempe : *Omnis spiritus qui confitetur Jesum Christum in carne venisse*, refertur. Quoniam enim satis demonstravit eos et filios esse Dei, et Deum in ipsis manere (demonstravit autem hoc ex charitate quæ est ad invicem, quoniam datus est illis Spiritus sanctus), rursus ad ea sermonem convertit, et ait : *Quisquis confessus fuerit, quoniam Jesus est Filius Dei, Deus in ipso manet*, quemadmodum superius dixit : Omnis spiritus qui confitetur Jesum Christum in carne venisse, ex Deo est. Verum et aliud declarat hic sermo, nempe quod, qui ista confitentur, et Spiritum sanctum seu Deum in se manentem habent, etiam ipsi in Deo maneant. Hoc autem quomodo ? Ex mutua charitate. Hujus vero mentione facta, subjungit omnia, D quæ de charitate dixit, multis confirmans sermonem de charitate.

Ὃς ἂν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ. Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην, ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐστὶ· καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ. — Τοῦτο πρὸς τὸ [πρὸ] βραχέως [*f.* -χέος] εἰρημένον ἀναφέρεται, τὸ, ὅτι *Πᾶν πνεῦμα ὃ ὁμολογεῖ ἐν σαρκὶ Κύριον Ἰησοῦν ἐληλυθότα.* Ἐπεὶ γὰρ ἱκανῶς ἀπέδειξεν, ὅτι καὶ τέκνα εἰσὶ Θεοῦ, καὶ ὁ Θεὸς ἐν αὐτοῖς μένει· ἀπέδειξε δὲ τοῦτο διὰ τῆς εἰς ἀλλήλους ἀγάπης, ὅτι ἐδόθη αὐτοῖς Πνεῦμα ἅγιον· ἐπαναφέρει πάλιν ἐπ' ἐκεῖνα τὸν λόγον, καὶ φησιν· *Ὃς ἐὰν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει·* ὥσπερ ἀνωτέρω εἴρηκεν, ὅτι Πᾶν πνεῦμα ὁμολογοῦν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστιν. Ἐξέφηνε δὲ καὶ ἕτερον ὁ λόγος, ὅτι οἱ ὁμολογοῦντες ταῦτα καὶ μένον ἔχοντες ἐν ἑαυτοῖς τὸ Πνεῦμα, ἤτοι τὸν Θεὸν, καὶ αὐτοὶ ἐν Θεῷ μένουσι. Τοῦτο δὲ πῶς; Διὰ τῆς εἰς ἀλλήλους ἀγάπης. Ἀγάπης δέ μνημονεύσας, ἐπιφέρει καὶ πάντα τὰ περὶ ἀγάπης, ἅπερ εἴρηκε, πολλὴν πίστιν παρεχόμενος τῷ περὶ ἀγάπης λόγῳ.

Vers. 17, 18. *In hoc perfecta est charitas Dei nobiscum, ut fiduciam habeamus in die judicii : quia sicut ille est, et nos sumus in hoc mundo. Timor non est in charitate : sed perfecta charitas foras mittit timorem.* Lux est Deus, et sancti ipsius sunt lux in mundo [54], juxta Evangelium ; et timor pœnæ in eis non est, quoniam charitate abundant. Volo, inquit, vos perfectos esse in charitate, ut fiduciam habeamus in die judicii ad Deum ; quoniam et ipse judex est, juxta ipsius sententiam,

Ἐν τούτῳ τετελείωται ἡ ἀγάπη μεθ' ἡμῶν, ἵνα παῤῥησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· ὅτι καθὼς ἐκεῖνός ἐστι, καὶ ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ. Φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον. — Φῶς ἐστιν ὁ Θεὸς, καὶ οἱ ἅγιοι αὐτοῦ φῶς εἰσιν ἐν τῷ κόσμῳ, κατὰ τὸ Εὐαγγέλιον, καὶ φόβος ἐν αὐτοῖς οὐκ ἔστι κολάσεως, ὅτι ἐν τῇ ἀγάπῃ τοῦ Θεοῦ περισσεύουσιν. Βούλομαι, φησὶν, ὑμᾶς τετελειῶσθαι ἐν τῇ ἀγάπῃ, ἵνα παῤῥησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ

[50] Joan. xvi, 28. [51] Joan. iii, 16. [52] Ibid. 17. [53] Joan. i. 18. [54] Matth. v, 14.

Digitized by Google

τῆς κρίσεως πρὸς τὸν Θεόν· ὅτι καὶ αὐτός ἐστιν ὁ κρίνων κατὰ τὴν αὐτοῦ ἀπόφασιν τὴν, ὅτι *Ὁ Πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ*. Καὶ ὅτι πρὸς τὸν ἐνανθρωπήσαντα ἡμῖν ἔσται ἡ παῤῥησία, ἐδήλωσε διὰ τῶν ἑπομένων, εἰπών, ὅτι *Καθὼς ἐκεῖνός ἐστι, καὶ ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ* · τοῦτο λέγων· Προαποδεδειγμένου, ὅτι ὁ Θεὸς ἐν ἡμῖν, καὶ ἡμεῖς ἐν αὐτῷ, τὸ τέλειον καὶ ἑαυτοῖς, φησὶν, ἐπιμαρτυρόμεθα τῆς ἀγάπης. Ὡς οὖν ἐκεῖνος ἄμωμος ἦν τῷ κόσμῳ καὶ καθαρὸς (διὸ καὶ ἔλεγεν· *Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν*·) οὕτω καὶ ἡμεῖς ἐσόμεθα ἐν τῷ Θεῷ, καὶ ὁ Θεὸς ἐν ἡμῖν. Εἰ οὖν τοῦτο, ἐκεῖνός ἐστιν ὑφηγητὴς ἁγνείας ἡμῖν καὶ πάροχος· οὕτω καὶ ἡμεῖς αὐτὸν περιφέρομεν ἐν τῷ κόσμῳ τούτῳ ἁγνῶς καὶ καθαρῶς, πάντοτε τὴν νέκρωσιν αὐτοῦ ἐν τῷ σώματι ἐπιφέροντες. Οὕτω δὲ βιοῦντες, παῤῥησιασόμεθα πρὸς αὐτὸν, καὶ φόβου παντὸς ἐσόμεθα ἐκτὸς τότε. Τετελειωμένοι γὰρ ἐν τῇ ἀγάπῃ διὰ τῶν ἀγαθῶν ἔργων, πόῤῥω τοῦ φόβου ἐσόμεθα. Καὶ ἐπιφέρει τούτοις πιστωτικὸν τὸ, ὅτι *Ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον*. Ποῖον δὲ φόβον; Αὐτός φησιν ὅτι τὸν κολαστικόν. Ἔστι γάρ τινα καὶ ἀγαπᾷν διὰ φόβον τοῦ κολασθῆναι· οὗτος δὲ ὁ φόβος οὐκ ἔστι τελειωτικὸς, τοῦτ' ἔστιν, οὐ τῆς τελείας ἐστὶν ἀγάπης. Ταῦτα εἰρηκὼς περὶ τῆς τελείας ἀγάπης, καὶ καταναγκαστικῶς δείκνυσιν, ὡς ὀφείλομεν ἀγαπᾷν τὸν Θεὸν, ὅτι καὶ αὐτὸς, φησὶ, πρῶτος ἠγάπησεν ἡμᾶς. [Ὀφείλομεν δὲ, τὸν προκατάρχοντα ἡμῖν ἀγαθοῦ,] σπουδαιότερον πρὸς τὴν ἀνταμοιβὴν τούτου ἐπείγεσθαι καὶ ἡμεῖς. Ἐζήτησαν δέ τινες. Πῶς τοῦ Δαβὶδ λέγοντος, *Φοβήθητε τὸν Κύριον, πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτὸν*, πῶς νῦν οὗτός φησιν· *Ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον*; Οὐ δήπου γὰρ οἱ ἅγιοι τοῦ Θεοῦ τετελείωνται ἐν τῇ ἀγάπῃ, οἷς τὸ φοβεῖσθαι ἐντέλλεται; Φαμὲν οὖν, ὡς διττὸς ὁ φόβος· ὁ μὲν προκαταρκτικὸς, ὃς καὶ σύνδρομον ἔχει τὴν κόλασιν, καὶ διὰ τὰ πεπραγμένα αὐτῷ δεινὰ, τοῦ προσιόντος Θεῷ φοβουμένου, καὶ διὰ ταῦτα προσιόντος ἵνα μὴ κολασθῇ· καὶ οὗτος μὲν ὁ προκαταρκτικός. [Ὁ δὲ τελειωτικὸς] δέους μὲν τοῦ τοιούτου ἀπήλλακται, διὸ καὶ ἁγνὸς εἴρηται, καὶ διαμένων εἰς αἰῶνα αἰῶνος. Τίς οὖν, καὶ διὰ τί ὁ τελειωτικὸς φόβος; Ὁ διὰ τὸ τελείως εἰς ἀγάπην ἀναληφθῆναι τὸν κατωμεγεθοῦντα [*f.* κατευμ.], αὐτοῦ σπουδὴν ἐπιδείκνυσθαι μὴ ἐλλιπεῖν τινος αὐτῷ, ὧν εἰκὸς τὸν σφόδρα ἀγαπῶντα ἐπιτελεῖν τῷ ἀγαπωμένῳ.

A qua dixit [55]: *Pater non judicat quemquam, sed omne judicium dedit Filio.* Et quod ad Verbum incarnatum sit nostra fiducia, ostendit per ea quæ sequuntur, dicens: *Sicut ille est, et nos sumus in hoc mundo.* Quasi dicat: Cum ante demonstratum sit, quod Deus in nobis et nos in illo simus, perfectionem charitatis et nobis ipsis attestamur. Quemadmodum igitur ille immaculatus et purus erat in mundo (idcirco enim dixit [56]: *Venit princeps mundi hujus, et in me non habet quidquam*), sic et nos erimus in Deo, et Deus in nobis. Si hoc ita se habet, igitur ille nobis est magister puritatis et largitor. Sic etiam nos illum circumferimus in mundo sancte et pure [57], semper mortificationem ejus in corpore nostro circumferentes. Sic autem B viventes, confidentiam habebimus ad ipsum, neque pavore ullo tunc quatiemur: perfecti enim in charitate ob bona opera, procul a timore erimus. Unde subdit in hujus rei confirmationem, *Perfecta charitas foras mittit timorem.* At quem timorem? Ipse dixit hunc esse timorem pœnæ. Potest enim aliquis etiam amare timore, **427** ne puniatur. Iste autem timor nunquam est perfectus, seu perfectæ charitatis. His de charitate dictis, evincit, nos debere Deum diligere, quoniam et ipse, inquit, prior dilexit nos. Et sane, cum prior ille nobis tantum bonum tulerit, eo nos studiosius debemus ad illud rependendum eniti. Quæsiere vero nonnulli, quomodo cum David dicat [58]: *Timete Dominum, omnes sancti ejus; quoniam non* C *est inopia metuentibus eum;* iste nunc asserat charitatem perfectam foras ejicere timorem. Nonne sancti Dei perfecti sunt in charitate, quibus tamen mandatur, ut timeant? Respondemus duplicem esse timorem. Unus quidem est initialis, qui comitem habet afflictionem; ac illius est, qui ob mala perpetrata metuens, accedit ad Deum, ideoque accedit, ne puniatur. Et talis quidem est timor initialis. At timor perfectus ab hujusmodi metu liber est. Quapropter dicitur sanctus et permanens in sæculum sæculi [59]. At quis, et ad quid est timor perfectus? Is nempe, quo quis eo quod perfectam habet charitatem, sollicitus est, ne quidquam illi desit eorum, quæ erga dilectum D præstari ab eo decet, qui valde diligit.

Ὅτι ὁ φόβος κόλασιν ἔχει. Ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ. Ἡμεῖς ἀγαπῶμεν αὐτὸν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς.—Φόβον ἐνταῦθα λέγει τὸν προκαταρκτικόν. Ὁ γνήσιος οὖν ἀγαπῶν τὸν Θεὸν, οὐ διὰ τὴν ἀπειλὴν τῶν κολάσεων ποιεῖ τὰ θεάρεστα, ἀλλὰ τῷ τῆς ἀρετῆς φίλτρῳ, καὶ τῇ ἀγάπῃ τῇ πρὸς τὸν Θεὸν, οὐ μὴν διὰ τὸν γνήσιον φόβον ἑαυτὸν ἀσφαλιζόμενος, ὅς ἐστι ἔρως τοῦ καλοῦ. Ἢ πάλιν ὁ φόβος τοῦ μὴ ἐμπεσεῖν εἰς κόλασιν

Vers. 18, 19. *Quoniam timor habet pœnam. Qui autem timet, non est perfectus in charitate. Nos ergo diligamus Deum, quoniam Deus prior dilexit nos.* Timorem quem *initialem* diximus, hoc loco intelligit. Qui igitur Deum legitime diligit, is non ob comminatas pœnas facit ea quæ Deo placent, sed virtutis illicio et ex amore quo Deum prosequitur: non enim eo, quantumvis ingenuo, timore contentus est, qui fluit ex amore honesti. At ille

[55] Joan. v, 22. [56] Joan. xiv, 30. [57] II Cor. iv, 10. [58] Psal. xxxiii, 10. [59] Psal. xviii, 10.

Digitized by Google

timor, quo quis aliquid facit, ne in punitionem incidat, idem est cum priore. Unde subdit: *Timor pœnam habet.*

A ποιῶν τί, ὁ αὐτός ἐστι τῷ προτέρῳ· διὸ ἐπάγει· *Ὁ φόβος κόλασιν ἔχει.*

Vers. 20. *Si quis dixerit, quoniam Diligo Deum, et fratrem suum oderit, mendax est. Qui enim non diligit fratrem suum, quem videt, Deum, quem non videt, quomodo potest diligere?* Postquam demonstravit, charitatem talis esse indolis, ut a Deo in nos, et a nobis in Deum trajiciat, addidilque, quod si Deus nos dilexit, etiam nos ad invicem diligere debeamus; rursus ad hoc sermonem referens, ait, debitum nobis incumbere, ut fratres nostros diligamus, exemplo charitatis Dei erga nos: quam si Deo pependerimus, debito huic satisfaciemus. Oportet igitur, inquit, omnino fratrem diligere in perfectissimum charitatis erga Deum nostræ argumentum: alioquin neque nostra in Deum charitas salva erit, mutuo **428** debito cadente, quod ex charitate erga Deum habebamus. Subjungit vero rationem efficacissimam ad eos revincendos, qui divinam charitatem adulterare conantur, ita ferme disserens: Charitas omnino ex mutua consuetudine, seu conversatione exsurgit. Ex conversatione autem sequitur, ut fratrem videamus, indeque amore ipsius capiamur. Visionis enim magna vis est ad conciliandum amorem. Porro si ita est, quomodo is, qui maximum amoris illicium nihili faciens, fratrem, quem videt, non diligit, veraciter dicere poterit, se Deum, quem non videt, nec cum eo conversatur, neque eum ullo sensu percipere potest, diligere? Si igitur quis, inquit, imprudenter dicat, se Deum quidem diligere, fratrem autem suum odio habere, profecto hic, præterquam quod divinam corrumpit charitatem, ejus præcepti transgressor est, quod ait [60]: *In hoc cognoscent omnes, quia discipuli mei estis, si dilectionem habueritis ad invicem.* Qui igitur Deum diligit, et ejus discipulus esse contendit, diligit etiam fratrem suum juxta ipsius præceptum.

B C

Ἐάν τις εἴπῃ, ὅτι Ἀγαπῶ τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισεῖ, ψεύστης ἐστίν. Ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακε, τὸν Θεὸν ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾶν;— Διαβεβαστικὴν εἶναι δεῖ τὴν ἀγάπην, ἀπό τε τοῦ Θεοῦ πρὸς ἡμᾶς, καὶ ἡμῶν πρὸς αὐτὸν καταναγκαστικῶς ἀποδεξᾶς, καὶ τοῦτο προσθεὶς πάλιν, ὅτι, εἰ οὕτως ἠγάπησεν ἡμᾶς ὁ Θεὸς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν· καὶ αὖθις πρὸς τοῦτο ἀναφέρων τὸν λόγον φησίν· Ἐπειδὴ χρεωστικῶς ἡμῖν ἀπόκειται τὸν ἀδελφὸν ἀγαπᾶν, ἐξ ὑποδείγματος τῆς τοῦ Θεοῦ πρὸς ἡμᾶς ἀγάπης, ἣν καὶ ἀντεισφέροντες καὶ ἀνταποδιδόντες Θεῷ, τὴν ὀφειλὴν ἀποπληροῦντες ἐσόμεθα· χρὴ, φησὶν, ἀνυπερθέτως τὸν ἀδελφὸν ἀγαπᾶν, εἰς τελειότατον γνώρισμα τῆς πρὸς Θεὸν ἀγάπης. Εἰ γὰρ μὴ τούτου, οὐδὲ ἡ πρὸς Θεὸν ἀγάπη ἡμῶν σωθείη, ὡς τῆς ὀφειλῆς τῆς πρὸς ἀλλήλους διαπιπτούσης, ἣν ἐκ τῆς πρὸς Θεὸν ἀγάπης ἐσχήκαμεν. Ἐπιφέρει δὲ καὶ τοῦτο ἐναργέστατον εἰς ἔλεγχον λόγου τῶν ἐπιχειρούντων νοθεύειν τὴν θείαν ἀγάπην, τοιοῦτόν τι λέγων· Ἡ ἀγάπη πάντως ἐκ τῆς πρὸς ἀλλήλους συνίσταται συνηθείας, ἡ δὲ συνήθεια ἐπόμενον ἔχει τὸ ὁρᾶν τὸν ἀδελφὸν αὐτοῦ, καὶ ταύτῃ μάλιστα συνδεῖσθαι πρὸς τὴν ἀγάπην αὐτοῦ· ἐφελκυστικὸν γὰρ ὅρασις πρὸς ἀγάπην. Εἰ δὲ τοῦτο, ὁ τὸ μᾶλλον ἐφελκόμενον εἰς ἀγάπην παρ' οὐδὲν ποιούμενος, καὶ τὸν ἀδελφὸν, ὃν ἑώρακε, μὴ ἀγαπῶν, πῶς τὸν Θεὸν, ὃν οὐχ ἑώρακε, [φάσκων ἀγαπᾶν], ὅτε μηδὲ συνήθης ἐστὶν αὐτῷ, μηδὲ μιᾷ αἰσθήσει ληπτὸς, ἀληθεύων φωραθείη; Εἰ τοῦτο οὖν τις ἀναιδευόμενος φαίη, φησὶ, τὸν μὲν Θεὸν ἀγαπᾶν, μισεῖν δὲ τὸν ἀδελφὸν, οὐ πρὸς οἷς τὴν θείαν ἀγάπην νοθεύει, ἔτι καὶ τῆς ἐντολῆς αὐτοῦ παραβάτης εὑρίσκεται, τῆς λεγούσης, *Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους;* Ὁ οὖν τὸν Θεὸν ἀγαπῶν, καὶ τούτου μαθητὴς διισχυριζόμενος εἶναι, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ κατὰ τὴν ἐκείνου ἐντολήν.

Vers. 21. *Et hoc mandatum habemus a Deo: ut qui diligit Deum, diligat et fratrem suum.*

Καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.

D

CAPUT V.

ΚΕΦΑΛ. Ε'.

Vers. 1, 2. *Omnis, qui credit, quoniam Jesus est Christus, ex Deo natus est. Et omnis qui diligit eum, qui genuit, diligit et eum qui natus est ex eo. In hoc cognoscimus, quoniam diligimus natos Dei, cum Deum diligamus, et mandata ejus faciamus.* Hoc quoque superius dicta confirmat, ac si diceret: Si mandatum a Magistro nostro accepimus, ut invicem diligamus, profecto, si credimus, Magistrum nostrum Jesum esse Christum, (qui propterea est Christus quia Deus est et homo), mandata ipsius velut Magistri et Dei custodiamus. Credentes vero ipsum esse Deum, filii ejus evadimus; quemadmo-

Πᾶς ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς, ἐκ τοῦ Θεοῦ γεγέννηται, καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ Θεοῦ, ὅταν τὸν Θεὸν ἀγαπῶμεν, καὶ τὰς ἐντολὰς αὐτοῦ ποιῶμεν. Καὶ τοῦτο τῶν ἀνωτέρω εἰρημένων πιστωτικόν. Εἰ ἐντολὴν ἐλάβομεν ἀπὸ τοῦ Διδασκάλου ἀλλήλους ἀγαπᾶν, πάντως εἰ πιστεύομεν, ὅτι διδάσκαλος ἡμῶν Ἰησοῦς ἐστιν ὁ Χριστὸς, ὃς ἐν τούτῳ ἐστὶ Χριστὸς, ἐν τῷ Θεὸς εἶναι καὶ ἄνθρωπος, φυλάξωμεν καὶ τὰς ἐντολὰς αὐτοῦ, ὡς διδασκάλου, ὡς Θεοῦ. Πιστεύοντες δὲ

[60] Joan. XIII, 35.

Digitized by Google

Θεὸν αὐτὸν εἶναι, υἱοὶ αὐτοῦ χρηματίζομεν, καθὼς καὶ ἐν Εὐαγγελίοις εἴρηται· *Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι*· τοῦτ' ἔστιν, Ὅσοι ἐπίστευσαν εἰς αὐτὸν, οὗτοι καὶ ἐτεκνώθησαν ὑπ' αὐτοῦ. Εἰ γεγεννήμεθα δὲ ἐξ αὐτοῦ, πάντως καὶ τὸ καθῆκον τῷ γεγεννηκότι ἐπιδειξόμεθα. [Τί τοῦτο;] Τὸ ἀγαπᾷν τὸν γεγεννηκότα. Ἐπεὶ δὲ τοῦτο, φησὶ, πάντες οἱ πεπιστευκότες, ἐξ αὐτοῦ γεγεννήμεθα· εἰ δὲ ἐξ αὐτοῦ γεγεννήμεθα, ὀφειλέται ἐσμὲν ἀλλήλους ἀγαπᾷν, καὶ ὡς ἀδελφοὶ, καὶ ὡς ἐξ αὐτοῦ γεγεννημένοι· καὶ ἐπιφέρει τούτου πίστιν, ὡς *Ὁ ἀγαπῶν τὸν γεννήσαντα, καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ* [*ἀγαπᾷ*]. Εἶτα πάλιν φησὶν, ὅτι ἡ πρὸς τοὺς ἀδελφοὺς, ἤτοι τὰ τέκνα τοῦ Θεοῦ ἀγάπη, τὴν εἰς τὸν τεκόντα ἀγάπην βεβαιοῖ. Ἄνω μὲν γὰρ ἔλεγεν· *Ὁ ἀγαπῶν τὸν Θεὸν καὶ τὸν ἀδελφὸν αὐτοῦ ἀγαπᾷ*· νῦν δὲ λέγει, ὅτι *Ὁ ἀγαπῶν τὰ τέκνα τοῦ Θεοῦ, καὶ τὸν Θεὸν ἀγαπᾷ*. Καὶ δεῖγμα τῆς εἰς Θεὸν ἀγάπης τὴν εἰς τὸν ἀδελφὸν ἀγάπην ποιεῖται.

dum etiam in Evangelio dicitur [41] : *Quotquot autem receperunt eum, dedit eis potestatem filios Dei fieri :* hoc est, Quotquot crediderunt in eum, etiam filii ab ipso facti sunt. Si autem ex ipso nati sumus, profecto et quod ei convenit, præstabimus. Quid vero hoc? Diligere eum qui genuit; quoniam, inquit, omnes qui credidimus, ex ipso nati sumus: si autem ex ipso nati sumus, nos mutuo, veluti fratres ab eodem progeniti, diligere debemus. Et hoc ex eo confirmat, quod *Qui diligit eum qui genuit, diligit et eum qui natus est ex eo.* Deinde rursus ait, charitatem, quæ erga fratres, seu filios Dei, **429** est, firmare dilectionem erga Genitorem. Dixerat enim antea : *Qui diligit Deum, et fratrem suum diligit;* nunc autem e converso ait : *Qui diligit filios Dei, et Deum diligit.* Scilicet certum dilectionis erga Deum indicium statuit dilectionem erga proximum.

Αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Τοῦτο οὕτως· *Αὕτη γάρ ἐστιν ἡ ἀγάπη, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν· ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν κόσμον.* Τὸ δὲ, *Βαρεῖαι οὐκ εἰσὶ*, παρεμβέβληται.

Vers. 3. *Hæc est enim charitas Dei, ut mandata ejus custodiamus.* Hoc ita se habet: *Hæc est charitas, ut mandata ejus custodiamus; quoniam omne quod natum est ex Deo, vincit mundum.* Illud autem : *Quoniam gravia non sunt*, interjectum est.

Καὶ αἱ ἐντολαὶ αὐτοῦ Βαρεῖαι οὐκ εἰσιν. Ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν κόσμον. Καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν. Ἐπειδὴ τὸ πᾶν τεκμήριον τῆς εἰς Θεὸν ἀγάπης, τὴν τῶν ἐντολῶν τήρησιν, προεβάλετο· ἐδόκει γάρ τισι τὰς ἐντολὰς τοῦ Θεοῦ βαρείας εἶναι· διὰ τοῦτό φησι· *Καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσί.* Τί γὰρ βαρὺ, τὸ ἀγαπᾷν τὸν ἀδελφόν; [Ἀλλὰ καὶ] τὸ, ἐν φυλακῇ ἐπισκέπτεσθαι [τί βαρύ;] Οὐ γὰρ ἐξαιρεῖσθαί φησι τὸ (*f.* τὸν) ἐν φυλακῇ, ὁ δυσχερὲς, ἀλλ' ἐπισκέπτεσθαι μόνον· οὐδὲ τὸν ἀσθενοῦντα ἀπαλλάττειν τῆς νόσου, ἀλλὰ μόνον ἐπισκέπτεσθαι· οὐδὲ τῷ πεινῶντι πολυτελῆ τράπεζαν παρατιθέναι κελεύει, ἢ τῷ γυμνῷ ἐκ ποικιλίας ἱμάτιον κατεσκευασμένον διδόναι, ἀλλὰ τὴν ἀναγκαίαν χρείαν παρεχόμενον, ἣν ὁ πεινῶν καὶ γυμνητεύων ἐπιζητεῖ. Οὕτω τὰ περὶ τούτου εἰπὼν, καὶ ἕτερον πρὸς ἀγάπην ἐπάγει. Τί τοῦτο; Τὴν νίκην. Φησὶ γάρ, ὅτι Διὰ τῆς πρὸς τὸν ἀδελφὸν ἀγάπης τέκνα συνιστῶντες ἑαυτοὺς τοῦ Θεοῦ, ἔχετε ἤδη καὶ τούτου τοῦ κατορθώματος ἐπακολούθημα, τὸ τὸν κόσμον νικᾷν. Τὸ γὰρ *γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν κόσμον.* Εἶτα παρατίθησι καὶ τὴν νίκην, [καὶ τὸ δι' ὃ ἡ νίκη,] τὴν πίστιν ἀμφότερον λέγων εἶναι, δηλονότι τὴν πρὸς τὸν Θεὸν, ἥτις καὶ ἐκ Θεοῦ γεννηθεῖσα ἐνίκησε πᾶσαν ἀπιστίαν καὶ ἀπήλασε· καὶ οὔτε Ἰουδαῖος, οὔτε Ἕλλην, οὔτε αἱρετικὸς δύναται πρὸς αὐτήν. Καὶ ἐπειδὴ ἡ πίστις οὐ ψιλὴ νικᾷ, ἀλλὰ μετὰ τοῦ ἔχοντος αὐτὴν, διὰ τοῦτο προστίθησι· *Καὶ τίς ἐστιν ὁ νικῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ;* Καὶ

Vers. 3,4. *Et mandata ejus gravia non sunt. Quoniam omne quod natum est ex Deo, vincit mundum. Et hæc est victoria, quæ vincit mundum, fides nostra.* Quoniam perfectum charitatis erga Deum argumentum mandatorum observantiam esse præmisit, quibusdam autem mandata Dei gravia esse videbantur, idcirco ait: *Et mandata ejus gravia non sunt.* Quomodo enim grave esse potest diligere fratrem suum, aut eum in carcere detentum visitare? Neque enim ait, ut eum e carcere educamus, quod difficile est; sed tantummodo, ut eum visitemus. Sic non præcipit, ut infirmum ab ægritudine liberemus, sed tantum ut eum invisamus. Similiter non jubet, ut esurienti locupletem mensam paremus, aut nudo pretiosam acuque pictam vestem tribuamus; sed solum quantum satis est ad necessarium usum, quem et qui esurit, et qui nudus est, requirit. His hac de re dictis, aliud de charitate addit. Quid vero illud? Victoria. Siquidem ait: Quoniam per fraternam dilectionem vosmetipsos filios Dei constituistis, habetis de reliquo et id quod est præclari hujus facinoris sequela, nempe: vincere mundum. Quod enim *natum est ex Deo, vincit mundum.* Deinde proponit ipsam victoriam, et propter quid ea sit, dicens utrumque hoc esse fidem in Deum : quippe quæ ex Deo progenita omnem vicit expulitque infidelitatem, ut neque Judæus, neque gentilis neque hæreticus quidquam contra eam possit. Quoniam vero fides non sola a semetipsa vincit, sed simul cum eo, qui ipsam habet, idcirco subjungit : *Quis est qui vincit mundum, nisi*

[41] Joan. I, 12.

Digitized by Google

qui credit, quoniam Jesus est Filius Dei? Sed quis est Jesus iste? Is qui per aquam et sanguinem venit, Jesus Christus.

Vers. 5, 6. *Quis vero est, qui vincit mundum, nisi qui credit quoniam Jesus est Filius Dei? Hic est qui venit per aquam et sanguinem, Jesus Christus.* Quoniam filiorum Dei procreationis et partus mentionem fecit, dicens : *Omne quod natum est ex Deo*, hoc autem per sanctum baptisma simul efficitur, idcirco ait : *Hic est qui venit per aquam et sanguinem* **430** *Christus Jesus*, qui nos regenerat, et filios Dei facit. Hoc enim velut consequens ad sermonem subintelligitur, ut sit : Et omne quod natum est ex Deo, vincit mundum. Et quomodo natus est? Ex aqua, inquit, et sanguine. Qui enim venit, Jesus Christus, per aquam et sanguinem regenerat. Addit vero repetito sermone : non in aqua solum, sed in aqua et sanguine. Vult enim primum indicare Christi, qui nos filios effecit, declarationem : quoniam homo qui in ipso est, primum Filius a Deo declaratus est, neque nobis per suam adoptionem etiam hujusmodi contulit dignitatem : qui tribus quidem vicibus Dei Filius declaratus est ; nempe cum baptizaretur in Jordane, Patre desuper testimonium perhibente eum qui baptizabatur, [61] Filium suum dilectum esse. Quis vero? Qui aquam ingrediebatur, vel assumptus simul cum Deo Verbo, qui in occulto apparebat : huic enim testimonium perhiberi oportebat. Igitur per aquam, hoc est in baptismate, quod per aquam fit, Jesus Patris testimonio declaratus est Filius Dei. Per sanguinem vero, cum mox cruci affigendus, dixit [62] : *Clarifica me tu, Pater;* et venit vox de cœlo : *Et clarificavi et iterum clarificabo :* quam vocem, qui audiebant, *tonitru* esse putaverunt. Per *Spiritum* autem, quoniam, ut Deus, resurrexit ex mortuis : solius enim est Dei semetipsum a mortuis suscitare. Voce autem *Spiritus* significari Deum, satis demonstrat illud [63], « Spiritus est Deus. » Tribus igitur, baptismate, cruce et resurrectione, Dei Filium esse Dominum nostrum attestantibus, hoc nullo modo in dubium revocari potest. Porro per suam filiationem ipse, tanquam primitiæ universæ humanæ massæ, nobis gratia sua contulit, ut essemus filii Dei. Et tria hæc in unum Christum sunt. Hoc enim significatur per ea verba : « Hi tres unum sunt, » hoc est, ad testimonium de Christo. Sciendum vero, Patres nonnullos per Spiritum non resurrectionem intellexisse, sed Deum Patrem, cum supra Jordanem clamavit [64] : *Hic est Filius meus dilectus, in quo mihi complacui*, secundum quod Spiritus est Deus, ut jam diximus.

His ita dictis, confirmat ea argumento a minori, hoc pacto : Si testimonium hominum quacumque de re accipimus, an non multo justius est, ut testimonium majus, nempe Dei, suscipiamus? Quid enim? Nonne testimonium de Filio suo, nempe de

A τίς ἐστιν Ἰησοῦς; οὗτος; Ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος Ἰησοῦς ὁ Χριστός.

Τίς δέ ἐστιν ὁ νικῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ; Οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος Ἰησοῦς Χριστός. Ἐπειδὴ τεκνώσεως ἐμνήσθη Θεοῦ καὶ τόκου, εἰπών, ὅτι *Πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ*, τοῦτο δὲ διὰ τοῦ ἁγίου βαπτίσματος ὁμοῦ περιγίνεται, διὰ τοῦτό φησιν, ὅτι *Οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος Ἰησοῦς ὁ Χριστός*, ἀναγεννῶν ἡμᾶς καὶ υἱοὺς ποιῶν Θεοῦ. Καὶ γὰρ τοῦτο ὡς ἑπόμενον τῷ λόγῳ καὶ ἐξακούεται, ἵνα ᾖ· Καὶ πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν κόσμον. Καὶ πῶς ἐγεννήθη; Δι' ὕδατος [φησ·] καὶ αἵματος. Ὁ γὰρ ἐλθὼν Ἰησοῦς Χριστὸς δι' ὕδατος ἀναγεννᾷ καὶ αἵματος. Προστίθησι δὲ πάλιν ἐπαναλαμβάνων τὸν λόγον, οὐκ ἐν τῷ ὕδατι, φάσκων, μόνον ἀναγεννῶν, ἀλλ' ἐν τῷ ὕδατι καὶ τῷ αἵματι. Βούλεται γὰρ πρῶτον δεῖξαι τοῦ υἱοθετοῦντος ἡμᾶς Χριστοῦ τὴν ἀνάδειξιν, ὅτι υἱοθετηθεὶς ὁ ἐν αὐτῷ ἄνθρωπος πρῶτος ὑπὸ Θεοῦ, οὕτω δὲ ἐν ἡμῖν διὰ τῆς ἑαυτοῦ υἱοθεσίας ἐχαρίσατο τὸ τοιοῦτον ἀξίωμα, ὃ καὶ κατὰ καιροὺς τρεῖς ἐξεφάνθη ἐπὶ τοῦ βαπτίσματος ἐν τῷ Ἰορδάνῃ, ἄνωθεν τοῦ Πατρὸς μαρτυροῦντος τὸν βαπτιζόμενον Υἱὸν ἀγαπητόν. Τίς δέ; Ὁ ἐμβαίνων τὸ ὕδωρ, ἢ ὁ συνειλημμένος τῷ Θεῷ Λόγῳ ἄνθρωπος, ὁ φαινόμενος τῷ κρυπτομένῳ. Τούτῳ γὰρ καὶ ἔδει τὴν μαρτυρίαν γενέσθαι. Διὰ τοῦ ὕδατος μὲν οὖν, τοῦτ' ἔστιν ἐν τῷ βαπτίσματι τῷ δι' ὕδατος, ἐξεφάνθη Υἱὸς Θεοῦ ὁ Ἰησοῦς διὰ τῆς τοῦ Πατρὸς μαρτυρίας· διὰ δὲ τοῦ αἵματος, ὅτε μέλλων σταυροῦσθαι ἔλεγε· *Δόξασόν με σὺ, Πάτερ·* καὶ ἠνέχθη φωνή· *Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω·* ἣν καὶ βροντὴν ἐνόμισαν οἱ ἀκούσαντες. Διὰ δὲ τοῦ Πνεύματος, ὅτε ὡς Θεὸς ἀνέστη ἐκ νεκρῶν. Θεοῦ γὰρ τοῦτο μόνου, τὸ ἀνιστᾷν ἑαυτόν· τῇ δὲ τοῦ Πνεύματος φωνῇ, ὅτι σημαίνεται ὁ Θεὸς, τὸ Πνεῦμα εἰρημένον ἱκανὸν παραστῆσαι. Τριῶν οὖν μαρτυρούντων, τοῦ βαπτίσματος, τοῦ σταυροῦ, τῆς ἀναστάσεως, τὴν τοῦ Ἰησοῦ υἱοθεσίαν, ἀναμφίλεκτος ἡ τοῦ Κυρίου υἱοθεσία· δι' ἧς υἱοθεσίας, καὶ ἡμῖν ὡς ἀπαρχὴ τοῦ ὅλου ἀνθρωπείου φυράματος ὢν, ἐχαρίσατο τὸ υἱοὺς εἶναι Θεοῦ. Καὶ τὰ τρία ταῦτα εἰς ἕνα τὸν Χριστόν εἰσι. Τοῦτο γὰρ σημαίνει διὰ τοῦ εἰπεῖν· *Οἱ τρεῖς ἓν εἰσι·* τοῦτ' ἔστιν, εἰς τὴν περὶ τοῦ Χριστοῦ μαρτυρίαν. Ἰστέον δὲ, ὡς τινες τῶν Πατέρων τὸ Πνεῦμα οὐ διὰ τὴν ἀνάστασιν τοῦ Χριστοῦ ἐξειλήφασιν, ἀλλ' εἰς τὸν Πατέρα, ὅτε ἐν τῷ Ἰορδάνῃ ἐβόησεν· *Οὗτός ἐστιν ὁ Υἱός μου ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα*, καθότι καὶ Πνεῦμα ὁ Θεὸς, ὡς προειρήκαμεν.

Ταῦτα εἰπὼν, ἐπιφέρει πίστιν τῶν λεγομένων ἀπὸ τοῦ ἐλάττονος οὕτως· Εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων περὶ ὁτουοῦν λαμβάνομεν, οὐ πολλῷ [δικαιότερον] λάβοιμεν τὴν μείζω τὴν ἀπὸ τοῦ Θεοῦ; ἢ γὰρ οὐχὶ αὕτη ἡ μαρτυρία περὶ τοῦ Υἱοῦ αὐτοῦ, ἤτοι τοῦ

[61] Matth. III, 17. [62] Joan. XII, 33. [63] Joan. IV, 24. [64] Matth. III, 17.

Digitized by Google

Χριστοῦ, ἀπ' αὐτοῦ τοῦ Θεοῦ ἐστιν; Ὁ πιστεύων A οὖν εἰς τὸν Υἱὸν τοῦ Θεοῦ, ὅτι Θεός ἐστιν, ὡς Υἱὸς Θεοῦ, ἔχει τὴν μαρτυρίαν ἐν αὐτῷ, τοῦτ' ἔστιν [ἐν ἑαυτῷ], ὅτι καὶ αὐτὸς υἱοθέτηται πιστεύων, διὰ τοῦ υἱοθετηθέντος Ἰησοῦ ὑπὸ Θεοῦ. Ὁ μὴ πιστεύων δὲ, δυσὶν ἔνοχός ἐστι κακοῖς· ἀπιστίας, ψεύστην ποιῶν τὸν Θεὸν, ἀλλὰ καὶ ἑαυτὸν ἀποστερῶν υἱοθεσίας, καὶ διὰ τοῦτο καὶ τῆς αἰωνίου ζωῆς, ἣν καὶ ὁ Χριστὸς αὐτὸς ἔχει ἐν ἑαυτῷ, ὡς καὶ ἐν τῷ Εὐαγγελίῳ γέγραπται· *Ἐν αὐτῷ ζωὴ ἦν.* Ὥστε ὁ ἔχων τὸν Υἱὸν διὰ τοῦ βαπτίσματος, ἔχει καὶ τὴν ζωήν· ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθημεν, Χριστὸν ἐνεδυσάμεθα. Ὅστις δὲ μὴ ἔχει τὸν Υἱὸν τοῦ Θεοῦ διὰ τοῦ βαπτίσματος, οὐδὲ τὴν ζωὴν ἔχει, καὶ νενέκρωται. Νεκροὺς γὰρ παραλαμβάνων ἡμᾶς τοῖς παραπτώμασιν, ἐγείρει διὰ τοῦ ἁγίου βαπτίσματος. Πῶς; Ὅτι ὁ συνταφεὶς Χριστῷ διὰ τῆς ἐν τῷ βαπτίσματι καταδύσεως, οὗτος νεκρός ἐστι τῷ κόσμῳ, ἤτοι ταῖς κοσμικαῖς ἐπιθυμίαις, καὶ οὐκέτι ἐν αὐτῷ, ἀλλὰ Χριστῷ ζῇ.

Christo, ab ipso Deo est? Qui igitur credit in Filium Dei, quod Deus sit, tamquam Filius Dei, habet testimonium in ipso, hoc est, in seipso, credens, et ipsum adoptatum esse in filium per Jesum, qui **431** in filium assumptus est a Deo. Qui vero hoc non credit, duobus se malis obnoxium reddit: nempe infidelitatis, mendacem faciens Deum; et præterea se adoptione privat, ideoque et vita æterna, quam Christus in se ipso habet, quemadmodum in Evangelio scribitur [66]: *In ipso vita erat.* Quare qui habet Filium per baptisma, habet et vitam [67]. Quicumque enim in Christo baptizati sumus, Christum induimus. Quisquis autem non habet Filium per baptisma, neque vitam habet, sed mortuus est: siquidem ille nos, cum essemus mortui propter B peccata, suscitavit per sanctum baptisma. Quomodo? Quia qui consepultus est Christo per demersionem quæ fit in baptismate, is mundo, seu mundi concupiscentiis mortuus est, et non amplius in seipso, sed in Christo vivit.

Οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν τῷ ὕδατι καὶ τῷ αἵματι. Καὶ τὸ Πνεῦμά ἐστι τὸ μαρτυροῦν, ὅτι ὁ Χριστός ἐστιν ἡ ἀλήθεια. Ὅτι τρεῖς μαρτυροῦσι, τὸ Πνεῦμα, καὶ τὸ ὕδωρ, καὶ τὸ αἷμα. — Προσακουστέον τὸ, ἐλθών· ἵνα ᾖ· Οὐκ ἐν τῷ ὕδατι μόνον ἐλθὼν, ἦγουν δι' ὕδατος παρασχὼν τὴν ἀπόδειξιν.

Vers. 6, 7. *Non in aqua solum, sed in aqua et sanguine. Et Spiritus est qui testificatur, quoniam Christus est veritas* (1). *Quoniam tres sunt, qui testimonium dant, Spiritus, et aqua, et sanguis.* Subintelligendum, *venit*, ut ita se habeat: Non in aqua solum venit, scilicet per aquam exhibens sui ostensionem.

Καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν. Εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ μαρτυρία τοῦ Θεοῦ μείζων ἐστίν. Ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ C *Θεοῦ, ἣν μεμαρτύρηκε περὶ τοῦ Υἱοῦ αὐτοῦ. Ὁ πιστεύων εἰς τὸν Υἱὸν τοῦ Θεοῦ ἔχει τὴν μαρτυρίαν ἐν αὐτῷ. Ὁ μὴ πιστεύων τῷ Θεῷ ψεύστην πεποίηκεν αὐτὸν, ὅτι οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν, ἣν μεμαρτύρηκεν ὁ Θεὸς περὶ τοῦ Υἱοῦ αὐτοῦ. Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν ἡμῖν ὁ Θεός. Καὶ αὕτη ἡ ζωὴ ἐν τῷ Υἱῷ αὐτοῦ ἐστιν. Ὁ ἔχων τὸν Υἱὸν, ἔχει τὴν ζωήν. Ὁ μὴ ἔχων τὸν Υἱὸν τοῦ Θεοῦ, τὴν ζωὴν οὐκ ἔχει. Καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν, τοῦτ' ἔστιν, εἰς τὴν περὶ Χριστοῦ μαρτυρίαν, ὅτι τε υἱοθετήθη ὑπὸ Θεοῦ Πατρὸς, καὶ ὅπερ ἔσχηκεν αὐτὸς μετέδωκε καὶ τοῖς ἀξίοις πεπιστευκόσιν εἰς τὸ ὄνομα αὐτοῦ.*

Vers. 7-12. *Et hi tres ad unum sunt. Si testimonium hominum accipimus, testimonium Dei majus est, quoniam hoc est testimonium Dei, quod testificatus est de Filio suo. Qui credit in Filium Dei, habet testimonium Dei in se. Qui non credit Filio, mendacem facit eum, quia non credit in testimonium, quod testificatus est Deus de Filio suo. Et hoc est testimonium, quoniam vitam æternam dedit nobis Deus. Et hæc vita in Filio ejus est. Qui habet Filium, habet vitam: qui non habet Filium, vitam non habet. Et hi tres ad unum sunt*, hoc est, ad testimonium de Christo: quoniam in Filium assumptus est a Deo Patre: et quod ipse habebat, communicavit etiam cum dignis, qui crediderunt in nomen ipsius.

Ταῦτα ἔγραψα ὑμῖν τοῖς πιστεύουσιν [εἰς τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ], ἵνα εἰδῆτε, ὅτι ζωὴν D *αἰώνιον ἔχετε, καὶ πιστεύητε εἰς τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ. Καὶ αὕτη ἐστὶν ἡ παῤῥησία, ἣν ἔχομεν πρὸς αὐτὸν, ὅτι ἐάν τι αἰτώμεθα κατὰ τὸ θέλημα αὐτοῦ, ἀκούει ἡμῶν. Καὶ ἐὰν οἴδαμεν ὅτι ἀκούει ἡμῶν ὃ ἐὰν αἰτώμεθα, οἴδαμεν ὅτι ἔχομεν τὰ αἰτήματα, ἃ ᾐτήσαμεν παρ' αὐτοῦ. Ταῦτα ὡς ἐν ἐπιλόγῳ ἀνακεφαλαιοῦται, καί φησιν,*

Vers. 13-15. *Hæc scribo vobis, ut sciatis, quoniam vitam habetis æternam, qui creditis in nomine Filii Dei. Et hæc est fiducia quam habemus ad eum, quia quodcumque petierimus secundum voluntatem ejus, audit nos. Et si scimus quia audit nos, quidquid petierimus, scimus quoniam habemus petitiones quas postulamus ab eo.* Hæc velut in epilogo colligit, et ait: Scripsi vobis tanquam hæredibus æternæ vitæ: non enim ita iis,

[66] Joan. I, 4. [67] Galat. III, 27.

Variæ lectiones et notæ.

(1) Versiculum septimum prætermittit commentator iste, sicut cæteri auctores Græci. Deest etiam ille in plerisque Græcis codicibus. Eum tamen genuinum esse Scripturæ textum, invicte probant eruditi quamplures: sed omnium, sicut novissime, ita et præstantissime vir celeberrimus P. Bernardus Maria de Rubeis, ord. Prædicatorum, in præclara dissertatione *De tribus testibus in cœlo* adversus Samuelem Crellium edita typis Venetis an. 1756.

Digitized by Google

qui secundum spem æternæ non vivunt, scripsissemus, siquidem non decet sancta dare canibus, et mittere margaritas ante porcos[67]. Repetit autem sermonem, **432** ut diximus, ad memoriam revocans, quæ dixerat. Primum quidem, quod oporteat firmiter credere in nomen Filii Dei, hoc est, exercere divinum cultum ab ipso præscriptum: hoc enim significat illud, *nomen Filii Dei*, ut diximus; deinde, quod signum indubitatæ istius fidei nihil aliud sit, præterquam illa fiducia quam per irreprehensibilem fidem acquirimus erga ipsum, quemadmodum etiam superius dixit. Et quod rursus signum talis fiduciæ sit nihilo eorum fraudari, quæ postulamus. Sed quoniam non omnes cuncta, quæ postulant, consequuntur, neque exaudiuntur in iis, quæ petunt, addit illud, *secundum voluntatem ejus*, innuens, eum qui præter Dei voluntatem petierit, haudquaquam exaudiendum fore. Qua in re consonat beato Jacobo, siquidem et hic [68], *Petitis*, ait, *et non accipitis, eo quod male petatis*. Convertens vero hujusmodi signum in apertius indicium, Et si scimus, inquit, quia audit nos, quidquid petierimus; scimus, quia habemus petitiones quas postulamus ab eo. Ac si diceret: Si secundum voluntatem ejus postulamus, audit nos; et si exaudit nos in eo quod postulamus, scimus, quod secundum voluntatem ejus petitiones nostras faciamus: et habemus in nobismetipsis petitiones quas postulavimus. Hæc vero sunt, regnum Dei, et justitia ejus [69], quæ ipse, ut peteremus, in Evangelio mandavit.

VERS. 16, 17. *Qui scit fratrem suum peccare peccatum non ad mortem, petat et dabitur ei vita peccanti non ad mortem. Est peccatum ad mortem: non pro illo dico ut roget quis. Omnis iniquitas peccatum est: et est peccatum non ad mortem.* His quæ jam exposuimus, expeditis, diserte proponit quidquam eorum, quæ vult, ut secundum voluntatem Dei petamus. Quoniam vero per totam ferme Epistolam multus fuit in extollenda charitate, atque in firmando, Deum velle, ut dilectionem nostram erga fratres illibatam custodiamus; nunc unum illudque potissimum eorum, quæ Deus a nobis exigit, esse ait, *ut si quis viderit fratrem suum peccantem non ad mortem, petat et dabit ei*. Quid vero dabit? Vitam æternam. Sed quibus? Iis qui non peccant ad mortem. Sic enim ille peccatum generatim dividit. Omnis iniquitas peccatum est, et ea quæ est ad mortem, et illa quæ non est ad mortem. At de ea quæ est ad mortem, non roget, inquit, seu non postulet quisquam: non enim exaudiendus est, quoniam male petit. Loquitur vero de eo qui nullam exhibet conversionem: talis enim iniquitas est peccatum ad mortem, quæ scilicet ad pœnitentiam non vergit: qua laborans Judas æternam mortem subiit. **433** Verum et qui injuriarum memoriam retinent, ad mortem

A ὅτι Ἔγραψα ὑμῖν ὡς κληρονόμοις αἰωνίου ζωῆς· οὐκ ἂν γὰρ ταῦτα γραφείη τοῖς μὴ κατ' ἐλπίδα βιοῦσι τῆς αἰωνίου ζωῆς· ὅτι μηδὲ τὰ ἅγια διδόναι τοῖς κυσὶ, μηδὲ τοὺς μαργαρίτας ἀξιέπαινον ῥίπτειν ἔμπροσθεν τῶν χοίρων. Καὶ ἐπαναλαμβάνει, ὡς εἰρήκαμεν, ὑπομιμνήσκων αὐτοὺς τῶν εἰρημένων, πρῶτον, ὅτι δεῖ [πιστεύειν ἀδιστάκτως] εἰς τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦτ' ἔστιν, εἰς τὴν ὑπ' ἐκείνου παραδοθεῖσαν ἡμῖν θεοσέβειαν (τοῦτο γὰρ σημαίνει, *τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ*, ὥσπερ εἴπομεν)· εἶτα ὅτι σημεῖον τῆς ἀδιστάκτου ταύτης πίστεως οὐδέν ἐστιν ἄλλο, ἢ ἡ παῤῥησία, ἣν διὰ τῆς ἀμωμήτου πίστεως εὑρίσκομεν πρὸς αὐτὸν, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν, καὶ ὅτι [πάλιν] τὸ σημεῖον τῆς τοιαύτης παῤῥησίας, τὸ μὴ ἀστοχεῖν πάντων τῶν παρ'
B ἡμῶν αἰτουμένων τέθεικεν. Ἀλλ' ἐπειδὴ οὐ πάντων τῶν αἰτουμένων πάντες τυγχάνουσιν, οὐδὲ ἐπακούονται εἰς ἃ αἰτοῦσι, προστίθησι τὸ, *κατὰ τὸ θέλημα αὐτοῦ*, ὡς ὅγε παρὰ τὸ θέλημα τοῦ Διδασκάλου αἰτῶν, οὐδὲ εἰσακουσθησόμενος, ὁμοίως τῷ μακαρίῳ Ἰακώβῳ· ἐπεὶ καὶ οὗτος, *Αἰτεῖτε*, φάσκει, *καὶ οὐ λαμβάνετε, ἐπειδὴ*, φησὶ, *κακῶς αἰτεῖσθε*. Ἀντιστρέφων δὲ τὸ τοιοῦτον σημεῖον εἰς σαφέστερον γνώρισμα, φησί· Καὶ ἐὰν οἴδαμεν ὅτι εἰσακούει ἡμῶν εἰς πᾶν ὃ αἰτῶμεν, οἴδαμεν ὅτι ἔχομεν τὰ αἰ-
τήματα, ἃ ᾐτήκαμεν αὐτόν· τοιοῦτόν τι λέγων· Εἰ κατὰ τὸ θέλημα αὐτοῦ αἰτοῦμεν, ἀκούει ἡμῶν· καὶ εἰ εἰσάκουει ἡμῶν εἰς ὃ αἰτοῦμεν, οἴδαμεν ὅτι κατὰ τὸ θέλημα αὐτοῦ ποιοῦμεν τὰ αἰτήματα ἡμῶν, καὶ
C ἔχομεν ἐν ἑαυτοῖς τὰ αἰτήματα ἃ ᾐτήσαμεν. Ταῦτα δέ ἐστιν, ἡ βασιλεία καὶ ἡ δικαιοσύνη αὐτοῦ, ἃ καὶ αὐτὸς αἰτεῖν ἡμᾶς ἐν Εὐαγγελίοις ἐνετείλατο.

Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει, καὶ δώσει αὐτῷ, ζωὴν τοῖς ἁμαρτάνουσι μὴ πρὸς θάνατον. Ἔστιν ἁμαρτία πρὸς θάνατον· οὐ περὶ ἐκείνης λέγω, ἵνα ἐρωτήσῃ. Πᾶσα ἀδικία ἁμαρτία ἐστί· καὶ ἔστιν ἁμαρτία, οὐ πρὸς θάνατον. Εἰπὼν ἄπερ παρεθέμεθα, νῦν αὐτὸς καὶ ῥητῶς παρατίθεταί τι
D ὧν αἰτεῖν ἡμᾶς βούλεται τῶν κατὰ τὸ θέλημα τοῦ Θεοῦ. Καὶ ἐπειδὴ πολύς ἐστι σχεδὸν δι' ὅλης τῆς Ἐπιστολῆς, τὴν εἰς τὸν ἀδελφὸν ἀγάπην ἐξυμνῶν, καὶ τοῦτο βούλεσθαι τὸν Θεὸν, τὴν εἰς τὸν ἀδελφὸν ἀγάπην ἀνόθευτον τηρεῖν, νῦν ἓν τῶν θελημάτων αὐτοῦ καὶ τὸ κράτιστον εἶναι τοῦτό φησιν· *Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα μὴ πρὸς θάνατον, αἰτήσῃ, καὶ δώσει αὐτῷ*. Καὶ τί δώσει; Ζωὴν αἰώνιον. Τίσι; Τοῖς μὴ ἁμαρτάνουσι πρὸς θάνατον. Ὡς γὰρ ἀπὸ γένους τῆς ἁπλῶς ἁμαρτίας ποιεῖ τὴν διαίρεσιν, καί φησι· Πᾶσα ἀδικία ἁμαρτία ἐστὶ, καὶ ἡ πρὸς θάνατον, καὶ ἡ μὴ πρὸς θάνατον. Ἀλλὰ περὶ μὲν τῆς πρὸς θάνατον, φησὶ, μὴ ἐρωτάτω, ἤτοι μὴ αἰτείτω· οὐ γὰρ εἰσακουσθήσεται, ὅτι κακῶς αἰτεῖ· περὶ τοῦ μηδεμίαν ἐπιδεικνυμένου λέγων ἐπιστροφήν. Πρὸς θάνατον γάρ αὕτη ἐστὶν ἁμαρτία μόνη, ἡ μὴ πρὸς μετάνοιαν ἀφορῶσα, ἣν καὶ Ἰούδας νοσήσας, τῷ αἰωνίῳ θανάτῳ ὑπήχθη.

[67] Matth. VII, 6. [68] Jac. IV, 5. [69] Matth. VI, 33.

Digitized by Google

Ἀλλὰ καὶ οἱ μνησικακοῦντες, πρὸς θάνατον ἁμαρτάνουσι. Λέγει γὰρ Σολομών· *Ὁδοὶ μνησικάκων εἰς θάνατον.* Οὐδὲ γὰρ οὗτοι μετανοοῦσιν ἐπιστρέφοντες, μνησικακίας ἐχόμενοι, καὶ διατηροῦντες [τὴν κατὰ τοῦ πλησίον] ὀργήν, ἀλλὰ ἀμετάγνωστα ἁμαρτάνουσιν.

Οἴδαμεν, ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ οὐχ ἁμαρτάνει· ἀλλ' ὁ γεννηθεὶς ἐκ τοῦ Θεοῦ τηρεῖ ἑαυτὸν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ. Οἴδαμεν ὅτι ἐκ τοῦ Θεοῦ ἐσμεν, καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται. Οἴδαμεν δὲ ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἥκει· καὶ δέδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεόν· καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ, ἐν τῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ἡ ζωὴ ἡ αἰώνιος.

Ἐπιστήσας ἡμᾶς τίς ἡ ἁμαρτία ἡ πρὸς θάνατον, καὶ τίς ἡ μὴ πρὸς θάνατον, ἐπισημαίνεται λοιπὸν, καὶ τίνων ἐστὶ τὸ πρὸς θάνατον ἁμαρτάνειν, καί φησιν, ὅτι ὁ υἱοθετηθεὶς ἐκ Θεοῦ, οὐκ ἄν ποτε οὗτος, οὔτε πρὸς θάνατον [οὔτε τὴν μὴ πρὸς θάνατον] ἁμαρτίαν νοσήσῃ. Ἅπαξ γὰρ ἑαυτὸν ἐκδοὺς τῷ ἐνοικοῦντι αὐτῷ διὰ τῆς υἱοθεσίας Χριστῷ, ἀνέπαφος διαμένει ἁμαρτίας. Πλὴν ἵνα μή τις οἰηθείη πάντη τὸν τοιοῦτον μεταπεποιῆσθαι τὴν φύσιν, ὡς ἀνάλωτον εἶναι λοιπὸν τῇ ἁμαρτίᾳ, ἐπιφέρει τὸ, *Τηρεῖ ἑαυτόν*· ὡς εἴ γε μὴ τηρῇ ἑαυτὸν καὶ φυλάσσῃ ἐκ τοῦ πονηροῦ, πάντως ἁμαρτησόμενος. Οὐ φύσει οὖν εἰ; ἀναμαρτησίαν προβαίνει, φησὶν, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ μεγαλοδωρεᾶς· ὃς διὰ τοῦ υἱοθετῆσαι ἡμᾶς, ταύτης ἠξίωσε τῆς χάριτος, ἵνα φυλάσσοντες ἡμεῖς καὶ τηροῦντες τὸ δώρημα τὸ ὑπ' αὐτοῦ ἡμῖν δωρηθὲν, καὶ τὸ μὴ ἁμαρτάνειν ἔχωμεν. Ἐπεὶ ἄλλως, φησὶν, ἐν τῷ πονηρῷ τοῦ κόσμου κειμένου (λέγει δὲ κόσμον τοὺς μὴ διὰ δεξιῶν ἔργων εἰς υἱοθεσίαν ἑαυτοὺς τοῦ Θεοῦ μετατάξαντας), οὐδὲν ἂν ἐκώλυε τοῖς ἀπολλυμένοις συνεξετάζεσθαι ἡμᾶς· καθότι *ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ*· ὡς ἐπὶ τοῦ κατακλυσμοῦ ὁ Θεὸς ἀπεφήνατο. Ἀλλ' ἐπεὶ, φησὶν, ὁ Υἱὸς τοῦ Θεοῦ ἥκει, καὶ δέδωκεν ἡμῖν διάνοιαν τοῦ γινώσκειν αὐτὸν Θεὸν ἀληθινὸν, καὶ εἶναι ἐν αὐτῷ τῷ ἀληθινῷ Υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ, ἐγνωμεν διὰ τῆς μεγαλοδωρεᾶς ταύτης, ὅτι οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς, καὶ ἡ ζωὴ ἡ αἰώνιος· καὶ γνόντες, μένομεν ἀνεπηρέαστοι ἐκ τοῦ πονηροῦ, καὶ τῶν σκανδάλων αὐτοῦ.

Τεκνία, φυλάξατε ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων. Ἀμήν. Ἐξήτησάν [*f.* ἐζήτ.] τινες· Τίνος χάριν, εἰ πρὸς τελείους πιστοὺς ταῦτα ἐγράφει [*f.*—φη], παρεγγυᾷ φυλάττεσθαι αὐτοὺς ἀπὸ τῶν εἰδώλων; Φαμὲν οὖν, ὡς ἐπειδὴ τῇ Ἐκκλησίᾳ ὅλῃ ἔγραφε ταῦτα, ἥτις οὐ πᾶσα κεκριμένῳ λαῷ συνεπληροῦτο, ἀλλ' ἦν τις καὶ ἐν ταύτῃ νωθέστερον διακείμενος, πρὸς τοὺς τοιούτους παρεγγυᾷ, τὸ εὐλίσθον αὐτῶν ὑφορώμενος.

Τέλος τῆς Ἐπιστολῆς Καθολικῆς Ἰωάννου. ἐγράφη ἀπὸ Ἐφέσου, στίχων σξδ'.

peccant : ait enim Salomon [70] : *Viæ memorum injuriarum ad mortem.* Quandoquidem neque isti resipiscere solent : quippe qui injuriarum memoriæ hærentes, iram non deponunt, adeoque irremissibiliter peccant.

Vers. 18-20. *Scimus quia omnis qui natus est ex Deo, non peccat ; sed generatio Dei conservat eum, et malignus non tangit eum. Scimus, quoniam ex Deo sumus ; et mundus totus in maligno positus est. Et scimus, quoniam Filius Dei venit ; et dedit nobis sensum, ut cognoscamus verum Deum, et simus in vero Filio ejus. Hic est verus Deus et vita æterna.* Postquam nos docuit, quodnam peccatum sit ad mortem, et quodnam non ad mortem, declarat deinceps, quorum sit peccare ad mortem : et ait, eum qui adoptatus est a Deo, peccato ad mortem nunquam laboraturum. Cum enim semel se Christo per adoptionem in semet inhabitanti tradiderit, peccato liber perseverat. Attamen, ne quis putaret, eum omnino mutasse naturam, quo peccatis amplius vinci non posset, subjungit : *Conservat seipsum*, velut qui, si non servet seipsum, et a maligno non caveat, omnino sit peccaturus. Scilicet non natura ad impeccantiam quis progreditur, inquit ; sed eximio Dei dono, qui nos adoptando tantam nobis contulit gratiam, ut, si donum ab ipso collatum caute custodiamus, in nullum amplius peccatum prolabamur. Quandoquidem alias, inquit, cum mundus in maligno sit positus (mundum autem vocat eos, qui per bona opera divinam sibi adoptionem non conscivere), nihil prohibet, quominus nosquoque pereuntibus annumeremur : cum [71] *sensus et cogitatio humani cordis in malum prona sint ab adolescentia sua*, quemadmodum in diluvio Deus patefecit. Verum quoniam, inquit, Filius Dei venit, et dedit nobis sensum, ut cognoscamus ipsum verum Deum, et simus in vero Filio ejus Jesu Christo, cognovimus per hujusmodi eximium donum, quoniam hic est verus Deus et vita æterna : et cognoscentes tuti sumus ab impetu maligni, et ab offendiculis ejus.

Vers. 21. *Filioli, custodite vos a simulacris. Amen.* Quæsiere nonnulli, qua de causa Joannes, cum ad perfectos fideles hanc scripserit Epistolam, præceperit, ut a simulacris se custodirent. At respondemus : Quoniam hæc scribebat toti Ecclesiæ, quæ non tota ex electo populo constabat, sed in ea nonnulli erant segnius affecti, propterea tales cohortatur, ut eorum prospiceret imbecillitati.

Finis Epistolæ catholicæ Joannis. Scripta est ab Epheso, vers. 264.

[70] Prov. XII, 28. [71] Gen. VIII, 21.

Digitized by Google

ΘΕΟΦΥΛΑΚΤΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ

ΤΗΣ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ Β΄ ΕΠΙΣΤΟΛΗΣ ΕΞΗΓΗΣΙΣ.

THEOPHYLACTI

BULGARIÆ ARCHIEPISCOPI

EXPOSITIO IN EPISTOLAM II S. JOANNIS.

434 *ARGUMENTUM SECUNDÆ CATHOLICÆ EPISTOLÆ JOANNIS.*

Epistolam hanc Joannes tanquam presbyter seu senior scribit Electæ dominæ et filiis ejus. Occasio autem hujus epistolæ est hæc : Videns filios ejus recte in fide versari, et multos seductores circumire dicentes, non esse adventum Domini in carne, hanc scribit Epistolam : in qua primo quidem ejusdem filios velut recte ambulantes commendat ; deinde docet, novum non esse mysterium nostrum : ac rursus hortatur ad charitatem, et ad perseverandum in doctrina ipsis tradita. Cæterum docet Antichristum esse, quicunque negat Christum in carne venisse ; ac præcipit, ut nemo ejusmodi homines in domum suam recipiat, neve eos salutet. Et sic concludit Epistolam.

A ΥΠΟΘΕΣΙΣ ΤΗΣ Β΄ ΚΑΘΟΛΙΚΗΣ ΕΠΙΣΤΟΛΗΣ ΙΩΑΝΝΟΥ.

Ταύτην ὡς πρεσβύτερος γράφει Ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς. Ἡ δὲ πρόφασις τῆς Ἐπιστολῆς αὕτη· Ὁρῶν τὰ τέκνα αὐτῆς καλῶς ἀναστρεφόμενα ἐν τῇ πίστει, καὶ πολλοὺς πλάνους περιερχομένους καὶ λέγοντας, μὴ εἶναι τὴν παρουσίαν τοῦ Χριστοῦ ἐν σαρκὶ, γράφει τὴν Ἐπιστολήν. Καὶ πρῶτον μὲν ἀποδέχεται αὐτῆς τὰ τέκνα, καλῶς περιπατοῦντα· εἶτα διδάσκων μὴ νεώτερον εἶναι τὸ καθ' ἡμᾶς μυστήριον, παραινεῖ πάλιν περὶ ἀγάπης, καὶ ἵνα μείνωσιν ἐν τῇ διδαχῇ τῇ παραδοθείσῃ αὐτοῖς. Καὶ λοιπὸν διδάσκει Ἀντίχριστον εἶναι τὸν λέγοντα, μὴ ἐν σαρκὶ ἐληλυθέναι τὸν Χριστόν. Παραγγέλλει δὲ, ὥστε τοὺς τοιούτους μὴ δέχεσθαί τινα εἰς οἰκίαν, μηδὲ λέγειν αὐτοῖς τὸ χαίρειν. Καὶ οὕτω τελειοῖ τὴν Ἐπιστολήν.

B

435 *CAPITA HUJUS EPISTOLÆ.*

1. *Post proœmium agit de recta vita in charitate Dei per sanctam fidem immutabiliter servanda. Et quod oporteat hæreticum neutiquam in domum introducere, aut salutare, propter peccatum.*
2. *Promissio de adventu suo propter spem futuræ utilitatis.*

ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΕΠΙΣΤΟΛΗΣ ΤΑΥΤΗΣ.

Α΄. Μετὰ τὸ προοίμιον, περὶ ὀρθοῦ βίου ἐν ἀγάπῃ Θεοῦ, διὰ πίστεως εὐσεβοῦς ἀμεταθέτου. Ἐν ᾧ ὅτι [οὐ] δεῖ αἱρετικὸν εἰσοικίζειν, ἢ χαιρετίζειν ἐφ' ἁμαρτίᾳ.

Β΄. Ἐπαγγελία παρουσίας αὐτοῦ ἐπ' ἐλπίδι πρὸς ὠφέλειαν.

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ
ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΙΩΑΝΝΟΥ.

EPISTOLA SECUNDA
SANCTI JOANNIS APOSTOLI.

Ὁ πρεσβύτερος Ἐκλεκτῇ κυρίᾳ, καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ, οὐκ ἐγὼ δὲ μόνος, ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν. Τινὲς ᾠήθησαν ταύτην καὶ τὴν μετ' αὐτὴν Ἐπιστολὴν μὴ εἶναι Ἰωάννου τοῦ ἠγαπημένου, ἀλλ' ἑτέρου ὁμωνύμου τούτῳ, καθότι καὶ πρεσβύτερον ἑαυτὸν καὶ ἐν ταύτῃ καὶ ἐν τῇ μετ' αὐτὴν γράφει, καὶ πρὸς γυναῖκα, καὶ ἕτερον [Γάϊον] ἕνα καὶ αὐτὸν, ὥσπερ καὶ τὴν γυναῖκα μίαν· ὅπερ οὐ κατ' Ἐπιστολὴν Καθολικήν. Καὶ τὴν προγραφὴν δὲ ὅτι μὴ κατὰ τὴν πρώτην πεποίηται Ἐπιστολήν· οὐ γὰρ ἐν ἐκείνῃ οὕτως ἀπήρξατο. Ἀλλά φαμεν, ὅτι ἐν τῇ πρώτῃ οὐκ ἐποίησε τοῦτο, οὕτω προγράψας· οὐ γὰρ πρὸς ὡρισμένον ἔγραφε πρόσωπον, οὐδὲ πρὸς Ἐκκλησίαν τόπων τινῶν, ὥσπερ ἐποίησεν ὁ μακάριος Πέτρος, ἀφωρισμένως πρὸς τοὺς ἐν τῇ διασπορᾷ ἐπισημαινόμενος Ἰουδαίους γράφειν, καὶ πρὸ τούτου ὁ θεῖος Ἰάκωβος· ἀλλὰ πᾶσι πιστοῖς κοινὸν ποιούμενος τὸν λόγον, ἐκκλησιάζουσι, καὶ μὴ ἐκκλησιάζουσι, τὸν τῆς προγραφῆς παραλιπὼν τύπον. Πρεσβύτερον δὲ ἑαυτὸν γράφει ἐνταῦθα, καὶ οὐκ ἀπόστολον, οὐδὲ δοῦλον Ἰησοῦ Χριστοῦ, ὡς οἱ λοιποὶ ἀπόστολοι. Ἀπόστολον μὲν οὖν οὐ γράφει ἑαυτὸν, ἴσως, ὅτι μὴ πρῶτος κατήγγειλε τὸν λόγον ἐν τῇ Ἀσίᾳ, ἀλλὰ μετὰ Παῦλον, καὶ οὐ κατὰ πάροδον ὥσπερ ἐκεῖνος, ἀλλὰ μένων ἐκεῖ καὶ παρών. Ἀλλὰ οὐδὲ δοῦλον Ἰησοῦ Χριστοῦ· ἐθάρρει γὰρ, διὰ τὸ ἄγαν ἀγαπᾶσθαι, ἔξω τοῦ τῆς δουλείας εἶναι φόβου. Πρεσβύτερον δὲ μόνον ἑαυτὸν ἠξίωσε καλέσαι, ὅτι γηραιὸς ὢν ἤδη ἔγραψε ταύτας, ἢ ὅτι καὶ ἐπίσκοπον ἑαυτὸν ἐκάλεσε διὰ τοῦ πρεσβυτέρου, εἰωθότος, τὸ κατ' ἐκεῖνο καιροῦ, καὶ ἐπὶ τῶν ἐπισκόπων φέρεσθαι τὸ ὄνομα τοῦ πρεσβυτέρου. Πρὸς δὲ γυναῖκα γράφων πιστὴν, οὐδὲν ὑπεστείλατο, ὅτι ἐν Χριστῷ Ἰησοῦ οὐκ ἄρρεν οὐδὲ θῆλυ [οἶδε]. Πρὸς δὲ Γάϊον ἕνα γράφων, ἔχει Παῦλον [Τίτῳ τε] γράφοντα καὶ Τιμοθέῳ, καὶ πρὸς Φιλήμονα δὲ ἰδιώτην. Ταῦτα μὲν περὶ τῆς προγραφῆς.

Δείκνυται δὲ ἀπὸ τῆς ἀπαγγελίας καὶ τῆς ἄλλης τοῦ λόγου οἰκονομίας, τὸ γνήσιον τῶν Ἐπιστολῶν·

VERS. 1. *Senior Electæ dominæ et natis ejus quos ego diligo in veritate: et non ego solus, sed et omnes, qui noverunt veritatem.* Quidam putaverunt, Epistolam hanc et sequentem non esse Joannis apostoli, sed alterius huic cognominis, propterea quod, cum in hac, tum in sequente, sese presbyterum, seu seniorem vocat; et scribit ad mulierem, et ad Gaium; unum quidem illum, sicut et ad mulierem unam; quod Epistolæ Catholicæ consentaneum non videtur. Ac præterea neque exordium hujus Epistolæ tale est, quale in priore: alio enim modo illam exorditur. Attamen dico, Joannem priorem Epistolam diversimode, nulla præposita inscriptione, inchoasse; quia non ad peculiarem personam, neque ad aliquot locorum Ecclesiam scribebat, uti fecit beatus Petrus, significans se determinate scribere ad Judæos qui erant in dispersione, et ante hunc sanctus Jacobus; sed universis fidelibus, sive congregatis, sive non congregatis, communem omnibus instituens sermonem: ideoque in ea inscriptionis formulam prætermisit. Presbyterum autem, seu seniorem, non vero apostolum, aut servum Jesu Christi, quemadmodum alii apostoli, sese hic dicit: non quidem apostolum, fortasse, quia primus ille non fuit, qui prædicaret Evangelium in Asia, sed Paulus: et non in transitu, sicut ille prædicavit; sed ibi manens ac præsens. Neque vero servum Jesu Christi: confidebat enim se, eo quod impense ab ipso diligeretur, liberum esse a timore servitutis. Presbyterum autem, seu seniorem tantum appellare se voluit, quod jam senex esset, cum has Epistolas conscriberet, vel ut episcopum se esse significaret: nam presbyteri nomen etiam **436** de episcopis dici per id tempus solebat. Ad mulierem autem fidelem scribere non dubitavit: quoniam in Christo Jesu neque masculum, neque feminam [1] noverat. Ad unum vero scribens Gaium, præeuntem Paulum habuit, qui ad Titum et Timotheum scripsit, ac etiam ad idiotam Philemonem. Et hæc de inscriptione sint dicta.

Ex phrasi vero et reliqua sermonis œconomia perspicuum est, sequentes duas Epistolas genuinum

[1] Galat. III, 28.

Digitized by Google

esse hujus apostoli fœtum : nam et in hac sermonem sæpe repetit, eadem de iisdem dicens, ubi vel modica recurrit occasio, ut, quod docet, magis confirmet. Duo vero suadet Electæ huic ; unum, ut in charitate ambulet ; alterum ut hæreticos aversetur et fugiat. Electam vero vel ex nomine, vel propter virtutis studium vocat. Quam etiam ab se sincere diligi affirmat : et non eam quidem solum, sed omnes quoque moribus eidem similes, qui veritatem in corde suo infixam habent. Hoc enim significat per illud : *quæ permanet in nobis*, videlicet fides in Christum. Ait vero se diligere in veritate : sunt enim et qui ficte diligunt ore, quemadmodum ipse in priore Epistola de frigidis quibusdam fidelibus dixit. Postquam vero dixit : *quæ permanet in nobis*, addit : *et nobiscum erit in æternum*. Tum vero rursus subdit illud : *Erit nobiscum gratia et misericordia*, bona ostendens, quæ ex perfecta charitate oriuntur. *A Deo Patre*, inquit, *et a Christo Jesu* ; additque : *Filio Patris* : hic enim solus, proprie Pater est Filii. Unde Paulus [2] *Ex quo*, ait, *omnis paternitas in cœlis et in terra nominatur*. Rursus autem ait : *in veritate et charitate*, sermonem confirmans, et certum exhibens indicium charitatis, de qua loquitur.

Vers. 2, 3. *Propter veritatem quæ permanet in nobis, et nobiscum erit in æternum. Sit vobiscum gratia, misericordia, pax a Deo Patre, et a Christo Jesu Filio Patris in veritate et charitate.* Scilicet vera et firma, et non simulata, seu quæ speciem tantum charitatis habeat.

Vers. 4-6. *Gavisus sum valde, quoniam inveni de filiis tuis ambulantes in veritate, sicut mandatum accepimus a Patre. Et nunc rogo te, domina, non tanquam mandatum novum scribens tibi, sed quod habuimus ab initio, ut diligamus alterutrum. Et hæc est charitas, ut ambulemus secundum mandata ejus.* Summi profecto gaudii res est invenire aliquem absque offensione decurrentem stadium fidei Christi secundum mandatum ejus. At quodnam istud mandatum ? Id nempe, de quo in Evangelio Christus ait [3] : *Qui diligit me, mandata mea servabit*. Patrem vero vocat Christum : nam ipse quoque est pater, **437** scilicet filiorum, qui ei a Patre per dispensationem dati sunt, juxta illud [4] : *Ecce ego et pueri mei, quos dedit mihi Dominus*. Cæterum animadverte hic hujus Epistolæ germanitatem : quandoquidem consonat cum eo, quod in priore Epistola dictum est : *Et scimus, quoniam qui diligit Deum, mandata ejus servat*. Etenim ambulare secundum mandata est eadem servare. Virtutes actuosæ sunt, et esse habent per hoc quod exerceantur. Quare qui cessat ab ambulando in ipsis, neque illas ullo pacto conservat. Ambulare autem de profectu seu de augmento dicitur. Quanto enim quis secundum virtutem operatur, tanto in anteriora progreditur,

[2] Ephes. III, 15. [3] Joan. XIV, 23. [4] Isa. VIII, 18.

A ἐπεὶ κἀνταῦθα πολλάκις ἐπανάγει τὸν λόγον, τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγων, μετὰ τοῦ μικρᾶς παραπίπτειν ἀφορμῆς, καὶ ταύτῃ κατασφαλίζεσθαι τὸν λόγον. Δύο δὲ τῇ Ἐκλεκτῇ ταύτῃ ἐπιμαρτυρεῖ ἓν μὲν, τὸ ἐν ἀγάπῃ περιπατεῖν· ἕτερον δὲ, τὸ ἐκτρέπεσθαι τοὺς αἱρετικούς. Ἐκλεκτὴν δὲ, ἢ ἀπὸ τοῦ ὀνόματος, ἢ ἀπὸ τῆς περὶ ἀρετὴν φιλοτιμίας καλεῖ, ἣν καὶ ἀγαπᾷν φησιν ἐν ἀληθείᾳ, καὶ οὐ μόνον αὐτὴν, ἀλλὰ καὶ πάντας τοὺς ὁμοτρόπους αὐτῇ, τοὺς τὴν ἀλήθειαν ἔχοντας ἐν ἑαυτοῖς ἡδρασμένην. Τοῦτο γὰρ σημαίνει διὰ τοῦ, *τὴν μένουσαν ἐν ἡμῖν*, τοῦτ' ἔστιν ἡ εἰς Χριστὸν πίστις. Ἐν ἀληθείᾳ δὲ ἀγαπᾷν λέγει. Ἔστι γὰρ καὶ ἐπιπλάστως ἀγαπᾷν στόματι, ὡς αὐτὸς ἐν τῇ πρώτῃ Ἐπιστολῇ περί τινων νοθρευομένων ἐδήλωσε πιστῶν. Εἰπὼν δὲ, *τὴν μένουσαν ἐν ἡμῖν*, ἐπήνεγκε τὸ, *Καὶ μεθ' ἡμῶν ἔσται εἰς τὸν αἰῶνα*. Τούτοις δὲ πάλιν ἐπιφέρει τὸ, *Ἔσται μεθ' ἡμῶν χάρις καὶ ἔλεος*, τὰ ἀπὸ τῆς τελείας ἀγάπης ἐμφαίνων ἐπανθοῦντα καλά. *Ἀπὸ Θεοῦ Πατρὸς*, φησὶ, *καὶ παρὰ Κυρίου Ἰησοῦ Χριστοῦ*. Ἐπήγαγε τὸ, *τοῦ Υἱοῦ τοῦ Πατρός*. Μόνος γὰρ οὗτος κυρίως Πατὴρ Υἱοῦ. Διὸ καὶ Παῦλος, *Ἐξ οὗ*, φησὶ, *πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζομένη*. Πάλιν δὲ τὸ, *ἐν ἀληθείᾳ*, ἐπιφέρει, *καὶ ἀγάπῃ*, ἀσφάλειαν τῷ λόγῳ περιποιῶν καὶ γνώρισμα ἧς φησιν ἀγάπης.

Διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν (καὶ μεθ' ἡμῶν ἔσται εἰς τὸν αἰῶνα). Ἔσται μεθ' ὑμῶν χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς, καὶ παρὰ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Πατρὸς, ἐν ἀληθείᾳ καὶ ἀγάπῃ. — Οἷον τὴν ἀληθῆ καὶ ἐδραίαν, ἀλλὰ μὴ κατεσχηματισμένην.

Ἐχάρην λίαν, ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν ἐλάβομεν παρὰ τοῦ Πατρός. Καὶ νῦν ἐρωτῶ σε, κυρία, οὐχ ὡς ἐντολὴν γράφων σοι καινὴν, ἀλλ' ἣν εἴχομεν ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους. Καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ. — Καὶ γάρ ἐστιν ὡς ἀληθῶς χαρᾶς αἴτιον τῆς μεγίστης, τὸ εὑρεῖν τινα ἄνθρωπον ἀπροσκόπτως ὁδεύοντα τὸν ἐν τῇ πίστει τοῦ Χριστοῦ δρόμον κατὰ τὴν ἐντολὴν αὐτοῦ. Τίς δὲ ἡ ἐντολή ; ἣ περὶ ἧς ἐν Εὐαγγελίοις ὁ Χριστός φησιν· *Ὁ ἀγαπῶν με τὰς ἐντολάς μου τηρήσει*. Πατέρα δὲ νῦν τὸν Χριστὸν καλεῖ, ἐπεὶ καὶ πατήρ ἐστι τῶν διὰ τῆς οἰκονομίας παρὰ τοῦ Πατρὸς δοθέντων αὐτῷ υἱῶν, καθὸ εἴρηται· *Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοι ἔδωκεν ὁ Θεός*. Σκόπει δὲ καὶ τὸ γνήσιον τῆς Ἐπιστολῆς ταύτης, ὅτι συμφωνεῖ διὰ τούτων τῷ ἐν τῇ πρώτῃ Ἐπιστολῇ εἰρημένῳ, τῷ, *Καὶ οἴδαμεν ὅτι ὁ ἀγαπῶν τὸν Θεὸν, τὰς ἐντολὰς αὐτοῦ τηρεῖ*. Ταὐτὸν γάρ ἐστι, τὸ περιπατεῖν κατὰ τὰς ἐντολὰς, τῷ τηρεῖν αὐτάς. Πρακτικαὶ γὰρ αἱ ἀρεταὶ, καὶ τὸ εἶναι ἔχουσιν ἐν τῷ ἐνεργεῖσθαι. Ὥστε ὁ παυσάμενος τοῦ κατ' αὐτὰς ὁδεύειν, οὐδὲ φυλάσσει αὐτάς. Τὸ περιπατεῖν δὲ κατὰ προκοπὴν εἴρηται. Ὅσον γάρ τις κατ' ἀρετὴν ἐνεργεῖ. ἐπὶ τὰ πρόσω ἴσταται, ἕξιν

Digitized by Google

ἑαυτῷ περιποιῶν τοῦ καλοῦ πλείονα. Κατὰ τοῦτο δὲ οἶμαι εἰρῆσθαι καὶ τὸ, *Εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι.* Τῶν γὰρ δεδωρημένων ἡμῖν ὑπὸ τοῦ ἐνανθρωπήσαντος ἀγαθῶν τοσοῦτον τὸ μεγαλεῖον, ὡς καὶ ἀγγέλοις ἐφετὸν εἶναι βραχεῖαν τούτων λαβεῖν κατανόησιν· τοῦτο γὰρ τὸ, *παρακύψαι*, νοεῖται. Ἐφίεται δέ τις σωφρονῶν, τούτου, οὐ τοῦ παυσομένου, ἀλλὰ τοῦ ἀεννάως προϊόντος. Καὶ ἐπειδὴ τὸ ἀνεξάντλητον οὐχ οἷόν τε ὅλον περιλαβεῖν, ἀγαπητὸν γοῦν κἂν ποσῶς ἐν μετουσίᾳ τούτου γενέσθαι. Εἰρηκὼς δὲ, *Οὐχ ὡς ἐντολὴν καινὴν γράφω* [*f.* — *φων*] *σοι*, συμφώνως καὶ τοῦτο λέγων [*f.* — γει] τοῖς ἐν τῇ πρώτῃ. Προστίθησι δὲ καὶ τὸ τῆς ἐντολῆς ἔργον, *Ἵνα ἀγαπῶμεν ἀλλήλους.* Καὶ τὴν ἀγάπην ἐξηγεῖται, ὅτι αὕτη ἐν τῷ κατ' αὐτὴν πορεύεσθαι ἔχει τὸ εἶναι, καὶ τὴν ἐντολὴν τὴν ἀπ' ἀρχῆς, οὐκ ἄλλου τινὸς ἕνεκεν δεδόσθαι, εἰ μὴ ἵνα, φησὶν, ἐν αὐτῇ περιπατεῖτε [*f.* — τῆτε.].

A semper majorem rectitudinis habitum sibi conscii scens. Et hoc sensu dictum puto illud : [5] *In quo desiderant angeli prospicere.* Tanta enim est bonorum quæ nobis Verbum incarnatum contulit, magnitudo, ut etiam angelis desiderabile sit vel parvam eorum assequi intelligentiam. Hoc enim significat Græca vox παρακύψαι. Desiderat autem quisquis sapit non id quod cessare aliquando debet, sed quod perenniter duraturum est. At quoniam quod inexhaustum ac immensum est, totum capi non potest ; optimum nobis fuerit, si illud quomodocunque saltem participemus. Cum ait vero sanctus iste apostolus : *Non mandatum novum scribo tibi*, conformiter loquitur ad ea quæ in priore Epistola scripserat. Addit vero etiam mandati B scopum ; nempe, *ut diligamus alterutrum :* et de charitate docet, quod esse habeat in ambulando secundum ipsam ; et quod non alia de causa mandatum istud datum sit, nisi ut vos, inquit, in eo ambuletis.

Αὕτη ἐστὶν ἡ ἐντολὴ, καθὼς ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατεῖτε [*vulg.* — τῆτε]. Ὅτι πολλοὶ πλάνοι εἰσῆλθον εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί. — Ἄνω κάτω τὰ αὐτὰ στρέφει· διὰ μὲν τῆς ἀγάπης τὸ ἀδιάσπαστον αὐτοῖς προμηθούμενος, ἀλλὰ μὴ πρὸς τοὺς πλάνους ἀποσχίζεσθαι, τοὺς ἤδη ἐν τῷ κόσμῳ περιπατοῦντας, καὶ τὴν διὰ σαρκὸς ἐπιδημίαν τοῦ Κυρίου ἀθετοῦντας· διὰ δὲ τοῦ κατὰ τὴν ἐντολὴν περιπατεῖν, τὴν ἀπ' ἀρχῆς τῶν πεπλανημένων αἱρετικῶν δόξαν ἐμφανίζων πρόσφατον οὖσαν, καὶ παρακαλῶν τῆς ἀπ' ἀρχῆς ἐντολῆς τούτους ἐχομένους, μὴ ἀπάγεσθαι τῇ ἀπάτῃ αὐτῶν. Καὶ γὰρ ἐνετείλατο ὁ Χριστὸς τοῖς μαθηταῖς περὶ τῶν πλάνων τούτων λέγων· *Πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ἐγώ εἰμι ὁ Χριστός· καὶ πολλοὺς πλανήσουσι. Μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν.* Πάντας οὖν τὰς ἐντολὰς, φησὶ, τηροῦντας κελεύει μὴ ἀπατᾶσθαι, ἀλλὰ τὸν ταῦτα λέγοντα Ἀντίχριστον ἡγεῖσθαι. Οὗτος γὰρ, φησὶν, ἔστιν ὁ Ἀντίχριστος καὶ πλάνος. Εἰπὼν δὲ, *Οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκὶ*, ἀλλ' οὐκ ἐλθόντα, ἐμφαίνοντός ἐστιν, ὡς ἦσάν τινες οἱ ἀθετοῦντες τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν· ἐπεὶ καὶ αὐτὸς ὁ Κύριος λέγει· *Πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου·* οὐ περὶ τῆς πρώτης αὐτοῦ φάσκων παρουσίας, ἀλλὰ περὶ τῆς δευτέρας. Ὅμως ἀληθεῖ λόγῳ, οἱ τὴν δευτέραν ἀθετοῦντες καὶ τὴν πρώτην ἀποβάλλονται. Εἰ γὰρ ὁ ἐν σαρκὶ παραγενόμενος καὶ τὴν δευτέραν ἐπηγγείλατο, πάντως ὁ τὴν δευτέραν ἀθετῶν ἀθετεῖ καὶ τὴν πρώτην. Εἰ γὰρ πιστεύει παραγενόμενον, καὶ τὴν ἐπαγγελίαν πιστὴν ἡγήσεται τοῦ παραγενομένου· εἰ δὲ τὴν ἐπαγγελίαν ἀθετεῖ, οὐδεὶς λόγος μηδὲ τὴν πρώτην αὐτὸν ἀθετεῖν. Διὰ τοῦτο, οἶμαι, καὶ οὕτως ἐχρήσατο ταύτῃ

Vers. 6, 7. *Hoc est enim mandatum, ut quemadmodum audistis ab initio, in eo ambuletis. Quoniam multi seductores exierunt, in mundum, qui non confitentur, Jesum Christum venire* (1) *in carne.* Et supra et infra eadem semper versat : per charitatem quidem illis suadens, ne a fidelium cœtu separarentur, neve ad seductores, qui jam mundum circumibant, atque adventum Domini in carne rejiciebant, accederent : per hoc vero, quod illis ambulandum monet secundum mandatum, quod fuit C ab initio, manifestat, seductorum opinionem recentem esse ; adeoque fideles hortatur, ut mandato quod fuit ab initio, firmiter adhærentes, illorum se fraude abduci non patiantur. Nam et Christus Dominus discipulis suis de ejusmodi seductoribus præcepit, dicens : [6] *Multi venient in nomine meo, dicentes: Quia ego sum Christus, et multos seducent, nolite ire post eos.* Hæc igitur, inquit, mandata, servantes, ne decipiamini ; sed eum qui id dixerit Antichristum esse, existimate : **438** hic enim, ait, est Antichristus et seductor. Dicens autem : *qui non confitentur Jesum Christum venire in carne*, et non venisse ; ostendit, nonnullos per id tempus fuisse, qui secundum Christi adventum D rejicerent. Et quidem cum etiam Dominus ipse ait : *Multi venient in nomine meo*, etc., non de primo, sed de secundo adventu locutus videtur. Attamen, qui secundum Domini adventum rejiciunt, ii etiam primum reipsa inficiantur. Nam si Christus in carne jam præsens se etiam secundo venturum annuntiavit ; omnino qui secundum adventum negat, rejicit et primum. Qui enim eum jam venisse, credit ejus quoque promissionem fidelem esse non dubitabit. Si autem promissioni fidem non habet, nemo non dixerit, hunc et primum adventum abnegare.

[5] 1 Petr. I, 12. [6] Luc. XXI, 8.

Variæ lectiones et notæ.

(1) Vulg. habet *venisse.*

Digitized by Google

Ob hanc causam dilectum hunc discipulum dixisse A puto *venire*, et non venisse; ut videlicet eos, qui utrumque adventum Domini in carne abnegant, comprehenderet.

τῇ φωνῇ ὁ ἠγαπημένος, *Ἐρχόμενον*, εἰπών, ἀλλ' οὐκ, Ἐληλυθότα, ἵνα τοὺς ἀμφοτέρας ἀρνουμένους παρουσίας τοῦ Κυρίου τὰς ἐν σαρκὶ περιλάβῃ.

Hic est seductor et Antichristus. Subaudienda ad majorem claritatem sequentia verba : Qui igitur ista non confitetur, ut concinne sequatur : *Hic est seductor et Antichristus* : nam absque illis verbis oratio haud recte fluit.

Οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ Ἀντίχριστος. — Προσυπακουστέον τούτοις εἰς ἐντελεστέραν δήλωσιν τὸ, Ὅς οὖν ταῦτα μὴ ὁμολογῇ, ἵνα εὐστόχως ἐπάγηται τὸ, *Οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ Ἀντίχριστος.* Χωρὶς γὰρ τούτου ἀσυνάρτητος ὁ λόγος.

Vers. 8, 9. *Videte vosmetipsos ne perdatis quæ operati estis, sed ut mercedem plenam accipiatis. Omnis qui recedit et non permanet in doctrina Christi, Deum non habet.* Abalienare eos natagit ab iis qui abnegant utrumque adventum Christi : ac rationem addit ; ne, inquit, ex conjunctione cum ipsis perdatis quæ operati estis, sed ut mercedem plenam accipiatis. At dicet fortasse quispiam : Quid vero si ego adventum Christi in carne non credens, vitam tamen duxero bonis refertam operibus? Annon potero ob hujusmodi opera piis hominibus accenseri? Objectionem hanc ut in antecessum tolleret apostolus : Nemo, inquit, qui Christi adventum in carne rejicit, existimet, aut perfectam quæ fidelibus debetur, operum retributionem se recepturum, vel omnino pium ac religiosum se reputandum. Sed quisquis transgreditur, inquit, mandatum ipsius Christi, qui venit in carne, et non permanet in doctrina ipsius, Deum non habet. Si enim qui venit, ut perfectam Dei cognitionem homines doceret, ipse rejiciatur ; qui fieri potest, ut is pius Dei cultor sit, qui divinorum mysteriorum interpretem repellit? Atheus igitur est iste : quemadmodum divinus et Deo charus est, totamque in se Divinitatis plenitudinem, nempe Patrem, Filium et Spiritum sanctum, habet ille, qui firmus ac stabilis est in doctrina Christi. Ipse enim de Patre docet, dicens : [7] *Omnia quæcunque habet Pater, mea sunt.* Et multis in locis docet de semetipso, et de Patre, quoniam 499 hic quidem est Pater, ille autem Filius : ac etiam de Spiritu sancto, cum ait : [8] *Paraclitus, qui a Patre procedit.* Sed perfectius, cum inquit : [9] *Baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti.* Quod si vero de Patre quidem et Filio mentionem hoc loco facit Domini discipulus, non autem de Spiritu sancto, nullatenus offendaris : non enim erat, cur hic nisi de duabus istis personis loqueretur.

Βλέπετε ἑαυτούς, ἵνα μὴ ἀπολέσωμεν ἃ εἰργασάμεθα, ἀλλὰ μισθὸν πλήρη ἀπολάβωμεν. Πᾶς ὁ παραβαίνων καὶ μένων μὴ ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, Θεὸν οὐκ ἔχει. — Διαστέλλεται αὐτοῖς φυλάττεσθαι ἀπὸ τῶν ἀμφοτέρας ἀρνουμένων τὰς παρουσίας τοῦ Κυρίου· καὶ τὸ αἴτιον προστίθησιν· Ἵνα μὴ, φησὶ, διὰ τῆς πρὸς αὐτοὺς ἀνακράσεως, ἀπολέσητε ἃ εἰργάσασθε, ἀλλ' ἀνελλιπῆ τὸν μισθὸν ὑμῶν λάβητε. Ἀλλ' ἴσως ἐρεῖ τις τῶν τοιούτων· Τί δέ; εἰ μὴ τὴν παρουσίαν πιστεύω τοῦ Χριστοῦ τὴν ἐν σαρκὶ, διὰ δὲ ἀγαθοεργίας βιώσω, οὐ δύναμαι μετὰ τῶν ἔργων τούτων μετὰ τῶν εὐσεβούντων ταχθῆναι, οὐδὲ τὸν ὑπὲρ τούτων λαβεῖν μισθόν; Ταύτην τὴν ἀντίθεσιν προαναιρῶν ὁ Ἀπόστολος οὗτος, φησὶν, ὅτι Μηδεὶς οἰέσθω, ὁ τὴν ἐπιδημίαν τὴν ἐν σαρκὶ τοῦ Χριστοῦ ἀθετῶν, ἢ ἔργων ἀμοιβὴν ἀπολαβεῖν τελείαν, ἥτις καὶ πιστοῖς ἐποφείλεται, ἢ ὅλως θεοσεβὴς νομισθῆναι· ἀλλὰ πᾶς ὁ παραβαίνων, φησὶ, τὴν ἐντολὴν αὐτοῦ, τοῦ Χριστοῦ δηλονότι παραγενομένου, καὶ μὴ μένων ἐν τῇ διδαχῇ αὐτοῦ, Θεὸν οὐκ ἔχει. Εἰ γὰρ ὁ θεογνωσίαν ἥκων τελείαν ἀνθρώπους διδάξαι, οὗτος ἀθετούμενος ὁρῷτο, πῶς ἂν ἔτι θεοσεβὴς εἴη ὁ τῶν θείων θεαμάτων τὸν ὑφηγητὴν ἀποσκορακίζων; Ἄθεος οὖν οὗτος· ὥσπερ ἔνθεος καὶ θεοφιλὴς, καὶ πᾶν τὸ τῆς θεότητος πλήρωμα ἔχων ἐν ἑαυτῷ, Πατέρα δηλαδὴ καὶ Υἱὸν, καὶ Πνεῦμα ἅγιον, ὁ ἡδρασμένος ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ. Αὐτὸς γὰρ διδάσκει, περὶ μὲν τοῦ Πατρὸς λέγων· *Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι* (καὶ πολλαχοῦ δὲ περὶ ἑαυτοῦ διδάσκει καὶ περὶ τοῦ Πατρὸς, ὅτι ὁ μέν ἐστι Πατὴρ, ὁ δὲ Υἱός)· περὶ δὲ τοῦ Πνεύματος, ὅταν λέγῃ· *Τὸ Πνεῦμα τὸ ἅγιον ὃ πυρὰ τοῦ Πατρός ἐκπορεύεται.* Τελειώτερον τούτων ἡνίκα λέγει· *Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.* Εἰ δὲ περὶ τοῦ Πατρὸς μόνου καὶ τοῦ Υἱοῦ εἴρηται ἐνταῦθα τῷ μαθητῇ τοῦ Κυρίου, οὐ μέντοι γε περὶ τοῦ ἁγίου Πνεύματος, μηδὲν σκανδαλισθῇς. Περὶ γὰρ τούτου μόνου κατήπειγεν ἐνταῦθα εἰπεῖν, τοῦ Πατρὸς, φημὶ, καὶ τοῦ Υἱοῦ.

Qui permanet in doctrina Christi, hic et Patrem et Filium habet. Permanet in Christi, seu evangelica doctrina, qui secundum eam sentit, docet et operatur, ac cum theoretice tum practice vivit. Qui autem ab ea se abducit, absque Deo est. Quemadmodum enim qui perfecte conversatur, se Deo familiarem reddit instar Abraham, qui meruit ab ipso audire : *Ego Deus tuus sum* [10] ; sic quoque

Ὁ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, οὗτος καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν ἔχει. — Μένει ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, ἤτοι τῇ εὐαγγελικῇ διδασκαλίᾳ, ὁ κατὰ ταύτην φρονῶν, καὶ διδάσκων, καὶ πράττων, θεωρητικῶς ἅμα καὶ πρακτικῶς βιῶν· ὁ δὲ ταύτης ἀπάγων ἑαυτὸν, ἄθεος. Ὡς γὰρ ὁ δι' ἀκριβοῦς πολιτείας οἰκειῶν ἑαυτὸν τῷ Θεῷ, ὥσπερ ὁ Ἀβραὰμ, καθὸ ἤκουσε παρ' αὐτοῦ· *Ἐγὼ Θεὸς σός*· οὕτω

[7] Joan. xvi, 15. [8] Joan. xv, 26. [9] Matth. xxviii, 19. [10] Gen. xv, 1.

Digitized by Google

καὶ ὁ ἔξω τῆς ἐντολῆς τοῦ Εὐαγγελίου βιοὺς, ἄθεός, ἑαυτὸν ἀποσχοινίσας τοῦ ἔχειν Θεόν. Ἀθέου δὲ τούτου ὄντος, τοῦ ἑαυτὸν, φημὶ, τῆς θείας ἀλλοτριώσαντος παιδείας· ὁ μένων ἐν αὐτῇ, καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν ἔχει. Περὶ γὰρ τοιούτου καὶ ὁ Υἱὸς ἔφη, ὅτι *Ἐλευσόμεθα πρὸς αὐτὸν καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν*, μετὰ τοῦ Πατρὸς δηλονότι. Ἐκ γὰρ τῆς τῶν ἐντολῶν τηρήσεως ναὸν ἑαυτὸν καὶ οἰκητήριον ἐποίησε Θεοῦ, καὶ Θεὸν ἔνοικον ἔχει. Διττοῦ δὲ ὄντος τοῦ ἔχειν Θεόν· λέγεται γὰρ ἔχειν Θεὸν καὶ τὰ κτίσματα πάντα, πρὸς ὃ καὶ Παῦλος εἴρηκεν· *Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα [καὶ ἐσμέν]*· τοῦτο δὲ κατὰ τὸν τῆς οὐσιώσεως εὕρηται τρόπον. Ἕτέρως δὲ τοῦ διὰ καλοκαγαθίας θεραπεύοντος Θεὸν, πάλιν ἔχειν λέγομεν Θεὸν, καθὸ σημαινόμενον, Θεὸς καὶ Ἀβραὰμ εἴρηται, καὶ Ἰσαὰκ, καὶ ὅλως τῶν θεοφιλῶν Ἑβραίων. Ἐπισταμένων γὰρ νῦν [*f.* τοῖς] εἰρημένοις· *Ὁ ἔχων τὸν Υἱὸν, ἔχει καὶ τὸν Πατέρα.* Ὁ γὰρ ἑωρακὼς τὸν Υἱὸν, ὡς αὐτός φησιν, *ἑώρακε τὸν Πατέρα*· καὶ ἔμπαλιν, Ἐγὼ γὰρ *ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ*, ὁ αὐτός φησιν. Ὥστε καὶ ἐκ τούτου τὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ὁμοούσιον γινώσκεται. Εἰ δέ τις ἐρεῖ, ὅτι κατὰ τοῦτο καὶ ὁ τοὺς μαθητὰς δεχόμενος ἔχει τὸν Πατέρα καὶ τὸν Υἱὸν, καθὸ εἴρηται· *Ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται· καὶ ὁ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστείλαντά με*· ἴστω ὁ τοιοῦτος καλῶς λέγων, καὶ οὐχ ὃν δεῖ τρόπον ἐνισταμένους. Περὶ γὰρ τῆς διδασκαλίας εἴρηται ταῦτα. Ἐπεὶ ὁ δεξάμενος συγκαταθέσει τοὺς ἀποστόλους καὶ τὴν διδασκαλίαν αὐτῶν, ἐδέξατο δι' αὐτῶν καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν διδασκάλους. Καὶ ἑτέρως· Ἐπεὶ ὁ μένων ἐν τῇ διδαχῇ, ἔχει καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα, ἐμενον δὲ οἱ ἀπόστολοι ἐν τῇ διδαχῇ, ὡς καὶ κηρύσσειν αὐτὴν· ὁ δεξάμενος οὖν αὐτοὺς, ναοὺς ὄντας Θεοῦ, δι' αὐτοῦ τοῦ δέχεσθαι αὐτοὺς ἔχει τὸν ἐν αὐτοῖς Υἱὸν καὶ Πατέρα.

A qui extra mandata evangelica vivit, absque Deo est : ipse enim sese Deo privat eo ipso quod a divina se doctrina abalienat. Qui vero manet in ipsa, et Patrem habet et Filium : nam ipse Filius hanc de re dixit : [11] *Veniemus ad ipsum, et mansionem apud ipsum faciemus*, nempe cum Patre. Siquidem per mandatorum observantiam templum ad domicilium Dei se constituit, adeoque Deum inhabitantem habet. Nam Deum habendi duplex est modus ; unus, qui per essentiam dicitur : qua ratione creaturæ omnes Deum habere dicuntur, juxta illud Pauli [12] : *In ipso enim vivimus, movemur et sumus* : alter per vitæ probitatem : eum enim qui Deo servit, Deum habere dicimus. Quo sensu dictus est Deus Abraham, Deus Isaac [13], et generaliter omnium B Hebræorum, qui ipsi chari erant. Et hic modus intelligendus est in locis quæ sequuntur : [14] *Qui habet Filium, habet et Patrem. Qui vidit Filium, vidit et Patrem.* Et rursus : *Ego*, inquit ipse, *in Patre, et Pater in me est* : ex quo etiam Patris Filiique consubstantialitas dignoscitur. Si autem quis dicat, quod etiam qui discipulos recipit, habeat Patrem et Filium juxta illud : [15] *Qui vos recipit, me recipit : qui autem me recipit, recipit et eum qui me misit* ; sciat ille, se perperam dictum illud intelligere. Hæc enim de doctrina dicta sunt. Nam qui per assensionem apostolos eorumque doctrinam recipit, per ipsos etiam Patrem, et Filium magistros recipit. Aliter : Quoniam qui permanet C in doctrina, habet cum Filium, tum Patrem permanserunt autem in ea doctrina apostoli, quippe qui eam profitebantur : qui igitur recipit ipsos qui sunt templa Dei, eo ipso habet Filium et Patrem qui in ipsis est.

Εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν αὐτῷ μὴ λέγετε. Ὁ γὰρ λέγων αὐτῷ χαίρειν, κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς. Πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ ἐβουλήθην διὰ χάρτου καὶ μέλανος· ἀλλ' ἐλπίζω γενέσθαι πρὸς ὑμᾶς, καὶ στόμα πρὸς στόμα λαλῆσαι, ἵνα ἡ χαρὰ ἡμῶν πεπληρωμένη ᾖ.— Ἐξασφαλίζεται πρὸς τοὺς οὓς ἡ Ἐπιστολή, ὅτι Εἴ τις μὴ μετὰ τῆς ὁμολογίας ταύτης ἔρχεται πρὸς ὑμᾶς, μὴ μόνον σκέπης παρ' ὑμῶν τυγχανέτω, ἀλλὰ μηδὲ προσρήσεως ἀξιούσθω, ἀκριβῶς ταῦτα λέγων, ὡς τῆς προσρήσεως ταύτης τοῖς ὁμοτρόποις ἡμῶν μόνοις ὀφειλομένης καὶ ὁμοπίστοις. Τίνι γὰρ χαίρειν εὐξόμεθα, ἀλλ' ἢ τοῖς ὁμοτρόποις καὶ ὁμοπίστοις; Ὥστε εἰ τοῖς ἀσεβέσι προσενεχθείη παρ' ἡμῶν ἡ τοιαύτη πρόσρησις, πάντως καὶ ὁμοτρόποις προσενεχθείη καὶ ὁμοπίστοις ἡμῶν, καὶ κοινωνοῖς αὐτοῖς ἐχρησάμεθα διὰ τούτου, καὶ ἐπὶ τὸ ἑαυτῶν ἡμᾶς οὗτοι κατέσπασαν βάραθρον. Τὴν δὲ αἰτίαν τοῦ σύντομον ἐκθέσθαι τὴν Ἐπιστολὴν, καὶ ἐνταῦθα καὶ ἐν

440 VERS. 10-12. *Si quis venit ad vos, et hanc doctrinam non affert, nolite recipere eum in domum, nec Ave ei dixeritis. Qui enim dicit illi Ave, communicat operibus ejus malignis. Plura habens vobis scribere, nolui per chartam et atramentum : spero enim me futurum apud vos, et os ad os loqui, ut gaudium vestrum plenum sit.* Firmat eos ad quos hanc direxit Epistolam. Si quis, inquit, absque hac confessione ad vos venerit, illum non solum hospitio non recipiatis, sed ne quidem salutatione D cum dignemini. Quod ideo accurate dicit, quia salutatio hujusmodi iis solum debetur, qui cum moribus, tum fide nobiscum conveniunt. Cui enim salutem precabimur, præterquam iis qui eorumdem nobiscum sunt morum et fidei ? Quare si salutatio impiis impertiatur, ea nonnisi tanquam moribus et fide nobiscum consentientibus impertietur : sicque illis tanquam sociis utemur : et ii vicissim nos in proprium ipsorum barathrum pertrahent. Causam vero cur tam brevem scripserit Epistolam, cum hic, tum in sequente, esse docet,

[11] Joan. xiv, 23. [12] Act. xvii, 28. [13] Exod. iii, 15. [14] Joan. xiv, 10, 11. [15] Matth. x, 40.

Digitized by Google

quod speraret, se brevi ad eos profecturum; ita ut præsens addere posset, quæ adhuc sibi dicenda supererant.

VERS. 13. *Salutant te filii sororis tuæ Electæ. Amen.* Sunt qui ex his verbis firmare velint, Epistolam hanc non ad mulierem aliquam esse scriptam, sed ad Ecclesiam. Qua de re disceptare mihi non libet.

Finis Epistolæ secundæ Joannis, vers. 30 (*a*).

A τῇ μετ' αὐτῆς [*f.* μετ' αὐτὴν] αὐτὸς ἐδίδαξε, τὸ ἐλπίζειν παραγενέσθαι, καὶ διὰ αὐτοψίας τὰ ἐλλείποντα προσθεῖναι.

Ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου τῆς Ἐκλεκτῆς. Ἀμήν. — Βούλονται τινες διὰ τούτου βεβαιοῦν, ὡς οὐ πρὸς γυναῖκα ἡ Ἐπιστολὴ αὕτη, ἀλλὰ πρὸς Ἐκκλησίαν, περὶ οὗ οὐδὲν τῷ βουλομένῳ διανεχθεῖη [*f.* — χθείην].

Τέλος τῆς δευτέρας Ἐπιστολῆς Ἰωάννου στίχων Λ'.

Variæ lectiones et notæ.

(*a*) Vide Præfationem.

ΘΕΟΦΥΛΑΚΤΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ

ΤΗΣ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΡΙΤΗΣ ΕΠΙΣΤΟΛΗΣ

ΕΞΗΓΗΣΙΣ.

THEOPHYLACTI

BULGARIÆ ARCHIEPISCOPI

EXPOSITIO IN TERTIAM EPISTOLAM S. JOANNIS.

441 *ARGUMENTUM EPISTOLÆ TERTIÆ JOANNIS.*

Agit hac in Epistola de hospitalitate. Et primo quidem Gaium commendat propter ejus hospitalitatem, cui omnes testimonium perhibebant. Ac hortatur, ut in eodem proposito permaneret, adeoque humaniter exciperet et deduceret fratres. Rursumque oblationem ipsius commendat. Accusat autem Diotrephen, quod non solum nil dabat pauperibus, sed alios etiam, ne id facerent, prohibebat, multaque deblaterabat. Hujusmodi vero homines alienos esse ait a veritate, ac Deum non cognoscere. Demetrium demum memorat, præclarissimum de illo testimonium ferens.

CAPITA EPISTOLÆ TERTIÆ JOANNIS.

1. *Votum de perfectione, et gratiarum actio pro hospitalitate fratribus præstita propter Christum. Ubi etiam de Diotrephes improbitate atque odio in fratres.*
2. *De Demetrio cui præclarissimum testimonium perhibet.*
3. *De profectione sua ad ipsos ad eorum utilitatem.*

B *ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΩΑΝΝΟΥ ΤΡΙΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.*

Ἔστιν ἡ Ἐπιστολὴ περὶ φιλοξενίας· καὶ πρῶτον μὲν ἀποδέχεται τὸν Γάϊον, μαρτυρούμενον παρὰ πάντων ἐπὶ φιλοξενίᾳ. Καὶ προτρέπει τῇ αὐτῇ προθέσει ἐμμένειν, καὶ προπέμπειν, καὶ δεξιοῦσθαι τοὺς ἀδελφούς. Πάλιν τε αὐτοῦ μὲν τὴν προσφορὰν ἀποδέχεται, αἰτιᾶται δὲ Διοτρεφῆ, ὡς μήτε αὐτὸν παρέχοντα τοῖς πτωχοῖς, ἀλλὰ καὶ κωλύοντα τοὺς ἄλλους, καὶ πολλὰ φλυαροῦντα. Τοὺς δὲ τοιούτους λέγει ἀλλοτρίους εἶναι τῆς ἀληθείας, καὶ μὴ εἰδέναι τὸν Θεόν. Δημήτριον δὲ συνίστησι, μαρτυρῶν αὐτῷ τὰ κάλλιστα.

C *ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΤΡΙΤΗΣ ΕΠΙΣΤΟΛΗΣ ΙΩΑΝΝΟΥ.*

α'. *Εὐχὴ περὶ τελειώσεως, καὶ εὐχαριστία ἐφ' ὁμολογίᾳ φιλοξενίας τῶν ἀδελφῶν διὰ Χριστόν. Ἐν ᾧ περὶ Διοτρεφοῦς φαυλότητος καὶ μισαδελφίας.*

β'. *Περὶ Δημητρίου, ᾧ μαρτυρεῖ τὰ κάλλιστα.*

γ'. *Περὶ ἀφίξεως αὐτοῦ πρὸς αὐτοὺς ἐν τάχει ἐπ' ὠφελείᾳ.*

Digitized by Google

ΕΠΙΣΤΟΛΗ ΤΡΙΤΗ
ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΙΩΑΝΝΟΥ.

—

EPISTOLA TERTIA
SANCTI JOANNIS APOSTOLI.

—

Ὁ πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ A *ἀγαπῶ ἐν ἀληθείᾳ. Ἀγαπητέ, περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι καὶ ὑγιαίνειν. — Ἐν ἀληθείᾳ ἀγαπᾷ ὁ κατὰ Κύριον ἀγαπῶν. Ταύτην δὲ τὴν Ἐπιστολὴν γράφει συνιστῶν τινας ἀδελφούς. Γράφει δὲ Γαΐῳ, καὶ μαρτυρεῖ τούτῳ φιλοξενίαν πολλὴν, ἣν καὶ μεγάλων ἐπαίνων ἀξιοῖ. Τὸν γὰρ ἀγαθοποιοῦντα ἐκ τοῦ Θεοῦ εἶναι λέγει. Πλεῖον δὲ αὐτὸν διεγείρει καὶ ἐξ ὧν διαβάλλει τὸν μὴ τοῦτο ἐγνωκότα ποιεῖν Διοτρεφῆ· ἐπαινεῖ δὲ καὶ Δημήτριον τὰ αὐτὰ πράττοντα, καὶ μαρτυρίαν αὐτῷ τῆς ἀρετῆς παρέχεται πιστήν.*

442 Vers. 1, 2. *Senior Gaio charissimo, quem ego diligo in veritate. Charissime, et de omnibus orationem facio, prospere te ingredi et valere.* — In veritate diligit, qui secundum Deum diligit. Hanc autem Epistolam scribit, ut quosdam commendaret fratres. Scribit vero Gaio, multamque testatur ejus esse hospitalitatem quam etiam magnis laudibus extollit. Eum enim, qui bene de proximo meretur, ex Deo esse, ait. Acriores vero illi stimulos addit vituperando Diotrephen, quod sic se gerere nollet; ac commendando Demetrium, qui idem ac Gaius faciebat: cui etiam de virtute ipsius fidele perhibet testimonium.

Καθὼς εὐοδοῦταί σου ἡ ψυχή. Ἐχάρην γὰρ λίαν ἐρχομένων ἀδελφῶν καὶ μαρτυρούντων σου B *τῇ ἀληθείᾳ. — Καθὼς εὐοδοῦταί σου ἡ ψυχή·* εὐοδοῦται δὲ ἐν τῇ κατὰ τὸ Εὐαγγέλιον πολιτείᾳ. *Καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς.* Ἐν ἀληθείᾳ περιπατεῖ ὁ κατὰ τὴν εὐαγγελικὴν ἁπλότητα περιπατῶν. *Περιπατεῖ* δὲ, οὐ τὴν διὰ σκελῶν, φησὶ, κίνησιν, παντὶ ζώῳ μιᾶς οὔσης, τῷ πόδας ἔχοντι, τῆς τοιαύτης ἐκ τόπου εἰς τόπον μεταβατικῆς πορείας, ἀλλὰ τὴν κατὰ τὰς ψυχικὰς ὁρμὰς τεταγμένην καὶ σώφρονα πρόοδον, ἧς ὀλίγοι τυγχάνουσιν, οἱ τὴν ἐπίγνωσιν ἔχοντες.

Vers. 2, 3. *Sicut prospere agit anima tua. Gavisus sum valde venientibus fratribus, et testimonium perhibentibus veritati tuæ.* Prospere agit; nempe, in operationibus, quæ secundum Evangelium sunt. *Sicut tu in veritate ambulas.* In veritate ambulat, qui secundum evangelicam simplicitatem ambulat. *Ambulare* vero hic inquit non tibiarum motionem (cum commune sit omnibus animantibus pedes habentibus hoc modo transire de loco in locum), sed per animi motus ordinate et castigate progredi; quod pauci eorum etiam qui intelligentia præditi sunt, assequuntur.

Μειζοτέραν τούτων οὐκ ἔχω χαράν, ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα. Ἀγαπητέ, πιστὸν ποιεῖς, *ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ εἰς τοὺς ξένους. Οἳ ἐμαρτύρησάν σου τῇ* C *ἀγάπῃ ἐνώπιον Ἐκκλησίας· οὓς καλῶς ποιήσεις προπέμψας ἀξίως τοῦ Θεοῦ. Ὑπὲρ γὰρ τοῦ ὀνόματος ἐξῆλθον, μηδὲν λαμβάνοντες ἀπὸ τῶν ἐθνῶν.* — Τὸ, *μειζοτέραν*, κατὰ ἀκρίβειαν τῆς Ἑλληνικῆς γλώσσης ἀδόκιμον, ὡς ἐπίτασιν ἐπιτάσει προσπορίζον.

Vers. 4-7. *Majorem horum non habeo gratiam quam ut audiam filios meos in veritate ambulare. Charissime, fideliter facis quidquid operaris in fratres, et hoc in peregrinos. Qui testimonium reddiderunt charitati tuæ in conspectu Ecclesiæ: quos benefaciens deduces digne Deo. Pro nomine enim ejus profecti sunt, nihil accipientes a gentibus.* — Vox μειζοτέραν (ac si Latine dixeris *majoriorem*) non est secundum proprietatem linguæ Græcæ; quippe quæ **443** exhibet exaggerationem supra exaggerationem, seu gradum comparativum ex alio comparativo deductum (1).

Ἡμεῖς οὖν ὀφείλομεν ἀπολαμβάνειν τοὺς τοιούτους, ἵνα συνεργοὶ γινώμεθα τῇ ἀληθείᾳ. Ἔγραψα τῇ Ἐκκλησίᾳ, ἀλλ' ὁ φιλοπρωτεύων

Vers. 8, 9. *Nos ergo debemus suscipere hujusmodi, ut cooperatores simus veritatis. Scripsissem forsitan Ecclesiæ; sed is qui amat primatum gerere in eis,*

Variæ lectiones et notæ.

(1) Vocem μειζοτέραν si quis rigorose vertere Latine vellet, diceret *majoriorem*: quæ vox non minus abhorret a genio linguæ Latinæ quam illa a proprietate linguæ Græcæ.

Digitized by Google

Diotrephes non recipit nos. Hic ἀπολαμβάνειν, *accipere*, est pro ἀναλαμβάνειν, id est, *suscipere*, sicut illud [1]: *Susceperunt me sicut leo paratus ad prædam.* Instruit vero nos per hoc, non exspectandos egenos, quousque ad nos venerint, sed in occursum illis prodeundum, ac etiam insequendos esse, quemadmodum Abraham faciebat et Lot.

A αὐτῶν Διοτρεφῆς, οὐκ ἐπιδέχεται ἡμᾶς. — Ἀπολαμβάνειν, ἀντὶ τοῦ, ἀναλαμβάνειν, ὑποδέχεσθαι ὡς καὶ τό, Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν. Παιδεύει διὰ τούτου ἡμᾶς, μὴ ἀναμένειν τοὺς δεομένους, πότε πρὸς ἡμᾶς ἥξουσιν, ἀλλ' ἡμᾶς αὐτοὺς ἐπιτρέχειν καὶ καταλαμβάνειν, ὡς ὁ Ἀβραὰμ καὶ ὁ Λώτ.

VERS. 10. *Propter hoc si venero, commonebo ejus opera quæ facit.* Si præceptum est, non reddendum malum pro malo; quo modo nunc iste talia comminatur? Respondeo præceptum esse, ei qui in nos peccaverit nullum malum pro malo reddendum [2]. At si ita peccatur in nos, ut etiam fidei afferatur impedimentum, huic profecto malum reddendum : ut fecit Paulus Elimæ, qui vias Domini rectas subvertebat [3].

Διὰ τοῦτο ἐὰν ἔλθω, ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ. Εἰ προστέτακται, [μὴ] ἀντιδιδόναι κακὸν ἀντὶ κακοῦ, πῶς οὗτος τὰ νῦν ἀπειλεῖ ταῦτα; Φαμὲν οὖν, ὡς ἐκεῖνος μὲν τὸ μὴ ἀντιδιδόναι κακὸν ἀντὶ κακοῦ, τὸ [*f.* τῷ] εἰς ἡμᾶς αὐτοὺς ἁμαρτάνοντι. ἔστιν ἐντολή· ἐπεὶ εἰ ἡ πρὸς ἡμᾶς ἁμαρτία, καὶ εἰς τὴν πίστιν ἐμπόδιον φέρει, ἀνταποδοτέον τῷ τοιούτῳ, ὡς καὶ Παῦλος τῷ Ἐλύμᾳ, τὰς ὁδοὺς Κυρίου διαστρέφοντι.

Verbis malignis garriens in nos et quasi non ei ista sufficiant, neque ipse suscipit fratres, et eos qui suscipiunt, prohibet, et de Ecclesia ejicit. Garriens : nempe convitians, maledicens, insectans.

Λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς, καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις, οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφούς, καὶ τοὺς βουλομένους κωλύει, καὶ ἐκ τῆς Ἐκκλησίας ἐκβάλλει. Οἱονεὶ λοιδορῶν, κακολογῶν, διασύρων.

VERS. 11. *Charissime, noli imitari malum, sed quod bonum est. Qui benefacit, ex Deo est : qui male facit, non vidit Deum.* Cum nulla sit societas lucis ad tenebras, neque conventio Christi ad Belial [4], non oportet eum, qui cognitione Christi illuminatus est, tenebris per imitationem impiorum et petulantia ipsorum opera commisceri. Quemadmodum enim, inquit, qui bene operatur, ex Deo est, et intellectualem oculum habet notitia ipsius perfectum ; adeoque totus lux est, et videt veram lucem Deum, et aliis videtur tanquam luminare in mundo, ralionem vitæ continens : ita et qui male operatur, in tenebris ambulat, ac Deum videre, seu quæ Dei sunt, facere non potest, neque aptus aliorum director esse ; sed omnibus exosus est et abominabilis, juxta illud : [5] *Iniquitatem odio habui et abominatus sum.*

Ἀγαπητέ, μὴ μιμοῦ τὸ κακόν, ἀλλὰ τὸ ἀγαθόν. Ὁ ἀγαθοποιῶν, ἐκ τοῦ Θεοῦ ἐστιν· ὁ δὲ κακοποιῶν, οὐχ ἑώρακε τὸν Θεόν. Μηδεμίαν οὖσης κοινωνίας φωτὶ πρὸς σκότος, μηδὲ συμφωνίας Χριστοῦ πρὸς Βελίαρ, οὐ χρὴ τὸν ἀπὸ τῆς γνώσεως Χριστοῦ πεφωτισμένον τῷ σκότῳ συμφύρεσθαι διὰ μιμήσεως τῶν ἀσεβούντων, ἤτοι τοῖς ἀσελγέσιν αὐτῶν ἔργοις. Ὡς γὰρ ὁ ἀγαθὸς, φησὶν, ἐργαζόμενος ἐκ τοῦ Θεοῦ ἐστι, καὶ τῷ τῆς γνώσεως αὐτοῦ φωτὶ τὸν νοερὸν αὐτοῦ ὀφθαλμὸν κατηρτισμένος, καὶ διὰ ταῦτα ὅλος τε φῶς ὢν, καὶ ὁρᾷ τὸ ὄντως φῶς τὸν Θεὸν, καὶ ὁρᾶται ὑπὸ τῶν ἄλλων φωστὴρ ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχων· οὕτω καὶ ὁ τὰ κακὰ ἐργαζόμενος, ἐν σκότῳ διαπορευόμενος, οὔτε αὐτὸς ὁρᾷν Θεὸν δύναται, τοῦτ' ἔστι τὰ τοῦ Θεοῦ πράττειν, οὔτε ἄλλοις ὁρᾶσθαι κατευθύνων· ἀλλὰ μισητός ἐστιν ἅπασι καὶ ἐβδελυγμένος, κατὰ τὸ, Ἀνομίαν ἐμίσησα καὶ ἐβδελυξάμην.

VERS. 12-14. *Demetrio testimonium redditur ab omnibus, et ab ipsa veritate, sed et nos testimonium perhibemus : et nosti quoniam testimonium nostrum verum est. Multa habui tibi scribere, sed nolui per atramentum et calamum. Spero autem protinus te videre, et os ad os loquemur. Pax tibi. Salutant te amici. Saluta amicos nominatim.* Ab omnibus, illis scilicet qui veritatem servant : et ab ipsa veritate quæ efficax verbum est. Sunt enim nonnulli, qui habent quidem testimonium virtutis ; sed a verbo inefficaci, hoc est, operibus carente : adeoque illud nullum est. Si quis vero illud, ab omnibus, dictum intelligat cum de fidelibus, tum de infidelibus, juxta vim nominis collectivi *omnis*, is non male sermonem hunc accipit : jubet enim Paulus, ut fideles sine offensione sint [6] *Judæis, et gentilibus, et Ecclesiæ Dei : sicut et ego*, inquit, *per omnia omnibus placeo.*

Δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων, καὶ ὑπ' αὐτῆς ἀληθείας, καὶ ἡμεῖς δὲ μαρτυροῦμεν, καὶ οἶδατε, ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστι. Πολλὰ εἶχον γράψαι σοι, ἀλλ' οὐ θέλω διὰ μέλανος καὶ καλάμου γράψαι σοι. Ἐλπίζω δὲ εὐθέως ἰδεῖν σε, καὶ στόμα πρὸς στόμα λαλήσωμεν [*vulg.* -σομεν]. Εἰρήνη σοι. Ἀσπάζονταί σε οἱ φίλοι. Ἀσπάζου τοὺς φίλους κατ' ὄνομα. Ἀμήν. Ὑπ' αὐτῶν δηλονότι τῶν τὴν ἀλήθειαν ἐχόντων, καὶ ὑπ' αὐτῆς τῆς ἀληθείας τοῦ ἐνεργοῦς λόγου. Εἰσὶ γάρ τινες, οἷς μαρτυρεῖται μὲν ἀρετὴ, κατεψευσμένη δὲ ἐπὶ ἀπράκτῳ λόγῳ. Εἰ δέ τις τὸ ὑπὸ τῶν πιστῶν καὶ τῶν ἀπίστων ἐκλάβοι, διὰ τὸ περιληπτικὸν τοῦ, πᾶς, μορίου, οὐ κακῶς αὐτὸ ὑπολάβοι· ἀπροσκόπους γάρ φησι Παῦλος τοὺς πιστοὺς πᾶσιν εἶναι, καὶ Ἰουδαίοις καὶ Ἕλλησι, καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, καθὼς κἀγὼ κατὰ πάντα πᾶσιν ἀρέσκω.

Finis tertiæ Epistolæ sancti apostoli Joan., vers. 32.

Τέλος τῆς τρίτης Ἐπιστολῆς τοῦ ἁγίου ἀποστόλου Ἰωάννου, στίχων λβ'.

[1] Psal. xvi, 12. [2] Rom. xii, 17. [3] Act. xiii, 10. [4] II Cor. vi, 14. [5] Psal. cxviii, 3. [6] I Cor. x, 32.

Digitized by Google

ΘΕΟΦΥΛΑΚΤΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ

ΤΗΣ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΙΟΥΔΑ ΕΠΙΣΤΟΛΗΣ ΕΞΗΓΗΣΙΣ.

—

THEOPHYLACTI

BULGARIÆ ARCHIEPISCOPI

EXPOSITIO IN EPISTOLAM S. JUDÆ APOSTOLI.

—

ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΙΟΥΔΑ ΕΠΙΣΤΟΛΗΣ.

Ταύτην τὴν Ἐπιστολὴν γράφει τοῖς ἤδη πιστεύσασιν. Ἡ δὲ πρόφασις αὕτη· Παρεισελθόντων τινῶν, καὶ διδασκόντων ἀδιάφορον εἶναι τὴν ἁμαρτίαν, καὶ ἀρνουμένων τὸν Χριστόν· ἀνάγκην ἔσχε γράψαι, καὶ ἀσφαλίσασθαι τοὺς ἀδελφούς. Καὶ πρῶτον μὲν παρακαλεῖ αὐτοὺς ἀγωνίζεσθαι καὶ ἐμμένειν ἐν τῇ παραδοθείσῃ αὐτοῖς πίστει. Ἔπειτα ἀποκηρύττει τοὺς τοιούτους ὡς πλάνους· καὶ παραγγέλλει μηδεμίαν κοινωνίαν αὐτοὺς ἔχειν πρὸς τοὺς τοιούτους, εἰδότας ὅτι οὐκ ἀρκεῖ τὸ κληθῆναι μόνον, ἐὰν μὴ καὶ ἀξίως περιπατήσωμεν τῆς κλήσεως. Καὶ γὰρ καὶ τὸν πρότερον λαὸν ἐξαγαγὼν ἐξ Αἰγύπτου ὁ Κύριος, καὶ μὴ ἐμμείναντα τῇ πίστει ἀπώλεσε. Καὶ ἀγγέλων δὲ μὴ τηρησάντων τὴν ἰδίαν τάξιν οὐκ ἐφείσατο. Δεῖ οὖν ἀπὸ τῶν τοιούτων ἀναχωρεῖν. Καὶ γὰρ καὶ Μιχαὴλ ὁ ἀρχάγγελος οὐχ ὑπήνεγκε τὴν βλασφημίαν τοῦ διαβόλου. Ἔσεσθαι οὖν τὴν ἀπώλειαν αὐτῶν ὡς Σοδόμων διδάσκει. Εἶτα παραινεῖ εἰς τὰ ἤθη. Καὶ ἐπευξάμενος αὐτοῖς βεβαιότητα τῆς πίστεως παρὰ τοῦ Κυρίου, τελειοῖ τὴν Ἐπιστολήν.

ΚΕΦΑΛΑΙΑ ΤΗΣ ΕΠΙΣΤΟΛΗΣ ΤΑΥΤΗΣ.

α'. *Περὶ προσοχῆς τῆς εἰς Χριστὸν πίστεως, διὰ τὴν ἐπανάστασιν τῶν ἀσεβῶν καὶ ἀσελγῶν ἀνδρῶν.*

β'. *Περὶ μελλούσης αὐτῶν κολάσεως καθ' ὁμοίωσιν τῶν πάλαι ἁμαρτωλῶν τε καὶ πονηρῶν.*

γ'. *Τυλαρισμὸς αὐτῶν ἐπὶ τῇ πλάνῃ, καὶ δυσσεβείᾳ, καὶ ἀσελγείᾳ, καὶ βλασφημίᾳ, καὶ ἐπιπλάστῳ ὑποκρίσει, τῇ εἰς ἀπάτην δωροδοκίᾳ.*

A **445** *ARGUMENTUM EPISTOLÆ JUDÆ.*

Epistolam hanc scribit Judas iis qui jam crediderant. Occasio autem hujusmodi est: Cum insurrexissent quidam docentes peccatum rem indifferentem esse, ac Christum etiam negarent; necesse illi fuit, Epistolam hanc conscribere, qua fratres commoneret et confirmaret. Et primo quidem hortatur illos, ut strenue certent, firmiterque in tradita sibi fide permaneant. Deinde propalat ejusmodi homines, tanquam seductores, præcipitque, ut nullam cum ipsis communionem habeant, scientes, quod satis non sit esse vocatos, si item non ambulent digne Dei vocatione. Nam Deus, licet Hebraicum populum eduxisset ex Ægypto, eum tamen perdidit, quod in fide non permansisset, et angelis, qui ordinem non servaverunt suum, neutiquam pepercit. Oportere igitur ab ejusmodi hominum congressu prorsus discedere: quandoquidem et Michael archangelus non tulit blasphemantem diabolum. Docet itaque non secus ac Sodomorum futuram eorumdem perditionem. Deinde ad mores rite componendos hortatur. Ac demum fidei firmitatem eis a Domino precatus, absolvit Epistolam.

B

CAPITA EJUSDEM EPISTOLÆ.

1. *De cura habenda pro fide in Christum contra insurrectionem impiorum et impudentium hominum.*

2. *De futura horum punitione ad similitudinem malorum qui olim fuerunt.* C

3. *Descriptio calamitatum ipsorum ob seductionem, impietatem, impudicitiam, blasphemiam atque fucatam simulationem liberalitatis ad decipiendum.*

Digitized by Google

4. *De eorum ad quos scribit, firmitate in fide, et de compassione et benignitate erga proximum propter salutem in sanctitate.*

5. *Precatio pro ipsorum sanctitate et fiducia pura, cum glorificatione Dei.*

δ'. *Περὶ ἀσφαλείας αὐτῶν ἐπὶ τῇ πίστει, συμπαθείας τε καὶ φειδοῦς εἰς τὸν πλησίον ἐπὶ σωτηρίᾳ ἐν ἁγιασμῷ.*

ε'. *Εὐχὴ ὑπὲρ αὐτῶν εἰς ἁγιασμὸν καὶ παῤῥησίαν καθαρὰν σὺν δοξολογίᾳ Θεοῦ.*

ΕΠΙΣΤΟΛΗ
ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΙΟΥΔΑ.

EPISTOLA
SANCTI JUDÆ APOSTOLI.

446 VERS. 1. *Judas Jesu Christi servus, frater autem Jacobi, his qui sunt in Deo Patre dilectis.* Satis utique ad gloriæ splendorem huic apostolo fuit, postquam se Christi servum nominavit, gloriari, se esse fratrem Jacob. Hujus enim summa ob eminentiam virtutis apud omnes celebritas eum in tradenda doctrina magis acceptum auditoribus reddebat : cum verisimile non sit, eum qui nativitate et sanguine conjunctus est, moribus et vita alienum esse ; præsertim cum eidem Christo Domino ministrans, servitutis jugum æqualiter cum fratre trahere deprehendatur.

VERS. 1, 2. *Et Christo Jesu conservatis et vocatis. Misericordia vobis, et pax, et charitas adimpleatur.* Dictum Christi Domini : [1] *Nemo potest venire ad me, nisi Pater meus traxerit eum*, verum nunc esse ostendit beatus iste ; cum eos qui Patri dilecti sunt, a Filio conservatos pronuntiet. Ideo etiam eos vocatos dicit : non enim a se ipsis, sed a Patre per hoc quod tracti sunt, habent, ut etiam sint vocati ; optat vero, ut misericordia illis, pax et charitas adimpleatur, Misericordia quidem, quia per viscera misericordiæ Dei [2] vocati, ipsique in servos assumpti sumus. Pax vero ; quia hanc etiam donavit nobis Deus Pater, per Filium suum Jesum Christum nos, qui offenderamus, sibi reconcilians. Charitas demum, quia propter charitatem in nos unigenitum Filium suum tradidit pro nobis in mortem. Hæc igitur, ut illis abundantius donentur, optat : quo convenit cum beato David, dicente : *Prætende misericordiam tuam scientibus te* [3]. His igitur salutaribus exemplis etiam nos excitati, sincera erga congeneres nostros dilectione, dignam **447** eo, qui nos vocavit, vitam ducamus.

[1] Joan. VI, 44. [2] Luc. I, 78. [3] Psal. XXXV, 11.

Ἰούδας Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου, τοῖς ἐν Θεῷ Πατρὶ ἡγιασμένοις. Ἤρκεσεν αὐτῷ, τῷ παρόντι ἀποστόλῳ, φημὶ, εἰς περιφάνειαν δόξης, μετὰ τὸ δοῦλον ἑαυτὸν ὀνομάσαι Χριστοῦ, καὶ ἀπὸ Ἰακώβου σεμνολογήσασθαι. Τὸ γὰρ τοῦ Ἰακώβου παρὰ πᾶσιν ἐπ' ἀρετῇ ἐξυμνούμενον, εὐπαραδεκτότερον εἰς τὴν διὰ λόγου διδασκαλίαν καθίστησι τοῖς ἀκροαταῖς τοῦτον, εἴπερ ὁ γεννήσεως καὶ αἵματος κοινωνὸς οὐκ ἂν ἀπηλλοτριωμένος ὀφθείη καὶ τρόπων τοῦ, ᾧ κεκοινώνηκε, τῆς συγγενείας· καὶ μάλιστα καὶ ὑφ' ἑνὶ Δεσπότῃ Χριστῷ τελῶν τὸν τῆς δουλείας ζυγὸν, ἰσορρόπως τῷ ὁμαίμονι διορίζεται ἕλκειν.

Καὶ Ἰησοῦ Χριστοῦ τετηρημένοις κλητοῖς. Ἔλεος ὑμῖν, καὶ εἰρήνη, καὶ ἀγάπη πληθυνθείη. — Τοῦ Κυρίου εἰρηκότος, *Οὐδεὶς δύναται ἐλθεῖν πρός με ἐὰν μὴ ὁ Πατήρ μου ἑλκύσῃ αὐτὸν*, δείκνυσι τὸν λόγον ὁ μακάριος οὗτος ἀνὴρ ἐπαληθεύοντα νῦν. Τοὺς γὰρ τῷ Πατρὶ ἀγαπωμένους, τῷ Ἰησοῦ Χριστῷ τηρῆσθαί φησι. Διὸ καὶ κλητοὺς λέγει· οὐ γὰρ ἀφ' ἑαυτῶν, ἀλλ' ὑπὸ τοῦ Πατρὸς ἔχουσι, διὰ τὸ ἑλκῦσθαι [*f.* εἱλκ.] καὶ τὸ κεκλῆσθαι. Ἔλεον δὲ, καὶ εἰρήνην, καὶ ἀγάπην αὐτοῖς ἐπεύχεται πληθυνθῆναι· ἔλεον μὲν, ὅτι διὰ σπλάγχνα ἐλέους Θεοῦ ἀνεκλήθημέν τε καὶ ἀνελήφθημεν αὐτῷ εἰς ὑπηρέτας· εἰρήνην δὲ, ὅτι καὶ ταύτην ἡμῖν ὁ Θεὸς αὐτὸς καὶ Πατὴρ ἐδωρήσατο, διὰ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοὺς προσκεκρουκότας ἡμᾶς ἑαυτῷ καταλλάξας· ἀγάπην δὲ, ὅτι διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην ὁ μονογενὴς αὐτοῦ Υἱὸς ἐκδέδοται ὑπὲρ ἡμῶν εἰς θάνατον. Ταῦτα οὖν ὑπερεκπερισσοῦ [βραβευθῆναι] αὐτοῖς εὔχεται, συνῳδὰ τῷ μακαρίῳ Δαβὶδ φθεγγομένῳ· *Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.* Καὶ ἐκ τούτων γὰρ τῶν σωτηρίων ὑποδειγμάτων περικροτούμενοι καὶ ἡμεῖς, τῇ πρὸς τὸ συγγενὲς ἀνυποκρίτῳ διαθέσει, ἀξίως τοῦ καλέσαντος ἡμᾶς βιώσωμεν.

Digitized by Google

Ἀγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος γράψειν ὑμῖν περὶ τῆς κοινῆς ἡμῶν σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν. — Τὴν ὑπόθεσιν τῆς Ἐπιστολῆς διὰ τούτων μηνύει, ὅτι προμηθείᾳ τῆς αὐτῶν σωτηρίας, τοῦ μὴ ἁλῶναι δι' ἁπλότητα τοῖς μιαρωτάτοις αἱρετικοῖς, τοὺς παρόντας ἐκτίθεται λόγους, ὥσπερεὶ στίζων αὐτούς, καὶ διαδήλους ποιῶν τοῖς ἀγνοοῦσι, διὰ τῆς ἐκθέσεως τοῦ ἀσελγοῦς αὐτῶν βίου. Περὶ τούτων καὶ Πέτρος εἴρηκε μὲν, πλατύτερον δὲ οὗτος νῦν. Προγεγραμμένους δὲ αὐτοὺς λέγει, ἐπειδὴ καὶ Πέτρος, καὶ Παῦλος περὶ αὐτῶν εἴρηκεν, ὅτι ἐν ἐσχάτοις καιροῖς ἐλεύσονται πλάνοι τοιοῦτοι· καὶ πρὸ τούτων ὁ Χριστὸς αὐτὸς φάσκων· *Πολλοὶ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, καὶ πολλοὺς πλανήσουσι. Μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν.* Χριστιανοὺς γὰρ ἑαυτοὺς ὀνομάζοντες, ἐπὶ τῷ ὀνόματι τούτῳ πολλοὺς ἀπατῶσι. Λέγει δὲ τοὺς ἀπὸ Νικολάου, καὶ Οὐαλεντίνου, καὶ Σίμωνος τῶν μιαρωτάτων. Οὗτοι γὰρ γαστρίμαργοι ὄντες καὶ ἀκόλαστοι, ὑπεκρίναντο [*f.* -νοντο] τὴν διδασκαλίαν, ἵνα διὰ τῆς παρεισδύσεως τῆς εἰς τὰς οἰκίας, εὕρωσι [καὶ αἰχμαλωτίζωσι] γυναικάρια σεσωρευμένα ἁμαρτίαις. Τελετὰς γάρ τινας νυκτερινὰς πλασάμενοι, κοίταις καὶ ἀσελγείαις ἑαυτοὺς ἐκδεδώκασι. Τὸ δὲ, *Μετατιθέντες εἰς ἀσέλγειαν*, ἀντὶ τοῦ, μεταποιοῦντες, παραχαράττοντες ἀπὸ τῆς σωφροσύνης εἰς ἀσέλγειαν. Ἀφ' οὗ καὶ ἀρνεῖσθαι αὐτοὺς συμβαίνει τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Καὶ πῶς γὰρ οὐκ ἀρνοῦνται οἱ διὰ τῆς τοῦ βίου ἀκαθαρσίας, τὸν πάσης σωφροσύνης διδάσκαλον, οἱονεί τινι διατόρῳ φωνῇ ἀπότομον ποιούμενοι; *Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος;*

Παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει. Παρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρῖμα, ἀσεβεῖς, τὴν τοῦ Θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν, καὶ τὸν μόνον Δεσπότην Θεὸν καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι. — Ἐπαγωνίζεσθαι παρακαλεῖ τοὺς ἅπαξ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν Σωτῆρα καταδεξαμένους, καὶ τούτῳ πεπιστευκότας. Δεξάμενοι γὰρ τὸν ἐνανθρωπήσαντα Λόγον, εἰ λέγοιμεν ἕτερον μὲν εἶναι τὸν πρὸ αἰώνων ἐκ τοῦ Πατρὸς, ἕτερον δὲ τὸν ἐκ τῆς Μητρὸς καὶ κατ' ἰδίαν ὑπόστασιν, πῶς οὐκ ἂν ἀρνηθείημεν τὸν ἕνα Κύριον καὶ Δεσπότην; Εἷς γὰρ Κύριος Ἰησοῦς καθ' ἕνωσιν οἰκονομικήν. Ὁ γὰρ πρὸ αἰώνων Θεοῦ Λόγος καὶ Θεὸς, εἰς τὴν τῆς θεότητος δόξαν ἀναφοιτῶσαν τὴν σάρκα ἔχων, ἣν ἐκ τῆς ἁγίας Παρθένου ἐξ ἀρχῆς συλλήψεως ἀνέλαβεν, εἷς καὶ αὐτός ἐστιν ἁπάντων Δεσπότης.

Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ὑμᾶς ἅπαξ τοῦτο, ὅτι ὁ Κύριος λαὸν ἐκ γῆς Αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν. Ἀγγέλους δὲ, *τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν, ἀλλ' ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας, δεσμοῖς*

A Vers. 3. *Charissimi, omnem sollicitudinem faciens scribendi vobis de communi vestra salute, necesse habui scribere vobis.* — Per hæc præsentis Epistolæ argumentum indicat : nempe quod cura, quam de illorum salute gerebat, et timor ne ob nimiam simplicitatem a sceleratissimis caperentur hæreticis, hos sibi exprimeret sermones quibus hæreticos ipsos notare, et expositione impuræ ipsorum vitæ manifestos nescientibus facere volebat. De quibus etiam Petrus locutus est ; at fusius iste. Cæterum eos præscriptos dicit : quia cum Petrus, tum Paulus seductores hujusmodi extremis temporibus venturos prædixerunt. Et ante illos dixerat Christus [a] : *Venient in nomine meo, et multos seducent. Nolite igitur abire post ipsos.* Illi enim Christianos sese appellantes, multos hoc nomine decipient. Loquitur autem de Nicolaitis, Valentinianis et Simonianis : quippe qui, cum essent gulæ et impudicitiæ addicti, Christi doctrinam simulabant, ut sic facilem in domos ingressum nacti, mulierculas peccatis deditas invenirent et captivarent. Quam in rem nocturnos quosdam ritus commenti, cubilibus et impudicitiis operam dabant. Illud autem *transferentes in luxuriam*, positum est pro : transmutantes, et detorquentes a continentia in luxuriam : ex quo etiam consequens erat, ut Dominum nostrum Jesum Christum abnegarent. Et sane, quomodo non abnegarent ii, qui vitæ impuritate, velut alta et sonora voce divinum temperantiæ et continentiæ Magistrum abs sese repellebant [b]? *Quæ enim societas luci ad tenebras ?*

Vers. 3, 4. *Deprecans supercertare semel traditæ sanctis fidei. Subintroierunt enim quidam homines (qui olim præscripti sunt in hoc judicium) impii, Dei nostri gratiam transferentes in luxuriam, et solum Dominatorem et Dominum nostrum Jesum Christum negantes.* — Hortatur, ut ii, qui Dominum nostrum Jesum Christum jam semel receperant eique crediderant, pro ejus fide indesinenter certare pergerent. Quicunque enim Verbum incarnatum recepimus, si dixerimus alium esse eum qui est ante sæcula ex Patre genitus, alterum, qui ex Matre in propria hypostasi natus est ; quomodo non abnegabimus solum, seu unum Dominatorem et Dominum ? Unus enim est Dominus per unionem incarnationis, idem ipse qui ante sæcula Verbum Dei, et Deus, unitam habens ad divinitatis gloriam carnem, quam ex sancta Virgine initio conceptionis suæ suscepit : unus et ipse omnium Dominus.

Vers. 5-7. *Commonere autem vos volo, scientes semel omnia, quoniam Jesus populum de terra Ægypti salvans, secundo eos qui* 448 *non servaverunt suum principatum, sed dereliquerunt suum domicilium, in judicium magni diei, vinculis æternis sub caligine reservavit. Sicut Sodoma et Gomorrha,*

[a] Marc. XIII, 6. [b] II Cor. VI, 14.

Digitized by Google

et finitimæ civitates simili modo exfornicatæ. Luxuria impurorum Nicolaitarum et Marcionistarum ob oculos posita, addit : *Dominus populum ex Ægypto salvans*, etc., simulque ostendit, eumdem Deum cum Veteris, tum Novi Testamenti auctorem esse : ac non, ut scelesti illi dicebant, alium esse Veteris Testamenti Deum, ultionis cupidum et immitem ; alium Novi, placidum et benignum : unde ait, eos quoque, qui sub novo Fœdere peccant, haudquaquam punitionem evasuros, sicut non evaserunt Hebræi educti ex Ægypto. Quanquam enim Deus cum ad immensam suam ostendendam virtutem, tum propter jusjurandum, quod ad patres eorum juraverat, eos ab Ægyptiaca tyrannide liberare voluerit : nihilo tamen minus, cum ipsi postea prævaricati essent, eos impunitos non reliquit, sed digna pœna multavit : quin illos quidquam juvaret aut benignitas, qua patres eorum complexus fuerat, aut eximia, quæ in eorum gratiam patraverat, miracula. Quare postquam mare Rubrum transierunt per siccum, iterum deficientes a fide perierunt. Eos etiam qui angelicam erant dignitatem assecuti, cum ex socordia in principatu non permansissent suo ; sed cœleste vitæ institutum summo munere sibi concessum parvipendissent, in judicium, seu in condemnationem magni diei puniendos recondidit : hoc enim hic illud *reservavit*, significat : sicut et cum dicitur [5] : *qui paratus est diabolo et angelis ejus.* Sodomitæ etiam in exemplum proponuntur ignis æterni, qui eos excipiet.

Et abeuntes post carnem alteram factæ sunt exemplum, ignis æterni pœnam sustinentes. Illud : *abeuntes*, seu declinantes *post carnem alteram*, perinde est ac fornicantes. Carnem vero alteram masculam appellat naturam : quippe quæ ad congressum generationis causa inepta est. Caro enim ad hujusmodi congressum consentanea feminina est ; juxta illud protoparentis dictum [6] : *Os ex ossibus meis, et caro de carne mea.* Caro autem masculina altera, seu aliena est ab hoc congressu, ut dixi. Quin et in sexu feminino una quidem uni juxta leges juncta sola propria ac domestica caro est, quæ autem est prostituta et publica aliena est et propemodum ad masculinæ carnis impuritatem relicta.

VERS. 8. *Similiter et hi carnem quidem maculant somniantes* (1), *dignitates* (2) *autem spernunt.* Allatis exemplis, quæ præmissa sunt, id quod ex illis consequens est, auditori suo intelligendum reliquit. Quid vero hoc est ? Hæc videlicet illatio : Si **449** igitur in illos, nulla habita prioris eorum sortis ratione, ita animadvertit, anne eos, qui hoc tempore tantopere lasciviunt, eximet ab hac lege

A ἀΐδιοις ὑπὸ ζόφον τετήρηκεν. Ὡς Σόδομα καὶ Γόμορα [vulg. Γόμορρα], καὶ αἱ περὶ αὐτὰς πόλεις τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι. Εἰρηκὼς τὴν ἀσέλγειαν τῶν ἀκαθάρτων Νικολαϊτῶν, καὶ Οὐαλεντινιανῶν, καὶ Μαρκιωνιστῶν, ἐπάγει καὶ ταῦτα· Ὅτι ὁ Κύριος λαὸν ἐκ γῆς Αἰγύπτου σώσας, καὶ ἐξῆς· ὁμοῦ μὲν δεικνὺς, ὡς αὐτὸς τῆς Παλαιᾶς Θεός ἐστι καὶ Νέας εἰσηγητής, ἀλλ' οὐχ ὡς οἱ μιαροὶ οὗτοι, ἄλλον μὲν τὸν τῆς Παλαιᾶς φάσκοντες, τιμωρητικὸν καὶ ὠμὸν, ἄλλον δὲ τῆς Νέας, προσηνῆ καὶ φιλάνθρωπον, ἔφορον εἶναι Θεόν· ἅμα δὲ καὶ ὡς οὐδὲ οἱ νῦν ἀτιμώρητοι μείνειαν, ὡς οὐδὲ οἱ ἀπ' Αἰγύπτου. Διὰ μὲν οὖν τὴν ὑπερβάλλουσαν δύναμιν, καὶ τὴν πρὸς τοὺς πατέρας αὐτῶν ὁρκωμοσίαν, τοῦ Θεοῦ τῆς Αἰγυπτικῆς αὐτοὺς ἀπαλλάξαντος βίας, οὐ μέντοι καὶ παρανομήσαντες, ἀτιμώρητοι διαμεμενήκασιν, ἀλλ' ἔδοσαν δίκας ἀξίας, οὐδὲν αὐτοὺς ὠφελήσαντος τῆς πρὸς τοὺς πατέρας αὐτῶν τοῦ Θεοῦ εὐμενείας, οὐδὲ τῆς τῶν θαυμάτων διὰ ταύτης ὑπερφυοῦς ἐνεργείας· οἱ τὴν Ἐρυθρὰν θάλασσαν διὰ ξηρᾶς διελθόντες, ἐκ πίστεως ὕστερον ἀποστήσαντες ἀπώλοντο. Τοὺς δὲ τῆς ἀγγελικῆς ἀξίας λαχόντας τὸ τίμιον, ἐκ ῥᾳθυμίας μὴ ἐμμείναντας τῇ ἑαυτῶν ἀρχῇ, ἀλλ' ἀθετήσαντας τὴν δεδομένην αὐτοῖς δι' ἀγαθότητα δίαιταν ἐπουράνιον, εἰς κρίσιν, ἤτοι εἰς κατάκρισιν ἡμέρας μεγάλης τῇ τιμωρίᾳ τεταμίευκε (τοῦτο γὰρ νῦν τὸ, τετήρηκε, σημαίνει)· καθὸ καὶ ὁ Κύριός φησι· Τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Καὶ B δὴ καὶ οἱ Σοδομῖται τεκμήριον τοῦ ὑποδεξομένου αὐτοῖς [*f.* αὐτοὺς] ἀτελευτήτου πυρὸς πρόκεινται.

Καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας, πρόκεινται δεῖγμα, πυρὸς αἰωνίου δίκην ὑπέχουσαι. Τὸ δὲ, Ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας, καὶ πορνεύσαντες, ἤτοι ἐκκλίναντες, ὃ τὸ πορνεύειν ἐμφαίνει. Σάρκα δὲ ἑτέραν τὴν ἄῤῥενα φύσιν λέγει, ὡς μὴ πρὸς συνουσίαν γενέσεως συντελοῦσαν. Ἡ γὰρ πρὸς συνουσίαν σὰρξ τοῦ θήλεός ἐστι, κατὰ τὸ ὑπὸ τοῦ προπάτορος εἰρημένον· Ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. Ἡ δὲ τῶν ἀῤῥένων σὰρξ, ἑτέρα, τῆς συνουσίας, φημί. Πλὴν καὶ ἐπὶ τοῦ θήλεος, ἡ μὲν κατὰ νόμους ἑνὶ μία, ἰδία σὰρξ καὶ οἰκεία· ἡ δὲ ἐκκεχυμένη καὶ δημοσία, ἑτέρα καὶ ἀλλοτρία, καὶ μικρῷ τῆς ἀῤῥενικῆς εἰς μίασμα λειπομένη. D

Ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι. — Εἰρηκὼς ταῦτα τὰ ὑποδείγματα, ἃ φθάσας παρέθετο, κατέλιπε τὸ τούτοις ἀκόλουθον τῷ ἀκροατῇ ἐννοεῖν. Τί δὲ τοῦτο; Τὸ ἐπενεγκεῖν· Εἰ οὖν τούτοις οὕτως ἀπεχρήσατο, μηδὲν δυσωπηθεὶς τῇ προτέρᾳ αὐτῶν εὐκληρίᾳ· ἆρα τούτους τοὺς νῦν ἀσελγαίνοντας ἐξαιρήσεται, τὸ [*f.* τῷ] τὸν Υἱὸν τοῦ Θεοῦ δι' ἀνθρώπους

[5] Matth. xxv, 4. [6] Gen. II, 23.

Variæ lectiones et notæ.

(1) Vulg. non habet vocem hanc *somniantes* ; seu, ut alii vertunt, *delusi in somnis.*
(2) Vulg. *majestatem.*

Digitized by Google

εἰ τὸν κόσμον ἐλθεῖν, καὶ ἀνασχέσθαι ὑπὲρ τούτων ὕβρεων, καὶ παθῶν πειρασθῆναι; Οὐκ ἂν εἴποι τις τοῦτο. Κἂν γὰρ φιλάνθρωπός ἐστιν, ἀλλὰ καὶ δίκαιος ἀληθείᾳ. Καὶ διὰ μὲν ἀληθῆ δικαιοσύνην τῶν ἡμαρτηκότων οὐκ ἐφείσατο· διὰ δὲ φιλανθρωπίαν πόρνους καὶ τελώνας εἰς τὴν βασιλείαν εἰσήγαγεν. Οὕτω τοῦ ἀκολούθου ὄντος χρήσασθαι, αὐτὸς παρῆκε, καὶ δι' ἃ μὲν προείπομεν, ἢ καὶ ὡς τῷ μακαρίῳ Πέτρῳ προειρημένου, ὅτε ἔλεγεν· *Εἰ γὰρ ὁ Θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο*, καὶ ἑξῆς. Καὶ περὶ μὲν τούτων οὕτως.

Τὸ δὲ, *Σάρκα μὲν μαίνουσιν ἐνυπνιαζόμενοι*, θαυμάζειν ἄξιον τῆς σεμνότητος τοῦ λόγου. Τὸ γὰρ ἄγαν αἰσχρὸν τῆς πράξεως διὰ τοῦ, *ἐνυπνιαζόμενοι*, περιέστειλεν· ὃ μικρὸν ἡμεῖς καὶ ὅσον προσῆκε παραγυμνώσομεν, καὶ [*f.* ἐκ] τοῦ πεπονημένου τῷ μακαρίῳ Ἐπιφανίῳ τῷ Κύπρου περὶ τούτων, ὃ καὶ *Πανάριον* ἐκάλεσε, τὴν γνῶσιν εἰληφότες. Φησὶ γὰρ οὗτος, τοὺς Βορβορίτας τούτους καὶ μιαροὺς αἰσχρῶς γυναιξὶν ἐπιμιγνυμένους, μὴ τῇ μήτρᾳ τὴν γονὴν καταχεῖν, ἀλλ' ἀτελέστῳ τῇ βδελυρίᾳ, ταῖς ἑαυτῶν ὑπολαβόντες ταύτην χερσὶν, εὐθὺς τῷ στόματι ταύτην προσάγειν μεθ' ὧν συνεφθάρησαν γυναίων, καὶ οὕτως ἀπέρχεσθαι ἀπ' ἀλλήλων τοὺς ἀκαθάρτους, μέγα τι οἰηθέντας ἐπιτετελεκέναι. Τοῦτο τὸ ἀκάθαρτον δρᾶγμα [*f.* δρᾶμα], διὰ τὸ ἀτέλεστον, ἐνυπνίασμα καλεῖ· ἐπεὶ καὶ τοιαῦτα τὰ ἐνυπνιάσματα. Μαίνοντες τοίνυν διὰ τῆς βορβορώδους ταύτης προσφορᾶς τὴν ἑαυτῶν σάρκα, ἔτι, φησὶ, καὶ κατὰ τῆς θείας φύσεως μαίνονται, τὴν κυριότητα ταύτης ἀθετοῦντες, καὶ τὴν τοῦ παντὸς αὐτῆς δεσποτείαν. Ἡλατύτερον δὲ περὶ τούτων ὁ μακάριος Εἰρηναῖος, ὁ Λουγδούνου ἐπίσκοπος, εἰρηκεν ἐν τῷ *Ἐλέγχῳ τῆς ψευδωνύμου γνώσεως* ἐπιγραφομένῳ αὐτοῦ βιβλίῳ. Ἄλλως· Πλὴν αὐτῶν ἀσέλγειαν καταμαρτυρεῖ, φάσκων, ὅτι καὶ βίῳ εἰσὶν ἀκάθαρτοι, καὶ γνώσει ἀσελγέστατοι. Κυριότητα δέ φησιν ἀθετεῖν αὐτοὺς, τὴν τοῦ κατὰ Χριστὸν μυστηρίου τελετήν. Ἀθετοῦσι γὰρ, ἐν τάξει μυστηρίων ἀγγελικῶν τὰς ἑαυτῶν ἀσελγείας ἐκτελοῦντες. *Δόξας δὲ βλασφημοῦσιν.*— *Δόξας*, τὰς πολλὰς τῶν ἐγχρίτων ἀνδρῶν ὑπολήψεις εἰσηγητέον, ἃς καὶ οἱ παρ' Ἕλλησι δόκιμοι, θέσεις καλοῦσιν, ὁριζόμενοι αὐτὰς παραδόξους ὑπολήψεις, οὐ τῶν τυχόντων, ἀλλὰ τῶν κατὰ φιλοσοφίαν γνωρίμων. Ἐπεὶ οὖν καὶ Μωϋσῆς τῷ ξενίζοντι τοῖς τότε ἐμπολιτευομένοις ἀνθρώποις, καὶ οἱ θεῖοι ἀπόστολοι ἃ ὑπὸ τοῦ Θεοῦ ἐμπνεόμενοι παρεισῆγον τῷ βίῳ, ἐδόκει δὲ ταῦτα παραδοξολογία διὰ τὸ ἦθος τῶν τότε, εἰς *δόξας*, ἤτοι ὑπολήψεις, κατονομάζειν ταῦτα οὐ κατενάρκησε. Πίστις τοῦ λόγου Παῦλος ὁ θεῖος, ὃς ὑπ' Ἀθηναίων εἰς τὸν Ἄρειον ἀναχθεὶς Πάγον, κἀκεῖ τὰ θεῖα διεξελθὼν αὐτοῖς, ἔδοξεν εἰς σπερμολογίαν ἀποτελευτᾷν. Ὡς οὖν ἐκεῖνα σπερμολογία διαβεβλημένως ὠνομάζοντο, οὕτω καὶ τὰ προειρημένα ὠνόμαζον δόξας. Διὸ καὶ ὡς συνήθει καὶ γνωρίμῳ πᾶσιν ὁ θεῖος οὗτος ἀνὴρ ἐχρήσατο *δόξαις*, εἰπὼν τοὺς θεοδωρήτους

A eo quod Filius Dei propter homines in hunc mundum venerit, ut pro ipsis injurias et passiones toleraret? Nemo hoc dixerit : quanquam misericors sit, vere etiam justus est. Et quidem quia vere justus, peccantibus non pepercit : et quia misericors, [7] meretrices et publicanos in regnum cœlorum introduxit. Hanc illationem quæ sponte fluebat, sacer auctor prætermisit, seu ob ea quæ jam diximus, seu beati Petri imitatus loquendi modum, quo dixit [8] : *Si angelis peccantibus non pepercit.* Et de his quidem ita.

In eo autem quod ait : *Carnem quidem maculant somniantes*, admiratione digna est locutionis honestas et verecundia : nam summam operis turpitudinem per illud *somniantes* pudoris causa obscure tantummodo indicavit : quam nos ex libro Epiphanii Cyprii, quem *Panarium* inscripsit, quantum quidem decet, paulo fusius explicabimus. Ait ille, scelestos istos Borboritas, cum mulieribus turpiter commiscerentur, solitos fuisse, non in vulvam semen effundere, sed incompleto abominabili actu, illud propriis sumptum manibus in os mulierum quibuscum se corruperant, immittere : sicque impurissimi magnum quid se fecisse rati, ab invicem discedebant. Hujusmodi nefandum opus, quia complemento sui generis carebat, somnium vocat, ob quamdam cum somniis ratione imperfectionis similitudinem. Inquinantes igitur per fæculentam hanc oblationem carnem suam, ulterius progrediuntur : nam etiam contra divinam naturam insaniunt, dominationem ejus, seu dominium, quod in universum hoc habet, spernentes. Latius vero de his rebus agit. Irenæus Lugdunensis episcopus in libro quem inscripsit : *Confutatio falsi nominis scientiæ.* Aliter : Eorum luxuriam ob oculos ponit, dicens eos esse vita quidem impuros, mente vero impudentissimos. Dominationem autem ait ipsos spernere, nempe mysterii Christi celebrationem : quandoquidem angelicorum mysteriorum loco impudicitias suas illi exercebant. *Dignitates autem blasphemant.* Per dignitates hic excellentium virorum intelligendæ sunt propositiones, quas Græcorum probatissimi theses vocant, easque definiunt esse inopinatas propositiones, quas quidem vulgarium hominum, sed eorum qui philosophia inclaruere. Quoniam vero cum Moses peregrina multa iis, quæ tunc temporis in usu erant, tum apostolica, quæ Deus inspirabat, in vitam introduxerunt, eorum sermones paradoxici videbantur, quod a moribus illorum temporum **450** abhorrerent, idcirco δόξας, seu opinationes, ea appellare non dubitavit. Argumentum in hanc rem esto divus Paulus, qui ab Atheniensibus ductus in Areopagum, cum ibi de rebus divinis disseruisset, visus est in nugacitatem prolabi. Quemadmodum igitur ea, quæ ab ipsis dicebantur, nugiloquium vocata sunt, ita et prædicta opinationes appellabant. Quare hujusmodi

[7] Matth. II, 1, 32. [8] II Petr. II, 4.

Digitized by Google

voce, ut jam consueta, ut omnibus nota divinus hic vir usus est, loquens de hominibus a Deo datis et inspiratis. Aliter : Δόξας, seu dignitates, aut glorias Vetus ac Novum Testamentum appellat, sicut et Paulus ait[9] : *Si enim, quod evacuatur, per gloriam est, multo magis quod manet, in gloria est.* Vel etiam dignitates ecclesiasticas potestates dicit, quas ii blasphemabant : ut colligitur etiam ex Epistola tertia dilecti discipuli, ubi ait Diotrephen verbis malignis garrire in illos. Quandoquidem vero de blasphemia mentionem fecit, non solum illos, sed omnes homines erudiens, ut puras servent ab hujusmodi malo linguas suas, ne quidem contra dignos convitiis hæc adhibenda docet, dicens : *Michael archangelus* etc. Velut si diceret: Isti quidem prompte et impotenter in omnes maledicta conjiciunt : quod adeo abhorret ab æquo, ut etiam eos, qui exsecratione dignissimi sunt, exsecrari non liceat, ut patet ex archangelo Michaele. Is enim disputans de Mosis corpore cum diabolo, cum ob illius impudentiam, eum exsecrari juste posset, non tamen ita fecit, sed tantum dixit : *Increpet tibi Deus.* Si igitur archangelus ita se gessit, profecto, si quæ nobis cum fratre ejusdem nobiscum naturæ, occurat disceptatio, maledictis prorsus abstinere debemus. Cæterum disceptatio de Mosis corpore ita se habuit. Legimus in Apocryphis libris, archangelum Michaelem Mosi sepulturæ curam suscepisse. Id cum ægre ferret diabolus, objiciebat Mosi velut crimen, Ægyptii necem, contendebatque, hac de causa honore sepulturæ privandum esse. Hoc autem in medium profert hic apostolus, ut non solum doceat neminem ad maledicta facilem esse debere; sed etiam ut ostendat, quid omnibus hominibus post discessum ex hac vita debeatur, ac quod idem sit Veteris ac Novi Testamenti Deus : necnon quod diabolus cum pessimis sociis suis sese animabus nostris corpore solutis opponat, ut felix ipsarum iter, si fieri posset, abrumpat (Et is quidem obsistit : boni autem angeli pro iis pugnant : quemadmodum sanctus Antonius vidit) ista fieri permisit. Ait itaque, a Michaele diabolum quidem repressum fuisse : attamen non cum potestate ab illo increpatum, sed causam illam Deo permissam, adeoque Michaelem dixisse : *Increpet tibi Deus*, o diabole.

451 VERS. 9-11,. *Cum Michael archangelus cum diabolo disputans altercaretur de Moysi corpore, non est ausus judicium inferre blasphemiæ, sed dixit : Increpet tibi Deus. Hi autem quæcunque quidem ignorant, blasphemant : quæcunque autem naturaliter, tanquam muta animalia, norunt, in his corrumpuntur. Væ illis, quia in via Cain abierunt, et in errore Balaam mercede effusi sunt, et in contradictione Core perierunt.* Michael quidem, inquit, neque contra hominem, nempe Mosem, pertulit diaboli maledicta. Isti autem contra dogmata quidem, quæ

A ἀνθρώπους χρηματισμένους. Ἄλλο εἰς τὸ αὐτό.— Δόξας τὴν Παλαιάν φησι καὶ Νέαν Διαθήκην, ὡς καὶ Παῦλός φησι· *Εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ τιμώμενον ἐν δόξῃ·* ἢ καὶ δόξας τὰς ἐκκλησιαστικὰς φησιν ἀρχὰς, ἃς ἐδυσφήμουν· ὡς ἔστι καὶ ἀπὸ τῆς τρίτης Ἐπιστολῆς τοῦ ἠγαπημένου Ἰωάννου μαθεῖν, ἐξ ὧν φησι, τὸν Διοτρεφῆ λόγοις πονηροῖς καταφλυαρεῖν αὐτῶν. Ἐπεὶ δὲ βλασφημίας ἐμνήσθη, σωφρονίζων οὐκ αὐτοὺς μόνους, ἀλλὰ καὶ πάντας ἀνθρώπους, καθαρὰς ἔχειν τὰς γλώσσας τοῦ τοιούτου κακοῦ, καὶ μηδὲ κατὰ τῶν ἀξίων βλασφημίας τούτῳ κεχρῆσθαι, φησίν· *Ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος*, καὶ ἑξῆς. Τί τοῦτο λέγων ; Ὡς οὗτοι μὲν προχείρως καὶ ἀκρατῶς κέχρηνται κατὰ παντὸς τῇ βλασφημίᾳ. Οὐ

B χρὴ δὲ τοῦτο, ὅπου γε οὐδὲ τοὺς ἀξίους βλασφημίας δίκαιον βλασφημεῖν· ὡς δῆλον ἀπὸ τοῦ ἀρχαγγέλου Μιχαήλ. Παρὼν [*f.* παρὸν] γὰρ αὐτῷ, κρινομένῳ μετὰ τοῦ διαβόλου περὶ τοῦ Μωϋσέως σώματος, βλασφημῆσαι τὸν διάβολον διὰ τὴν ἀναίδειαν αὐτοῦ, τοῦτο οὐκ ἐποίησεν, εἰ μὴ τὸ, *Ἐπιτιμήσαι σοι μόνον ὁ Θεὸς, διάβολε*, χρησάμενος, ἐπήνεγκεν αὐτῷ. Ἄλλως· Εἰ γὰρ ὁ ἀρχάγγελος οὕτως, ἐκ [*f.* οὐκ] ἐν δίκῃ ἀνδρὸς ἀδελφοῦ καὶ ὁμογενοῦς βλασφημίαν συμπλέκοιμεν. Ἡ δὲ περὶ τοῦ Μωϋσέως σώματος κρίσις ἔστιν αὕτη· Λέγεται ἐν ἀποκρύφοις, Μιχαὴλ τὸν

C ἀρχάγγελον τῇ τοῦ Μωϋσέως ταφῇ δεδιηκονηκέναι· τοῦ διαβόλου τοῦτο μὴ καταδεχομένου, ἀλλ' ἐπιφέροντος ἔγκλημα αὐτῷ διὰ τὸν τοῦ Αἰγυπτίου φόνον, ὡς διὰ τούτου ἔνοχος [*f.* ἐνόχου] ὄντος Μωϋσέως, καὶ μὴ συγχωρεῖσθαι τυχεῖν ταφῆς. Τοῦτο δὲ προφέρει ὁ παρὼν ἀπόστολος, οὐ μόνον παιδεύων μὴ προχείρους εἶναι πρὸς βλασφημίαν, ἀλλὰ καὶ διὰ τούτου τὸ πᾶσιν ἀνθρώποις ἐποφειλόμενον λογοθέσιον μετὰ τὴν ἀπὸ τοῦ σώματος ἔξοδον παραστῆσαι βουλόμενος, καὶ ὅτι αὐτὸς ὁ Παλαιὰς καὶ Καινῆς Διαθήκης Θεὸς, καὶ ὅτι μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν ταῖς ἡμετέραις ψυχαῖς ἀντίκειται ὁ διάβολος μετὰ τῶν ἑαυτοῦ πονηρῶν δαιμόνων, ἐκκόψαι βουλόμενος τὴν ἀγαθὴν πορείαν αὐτῶν. Καὶ ὁ μὲν ἀνθίσταται· οἱ δὲ ἀγαθοὶ ἄγγελοι συμμαχοῦσιν αὐταῖς, ὡς ὁ μακάριος Ἀντώνιος τεθέαται. Ταῦτα τότε πραχθῆναι συνεχώρει· πλὴν τὸν Μιχαὴλ τότε τὸν διάβολον ἀποσοβῆσαι μὲν, μὴ μέντοι ἐξουσιαστικῶς ἐπιτιμῆσαι, ἀλλὰ τῷ Κυ-

D ρίῳ τῶν ὅλων παραχωρῆσαί φησι τὴν κρίσιν, καὶ εἰπεῖν· *Ἐπιτιμήσαι σοι ὁ Θεός, διάβολε.*

Ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ Μωϋσέως σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ' εἶπεν· Ἐπιτιμήσαι σοι Κύριος. Οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασι βλασφημοῦσιν, ὅσα δὲ φυσικῶς ὡς τὰ ἄλογα ζῶα ἐπίστανται, ἐν τούτοις φθείρονται. Οὐαὶ αὐτοῖς ! ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο.— Ὁ μὲν Μιχαὴλ, φησὶν, οὕτως οὐδὲ κατὰ ἀνδρὸς, ἤτοι τοῦ Μωϋσέως, ἠνέσχετο τῶν

[9] II Cor. III, 1.

Digitized by Google

τοῦ διαβόλου βλασφημιῶν· οὗτοι δὲ περὶ μὲν δογμάτων, ἃ οὐκ οἴδασι, βλασφήμους συντιθέασι λόγους· ὅσα δὲ φυσικῇ ὁρμῇ ἀδιακρίτως ὡς τὰ ἄλογα ἐπίστανται ζῶα, ταῦτα μεταδιώκουσιν, ὡς ἵπποι θηλυμανεῖς. Οὐαὶ αὐτοῖς! τῇ ὁδῷ γὰρ τοῦ Κάϊν ἐπορεύθησαν διὰ τῆς ἀδελφοκτονίας, ὅτι καὶ αὐτοὶ τοιαῦτα διδάσκοντες τοὺς ἀδελφοὺς, ἤτοι τοὺς ὁμογενεῖς ἀνθρώπους, ἀποκτείνουσιν αὐτοὺς ταῖς πονηραῖς αὐτῶν διδασκαλίαις· ἢ καὶ σπερμοφαγοῦντες, τοὺς δυνάμει ἀποκτείνουσιν ἀδελφοὺς, οὓς ἡ τοῦ σπέρματος τελεσφορία ἤνεγκεν ἂν εἰς βίον. Τῇ δὲ τοῦ Βαλαὰμ ὁδῷ, ὅτι κέρδους χάριν καὶ αὐτοὶ, ὡς ἐκεῖνος, ταῦτα πράσσουσι. Τῇ δὲ τοῦ Κορὲ, ὅτι καὶ οὗτοι, ὡς ἐκεῖνος, διδασκαλικὸν ἀξίωμα, ἀνάξιοι ὄντες, ἥρπασαν.

A ignorant, maledicos emittunt sermones: quæcunque autem naturali instinctu absque ratione, sicut irrationalia animalia, norunt, ea prosequuntur, equorum instar, cum in femellas amore insaniunt. Væ illis, quoniam via Cain abierunt: ejus scilicet fratricidium imitantur. Siquidem et isti perversis doctrinis suis fratres, seu ejusdem cum ipsis naturæ homines, interficiunt: vel etiam semen devorantes, eos qui potentia fratres sunt, quos scilicet seminis fructificatio educeret in vitam, e medio tollunt. Via autem Balaam: quia lucri causa etiam isti illius instar, hæc faciunt. In contradictione demum Core: quoniam sicut ille, eximium docendi munus quantumvis indigni, arripiunt.

Οὗτοί εἰσιν ἐν ταῖς ἀγάπαις ὑμῶν, σπιλάδες, συνευωχούμενοι.—Ἦσαν ἔτι κατὰ τὸν χρόνον ἐκεῖνον ἐν ταῖς ἐκκλησίαις γινόμεναι τράπεζαι, ὡς καὶ Παῦλός φησιν ἐν τῇ πρὸς Κορινθίους· ἃς καὶ ἀγάπας ἐκάλουν. Ἐν ταύταις, φησὶ, συνέρχονται, οὐ διὰ χρείαν τὴν ἐν ταύταις γινομένην, ἀλλ' ἵνα καιρὸν εὕρωσι, ψυχὰς ἀστηρίκτους δελεάζειν, ὡς καὶ Πέτρος φησὶν ἐν τῇ δευτέρᾳ Ἐπιστολῇ. Σπιλάσι δὲ αὐτοὺς ἀπεικάζει, καὶ ἀνύδροις νεφέλαις, καὶ δένδροις φθινοπωρινοῖς, καὶ ἄστροις πλανήταις. Ἃ γὰρ ἐκείνοις ὑπάρχει κατὰ φύσιν, ταῦτα τούτοις κατὰ προαίρεσιν. Αἵ τε γὰρ σπιλάδες τοῖς πλέουσιν ὀλέθριοι, ἀπροσδοκήτως ἐπιγινόμεναι, ὡς καὶ αὐτοὶ τοῖς συνδείπνοις ἀνέλπιστον κακὸν ἐπιφύονται. Ὡς τε νεφέλαι ἄνυδροι ὑπὸ ἀνέμων ἐλαυνόμεναι, οἷς ἂν τόποις ἐπενεχθῶσιν, οὐκ ἀναψύχουσι τῷ ὄμβρῳ (οὐ γὰρ ἔχουσιν), ἀλλὰ ζόφον αὐτοῖς ἀπεργάζονται· ὡσαύτως καὶ οὗτοι, οὐ λόγῳ σωτηριώδει τὰς ψυχὰς ἄρδουσι τῶν ἐντυγχανόντων, ἀλλὰ ζοφοῦσι ταῖς μιαρωτάταις αὐτῶν εἰσηγήσεσιν, ἐλαυνόμενοι τοῖς τῶν δαιμόνων πονηροῖς ἐπιτηδεύμασιν. Ἀλλὰ καὶ τὰ φθινοπωρινὰ δένδρα δὶς ἀποθνήσκοντα, ἔν τε τῇ τοῦ καρποῦ ἀποβολῇ, καὶ τῶν φύλλων ἀπορροῇ (ξηρὰ γὰρ τότε δοκεῖ, τοῦ κάλλους αὐτῶν ἐστερημένα, τῆς ἀπὸ τοῦ καρποῦ ἀγλαΐας, καὶ τῆς τῶν φύλλων ἀνθηρᾶς εὐπρεπείας), αὐτοῖς τι κατάλληλον πάσχει. Δὶς γὰρ καὶ οὗτοι ἀποθνήσκουσι, τὸν ἑαυτῶν καρπὸν ἀποβαλλόμενοι διὰ τῆς σπερμοφαγίας, καὶ τὴν ἀπὸ τῆς ἔμφρονος πολιτείας εὐκοσμίαν ἀφαιρούμενοι. Διὸ καὶ ἐκριζοῦνται ἀπὸ τοῦ παραδείσου τοῦ Κυρίου τῆς Ἐκκλησίας, καὶ ἔξω ῥιπτοῦνται τῷ αἰωνίῳ πυρὶ συλλεγόμενοι. Ποίαν γὰρ ἕξει οὗτος ῥίζωσιν, ὁ διὰ τοῦ βίου αἰσχρότητα ὑπὸ πάντων βδελυσσόμενος; Ἀστέρες δὲ πλανῆται χρηματίζουσι καὶ αὐτοὶ, οὐχ ὅτι τῷ τῆς πίστεως ἡμῶν στερεώματι μεταπρέποντες, τὸν τῆς δικαιοσύνης Ἥλιον Χριστὸν ἔχουσι δι' αὐτῶν διερχόμενον, καὶ τὰς τῶν ἀρετῶν ὥρας ἀποτελοῦντα, καὶ ζωογονοῦντα τοὺς κατὰ ταύτας πιστοὺς, ἀλλ' ὅτι δοκοῦντες εἰς ἄγγελον φωτὸς μετασχηματίζεσθαι, ὡς ὁ προκατάρχων αὐτῶν πονηρὸς δαίμων, ἀπεναντίας μόνον τῶν τοῦ Κυρίου φέρονται δογμάτων· οἵ; καὶ ζοφοῦσι τοὺς προσπελάζοντας, καὶ ζόφον τὸν αἰώνιον ἑαυτοῖς ἐκπορίζονται. Ἀλλὰ καὶ κύμασιν ἀγρίοις ἀπεικα-

B Vers. 12. *Hi sunt inter charitates vestras petræ maris, convivantes.* Usus obtinebat etiam eo tempore mensas in ecclesiis instruendi, de quibus Paulus loquitur in Epistola ad Corinthios: quas agapas, seu charitates, vel dilectiones appellabant. Has, inquit, isti non ad eum finem, ob quas institutæ sunt, frequentant, sed ut occasionem arripiant animas minus firmas inescandi, quemadmodum etiam Petrus inquit in secunda Epistola sua. Assimilat autem eos petris in mari latentibus, nubibus sine aqua, arboribus autumnalibus et sideribus errantibus: quæ enim illis naturaliter accidunt, eadem isti sibi libere asciscunt. Nam sicut petræ navigantibus inopinate occurrentes exitium illis afferre solent: ita isti convivantibus C adhærentes inespectati mali sunt causa. Et sicut: nubes sine aqua a ventis circumlatæ, loca ad quæ appelluntur, non imbre refrigerant (non enim habent,) sed tenebris obducunt; ita et isti animas eorum, qui in eos incidunt, haudquaquam salutaribus irrigant verbis, sed scelestissimis documentis obtenebrant. Sicut enim arbores autumnales bis mortuæ censeri possunt, nempe et fructuum depositione, et foliorum defluxu; eæque aridæ videntur, quod et fructuum splendore, et foliorum ornatu careant: ita et hi bis mortui sunt; nempe et quod fructu propter boni seminis consumptionem careant, et quod congruæ sapientisque conversationis **452** ornamentum nullum habeant. Qua- D propter eradicantur e paradiso Domini, nempe extra Ecclesiam projecti, æterno igni reservantur. Qualemnam enim radicem is, qui ob vitæ turpitudinem in omnium abominatione est, habere potest? Sidera quoque errantia ipsi dicuntur: non quod in fidei nostræ firmamento præfulgentes, solem justitiæ per se decurrentem habeant, aut virtutum perficiant horas, vel fideles eisdem deditos vivificent: sed quia in angelum lucis apparenter transformati, quemadmodum coryphæus ipsorum pessimus dæmon, dogmata Domino contraria effundunt: quibus et ad se accedentes obtenebrant, et sibimet ipsis æternam caliginem administrant. Fluctibus vero feri maris recte assimilantur; quod eorum satis referant similitudinem: nam insane

Digitized by Google

et impotenter blasphemiis contra Deum ab nequitiæ spiritibus jactantur, adeoque despumant confusiones suas, id est, velut spuma evanescunt simul cum fastu blasphemiæ, ob instabilem vitam, fluxamque ipsorum turpitudinem. Ita enim se habet et fluctuum spuma, cui illi comparati sunt.

Vers. 12, 13. *Sine timore seipsos pascentes, nubes sine aqua, quæ a ventis circumferuntur, arbores autumnales, bis mortuæ, eradicatæ. Fluctus feri maris, despumantes suas confusiones, sidera errantia : quibus procella tenebrarum servata est in æternum.* Illud, *sine timore*, vel cum illo, *petræ maris*, connectendum, ut istiusmodi sit sensus : Petræ maris sine timore convivantes, hoc est, nullum timorem convivis habentibus repente velut petræ maris, occurrentes, animabus ipsorum exitium inferunt. Vel connectendum cum illo : *seipsos pascentes ;* unde talis exsculpatur sensus : Sine timore seipsos pascentes, seu non paventes ex eo quod pascere non sciant, imminens judicium, cæci cæcos ducunt, et in foveam [10], juxta Domini effatum, simul cum iis quos pascunt, cadunt.

Vers. 14-18. *Prophetavit autem et de his septimus ab Adam, Enoch, dicens : Ecce venit Dominus in sanctis millibus suis, facere judicium contra omnes impios de omnibus operibus impietatis eorum, quibus impie, egerunt, et de omnibus duris quæ locuti sunt contra Deum peccatores impii. Hi sunt murmuratores querulosi, secundum desideria sua ambulantes, et os eorum loquitur superba, mirantes personas quæstus causa. Vos autem, charissimi, memores estote verborum quæ prædicta sunt ab apostolis Domini nostri Jesu Christi. Qui dicebant vobis, quoniam in novissimo tempore venient illusores, secundum* **453** *desideria sua ambulantes in impietatibus.* Dictis quæ præmisimus, profert etiam Enochum, qui de præparata ipsis a Deo in extremo judicio pœna prophetavit. Impius autem a peccatore differt, quod impius immediate delinquat in Deum, peccator autem circa ea quæ aguntur in vita, a justitiæ scopo recedit. Deinde absoluta impiorum comparatione, ad ipsos exacte manifestandos procedit, murmuratores et querulosos illos appellans. Est autem murmurator, qui intra dentes et suboscure, quod non placet reprehendit et damnat. Querulosus autem qui omnia cavillari ac dicteriis impetere solet. Sunt autem isti, inquit, murmuratores et querulosi : quia doctrina sua, propter ejus fœditatem, libere uti non audent : neque enim periculo vacat impietatem cum luxuria, et blasphemia junctam publicare. Querulosi autem, quippe qui cuncta aliorum et veritatem ipsam calumniantur, ut exinde nequitiam lasciviasque suas stabiliant. Quod autem supra dixerat de Balaam, quoniam

[10] Matth. xv, 14.

A σθέντες, τὴν πρὸς αὐτὰ ὁμοιότητα οὐκ ἀναίνονται. Μανικῶς γὰρ καὶ αὐτοὶ καὶ ἀκατασχέτως ταῖς κατὰ τοῦ Θεοῦ βλασφημίαις ἐλαυνόμενοι ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων, ἐπαφρίζουσι τὰς ἑαυτῶν αἰσχύνας, εἰς ἀφρὸν ἀποτελευτῶντες μετὰ τοῦ κόσμου τῆς βλασφημίας, ἐκ τῆς τοῦ βίου αὐτῶν ἀνυποστάτου καὶ εὐδιαλύτου αἰσχρότητος. Τοιοῦτος γὰρ καὶ ὁ πρὸς ἓν παρεικάσθησαν ἀφρὸς τῶν κυμάτων.

Ἀφόβως ἑαυτοὺς ποιμαίνοντες· νεφέλαι ἄνυδροι ὑπὸ ἀνέμων παραφερόμεναι [vulg. περιφ.]· δένδρα φθινοπωρινὰ, ἄκαρπα, δὶς ἀποθανόντα καὶ ἐκριζωθέντα· κύματα ἄγρια θαλάσσης, ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας· ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται.—Τὸ, Ἀφόβως ἑαυτοὺς ποιμαίνοντες, ἤτοι B πρὸς τὸ, σπιλάδες, συντακτέον· ἵνα ᾖ τὸ νόημα οὕτω· Σπιλάδες ἀφόβως συνευωχούμενοι, τοῦτ' ἔστι μηδένα φόβον τοῖς συνδείπνοις προσδοκῶσιν, ἐξαίφνης ὥσπερ σπιλάδες ἐπάγοντες τὸν ὄλεθρον αὐτοῖς τῶν ψυχῶν· ἢ πρὸς τὸ, ποιμαίνοντες, τὸ, ἀφόβως ἑαυτοὺς, συντάττοντες, τοιοῦτον εὑρήσομεν νόημα· Ἀφόβως ἑαυτοὺς ποιμαίνοντες, οὐ δεδιότες τὸ ἀπὸ τοῦ μὴ ἐπίστασθαι ποιμαίνειν κρίμα, τυφλοὶ τυφλοὺς ὁδηγοῦντες, καὶ εἰς βόθυνον, τὸ τοῦ Κυρίου ἐρεῖν, μετὰ τῶν ποιμαινομένων ἐμπίπτοντες.

Προεφήτευσε δὲ καὶ τούτοις ἕβδομος ἀπὸ Ἀδὰμ, Ἐνὼχ, λέγων· Ἰδοὺ ἦλθε Κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ, ποιῆσαι κρίσιν κατὰ πάντων, καὶ ἐλέγξαι πάντας τοὺς ἀσεβεῖς αὐτῶν περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν, ὧν ἠσέβησαν, καὶ περὶ πάντων τῶν σκληρῶν, ὧν ἐλάλησαν κατ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς. Οὗτοί εἰσι γογγυσταὶ, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι, καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα, ὠφελείας χάριν. Ὑμεῖς δὲ, ἀγαπητοὶ, μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὅτι ἔλεγον ὑμῖν, ὅτι Ἐπ' ἐσχάτου τοῦ χρόνου [vulg. ἐν ἐσχάτῳ χρόνῳ] ἔσονται ἐμπαῖκται, κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν. – Εἰρηκὼς τὰ προεφθευόμενα ἡμῖν, ἐπιφέρει καὶ τὸν Ἐνὼχ, τὴν ἀποκειμένην αὐτοῖς προφητεύοντα ὑπὸ τοῦ Θεοῦ κάκωσιν ἐν τοῖς ἐσχάτοις [*f. add.* τῆς] τοῦ Κυρίου δηλονότι δικαιοκρισίας. Ἀσεβὴς δὲ, ἁμαρτωλοῦ διαφέρει· καθὸ ὁ μὲν ἀσεβὴς περὶ Θεὸν ἔχει τὸ πλημμελές· ὁ δὲ ἁμαρτωλὸς, περὶ τὰ κατὰ τὸν βίον πραττόμενα, τοῦ τῆς δικαιοσύνης σκοποῦ, ἔστιν ἀστόχημα. Μετὰ ταῦτα ἀφέμενος τοῦ τῶν ἀσεβῶν ὁμοιώματος, ἤδη δὲ καὶ εἰς αὐτόχρημα χωρεῖ τῆς κατ' αὐτῶν ἐνδείξεως, γογγυστὰς αὐτοὺς καὶ μεμψιμοίρους καλῶν. Ἔστι δὲ γογγυστὴς μὲν ὁ ὑπ' ὀδόντα καὶ ἀπαρρησιάστως τῷ δυσαρέστῳ ἐπιμεμφόμενος· μεμψίμοιρος δὲ, ὁ πάντα καὶ ἀεὶ σκώπτειν ἐπιτηδεύων. Γογγυσταὶ δὲ καὶ μεμψίμοιροι οὗτοί εἰσιν οἱ μιαροὶ, φησίν. Οὐ γὰρ ἔχουσι παρρησίαν τῇ διδασκαλίᾳ αὐτῶν δι' αἰσχρότητα χρήσασθαι. Οὐ γὰρ

Digitized by Google

ἀκίνδυνον δημοσιεύειν τὴν μετὰ ἀσελγείας καὶ βλασφημίας αὐτῶν ἀσέβειαν. Μεμψίμοιροι δὲ, ὡς τὰ τῶν ἄλλων καὶ τὰ τῆς ἀληθείας διαβάλλοντες, ἵνα τὰ οἰκεῖα κακὰ αὐτῶν καὶ ἀσελγήματα δῆθεν στήσωσιν. Ὅπερ δὲ περὶ τοῦ Βαλαὰμ εἴρηκεν, ὅτι μισθῷ καὶ οὗτοι ὡς ἐκεῖνος ἐξεχύθησαν, νῦν σαφέστερόν φησιν, ὅτι πρόσωπα θαυμάζουσιν ὠφελείας χάριν· θαυμάζειν μὲν, τὸ κολακικῶς αὐτοὺς χρῆσθαι τοῖς ἐν τέλει λέγων· ὠφέλειαν δὲ, τὸ κέρδος.

A mercede etiam isti, quemadmodum ille, effusi sunt, nunc clarius explicat his verbis : Mirantur personas quæstus causa. Mirari est adulatorie se habere erga principes ; quæstus vero est lucrum.

Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες ψυχικοί, Πνεῦμα μὴ ἔχοντες. Ἰδοὺ καὶ ἕτερον ἔγκλημα τῶν μιαρωτάτων τούτων ἀνθρώπων. Οὐ γὰρ αὐτοὶ μόνοι, φησὶν, ἀπόλλυνται, ἀλλὰ καὶ τοὺς τῆς Ἐκκλησίας συλῶσι τροφίμους (τοῦτο γὰρ τὸ, *ἀποδιορίζοντες*, σημαίνει), τοῦτ' ἔστιν ἔξω τῶν ἐκκλησιαστικῶν ὅρων ποιοῦντες, ἤτοι τῶν τῆς πίστεως, ἢ καὶ αὐτοῦ τοῦ ἐκκλησιαστικοῦ σκηνώματος. Σπήλαια λῃστῶν γὰρ τὰς ἑαυτῶν συναγωγὰς ἀποδείξαντες, ἀπὸ μὲν τῆς Ἐκκλησίας ἀπάγουσιν, ἑαυτοὺς δὲ προσάγουσι. Ποιοῦσι δὲ τοῦτο, ψυχικοὶ ἄνθρωποι ὄντες, τοῦτ' ἔστι κατὰ τὴν τοῦ κόσμου συμπεριφορὰν ζῶντες. Εἴπομεν γὰρ ἤδη ὅτι ψυχὴν πολλάκις καὶ τὴν ζωὴν ἡ θεία Γραφὴ καλεῖν εἴωθεν, ὡς ἐν Ἰώβ· *Πάντα ὅσα ἔχει ἄνθρωπος δώσει ὑπὲρ τῆς ψυχῆς αὐτοῦ*, ἤγουν τῆς ζωῆς αὐτοῦ. Καὶ Παῦλος δέ φησι ψυχικοὺς ἀνθρώπους ὄντας μὴ δύνασθαι δέχεσθαι τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ. Ψυχικοὶ τοίνυν ὄντες, καὶ ψυχικῇ χρῶνται διδασκαλίᾳ, περὶ ἧς εἴρηται· *Οὐκ ἔστιν αὕτη ἡ σοφία* ἀπὸ τοῦ Πατρὸς τῶν φώτων *καταβαίνουσα, ἀλλ' ἐπίγειος, ψυχικὴ, δαιμονιώδης*, Πνεῦμα μὴ ἔχουσα Θεῖον λαλοῦν.

B

Vers. 19. *Hi sunt qui segregant semetipsos animales Spiritum non habentes.* En aliud crimen scelestissimorum horum hominum. Non enim ii soli, inquit, pereunt, sed etiam Ecclesiæ alumnos deprædantur, (hoc enim hic significat *segregare*), hoc est, extra terminos ecclesiasticos, sive fidei, sive etiam ipsius ecclesiastici tabernaculi eos esse faciunt. Speluncas enim latronum congregationes suas reddentes, ab Ecclesia quidem abducere, ad se autem attrahere nituntur. Hoc autem faciunt, quia sunt animales homines, hoc est, mundanis moribus viventes. Jam enim diximus, vitam in sacra Scriptura non raro animam vocari, ut in Job : [11] Cuncta quæ habet homo, dabit pro anima sua, nempe pro vita sua. Paulus autem ait [12] animales homines non posse percipere ea, quæ Spiritus Dei sunt. Cum igitur, inquit, animales isti sint, etiam animali utuntur doctrina, de qua dictum est[13]: *Non enim est ista sapientia* a Patre luminum *descendens, sed terrena, animalis, diabolica*, Spiritum non habens Dei loquentem.

Ὑμεῖς δὲ, ἀγαπητοὶ, τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτοὺς, ἐν Πνεύματι ἁγίῳ προσευχόμενοι ἑαυτοὺς, ἐν ἀγάπῃ Θεοῦ τηρήσατε, προσδεχόμενοι τὸ τέλος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ζωὴν αἰώνιον. Καὶ οὓς μὲν ἐλεεῖτε διακρινόμενοι· οὓς δὲ ἐν φόβῳ σώζετε, ἐκ πυρὸς ἁρπάζοντες. Οἱ μὲν ψυχικοὶ, φησὶν, οὕτω, καθὼς ἐξεθέμεθα. Ὑμεῖς δὲ, Πνεύματι ἁγίῳ καὶ τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες, ἤτοι ἀνακτώμενοι ἑαυτοὺς ἐν Πνεύματι ἁγίῳ, τοῦτ' ἔστι κατὰ τὴν τοῦ ἁγίου Πνεύματος διδασκαλίαν, τὰς ἑαυτῶν ἀθροίσεις ἐν ταῖς προσευχαῖς ὑμῶν ποιούμενοι, καὶ ἑαυτοὺς [ἐν ἀγάπῃ Θεοῦ τηρήσατε, τοῦτ' ἔστιν, ἑαυτοὺς] διαφυλάττετε, τὸν ἀπὸ τοῦ Κυρίου προσδεχόμενοι ἔλεον, τὸν εἰς τὴν ἐσχάτην ἡμέραν τῆς αἰωνίου ζωῆς βραβευόμενον ὑμῖν. Κἀκείνους δὲ, εἰ μὲν ἀποδίστανται ὑμῶν (τοῦτο γὰρ σημαίνει τὸ διακρίνεσθαι), ἐλέγχετε, τοῦτ' ἔστι φανεροῦτε τοῖς πᾶσι τὴν ἀσέβειαν αὐτῶν· εἴτε δὲ πρὸς ἴασιν ἀφορῶσι, μὴ ἀπωθεῖσθε, ἀλλὰ τῷ τῆς ἀγάπης ὑμῶν ἐλέῳ προσλαμβάνεσθε, σώζοντες ἐκ τοῦ ἠπειλημένου αὐτοῖς πυρός. Προσλαμβάνεσθε δὲ μετὰ τοῦ ἐλεεῖν αὐτοὺς, καὶ μετὰ [φόβου,] περισκεπόμενοι [*f.* περισκεπτ.], μήπως ἡ πρόσληψις τούτων, ἀμελῶς ὑμῶν τὰ πρὸς αὐτοὺς διακειμένων, λύμης ὑμῖν γένηται αἴτιον, τῶν ἤδη ἐστηριγμένων κλεπτομένων ὑπ' αὐτῶν εἰς τὴν αὐτὴν αὐτῶν τῆς ἀσεβείας ἀνάχυσιν· εὐζήλωτον γὰρ ἡ κακία. Ἔστω οὖν ἡ πρόσληψις

C

Vers. 20-23. *Vos autem, charissimi, superædificantes vosmetipsos sanctissimæ vestræ fidei in Spiritu sancto orantes, vosmetipsos in dilectione Dei servate, exspectantes misericordiam* 454 *Domini nostri Jesu Christi in vitam æternam. Et hos quidem arguite judicatos. Illos vero salvate, de igne rapientes.* Animales quidem ita se habent, ut exposuimus. Vos autem, inquit, Spiritu sancto, et sanctissimæ vestræ fidei superædificantes, seu reformantes vos in Spiritu sancto, hoc est, juxta Spiritus sancti doctrinam congregationes in precationibus vestris facientes, et vosmetipsos in dilectione Dei servate, id est, custodite, misericordiam Domini, quæ in novissimo die vitam vobis donabit æternam, exspectantes : et illos, si quidem a vobis dissideant, (hoc enim significat hic dijudicari) arguite, hoc est omnibus manifestam facite impietatem illorum, si autem ad emendationem propendeant, ne repellatis, sed oleo charitatis vestræ eos benigne suscipientes a comminato igne salvate. Assumite vero illos non solum cum miseratione, sed etiam cum metu, sollicite caventes, ne ipsorum susceptio minus vobis attentis causa evadat perditionis : fieri enim potest, ut tametsi roborati in fide ab ipsis in impietatis confusionem abripiamini : facile enim adhærescit nequitia. Suscipite igitur illos, inquit, sed cum timore, seu circumspectione ad ipsos accedite, ac miseratio erga ipsos socium habeat

D

[11] Job II, 4. [12] Cor. II, 14 [13] Jac. III, 15.

Digitized by Google

odium erga impura eorum opera, ita ut odio habeatis atque abominemini vel ipsam eorum vestem, velut ipsorum carne pollutam; contactu enim carnis eorum ipsa quoque abominabilis evadit. Veloces assumentes, timore futuri supplicii, efficite, ut resipiscentes misericordia digni videri possint.

A ψις αὐτῶν, φησὶν, ἀλλὰ μετὰ φόβου προσίεσθε αὐτοὺς, ἤτοι μετὰ περισκέψεως, καὶ τῷ ἐλέῳ τῷ πρὸς αὐτοὺς συνεπέσθω τὸ μῖσος, τὸ πρὸς τὰ μιαρὰ αὐτῶν ἔργα, μισούντων ὑμῶν καὶ βδελυσσομένων, καὶ τὸ ἀπὸ τῆς σαρκὸς αὐτῶν ἐσπιλωμένον χιτώνιον [ὡς τῇ πρὸς τὴν αὐτῶν σάρκα] προσψαύσει καὶ αὐτοῦ βδελυροῦ χρηματίζοντος· ἢ προσλαμβάνοντες αὐτοὺς φόβῳ τῆς μελλούσης κολάσεως, ἐλέους ἀξίους ὁρᾶσθαι παρασκευάζετε μετανοοῦντας.

Vers. 23-25. *Odientes et eam quæ carnalis est maculatam tunicam. Ei autem qui potens est vos conservare sine peccato et constituere ante conspectum gloriæ suæ immaculatos in exsultatione in adventum Domini nostri Jesu Christi, soli Deo Salvatori per Jesum Christum Dominum nostrum gloria, et magnificentia, imperium, et potestas, ante omne sæculum, et nunc, et in omnia sæcula sæculorum. Amen.* Vita multis peccatis ex carnalibus passionibus vitiata, est maculata tunica : nam ex vitæ ratione velut ex quadam veste quisquis naturaliter cognoscitur, num justus, vel injustus sit : is quidem tunicam mundam possidens per virtuosam vitam ; hic autem vitam habens pravis operibus maculatam. Vel potius maculata a carne tunica est, habitus et dispositio secundum conscientiam, informans memoria pravorum motuum et effectuum carnis animam, quam illa indesinenter respiciens, velut quamdam circa se vestem, passionum fœtore repletur. Quemadmodum enim a **455** Spiritu per virtutes invicem conjunctas contexitur animæ immortalitatis tunica, quam induta cum fuerit, pulchra et gloriosa apparet : ita et a carne per passiones invicem proportione quadam copulatas, conficitur quædam vestis impura et maculata, quæ ex se ipsa animam notam reddit, formam illi aliam et imaginem a divina diversam imponens. His dictis, precatione demum obsignat Epistolam.

Finis Epistolæ sancti apostoli Judæ, versic. 68.

Μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα. Τῷ δὲ δυναμένῳ φυλάξαι ὑμᾶς ἀπταίστους, καὶ ἀσπίλους στῆσαι ἐνώπιον τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει. Μόνῳ σοφῷ Θεῷ Σωτῆρι ἡμῶν, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, δόξα καὶ μεγαλοσύνη, κράτος καὶ ἐξουσία, πρὸ παντὸς τοῦ αἰῶνος, καὶ νῦν B *καὶ εἰς πάντας τοὺς αἰῶνας. Ἀμήν.* Ὁ πολλοῖς πλημμελήμασι των ἐκ τῆς σαρκὸς παθημάτων κηλιδωμένος βίος, χιτών ἐστιν ἐσπιλωμένος. Ὡς ἔκ τινος γὰρ ἐνδύματος, τῆς κατὰ τὸν βίον ἀναστροφῆς, ἕκαστος τῶν ἀνθρώπων διαφαίνεσθαι πέφυκεν, εἴτε δίκαιος, εἴτε ἄδικος· ὁ μὲν χιτῶνα καθαρὸν ἔχων, τὸν ἐνάρετον βίον· ὁ δὲ πονηροῖς ἐσπιλωμένον ἔργοις τὴν ζωὴν κεκτημένος. Ἢ μᾶλλον ἐσπιλωμένος ἀπὸ τῆς σαρκός ἐστι χιτὼν, ἡ κατὰ συνείδησιν μορφοῦσα διὰ τῆς μνήμης τῶν ἐκ τῆς σαρκὸς πονηρῶν κινημάτων τε καὶ ἐνεργημάτων τὴν ψυχὴν ἕξις τε καὶ διάθεσις· ἣν ὁρῶσα διαπαντὸς, καθάπερ χιτῶνά τινα περὶ ἑαυτὴν, δυσωδίας πληροῦται παθῶν. Ὡς γὰρ ἀπὸ τοῦ Πνεύματος διὰ τῶν ἀρετῶν ἀλλήλαις συνυφαινομένων κατὰ λόγον, ἀφθαρσίας γίνεται τῇ ψυχῇ C χιτὼν, ὃν ἐνδυσαμένη γίνεται καλὴ καὶ ἐπίδοξος· οὕτω καὶ ἀπὸ τῆς σαρκὸς τῶν παθῶν, ἀλλήλοις κατὰ τὴν ἀναλογίαν συνυφαινομένων, γίνεταί τις χιτὼν ἀκάθαρτος καὶ ἐσπιλωμένος, ἐξ ἑαυτοῦ δεικνὺς γνώριμον τὴν ψυχὴν, μορφὴν ἄλλην αὐτὴν καὶ εἰκόνα παρὰ τὴν θείαν ἐνθέμενος. Ταῦτα δὲ εἰπὼν, εὐχῇ λοιπὸν ἐπισφραγίζεται τὴν Ἐπιστολήν.

Τέλος τῆς Ἐπιστολῆς τοῦ ἁγίου ἀποστόλου Ἰούδα, στίχων ξη'.

Digitized by Google

ΘΕΟΦΥΛΑΚΤΟΥ

ΤΗΣ ΒΟΥΛΓΑΡΙΑΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΛΟΓΟΣ

ΕΙΣ ΤΗΝ ΠΡΟΣΚΥΝΗΣΙΝ ΤΟΥ ΤΙΜΙΟΥ ΣΤΑΥΡΟΥ

ΕΝ ΤΗ ΜΕΣΟΝΗΣΤΙΜΩ

THEOPHYLACTI

BULGARIÆ ARCHIEPISCOPI

ORATIO

IN ADORATIONEM VENERANDÆ CRUCIS.

MEDIO JEJUNIORUM TEMPORE *

INTERPRETE JACOBO GRETSERO SOCIETATIS JESU.

α'. Τί δαί; ἡμεῖς ἐπὶ τῷ προκειμένῳ σιγήσωμεν θαύματι, καὶ παρελευσόμεθα τὸν τοῦ Θεοῦ σταυρὸν ἀνευφήμητον, καὶ οὐχὶ καὶ διὰ τῆς γλώττης αὐτὸν ἀσπασόμεθα; Πάντα γὰρ αὐτῷ τὰ μέλη τὴν κατ' ἄλληλον [*f.* κατάλληλον] ἕκαστον χάριν ὀφείλουσιν, ἐπεὶ καὶ πάντα δι' αὐτοῦ σέσωσται. Οὐ γὰρ ὅτι πολλοί; ὑμνηται, διὰ τοῦτο ἡμῖν οὐκ εὐλογηθήσεται, ἀλλ' ὅτι καὶ ἡμῖν παντὸς ἀγαθοῦ πρόξενος, ᾧ ἔνεστι τιμηθήσεται· ἢ οὕτω γε σκοποῦσιν, οὐδὲ ὁ Θεὸς ἡμῖν δοξασθήσεται, ὅτι τὴν ἐξ αἰῶνος δεδόξασται. Καὶ ποῦ θήσομεν τὸ, *Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου*; καὶ, *Λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον* (ὅπερ ἐμοὶ νοεῖται, ὁ ἀεὶ γινόμενος)· ὅσα τε ἄλλα τοιαῦτα τὴν αἰώνιον δηλοῦντα καὶ ἀκατάπαυστον τῶν θείων ἔργων ἐξομολόγησιν; Οὐδὲ γὰρ ἑνὶ στόματι τὰ θεῖα περιλαμβάνεται, κἂν εἴη πνευματοφόρητον· καὶ πειθέτω σε Δαβίδ, *Ἀπήγγειλα, λέγων, καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν.*

A 1. Quid ergo? Num nos ad propositum tacebimus miraculum, Deique crucem indictam, nullisque decantatam encomiis præteribimus, et neque vel lingua salutabimus? omnia enim membra, nullo excepto, consentaneum illi honorem debent, eum omnia per illam sint salutem adepta. Non enim quod a multis celebrata sit, ea de causa a nobis laudibus non extolletur, sed quia et nobis omnium bonorum causa est, quoad ejus fieri poterit, honorabitur. Certe, si hoc spectare velimus, ne ipse quidem Deus a nobis glorificabitur, quia ab æterno gloriam habuit. Et ubinam erit illud [1]: *Generatio et generatio laudabit opera tua*: et [2], *Populus, qui creatur, laudabit Dominum* (quod meo judicio est populus, qui semper nascitur); et id genus alia B perpetuam et indesinentem divinorum operum prædicationem significantia? Non enim uno ore, quantumvis divini Spiritus pleno, divina comprehenduntur. Fidem tibi faciat David [3]: *Annuntiavi*, inquiens, *et locutus sum, et multiplicati sunt super numerum.*

β'. Ἀλλ' οὐδὲ λόγου πενία συστέλει [*f.* συστελεῖ] τὴν γλῶτταν ἡμῖν, ἵνα μὴ καὶ τὰ πρὸς εὐχαριστίαν πενώμεθα, καὶ διπλῆν ἔχωμεν τὴν αἰσχύνην, οὐ

2. Sed neque orationis inopia linguam nostram cohibebit; ne et destituamur iis quæ ad gratiarum actionem spectant, duplicemque nobis pudorem et

[1] Psal. CXLIV, 4. [2] Psal. CI, 19. [3] Psal. XXXIX, 6, tomi superioris col. 423.

*Vide Præfationem, num. XIII, tomi superioris col. 423.

Digitized by Google

confusionem pariamus, non modo splendidæ et magnificæ oblationis, sed et gratitudinis probæque mentis expertes, quod mihi longe turpius videtur. Orationis enim simplicitatem venia fortasse **457** quis dignaretur; nam non omnium est sapientia, sicut neque scientia; sed quibus a Spiritu conceditur. At si ingratitudinis accusemur, nescio quænam dicendi vis nos, velut inutiles et infructuosos, a condemnatione sit liberatura; quemadmodum neque illos in Veteri Testamento, qui non conferebant, prout cuique copia erat. Invenio autem, neque omnibus eadem sacrificia omnino fuisse imposita et præcepta, sed his quidem sumptuosiora, aliis tenuiora, pro cujusvis, ut opinor, facultatibus. De his quidem ita sentio. Vestrumque quemlibet libenter commonerem, ut quivis pro viribus potentiam Dei annuntiet, et *memoriam bonitatis ejus eructet* [4], ut hac ratione servitutem nostram beneficiorumque acceptorum sensum profitemur, ex quibus et major Domini benignitas, et copiosior bonorum abundantia ad nos redundabit.

A λαμπρᾶς μόνον προσαγωγῆς, ἀλλὰ καὶ τῆς εὐγνωμοσύνης ὅλως γεγυμνωμένοι. Ὅπερ ἐμοὶ δοκεῖ αἴσχιον. Τῇ μὲν γὰρ εὐτελείᾳ τοῦ λόγου τάχ' ἄν τις καὶ συγγνοίη. Οὐ γὰρ πάντων ἡ σοφία, ὥσπερ οὖν οὐδ' ἡ γνῶσις, ἀλλ' οἷς παρὰ τοῦ Πνεύματος δίδοται. Ἀγνωμοσύνης δὲ γραφομένους, ὡς ἀσυντελεῖς καὶ ἀπροσφόρους, οὐκ οἶδα τίς λόγος ἡμᾶς τῆς κατακρίσεως ἐξαιρήσεται· ὥσπερ οὐδὲ τοὺς ἐν τῇ Παλαιᾷ σκηνῇ μὴ τὰ δυνατὰ συνεισάγοντας. Εὑρίσκω δὲ ἐγὼ μηδὲ τὰς θυσίας πᾶσι πάσας, καὶ πάντως νενομισμένας, ἀλλὰ τοῖς μὲν πολυτελεστέρας, τοῖς δὲ εὐτελεστέρας, καθά, οἶμαι, ἡ χεὶρ ἑκάστου ηὐπόρει. Ἔχω μὲν οὕτω περὶ τούτου, καὶ πᾶσιν ἡδέως ἂν παραινέσαιμι, ὡς ἕκαστος ἔχει, τὴν τοῦ Θεοῦ ἀναγγέλλειν δύναμιν, καὶ *τὴν μνήμην τῆς* B *αὐτοῦ χρηστότητος ἐξερεύγεσθαι*· τὴν δὲ δουλείαν ὁμολογοῦντας ἐντεῦθεν καὶ τὴν τῶν ἀγαθῶν συναίσθησιν, ἐξ ὧν καὶ ἡ τοῦ Δεσπότου πλείων χρηστότης, καὶ ἡ τῶν ἀγαθῶν δαψιλεστέρα ἐπίῤῥοια.

3. At cum hæc, quæ quasi fundamenti loco præmisimus, sufficere videantur, agedum, quidnam superædificabimus dignum domo Dei et Ecclesia, quam id, quod cum lapide angulari quadrat? Duplicem mens nostra creationem novit; alteram *a non esse ad esse* productionem, alteram a malo esse ad melius esse traductionem; et illam quidem esse talem, qua natura essentiam suam accipit, hanc vero in emendatione voluntatis et propositi consistere: neutram autem ratione et sapientia C carere. Et hoc [5] *enarrant cæli*, [6] *verbo Domini firmati*, et omnia per Verbum facta, et in sapientia condita, et qui secundum Deum creati sunt, in Christo fundati, sapientia Dei, Verbo primogenito ante omnem creaturam, quique totam ædificationem cum hoc apte connexam accipiunt, deinde etiam in templum sanctum crescunt, et in habitaculum Dei in Spiritu perficiuntur. Hujus creationis, morum, inquam, reparationis, prudentes architecti sunt Paulus, et qui ab initio ministri sermonis fuerunt, quique eos secuti sunt, doctores; qui omnia, quæ ad Ecclesias pertinent, in Spiritu sapientiæ disposuerunt, non minus quam Beseleel ille ea, quæ ad peritorum tabernaculum pertinebant, et inhabitantem Deum [7] his, qui hæc D tenent, demonstrarunt.

γ'. Ἐπεὶ δὲ ταῦτα ἱκανῶς προκατεβαλόμεθα, φέρε τι ἐποικοδομήσωμεν ἄξιον οἴκου Θεοῦ καὶ Ἐκκλησίας, ἢ πρὸς τὸν ἀκρογωνιαῖον ἁρμολογούμενον. Διττὴν ἡμῖν οἶδε κτίσιν ὁ λόγος, τήν τε *ἀπὸ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι* παραγωγὴν, καὶ τὴν ἀπὸ τοῦ κακῶς εἶναι εἰς τὸ εὖ εἶναι μεταγωγήν· καὶ τὴν μὲν οὐσίωσιν φύσεως, τὴν δὲ διόρθωσιν προαιρέσεως, οὐδετέραν μέντοι λόγου καὶ σοφίας ἐστερημένην. Καὶ τοῦτο, *διηγοῦνται οἱ οὐρανοὶ τῷ Λόγῳ Κυρίου στερεούμενοι*, καὶ πάντα διὰ τοῦ λόγου γεγενημένα, καὶ ἐν σοφίᾳ πεποιημένα, καὶ οἱ κατὰ Θεὸν κτιζόμενοι ἐν Χριστῷ τεθεμελιωμένοι τῇ σοφίᾳ τοῦ Θεοῦ, τῷ Λόγῳ τῷ πρωτοτόκῳ πάσης κτίσεως, καὶ πᾶσαν τὴν οἰκοδομὴν ἐν τούτῳ συναρμολογουμένην λαμβάνοντες, εἶτα καὶ εἰς ναὸν ἅγιον αὔξοντες, καὶ κατοικητήριον Θεοῦ ἐν Πνεύματι συντελούμενοι. Ταύτης δὴ τῆς κτίσεως τῆς τῶν ἠθῶν, φημὶ, πλάσεως, σοφοὶ ἀρχιτέκτονες, Παῦλος καὶ οἱ ἀπ' ἀρχῆς ὑπηρέται τοῦ λόγου, καὶ οἱ μετ' ἐκείνους διδάσκαλοι, οἱ πάντα τὰ τῶν Ἐκκλησιῶν ἐν Πνεύματι σοφίας διαταξάμενοι, οὐχ ἧττον ἢ Βεσελὴλ ἐκεῖνος τὰ τῆς μὴ ἐχούσης στάσιν σκηνῆς, ἐνοικοῦντα τὸν Θεὸν, καὶ ἐμπεριπατοῦντα, τοῖς ταῦτα κρατοῦσιν ἐδείξαν.

4. Cæterum alia quidem percensere longius foret, quam præsentis temporis brevitas patiatur, nostraque et ratione et dicendi copia, audiendique facultate sublimius; de jejunio autem quadraginta dierum breviter disserentes, adjiciemus deinceps nonnulla etiam de crucis adoratione, quæ sermonis nostri argumentum est. Illi enim probe gnari, quomodo pro nobis Filius Dei naturam nostram induerit, nobisque similis effectus sit; ut nos similes illi, omnibus quæ nostra sunt exutis, effli-

δ'. Τ' ἄλλα μὲν οὖν καταλέγειν, καὶ τοῦ νῦν χειροῦ μακρότερον, καὶ τῆς ἡμῶν καὶ διανοίας, καὶ γλώττης, καὶ ἀκοῆς ὑψηλότερον. Περὶ δὲ τῆς τεσσαρακονθημέρου βραχέα διαλαβόντες νηστείας, εἶτα καὶ περὶ τῆς τοῦ σταυροῦ διαληψόμεθα προσκυνήσεως, ἣ δὴ καὶ τῷ λόγῳ πρόκειται. Ἐκεῖνοι γὰρ συνιδόντες, ὡς ὑπὲρ ἡμῶν ὁ Υἱὸς τοῦ Θεοῦ τὴν φύσιν ἡμῶν ἐνδυσάμενος, ὅμοιος, ἡμῖν ἐγένετο, ἵν' ἡμεῖς ὁμοιωθῶμεν ἐκείνῳ, πάντα τὰ παρ' ἡμῶν ἀπεκδυσάμενοι, καὶ ὡς οὐ μόνον ἦλθε τὸ ἡμέτερον

[4] Psal. CXLIV, 7. [5] Psal. XVIII, 1. [6] Psa.. XXXII, 6. [7] Exod. XIII, 9.

Digitized by Google

ἀναπλῆρῶν ἔλλειμμα, καὶ δύναμιν, καὶ κραταίωσιν A ciamur, quodque **458** non solum venerit, ut penu-
χαριζόμενος, ἀλλὰ καὶ πῶς δεῖ χρῆσθαι τῇ δυνάμει riam nostram et egestatem sublevaret, defectusque
διδάσκων, τὴν ἐκείνου νηστείαν δι' ἡμᾶς γενομένην, sarciret, vim et robur suppeditans; sed et docue-
καὶ ἡμετέραν κατὰ τὸ δυνατὸν ἐποιήσαντο, δι' ἧς καὶ rit, quo pacto vi impertita sit utendum, jejunium
σαρκὸς ἀταξία χαλινοῦται, καὶ δεσμὸς λεπτύνεται, illius, propter nos susceptum, nobis, quoad licuit,
καὶ νοῦς αἰχμάλωτος ἀνατώζεται, καὶ ὁ αἰχμαλωτί- proprium fecerunt, quo et carnis immoderati mo-
σας ἀποπλουτεῖ καὶ αἰσχύνεται· καὶ διώκει μὲν καὶ tus refrenantur, et vinculum extenuatur, et mens
ἔτι, πλὴν ἀλλ' οὐχ ὡς πρὶν πνεῦμα κατισχύει σαρ- captiva liberatur, isque, qui captivam fecit, exspo-
κῶν (οὐδὲ γὰρ ὁμοίως ἔχουσιν ἐκτηκόμεναι)· εὑρί- liatur et confunditur. Persequitur quidem jam
σκει δὲ ταύτας ἐγγὺς τοῦ πνεύματος, καὶ διὰ τοῦτο quoque, sed non ut prius carnis spiritus dominatur
πόρρωθεν ἵσταται ἅμα, καὶ Θεὸν ὁρῶν μετὰ τοῦ et prævalet: neque enim jam tam corrupta est
νηστεύοντος, εἰωθότα τῷ πνεύματι τοῦ ἀνθρώπου, caro; quam et prope spiritum reperit; quocirca
σαρκὸς ὑποχωρούσης, ἀντενοικίζεσθαι. eminus stat, simul et Deum videns cum illo, qui
jejunat, versantem, quippe consuetum in spiritu
hominis, ubi caro cesserit, inhabitare.

ε'. Ἐντεῦθεν πάντες, ὅσοι τὸ καινὸν καὶ βασιλι- B 5. Hinc omnes qui novo et regio nomine Chri-
κὸν ἐπικεκλήμεθα ὄνομα Χριστιανοὶ χρηματίζοντες, stianorum insigniti sumus, jejunium hoc, quod a
τὴν νηστείαν ταύτην κλῆρον πατρῷον διαδεξάμενοι, secunda feria inchoatur (1) tanquam hæreditatem
στέργομεν, ἀπὸ δευτέρας μὲν ἀρχομένην (ἐπεὶ καὶ paternam amplectimur, cum et propter materiæ
διὰ τὴν ὕλην νενομοθέτηται, ἵνα ταύτην ἐκδαπανήσῃ, copiam institutum sit, ut illam consumat, mentem-
καὶ παραστήσῃ τῷ ἀύλῳ, τὸν νοῦν καθαρῷ καθαρὸν que ei, qui materiæ expers est, sistat mundam,
ἐπιβάλλουσαν), εἰς δὲ παρασκευὴν λήγουσαν, τὴν τῆς mundo: in feriam vero sextam desinit, diem,
κοσμικῆς συμπληρώσεως ἡμέραν· ἵνα μάθωμεν, ὅτι quo mundi hujus opificium perfectum est; ut di-
τοῦτο νηστείας τέλος, ἡ τῶν θείων ἔργων ἐκπλήρω- scamus finem jejunii esse divinorum operum com-
σις, καὶ τοῦ ἡμετέρου κόσμου κατάρτισις· ἵν' ᾖ ὁ plementum, et mundi nostri reparationem, ut sit,
ἐν ἡμῖν ἄνθρωπος εἰς πᾶν ἔργον ἀγαθὸν ἐξηρτημέ- qui in nobis est homo, in omne opus bonum per-
νος [*f.* ἐξηρτυμένος]. Τίνα δὴ λέγω ταύτην; Μεθ' fectus. Quam vero feriam sextam intelligo? Illam
ἣν ἡ λαμπρὰ τοῦ Λαζάρου ἔγερσις, μεθ' ἣν ὁ κατα- nimirum, post quam insignis illa Lazari resur-
λύσας τὸν ἐχθρὸν καὶ ἐκδικητὴν ἡμῶν θάνατον (ὡς rectio: post quam is, qui dissolvit hostem et ultri-
τῆς ἡμετέρας ἁμαρτίας ἐπιτίμιον, οὕτως ὀνομα- cem mortem nostram (sic appellatam, quod peccati
σθέντα), C *ἐκ στόματος νηπίων καὶ θηλαζόντων* nostri multa fuerit), [a] *ex ore infantium et lactentium*
τὸν κατηρτισμένον ἀληθῶς αἶνον δέχεται, ἐπεὶ καὶ vere perfectam laudem accipit: cum omnibus nu-
τοῦτο τελεία ἀνάῤῥησις, ἡ ἐκ τοιούτων στομάτων meris absoluta prædicatio sit, quæ ab hujusmodi
ὕμνησις, τὸ συκοφαντεῖσθαι μὴ δεχομένη, ὡς ἀν- laudatoribus proficiscitur, nullius sycophantiæ et
θρώπινον τρόπον γενομένη, καὶ οὐ θειότερον. calumniæ capacibus, quasi humano more, et non
diviniore quodam afflatu, suscipiatur.

ς'. Τί οὖν, φησί; τὰς μετὰ τὴν παρασκευὴν ταύ- 6. Quid igitur? inquiet quispiam; annon dies
τὴν ἡμέρας, οὐ νηστίμους, ὡς καὶ τὰς πρὸ ταύτης, illos, qui post illam feriam sextam (2) sequuntur,
θησόμεθα; Ἦνυ γε, πλὴν οὐχ ὡς μέρος τῶν προ- in jejunio numerabimus, ut et illos, qui hanc an-
διανυσθεισῶν, ἀλλ' ὡς ἴδιόν τι καὶ ἐξαίρετον ἀνά- tecesserunt? Omnino. At non ut partem antegres-
θημα τοῖς δι' ἡμᾶς τοῦ ἀπαθοῦς πάθεσιν, ἵν' ὥσπερ sorum, sed ut proprium quiddam et eximium
ἡμῖν ἐξαίρετον εὐεργεσίαν κατέθεντο, οὕτως καὶ donarium suspensum, ejus qui impassibilis est
ἰδίᾳ τιμῇ παρ' ἡμῶν λαμπρύνοιντο. Διὰ τοῦτο ἡ μὲν pro nobis susceptis cruciatibus, ut quemadmodum
εἰς τὴν παρασκευὴν τὴν πρὸ τῆς ἐπὶ Λαζάρῳ θαυ- illi singulare beneficium nobis contulerunt, ita
ματουργίας λήγουσα τεσσαρακονθήμερος, τῆς ἐν τῇ D etiam singulari honore a nobis condecorentur.

[a] Psal. VIII, 3.

Jacobi Gretseri notæ.

(1) Jejunium quadragesimale Græci incipiunt die Lunæ, quæ est feria secunda, et finiunt feria sexta: quia ut Dominicis, ita et Sabbatis non jejunant Græci. At Theophylactus non de hoc singularum hebdomadum termino hic loquitur, sed de remotiore, qui est feria sexta pridie excitati Lazari, hoc est, de die Veneris ante festum Palmarum. Nam Sabbato Palmarum recolunt Græci memoriam resuscitati Lazari. In hanc ergo feriam sextam ait Quadragesimæ jejunium desinere. Si tamen quis omnes dies numeret a feria secunda post Dominicam τῆς Τυροφάγου (quo die Græci Quadragesimam auspicantur) usque ad feriam sextam, quæ festum Lazari antecedit, non quadraginta dies, sed quadraginta septem reperiet. Si Sabbata et Dominicas omittat, triginta quinque habebit. Sed quadragesima dici solet, tam illud spatium quod paulatim excedit numerum quadragenarium, quam quod paulatim ab illo deficit.

(2) Loquitur de hebdomade, quam Græci Μεγάλην, nos *Majorem* nominamus. Quid ergo? inquit. Anne hæc hebdomas non pertinebit ad jejunium? Imo vero: sed quia hac hebdomade genus humanum singularia beneficia a Deo accepit, par est, ut eam jejunio a reliquis distincto colat. Alii Græci non ita distinguunt Quadragesimam, sed totum spatium a feria secunda τῆς Τυροφάγου, usque ad Pascha, Quadragesimam vocant.

Digitized by Google

Propterea jejunium illud quadraginta dierum, quod desinit in diem 459 qui memoriam excitati Lazari præcedit, institutum est ad imitationem jejunii Dominici in deserto; post quod celebramus miraculum in Lazaro patratum : nec prius ejus memoriam recolimus, ne tempore jejunii resurrectionem celebremus. Exspectantes vero jejunii terminum, sic ejus, qui Domini amicus fuit, resuscitationis mysterium peragimus. Post jejunium enim et ex jejunio nostra itidem resuscitatio exsistit. At vero consequentes dies jejunio destinati sunt apud illos, qui resurrectionem Domini præstolantur, quibus dissolutione jejunii remissionem et laxitatem inducere admodum rationi et æquitati dissentaneum videtur; quippe quod eorum sit, qui nec sentiant Domini propter nos susceptos dolores, nec divini Verbi majestatem perpendant, et illud Sapientis [9], *Musica in luctu*, importune introducant. Ubi et quidam spiritu ferventiores omnes dies Dominicæ Passionis vicinas perfectæ inediæ et abstinentiæ consecrare solent.

A ἐρήμῳ τοῦ Κυρίου νηστείας ὥρισται μίμημα. Μεθ' ἣν τὸ ἐπὶ Λαζάρῳ θαῦμα δοξάζομεν, οὐ πρότερον τοῦτο τελοῦντες, ἵνα μὴ ἐν νηστείας καιρῷ ἀνάστασιν ἑορτάζοιμεν· μένοντες δὲ τὴν τῆς νηστείας ἐκπλήρωσιν, καὶ οὕτω τὸ τῆς τοῦ Δεσπότου φίλου ἐγέρσεως τελοῦντες μυστήριον· μετὰ νηστείαν γὰρ, καὶ ἐκ νηστείας, καὶ ἡ τῶν ἐν ἡμῖν νεκρῶν ἔγερσις. Αἱ δ' ἐφεξῆς ἡμέραι τὴν τοῦ Κυρίου ἀνάστασιν ἐκδεχομένοις ἐτάχθησαν νήστιμοι, ἧς ἐν τῷ παραλύειν τὸ τῆς νηστείας σχῆμα τὴν ἄνεσιν ἐπεισάγεσθαι λίαν ἄλογόν τε καὶ ἄγνωμον, καὶ μὴ ἐπαισθανομένων τῆς τῶν δι' ἡμᾶς ἐν σαρκὶ παθῶν τοῦ Θεοῦ Λόγου μεγαλειότητος, καὶ τοῦτ' ἐκεῖνο τὸ τοῦ Σοφοῦ, *Μουσικὰ ἐν πένθει παρεισαγόντων ἀκαίρως*· ὅπου γε τῶν θερμοτέρων τινὲς τὸ πνεῦμα καὶ πάσας τὰς τοῦ B πάθους ἐγγὺς ἡμέρας τῇ παντελεῖ ἀσιτίᾳ καθοσιοῦντες εὑρίσκονται.

7. Quod si quid et de dierum hujus jejunii numero dicendum est, intelligemus eum haud temere vel a Moyse præfiguratum [10], vel ab Elia percursum [11], vel a Christo completum et absolutum [12], vel nobis, qui Christum secuti sumus, ab eodem Christo traditum et præscriptum. Cæterum accuratiorem hujus rei rationem edocebimur, cum nihil, quod imperfectum sit, in nobis reliquum erit, Patris perfectissimi perfecti amici, accumbentes mensæ illius, edentesque panem sapientiæ et C victimas, et bibentes vinum, quod in poculo miscuit, corde corroborati et confirmati, et divino quodam raptu extra nos abducti, et non accipientes accepti. Quantum igitur interea ego assequor, qui ut parva pupilla oculi totam cœli amplitudinem aspicere tento, quadraginta dierum numero hoc jejunium circumscriptum est, ut neque præcepta duntaxat sine virtutum operibus sciamus, neque virtutes absque præceptis exerceamus, sed ut hæc inter sese conjungamus et coagmentemus, et velut astra coram Deo efficiamur, sermone et vita splendentes, utque digni reddamur, qui in aliquo numero et pretio apud ipsum simus.

ζ'. Εἰ δὲ δεῖ τι καὶ περὶ τοῦ ἀριθμοῦ τῶν τῆς νηστείας διαλαβεῖν ἡμερῶν, οὐδὲ τοῦτο εὑρήσομεν ἀλόγως, οὔτε Μωσεῖ προτυπωθὲν, οὔτε Ἠλίᾳ διανυσθὲν, οὔτε Χριστῷ τῷ Λόγῳ τελειωθὲν, οὔτε τοῖς μετὰ Χριστὸν ἡμῖν καὶ ἀπὸ Χριστοῦ παραδοθέντα. Ἀλλὰ τὸν μὲν τελειότερον λόγον τηνικαῦτα διδαχθησόμεθα, ὅτε οὐδὲν ἀτελὲς ἐν ἡμῖν αὐτοῖς φέρομεν. Τέλειοι δὲ φίλοι τῷ παντελείῳ Πατρὶ ἐπὶ τῆς τραπέζης αὐτοῦ συνεσθίομεν, καὶ συμπίνομεν, τοὺς ἄρτους τῆς σοφίας, καὶ τὰ θύματα, καὶ τὸν οἶνον ὃν τῷ κρατῆρι ἐγκίρνησε, στηριζόμενοι καρδίᾳ καὶ κρατυνόμενοι, καὶ τὴν θείαν ἔκστασιν ἐξιστάμενοι, καὶ λαμβανόμενοι, οὐ λαμβάνοντες. Ὅ δ' οὖν ἐγὼ τέως κατανοῶ, ὀφθαλμοῦ κόρῃ μικρᾷ οὐρανοῦ πλάτος ἐνοπτριζόμενος ἐν ἡμέραις τεσσαράκοντα νηστεύειν διατετάγμεθα, ὡς μηδὲ τὰς ἐντολὰς εἴδωμεν [*f.* εἰδῶμεν] χωρὶς τοῦ ἔργου τῶν ἀρετῶν, μηδὲ τὰς ἀρετὰς ἔξω τῶν ἐντολῶν ἐργαζώμεθα· ἀλλήλαις δὲ ταύταις [*f.* -τας] πολυπλασιάζοντες καὶ προσαύξοντες, ἄστρα Θεοῦ καὶ αὐτοὶ γενώμεθα, λόγῳ καὶ βίῳ λάμποντες, καὶ ἀριθμεῖσθαι παρ' αὐτοῦ ἀξιούμενοι.

8. Notum est, decem esse magis primaria præcepta, quatuor autem magis communia, ut proinde D is, qui præcepta cognita habet, nihil autem ex præceptorum præscripto agit, similis videatur servo illi improbo et ignavo, qui talentum quidem possidet, negotiationem vero negligit. Sicut et actio extra legum præscriptionem infructuosa est, et mercede indigna : nullus enim coronatur, *nisi qui legitime certaverit* [13]. Certat autem legitime qui juste id quod justum est, persequitur. Ergo neque præceptorum cognitio sola amplectenda est : *cum fides sine operibus mortua sit* [14] : neque etiam sectanda 460 est actio rationis et doctrinæ expers; cum et opera sine fide sint mortua; et si ambo

η'. Δέκα μὲν γὰρ τὰς ἀρχικωτέρας ἐντολὰς, τέσσαρας δὲ τὰς γενικωτέρας ἐντολὰς οἴδαμεν· ὡς τοὺς τότε μὲν [*f.* ὥστε τὸ μὲν τοὺς] λόγους εἰδέναι τῶν ἐντολῶν, μηδὲν δὲ κατὰ ταύτας ἐργάζεσθαι, ἐοικέναι ποιεῖ τῷ πονηρῷ ἐκείνῳ δούλῳ καὶ ὀκνηρῷ, ἔχοντι μὲν τὸ τάλαντον, τὴν δὲ ἐργασίαν οὐκ ἐπιβάλλοντι· ὥσπερ τὸ ἐργάζεσθαι μὲν, ἔξω δὲ τοῦ νόμου τῶν ἐντολῶν, ἀκερδές τε καὶ ἄμισθον. Οὐδεὶς γὰρ στεφανοῦται, *ἐὰν μὴ νομίμως ἀθλήσῃ*. Ἀθλεῖ δὲ νομίμως ὁ δικαίως διώκων τὸ δίκαιον. Οὐκοῦν παραδεκτέον οὔτε τὴν ψιλὴν τοῦ λόγου καὶ τῶν ἐντολῶν γνῶσιν, *ἐπειδὴ πίστις χωρὶς ἔργων νεκρά*· οὔτε τὴν ἄλογον καὶ ἀδίδακτον ἐργασίαν, ἐπειδὴ καὶ τὰ ἔργα νεκρὰ χωρὶς πίστεως. Ἑκάτερον δὲ ἑκατέρῳ

[9] Eccli. xxii, 6. [10] Num. xxx, 14. [11] III Reg. xix, 6. [12] II Tim. ii, 8. [13] II Tim. ii, 5. [14] Jac. ii, 20.

Digitized by Google

ἑνούμενα καὶ κιρνώμενα, οἷον ψυχὴ καὶ σῶμα, τὸν τέλειον κατὰ Θεὸν προφαίνουσιν ἄνθρωπον. Νηστεύει καὶ Ἰουδαῖος, ἀλλ' ἤκουσαν [*f.* -σεν] ὅτι *Νηστείαν καὶ ἀργύριον* [*f.* ἀργίαν] *καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου*. Διά τί; Ὅτι *τὸ ἀργύριον ὑμῶν ἀδόκιμον*. Ποῦ γὰρ ὁ λόγος δεδοκιμασμένος παρὰ τοῖς φονευταῖς τοῦ Λόγου; Ὃ καὶ αὐτὸ τυύτοι; προσονειδίζεται· *Αἱ* γὰρ *χεῖρες ὑμῶν*, φησὶν, *αἱματος πλήρεις*, οὐ μόνον οὐδὲν ἐργασαμένων ἀγαθὸν, ἀλλὰ καὶ προσαποκτεινάντων τὸν Κύριον. Νηστεύουσι καὶ οἱ ἀπὸ τῶν αἱρέσεων, ἀλλὰ ἀστεφάνωτα καὶ ἀγέραστα· οὐ γὰρ νόμιμος τούτοις ἡ ἄθλησις. Μεθύσκεται καὶ ὀρθόδοξος, ἀλλὰ καὶ *πολλὰς δωρήσεται, ὡς εἰδὼς τὸ τοῦ Δεσπότου θέλημα, καὶ μὴ ἐργαζόμενος*.

A simul copulentur et misceantur, tum velut corpus et anima, perfectum secundum Deum hominem constituunt. Jejunat et Judæus, sed audiit illud [16]: *Jejunium et argentum et festa vestra odit anima mea*. Qua de causa? Quia *argentum vestrum probatum non est* [16]: quod enim verbum illorum probatum esset, qui Verbum interemerunt? quod et ipsum Verbum illis exprobrat. Inquit enim [16]: *Manus vestræ plenæ sunt sanguine*, qui non solum nihil boni operis egerunt, sed et insuper Dominum ipsum occiderunt. Jejunant et hæretici, sed sine corona et præmio; non enim legitime certant. Inebriatur etiam orthodoxus, sed [17] *vapulabit multis, tanquam sciens voluntatem Domini, et non faciens*.

Θ'. Διὰ τοῦτο τῇ γνώσει τῶν ἐντολῶν συμπαραδεκτέον, ἀδελφοὶ, καὶ τὰς ἀρετάς· τοῦτο γὰρ ὁ τῶν νηστίμων ἡμερῶν ἀριθμὸς συμβολικῶς ἡμῖν βούλεται, τὰς τέσσαρας ἐπὶ τὰς δέκα πολλαπλασιάζων· καὶ τοὔμπαλιν. Ἐπεὶ δὲ μετρίως ἡμῖν περὶ τῆς νηστείας εἴρηται, καὶ οὐδὲ τοῦτο χωρὶς σοφίας οἱ τῆς Ἐκκλησίας οἰκοδόμοι διέθεντο, φέρε καὶ περὶ τῆς τοῦ σταυροῦ προσκυνήσεως, ὡς ἐφικτὸν, διαλάβωμεν. Ὅτι μὲν γὰρ δεῖ προσκυνεῖσθαι τὸ τῆς σωτηρίας ἡμῶν ὄργανον τὸ τῷ θείῳ καθαγιασθὲν σώματί τε καὶ αἵματι, οὔτε ζητήσεως ἄξιον, οὔτε λόγου πρὸς πίστιν δεόμενον. Τὸ δ' ἐν τῇ μεσότητι τῶν νηστίμων ἡμερῶν προτεθεῖσθαι κοινῶς εἰς προσκύνησιν, τοῦτό τις τῶν τὴν ἀκοὴν λιχνωτέρων, ὡς ἥδυσμα, παρατεθῆναι δεήσεται. Τίς γὰρ ἡ ἀποκήρωσις, μήτε πρὸ τούτου, μήτε μετὰ ταῦτα, ἐν δὲ τῷ μέσῳ νομοθετηθῆναι πάνδημον τὴν προσκύνησιν;

B 9. Quocirca, fratres, cum præceptorum cognitione simul amplecti decet virtutes; hoc enim numerus dierum jejunii quasi symbolo quodam postulat, quatuor ad decem usque multiplicans. Porro cum satis multa de jejunio dixerimus, hocque ab Ecclesiæ fundatoribus et moderatoribus nonnisi sapienter constitutum sit; agedum et de crucis adoratione, quantum licuerit, disseramus. Nam quod salutis nostræ instrumentum, divino corpore et sanguine sanctificatum, reverenter adorandum sit, id neque quærendum, neque etiam ad fidem faciendam probandum arbitror. Quod vero in media Quadragesima ad communem omnium adorationem proponatur, hoc illis, qui delicatiores aures habent, nunc velut oblectamentum C quoddam, declarandum est. Quæ enim hæc temporis præfinitio, ut neque prius, neque posterius, sed in media Quadragesima hæc communis omnibus crucis adoratio decreta sit?

Ι'. Ἦ δῆλον ὅτι καὶ τοῦτο τοῦ Πνεύματος. Ἐπειδὴ γὰρ οἶδε τὴν ἀνθρωπίνην φύσιν ἀρχομένην μὲν ὡς τὰ πολλὰ θερμότερον, οὐχ ὁμαλῆ δὲ τὴν κίνησιν ἐν τῇ πρόσῳ φυλάττουσαν, ἀλλ' οἷον ἀποναρκυμένην, καὶ ἐνεργουμένην τὸ μὴ ἐργάζεσθαι, ὡς ἂν μὴ τῶν νηστειῶν εὐτόνως ἀρχόμενοι, εἶτα προοδεύοντες ἐκλυώμεθα, τὸν σταυρὸν εἰς τὸ μέσον προέθηκαν [*f.* -κεν], τούς τε προγεγονότας πόνους δεχόμενον, καὶ πρὸς τοὺς μέλλοντας ἐνισχύοντα (οἷόν τι ποιοῦσιν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν οἱ τοὺς ἀθλητὰς τοῖς ὑποφωνήμασιν ἐπεγείροντες, ἢ κεκμηκότας, ἢ δοκοῦντας), καὶ πολλάκις ἐν μέσῳ τοῦ σταδίου ἱσταμένοις, ὑπόμνημά τε τῶν του μεγάλου Θεοῦ καὶ Σωτῆρος παθῶν γινόμενον, καὶ οἷόν τινα παιδοτρίβην τῷ καλῶς τρέχοντι λέγοντα· Εἰ ὁ Δεσπότης σταυρῷ προσηλώθη, χολὴν ἐποτίσθη, πλευρὰν ἐλογχεύθη, πάντα ὅσα τῆς ἀτιμίας ὑπέστη καὶ πράγματα καὶ ὀνόματα, μή μοι ἀναπέσῃς αὐτὸς, μηδὲ σαλευθείησάν σοι οἱ πόδες ὑπὸ χειρὸς καὶ ἐνεργείας ἁμαρτωλοῦ, μηδὲ *ἐκχυθείησάν σου τὰ διαβήματα*· ἀλλὰ τρέχε δι' ὑπομονῆς τὸν προκείμενόν σοι ἀγῶνα. Τρέχε ὡς οὐκ ἀδήλως· πρόδηλος γὰρ ἡ ἀνάστασις, πρὸς ἣν ὁ σταυρὸς χειραγωγεῖ, τῶν παθῶν οὖσαν καὶ

D 10. An perspicuum est, et hoc a Spiritu sancto proficisci? Nam cum non ignoret, humanam naturam ita comparatam esse, ut plerumque magno ardore aliquid auspicetur, non æquali autem gradu postea procedat, sed velut torpescens id unum agat, ut nihil agat; ideirco ne jejunii stadium prompte et alacriter ingressi, cursum deinceps remittamus, crux in medium proponitur, ut præteritos labores excipiat, et ad futuros corroboret (cujusmodi quiddam in gymnicis certaminibus factitant illi, qui athletas vel vere fessos, vel opinione aliorum fatigatos acclamationibus et adhortationibus suis excitant); et ut illis, qui sæpe in medio cursu subsistunt, cruciatus magni Domini et Salvatoris nostri in memoriam revocet; et velut doctor, præsesque certaminis probe currenti his verbis stimulos subjiciat: Si Dominus cruci suffixus est, si felle potatus, si lancea latere perfossus, si quidquid vel rerum vel cognomentorum ignominiosum erat, id pertulit; ne tu concidas, neque **461** commoveantur pedes tui, a manu et actione peccatoris, neque *effundantur gressus tui* [18]; sed curre per patientiam ad propositum tibi certamen [19].

[15] Isa. I, 13, 14. [16] ibid. 22. [16] Isa. I, 15. [17] Luc. XII, 47. [18] Psal. XXXVI, 23. [19] Hebr. XII, 1.

Digitized by Google

Curre non quasi in *incertum* ; certa est enim resurrectio, ad quam crux manuducit; quæ omnis doloris, cruciatus et probri præmium est, omnis passionis et ignominiæ expers, et quæ perpetuo splendorem suum in crucem emittit.

A τῆς ἀτιμίας ἀπαθὲς καὶ πολυτίμητον ἔπαθλον, καὶ ἀεὶ τῷ σταυρῷ ἐπιλάμπουσαν.

11. Deinde ex hac crucis adoratione docemur itidem qua ratione crux mediatricis officium pro nobis obierit, reconcilians nos Deo et Patri [20], quem per inobedientiam offenderamus. Postquam enim hisce duobus, velut duabus manibus ab hoste devicti et prostrati, voluptate videlicet et tristitia, casuque illo miserabili in præceps acti, ab Oriente ex alto per viscera misericordiæ Dei nostri visitati sumus [21], statim sub ipsa primordia adversarius noster debilitatus et quasi mutilatus est, quando Emmanuelis nostri conceptionem neque voluptas contaminavit (neque enim ferrum, neque virginitatis quasi dissectio, neque manus hominis, neque aliud quid hujus generis ad matrimonium pertinens divinum Mariæ altare ascendit), neque etiam dolor afflixit: quippe ubi voluptas nulla antecesserit: ibi enim necesse est dolorem sequi, ubi voluptas præcessit; sicuti necesse est, ut ibi voluptas sequatur, ubi dolor præcessit. Et hæc est ipsius naturæ inviolabilis et indissolubilis lex, non sine æquitate lata, ne nimia hilaritatis diffusio sit sine freno et gubernatore, neque tristitia sit plane immedicabilis et mortifera; sed ut illa quidem admonitionis loco habeat eam, quæ inde enasci consuevit, tristitiam et

ια'. Ἔπειτα καὶ τὴν μεσιτείαν, ἣν ἡμῖν ἐμεσίτευσεν ὁ σταυρὸς, ἐκ τῆς νῦν προσκυνήσεως διδασκόμεθα, ἀποκαταλλάξας ἡμᾶς τῷ Θεῷ καὶ Πατρὶ, ὃν ἐξ ἀρχῆς παρακοῆς ἡμῖν αὐτοὶ ἐξεπολεμήσαμεν. Ἐπεὶ γὰρ δυσὶ τούτοις, οἷόν τισι [δυσὶ] χερσὶν ὑπὸ τοῦ ἐχθροῦ κατεπαλαιόμεθα, ἡδονῇ [*f.*-νῇ] καὶ λύπῃ [*f.*-πῃ], καὶ πτῶμα ἐλέους ἄξιον πίπτοντες, ἀνατολῆ ἐξ ὕψους διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν ἐπεσκέφθημεν· εὐθὺς μὲν καὶ ἐν προοιμίοις ἠκρωτηριάζετο ὁ ἀντίπαλος, οὔτε ἡδονῆς μολυνάσης τὴν τοῦ Ἐμμανουὴλ σύλληψιν (οὐδὲ γὰρ ἀνέβη σίδηρος καὶ τομὴ παρθενίας, ἢ χεὶρ ἀνθρώπου καὶ πρᾶξις γαμήλιος, ἐπεὶ [*f.* ἐπὶ] τὸ θεῖον τῆς Μαρίας θυσιαστήριον), οὔτε ὀδύνης στενοχωρησάσης τὸν τόκον, ὅτι μηδὲ ἡδονὴ προηγήσατο. Ἔκειτ δὲ πάντως ἕπεσθαι τὴν ὀδύνην, ἔνθα ἡδονὴ προοδεύσειεν· ὥσπερ ὀδύνης προηγουμένης, καὶ ἡδονὴν ἐπακολουθεῖν· καὶ τοῦτον εἶναι φύσεως νόμον ἄῤῥηκτόν τε καὶ ἄλυτον φιλανθρώπως νομοθετηθέντα· ἵνα μήτε τὸ διαχέον ἀχαλίνωτον ᾖ καὶ ἀδέσποτον, μήτε τὸ δάκνον ἀνίατον καὶ νεκρώσιμον· ἀλλὰ τὸ μὲν νουθεσίαν ἔχῃ τὴν μετὰ ταῦτα λύπην, καὶ ἀναστολὴν ὕβρεως, τὸ δὲ τὸν γλυκασμὸν, θεραπευτὴν ἀπογνώσεως.

B

injuriæ impressionem; huic vero depellendæ desperationis causa medicamentum sit dulcedo.

12. Cæterum postquam ad Jordanem sese manifestavit, et pro nobis famulis suis a famulo statuta expiatione purificatus est, Spiritumque pro nobis accepit is, qui nunquam a Spiritu separatur (quo demonstraret, super aquas etiam tum Spiritum ferri, quando nos baptizamur, a quo nobis persuaderet, ut ad hoc lavacrum Spiritu Dei tam plenum, tanquam ad veram et perfectam emundationem accurramus), ducitur a Spiritu in desertum [22]: a turbis enim remotum esse oportet eum qui semel mundatus est, ne rursus luto et cœno contaminetur, alteraque purificatione egeat. Perfert autem impressiones illas quas objectu voluptatis tentator instituit, perfert, inquam, non ratione et cogitationibus: nam his Dei mens impervia est: verum in propria persona illum aggreditur, tribusque adversarii casibus pro nobis coronatur, angelorum ministerio auctus; ut intelligas, quonam honore afficiendus sis, **462** si eum debelles, qui inter angelos inhonorus et inglorius est. At vero victor vim et robur adversus voluptatem fratribus largitus, sic ad docendi munus accedit. Necesse enim erat, ut naturam velut vas quoddam præpararet et expurgaret, ut verbi capax efficeretur, expugnata post ventris ingluviem ambitione; post ambitionem cupiditate et amore habendi: quæ tres filiæ sunt hirudinis illius quæ totam nostram vitam exsugit. Simul etiam nos magistros et institutores instruxit, ne prius docendi provinciam suscipiamus, quam hostem opere ipso devicerimus.

ιβ'. Ἐπεὶ δὲ ἀναδειχθεὶς ἐν τῷ Ἰορδάνῃ, τὴν ὑπὲρ ἡμῶν τῶν δούλων ὑπὸ τοῦ δούλου κάθαρσιν ἐκαθάρθη, καὶ τὸ Πνεῦμα δι' ἡμᾶς ἐδέξατο, ὁ μηδέποτε τούτου ἀχώριστος (ἵνα δείξῃ τῷ ὕδατι τὸ Πνεῦμα ἐπιφερόμενον ὅτε καὶ ἡμεῖς βαπτιζόμεθα, καὶ πείσῃ προστρέχειν ὡς ἀληθινῇ καὶ τελείᾳ καθάρσει τῷ τοιούτῳ λουτρῷ, ὃ τὸ τοῦ Θεοῦ Πνεῦμα δέχεται), ἄγεται μὲν τῷ Πνεύματι εἰς τὴν ἔρημον (ἀταραξίας γὰρ δεῖσθαι τὸν καθαρθέντα, ἵνα μὴ πάλιν θολωθῇ [*f.*-θεὶς] ἀπὸ πηλοῦ ἰλύος, δευτέρων χρήζῃ καθάρσεων), δέχεται δὲ τὰς δι' ἡδονῆς τοῦ πειραστοῦ προσβολὰς, οὐ διαλογισμῶν [*f.* διὰ λογ.] (οὐ γὰρ τούτοις ἐπιβατὸς ὁ τοῦ Θεοῦ νοῦς), ἀλλ' αὐτοπροσώπως προσβάλλοντος, καὶ τρισὶ τοῦ ἀντιπαλαίοντος πτώμασιν ὑπὲρ ἡμῶν στεφανοῦται, ὑπ' ἀγγέλων διακονούμενος· ὡς ἂν σὺ μάθῃς τὴν τιμὴν, ἣν τιμηθήσῃ, τὸν ἐν ἀγγέλοις ἄτιμον καταγωνισάμενος. Ἀλλ' ὁ μὲν νικητὴς κατὰ τῆς ἡδονῆς, τὸ κράτος τοῖς ἀδελφοῖς χαρισάμενος, οὕτως ἤδη ἐπὶ τὸ διδάσκειν ὥρμησεν. Ἔδει γὰρ αὐτὸν τὴν φύσιν οἷόν τι σκεῦος προετοιμάσαι καὶ ἐκκαθᾶραι· ὡς ἂν τοῦ Λόγου χωρητικὴ γένηται, φιλοδοξίαν μὲν ἐπὶ γαστριμαργίᾳ, φιλοπλουτίαν δὲ ἐπὶ φιλοδοξίᾳ καταβαλόντα, τὰς τρεῖς θυγατέρας τῆς βδέλλης, αἳ τὴν ζωὴν ἡμῶν ἐξεμύζησαν· ἅμα δὲ καὶ τοὺς διδασκάλους ἡμᾶς παιδεῦσαι μὴ πρότερον ἀναδέχεσθαι τὸν λόγον, ἢ καταπαλαῖσαι τὸν πειράζοντα διὰ τῆς πράξεως.

C

D

[20] II Cor. v, 18. [21] Luc. I, 78. [22] Matth. IV, 1.

Digitized by Google

ιγ'. Ἐλείπετο δὲ τῷ ἐχθρῷ ἡ τῆς λύπης ἔτι χειρ, A ἢ καὶ λοιπὸν ἐχρῆτο, τοὺς Φαρισαίους, τοὺς Σαδδουκαίους, τοὺς Γραμματεῖς, αὐτοὺς τοὺς ἀπανισταμένους ἐπαναστὰς [*f.* — στήσας] αὐτῷ, καὶ λόγοις διαβάλλων, καὶ λίθοις βάλλων, καὶ σοφίσματα κακότεχνα προτεινόμενος, καὶ τί γὰρ οὐ κατ' αὐτοῦ τεκταινόμενος; τέλος δὲ, καὶ *μετὰ ἀνόμων λογισθῆναι παρασκευάσας*, καὶ τὸν ἀτιμότατον αὐτῷ ἐξαρτύσας θάνατον, καὶ παραδειγματίσας, οὐ μόνον ἐπικατάρατον νομίζεσθαι τὸν ἐπὶ ξύλου κρεμάμενον, ἀλλὰ καὶ κατὰ τὴν τῶν ἀνόμων φύσιν πᾶν εἶδος δυσφημίας ἐπιδειξάμενον καὶ ὕβρεως. Ταύτην ἐγὼ τὴν πεῖραν, τὴν διὰ λύπης φημὶ, τῆς προτέρας δυσκαταγωνιστοτέραν τίθεμαι, ὅσῳ τοῦ μὴ ἡσθῆναι τὸ καὶ λύπῃ περιπεσεῖν δυσφορώτερον. Δηλοῖ δὲ B καὶ ὁ πειραστὴς· οὐ γὰρ ἂν ὑστέραν ταύτην ἐπέθηκεν, εἰ μὴ κραταιοτέραν ἐγίνωσκεν. Ὡς δὲ καὶ διὰ ταύτης ἐλθὼν ἐνίκα, οὐ μόνον ὑπομείνας πάντα, ἀλλὰ καὶ τοὺς φονευτὰς εὐχαῖς ἀμειβόμενος· ἐντεῦθεν ἡ φύσις ἡμῶν ἀναντίρρητον τὴν νίκην ἐδέξατο, διὰ τῶν ἔργων στεφανωθεῖσα τοῦ τὸν κόσμον νικήσαντος· καὶ τοῦτό ἐστιν ὄντως τὸ τελειότατον τρόπαιον, καὶ ἡ παντελὴς σωτηρία, ἣν ὁ σταυρὸς ἡμῖν προεξένησε. Μέχρι μὲν γὰρ τοῦ σταυροῦ ὑπελείπετό τις ἐλπὶς τῷ ἐχθρῷ, ἐξ ὑπερηφανίας τοῖς διακένοις αὐτὸν βόσκοντι.

ιδ'. Ἐντεῦθεν δὲ ἡ χειρ ἀνενέργητος ἔμεινε, καὶ ὄντως τηνικαῦτα *τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι* C *εἰς τέλος*. Διὰ γὰρ τοῦ θανάτου τοῦ Υἱοῦ τῷ Πατρὶ ἀποκατηλλάγημεν. Ἐπεὶ γὰρ δικαίως Ἀδὰμ ἀπέθανεν (ὅτι καὶ κατὰ συνθήκην αὐτῷ ὁ θάνατος ἐπενήνεκτο. *Ἧ γὰρ ὥρᾳ*, φησὶ, *φάγητε ἀπὸ τοῦ ξύλου, θανάτῳ ἀποθανεῖσθε*, παραβάσεώς τε καὶ ἁμαρτίας ἦν ἐπιτίμιον), ὁ δὲ Κύριος ἁμαρτίαν μὴ ποιήσας (πῶς γὰρ ὁ μὴ δι' ἡδονῆς καὶ λύπης ἐλθὼν, ἐξ ὧν καὶ περὶ ἃς τὸ ἁμαρτάνειν, καὶ τούτων φανεὶς ἀνώτερος;), ἀδίκως ἐθανατώθη διὰ σταυροῦ, τῷ δὲ ἀδίκῳ τούτῳ θανάτῳ ὁ δίκαιος ἡμῶν κατελύθη θάνατος· εἰκότως τῷ σταυρῷ τὴν σωτηρίαν ἐπιγραφόμεθα. Εἷς γὰρ ὑπὲρ πάντων ἀπέθανεν ἀναμάρτητος, καὶ διὰ τοῦτο θανάτῳ μὴ ὑποκείμενος. *Τὸ γὰρ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία*, οἷόν τινι στρατιώτῃ ξίφος ἐν χερσὶν ὄν, καὶ ῥᾳδίως ἀποκεντοῦν D τοὺς δεχομένους αὐτὸ μαλακώτερον. Ὅ δὴ καὶ τῆς φιλανθρωπίας κεφάλαιον, ὅτι τὴν ὀφειλὴν ἡμῶν ὁ μηδὲν ὀφείλων διέλυσε. Τοῦτο γοῦν καὶ ὁ Κύριος ἐν τοῖς ἐξοδίοις ἐδήλου ῥήμασιν, *Ἔρχεται*, λέγων, *ὁ τοῦ κόσμου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν· ἀλλὰ καθὼς ἐνετείλατό μοι ὁ Πατὴρ, οὕτω ποιῶ.* — *Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ δοῦναι* τῷ θανάτῳ ἀντάλλαγμα. *Ὦ βάθος σοφίας* καὶ πλούτου χρηστότητος! Ἐκ τῆς πρὸς τοὺς ἀνθρώπους ἀγάπης ὁ τοῦ Υἱοῦ θάνατος, ἐκ τοῦ θανάτου πάλιν ἡ πρὸς τούτους ἀποκαταλλαγὴ καὶ

13. De cætero reliqua erat adversario vis et potestas tristitiæ, qua ei posthac usus est, Pharisæis, Sadducæis, Scribis ipsisque transfugis adversus ipsum concitatis, variis criminationibus et calumniis concinnatis, lapidibus in eum conjectis, multisque sophismatibus et fraudibus objectis. Quid enim contra illum non molitus est? Ad extremum effecit quoque, ut cum *iniquis reputaretur* [32], morte omnium turpissima ei procurata; et ita traduxit, ut maledictus haberetur, quippe pendens in ligno; quin et improborum more, omne genus blasphemiæ, maledicentiæ et injuriæ in ipsum exprompsit. Hanc ergo tentationem et probationem positam in rebus duris et asperis superatu tanto difficiliorem arbitror, quam priorem, quanto difficilius est tristia omnisque jucunditatis expertia tolerare. Quod ipse tentator planum facit; non enim hanc in postremum locum reservasset, nisi potentiorem esse probe novisset: ut vero ex hac itidem tentatione victor exstitit, non modo omnia æquissimo animo passus, sed et pro occisoribus suis Deum precatus est; tumque creatura nostra certissimam victoriam adepta est, velut serto redimita præclare factis ejus, qui mundum vicerat; at hoc vere perfectis summum tropæum, et absolutissima salus, quam crux nobis attulit. Nam usque ad crucis tempus spes aliqua supererat hosti, qui superbia elatus, inani spe seipsum pascebat.

14. Exinde vero tota hæc vis et potestas inefficax reddita est: et vere tunc *inimici frameæ defecerunt in finem* [33]; nam per Filii mortem Patri reconciliati sumus [34]. Postquam enim Adam juste mortuus est (quia ex compacto mors illi venit [35], *Quacunque hora*, inquit, *comederitis de hoc ligno, morte moriemini*; transgressionis namque et peccati multa mors fuit), Dominus autem, qui peccatum non fecit [37] (nam quomodo peccatum perpetrasset, qui ex voluptate et dolore, circa quæ duo peccatum versatur, non exstitit, longe superior utrisque?) injuste in cruce occisus, injusta hac morte mortem nobis juste decretam profligavit, merito cruci salutem nostram acceptam referimus; 463 nam unus a peccato immunis pro omnibus mortuus est; eaque de causa morti non erat obnoxius: *stimulus* enim *mortis peccatum est* [38], quod se habet instar gladii in manu militis, facileque pungit, quicunque mollius attingunt. Porro, quod omnis humanitatis et benevolentiæ caput est, ille, qui nihil debebat, debitum nostrum dissolvit. Hoc enim et Dominus professus est his sub exitum verbis [39]: *Venit*, inquiens, *mundi princeps, et in me non habet quidquam; sed sicut mihi mandavit Pater, sic facio* [40]. *Sic enim Deus dilexit mundum, ut et Filium suum* reconciliationis causa in mortem traderet. *O altitudo sapientiæ* [41]! O divitiæ bonitatis! Ex amore in homines sequitur mors Filii; ex morte reconciliatio

[32] Isa. LIII, 12. [33] Psal. IX, 7. [34] Rom. V, 10. [35] Gen. II, 17. [37] II Cor. V, 21. [38] I Cor. XV, 56. [39] Joan. XIV, 30. [40] Joan. III, 16. [41] Rom. II, 32.

Digitized by Google

cum iisdem, et rursus dilectio; ut omni ex parte juste videretur reconciliari, et ut debitor, et ut nihil remittens aut condonans.

15. Hujus reconciliationis mediatrix et conciliatrix crux fuit: quod mediatricis officium tacite nunc crux insinuat medio jejuniorum cursu proposita et adorata. Quod si velis, jejunium tibi itidem paradisus erit, in cujus medio lignum etiamnum plantatur, omnibus ex æquo parabile, excepto illo, *cui Deus venter est* [32]; hunc enim inimicum crucis reputat Apostolus. Quin et hunc crux advocat, et admittit absumptura ipsius *tumorem* (3) et persuasura ne omnia ventris oblectationibus concedat, aspiciens acetum, quod cruci suffixus gustavit; persuasura item, ne ubique relaxationem et jucunditatem quærat, clavos contemplans et lanceæ vulnera, in quæ ea velut retributionis digitum immittens, et ut loco ventris Deum et Dominum, asperæ hujus et plenæ doloribus vitæ auctorem et consummatorem prædicet, cum et initio pro peccatoribus, hisque qui ceciderant, crucifixus fuerit; et omnibus spiritibus conjunctis, illos et inter se mutuo et cum Domino colligarit.

16. Habet autem crux altitudinem, profunditatem, et eam, quæ in latitudinem utrinque excurrit, extensionem; quo pacto ad conditorem Christum adducit cœlestia, subterranea et terrestria, ab ortu solis usque ad occasum, ut non sint amplius duo creaturarum genera, angeli et filii hominum, agitari solita, et agitari nescia; quædam in cœlo, quædam in terra; quædam prope, quædam longe; sed ut sit jam una creatura omnium qui in Christo renovati sunt. Omnia jam concussionis et agitationis expertia sunt, cœlestia et vicina. Hæc crucis dona sunt, non semel tantum collata, aut exiguo tempore visa; sed semper et conferuntur et conspiciuntur; semperque magnificentiam ejus, qui in cruce salutem nostram operatus est, deprædicant: tuncque solum **464** cessabunt, cum et Dei virtus debilitabitur. Quandiu autem Dei potentia manet, et ea, quæ infirma sunt, corroborat, tandiu talia ac tanta dona crux conferre poterit his, qui salvantur; quibus crucem esse *Dei virtutem* Apostolus testatur. Inquit enim [33]: *Verbum crucis pereuntibus stultitia est: nobis vero qui salvamur, Dei virtus.*

17. Vocatur eadem crux ab his qui nomen suum in Christi militiam dederunt, *armatura bonæ voluntatis* [34], qua Deus illis *benigne facere* statuit, data et coronæ loco adversus hostes; simul enim armat et coronat: quod nos ipsemet David docet. Eadem signatio est timentibus Deum, quique suas carnes configunt. Non enim aliam notam habent, ex qua ad Christum pertinere dignosci queant, quam si

ἀγαπησις· ἵνα δόξῃ πάντως δικαίως καταλλαγῆναι, καὶ ὡς ὀφείλων, καὶ μὴ χαριζόμενος.

ιε'. Ταύτης τῆς καταλλαγῆς ὁ σταυρὸς ἡμῖν μεσίτης καὶ πρόξενος· ἣν δὴ μεσιτείαν αἰνίττεται συμβολικῶς νῦν ἐν τῷ μέσῳ τῶν Νηστειῶν προτιθέμενός τε καὶ προσκυνούμενος. Εἰ βούλει δέ μοι καὶ παράδεισον ἐκδέχου τὴν νηστείαν, οὗ ἐν μέσῳ τὸ τῆς ζωῆς ξύλον καὶ νῦν φυτεύεται πᾶσιν ἐξίσου μεταληπτὸν, ἐκτὸς *εἰ μή τις τὴν κοιλίαν ἐθεοποίησε*. Τοῦτον γὰρ ἐχθρὸν ὁ Παῦλος τοῦ σταυροῦ τίθεται· μᾶλλον δὲ καὶ τοῦτον ὁ σταυρὸς προσκαλεῖται καὶ παραδέχεται, δαπανήσων αὐτοῦ τὸν..... κον, καὶ πείσων μὴ πάντα ἡμᾶς γαστρὸς ἡδοναῖς χαρίζεσθαι, πρὸς τὴν χολὴν καὶ τὸ ὄξος ὁρῶντα, ὧν ὁ ἐν αὐτῷ παγεὶς πεπείραται· μηδὲ πάντοθεν τὴν ἄνεσιν κατατείνεσθαι τοὺς ἥλους ἀνασκοποῦντα, καὶ τὰ τῆς λόγχης κεντήματα, καὶ βάλλοντα δι' αὐτῶν τὸν τῆς ἐράνης δάκτυλον, καὶ ἀντὶ τῆς κοιλίας, Θεὸν καὶ Κύριον τὸν τῆς πικρᾶς ταύτης καὶ ὀδυνηρᾶς ζωῆς ἀρχηγὸν καὶ τελειωτὴν κηρύττοντα· ἐπεὶ καὶ τὴν ἀρχὴν, ὑπὲρ τῶν ἁμαρτόντων, καὶ προσκεκρουκότων, ἐπάγη, καὶ πάντα πνεύματα ἑνώσας ἀλλήλοις, καὶ τῷ Κυρίῳ συνέδησεν.

ις'. Ὅσπερ [*f.* Ὥσπερ] ὕψος ἔχει, καὶ βάθος, καὶ τὴν ἐπὶ πλάτος ἑκατέρωθεν ἔκτασιν· οὕτω τὰ οὐράνια, καὶ τὰ ἐπίγεια, ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν Χριστῷ συναγαγὼν τῷ τὰ πάντα κτίσαντι, ἵνα μηκέτι δύο κτίσεις ὦσιν, ἄγγελοι καὶ υἱοὶ ἀνθρώπων, σαλευόμενα καὶ μὴ σαλευόμενα, τὰ ἐν οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ἐγγὺς καὶ τὰ μακρὰν, ἀλλὰ μία κτίσις πάντων ἐν Χριστῷ καινισθέντων ἧν [*f.* ᾖ] πάντα μὴ σαλευόμενα, καὶ οὐράνια καὶ ἐγγίζοντα. Τοιαῦτα τοῦ σταυροῦ τὰ χαρίσματα, οὐχ ἅπαξ μόνον γενόμενα, οὐδὲ φανέντα πρὸς μικρὸν, ἀλλ' ἀεὶ καὶ γινόμενα καὶ φαινόμενα, καὶ τὸ μεγαλεῖον τοῦ ἐν αὐτῷ τὴν σωτηρίαν εἰργασμένου κηρύττοντα· τότε μόνως παυσόμενα, ὅτε καὶ ἡ τοῦ Θεοῦ ἀσθενήσει δύναμις. Ἕως δ' ἂν ἐκείνη ἡ δύναμις μένῃ, καὶ τὰ ἀσθενῆ ἐνισχύουσα, καὶ τὸν σταυρὸν ἔσθι τοιαῦτα καὶ τοσαῦτα τοῖς σωζομένοις δυνάμενον· οἷς καὶ *Δύναμιν* εἶναι *Θεοῦ* τοῦτον μαρτυρεῖ ὁ Ἀπόστολος. *Ὁ Λόγος* γὰρ, φησὶν, *ὁ τοῦ σταυροῦ, τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστὶ· τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστι.*

ιζ'. Οὗτος καὶ *ὅπλον εὐδοκίας* καλεῖται τοῖς Χριστοῦ στρατιώταις, οἷς αὐτοὺς [*f.* αὐτὸς] *ἀγασθῦναι* [*f.* *ἀγαθῦναι*] θέλει Θεὸς, διδόμενον καὶ κατὰ τῶν ἐχθρῶν στέφανος· ἅμα γὰρ ὁπλίζει καὶ στεφανοῖ· καὶ τοῦτο παρὰ Δαυὶδ διδασκόμεθα. Οὗτος καὶ σημείωσις τοῖς φοβουμένοις τὸν Θεὸν, καὶ καθηλωμένοις τὰς σάρκας. Οὐ γὰρ ἄλλοθεν αὐτοῖς τὸ γνώρισμα, ὅτι Χριστοῦ εἰσιν, ἢ ἐκ τοῦ τὴν σάρκα

[32] Philipp. III, 19. [33] I Cor. I, 18. [34] Ephes. VI, 11.

Variæ lectiones et notæ.

(3) Ita suppleo ex conjectura lacunulam: puto enim in autographo exstitisse ὄγκον, adeo ut in codice non defuerit, nisi prima syllaba istius vocis.

Digitized by Google

σταυρῶσαι τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, καὶ μαρτυρεῖ Παῦλος ὥσπερ τινὶ βασιλικῷ παρασήμῳ τούτῳ καυχώμενος· καὶ διὰ τοῦτο μηκέτι Παῦλος, ἀλλὰ Χριστὸς γνωριζόμενος. *Ζῶ γὰρ, ἐγὼ οὐκ ἔτι, φησί· ζῇ δὲ ἐν ἐμοὶ Χριστός.* Καὶ τοῦτο ἦν ἄρα ὃ καὶ ὁ Κύριος εἰρηκε, τὸ δεῖν ἑαυτὸν ἀπαρνεῖσθαι τὸν σταυρὸν αἴροντα, τὸν ἀκολουθεῖν προελόμενον. Οὗτος καὶ σοφία Θεοῦ, κἂν ὡς μωρία τοῖς Ἕλλησι διαβάλληται. *Τὸ γὰρ μωρότερον τοῦ Θεοῦ, σοφώτερον τῶν ἀνθρώπων ἐστίν.* Οὗτος καὶ *ὑποπόδιον τῶν ποδῶν*, ὡς τῆς ἐνσάρκου παρουσίας κατάπαυσις. Καὶ τόπος οὗ ἔστησαν οἱ πόδες Κυρίου, καὶ τὰ πρὸς τὴν ἡμετέραν σωτηρίαν κινήματα· τί γὰρ ἔδει κινεῖσθαι λοιπὸν πρὸς τὸ τέρμα φθάσαντα, καὶ τῆς σωτηρίας ἐξειργασμένης, δι' ἣν ἡ νίκη;

ιη'. Ἀλλὰ γὰρ μηδεὶς ἀπολειπέσθω, μήτε τῆς θέας, μήτε τῆς ὑποπτώσεώς τε καὶ προσκυνήσεως· τῇ μὲν ἁγιαζόμενος ὀφθαλμοὺς, τῇ δὲ τὰ λοιπὰ μέλη κλινόμενα, τῇ δὲ καὶ τὰ χείλη προσψαύοντα. Ἁγιαζέσθω καὶ γλῶττα ἥ τε ᾄδουσα ἥ τε διδάσκουσα. Ἁγιαζέσθω καὶ ἀκοὴ τὰ τοῦ σταυροῦ ἐνηχουμένη, καὶ τῇ διανοίᾳ διαπορθμεύσασα. Βασιλεὺς εἶ; Πρόσελθε (4) τῷ σκήπτρῳ Χριστοῦ, μάθε σεαυτὸν δοῦλον τιμῆς ἀγορασθέντα. Τὸν Δεσπότην ἐπίγνωθι, ὡς ὁμοδούλους ὅρα τοὺς ὑπὸ χεῖρα· ἑνὶ γὰρ αἵματι ἐωνήμεθα. Μάθε τὸ τιμώμενον τῆς βασιλείας σοι σχῆμα ἐν τῷ καιρῷ τοῦ σταυροῦ πάιζόμενον· τὸν λιθοκόλλητον στέφανον ἀκάνθαις καὶ μερίμναις ἐκτραχυνόμενον· τὸ δυνατόν σοι σκῆπτρον, καὶ πάντα τύπον, διάκενον κάλαμον· τὴν πορφύραν, ἐφ' ᾗ σὺ μέγα φυσᾷς, ἀλλότριον ἀγαθὸν, καὶ ἐξ αἵματος· στρατιῶται γάρ σοι ταύτην περιτιθέασι· τὰς γονυπετήσεις, ἃς δέχῃ, καὶ τὰς εὐφημίας ἐπιπλάστους τὰς πλείους, καὶ παρὰ τούτων οἳ τὴν σὴν κεφαλὴν οὐχ ὅπως ἡδέως τύψαιεν, ἀλλὰ καὶ ἡδίον ἀποκόψαιεν. Ταῦτα τὸν σταυρὸν προσκυνῶν διδάχθητι. Δεῖ γὰρ εἶναι σπουδεῖα ἐν τῷ Χριστῷ καὶ τὰ παίγνια, καὶ πάντοθεν ἡμᾶς τῷ λόγῳ διδάσκεσθαι.

ιθ'. Στρατιώτης ἐτάχθης; Λάβε τὸ τῆς εὐδοκίας ὅπλον *τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου*, εἴτε τοῦ νοητοῦ, καὶ τὸν [*f.* τὸ] νοούμενον ἡμῶν βάλλοντος, καὶ τῇ ἐπιφανείᾳ τῶν αἰσθητῶν τοὺς μὴ φραττομένους κατατιτρωσκοντος· εἴτε τοῦ ὁρωμένου, καὶ τὸ ὁρώμενον φθείροντος. Πλουτεῖς τὰ τῆς γῆς ἀγαθά; Δέξαι τὴν ἐκ τοῦ σταυροῦ παραίνεσιν, γυμνὸν δεικνύντος ἐν αὐτῷ παγέντα τὸν σὸν διδάσκαλον, καὶ οὗ ἀκόλουθος εἶναι προσποιῇ, τούτου καὶ τοῖς ἴχνεσι προσεπίβηθι, καὶ τὸν σαυτοῦ σταυρὸν ἆρον, πᾶσιν ἀποταξάμενος. Πενίᾳ θλίβῃ; Ἐγγὺς ἡ παράκλησις (5)· αὐτὸ γάρ σοι τοῦτο τὸ τῆς πενίας βάρος;, σταυρὸς ἀκούσιος. Ἠγγαρεύθης καὶ αὐτός; Ἀλλ' ἑκούσιον τὸ ἀγαθὸν

A carnem cum vitiis et concupiscentiis crucifigant [35]: cujus rei testis Paulus, qui cruce tanquam regio quodam insigni gloriatur, et propter eamdem jam non Paulus, sed quodammodo Christus ipse est [36]. *Vivo*, inquit, *jam non ego, vivit vero in me Christus.* Et hoc illud ipsum est, quod et Christus dixerat: oportet videlicet, ut seipsum abneget, qui crucem tollere, seque sequi cupiat [37]. Eadem crux Dei sapientia est, licet ab infidelibus ut stultitia rideatur [38]. *Quod enim stultum est Dei, sapientius est hominibus.* Eadem, *scabellum pedum est* [39], quasi requies ejus qui per incarnationem ad nos advenit, et locus ubi steterunt pedes Domini, et profectio motusque ad nostram salutem. Quid enim opus erat ut amplius moveretur, qui jam ad finem processerat, salutemque, per quam victoria venit, jam perfecerat?

B

18. At nemo neque ab intuitu neque a provolutione et adoratione excludatur, illo quidem oculos sanctificans, illa membra inflexa et inclinata, hac vero labra crucem attingentia. Sanctificetur et lingua, tam quæ canit, quam quæ docet. Sanctificetur et auditus canticis crucis pulsatus, eaque ad mentem transmittens. Rex es? Accede ad sceptrum Christi, agnosce te servum esse pretio magno emptum. Agnosce Dominum, tibique subjectos, ut conservos, tracta. Uno enim sanguine empti sumus. Considera honoratissimum regalis dignitatis habitum tempore crucis illusum, coronamque gemmis distinctam, spinis et curis exasperatam, putansque tuum sceptrum et omnem speciem esse fragilem et inanem arundinem; purpuram ob quam valde extolleris, alienum esse bonum ex sanguine manans; eam enim milites tibi circumdant. Genuflexiones quibus honoraris et acclamationes existima plerasque fictitias, et ab illis qui caput illum non modo libenter verberarent, sed et amputarent. Hæc documenta discas, **465** cum crucem adoras. Oportet enim ut et ludicra sint nobis in Christo seria; ut undique erudiendi nosmetipsos occasionem habeamus.

C

19. Miles es? Accipe armaturam bonæ voluntatis, *ut fugias a facie arcus* [40], sive ejus qui intelligentia conspicitur, et intelligentiam nostram petit, objectuque et repræsentatione rerum sensibilium omnes illos, qui muniti non sunt, vulnerat; sive ejus, qui oculis cernitur, et id, quod sub aspectum cadit, ferit et destruit. Si fortunarum copiis abundas, admitte admonitionem crucis, quæ tuum Magistrum cruci suffixum ostendit nudum, et cujus videri cupis sectator et discipulus, ejusdem vestigiis insiste, et tuam tolle crucem, omnibus relictis. Paupertati et calamitati consolatio prope est: ipsum enim paupertatis pondus crux est involuntaria.

D

[35] Galat. v, 24. [36] Gal. II, 20. [37] Matth. xvi, 24. [38] I Cor. I, 18. [39] Psal. cix, 1. [40] Psal. lix, 6.

Variæ lectiones et notæ.

(4) Textus editus habet πρόσεχε, sed mendose, ut patet ex versione Latina.

(5) Ita legendum puto per interrogationem; unde vertendum videtur, *Paupertate affligeris? Prope est consolatio.*

Digitized by Google

Coactus est et ille, sed fac, ut bonum tibi sit voluntarium, ut et copiosiorem mercedem afferat. Hoc autem præstabis, si nihil improbe ob inopiam feceris, sique cum gratiarum actione ærumnam illam tuleris. Quid operæ et studii non suscipis et impendis ob breve fugaxque temporis spatium prorogandum, ut membra hydrope turgida et prægravata graciliora et leviora fiant? Jam hinc ergo expeditior effectus es, et liberatus e pecuniarum hydrope: ne igitur animo dejiciaris, si corpore tenui sanus vivas; neque beatum prædices inanem tumorem, qui in corpore divitis conspicitur, ne videaris mentis itidem inops esse.

A ποίησον, ἵν' ᾖ σοι καὶ μᾶλλον ἔμμισθον. Ποιήσαις δ' ἄν, εἰ μηδὲν ἀνάσχῃ τῶν φαύλων διὰ πενίαν, εἰ φέρεις εὐχαρίστως τὴν στένωσιν. Ὅσα γὰρ ἂν ἕκαμες καὶ ἀνάλωσας ἀγῶνος δρομικοῦ προκειμένου, ἵνα σοι τὰ ὑδρωπιῶντα μέλη καὶ βαρυνόμενα τακερώτερα ὀφθῇ καὶ ἐλαφρότερα; Νῦν αὐτόθεν εἶ κοῦφος, τοῦ τῶν χρημάτων ἐλεύθερος ὕδρωπος. Μὴ τοίνυν ἀθυμῇς [*f.* -μήσῃς] ὑγιαίνων ἐν ἰσχνότητι σώματος, μηδὲ μακαρίσῃς τὸ ἀνὰ σάρκα τοῦ πλουσίου διάκενον ὄγκωμα, ἵνα μὴ φανῇς καὶ τὸν νοῦν πενόμενος.

20. Porro fama quoque et gloria claros crux instruit, cohortans, ut respiciant ad gloriæ Dominum, quem principes hujus sæculi crucifixerunt, B amore falsæ gloriæ, non ferentes veram operum illius gloriam; utque timeant illorum sortem et exitum, ne forte et ipsi Christum propter gloriam mundanam interficiant: ea de causa monentur, ut a solo Deo gloriam quærant; et hac imaginem Unigeniti gloriæ contegant et coronent et forment, facti filii Dei per opera lucentes et splendentes in gloriam cœlestis Patris. Num doles si sis inglorius, neque animo æquo ferre potes, ut a proximo tuo vincaris? Cur non intueris in Crucifixum, et in ignominias quas pertulit, et sputa, et colaphos, et in opinionem, quam de illo, ut de seductore, conceperunt, discisque præclarum quiddam et divinum esse, contemptui et ludibrio in hoc mundo haberi; C utque deinceps regnaturus surrexerit decorem indutus, et ut in gloria assumptus sit, et collocatus in dextra throni majestatis, et ut in gloria venturus sit, et *ut omne genu cœlestium, terrestrium et infernorum sese sit inflexurum, et ut* 466 *omnis lingua confessura sit*, [61] *quoniam Dominus Jesus Christus in gloria est Dei Patris.*

κ'. Παιδαγωγήσει καὶ τοὺς ἐν δόξῃ λαμπροὺς ὁ σταυρὸς, πείσας ἀποβλέψαι πρὸς τὸν τῆς δόξης Κύριον· ὃν οἱ ἄρχοντες τούτου τοῦ αἰῶνος ἐσταύρωσαν, ἔρωτι τῆς ψευδούσης δόξης τὴν ἀληθῆ τῶν ἔργων ἐκείνου δόξαν οὐ φέροντες, καὶ φοβηθῆναι τὴν ἐκείνων μερίδα, μὴ λάθωτι καὶ αὐτοὶ Χριστὸν διὰ δόξαν ἐγκόσμιον ἀποκτείναντες, καὶ διὰ τοῦτο τὴν παρὰ τοῦ μόνου Θεοῦ δόξαν ἐπιζητῆσαι, καὶ ταύτῃ περισταλῆναι, καὶ στεφανωθῆναι, καὶ μορφωθῆναι τὴν εἰκόνα τῆς τοῦ Μονογενοῦς δόξης, υἱοὺς Θεοῦ διὰ τῶν ἔργων καὶ γινομένους, καὶ φαινομένους, καὶ λάμποντας εἰς δόξαν τοῦ οὐρανίου Πατρός. Ἀλγεῖς καὶ σὺ ἀδοξῶν, καὶ οὐ φέρεις τῷ γείτονι παρευημερούμενος; Τί δέ; οὐχ ὁρᾷς τὸν σταυρωθέντα, καὶ τὰς ἐκείνου ἀτιμίας, καὶ τὰ ἐμπτύσματα, καὶ τὰ ῥαπίσματα, καὶ τὴν ὡς περὶ πλάνου ὑπόληψιν, καὶ ἐπιγινώσκεις Δεσποτικόν τι καὶ θεῖον τὸ ἐν τῷ κόσμῳ ἄτιμον καὶ κατάπτυστον, εἶτα ὡς ἀνέστη βασιλεύσας, καὶ εὐπρέπειαν ἐνδυσάμενος, καὶ ἀνελήφθη ἐν δόξῃ, καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης, καὶ ὡς ἥξει ἐν δόξῃ, καὶ *πᾶν γόνυ κάμψει αὐτῷ, ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός;*

21. Num animi tranquillitate et jucunditate frueris? Respiciens in crucem, cogita humanam imbecillitatem, quæ nequit sine lapsu et casu tranquillitatis et remissionis cursu uti; et ut effusio et hilaritudo nostra in paradiso mortem pepererit, cujus causa immortalis mortuus est. Hæc reputans animo contrahere, et cohorresce ob mysterium tui causa peractum, ne forte nimium effusus infructuosam tibi reddas Dominicam mortem; et ne quando conquerens is, qui in te corrumpitur, Jesus dicat: [62] *Quæ utilitas in sanguine meo, si descendero in corruptionem?* Tristaris? Revoca in memoriam bona supernæ Jerusalem; quibus per crucem dignus es effectus, et memor esto Dei, et exsulta, ad quem non longo post tempore venies, apparitus conspectui ejus, [63] *et transibis in loco tabernaculi admirabilis, in voce exsultationis et confessionis, sonus epulantium;* et hanc mundi tristitiam, velut immundum cimicem, aut fuliginem ex fumo excute. Increpa partem animæ passionibus et perturbationibus obnoxiam. [64] *Quare tristis es, anima mea, et*

κα'. Ἐν εὐθυμίᾳ καὶ ἀνέσει διάγεις; Ἰδὼν τὸν σταυρὸν, ἀναλόγισαι τὴν ἀνθρωπίνην ἀσθένειαν, σὺ δυναμένην ἄνευ ὀλίσθου καὶ πτώματος τῷ δρόμῳ τῆς ἀνέσεως χρήσασθαι· καὶ ὡς ἡ ἐν παραδείσῳ ἡμῶν διάχυσις τὴν ἁμαρτίαν ἐγέννησε, δι' ἣν ὁ ἀθάνατος τεθανάτωται· καὶ ἀναλογιζόμενος ταῦτα, συστάληθι, καὶ φρίξον τὸ ἐπὶ σοὶ μυστήριον· μήπως διαχυθεὶς D ἄχρηστον σαυτῷ κατασκευάσῃς τὸν Δεσποτικὸν θάνατον, καί που σχετλιάζων ἐρεῖ ὁ ἐν σοὶ διαφθειρόμενος Ἰησοῦς· *Τίς ὠφέλεια ἐν τῷ αἵματί μου ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν;* Ἀθυμεῖς; Ἐννόησον τὰ τῆς ἄνω Ἱερουσαλὴμ ἀγαθὰ ὧν διὰ τοῦ σταυροῦ κατηξίωσαι, καὶ μνήσθητι τοῦ Θεοῦ καὶ εὐφράνθητι, πρὸς ὃν μικρὸν ὅσον καὶ ἥξεις τῷ προσώπῳ αὐτοῦ ὀφθησόμενος, *καὶ διελεύσῃ ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορταζόντων.* Καὶ τὴν κατὰ κόσμον λύπην, ὡς κόνιν ῥυπαρὰν, ἢ ἐκ καπνοῦ λιγνὺν ἀποτίναξον. Ἐπιτίμησον τῷ παθητικῷ σου τῆς ψυχῆς μέρει· *Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου; καὶ ἵνα τί συνταράσσεις με;* Καὶ μὴ ἐπιτιμήσῃς

[61] Philipp. II, 11. [62] Psal. XXIX, 10. [63] Psal. XLI, 5. [64] Psal. XLII, 5.

Digitized by Google

μόνον, ἀλλὰ καὶ δίδαξον ἐλπίσαι ἐπὶ Θεόν· ἐλπὶς γὰρ θειοτέρα, λύπης ἀντίπαλος. Εἰ δὲ δεῖ τι καὶ ἀθυμῆσαι, λυπήθητι, ὅτι ἐπὶ τοῖς ματαίοις ἠθύμεις, καὶ ἐπ' ἀδελφοῖς συντριβομένοις ἐπίδειξαι τὴν συμπάθειαν.

κβ'. Γενοῦ Ἱερεμίας, ἢ Παῦλος; δάκρυσιν τοὺς τῇ ἁμαρτίᾳ τραυματισθέντας, τοὺς ἐχθροὺς τοῦ σταυροῦ. Στέναξον ἐπὶ τοῖς ἀπολλυμένοις ἐν Ἱερουσαλὴμ, καὶ τῇ καθ' ἡμᾶς ἐπὶ γῆς Ἐκκλησίᾳ, ἵνα καὶ τὸ σημεῖον ὃ προσκυνεῖς ἐπὶ τοῦ μετώπου σοι τεθῇ. Τοῦ γὰρ σταυροῦ τὸ φιλάνθρωπον ἠγνωμονήσθη [*f.* -νήθη] παρὰ τῶν εὐεργετηθέντων· καὶ τί τηλικοῦτον εὐεργετήσας, τηλικοῦτον ἀντέπαθες, ἡλίκα Χριστὸς καὶ εὖ ἐποίησε καὶ κεκάκωται; Ἀλλ' ὅμως καὶ συγγνώμην ἐζήτησε τοῖς τὰ φρικτὰ ἐκεῖνα κατ' αὐτοῦ καὶ μελετήσασι καὶ τελέσασιν· Ἄφες *αὐτοῖς, Πάτερ*, λέγων, *τὴν ἁμαρτίαν ταύτην*, καὶ τὸ πρὸς συγγνώμην ἐπαγωγότερον ἐπάγων τὴν ἄγνοιαν. Αὐτὸ τοῦτο ἱερεὺς ὑπὲρ τῶν τοῦ λαοῦ ἀγνοημάτων ἱστάμενος, ἢ ἱερευόμενος.

κγ'. Τί δαὶ ἡμεῖς οἱ τοῦ βήματος; Ἆρα μικρά τινα τῷ σταυρῷ διδασκόμεθα; Ἢ τοσούτῳ κρείττω καὶ τελεώτερα, ὅσῳ καὶ Χριστοῦ ἐσμεν μίμημα, καὶ τοῦ λαοῦ ἑκάστοτε προθυόμεθα, τὴν τελείαν ἐκείνην θυσίαν καὶ ἅπαξ τελεσθεῖσαν καινίζοντες, καὶ τῷ σταυρῷ πρὸς ἅπαντα χρώμενοι, καὶ τὸν λαὸν τοῦτον σημειοῦντες καὶ ἁγιάζοντες; Φοβηθῶμεν οὖν, μὴ τοὺς ἄλλους τῇ ἀνεπιβουλεύτῳ ταύτῃ [*f.* ταύτῃ] σφραγῖδι σφραγίζειν ἐπαγγελλόμενοι, αὐτοὶ φανῶμεν ἐυεπιβούλευτοι ὡς ἀσφράγιστοι, καὶ μηδὲν ἐσταυρωμένου βίου σημεῖον φέροντες. Μοναχοῖς δὲ καὶ σύστοιχος ὁ σταυρός· ὅλος γὰρ αὐτοῖς ὁ βίος κόπωσίς τε καὶ νέκρωσις, καὶ πένθος μακαριζόμενον, καὶ ἀτιμία, καὶ ὑφοῦσα ὑπόπτωσις, καὶ ὅσα ἄλλα τοιαῦτα τῷ σταυρῷ συνεμφαίνεται. Οὔκουν ἀλλότριον ἀγαθὸν, ἀλλὰ τὸν σὸν ἐγκολπίζῃ θησαυρὸν, ὦ μονάζων, ὃν μὴ ἀνάσχῃ ἄλλους ἰδεῖν προαρπάζοντας· μηδὲ, ὁ τοῦ λαοῦ σὺ καὶ τῆς ἀφελείας, πόρρω στῇς τοῦ σταυροῦ· καὶ ὑπὲρ σοῦ γὰρ ὥσπερ ἐπάγη, καὶ πρόκειται. Ἐμφορήθητι τούτου· μηδὲν ἄλλο περιεργάσῃ· μὴ κρίνῃς εἰδέναι τι πλέον, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον· καὶ κοιταζόμενος, καὶ ἀνιστάμενος, καὶ καθεζόμενος, καὶ ἐγειρόμενος, καὶ ἐνεργῶν τι, καὶ ἠρεμῶν, καὶ ὁδοῦ ἀρχόμενος, καὶ καταλύων, καὶ βρωμάτων γευόμενος, καὶ παυόμενος, τούτῳ σεαυτὸν περίφραττε. Ἂν οὕτω ποιῇς, *οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ*. Πάντων γὰρ τούτων τὸ τοῦ σταυροῦ σημεῖον λυτήριον, καὶ οὐδὲν οὕτως ὡς τοῦτο δαίμοσιν ἀντιπαθὲς φάρμακον. Ἅπαξ γὰρ ἐκ τούτου συντριβέντες δεδοίκασι· καὶ λίαν ἀναισχυντοῦντες, ὅμως πρὸς τὴν τούτου δύναμιν ἀντιβλέπειν οὐκ ἔχουσι, καὶ διὰ τοῦτο φυγὴ μόνη τούτοις ἀσφάλεια.

A *quare conturbas me?* Neque solum increpa, sed et in Deo sperare doce. Nam spes divina tristitiæ debellatrix est. Quod si quæ tristitia suscipienda est, tristare, quod ob vanas res tristatus fueris, et erga fratres contritos et affectos exprome tuam compatiendi charitatem.

22. Esto Jeremias aut Paulus lacrymis prosequens omnes illos, quos peccatum vulneravit, inimicos crucis [45]. Lamentare illos, qui pereunt in Jerusalem, et in hac nostra in terris agente Ecclesia, et ut signum, quod adoras, in fronte tua ponatur. Benevolentiæ crucis dignas gratias non egerunt, qui beneficium illud acceperunt: quid enim reddidisti, aut pertulisti simile iis, quæ Christus tibi tribuit et pro te pertulit? Nihilominus B veniam quoque impetrare studuit illis, qui horribilia illa adversus ipsum et cogitarunt et perpetrarunt. [46] *Dimitte eis, Pater*, inquit, *hoc peccatum*; adducitque ignorantiam, quæ ad veniæ impetrationem facile permovere consuevit; hoc videlicet facit sacerdos, qui pro ignorantiis populi astat et offertur.

23. Quid vero nos qui cathedram tenemus? Num exigua quædam crux nos docet? An tanto meliora et perfectiora, quanto propius ad imitationem Christi accedimus, et pro populo semper sacrificamus, perfectum illud sacrificium et semel consummatum renovantes, qui ad omnia cruce utimur, eaque populum hunc signamus et sanctificamus? Timeamus itaque, ne alios hoc signo C ab omnibus insidiis immuni munire promittentes, videamur insidiis expositi, tanquam signaculi 467 expertes, nullumque crucifixæ vitæ signum circumferentes. Monachis vero crux omnino cognata et familiaris est, quorum tota vita afflictio est et mortificatio, et luctus beatus, et ignominia, et subjectio exaltare solita, et id genus alia quæ crucem comitantur. Non igitur alienum bonum, sed thesaurum tuum in sinum reconde, o monache, neque patiaris, ut eum alii tibi præripiant. Neque tu, qui ex populo es et ex simpliciorum multitudine, procul stes a cruce: nam et pro te fixa ista et proposita est. Implearis ista, neque aliud quid curiose curaveris; ne arbitreris plus scire, quam D Jesum Christum et hunc crucifixum [47]; et cubitum pergens, et ex lecto exsurgens, et sedens, et excitatus, et operans aliquid, et quiescens, et viam ingrediens, et aliquo divertens, cibumque sumens, et post cibum hoc signo te communi. Si ita egeris, [48] *non timebis a timore nocturno, a negotio perambulante in tenebris, ab incursu, et dæmonio meridiano*. Omnia enim ista dissipat crucis signum, nec ullum tam efficax remedium est propulsandis dæmonibus, atque hoc. Semel enim cruce contriti, metuunt; et quamvis valde sint impudentes, nihilominus ad ejus virtutem respicere non audent. Quocirca in sola fuga præsidium ponunt.

[45] Ezech. II, 9. [46] Luc. XXIII, 34. [47] I Cor. II, 2. [48] Psal. XC, 5.

Digitized by Google

24. Advocat crux Christi etiam publicanos. Quis A scit, num Christum hospitio excepturi sint, omnesque divitias in convivium illud consumpturi, ita ut ipsi videantur Christi Evangelium, in semetipsis ostendentes miracula, crucisque potentiam et virtutem annuntiantes? Accede ad eam, quæ te impensius amat. Etiam latro ad crucem advenit: consuevit enim et latronibus benefacere. Ac Regem omnium et tuum Crucifixum confitere et constitue, et audies jucundissimam illam vocem: *Hodie mecum eris in paradiso*[49]. O benignitatem, o gratiam! Quot annorum piacula una pœnitentiæ et confessionis vox expiavit! Quis de se spem abjiciet, cum latronem videt salutem adeptum, et in paradisum cum eo qui vocaverat, quasi vi ingressum esse? B

25. Omnes adoremus et procidamus, non modo corpore inclinati, sed et ante omnia genibus cordis, servitutemque nostram exsecutione mandatorum Domini, et non tantum corporis dejectione consignemus. Hunc enim habitum Judæi quoque exprimebant; sed hanc Isaiæ vocem audierunt[50]: *Populus iste labiis me honorat, cor autem illorum longe est a me.* Et Salvator noster ingressum in regnum cœlorum non promittit ei, qui ipsum Dominum nominat, sed ei qui **468** opera ejus facit. Nos autem etiam aliquid obstrusius ex genuflexione discamus: quoties inflectimur et resurgimus, mortem Domini et resurrectionem in mentem revocamus: et propter hanc ipsi etiam peccato mortui, et justitiæ exorti, occumbimus illi, quod deterius est, et resuscitamur ei, quod melius est, juxta prophetiam, quam Simeon de Christo edidit. Rursus regnum cœlorum apertum est, et nunc intra nos exsistit, quando perturbationum, beneficio crucis, domini sumus: et tum demum revelabitur, cum venerit cruce comitatus Judex, redditurus illud omnibus, qui per opera a se præstita id sibi præpararunt, vel qui hinc ad illud præparati sunt. C

26. Omnibus cœna parata est, et nunc quidem illa, quæ in hac mystica mensa perficitur, ad quam crux ducit, quæ Pascha nostrum et est, et vere prædicatur; postea vero illa altera, quæ in cœlesti altari peragetur, de qua comedendi potestatem non habent, qui tabernaculo huic et mundo transeunti deserviunt[51]: quæ cœna perfectissimum et maxime divinum Pascha est. Regnum propositum est: et quomodo non miserabilis, qui ab eo excluditur? Cœna præparata est tauris et altilibus instructa; et quis non properabit, ut ea perfruatur? Num abstrahent nos deceptores et impostores, ut D

κδ'. Προσκαλεῖται καὶ τελώνας ὁ σταυρὸς τοῦ Χριστοῦ. Τίς οἶδεν, εἰ τὸν Κύριον ἑστιάσουσι, τὸν πλοῦτον πάντα καταναλώσαντες ἐπὶ τὴν ἑστίασιν, καὶ φανῶσιν αὐτοὶ Χριστοῦ Εὐαγγέλιον, ἐν ἑαυτοῖς δεικνύντες τὰ θαύματα, καὶ τὴν τοῦ σταυροῦ δύναμιν καὶ ἐνέργειαν ἀπαγγέλλοντες; Ἐρῶντι φιλανθρωπότερον πρόσιθι· καὶ λῃστὴς προσήκει (6) τι τῷ σταυρῷ· ἐθός [*f.* ἐθάς] ἐστι καὶ οὗτος τοὺς λῃστὰς εὐεργετεῖν· βασιλέα τε πάντων καὶ σαυτοῦ τὸν σταυρωθέντα καὶ ὁμολόγησον, καὶ ποίησον, καὶ ἀκούσεις τὴν φιλάνθρωπον ἐκείνην φωνήν· *Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.* Ὦ τῆς χρηστότητος! ὦ τῆς χάριτος! Πόσων ἐτῶν ἐμ..... καὶ λύθρους μία φωνὴ μεταμελείας καὶ ὁμολογίας ἐκάθηρε! Τίς ἑαυτοῦ ἀπογνώσεται, λῃστὴν ὁρῶν σωζόμενον, καὶ πρὸς τὸν παράδεισον μετὰ τοῦ καλοῦντος εἰσβιαζόμενον;

κε'. Πάντες προσκυνήσωμεν, καὶ προσπέσωμεν, μὴ τὸ σῶμα κλιθέντες μόνον, ἀλλὰ καὶ τὸ γόνυ τῆς καρδίας πρὸ τούτου, καὶ τὴν δούλωσιν τῇ ἐργασίᾳ τῶν Δεσποτικῶν ἐντολῶν, μὴ μόνον τῇ ὑποπτώσει χαρακτηρίζοντες. Τοῦτο γὰρ καὶ Ἰουδαῖοι ἐπεμορφώζοντο [*f.* ἐπεμορφάζ.], ἀλλ' ἤκουον Ἡσαΐου πρὸς αὐτοὺς διαγγέλλοντος· *Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ.* Καὶ ὁ Σωτὴρ οὐ τῷ λέγοντι αὐτὸν Κύριον, ἀλλὰ τῷ τὰ ἔργα αὐτοῦ ποιοῦντι τὴν βασιλείας εἴσοδον δίδωσιν. Ἡμεῖς δὲ καί τι μυστικώτερον ἐκ τῆς τῶν γονάτων κλίσεως μάθωμεν· ὁσάκις κλινόμεθά τε καὶ ἀνιστάμεθα, τὴν τοῦ Κυρίου νέκρωσιν καὶ ἀνάστασιν ἐννοούμενοι, καὶ διὰ ταύτης καὶ αὐτοὶ τῇ ἁμαρτίᾳ νεκρούμενοι, καὶ τῇ δικαιοσύνῃ ἐξανιστάμενοι, πίπτοντες τῷ χείρονι, καὶ τῷ κρείττονι ἐγειρόμενοι, κατὰ τὴν μεγάλην προφητείαν τοῦ Συμεών, ἣν ἐπὶ Χριστῷ ἀπεθέσπισε. Πάλιν ἡ τῶν οὐρανῶν βασιλεία ἤνοικται, καὶ νῦν ἐντὸς ἡμῶν οὖσα, ὅταν τῶν παθῶν διὰ τοῦ σταυροῦ βασιλεύωμεν, καὶ ὕστερον τότε ἀποκαλυφθησομένη, ὅταν ὁ μετὰ τοῦ σταυροῦ ἥκῃ κριτής, ἀποδώσων ταύτην τοῖς διὰ τῶν ἐν αὐτοῖς [αὐτῇ?] κειμένων ἔργων ταύτην ἑαυτοῖς ἑτοιμάσασιν, ἢ πρὸς αὐτὴν ἐντεῦθεν ἡτοιμασμένοις.

κς'. Πᾶσιν ὁ δεῖπνος ἡτοίμασται, καὶ ὁ νῦν ἐν τῇ μυστικῇ ταύτῃ τραπέζῃ τελούμενος, πρὸς ὃν ὁ σταυρὸς φέρει Πάσχα, καὶ ὄντα, καὶ κηρυττόμενον, καὶ ὁ ὕστερον ἐν τῷ οὐρανίῳ θυσιαστηρίῳ τελεσθησόμενος, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ καὶ τῷ παράγοντι κόσμῳ τούτῳ λατρεύοντες· ὃν δὴ τελειώτερον Πάσχα καὶ μυστικώτερον οἴδαμεν. Βασιλεία πρόκειται, καὶ πῶς οὐκ ἄθλιος ὁ ἀπολειπόμενος; Δεῖπνος παρεσκεύασται, ταύροις καὶ σιτιστοῖς ἀβρυνόμενος, καὶ τίς οὐ δραμεῖται πρὸς τὴν ἀπόλαυσιν; Ἀλλ' ἀντιπερισπῶσιν ἡμᾶς οἱ ἀπατῶντες, ὥσπερ τοὺς ἐν Εὐαγγελίῳ κληθέντας. Καὶ τί

[49] Luc. xxiii, 43. [50] Isa. xxix, 13. [51] Hebr. xiii, 10.

Variæ lectiones et notæ.

(6) Cod. Cæsareo-Vindob. habet προσήκεις, quam lectionem veram puto: ex sequentibus enim constat, sermonem hic ad latronem dirigi. Sic igitur locum hunc vertendum putarem: *Accede ad eam, quæ te impensius amat, etiam tu latro; nam tu quoque nonnihil ad crucem pertines: consuevit enim illa etiam latronibus benefacere. At Regem omnium et tuum Crucifixum confitere*, etc.

Digitized by Google

τοῦτο; Οὐ πόρρω ἡμῶν ὁ σύμμαχος. Τῷ σταυρῷ τούτους ἀποσεισώμεθα· τῇ νηστείᾳ τὴν ὄρεξιν ἐπιτείνωμεν· τὰς χεῖρας νιψώμεθα ἐν τῷ αἵματι τῆς σφαγῆς τοῦ ἁμαρτωλοῦ καὶ σαρκίνου φρονήματος, καὶ τοῦ Κυρίου κατατρυφήσωμεν, χορταζόμενοι ἐν τῷ ὀφθῆναι ἡμῖν τὴν δόξαν αὐτοῦ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A illos, qui in Evangelio vocati sunt? Et quid hoc? Non procul abest adjutrix. Cruce hos abigamus, jejunio appetentiam intendamus, manusque lavemus in sanguine trucidati peccatoris, et carnalis spiritus, et in Domino delicias nostras positas esse existimemus, satiati, cum [88] apparuerit gloria ejus nunc, et semper, et in sæcula sæculorum. Amen.

[88] I Joan. II, 28.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ

ΚΥΡΙΟΥ ΘΕΟΦΥΛΑΚΤΟΥ

ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΕΟΡΤΗΝ

ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ

Ὅτε προσηνέχθη τῷ ναῷ παρὰ τῶν γεννητόρων αὐτῆς.

—

SAPIENTISSIMI ARCHIEPISCOPI BULGARIÆ

DOMINI THEOPHYLACTI

ORATIO IN FESTUM

SANCTISSIMÆ DOMINÆ NOSTRÆ DEI GENITRICIS

Quando a suis parentibus in templum adducta est (1).

Interprete Bonifacio Finetti ord. Prædicatorum.

—

α'. Καὶ μνήμη μὲν δικαίου μετ' ἐγκωμίων γενομένη πολλάκις ἤλεγξε τὸν ἐγκωμιάζοντα, μακρὰν τῆς ἀξίας πίπτοντα· οὐ γὰρ ἀεὶ, οὐδὲ ἐπὶ πάντων ὁ λόγος ἐξισοῦται τοῖς πράγμασι· τῆς δὲ παντὸς μὲν δικαίου Δεσποίνης, Θεοῦ δὲ *τοῦ βασιλέως τῆς δικαιοσύνης* Μητρὸς, πῶς ἂν μετ' ἐγκωμίων τὴν μνήμην θέσθαι προθέμενοι, λόγον εὕροιμι [1] μικρῷ γοῦν τινι μέρει τῆς ἀξίας ἁπτόμενον [2]; Οἶμαι γὰρ, εἴ τινές εἰσιν ἀγγέλων λόγοι, μυστηρίων τῷ ὄντι ἄγγελοι, μηδὲ τούτους ἂν ἐφικέσθαι τῶν χαρίτων τῆς Θεομήτορος. Ἧς γὰρ ἡ ἁγιωσύνη τὴν κτίσιν πᾶσαν [3] ἐκβέβηκεν, οὐκ ἂν λόγος κτίσματος ταύτην ἀξίως ὑμνῆσαι δύναιτο. Ἆρ' οὖν παντελῶς ἀποσιωπήσομεν, καὶ τὴν τοῦ Λόγου Μητέρα, καὶ τῆς κατὰ λόγον ζωῆς ἡμῖν πρόξενον, ἀλόγως; οὕτως παρέλθοιμεν [4];

B 1. Cum sæpe contingat, ut ii etiam qui unius tantummodo justi memoriam laudibus exornare suscipiunt, procul ab ipsius dignitate prolapsi deprehendantur; non enim semper thematis nobilitati orationis magnitudo respondet: qui fiat, ut nos dum justorum omnium Reginæ, ac *Regis justitiæ* Matris memoriam celebrare aggredimur, verba, quæ vel modicam dignitatis ejus partem attingant, invenire valeamus? [89] Puto enim, neque angelos ipsos (siquidem aliqui sunt et angelorum sermones, divinorum mysteriorum vere nuntii) ad Dei Genitricis prærogativas explicandas idoneos fore. Cujus enim sanctitas universam creaturam transcendit, eam creatus sermo laudare pro dignitate non potest. Quid igitur? Anne omnino silebimus? ac

[89] I Cor. XIII, 1.

Variæ lectiones codicis Oxon.

[1] Cod. Oxon. εὕροιμεν. [2] μικροῦ γοῦν τινος τῆς ἀξίας ἁπτόμενον μέρους. [3] τὴν κτιστὴν πᾶσαν φύσιν. [4] παρέλθωμεν.

(1) Textus Græcus nunc primum prodit ex codice Regio Parisiensi. Variæ lectiones ac correctiones, ad calcem paginarum positæ, desumptæ sunt ex codice Oxoniensi. *Editor Venetus.* — Vide Præfationem, num. XIV. (tomi superioris col. 425.)

Digitized by Google

Verbi (divini) Matrem, et ejus, quæ secundum ra- tionem est, **470** vitæ conciliatricem, absque verbo præteribimus? Vel potius juxta vires nostras loquemur, eamque *beatam*, prout ipsa prædixit, *dicentes*, *magna*, quæ illi Deus *fecit* [84], quantum per nos fieri potest, religiose venerabimur, sive diligenter perscrutabimur? imo eorum, quæ capere non possumus, magnitudinem prædicantes, eadem magis vel ipsa enarrandi impotentia glorificabimus; ac simul et loquentium linguæ, et audientium aures quidpiam sanctitatis participabunt.

A ἢ τὸ κατὰ δύναμιν εἰπόντες, καὶ *μακαρίσαντες* αὐτὴν κατὰ [5] πρὸ εἶπεν [*f.* προεῖπεν], ὡς ἔνεστι τὰ *ποιηθέντα* αὐτῇ *μεγαλεῖα* σεβασθησόμεθα [6]; μᾶλλον δὲ καὶ ταῦτα τῷ ἀνεκδιηγήτῳ δοξάσομεν, τὸ μέγεθος κηρύττοντες, οἷς μὴ καταλαμβάνομεν. Ἅμα γάρ τι καὶ ἁγιασθησόμεθα, καὶ γλῶτταν οἱ λέγοντες, καὶ ἀκοὴν οἱ ἀκούοντες.

2. Male quidem se habebat humana natura; ac a Deo semel avulsa, velut lapis e montis vertice ruens, præceps ferebatur, confracta multisque opinionibus atque sententiis miserrime discerpta. Siquidem deceptio, facto a muliere initio, universum genus humanum, nequidem parti ejus firmiori ullatenus parcens, infeliciter depascebat. Quid ergo? Magnus nostri Opifex sese et Provisorem demonstrare voluit, suaque providentia creationi abs se factæ fidem astruxit, ac sapientiam suæ circa res creatas gubernationis quasi creatricis potentiæ testem ac præconem constituit. Oportet enim auctorem effecti sui curam gerere, si velit ipsum diu subsistere, et non statim ac compactum fuerit, dissolvi: alioquin et rationis et artis expers foret ille, ac vere puer, qui arena ludit, sed magis opere ipse suo illuditur.

β'. Εἶχε μὲν ἡ ἀνθρωπίνη φύσις κακῶς, καὶ ἄπαξ ἀποσπαθεῖσα [7] Θεοῦ, οἷά τις λίθος ἐξ ἀκρωρείας ἐφέρετο θραυομένη, καὶ διασπειρομένη πρὸς πολλὰς δόξας καὶ γνώμας, καὶ φθειρομένη διὰ ταῦτα ἐλεεινῶς. Καὶ ἀπὸ γυναικὸς λαβοῦσα ἀρχὴν ἡ ἀπάτη, ἅπαν τὸ γένος ἐνέμετο, μηδὲ τοῦ στερροτέρου φεισαμένη μέρους τῆς φύσεως. Τί γοῦν; Ὁ μέγας ἡμῶν Ποιητὴς καὶ Προνοητὴς ἀναδείκνυται, καὶ πιστοῦται τῇ προνοίᾳ τὴν ποίησιν, καὶ τὴν σοφίαν τῆς περὶ τὰ κτίσματα διοικήσεως, τῆς περὶ τὸ κτίσαι δυνάμεως προβάλλεται κήρυκα. Δεῖ γὰρ τὸ ποιῆσαν προνοεῖσθαι του ποιηθέντος, εἴ γε μακροτέραν αὐτῷ τὴν σύστασιν εἶναι βούλοιτο, καὶ μὴ ἅμα τὸ [*f.* τῷ] παγῆναι τὴν λύσιν λαβεῖν· ἢ [8] οὕτως γε, ἄλογος ἂν εἴη κτίσις [9] καὶ ἄτεχνος, παῖς ἀληθῶς, καὶ ψάμμους [10] παίζων, τῷ κτίζειν καὶ πλέον παιζόμενος.

3. Conditor igitur noster haudquaquam nos cura atque providentia destitutos reliquit, sed olim et colloquiis et apparitionibus identidem commonefecit et ad rectum incitavit, et per somnia instruxit, et omnis generis beneficiis cumulavit, ac legem in auxilium dedit: quandoque etiam asperitatibus coercuit, pœnisque gravioribus perstrinxit quo quidquid in nobis carnale, superfluum ac Spiritui inimicum erat, expungeretur. Quid demum non fecit? aut quam industriam prætermisit? Verum, ut hæc omnia socordia nostra inutilia reddi, nosque plagis a capite ad calcem a diris latronibus affectos, jam neque *oleum*, neque *alligaturam* ex lege et prophetis admittere [85], sed iis obsistere, et ob *regnans* in carne nostra *peccatum* boni operandi impotentes esse animadvertit; tunc demum *viscera misericordiæ* [86] suæ eum compulerunt, ut ipse *in carnis similitudinem fieret*, *ut damnans in carne peccatum* [87], et unus pro omnibus moriens, universæ naturæ nostræ victoriæ decus et fructum afferret. At cum *regnaret mors* per peccatum velut satellitio munita atque firmata, indeque magnam in nos, qui *in iniquitatibus concipimur et in peccatis parimur* [88], potestatem exerceret (unde et naturæ necessitas erat, ut quicunque nascerentur, ildem corrumperentur), **471** idcirco oportebat, ut et conceptio nostra et nativitas sanctificarentur; sicque mortis torrens, qui per vallem generationis in peccatores fluit, cohiberetur ac sisteretur.

γ'. Οὔκουν ἀπρονοήτους ἡμᾶς ὁ Κτίστης κατέλιπεν· ἀλλὰ καὶ ὁμιλίαις καὶ ἐπιφανείαις συνετίζων καὶ συμβιβάζων, καὶ ἐνυπνίοις σοφίζων, καὶ παντοίως εὐεργετῶν, καὶ νόμον διδοὺς εἰς βοήθειαν, ἤδη δὲ καὶ τοῖς αὐστηροτέροις στύφων, καὶ τοῖς βαρυτέροις πιέζων, ἵν' ἐκτακείη πᾶν ὅσον σαρκῶδες καὶ περιττὸν καὶ ἀκατοίκητον Πνεύματος [11], καὶ τί γὰρ οὐ ποιῶν, τί δὲ οὐκ ἐπιτεχνώμενος; Ἐπεὶ πάντα τῆς ἡμετέρας ῥᾳθυμίας ἐώρα δεύτερα, καὶ ἀπὸ κεφαλῆς ἄχρι ποδῶν ὑπὸ τῶν πικρῶν πληγέντα [12] ληστῶν, οὔτε *ἔλαιον*, οὔτε *καταδέσμους*, παρά τε τοῦ νόμου καὶ τῶν προφητῶν ἐδεχόμεθα, ἀντιπαρερχομένων ἡμῶν καὶ ἀδυνατούντων διὰ τῆς *βασιλευούσης* ἐν τῇ σαρκὶ ἡμῶν *ἁμαρτίας*, αὐτὸς *ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας* [13] *γενέσθαι σπλάγχνοις χρηστότητος* ἐκδιάζεται, *ὡς ἂν κατακρίνας τὴν ἁμαρτίαν ἐν τῇ σαρκί*, καὶ εἷς ὑπὲρ πάντων ἀποθανών, πάσῃ τῇ φύσει τὴν νίκην χαρίσηται [14]. Ἐπεὶ δὲ *ἐβασίλευσε* μὲν *ὁ θάνατος*, ὑπὸ τῆς ἁμαρτίας δορυφορούμενός τε καὶ κρατυνόμενος, καὶ πολλὴν εἶχε καθ' ἡμῶν δυναστείαν, οἷα *ἐν ἀνομίαις συλλαμβανομένων*, *καὶ ἐν ἁμαρτίαις τικτομένων*, καὶ φύσεως ἦν ἀνάγκη τοὺς τικτομένους καὶ φθείρεσθαι· ἔδει διὰ ταῦτα ἁγιασθῆναι καὶ τὴν γέννησιν, καὶ στῆναι τὸν τοῦ θανάτου χειμάρρουν διὰ τῆς κοιλάδος τῆς τῶν ἁμαρτωλῶν γεννήσεως ῥέοντα, τῷ μεγάλῳ τῆς ἁγιωσύνης ἀνακοπέντα ἐρύματι.

[84] Luc. I, 28. [85] Luc. X, 34; Isa. I, 6. [86] Luc. I, 78. [87] Rom. VIII, 3. [88] Psal. L, 7.

Variæ lectiones codicis Oxon.

[5] καθὰ. [6] σεβασθησόμεθα, ἢ περιεργασόμεθα. [7] ἀποσπασθεῖσα. [8] ἢ εἰ μή. [9] κτίστης. [10] κατὰ ψάμμου. [11] Πνεύματι. [12] πληγέντες. [13] πλὴν ἁμαρτίας. [14] χαρίσεται.

Digitized by Google

δ'. Ἐπεὶ οὖν ταῦτα οὕτω, καὶ τὰς εἰς τὸν παρόντα βίον εἰσόδους[15] ἔδει πρώτως ἀπολαῦσαι τῆς χάριτος, ἵνα καὶ τὰ τέλη τούτοις ἐπακολουθήσῃ κατάλληλα· ἐκλέγεται καὶ ἡ πρὸς τὸν τόκον ὑπηρετήσουσα, πάσαις χαριτωθεῖσα ταῖς ἀρεταῖς, καὶ πάσης κτίσεως ὑπερέχουσα, φυλῆς μὲν οὖσα βασιλικῆς (ἐξ Ἰούδα γάρ), καὶ γονέων λαμπρῶν καὶ τὸ τοῦ τόκου μέρος, λαμπροτέρων δὲ καὶ[16] τὴν εὐσέβειαν, καρπὸς δὲ τούτοις ἀναφανεῖσα θεόσδοτος. Οἷα γὰρ δὴ τὰ τοῦ Θεοῦ κρίματα, ἀμεμπτοι μὲν ἐν πάσαις ταῖς ὁδοῖς αὐτῶν ἐπορεύοντο, ἐκινδύνευον δὲ μὴ διαδρᾶναι τὸ τῆς ἀτεκνίας ὄνειδος, εἴτε τὴν πίστιν αὐτῶν τοῦ Θεοῦ δοκιμάζοντος, ὥσπερ ἄρα καὶ τοῦ προπάτορος Ἀβραὰμ (φιλεῖ γὰρ ἀεὶ τοῖς δυνατωτέροις ἐπιτιθέναι τὰ βαρύτερα, ἵνα καὶ αὐτοὶ στεφανῶνται λαμπρότερον, καὶ τοῖς μετέπειτα παράκλησις γένωνται), εἴτε τι ἄλλο ἐν τούτοις δεικνύντος μυστικώτερον καὶ συμβολικώτερον. Πλὴν ἀλλ' ἐκεῖνοι τὰς καρδίας πῶς ἂν εἶποις ἐδάκνοντο, καὶ τῇ μνήμῃ τῆς ἀτεκνίας διεσπαράττοντο· καὶ μᾶλλον τὴν μακαρίαν Ἄνναν[17] (καὶ τί γὰρ ἡ γυνή; χρῆμα μαλακὸν, καὶ λύπαις εὐένδοτον, καὶ μάλιστα τῷ ζήλῳ ὑποκνιζόμενον) ἡ ῥομφαία τῆς ἀπαιδίας συνέκοπτε. Τί οὖν; Οὐ πρὸς ἰατροὺς καταφεύγουσιν, οὐ περιάπτοις δεσμοῦνται, οὐ πόμα[18] ζητοῦσι περὶ τὰς κυήσεις λυσιτελοῦν[19], οὐ γόητα[20] ἐπικαλοῦνται· ταῦτα γὰρ ἀνθρώπων ἀῤῥώστων εἶναι ὡς ἀληθῶς, καὶ τὰς ψυχὰς τῇ ἀπιστίᾳ καταποθέντων, καὶ δεσμουμένων ἀῤῥήτοις[21] τοῦ Πονηροῦ ἄμμασιν, οἳ οὐδὲ σπέρμα τῷ βίῳ καταλιπεῖν ὄντως δίκαιοι. Οὔκουν ἐκεῖνοι τοιαῦτα· πρὸς δὲ τὸν Ποιητὴν τῆς κτίσεως βλέπουσι, τὸν καὶ ἀπ' ἀρχῆς δόντα *τὸν πληθυσμὸν*, καὶ *τὴν αὔξησιν*, καὶ *τὴν μήτραν Σάῤῥας νενεκρωμένην* ζωοποίησαντα, καὶ νησείαις ἑαυτοὺς ἐκδόντες, εὐχαῖς τε τὴν θείαν ἐπισπασάμενοι ἀγαθότητα, καὶ τῶν παλαιῶν θαυμασίων ἀναμνήσαντες[22], ὧν αἱ τῶν πατριαρχῶν γυναῖκες ἀπέλαυσαν, ὧν ἡ Σουμανῖτις, ὧν ἡ τοῦ Σαμουὴλ μήτηρ Ἄννα, *σπείροισι*, *καὶ ἐν ἀγαλλιάσει θερίζουσι*· καὶ οἱ πρὶν ἐξουδενωμένοι τοὺς νεφροὺς, ἠλλοιώθησαν, καὶ τίκτεται τούτοις θυγάτριον, τοσοῦτον ὑπερέχον αὐτοὺς[23] ἁγιωσύνῃ καὶ χάριτι, ὅσον καὶ ἡ ἐν αὐτῷ τοῦ Θεοῦ κατασκήνωσις, ἢ ἀνάπαυσις, τῆς ἐν ἐκείνοις οἰκήσεως. Τοῖς μὲν γὰρ ἁπλῶς ἐνῴκει Θεὸς, κατὰ τὸ εἰρημένον· *Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω*· τῆς δὲ τὴν μήτραν οὐσιωδῶς ὁ Θεὸς ἐπλήρωσεν.

ε'. Ἆρ' οὖν τὴν χάριν ἠγνόησαν; ἆρα τοὺς ἀγενεῖς γονεῖς ἐμιμήσαντο; καὶ γήρως χειραγωγὸν, καὶ βίου κληρονόμον, καὶ γένους διάδοχον τὴν παῖδα ἕξειν ἐλπίζοντες, οἷκοι παρακατέσχον τρυφερώτερον ἀνατρέφοντες; Ἀλλ' οὐκ ἂν ἦσαν ὄντως ἐκείνης γονεῖς,

4. Quandoquidem itaque hæc ita sese habebant, ac congruum erat, ut viæ, per quas fit in hanc vitam ingressus, primæ hac gratia fruerentur, ut scilicet pares illis termini responderent; eligitur illa, quæ hunc partum editura erat, omnibus ornata virtutibus, cæterisque creaturis præstantior, ex regia tribu, quippe ex Juda et ex parentibus illustribus, illustrioribus vero prole et pietate, manifeste fructus a Deo illis datus. Quanquam enim in omnibus viis suis irreprehensibiliter ambularent, attamen (ut se habent divina judicia) summo in periculo erant, ne opprobrium sterilitatis effugere non valerent: sive Deus hac ratione eorum fidem, ut quondam ipsorum progenitoris *Abrahæ* probatam vellet (solet enim ille semper fortioribus graviora imponere, ut et ipsi coronentur illustrius, et ut posteros ad virtutem exemplo provocent suo): sive ad aliud quidpiam magis reconditum magisque symbolicum mysterium in illis ostendendum respiceret. At vero quis dicat, quantum illi hac de causa corde dolerent, et quantum orbitatis memoria dilacerarentur? Præsertim vero beatam Annam (quid enim femina, nisi res delicata, in mœrores prona, et æmulationi quam maxime obnoxia?) sterilitatis gladius proscindebat. Quid igitur? Non ad medicos confugiunt, neque illis adhærent; non pocula quærunt, quæ fecunditatem excitare valeant, non venefícos advocant (norant animo hæc illis convenire, qui vere infirmi sunt, atque nefandi cacodæmonis vinculis constricti, animas habent infidelitatis barathro absorptas, quique idcirco plane indigni sunt, qui semen ullum post sese relinquant): sed ad Deum omnis creaturæ opificem, qui a principio *multiplicandi et crescendi* virtutem dedit, quique *emortuam vulvam Saræ*[59] vivificavit, respiciunt: seque jejuniis macerantes, orationibus etiam divinam pulsantes bonitatem, ac mirabilium, quæ olim in patriarcharum uxoribus (inter quas *Sunamitis* et *Anna* Samuelis mater) facta sunt, memoriam revocantes, *serunt in lacrymis, et in exsultatione metunt*[60]: qui enim prius exhaustos habebant lumbos, in alios mutati sunt. Nascitur igitur illis filiola, tantum eos sanctitate et gratia præcellens, quantum, modus quo Deus in ipsa habitavit, modum habitationis in illis superabat. Nam in illis simplici quadam ac communi ratione habitabat Deus, juxta id quod dicitur[61]: *Habitabo in eis et inambulabo*: at hujus uterum Deus ipse substantialiter implevit.

5. **472** An vero illi gratiam hanc ut par erat, non agnoverunt, et sordidos imitati parentes, filiam senectutis solamen, substantiarum hæredem, ac generis propagatorem se habere sperantes, eam domi delicatius enutriendam detinuerunt? Sed parentes

[59] Rom. IV, 19. [60] Psal. CXXV, 5. [61] Lev. XXVI, 12.

Variæ lectiones codicis Oxon.

[15] εἰσόδους ἡμῶν. [16] δὲ τὰ θεῖα, καί. [17] ἡ μακαρία Ἄννα. [18] πόματα. [19] λυσιτελοῦντα. [20] γόητας. [21] ἀῤῥήκτοις. [22] ἑαυτοὺς ἀναμνήσαντες. [23] αὐτῶν.

Digitized by Google

ipsius non fuissent illi, neque unquam meruissent eam habere, si talis exstitissent indolis, ut hæc apud se constituere potuissent. Omnem igitur humanum exuentes affectum, omnique re superiores effecti, Deo offerunt donum, quod ipse illis dederat; illudque restituendo declararunt, se a Deo illud accepisse. Igitur eam ad templum velut vivum mobileque donarium rerum omnium Dominatori consecrandum deferunt : ac [62] *domui Dei decor* imponitur, ipsique assignatur *locus habitationis gloriæ ejus* (quæ quidem David olim se *diligere* profitebatur, at oculis intueri non meruit), et [63] *oblivisci*tur quidem *filia domus patris sui :* atque *adducitur regi*, qui *decorem* ejus *concupiverat*. Adducitur vero neque timide, aut occulte, neque ignobiliter, sed illustri splendidaque cum pompa : ac e domo educitur omnibus fausta precantibus, ejusque eductioni plaudentibus. Et quidem cognati et vicini et quotquot erant aliquo amicitiæ vinculo parentibus ejus astricti, sequebantur : ac patres patri congratulabantur, matresque matri. Puellæ vero et adolescentulæ lampades gestantes simul cum ipsa Dei Filia, ad instar coronæ stellarum circum lunam, sublucentes præibant : totaque personabat Hierosolyma, omnium oculis defixis in Puellulam triennem tanta gloria circumdatam, totque luminum gestatione condecoratam. Ut vero ingressi sunt templum, totum sacerdotale genus cum canticis obviam venit : ac ipsum sacerdotem admiratio summa percellebat, et tanto magis quo plus cæteris erat divino numine afflatus.

VERS. 6. Huic ergo parentes Puellulam afferunt atque concredunt, narrantes et præteritam sterilitatem et habitam de illa promissionem, ac confitentes, supra ipsorum vires ac merita esse talem Filiolam enutrire ; cum enim illa divinior esset, convenire, ut educationis conditio tantæ dignitati responderet ; ac ne tam splendida atque inæstimabilis margarita vili laceroque panno contegeretur, decere, ut regia chlamyde ad majorem gloriam et ornamentum recondatur. Pontifex vero maxima admiratione, velut extra se raptus, ac Dei afflatu correptus, oculos in Puellulam figit, quam vere divinarum gratiarum diversorium esse perspiciebat dignamque magis quam ipse, quæ in conspectu Domini indesinenter persisteret : ac tum intellexit, id quod profundo mysterio præceptum in **373** lege fuerat de *arca in Sancta sanctorum* reponenda, ad hanc Puellam clarissime spectare. Nil igitur veritus, neque cunctabundus, audet quidpiam justum illud quidem, tametsi præter legem ; imo lege superior effectus, ac caliginem transgressus litteræ, spiritum ejus sequitur, atque in *Sancta sanctorum* donarium reponit. Excipit itaque Puellam locus,

οὐδ' ἂν ἐξ ἀρχῆς ταύτην λαβεῖν ἠξιώθησαν, εἰ τοιαῦτα φρονεῖν ἐπεφύκεσαν. Πᾶσαν δὲ προσπάθειαν σαρκικὴν ἐκ τοῦ Πνεύματος ἀποξήσαντες, καὶ παντὸς ὑπεράνω γενόμενοι, δῶρον δωροῦνται Θεῷ τὸ θεόσδοτον αὐτοῖς ἀγαθὸν, καὶ δεικνύουσιν ὡς ἐξ ἐκείνου τὸ καλὸν ἔχουσιν, οἷς ἐκείνῳ ἀποδεδώκασι. Καὶ πρὸς τὸν ναὸν ἀποφέρουσιν ἀνάθημα τῷ δεσπόζοντι ζῶν καὶ κινούμενον, καὶ τῷ *οἴκῳ τοῦ Κυρίου* ἡ *εὐπρέπεια* ἐπιτίθεται, καὶ ὁ τόπος αὐτῷ ἀποκληροῦται *τοῦ τῆς δόξης σκηνώματος* (ἃ καὶ Δαβὶδ ἀγαπᾷν μὲν ὁμολογεῖ [64], ὀφθαλμοῖς δὲ ἰδεῖν οὐκ ἠξίωται) · καὶ *ἐπιλανθάνεται* μὲν *ἡ Παῖς τοῦ οἴκου τοῦ πατρικοῦ, τῷ βασιλεῖ* δὲ *προσάγεται τοῦ κάλλους αὐτῆς ἐπιθυμήσαντι*. Προσάγεται δὲ οὐκ ἀπαρρησιάστως, οὐδ' ἀφιλοτίμως καὶ ἀκλεῶς, ἀλλὰ μετὰ λαμπρᾶς τῆς πομπῆς ἐξάγεται μὲν τῆς οἰκίας μετ' εὐφημίας πάντων κροτούντων τὰ ἐξιτήρια · ἅπαν δὲ τὸ συγγενικὸν, καὶ γειτονικὸν, καὶ ὅσον κατὰ φιλίας δεσμὸν [65], τοῖς γονεῦσι ταύτης συνείποντο. Πατέρες μὲν περὶ τὸν πατέρα, μητέρες δὲ περὶ τὴν μητέρα συνέχαιρον, κόραι δὲ καὶ νεάνιδες αὐτῇ λαμπαδηφόροι τῇ τοῦ Θεοῦ Παιδὶ συμπροῆσαν, οἷόν τις κύκλος ἀστέρων τῇ σελήνῃ συνυποφαίνων [66] · καὶ πᾶσα ἐξηχεῖτο Ἱεροσόλυμα, τὴν καινὴν ταύτην πομπὴν θεώμενοι, κοράσιον τριετὲς, τοσαύτῃ δόξῃ περιστελλόμενον, τοσαύτῃ λαμπροφορίᾳ τιμώμενον. Ἐπεὶ δὲ ὁ ναὸς εἶχεν αὐτοὺς, ἅπαν τὸ ἱερατικὸν ἀπήντα φῦλον τοῖς ἄσμασι δεξιούμενον · καὶ αὐτὸν τὸν ἀρχιερέα τὸ θαῦμα ἐκίνει, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ καὶ τῶν ἄλλων ἦν ἐνθεώτερος.

ς'. Καὶ οἱ γονεῖς τὴν Παῖδα προσάγουσιν αὐτῷ, καὶ πιστεύουσι, διηγούμενοι μὲν καὶ τὴν στείρωσιν, καὶ τὴν ἐπὶ ταύτης ἐπαγγελίαν, ὁμολογοῦντες μέντοι καὶ ἄλλως ὑπὲρ αὐτοὺς εἶναι τὴν ἀνατροφὴν τῆς Παιδός · θειοτέραν γὰρ οὖσαν, δεῖσθαι καὶ τῆς ἀναγωγῆς ἀναλόγως [67] ἵνα μὴ μαργαρίτης, οὕτω λαμπρὸς · καὶ ἀτίμητος, ῥάκει πενιχρῷ προσαρμόζοιτο, δεῖον αὐτὸν τῷ βασιλείῳ πέπλῳ παρενείρειν, εἰς δόξαν καὶ κόσμον μείζονα. Ὁ δὲ ἀρχιερεὺς, τότε δὴ μᾶλλον ἐκστὰς ἑαυτοῦ, καὶ ὑπὸ Θεοῦ ληφθεὶς, κατεῖδε μὲν τὴν Παῖδα θείων χαρίτων ἀληθῶς καταγώγιον, ἀξίαν δὲ μᾶλλον, ἢ αὐτὸς, τῷ τοῦ Θεοῦ προσώπῳ διὰ παντὸς ἐμφανίζεσθαι. Συνῆκε δὲ τὸ βαθέως ἐν τῷ νόμῳ περὶ τῆς *κιβωτοῦ* λεγόμενον, *ὡς εἰς τὰ Ἅγια τῶν ἁγίων* ἀποτεθησομένης, εἰς ταύτην δὴ τὴν Κόρην ἀποσκήπτειν τρανῶς. Μηδὲν οὖν ἐνδοιάσας, μηδὲ ὑποσταλεὶς, τολμᾷ τι παρὰ τὸν νόμον δίκαιον · μᾶλλον δὲ ὑπὲρ τὸν κάτω νόμον γενόμενος, καὶ διαβὰς τὸν γνόφον τοῦ γράμματος, μετὰ τοῦ Πνεύματος γίνεται, καὶ φέρων εἰς *τὰ τῶν ἁγίων Ἅγια* τὸ ἀνάθημα ἀποτίθησι · καὶ δέχεται τόπος Κόρην, ὁ μηδενὶ μὲν τῶν ἄλλων ἀνδρῶν [68] θεατὸς, μηδενὶ δὲ τῶν ἱερέων βατὸς, μηδ' αὐτῷ τῷ ἀρχιερεῖ, ὅτι μὴ ἅπαξ

[62] Psal. XXV, 8. [63] Psal. XLIV, 11.

Variæ lectiones codicis Oxon.

[64] ὁμολόγει. [65] δεσμὰ. [66] συνυποφαίνοντες. [67] ἀναλόγου. [68] μηδὲ θεατός.

Digitized by Google

πατουμενος. Ἔδει γὰρ τὴν ὑπὲρ πᾶσαν τὴν φύσιν ἁγιασθεῖσαν τῇ καθαρότητι, καὶ δικαιωθεῖσαν ἐκ μήτρας, μὴ νόμου δουλεύειν βαρύτητι, τοῦ μηδενὶ *δικαίῳ κειμένῳ*[29], μόνοις δὲ ἐπιτιθεμένου[30] *τοῖς ἁμαρτάνουσι. Νόμος* μὲν γὰρ *τῶν παραβάσεων χάριν ἐπεισῆλθε*[31], κἀκείνοις ἐπετέθη[32] παιδαγωγὸς, τοῖς δεομένοις παιδαγωγίας. Ἐκείνῃ δὲ, τῇ καὶ τῶν ἀγγέλων ὑπερκειμένῃ, οὐ νόμος, ἀλλ' ἡ χάρις ἐπετέλει[33] τὰ τελεώτερα. Ἐπισημαίνει δὲ ὁ Θεὸς, τοῖς γινομένοις ὡς αὐτοῖς ἀρεσκόμενος· ἀγγέλῳ γὰρ διακόνῳ πρὸς ἀνατροφὴν[34] τῆς ἀνατεθείσης κέχρηται, καὶ τρέφει παραδόξῳ τρόπῳ τὴν τεξομένην αὐτὸν καὶ τρέψασαν[35], ἵνα μηδὲν αὐτῆς σχεδὸν εἴη ἀνθρώπινον, πάντα δὲ θεῖα ἐμφαίνοιτο[36].

A quem nemini virorum videre, nemini sacerdotum adire licebat : imo summus pontifex ipse nonnisi semel in anno intrare illuc poterat. At enim, decebat, eam quæ supra omnem naturam sancta erat et pura, atque ab ipso utero justificata fuerat, haudquaquam subdi gravitati legis, quæ nemini *justo posita erat*, sed *injustis et peccatoribus*[64] ; lex enim *propter transgressiones posita est*[65] ; illisque data est pædagogus, qui rudiore ejus disciplina indigerent. Ei vero quæ supra angelos ipsos evecta erat, non lex, sed gratia perfectiora ministrabat. Ostendit autem Deus quantum illi ea, quæ gesta erant, placerent : nam angeli ministerio ad eam alendam usus, modo plane mirabili enutrivit eam quæ ipsum postea parere et enutrire debebat ; ut nihil propemodum ejus Puellæ humanum foret, sed omnia divina.

ζ'. Τοῦτό ἐστιν ἡμῖν ἡ πανήγυρις[37], τοῦτο ἑορτάζομεν σήμερον, Κόρης προσαγωγὴν, καὶ *εἰς τὰ Ἅγια τῶν ἁγίων* εἰσαγωγήν. Ὦ καινὸν μὲν πρᾶγμα, καινὸν δὲ ἄκουσμα! Θῆλυ Ναιδίον τοῖς τοῦ Θεοῦ ἀδύτοις καὶ ἀθεάτοις ἐνδιαιτώμενον! Καίτοι κἂν εἰς τὴν αὐλὴν μόνην ἐπάτει, διὰ παντὸς καὶ τοῦτο ἂν ἐδείκνυ ταύτης τὴν πρὸς τὸν Δεσπότην οἰκείωσιν, εἴ γε τὸ, *Πατεῖν τὴν αὐλήν μου* [*vulg. add.* οὐ] *προσθήσουσθε*, παρὰ Θεοῦ τοῖς προσκεκρουκόσιν ὥρισται· κἂν εἰ μόνον εἶδε τὰ Ἅγια, καὶ τοῦτο μέγα *παῤῥησίας ἐνέχυρον*· κἂν ἅπαξ εἰσῆλθε τοῦ ἔτους, μεῖζον καὶ τοῦτο τῆς τῶν γυναικῶν ταπεινότητος. Νῦν δὲ τὴν αὐλὴν ὑπερβᾶσα, τὸ δεύτερον καταπέτασμα διαβᾶσα, τῶν Ἁγίων ἐπιβᾶσα, τῷ Θεῷ συνεῖναι διηνεκῶς ἀφαρίζεται, καὶ τῇ φύσει τῶν ἀνθρώπων ἀραβὼν [*f.* ἀῤῥαβ.] τῆς μετὰ ταῦτα χάριτος γίνεται· προδεικνῦσα ἐν ἑαυτῇ τὸ ἡμέτερον, καὶ προοδοποιοῦσα παντὶ τῷ γένει τὴν εἰς τὰ οὐράνια Ἅγια καὶ ἀληθινὰ ἀνοδόν τε καὶ εἴσοδον, καὶ τὸν νόμον αὐτόθεν φαίνουσα καταργούμενον· ὃς μὴ δυνάμενος δικαιοῦν, μηδὲ καθαίρειν ἁμαρτιῶν[38], ἀπεῖργεν ἔξω σχεδόν τι *τῶν ἁγίων* σύμπαντας. Ἔμελλε γὰρ ὁ Χριστὸς πάντας δικαιῶσαι[39] χάριτι, καὶ *Λύσας τὸ μεσότοιχον τοῦ φραγμοῦ*, πᾶσιν ἀνοῖξαι τὰς τῶν πρὶν ἀβάτων εἰσόδους, καὶ ἁγιάσας πάντας, καὶ *καθαρίσας ὕδατί τε καὶ Πνεύματι*, εἰς *τὰ τῶν ἁγίων* εἰσδέξασθαι Ἅγια. Διὰ ταῦτα τὴν Παρθένον προῦποδέχεται. Καὶ τὰ νῦν ἐπ' αὐτῇ γεγονότα, τῇ πρὸς αὐτὸν παντὸς τοῦ γένους μετὰ ταῦτα καταλλαγῇ[40] ὅμηρα πιστὰ δίδωσι.

B 7. Hoc est igitur præsentis materia solemnitatis, nempe hodierna die Virginis Præsentationem, et in *Sancta sanctorum* introductionem celebramus. O novitatem! o rem inauditam! In Dei penetralibus, quæ videre, nedum adire nemini licebat, Puella versatur! At si atrium tantummodo frequentasset illa, vel hoc solum peculiarem ejus cum Deo conjunctionem atque familiaritatem demonstrasset (siquidem illud, *Atrium meum calcare non adjicietis*[66], pro omnibus qui in offensionem aliquam incurrerant, statutum est) ; et si tantummodo videre *Sancta sanctorum* concessum illi esset, et hoc magnum confidentiæ pignus exstitisset ; quod si semel tantum per annum sacrum eum locum fuisset ingressa, et hoc prærogativa fuisset humili C feminarum conditione longe superior. At vero decretum fuit, ut non solum atrium, sed primum etiam alterumque velamen transgressa, in ipso sacrario jugiter cum Deo versaretur, sicque naturæ humanæ arrhabo fieret seculuræ postmodum gratiæ : ac præmonstraret in seipsa, quæ nobis postea feliciter contingere debebant, viamque universo humano generi panderet, qua ad vera cœlestia *Sancta* ascendere possit ac ingredi ; indeque demum legem jam supervacaneam esse demonstraret, quæ, cum justificare et a peccatis liberare non posset, omnes ferme extra **474** *Sancta* detinebat. Quippe soli Christo Domino hæc competebat prærogativa, ut omnes per gratiam justificaret, ac D *medium parietem maceriæ solvens*[67], cunctis ad prius impervia ingressum aperiret, omnesque sanctificans et *Spiritu et aqua purificans*, in *Sancta sanctorum* tandem admitteret. Hac de causa Virginem primum recipit ; ac quæ in ipsa patrata nunc sunt, velut totidem seculuræ totius generis reconciliationis cum ipso fida vadimonia constituit.

η'. *Παιδίον* μὲν οὖν ἀνατίθεται, διὰ τὴν ἀκακίαν καὶ τὴν εὐθύτητα· *Τῶν* γὰρ *τοιούτων ἐστὶν ἡ βα-*

8. Igitur *Puella* offertur propter innocentiam et rectitudinem : *Talium est enim regnum*

[64] I Tim. I, 9. [65] Galat. III, 19. [66] Isa. I, 12. [67] Ephes. II, 14.

Variæ lectiones et notæ.

[29] κειμένου. [30] ἐπιτεθειμένου. [31] παρεισῆλθε. [32] δ' ἐπεστάθη. [33] ἐνήργει. [34] τροφήν. [35] θρέψουσαν. [36] ἐμφαίνηται. [37] Cod. Oxon. ita hic prosequitur : Ὑπὸ τούτου συνεκλήθημεν τήμερον· τοῦτο νῦν ὑμνεῖν προτρεπόμεθα, τὴν εἰς τὸν ναὸν καθαρωτάτης Κόρης προσαγωγὴν, καὶ *εἰς τὰ Ἅγια τῶν ἁγίων ἀπαγωγήν*. Id eis : *Ab hoc nunc convocati sumus ; ad hoc modo decantandum invitamur, nempe purissimæ Puellæ introductionem in templum, et in Sancta sanctorum adductionem.* [38] ἁμαρτίας. [39] δικαιώσας. [40] τῆς καταλλαγῆς.

Digitized by Google

cœlorum[68] : et *Innocentes suscipit Dominus, et æquitatem vidit vultus ejus*[69]. *Femina* vero propter Evam, per quam et ex qua prævaricatio ; ut *ubi abundavit delictum, superabundet et gratia*[70], ac mulier quæ nos e paradiso ejecerat, toti naturæ ad *Sancta sanctorum* præiret. *Triennis* autem propter Trinitatem hoc numero mystice significatam, quæ sanctitatem ipsius adauxit. Quid vero *pompa ?* Publica ac libera promulgatio gratiæ, quæ[71] *in omnem terram exivit*, non uno loco juxta legis angustiam conclusa. Quid vero *adolescentulæ ?* Animæ ejus, quæ secundum Deum est, *novæ conspersionis*[72], quæ Virgini per imitationem copulantur. Aliquidne etiam in *lampadibus* perspiciendum mihi suppetit ? Utique, nempe lumen vitæ splendens in gloriam Dei et mentis illustrationem, quod operationis manibus accenditur et gestatur. Nam cui sunt manus remissæ, quemque *dereliquit virtus* sua (ut inquit David) *et lumen oculorum suorum et ipsum non est secum*[73]. *Spiritus enim sanctus effugiet fictum, et non habitabit in anima subdita peccato*[74].

9. At vero tu, quisquis es[75] *duræ cervicis, et incircumcisus corde* et auribus, quique semper Spiritui resistis, umbræ, quoniam ita placet, adhære, nihilque littera altius cogitans, scandalum propter cæcitatem tuam ex his, quæ hactenus dixi, sume. Verum dicere ergo liceat, pontificem temere adeo legem violaturum, remque tanti periculi plenam acturum fuisse, nisi quidpiam divinius in Puella suspexisset ? Quomodo tam incaute Puellam introduxit, si consiliarios te sapientiores non habuit, nempe[76] *manifestationem* et *veritatem*, in quibus ornamentis instructum pectus habebat, et a quibus eorum, quæ acturus erat, signum recipiebat ? Secus enim quisnam ex sacerdotibus ista fieri tolerasset ? Et quomodo populum adeo in seditiones proclivem, et quaslibet innovandi occasiones captantem tantæ rei novitas haud commovisset ? Verum fortior **475** erat Dei voluntas ; et quæ Deus sanctissimus rata habebat, nemo hominum poterat impedire : unde secreto divinæ providentiæ *freno* cunctorum *maxillæ constringebantur*[77] ac regebantur ; adeoque laudabant quæ supra humanum captum fieri conspiciebant. Tu vero hæc vera esse non assentiris, neque Deo credis ? Commune hoc tibi est cum progenitoribus tuis, et præclaram hanc sentiendi rationem accepisti a patribus, quibus Deo non credentibus, sed terram desiderabilem despicientibus[78] *quadraginta annis*, dixit ipse, cui illi fidem abnegabant, *offensus fui et dixi, Semper hi*

A *σιλεία τῶν οὐρανῶν*, καὶ *Τῶν ἀκάκων ἀντιλαμβάνεται Κύριος, καὶ εὐθύτητα εἶδε τὸ πρόσωπον αὐτοῦ. Θῆλυ* δὲ διὰ τὴν Εὔαν δι' ἣν καὶ ἐξ ἧς ἡ *παράβασις, ἵνα ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερπερισσεύσῃ ἡ χάρις·* καὶ παραδείσου ἐκβαλοῦσα γυνὴ, *εἰς τὰ τῶν ἁγίων Ἅγια* τῆς φύσεως προηγήσεται. *Τριετὲς* δὲ, διὰ τοῦ ἀριθμοῦ μυστικῶς τῆς Τριάδος ἐμφαινομένης, ἣ τὴν ἁγιωσύνην ηὔξατο[44]. *Τί* δὲ *ἡ πομπή ;* Τὸ παπαρρήσιασμένον τῆς χάριτος, *εἰς πᾶσαν τὴν γῆν ἐξελθούσης*, ἀλλ' οὐχ ἑνὶ τόπῳ περικλεισθεῖσα[45] κατὰ τὴν τοῦ νόμου στενότητα. *Τί* δὲ *αἱ νεάνιδες ;* Ψυχαὶ τοῦ κατὰ Θεὸν καὶ *νέου φυράματος*, τῇ Παρθένῳ συμβιβάζουσαι[46] κατὰ μίμησιν. Ἔχω τι κἀν ταῖς *λαμπάσιν* [*f.* —ἐαις] ὁρᾶν ; Τὸ φῶς τοῦ βίου λάμπον εἰς δόξαν Θεοῦ, καὶ τὸν τῆς B γνώσεως φωτισμὸν, ἐν ταῖς πρακτικαῖς χερσὶν ἀναπτόμενόν τε καὶ κατεχόμενον, ὡς τῷ γε παρειμένας ἐσχηκότι τὰς χεῖρας, καὶ *ὑπὸ τῆς ἰσχύος ἐγκαταλελειμμένῳ*, ὅ φησιν ὁ θεῖος Δαβὶδ, *καὶ τὸ φῶς τῶν ὀφθαλμῶν, καὶ αὐτὸ οὐ πάρεστι. Πνεῦμα γὰρ ἅγιον δόλον φεύξεται, καὶ οὐκ ἐνοικήσει ἐν σώματι κατακέω*[47] *ἁμαρτίας.*

θ'. Σὺ δέ μοι τῇ σκιᾷ παρακάθεσο [*f.* —θησο] καὶ σκανδαλίζου τοῖς λεγομένοις διὰ τὴν σαυτοῦ τύφλωσιν, καὶ μηδὲν φρόνει περαιτέρω τοῦ γράμματος, *ὁ σκληροτράχηλος*, καὶ *ἀπερίτμητος τῇ καρδίᾳ* καὶ τοῖς ὠσὶν, ὁ ἀεὶ ἀντιπίπτων τῷ Πνεύματι. Ἔστιν ἀρχιερέα οὕτω παρανομεῖν λέγεσθαι[48] προφανῶς, καὶ παρακεκινδυνευμένως πράττειν, εἰ μή τι περὶ τῆς Παιδὸς θειότερον πέπειστο ; Πῶς δ' ἂν οὕτω παραβόλως[49] ἐπεισήγαγε τὴν Κόρην, εἰ μὴ συμβούλους εἶχε σοῦ σοφωτέρους, *τήν δήλωσίν* τε καὶ *ἀλήθειαν*[50], οἷς ἐκεῖνος[51] τὸ στῆθος εἶχε κοσμούμενον, καὶ παρ' ὧν ἐξεδέχετο τοῦ ἀεὶ ποιητέου τὸ σύνθημα ; Τίς δὲ ἂν ταῦτα τῶν ἱερέων ἠνέσχετο ; Πῶς δ' ἂν τὸν λαὸν οὐ συνεκίνησε τὸ πρᾶγμα καινοτομούμενον, καὶ ἄλλως στασιώδεις ὄντας, καὶ ταῖς καινοτομίαις ἀεὶ ἐφεδρεύοντας ; Ἀλλὰ γὰρ ἦν κραταιότερον τὸ τοῦ Θεοῦ θέλημα, καὶ ἃ ὁ Θεὸς ὁ ἅγιος ἐκύρωσεν, οὐδεὶς ἀνθρώπων εἶχε διασκεδάζειν, καὶ τοῖς *ἀῤῥήτοις*[52] χαλινοῖς τῆς Προνοίας, *αἱ πάντων σιαγόνες ἦρχοντο*[53], καὶ κατείχοντο, ἐπαινούντων ὡς ὑπὲρ ἀνθρωπίνου λογισμοὺς τὰ γινόμενα. Ἀλλ' οὐ συναινεῖς τούτοις ὡς ἀληθέσιν, οὐδὲ πιστεύεις ἐν τῷ Θεῷ ; Κοινὸν μέν D σοι τοῦτο πρὸς τοὺς προγόνους, καὶ πατρῷον τὸ σεμνολόγημα, οἷς μὴ πιστεύουσιν ἐν τῷ Θεῷ, *ἀλλ'* ἐξουθενήσασι γῆν ἐπιθυμητὴν, *Τεσσαράκοντα ἔτη*, φησὶν ὁ ἀπιστηθεὶς, *προσώχθισα, καὶ εἶπα· Ἀεὶ πλανῶνται τῇ καρδίᾳ.* Πλὴν ἆρα[54] μὴ καὶ τοῖς Ἕλλησιν ἀνοίξῃς πλατυτέραν θύραν εἰ, ἀπιστίαν τῶν ἐν τῷ νόμῳ Θεοῦ θαυμασίων, οὕτως ὁμόσε τοῖ;

[68] Matth. XIX, 14. [69] Psal. XL, 13 ; X, 7. [70] Rom. V, 20. [71] Rom. X, 18. [72] I Cor. V, 7. [73] Psal. XXXVII, 11. [74] Sap. I, 4, 5. [75] Deut. XXXIV, 9. [76] Exod. XVIII, 30. [77] Psal. XXXI, 9. [78] Psal. XCIV, 10.

Variæ lectiones et notæ.

[44] συναύξησε. [45] περικλεισθείσης. [46] συμβαδίζουσαι. [47] καταχρέῳ. [48] ἐλέσθαι. Hac admissa lectione sic vertendum foret : *Qui fiat, ut adeo manifeste legem violare sumimus sacerdos voluerit ;* [49] Codex Oxon. hic addit : τοῖς ἀδάτοις. [50] Scilicet *Urim* et *Thumim*. [51] Cod. Oxon. addit ἀγάλμασι. [52] ἀῤῥήκτοις. [53] ἤγχοντο. [54] ἀλλ' ὅρα.

Digitized by Google

ἡμετέροις χωρῶν, καὶ τῷ νόμῳ δοκῶν συνηγορεῖν, A λάθῃς κατὰ τοῦ νόμου προφέρων τὰ σὰ ψηφίσματα.

errant corde. At vide ne hac ratione gentilibus laxiorem ad eorum, quæ in lege Dei occurrunt, mirabilium incredulitatem portam aperias; ac dum nostra sic oppugnas, legi te patrocinari existimans, cave ne contra ipsam legem suffragia tua feras.

ι'. Ἀλλ' Ἰουδαῖοι μὲν τὸ *κάλυμμα* κατὰ τῶν ὀμμάτων φερέτωσαν, καὶ μηδὲν φωτοειδὲς καὶ Θεοῦ βλεπέτωσαν ἄξιον. *Ἐκάμμυσαν* γὰρ *τοῖς ὀφθαλμοῖς*, καὶ διὰ τοῦτο οὐκ ἔγνωσαν, [58] *ἐν σκότει διαπορεύονται*. Ἡμεῖς δὲ *ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι*, καὶ τῷ φωτὶ τούτου σημειούμενοι καὶ μορφούμενοι, μὴ μόνον τὰ τῆς ἑορτῆς κατοπτεύσωμεν, καὶ τιμήσωμεν, ἀλλὰ καὶ αὐτοὶ ἑορτὴ γενώμεθα, ἢ [59] ἑορτῆς ὑπόθεσις. Ἔσται δὲ τοῦτο πῶς; Χθὲς ἦσθα στεῖρα ψυχὴ καὶ ἄκαρπος, μηδὲ [61] τέκνον γεννῶσα ζωῆς φωτὸς [62] B ἄξιον; σήμερον ἐν τῇ γαστρὶ λάβε τὸν Δεσποτικὸν φόβον, νηστείαις χρησταῖς [63], δάκρυσιν, ἐξομολογήσεσι, τοῖς ἀγαθοῖς ὄντως σπέρμασι, καὶ Πνεῦμα σωτηρίας σεαυτῷ ἀπογέννησον, καὶ τρέφον [67] τέκνον, καὶ αὔξησον, τῇ μέχρι τῆς σεβασμίας Τριάδος πίστει, μηδὲ πολυθεΐαν εἰσάγων, δημώδες γάρ· μήτε μοναρχίαν [68], ἐνδεὲς γάρ· καὶ τὸ μὲν τῆς αἰσχροπαθείας Ἑλληνικῆς, διαδοχὰς περινοησάντων θεότητος, τὸ δὲ τῆς Ἰουδαϊκῆς μικροπρεπείας, μὴ χωρησάντων τὰ τρία, διὰ τοῦ λογισμοῦ τὴν στενότητα. Καὶ ἀπόδος τῷ Κυρίῳ ἀνάθημα, *παρ' οὗ πᾶσα δόσις ἀγαθή*· μὴ τοῖς σεαυτοῦ πόνοις ἀγατιθεὶς τὸ ἀγαθὸν ἔκγονον, τῇ δὲ ἐκείνου δυνάμει καὶ χάριτι. Ἐπιλαμπέτω σοι καὶ τὸ τῆς παρθενίας φῶς, ἢ σω- C φροσύνης, ἀκατάσβεστον, καὶ οὕτως ἄξιος ἔσῃ τοῦ εἰσελθεῖν, ἢ εἰσάγειν [69] εἰς τὰ Ἅγια· *ἁγιασμοῦ* γὰρ *χωρὶς καὶ καθαρότητος, οὐδεὶς τὸν Κύριον ὄψεται*, Παύλῳ λέγοντι μετὰ τοῦ Κυρίου πείσθητι. Οὕτω δὴ τραφείσῃ [60] τῷ θείῳ ἄρτῳ καὶ μυστικῷ δι' ἀγγέλου κομιζομένῳ καὶ διδομένῳ σοι, εἴπερ ἄγγελος Κυρίου ὁ ἱερεὺς καὶ λέγεται, καὶ πιστεύεται.

10. Verum dimittamus Judæos, qui [70] *velamen* super oculos ferunt, nihilque lucidum ac Deo dignum suspiciunt: [58] *clausi* enim *sunt oculi eorum*, et ideo non cognoverunt, [64] *in tenebris ambulant*. [65] *Nos vero revelata facie gloriam Domini speculantes*, et hujus lumine signati et formati non solum quæ præsentem spectant festivitatem, consideremus colamusque, verum etiam ipsi festivitas seu festivitatis argumentum fieri satagamus. At quomodo id fieri potest? En: Heri anima sterilis eras et infructuosa, nullum generans filium, qui vitæ lumen aspiceret; hodie salutaribus jejuniis, lacrymis ac confessionibus tanquam bonis seminibus divinum concipe timorem, et spiritum salutis in te genera, ac tanquam filium nutri et crescere facias fide, quæ ad augustam usque Trinitatem pertingat, scilicet neque deorum multitudinem admittat: id enim plebeium est: neque unam tantum in deitate personam: hoc enim deficiens: et illud quidem turpis est gentilium affectionis, qui varia deorum genera commenti sunt; hoc vero sordidæ Judæorum ob mentis angustiam trinum Deum non admittentium parcitatis. Redde vero Domino donarium, [66] *a quo omne datum optimum*, non tuorum laborum fructum offerens, sed illius virtutis et gratiæ. Luceat quoque in te virginitatis, vel continentiæ indeficiens lumen: sic enim dignus fies, qui intres, vel introducas in *Sancta*; etenim *sine sanctimonia et cordis munditia nemo videbit Deum* [66] (Paulo hoc post Dominum affirmanti credito): sicque divino ac mystico per angelum allato ac tradito pane nutrieris; siquidem sacerdos angelus Domini est, et dicitur, et creditur.

(20) Si non sit mendum in codice, videtur auctor asserere voluisse, Libanium non Antiochiæ in Syria, neque in alia cognomine urbe (plures enim sunt), sed Antiochiæ, quæ ad Taurum montem posita erat, natum fuisse. Plerique auctores eum absolute Antiochenum dicunt.

(21) Huic Maximo Ephesio præcipue tribuendum esse Juliani a Christiana fide apostasiam, constat ex Libanii Panegyrico in Julianum, Socrate l. III, cap. 1; Sozomeno l. v, c. 2 ; Suida, aliisque.

(22) *Isc.* ἐγκατέστειλεν.

(23) Anno 361.

Digitized by Google

στρεπτὸν, ὃν δὴ καὶ βραχίονα ἡ συνήθης οἶδε φωνὴ καλεῖν, τῆς αὐτοῦ χειρὸς ἐξελὼν, ἐν τῇ κεφαλῇ τοῦ τυράννου τέθεικεν. Εἶτα Κωνστάντιος μὲν τὴν ἀποστασίαν αὐτοῦ μαθὼν, καὶ ὅλοις θυμοῖς κατ' αὐτοῦ χωρῶν, ὡς ἀνάξιον αὐτὸν ἀμύνηται, κατὰ μέσην τὴν ὁδὸν τοῦ βίου καὶ τῶν ἐλπίδων ἐκκόπτεται· ὑπὸ δὲ τῷ ἀσεβεῖ καὶ ἀλιτηρίῳ, μᾶλλον δὲ Ἀποστάτῃ καὶ παραβάτῃ, τὰ σκῆπτρα τῆς εὐσεβοῦς βασιλείας γίνονται.

ι'. Καὶ ὅρα μοι τὸ βάθος τῆς παρανόμου αὐτοῦ δολιότητος. Οὐκ εὐθὺς ἐξέρυξε [*f.* -ρευξε *vel* ἐξέρρηξε] τὴν κακίαν ὁ δόλιος· οὐδ' ἀπεγύμνωσε τὴν ἀσέβειαν ὁ παράνομος· οὐδὲ τὸ διώκειν ἦρξατο ὁ Ἀποστάτης (εἶδε [*f.* ἤδει] γὰρ ὅτι τῆς βασιλείας αὐτοῦ μήπω πῆξιν λαβούσης τελείαν, οὐκ ἀσφαλὲς [*f.* -λῶς] τὰ Χριστιανῶν παρακινήσοιεν [*f.*-σειεν *vel* -σοι ἄν], ὡς αὐτὸς ἐβούλετο, οὕτω κατὰ πάσης τῆς οἰκουμένης ῥιζωθείσης καὶ ἀνδρυνθείσης [*f.* ἀδρ. *vel* ἰδρ.] τῆς πίστεως τῶν ὀρθοδόξων)· ἀλλὰ τούς τε ἐπισκόπους, ὅσοι κατὰ τοὺς Κωνσταντίου καιροὺς καὶ χρόνους τῶν Ἐκκλησιῶν διὰ τὴν πίστιν ἐξεδιώχθησαν, τῆς ἐξορίας ἀνακαλεῖται, καὶ τὰς Ἐκκλησίας αὐτοῖς ἀποδίδωσι (24)· καὶ κτήσεις δὲ ἐκκλησιαστικῶν εἴπερ τινῶν ἀφῃρέθησαν πρότερον παρ' αὐτοῦ, ταῖς Ἐκκλησίαις ἀπεκατέστησεν. Ὅτε δὲ πῆξιν αὐτοῦ τὸ κράτος τῆς βασιλείας ἔλαβε, τότε διανοιγῆναι μὲν προστάττει τοὺς τῶν εἰδώλων κεκλεισμένους ναούς (25)· ἅπτεσθαι δὲ τὸ ἐπιβώμιον πῦρ· τελεῖσθαι δὲ καὶ τὰς ἐναγεῖς τελετὰς τῶν δαιμόνων, καὶ τὰς ὑπ' αὐτοῖς νενομισμένας θυσίας τοῖς Ἕλλησιν. Ἀλλὰ καὶ οἱ κἂν τινες ἐπὶ Κωνσταντίου ἢ ναὸν καθεῖλον εἰδωλικὸν, ἢ στήλην εἰδωλικὴν κατέαξαν, τούτους ἢ τὰ καθαιρεθέντα ἀνοικοδομεῖν καὶ τὰ κατεαγότα καινουργεῖν, ἢ πικραῖς τιμωρίαις καὶ θανάτῳ, δυσοίσταις καὶ ποιναῖς ὑποβάλλεσθαι. Ἐν οἷς ἦν καὶ Μάρκος ὁ Ἀρεθούσιος, ὃς τῶν σεσωκότων ἐξαγίστων εἷς ὤν, ὁπηνίκα τὸ σύμπαν αὐτοῦ γένος σφαγῇ παρεδίδοτο, ναὸν μὲν καθεῖλεν εἰδωλικόν· ἀνεγείρειν δὲ τοῦτον ἀναγκαζόμενος, ἐπεὶ μὴ ὑπήκουεν, ἄλλας τε δεινὰς καὶ πολλὰς τιμωρίας ὑπέστη, καὶ τέλος, παισὶν ἐκ παίδων μετέωρος ἀνεπέμπετο, γραφίοις ὑποδεχομένοις (26) τὸ γηραλαῖον ἐκείνου σῶμα τὸ τίμιον· καὶ γῆς ὄντως καὶ τῶν τῆς γῆς ὑψηλότερος. Τὰς δὲ τοῦ Θεοῦ ἐκκλησίας κοινῶς καθαιρεῖσθαι προσέταξε, καὶ μήτε μαθημάτων Ἑλληνικῶν μετέχειν Χριστιανοῖς [*f.*-νοὺς], μήτε ἀξιωμάτων συγκλητικῶν (27). Πολλοὶ μὲν οὖν ἡδέως

citur, e dextera sua detractum, capiti ipsius tyranni imposuisse. Constantius, ejus rebellionis nuntio accepto, plenus ira contra ipsum movit, ut de indigno illo ultionem sumeret. Verum medio in itinere morte interceptus, spe omni frustratur: sicque in manus impii illius Apostatæ sacri imperii sceptrum devenit.

10. Attende vero insignem hujus iniqui versutiam. Non enim statim nequitiam suam effudit astutus, nec statim impietatem suam detexit scelestus, nec statim persecutionem inchoavit Apostata (sentiebat enim parum tutum sibi fore, si imperio suo nondum plene firmato, Christianos, quorum fides tam altas radices ubique terrarum egerat, exagitare aggrederetur); sed episcopis qui Constantii tempore, fidei causa ejecti fuerant, ab exsilio revocatis ad ecclesias redeundi suas potestatem fecit; et facultates etiam ecclesiis quibus ablatæ fuerant restituit. Ut vero perspexit imperii sui potentiam satis esse firmatam, tunc nulla mora templa idolorum reserari jubet, ac profanorum altarium ignem accendi: exsecrabiles item dæmonum ritus, atque ab ipsis instituta cæcisque demandata gentilibus sacrificia celebrari jubet. Qui vero Constantio imperante idolorum aut templum diruerant, aut monumentum aliquod confregerant, eos mandat, aut diruta reædificare, et confracta reparare, aut diris tormentis et pœnis intolerabilibus subjici, aut etiam vita privari. Inter hos fuit Marcus Arethusius, unus ex illis qui infausto sidere ad servandum Julianum ipsum operam suam contulerant, cum totum illius genus neci traderetur. Porro hic templum idololatricum destruxerat. Jussus illud reædificare, haud paruit. Quare postquam multa alia tormenta sustinuit, tandem a pueris ad pueros pendulus remittebatur, qui cultris pennariis excipiebant venerandum senile corpus illius, qui teriæ, **485** cunctisque terrenis reipsa sublimior erat. Præter hæc, Julianus præcepit generatim ecclesias Dei ad terram dejici, vetuitque, ne Christiani Græcanicarum disciplinarum participes fierent, atque ab omni senatoria dignitate eos arcendos constituit. Idcirco multi sponte ac lubenter dignitatum insignia abjecerunt, *omnia arbitrantes ut stercora, ut Christum lucrifacerent* [7]. (Ex quo-

[7] Philipp. III, 8.

Variæ lectiones et notæ.

(24) Causam hujus concessionis satis ab hic indicata diversam, et magis iniquam affert Sozomenus l. v, cap. 5, nempe: Ὥστε ὑπὸ τῆς πρὸς ἀλλήλους ἔριδος ἐμφυλίῳ μάχῃ πολεμεῖσθαι τὴν Ἐκκλησίαν, *ut domesticis litibus et contentionibus Ecclesiam oppugnaret.* Hoc idem innuit Ammianus Marcellinus l. XXII, c. 5: scilicet, *eo modo putabat* ille *Christianum nomen posse perire de terris, si..... sacrilegas dissensiones liberas esse permitteret*, ut ait Aug. ep. 166, num. 105.

(25) Tunc, inquit Ammianus l. XXII, cap. 5, *sui pectoris patefecit arcana, et planis absolutisque decretis aperiri templa, arisque hostias admovcri ad deorum statuit cultum.* Tunc etiam, inquit Socrates l. III, cap. 11, τὰ ἱερὰ τῶν Ἑλλήνων ἠνέῳχτο, *gentilium templa aperta sunt.* Idem habet Theodoretus l. v, c. 21.

(26) Hæc pericope ita corrigenda ex Gregorio Nazianzeno orat. 3 (ejus enim verbis hic auctor manifeste utitur): Παισὶν ἐκ παίδων μετέωρος ἀντεπέμπτετο γραφίσιν ὑποδεχομένων τὸ γενναῖον σῶμα.

(27) Scilicet, ut ait Augustinus l. XVIII, *De civ. Dei*, c. 52, *Christianos liberales litteras docere ac discere*

Digitized by Google

rum numero fuere Jovinianus et Valentinianus, quos postea Deus ad imperii fastigium, statuto tempore, evexit.) Sed multi vanæ gloriæ cupiditate verum Deum ac Dominum nostrum Jesum Christum abnegarunt.

A τὰς ζώνας αὐτῶν ἀπεβάλοντο, *πάντα σκύβαλα ἡγησάμενοι, ἵνα Χριστὸν μόνον κερδήσωσιν.* Οἷος ἦν Ἰοβιανὸς καὶ Οὐαλεντινιανός, οἷς δὴ καὶ τὴν βασιλείαν ὁ Θεὸς κατὰ τοὺς ἰδίους ἑκατέρου καιροὺς παραδέδωκε. Πολλοὶ δὲ τῇ τῆς κενῆς δόξης ἐπιθυμίᾳ, τὸν ἀληθινὸν Θεὸν ἡμῶν καὶ Χριστὸν ἐξωμόσαντο.

11. Cunctis vero episcopis infensus erat Julianus, sed in id præsertim incubuit, ut Athanasium Alexandriæ episcopum, utpote strenuum Christianæ fidei propugnatorem et gentilismi aversorem validissimum, comprehenderet. Verum sanctus pontifex, ut hoc rescivit, obediens latæ a Christo legi[a], tempore quo persecutor alio distractus erat, opportune usus, conscensa navi, Alexandria solvit, seque in fugam conjecit. Cum autem imperatoris B navim persequentem vidisset, nauclero ut timorem flecteret imperavit, quasi necesse illi esset Alexandriam rursus appellere. Quo facto occurrerunt filii viri regii, quibus interrogantibus, num Athanasium ex urbe fugientem vidissent, ii qui in Athanasii navigio erant, responderunt eum paulum abesse, et fieri facile posse, ut ipsum, si remis paulo alacrius incumberent, assequerentur. Sic igitur illi decepti, Athanasium præteriere qui Alexandriam denuo ingressus, ibidem toto reliquo imperii impii Juliani tempore delituit.

ια'. Καὶ πᾶσι μὲν οὖν ἐπισκόποις Ἰουλιανὸς ἐπεμένατο [*f.* ἐπεμαίν.]· μάλιστα δὲ συλλαβεῖν ἠπείγετο τὸν Ἀλεξανδρείας ἐπίσκοπον Ἀθανάσιον, ὡς γενναῖον ὄντα τοῦ Χριστιανισμοῦ προστάτην καὶ πρόμαχον, καὶ τοῦ Ἑλληνισμοῦ καταλυτὴν καὶ ἀντίδικον. Ὁ δὲ τοῦτο μαθών, ὁ θεῖος τῷ ὄντι ἱεράρχης, πείθεται μὲν Χριστοῦ νόμοις, καὶ ὑπὸ χάριν τῷ διώκτῃ καιρῷ κεχρηκὼς ἀποπλεῖ μὲν τῆς Ἀλεξανδρέων· ἐπεὶ δὲ τὴν βασιλικὴν ναῦν ἐπιδιώκουσαν εἶδε, κελεύει τῷ κυβερνήτῃ τρῖψαι [*f.* τρέψ.] τοὺς οἴακας, ὡς δέον πάλιν εἰς Ἀλεξάνδρειαν καταπλεῖν. Ὁ δὴ καὶ γεγονὸς, συναντῶσοι (28) μὲν αὐτοῖς οἱ βασιλικοί· ἐπεὶ δὲ ἐπύθοντο ἐκεῖνοι, εἶπου τὸν Ἀθανάσιον εἶδοιεν τῆς πόλεως ἀποπλεύσαντα· οἱ ἐν τῷ Ἀθανασίου πλοίῳ, μικρὸν αὐτοὺς προάγειν τὸν ζητούμενον ἔφασαν, καὶ ὅσον ὡς εἰ ταῖς κώπαις ἐρεμβενέστερον (29) χρήσοιντο, αὐτὸν καταλήψεσθαι. Οὕτοι μὲν οὖν οὕτω κατασοφισθέντες, παρῆλθον τὸν Ἀθανάσιον (30). Ὁ δὲ πάλιν εἰς Ἀλεξάνδρειαν εἰσελθών, κρυπτόμενος ἦν πάντα τὸν τῆς ἀσεβοῦς βασιλείας καιρόν.

12. In Macedonia vero Theodulus et Tatianus, viri sanctissimi ac Spiritu ferventes[b], templum idololatricum noctu ingressi, cuncta idola in eo reperta confregerunt. Quamobrem regionis illius præses ut tyranno rem gratam faceret, pluribus quos id facinoris ausos sùspicabatur, violentas manus injicere parabat. At Theodulus et Tatianus, indignum se rati non procedere in medium, seque non prodere facti illius auctores, sicque multos insontes objicere iracundiæ tyranni, qui pro diis suis vindicandis ardebat, se ipsos intrepide prodidere: et omnem assentationem ad eos a consilio revocandos factam et omnem pœnarum subinde inflictarum acerbitatem constantissime despexerunt. Demum ferreis ignitis cratibus impositi, adeo jucundum ejusmodi discubitum reputarunt, ut et festive cum tyranno jocarentur dicentes: Si quidem cupis, o præses, assatis carnibus saturari, jube satellitibus tuis ut in alterum quoque

ιβ'. Ἐν Μακεδονίᾳ (31) δὲ Θεόδουλος καὶ Ταταιανὸς, ἄνδρες εὐσεβεῖς καὶ τῷ Πνεύματι ζέοντες, εἰς ναὸν εἰδωλικὸν εἰσελθόντες νυκτὸς, τὰ ἐκεῖσε συνέτριψαν εἴδωλα. Ὁ δὲ τότε τῆς χώρας ἄρχων, τῷ τυράννῳ τὰ πρὸς τὴν χάριν ὑπηρετούμενος, πολλοῖς ἐμελλε τὰς χεῖρας ἐπιβαλεῖν, ὡς δὴ τὸ ἔργον ἐκεῖνο τολμήσασι. Θεοδούλῳ δὲ καὶ Ταττιανῷ ἀγενὲς ἐδόκει τὸ μὴ οὐχὶ παρελθεῖν εἰς τὸ μέσον, καὶ ἑαυτοὺς ἐπιδεῖξαι τοῦτο τολμηθέντας ἐργάσασθαι, ἀλλὰ προΐεσθαι τοὺς ἐναντίους (32) θυμῷ τυράννου, ὑπὲρ τῆς τῶν οἰκείων θεῶν ζέοντος ἐκδικήσεως. Ὅθεν καὶ ἑαυτοὺς ἐμφανίσαντες, καὶ πᾶσαν μὲν κολακείαν προσαγομένην αὐτοῖς διαπτύσαντες, πάντων δὲ βασάνων ἐπαγωγὴν· καὶ πικρίαν καταφρονήσαντες, ὕστερον σιδηροῖς κραββάτοις πυρακτωθεῖσιν ἐπιτιθέντες [*f.* ἐπιτεθ.], οὕτω δροσερὰν ἡγοῦντο καὶ ἐπιτερπῆ τὴν ἀνάκλησιν [*f.* -κλισ.], ὥστε καὶ χαριεντίζεσθαι πρὸς τὸν τύραννον. Εἰ γὰρ ἐπιθυμεῖς, ἔλεγον, ὦ ἄρχων, κρεῶν ἐμφορηθῆναι ὀπτῶν, κέ-

[a] Matth. x, 23. [b] Rom. xii, 11.

Variæ lectiones et notæ.

vetuit. At Ammianus l. xxv, c. 4, solum *docere* ab ipso vetitum scribit; quod etiam ut *inclemens* notat, tametsi auctor minime Christianus.

(28) *Ισ.* συναντῶσι.

(29) *Ισ.* ἐῤῥωμενέστερον.

(30) Hanc historiam refert Socrates *Histor. Eccl.* lib. III, c. 14.

(31) Aut textus hic mendosus et mutilus, aut auctor memoria lapsus videtur. Nam ex Socrate lib. II, cap. 16, ex Sozomeno *Hist. Eccl.* l. v, c. 11, et ex Martyrologio Romano habemus Theodulum hunc et Tatianum in Phrygia martyrium subiisse, non in Macedonia; sed alium passum cum ipsis esse nomine Macedonium. Martyrologii verba hæc sunt ad diem 12 Septembris: *Mari in Phrygia passio sanc orum martyrum Macedonii, Theoduli et Tatiani, qui sub Juliano Apostata ab Almachio præside post alia tormenta super crates ferreas ignitas positi, exsultantes martyrium compleverunt.*

(32) *Ισ.* ἀναιτίους.

Digitized by Google

λευσον τοῖς δημίοις καὶ ἐπὶ θάτερον μέρος ἀνακλιθῆναι ἡμᾶς, ἵνα μὴ ἐξ ἡμισείας σοι ὀπτηθέντες, ἀηδέστεροι γενώμεθα (33). Ταῦτα λέγουσι τοῖς ἁγίοις, τὸ μακάριον τέλος αὐτοῖς ἐπῆλθε, καὶ εἰς ὀσμὴν εὐωδίας ὁλοκαύτωμα τέλειον τῷ ὑπὲρ ἡμῶν τιθέντι [*f.* τυθ.] (34) Χριστῷ ἀνηνέχθησαν.

ιγ'. Τίς γὰρ λόγος ἐξαριθμήσαιτο, ἃ καθ' ἑκάστην χώραν οἱ τῷ τυράννῳ ὑπηρετούμενοι τοῖς Χριστοῦ δούλοις ἐπεδείκνυντο (35); Οἵ πού γε [*f.* ὅπου γε] καὶ τὸν ἐπίσκοπον Ἀλεξανδρείας Γεώργιον (36) σύροντες διὰ τῆς πλατείας ἀπέκτειναν· εἶτα καμήλῳ ἐπιτιθέντες [*f.* ἐπιθέντες], καὶ τὰ τῶν μελῶν σπαράγματα θριαμβεύσαντες, καὶ τέλος, τῇ καμήλῳ συγκατακαύσαντες αὐτὸν, καὶ τὰ λείψανα τῆς τέφρας διέσπειραν. Ἄλλῳ δὲ σπλάγχνων ἀνασχισθέντων κριθὰς ἐπισπείραντες, εἶτα χοίρους ἐπαφέντες, τοιαύτῃ τραπέζῃ τούτους ἐστιάσαντο (37). Ἐν Τύρῳ δὲ, τὸν ἐπίσκοπον ταύτης Δωρόθεον, ὃς πολλοῖς ἐν λόγοις, καὶ συγγραφεὺς ἱστορικώτατος τῶν πάλαι ὁ ἀνὴρ γέγονεν, ὃς καὶ ἐπὶ Διοκλητιανοῦ καὶ Λυκινίου ὑπὲρ τὰ ἑξήκοντα ἔτη γεγονὼς, πολλαῖς ἠτάσθη ταῖς ὑπὲρ Χριστοῦ τιμωρίαις, τοῦτον ἐν Ἐδέσῃ τῇ πόλει οἱ τῆς πίστεως ἐχθροὶ, *ἐν γήρει πίονι πληθυνθέντα*, ὡς φησιν ὁ θεῖος Δαβὶδ (ἐτῶν γὰρ ἦν ἑκατὸν ἑπτὰ ὁ ἅγιος), θανάτῳ παρέδωκαν. Τί δ' ἂν λέγοιμι, ναῶν τε θείων βεβηλώσεις καὶ σκευῶν ἱερῶν ἁφαιρέσεις; Καὶ γὰρ ὁ τοῦ τυράννου θεῖος καὶ ὁμώνυμος αὐτῷ ὅσα (38) κοινῷ καὶ βεβήλῳ τόπῳ ἱεροῖς ἀδύτοις χρησάμενος, τέως μὲν τοῖς θείοις ἐνυβρίζων, *εἶπεν ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός.* — *Κύριος δὲ ἐκ τοῦ οὐρανοῦ διέκυψεν*, καὶ εὐθὺ *γινώσκεται Κύριος κρίματα ποιῶν*. Ἀπ' ἐκείνης γὰρ τῆς ἡμέρας, σῆψις τοῖς τούτου σπλάγχνοις ἐπεγεγόνει· αἵ τε γὰρ συνήθεις ἐκκρίσεις οὐκ ἐκ τῶν κατὰ φύσιν πόρων, ἀλλ' ἐκ τοῦ ἀκαθάρτου καὶ μιαροῦ στόματος ἐξεκρίνοντο.

ιδ'. Ἀλλὰ τούτων μὲν καὶ πλειόνων ἔτι γινομένων, πραότητα καὶ φιλανθρωπίαν ὁ ἐν βασιλεῦσι παράνομος, καὶ ἐν φιλοσόφοις ἄνους καὶ φρενόληπτος, ὑπεκρίνατο (39), βόθρους μὲν ὑποῤῥύσσων ἀδήλους, κρυπτὸς ἔσωθεν ὡς ὕπουλος καὶ πανοῦργος, ἔξωθεν δὲ ὁμαλίζων τὴν ἐπιφάνειαν, τὸ φαινόμενον εἶναι τάχα ὀρθόδοξον. Ὥστε καὶ πηγὰς μιαίνειν προσέταττε λύθροις ἐναγῶν θυσιῶν, καὶ αὐτὰ δὴ τὰ ἐν ταῖς πλατείαις κείμενα ὤνια. Ὦ τῆς ἀσυνίας (40) σου, παράνομε! Ὦ τῆς ἀναισθησίας σου, ἀκάθαρτε! Ὦ τῆς ἀγνωσίας σου, ἀνόητε! Οὐ συνιεῖς ὁ τὰ πάντα συνιέναι δοκῶν, ὡς οὐδὲν τῶν τοιούτων μολῦναι

A latus nos convertant: ne ex dimidio tantummodo assati tibi insuaviores videamur. Hæc dicentibus sanctis illis beatus finis supervenit, atque in odorem suavitatis perfectum holocaustum Christo qui pro nobis passus est, oblati sunt.

13. At quis sermo recensere valeat mala omnia quæ crudeles tyrannici imperatoris ministri Christi cultoribus intulerunt? Inter cætera ii *Georgium*, Alexandrinum episcopum, per plateas distractum interfecerunt: neque hoc contenti, sacrum ejus corpus camelo impositum, diu quasi de dilaceratis ejus membris triumphum agentes, circumgestarunt: tandem illud una cum camelo igni tradiderunt, cineresque in aera sparserunt. B Alterius visceribus disruptis, **486** hordeoque in eis immisso, porcos introduxerunt, quibus talem mensam apposuerunt in pabulum. Et Tyri episcopum Dorotheum virum disertissimum ac rerum antiquarum scriptorem peritissimum, qui, Diocletiano et Licinio imperantibus, jam tunc sexagesimum ætatis annum excedens, multis tormentis vexatus fuerat, immanes fidei hostes in civitate Edessena, *in senectute uberi multiplicatum* [10], ut ait David (erat enim septem supra centum annorum), vita privarunt. Verum quis mihi dicat quot et templa profanata et altaria ornamentis spoliata fuerint? Sane patruus tyranni, eique cognomen, sacris templis perinde ac profano communique loco utebatur, tantoque divina quæque contemptui C habebat, *ut diceret in corde suo, Non est, Deus* [11]. At *Dominus de cælo prospexit*, statimque *cognitus est Dominus judicia faciens* [12]. Ex ea enim die dira tabes ejus viscera invasit, ita ut consuetæ excretiones non ex solitis naturæ meatibus, sed ex impuro et iniquo ore erumperent.

14. Jam vero, cum hæc et pejora fierent, nihilominus et ille prævaricator et philosophus amens, mansuetudinem et benignitatem præseferebat: scilicet ut fallax et versipellis foveas latentes effodiebat, et nequitiam intus celabat: extrinsecus autem ita se gerebat, ut pene catholicus videre posset. Et hinc etiam fontes, et quæ in foris venalia prostabant, impiorum sacrificiorum libaminibus infici curavit. Sed, o insipientiam tuam, D o sceleste! o stoliditatem tuam, o impie! o inscitiam tuam, o demens! Anne tu, qui omnia scire præsumis, ignoras, nihil horum inficere posse

[10] Psal. xci, 15. [11] Psal. xiii, 1, 2. [12] Psal. ix, 17.

Variæ lectiones et notæ.

(33) *Ισ.* φαινώμεθα, ut habet Sozomenus *Hist. Eccl.* lib. 5, cap. 11, ubi eadem fere verba illis ascribit.

(34) *Ισ.* παθόντι.

(35) Scilicet, connivente Juliano, *velut relaxatis frenis, efferbuit in omnem sævitiam feritas paganorum*, inquit Rufinus, l. 2, *Hist. Eccl.*, cap. 28.

(36) Ille non erat legitimus Alexandrinus episcopus, sed in Athanasii adhuc viventis locum ab Arianis intrusus.

(37) Julianus tantæ crudelitatis auctores et ministros leniter scripto objurgare satis habuit. Ita Socrates *Hist. Eccl.* lib. III, c. 2, et Sozomenus lib. V, c. 7.

(38) *Ισ.* ὡς.

(39) Clementiam et humanitatem suam erga Christianos pluribus in epistolis suis commendat, præsertim ep. 7 et 43.

(40) ἀσυνεσίας.

Digitized by Google

487 sumentes, præsertim si inscienter id faciant? Et quidem improbus ac insanus ille haud ignarus erat evangelicæ doctrinæ, ad cujus præscriptum Christiani actiones suas componunt, quæque diserte docet id *quod intrat per os, hominem* fidelem *non coinquinare* [13]: nihilominus insano in Christum abreptus furore, nihil intentatum relinquebat, quod veræ fidei quoquo modo adversari videretur. Experta vero est ejus rabiem etiam ferme tota ea civitas, quæ bonis omnibus *vincit*, juxta sui nominis etymon, nempe Nicæa (locus victoriæ contra Arium, ubi orthodoxæ fidei fundamenta a trecentis octodecim sapientibus architectis posita sunt): erat quippe illa Christianis plane referta. Cum namque improbus ac furibundus imperator cunctis civitatum præsidibus potestatem fecisset, ut quidquid vellent, in Christianos agerent; quis dicere queat acerbos cruciatus, dira tormenta, intolerabiles oppressiones, et, ut verbo dicam, mala omnia quæ piis illis hominibus intulere? Præter hæc omnia, eos et facultatibus, et patria, et liberis exspoliabant; ac demum non solum tanquam sceleratos morti tradebant, sed etiam tanquam diis invisos qui ne sepulturæ quidem honore dignabantur. Et hac ratione ille cunctis ducibus actuosior erat. Erat autem illis omne studium ac cura, ut, quo plures possent, de medio tollerent Galilæos. Sic enim ille per contemptum vocabat Christianos. At ego puto, et quia magnum et gloriosissimum Christi nomen ore suo proferre non audebat; quippe quod etiam dæmonibus terribile est atque adversariis cunctis timendum maximeque admirabile. Fortasse etiam ipse ita edoctus fuerat a magis, quibus magistris utebatur, quique probe noverant tanti nominis virtutem, quod fortasse non semel experti essent, illud sibi in multis operibus suis impedimento fuisse.

15. Cæterum commentariensis qui Nicææ erat, ignarus aliquandiu fuit mandati Juliani, quod indicavimus. Ut primum vero ejus notitiam habuit, exsecutioni ut quantocius illud mandaret, edictum per totam civitatem promulgari jussit, quo præcipiebat, ut cuncti qui Christum adorabant, ea superstitione dimissa, diis immortalibus sacrificarent: secus, scirent se intolerandis cruciatibus variisque generibus mortis puniendos. Imperatorem enim ferre non posse, ut ii quorum benevolentia terræ marisque imperium obtinuerat, non ab omnibus δύναται τοὺς μεταλαμβάνοντας, καὶ μάλιστα ὅτε μὴ κατὰ προαίρεσιν γίνεται; Καίτοι μηδὲ τοὺς τοῦ Εὐαγγελίου νόμους ἀγνοῶν ὁ δεινὸς καὶ ἀναίσθητος· οὓς οἱ Χριστιανοὶ συμβούλους καὶ ὁδηγοὺς χρώμενοι, ὡς *οὐδὲν διὰ τοῦ στόματος κοινοῦσθαι πιστεύουσι καὶ μολύνεσθαι.* Ἀλλ' ὅμως ἐκεῖνος τῇ κατὰ Χριστοῦ μανίᾳ παραφερόμενος, πάντα ἐτόλμα κατὰ τῆς πίστεως. Ἀπήλαυσε τῆς τούτου λύττης καὶ ἡ πᾶσα σχεδὸν πόλις *νικῶσα* πᾶσι τοῖς ἀγαθοῖς Νίκαια (41), τὸ τῆς κατὰ Ἀρείου νίκης χωρίον, ἐν ᾗ τὰς τῆς ὀρθοδόξου κρηπῖδας πίστεως προσελάβετο τριακοσίοις δέκα καὶ ὀκτὼ σοφοῖς ἀρχιτέκτοσι προσχρησάμενον. Πλήρης μὲν γὰρ ἦν αὕτη Χριστιανῶν. Ἐπεὶ δὲ τῶν ἑκασταχοῦ πόλεων ἡγεμόσιν ὁ δεινὸς καὶ παρόργητος βασιλεὺς ἀφῆκε θέλημα κατὰ [*f.* κακὰ] τοῖς Χριστιανοῖς ποιεῖν ὅπως καὶ βούλοιντο αὐτοὶ, τίς ἂν ἐξισχύσοιεν ἐκδιηγήσασθαι τὰς πικρὰς τιμωρίας ἐκείνας, καὶ τὰς δεινὰς βασάνους, καὶ τὰς ἀνηκέστους θλίψεις τε καὶ ὀδύνας, καὶ ἁπλῶς πᾶσαν εἰπεῖν κακουχίαν, καὶ στενοχωρίαν, καὶ παροργισμόν; Πρὸς τούτοις δὲ, καὶ σὺν τούτοις, καὶ μετὰ τούτων, στεροῦσι μὲν αὐτοὺς τῶν προσόντων, καὶ πατρίδος ἅμα καὶ γένους· τὸ δὲ τελευταῖον, θανάτῳ παρεδίδοντο ὡς κατάδικοι (42), καὶ ταφῆς οὐκ ἠξιοῦντο ὡς ἀντίθεοι. Καὶ οὕτως αὐτὸς τῶν ἡγεμόνων ὁ δραστηριώτατος ἦν. Ἦν δὲ αὐτοῖς πᾶσα σπουδὴ, καὶ μελέτη, καὶ τέχνη, καὶ ἐπιτήδευμα, ὡς ἂν πλείους Γαλιλαίους ἐκ μέσου ποιήσοιεν· οὕτω γὰρ αὐτὸς ἐφυβρίζων ἐκάλει τοὺς Χριστιανοὺς (43), οἶμαι δ' ὅτι καὶ δεδιὼς διὰ γλώττης προφέρειν τὸ τοῦ Χριστοῦ μέγα καὶ ὑπερένδοξον ὄνομα· ὃ καὶ δαίμοσι φρικτὸν μόνον ἐπιλεγόμενον, καὶ τοῖς ἐναντίοις φοβερὸν καὶ πανθαύμαστον· καὶ τάχα ἀνεδιδάχθη καὶ τοῦτο παρὰ τῶν ἀγόντων αὐτῷ [*f.* αὐτὸν] γοήτων, σαφῶς εἰδότων καὶ ἐπισταμένων τὴν τοῦ ὀνόματος δύναμιν, ὡς πρὸς πολλὰ τῶν ἔργων αὐτοῖς ἴσως ἐμποδίσαν.

ιε'. Ὁ δὲ ἐν τῇ Νικαίᾳ κομενταρίσιος (44) ἀμαθὴς ἦν τοῦ τοιούτου προστάγματος· ἀλλ' εἰδὼς αὐτὸ, καὶ εἰς ἔργον ἀγαγεῖν ἔσπευδεν. Τοίνυν καὶ κηρύττει κατὰ πάσης τῆς πόλεως, ὡς ἂν πάντες οἱ τῷ Ἐσταυρωμένῳ λατρεύοντες μετάθωνται τὴν θρησκείαν, καὶ τοῖς ἀθανάτοις θεοῖς προσελθόντες θύσωσιν· ἢ γινωσκέτωσαν, τιμωρίαις ἀφορήτοις καὶ ἀνθρωπίνης δυνάμεως κρείττοσι, καὶ θανάτου τρόποις ποικίλοις ἐκδοθησόμενοι. Οὐ γὰρ ἀνέχεται βασιλεὺς παρὰ τῆς ὧν εὐμενείας τὴν πάσης ὁμοῦ γῆς καὶ θαλάσσης κρατοῦσαν ἀρχὴν δεξάμενος, μὴ

[13] Matth. xv, 11.

Variæ lectiones et notæ.

(41) Nicæa dicta est a verbo νικάω, quod *vincere* significat.

(42) Huc faciunt verba Socratis l. III, c. 2: *Ad hæc est et ubi Christianos aris alligatos velut victimas, imposuerunt, et multis aliis modis incredibiliter debacchati sunt.* Sic ego verto ea verba καὶ εἰς πολλὴν ἄλλην ἀρρητουργίαν ἐξεβακχεύθησαν.

(43) Non solum ille Christianos *Galilæos* vocabat, sed etiam, teste Gregorio Nazianzeno, pag. 81, lege lata præcepit, ut ab omnibus ita appellarentur.

(44) Commentarienses olim dicebantur (ut habetur ex *Etymologico Magno* Græcorum) ministri causarum criminalium, qui etiam chartas ad id spectantes servabant: unde postea chartularii sunt dicti. Verum commentariensis iste Nicænus majorem auctoritatem habuisse, aut certe, connivente impio Augusto, sibi arrogasse videtur. Est etiam *Commentarisius* nomen proprium apud Suidam in *Lexico*: sed hic nomen esse officii, dubitandum non videtur.

Digitized by Google

οὐχὶ τούτων ἐπιγνώμονας καὶ λατρευτὰς καταστῆσαι πάντας τοὺς ἐντὸς τῆς τηλικαύτης ἀρχῆς. Τούτου δὴ περιαγγελθέντος τοῦ ἀλογωτάτου κηρύγματος, εἰς τὴν ἐπιοῦσαν πάντας εἰς θέατρον ἀγαγὼν ὁ κομενταρίσιος, καὶ καθίσας αὐτὸς ἐφ' ὑψηλοῦ βήματος, τὸν κόλακα λόγον πρὸ τοῦ στίφους διεξίει [*f.* διεξῆει]. « Καὶ ὁρῶ μὲν ὑμᾶς, ὦ ἄνδρες, ἔφησε, σεμνότητός τε μεταποιουμένους, καὶ φρονήματος ἐνδεικνυμένους κατάστασιν, δοκῶ δέ μοι τοὺς πολλοὺς ὑμῶν παιδείας μετασχεῖν ἱκανῶς. Λίαν οὖν ἄτοπον εἴη τοιούτους ἄνδρας τῇ τῶν Γαλιλαίων ἀγροικίᾳ καθυπαχθῆναι, καὶ προσκυνεῖν ἀνθρώπῳ χθές που καὶ πρώην σταυρὸν ἐπὶ Πιλάτου κατακριθέντι· οὗ καὶ ὁ τάφος πᾶσι τοῖς βουλομένοις πρόδηλος. Ἄλλως τε, εἰ μὲν ἀκίνδυνον ἦν τὸ θρησκεύειν τοιούτῳ Θεῷ, ἴσως ἂν εἶχε συγγνώμην ἡ ἀμάθεια τοῦ κρείττονος· ὥστε [*f.* ὡς δὲ] καὶ παρὰ χρήματα, καὶ τιμάς, καὶ περὶ τὴν ζωὴν αὐτὴν, τὸ μεῖζον πάντων ἀπολαυμάτων, ὁ κίνδυνος· οὐκ ἀμαθείας μόνον καὶ ἀνοησίας, ἀλλὰ καὶ παντελοῦς ἐστιν ἀναισθησίας, τὸ τὴν ἐπικίνδυνον ταύτην λατρείαν αἱρεῖσθαι πρὸ τῆς ἀκινδύνου καὶ τῷ ὄντι βασιλικῆς. Εἰ οὖν ἐμοὶ πείθεσθε συμβουλεύοντι τὰ λῴονα, πρόσιτε τοῖς φιλανθρώποις θεοῖς· καὶ θυσίας αὐτοῖς προσενέγκαντες, κερδήσεσθε μὲν προηγουμένως τὴν αὐτῶν εὐμένειαν, οἰκειωθήσεσθε δὲ τῷ θεοφιλεῖ βασιλεῖ, καρπώσεσθε δὲ καὶ πρὸς τούτοις τὰ ἐκ τῆς οἰκειώσεως ἀγαθὰ, ἃ φιλοτίμως τοῖς αὐτοῦ φίλοις προτίθησιν. »

ις'. Ὡς οὖν ταῦτα τοῖς συναθροισθεῖσιν ἠκούσθη, οὐκ ὀλίγοι μὲν ἐκδόντες πρὸς τὰ λεχθέντα, ὁμολόγησάν τε τὰ τοῦ βασιλέως φρονῆσαι, καὶ τοῖς αὐτοῦ θεοῖς πᾶσαν ἀπονεῖμαι τιμήν. Οὓς ὁ κομενταρίσιος τιμαῖς καὶ δώροις ἀξιωσάμενος [*f.* δεξιωσ.], ὡς ἐδόκει, περιφανεστέρους ἐποίησεν. Ὅσοι δὲ τὴν εἰς Χριστὸν πίστιν φυλάττειν ᾑρετίσαντο βεβαίαν καὶ ἀπερίτρεπτον, μιᾷ φωνῇ πάντες ὡς ἐξ ἑνὸς στόματος ἐξεβόησαν· « Οὐ δυνάμεθα ἡμεῖς ἀρνήσασθαι Χριστὸν τὸν ἀληθινὸν Θεὸν, καὶ θύειν εἰδώλοις κωφοῖς καὶ ἀλάλοις. Ὅθεν πρὸς τούτοις φαμέν· *Θεοὶ οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Ἡμῖν δὲ εἷς Θεὸς ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσι. Καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς ὁ ἀληθινὸς Θεὸς, δι' οὗ τὰ πάντα.* Τοῦτον πιστεύομεν, καὶ ὁμολογοῦμεν, καὶ προσκυνοῦμεν, καὶ λατρεύομεν ἐξ ὅλης ψυχῆς, καὶ ἐκ μέσης καρδίας, μετὰ καθαροῦ τοῦ συνειδότος, καὶ ἀπεριτρέπτου φρονήματός τε καὶ λογισμοῦ, σὺν Πατρὶ καὶ ἁγίῳ Πνεύματι, εἰς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. » Ταῦτα αὐτῶν εἰρηκότων πρὸς τὸν τύραννον μετὰ παῤῥησίας, αὖθις θυμοῦ πλησθεὶς οὐκ ὀλίγου, καὶ μανίας ἀκατασχέτου, παρευθὺ τούτους δημοσίων κολάσεις φρικταὶ καὶ θάνατοι διεδέχοντο. Πολλοὶ δὲ καὶ λαθόντες, οἱ μὲν ὄρεσι καὶ ἐρημίαις ἑαυτοὺς

nibus, qui intra ejus ambitum degerent, agnoscerentur 488 et colerentur. Hoc promulgato iniquissimo edicto, sequente die omnes in theatrum convocat, cumque in sublimi tribunali consedisset, hunc primo ad universum cœtum blandum et adulatorium sermonem habuit : « Equidem video vos, o viri, multum maturitatis, judicii atque prudentiæ præ vobis ferre; haud dubito etiam plerosque vestrum satis in disciplinis ac scientiis versatos esse. Valde igitur dedecens esset, tales viros Galilæorum agresti rusticitate seduci, ac hominem venerari, qui paucis abhinc diebus, præside Pilato, cruci addictus fuit, cujus sepulcrum etiamnum omnium oculis patet. At si talem Deum colere omni vacaret periculo, veniam fortasse mereretur ignorantia melioris consilii, verum, cum hac de causa facultates, honores et ipsa, qua nihil charius est, vita periclitentur, profecto non solius ignorantiæ atque imprudentiæ res est, sed totius dementiæ atque insaniæ, spreta tutissima ac vere regia, cum, quæ tantis est obnoxia periculis, religionem velle sectari. Quare si mihi meliora suadenti creditis, accedite ad beneficos deos; quibus sacrificia offerentes, primo quidem ipsorum, quod in hac re caput est, benevolentiam captabitis : deinde imperatoris amicitiam, bonaque plurima, quæ amicis suis liberalissime ipse dispensat, consequemini. »

16. Hæc cum audissent qui aderant, haud pauci dictis ejus persuasi, professi sunt, se idem cum imperatore de religione sentire; ejusque diis honorem omnem impendere velle : quos commentariensis honoribus ac muneribus auctos, illustriores, in speciem, fecit. At, qui fidem Christi retinere constanter decreverant, ii una voce unoque ore confestim exclamarunt : « Nos non possumus Christum, qui verus Deus est, abnegare et sacrificare idolis surdis ac mutis, sed de iis dicimus : *Dii, qui cœlos et terram non fecerunt, percant* [15]. *Et similes illis fiant qui faciunt ea, et omnes qui confidunt in eis* [15]. Nobis autem *unus Deus, qui est super omnia, et in omnibus* [16] : *et unus Dominus Jesus Christus, per quem omnia* [17]. In hunc credimus, hunc confitemur et adoramus tota anima et ex intimo corde, pura conscientia, firma et immobili sententia, cum Patre et Spiritu sancto per infinita sæculorum sæcula. » His auditis, quæ summa cum libertate a fidelibus dicebantur, tyrannus subita ira exscandescens, violento furore repletus est : statimque cœptum est a satellitibus cruciatus, ac etiam mortes quibusdam inferre. Hinc alii clam montes et solitudines 489 petiere; alii per varia loca dispersi sunt, dulcem patriam, domesticos, amicos, et omnia quæ possidebant, contemnentes, *ut Christum* solum *lucrifacerent* [18], qui est verus

[15] Jerem. x, 11. [16] Psal. cxiii, 16. [16] Ephes. iv, 6. [17] I Cor. viii, 6. [18] Philipp. iii, 8.

Digitized by Google

Deus ac Dominus, Rex regum et omnium sæculorum et in sæcula.

A ἐξέδωκαν, οἱ δὲ εἰς πλείους διεσπάρησαν τόπους, τὸ φίλον τῆς πατρίδος ἔδαφος, καὶ οἰκείους, καὶ γνωστοὺς, καὶ πάντα τὰ προσόντα παρ' οὐδὲν θέμενοι, *ἵνα Χριστὸν* μόνον *κερδήσωσι*, τὸν ὄντως ἀληθινὸν Θεόν τε καὶ Κύριον, καὶ Βασιλέα τῶν βασιλευόντων, καὶ πάντων αἰώνων καὶ ἐπ' αἰώνων.

17. Ex horum numero fuere Timotheus, Comasius, (qui (45) et Etimasius) Eusebius, et Theodorus: qui cum ferre non possent videre, illorum cultum ubique in dies augeri, ac eorum, qui fidem abnegabant, perditionem, illorum vero, qui in fide perseverabant, ærumnas et vexationes, relicta Nicæa, Thessalonicam commigrarunt. Sed modico tempore inibi commorati, cum ejus quoque civitatis præsides, impii imperatoris voluntati obsequentes, sedulam navarent operam, ut cultum illorum relevarent, et gentilismum in pristinam dignitatem restituerent, et ut Christianorum

B res omnino pessundarent, ut si fieri posset, neque ipsum Christi nomen amplius in ea civitate et circumjacente regione audiretur; Thessalonica etiam relicta, Tiberiopolim, ad borealem illius plagam in principio terræ Illyriorum positam, sese contulerunt. Ubi nonnihil libertatis adepti, verbi semen in animarum agros rite spargentes, fructuosam uberemque agricolationem Christo Domino coluerunt. Non minus vero vita, quam divini verbi prædicatio, in ipsis elucebat. Quamobrem Timotheus Ecclesiæ Tiberiopolitanæ episcopus constituitur; videlicet *lucerna supra candelabrum posita est*[19]. Comasius autem, qui antea inter milites præcipuum locum tenuerat, cingulum solvit; omnemque, quæ cum impiis est, gloriam iis, qui huic

C terræ affixi sunt, abjecit: et crucem Christi amplectens, ac monasticum habitum, tanquam *arma lucis*[20], indutus, ipse quoque verbum salutis in circumjacentibus Tiberiopoli locis prædicabat. Etiam Eusebius monasticam vitam amplexus, cum verbi prædicatione, tum vitæ sanctitate multos ad bonam frugem adduxit. Ab avaritia vero velut malorum omnium radice[21] summopere abhorrens, paucula, quæ possidebat, cum pauperibus, in hilaritate et simplicitate cordis, communicabat; adeo ut *Pater orphanorum et viduarum adjutor*[22] diceretur. Erat item valde mansuetus ac suavis et (ut omnia uno verbo complectar) verus Christi discipulus. Theodorus autem fuit unus ex illis trecentis octodecim

D beatis Patribus, qui ad concilium Nicænum convenerunt, complens et ipse eorum beatorum numerum, utpote qui episcopali dignitate et gratia ornatus erat. Hic etiam sanctæ orthodoxæ fidei **490** lumen Tiberiopolitanis administravit.

ιζ'. Ἐκ τούτων ἦσαν Τιμόθεος καὶ Κο..... καὶ Ἐτιμάσιος, Εὐσέβιός τε καὶ Θεόδωρος· οἳ μὴ φέροντες ὁρᾶν, μήτε τὴν εἰδώλων τιμὴν ἐπὶ μεῖζον αἰρομένην ἑκάστοτε, μήτε τὴν τῶν ἐκπιπτόντων καὶ ἀρνησιχρίστων [*f.* ἀρνησιχρ.] ἀπώλειαν, μήτε τὰς τῶν ἐπιμενόντων τῇ πίστει κακώσεις, τὴν Νικαέων ἀπολιπόντες, τῇ Θεσσαλονικέων ἐπιδημοῦσιν. Οὐ πολὺν δὲ χρόνον ταύτῃ ἐνδιατρίψαντες, ἐπειδὴ κἀνταῦθα ἐπέχοντες τοῖς θελήμασιν οἱ ἐκεῖσε ὄντες διηκόνουν τοῦ ἀσεβοῦς αὐτοκράτορος, καὶ τὰ μὲν τῶν βεβήλων θεῶν ἐξαίροντες, καὶ τὸν Ἑλληνισμὸν

β εἰς τὸ ἀρχαῖον ἀποκαθιστῶντες ἀξίωμα· ὡσαύτως δὲ καὶ τὰ τοῦ Χριστοῦ καθαιροῦντες, καὶ μηδὲ ὄνομα τούτου ὑπολιπεῖν ἐν αὐτῇ τῇ πόλει καὶ τῇ περιχώρῳ σπουδάζοντες· τὴν Θεσσαλονικέων πόλιν καταλιπόντες, ἐπὶ Τιβεριούπολιν μεταβαίνουσιν, ἐπὶ τῷ βορείῳ μέρει τῆς Θεσσαλονίκης διακειμένην, καὶ ταῖς ἀρχαῖς τῆς τῶν Ἰλλυριῶν γῆς προσεχῶς συγκειμένην. Κἀν ταύτῃ τοι μικρᾶς ἀδείας λαβόμενοι, καὶ τὸν τοῦ λόγου σπόρον ταῖς τῶν ψυχῶν ἀρούραις ἐγκατασπείραντες, εὔσταχυ καὶ πίον τῷ Χριστῷ γεώργιον ἐφιλοπονήσαντο. Εἶχον δὲ σὺν τῷ λόγῳ καὶ τὸν βίον ἐκλάμποντα. Τιμόθεος μὲν οὖν καὶ τῆς ἐν Τιβεριουπόλει Ἐκκλησίας κατέστη ἐπίσκοπος, *ὁ λύχνος ἐπὶ τὴν λυχνίαν τεθείς*· Κομάσιος δὲ στρατιώτης ὢν πρότερον, καὶ στρατιωτῶν τις [*f.* ἐν

C τοῖς] μάλιστα, καὶ ζώνην μὲν ἐκείνην, καὶ δόξαν τὴν μετὰ τῶν ἀσεβῶν, τοῖς τῇ γῇ προσηλωμένοις ἀπέῤῥιψε· τὸν δὲ τοῦ Χριστοῦ σταυρὸν ἅρας καὶ τὸ μοναχικὸν σχῆμα, ὅπερ ἐστὶ τὰ τοῦ φωτὸς ὅπλα, καλῶς ἐπενδυσάμενος, καὶ αὐτὸς τὸν λόγον ἐν τοῖς Τιβεριουπόλεως χωρίοις ἐκήρυττεν. Εὐσέβιος δὲ καὶ αὐτὸς μὲν ἐτέλει τοῦ μοναχικοῦ τάγματος· κηρύττων δὲ τὸν λόγον τῆς ἀληθείας, καὶ διὰ τοῦ βίου μᾶλλον τοὺς πλείους ἐπήγετο· φιλαργυρίαν μὲν ὡς ῥίζαν πάντων τῶν κακῶν βδελυξάμενος, πένησι δὲ, καὶ αὐτῶν τῶν μικρῶν, ὧν εἶχε, μεταδιδοὺς ἐν ἱλαρότητι καὶ ἁπλότητι· καὶ ὅλως εἰπεῖν, *πατὴρ ὀρφανῶν, χηρῶν βοηθός*, μειλίχιος, ἥμερος, τὸ ὅλον φάναι, Χριστοῦ μαθητής. Θεόδωρος δὲ, οὗτος μέν γε

D καὶ τῶν ἐν Νικαίᾳ συνελθόντων ἁγίων καὶ μακαρίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων Πατέρων εἷς ἦν, συμπληρῶν καὶ αὐτὸς τὸν ἀριθμὸν τῶν μακαρίων· καὶ γὰρ τοῦ ἐπισκοπικοῦ ἠξίωται καὶ ἀξιώματος καὶ χαρίσματος. Ὅς καὶ τοῖς ἐν Τιβεριουπόλει τὸ τῆς εὐσεβοῦς καὶ ὀρθοδόξου πίστεως φῶς ὑπέδειξεν.

[19] Luc. xi, 33. [20] Rom. xiii, 12. [21] I Tim. vi, 10. [22] Psal. lxvii, 6.

Variæ lectiones et notæ.

(45) Parvulam lacunam apographi ita ex conjectura suppleo: nam Ko, *Co*, initium videtur esse nominis *Comasii*. Cum vero oporteat hunc non alium ab Etimasio esse (alioquin non quindecim, sed sexdecim essent hi martyres), hinc videtur in autographo ita scriptum exstitisse: Κομάσιος, ὅς καὶ Ἐτιμάσιος, *Comasius, qui et Etimasius;* quo scilicet indicaretur, sanctum istum martyrem binominem fuisse. Cujus rei illud etiam argumentum esse potest, quod, cum paulo post singulorum horum martyrum gradus et qualitates explicentur, de Etimasio nulla amplius mentio fiat.

Digitized by Google

ιη'. Οὐκ ἦν δὲ ἄρα διαψευσθῆναι τὸ ὑπὸ τοῦ Κυρίου ῥηθὲν ἐν τοῖς θείοις Εὐαγγελίοις, καὶ *κρυβῆναι πόλιν ἐπάνω ὄρους κειμένην*, τὴν τῶν ἱερῶν τούτων δηλαδὴ πολιτείαν ἐπὶ τοῦ τῆς ἀρετῆς ὕψους ἀνῳκισμένην, καὶ τῆς τοῦ κοιλάδος κλαυθμῶνος ὑπερηρμένην, τῆς τῶν γηΐνων καὶ χαμερπῶν ταπεινότητος. Ἀλλ' ὅσον λανθάνειν ἐσπούδαζον, τοσοῦτον ἦσαν περιφανεῖς, καὶ μάλιστα τοῖς ἐρασταῖς τῶν καλῶν. Οἳ καὶ οὐκ ἀνεκτὸν ἡγησάμενοι, δεψῶντες, μὴ τῇ πηγῇ προσδραμεῖν, εἰδὴ (46) μᾶλα καὶ εἰδὲς [*f.* διειδὲς] (47) ἐκδούσῃ τὸ νᾶμα, δρομαῖοι προσέδραμον. Πέτρος, οὗτοι, καὶ Ἰωάννης, καὶ Σέργιος, καὶ Θεόδωρος, καὶ Νικηφόρος, *ἐν καθέδρᾳ πρεσβυτέρων αἰνοῦντες τὸν Κύριον* (48)· σὺν τούτοις δὲ Βασίλειος, καὶ Θωμᾶς, οὗτοι διακόνων ὄντες βαθμοῦ· μοναχοὶ δὲ, Ἱερόθεος, καὶ Δανιὴλ, καὶ Χαρίτων. Σωκράτης δὲ, ὁ τὰ πάντα σαφῶς (49) ἐν στρατιώταις τεταγμένος, πλούτου τε καὶ δόξης ἱκανῶς ἔχων, ὡς κονιορτὸν πάντα ἐκτιναξάμενος, τοῦ καλοῦ τούτου τῶν Πατέρων θιάσου καὶ αὐτὸς μέρος ἐγένετο. Ὡς οὖν ἐπὶ τὸ αὐτὸ πάντες συνῆλθον, ἀγγελικὴν πολιτείαν τῷ ὄντι μετῆσαν, καὶ *ἐν τῷ νόμῳ τοῦ Θεοῦ μελετῶντες ἡμέρας καὶ νυκτὸς*, οὐδὲν ἄλλο ἢ τὸ Δαυϊτικὸν ἐκεῖνο παρεῖχον ἐπ' αὐτοῖς πληρούμενον λόγιον· *Ἰδοὺ δὴ, τί καλὸν ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό;* Φωτίζοντες δὲ πάντας τοὺς ἐκεῖσε τὸ τῆς γνώσεως φῶς, καὶ ψυχῶν ἀσθενείας ἰώμενοι· ἀλλ' οὐδὲ τοῖς [*f.* τοὺς] σωματικοῖς κεκρατημένους πάθεσιν, ἀθεραπεύτους παρέτρεχον. *Ὃ δωρεὰν ἔλαβον, δωρεὰν παρεῖχον τοῖς χρῄζουσιν*, ἓν ἀπαιτοῦντες τίμημα μόνον, ὃ παντὸς ἄξιον, τὴν πρὸς Χριστὸν πίστιν, τὸν πάντα δυνάμενον. Ἐντεῦθεν καὶ ὁ τῆς διδασκαλίας αὐτῶν λόγος ἐγένετο εὐδρομώτερος· πτερὰ γὰρ τῷ λόγῳ τὰ θαύματα, ὑψηλότερόν τε αὐτῶν [*f.* αὐτὸν] ποιοῦντα τῶν διωκόντων, καὶ εἰς πλατείας παρασκευάζοντα φέρεσθαι.

ιθ'. Ἐπεὶ δὲ, τῆς τούτων φήμης πάντα τόπον διεπταμένης ὀξεῖ τῷ πτερῷ, καὶ τὴν Θεσσαλονίκην πολὺς ὁ περὶ τούτων κατεῖχε λόγος, Οὐάλης καὶ Φίλιππος, οὓς φθάσας ὁ λόγος ἐδήλωσεν, ἐν Θεσσαλονίκῃ καθημένους, τῶν Ἰουλιανοῦ προσταγμάτων οὐκ ἀμελεῖς τυγχάνειν ἐκπληρωτὰς, ἀκούσαντες καὶ αὐτοὶ τὴν πολιτείαν τῶν ἀνδρῶν, ὡς μικροῦ καὶ τῶν ἀγγέλων ἀμιλλῶντα τῇ ἀϋλίᾳ, καὶ τὸν λόγον, ὅτι πολὺς εἴη, καὶ θείαν τινὰ ἔχων χάριν καὶ δύναμιν πρὸς [*f. add.* τὸ] τοὺς ἀκηκόστας ἐπάγεσθαι, καὶ ὅτι οὐδεὶς τὰ Ἑλλήνων πρεσβεύων ὑπελείφθη ἐν τῇ τῶν Τιβεριουπόλεως περιχώρῳ, πάντες δὲ οἱ τῇδε Χριστοῦ μαθηταὶ καὶ προσκυνηταί· ζηλοῦσι μὲν ὑπὲρ τῶν πατρῴων αὐτῶν ἐθῶν καταλυομένων, ζηλοῦσι δὲ καὶ ὑπὲρ βασιλικῶν διαταγμάτων ἀθετουμένων. Ταῦτα τῶν τυράννων ἀκουσάντων, σκέπτονται τρόπῳ τοιῷδε. Καὶ πρῶτα μὲν, παρασκευάζονται

A 18. At vero frustrari non poterat, quod dictum est in Evangelio [23]: *Abscondi non potest civitas supra montem posita*, nempe sanctorum conversatio ad culmen virtutis evecta, et supra hanc lacrymarum vallem, seu supra omnium terrenarum caducarumque rerum abjectionem, elevata. Sed quanto plus illi latere satagebant, eo illustriores et celebriores reddebantur, præsertim apud eos qui pietatis ac virtutis amatores erant: qui cum intolerabile sibi esse putarent, si sitibundi, ut erant, ad fontem, dulcem pulchrumque laticem effundentem, non accederent, ad eos confestim accurrerunt. Ili fuerunt Petrus, Joannes ac Sergius, Theodorus ac Nicephorus, in *cathedra seniorum laudantes Dominum* [24]: Basilius et Thomas ex ordine diaconorum: Hierotheus, Daniel, et Chariton, monachi, ac Socrates, qui primum in militia præclarissime se gerens, satis sibi divitiarum et gloriæ comparaverat, sed his omnibus a se rejectis, et velut pulvere excussis, eximio huic Patrum cœtui meruit adnumerari. Ili igitur cum omnes simul convenissent, genus quoddam vitæ plane angelicum aggressi sunt: ac in *lege Domini meditantes die ac nocte* [25], illud Davidicum præstiterunt in seipsis completum [26]: *Ecce quam bonum et quam jucundum habitare fratres in unum.* Illuminabant vero omnes loci illius incolas veræ cognitionis lumine, et ita quidem, ut dum animarum mederentur languoribus, eos qui corporalibus infirmitatibus detinebantur, absque cura non præterirent [27]: *et quod gratis acceperant gratis indigentibus dabant*, non aliud exigentes pretium, quam illud omnium pretiosissimum, nempe fidem in Jesum Christum, qui omnia potest. Et hinc verbum doctrinæ velocius reddebatur: cui miracula alarum loco erant, quæ ipsis persecutoribus reddebant sublimius, et ad plateas deferebant.

19. Cum vero, illorum fama longe lateque celerrime pervagata, etiam Thessalonicæ frequens de eisdem sermo haberetur; Valens et Philippus, quos antea diximus fuisse Thessalonicæ sedulos mandatorum Juliani exsecutores, audientes et ipsi conversationem ipsorum, angelorum ferme materiæ expertium æmulantem naturam, et eorum sermonem potentem esse, divinamque ad persuadendos auditores gratiam et energiam habere, neminem vero Tiberiopoli, et circumjacentibus in locis, qui gentilismum tueretur, superesse, sed omnes esse inibi Christi discipulos et adoratores; zelo inardescunt pro dissolutis patriis ritibus, spretisque mandatis imperatoris. **491** Quid igitur agendum sit, serio dispiciunt: ac primo quidem decernunt, mittere Tiberiopolim apparitores aliquot sævos ac truces, qui illos vel persuaderent, ut imperatoris

[23] Matth. v, 17. [24] Psal. cvi, 32. [25] Psal. i, 2. [26] Psal. cxxxii, 1. [27] Matth. x, 8.

Variæ lectiones et notæ.

(46) *Isc.* ἡδύ.
(47) *Isc.* εὐειδές.
(48) Hoc est, presbyterali seu sacerdotali dignitate ornati. (49) *Isc.* σοφῶς ἢ σοφός.

Digitized by Google

obsequentes voluntati, diis sacrificarent, sicque bonis omnibus fruerentur, quæ imperator ipse distribuere potest; vel hoc renuentes intolerandis primum cruciatibus afficerent, ac dein gladio vitam ipsis adimerent. Mox vero, mutata sententia, consultius visum illis est, ut non aliis id negotii imponerent, sed ipsi illuc abeuntes omnem industriam ad finem consequendum adhiberent. Siquidem contra murum firmiorem machinæ graviores sunt admovendæ.

A τινας ταξεώτας εἰς Τιβεριούπολιν στεῖλαι στιβαρούς τὸ ἦθος, τῇ γνώμῃ πικρούς, ὡς ἂν ἡ πείσωσι τοὺς ἄνδρας τὰ βασιλέως ἐλέσθαι καὶ θῦσαι τοῖς θεοῖς, καὶ πάντων ἀγαθῶν ἀπολαῦσαι ὅσα χεὶρ βασιλέως βουλομένου δίδοσθαι δύναται· ἢ μὴ πειθομένους τοῦτο ποιεῖν, ἀφορήτοις τιμωρίαις ὑποβαλλομένους τὸ πρότερον, τῷ ξίφει τὴν τελευταίαν ὑπέχειν δίκην. Ταῦτα λογισαμένοις αὖθις ἔδοξε κρεῖττον, μὴ ἑτέροις ἐπιτρέψαι τὸ ἔργον, ἀλλ' αὐτοὺς ἀπελθόντας ὅλην τὴν οἰκείαν δραστηριότητα [*f. add.* εἰς] τὸ ἔργον ἐπιδείξασθαι. Πρὸς γὰρ τὸ στερρότερον τοῦ τείχου [*f.* τείχους] καὶ ἡ τῶν μηχανημάτων βαρυτέρα ἡ ἀντίστασις.

20. Tiberiopolim igitur profecti, cum omnes fama crudelitatis suæ primum complevissent, sanctos comprehendi et ad se adduci jubent. Quod ut factum est, in sublimi tribunali, ut eorum aspectus majorem terrorem incuteret, et vox facilius ab astantibus audiretur, considentes, ita loqui cœperunt: « Cum omnis ferme quæ sub cœlo est, terra obediat sacro imperatoris mandato, quo quisque præcipitur eos tanquam deos venerari, quos antiqui sapientes tradiderunt, eisque templa excitare, altaria erigere, sacrificia offerre, aliosque honores impendere, novam vero superstitionem non amplecti, neque novitii cujusdam ac nuperi Dei rationem ullam habere: quomodo vos soli, quasi extra nostrum hunc mundum nati essetis, ac sapientiora divinis iis viris qui olim floruerunt invenissetis, aut majus mentis acumen majoremque sapientiam, quam imperator noster, cui sapientes omnes primas concedunt, beata quadam sorte haberetis, nihili penditis sapientum de diis nostris testimonia: spernitis quoque imperatoris mandata, ac hominem nuper in Palæstina natum ex muliere (utique paupercula, fabri enim uxor erat), et crucifixum cum latronibus, velut Regem ac Deum colitis, illique honorem omnem exhibentes, magnam vos religionem exercere arbitramini? Cur, et quomodo ista? Dicite. »

B

C

κ'. Ἐπιστάντες οὖν τῇ Τιβεριουπόλει, καὶ πᾶσαν ψυχὴν τῇ τῆς ὠμότητος αὐτῶν φήμῃ προκαταστήσαντες, συλληφθῆναι τοὺς ἁγίους κελεύουσιν. Ἐπεὶ δὲ συλληφθέντες ἤχθησαν, ἐφ' ὑψηλοῦ δὲ οἱ τύραννοι καθίσαντες βήματος, ὡς ἂν ἵνα καὶ ἡ θέα αὐτῶν μᾶλλον φέρει κατάπληξιν, καὶ ὁ λόγος αὐτῶν ἐξάκουστος γίνεται, οὕτως ἔφησαν· « Ἀπάσης τῆς ὑφ' ἥλιον, ὡς εἰπεῖν, γῆς, τῷ βασιλικῷ θείῳ προστάγματι πειθομένης, ὅπερ ἐστὶ θεοὺς μὲν νομίζειν, οὓς οἱ πάλαι σοφοὶ παρέδοσαν, καὶ τούτοις ναούς τε ἀνιστᾷν, καὶ βωμοὺς ἱδρύνειν, καὶ θυσίας προσφέρειν, καὶ τὰς ἄλλας ἀποδιδόναι τιμάς, καινοτομίαν δὲ θρησκείας μὴ παραδέχεσθαι, μηδὲ νεαρῷ καὶ προσφάτῳ τινὶ προσέχειν θεῷ· πῶς ὑμεῖς μόνοι, ὥσπερ ἔξω τῆς καθ' ἡμᾶς οἰκουμένης ὄντες, ἢ σοφώτερά τε τῶν πάλαι γενομένων θεσπεσίων ἀνδρῶν ἐξευρόντες, ἢ μείζονα μὲν δύναμιν, πλείω δὲ σοφίαν τοῦ αὐτοκράτορος ἡμῶν εὐτυχήσαντες, ᾧ πάντες σοφοὶ τῶν πρωτείων παραχωροῦσι, λήρους μὲν ἡγήσασθε τὰς τῶν σοφῶν περὶ θεῶν μαρτυρίας, διεπτύσατε δὲ καὶ τὰ βασιλικὰ προστάγματα, ἀνθρώπῳ δέ τινι ἐν Παλεστίναις γεννηθέντι ἐκ γυναικὸς πενιχρᾶς, (καὶ τί γὰρ, εἰ τέκτονι ἁρμοσθείσης εἰς γάμον;) εἶτα σταυρωθέντι μετὰ ληστῶν, τούτῳ δὴ ὡς Βασιλεῖ καὶ Θεῷ προσέχετε, καὶ πᾶσαν ἀποδιδόντες τιμὴν εὐσεβεῖν οἴεσθε; Πῶς; ταῦτα; Εἴπατε. »

B

21. Ad hæc sancti nihil hæsitantes responderunt: « Equidem oporteret, o præsides, apud judices præjudiciis et affectibus omnino vacuos, responsa nos esse daturos; sic enim veritas clarius et evidentius sese visendam præberet. At quoniam eosdem accusatores et judices habere cogimur, facile pervidemus, apud vos veritati prævaliturum esse mendacium. Sed neque hac quidem ratione silebimus: confidimus enim in Christo Domino qui *factus est nobis sapientia a Deo, et dat verbum evangelizantibus, in* **492** *apertione oris*, quique *dat os et sapientiam* [28] et sermonem suis pugilibus ac testibus, ut ipse promisit, *cui non poterunt resistere et contradicere omnes adversarii* [29]. Nos igitur neque soli inter homines sumus, qui deos vestros rejiciamus, neque soli, qui orthodoxam fidem et religionem profiteamur: innumera enim hominum millia in

κα'. Πρὸς οὓς οἱ ἅγιοι, μηδὲ μικρὸν ὑποσχόντες [*f.* ἐπισχ.], « Ἔδει μὲν ἡμᾶς, εἶπον, ὦ ἡγεμόνες, ὑπὸ κριταῖς ἀδιαφόροις ποιεῖσθαι τὰς πρὸς ἐρώτησιν ἀποκρίσεις· οὕτω γὰρ ἂν ἐδείχθη περιφανέστερον ἡ ἀλήθεια. Ἐπεὶ δὲ τοῖς αὐτοῖς χρώμεθα κατηγόροις καὶ δικασταῖς, δῆλον μὲν ἡμῖν ὃ συμβήσεται, τὸ τὴν ἀλήθειαν δηλαδὴ παρευημερηθῆναι τῷ ψεύδει. Πλὴν ἀλλὰ καὶ οὕτως οὐ σιωπήσωμεν [*f.* σιωπήσομεν]. Θαῤῥοῦμεν γὰρ Χριστῷ, ὃς *ἐγερθὴ ἡμῖν ἀπὸ Θεοῦ σοφία*, καὶ *δίδωσι ῥῆμα τοῖς εὐαγγελιζομένοις ἐν ἀνοίξει τοῦ στόματος*, καὶ *παρέχει στόμα καὶ σοφίαν* καὶ λόγον τοῖς αὐτοῦ ἀθληταῖς καὶ μάρτυσιν, ὡς αὐτὸς ἐνετείλατο (50), *ᾗ οὐ δυνήσονται ἀντιστῆναι οὐδὲ ἀντειπεῖν πάντες οἱ ἀντικείμενοι*. Ἡμεῖς οὖν, οὔτε μόνοι τῶν ἄλλων ἀνθρώπων τοὺς ὑμετέρους θεοὺς διαπτύομεν, οὔτε μόνοι εἰς τὴν αὐτὴν πίστιν καὶ εὐσέβειαν

[28] 1 Cor. I, 30; Psal. LXVII, 8; Ephes. VI, 17. [29] Luc. XXI, 15.

(50) *Isc.* ἐπηγγείλατο.

Digitized by Google

τὴν ὀρθόδοξον παρεισήχθημεν. Ἀναρίθμητοι γὰρ μυριάδες εἰσὶν ἐν πάσῃ τῇ οἰκουμένῃ οἱ τὴν εἰς Χριστὸν πίστιν ἐπεγνωκότες, τὴν ὄντως καθαρὰν καὶ ἀμώμητον. Τὴν δὲ τῶν Ἑλλήνων παιδείαν τε καὶ θρησκείαν, ὡς ματαίαν καὶ ψευδώνυμον, χλεύην τιθέμενοι διαπτύουσι καὶ ἀποστρέφονται. *Εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος* τῶν ἀποστόλων καὶ μαθητῶν τοῦ Χριστοῦ, *καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν*. Ἀλλ' οὐδὲ τοῖς καθ' ὑμᾶς ἀπιστοῦμεν σοφοῖς. Ἀλλ' εἴ δεῖ τι καὶ παράδοξον μὲν, ἀληθὲς δὲ εἰπεῖν, ἡμεῖς μᾶλλον αὐτοῖς πειθόμεθα, ἢ ὑμῖν (51). Ὅταν γὰρ σὺ μὲν ἀκούων τοῦ ποιητοῦ, τὸν Δία καὶ μοιχὸν εἰσάγοντος, καὶ ἀρτοποιὸν (52), καὶ ἀπατῶντα καὶ ἀπατώμενον, καὶ δεσμούμενον, καὶ δακρύοντα, εἶτα προσκυνεῖς αὐτὸν ὡς Θεόν· ἐγὼ δὲ τούτων αὐτῶν ἀκούων περὶ αὐτοῦ λεγομένων, διαπτύω τοῦτον, καὶ οὐχ ὅπως Θεὸν ὀνομάζω, ἀλλὰ παντὸς ἐναγοῦς καὶ φθόνου, καὶ τίνος γὰρ οὐχὶ τῶν διαβαλλομένων, χείρονα τίθεμαι· πότερος ἡμῶν ἀκόλουθα δοξάζει ταῖς περὶ τοῦ Διὸς ὑπολήψεσι; Περὶ δὲ τῶν ἄλλων θεῶν, τί δεῖ καὶ λέγειν, οὕτω καὶ ἐπὶ τοιούτοις ἐληλεγμένου τοῦ κορυφαίου; Ἀλλὰ ποιηταὶ μὲν τοιαῦτα καὶ περὶ τῶν ὑμετέρων θεῶν, οἱ καὶ πηγαὶ δοκοῦσι πάσης σοφίας εἶναι, καὶ πάσης διδασκαλίας θεμέλιοι. Τῶν φιλοσόφων δὲ, ὅσοι καὶ θεσπεσιώτεροι δοκοῦσιν ὑμῖν, τοὺς παρὰ ποιηταῖς ὀνομασθέντας θεοὺς πῦρ εἶναι, γῆν, ἀέρα, ὕδωρ, ἥλιόν τε καὶ σελήνην, καὶ τοὺς λοιποὺς ἀστέρας ἐδόξασαν. Οἷς οὐδὲ αὐτοῖς πάντως προσκυνητέον. Κτίσματα γὰρ ὄντα, καὶ δι' ἡμᾶς τὸ εἶναι λαβόντα, τίς δ' ἂν φρονῶν καὶ νοῦν ἔχων αὐτοὺς τιμήσοιεν; Τίς δὲ ἐῤῥωμένας ἔχων τὰς φρένας, λατρεύσοι τῇ κτίσει παρὰ τὸν Κτίσαντα; Τίς δὲ νοῦν ἔχων καὶ φρόνιμος θεοῖς ἀψύχοις σεβάζεται, *οἷς οὐκ ἔστι σύνεσις*, ἀλλὰ τροπῆς παραλλαγή; Τίς τοῖς δούλοις ὡς δεσπόταις λατρεύσειεν; Ἀνθρώπου γὰρ δοῦλα πάντα καὶ ὑποχείρια· ὅτι τὰ μὲν, ἄψυχά τε καὶ ἄλογα· ὁ δὲ λόγος τετιμημένος καὶ πάντων ἄρχει, ὡς εἰκόνα σώζων κατὰ [*f.* καὶ] τοῦ Θεοῦ. Περὶ δὲ τοῦ βασιλέως ἔστι μὲν ἡμῖν καὶ μακρότερα λέγειν· ἀλλ' ἐπίτομόν τινα ποιησόμεθα τὴν ἀπόκρισιν, ἵνα μὴ τὸν καιρὸν ἐνδιατρίβομεν, ὡς ἐπὶ τὸν ἀληθινὸν βασιλέα. Ἐκεῖνος μὲν γὰρ ἠρνήσατο Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, καὶ παραβάτης τῆς πρὸς αὐτὸν ἐγένετο πίστεως, ἀθετήσας τὰς θείας ἐντολὰς αὐτοῦ καὶ τὰ ζωηρὰ προστάγματα. Οὐκ ἀξίως [*f.* ἄξιος] δ' ἂν εἴη προφέρειν ἡμῖν τὴν τῶν ἰδίων προσταγμάτων ἀθέτησιν, καὶ κολάζειν ἀπειλῶν ὡς ταῦτα παραβαίνειν ἐθέλοντας. Ὁ μὲν γὰρ ἀπέστη τοῦ σεσωκότος, καὶ ἀπέστη καὶ αὐτὸς ἀπ' αὐτοῦ, κατὰ τὸ προφητικὸν λόγιον τὸ φάσκον· *Ἀπέστη ἀπὸ Θεοῦ, καὶ ἀπέστη καὶ ὁ Θεὸς ἀπ' αὐτοῦ*· καὶ, *Οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ· καὶ ἠγάπησε κατάραν,*

A mundo sunt, qui Jesu Christi fidem vere puram et immaculatam agnoscunt, gentilium vero doctrinam et religionem velut vanam et conflictam ludibrio habent, rejiciunt et exsecrantur. *In omnem enim terram exivit sonus* apostolorum Christi Domini, *et in fines orbis terræ verba eorum* [30]. Neque etiam nos sapientibus vestris fidem omnem detrahimus: quin (si dicendum quod verum est, tametsi paradoxum videatur) nos magis quam vos, eisdem credimus. Cum enim vos audientes, Jovem a poeta induci modo adulterum, modo raptorem, interdum deceptorem, aut deceptum, aliquando victum et plorantem, deinde ipsum adoratis ut deum: ego vero audiens ista de eo dici, ipsum despicio, neque ullo pacto deum appello, sed quacunque re B exsecranda (qua enim non?) pejorem ipsum habeo: quisnam nostrum de Jove magis congrue, et ad prænotiones quæ de ipso habentur, magis consentanee judicat? De aliis diis quid attinet dicere, cum de talibus ac tantis eorum princeps convictus fuerit? Et quidem poetæ, qui omnis sapientiæ fontes ac fundamenta cujusvis doctrinæ videntur esse, talia de vestris diis habent. Quoad philosophos attinet, profecto ii, qui majore æstimatione apud vos florent, quos poetæ deos appellant, ipsi ignem, terram, aerem et aquam, solem ac lunam reliquasve stellas esse existimant. Neque hæc sane adoranda sunt. Cum enim creaturæ sint, et quidem propter nos factæ, quis prudens ac sapiens ea honoraverit? et quis sanæ mentis adorabit creaturam C præ Creatore? aut quis intellectum habens veneretur deos inanimos, *quibus non est intellectus* [31], sed tantummodo conversionum vicissitudo? quis demum servis tanquam dominis serviat? Homini enim serviunt hæc omnia, eique subduntur; siquidem anima et ratione destituta sunt: ratio autem præstantissima est, et omnibus dominatur; utpote quæ Dei imaginem et similitudinem servat. De imperatore autem plura nobis dicenda forent: breviter tamen respondebimus, ne multum temporis insumamus, **493** quasi de vero quodam imperatore sermo nobis habendus esset: ille enim Christum Dominum, qui verus Deus est, abnegavit, et prævaricator factus est ejus quæ in ipsum est D fidei; sprevit etiam ipsius mandata et vivifica præcepta. Indignum itaque est, quod is nobis mandatorum suorum contemptum objiciat, direque comminetur, quod eadem nequaquam servare velimus. Ille enim recessit a Salvatore, et Salvator recessit ab illo, juxta propheticum illud dictum: *Recessit a Deo, et Deus recessit ab eo: et noluit benedictionem, et elongabitur ab eo, et dilexit maledictionem, et veniet ei* [32]: et noluit videre lumen, et ambulavit in viis tenebrarum. Nos autem recedimus ab istius-

[30] Psal. xviii, 5. [31] Psal. xxxi, 9. [32] Psal. cviii, 18.

Variæ lectiones et notæ.

(51) *Isc.* ὑμεῖς. (52) *Isc.* ἁρπακτήν.

Digitized by Google

modi domino et rege, qui non solum neminem salvum facere potest, sed qui et seipsum perdit, et nos perdere, seu in eamdem ruinam impellere conatur. Sed ille quidem, quo vult, feratur : nos vero Christum Deum immortalem non abnegabimus, neque si unica dies futura idcirco sit vita nostra super terram. Nemo *nos separabit a charitate Christi* [33] : *in ipso enim vivimus, movemur et sumus* [34] : sub cujus solius imperio subjicimur, et cujus sententiam solam considerantes, qua dixit [35] : *Qui negaverit me coram hominibus, negabo et ego eum coram Patre meo, qui in cœlis est*, et sanctis angelis, pavemus et terrore concutimur.

22. « Eum igitur confitemur, et usque ad extremum spiritum confitebimur, neque unquam ab eo desciscemus ; ipsum enim cognoscimus et agnoscimus Deum verum ac Dominum, qui natus quidem ante omnia sæcula ex Deo, incorporee, et absque corruptione, quemadmodum et verbum mentis generari novimus : deinde, cum videret humanam naturam, quam ipse bona voluntate ornatam condiderat, *passionibus ignominiæ* [36] deditam, et jumentis irrationali vita sua similem evasisse, quin ea turpibus actionibus etiam superasse, ac præterea idolorum et reptilium et belluarum adorationi et cultui addictam ; voluit secundum *viscera misericordiæ suæ*, naturam ipsam in semet assumere, ut eam divinitate sua sanctificaret atque illustraret. Quamobrem nascitur ex sancta et omnimode immaculata Virgine Maria ; fasciis involvitur ; lactatur et enutritur ; atque omnia quæ naturæ nostræ sunt, suscipiens, omnia in se adimplet, excepto peccato. *Peccatum* enim *non fecit, neque inventus est dolus in ore ejus* [37] : non enim naturæ opus est peccatum, **494** sed ex desidia minus attentis ingeneratur. Cum vero triginta esset annorum, compendiariam nobis viam salutis ostendit, nempe sanctum baptisma, ipse primus illud suscipiens : in quo etiam testimonium accepit a Patre de cœlo, quod esset Filius Dei, juxta evangelicam illam vocem quæ dixit : *Hic est Filius meus dilectus, in quo mihi complacui* [38] : dedit etiam nobis, ut crederemus, nos *filios Dei fieri* per baptisma ; quod enim ipse est per naturam, illud nos evadimus per gratiam. Deinde postquam homines docuit, atque editis miraculis, beneficiis cumulavit, concitata in eum hostium veritatis invidia, cruci affixus, mortuus ac sepultus est : quemadmodum vos ejus cultoribus exprobratis. Verum haudquaquam diu permansit mortuus, sed tertia die resurrexit. Cumque *quadraginta dies* cum amicis et discipulis versatus,

A καὶ ἤξει αὐτῷ. Οὐκ ἠθέλησεν ἐπιγνῶναι τὸ φῶς, καὶ ἐπορεύθη ἐν ὁδοῖς σκότους. Ἡμεῖς δὲ καὶ σώζειν δυνάμενοι (53) δεσπότου καὶ βασιλέως ἀποστατοῦμεν, ἀλλὰ καὶ ἑαυτὸν ἀπωλολεκότος, καὶ ἡμᾶς συναπολεῖν σπουδάζοντος, καὶ εἰς τὸν αὐτὸν ὠθεῖν κίνδυνον. Ἀλλ' ἐκεῖνος μὲν, ὅπου δ' ἂν βούλεται φερέσθω· ἡμεῖς δὲ Χριστὸν οὐκ ἀρνησόμεθα τὸν ἀθάνατον Θεὸν, οὐδ' ἂν ἡμέρα μία ἡ ζωὴ ἡμῶν. Οὐδεὶς *ἡμᾶς χωρίσει τῆς ἀγάπης τοῦ Χριστοῦ*.— *Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν*. Ὧ μόνῳ βασιλευόμεθα, καὶ οὗ τὴν ἀπόφασιν μόνην λογιζόμενοι, φρίττομεν, καὶ δειλίᾳ συνεχόμεθα, *Τὸν ἀρνησάμενόν με*, εἰπόντος, *ἀρνήσομαι κἀγὼ αὐτὸν ἐνώπιον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς* καὶ τῶν ἁγίων ἀγγέλων.

B κβ'. « Ὁμολογοῦμεν τοίνυν, καὶ ὁμολογήσομεν ἄχρι τελευταίας ἡμῶν ἀναπνοῆς, καὶ οὐκ ἀποστήσομεν. Τὸν αὐτὸν γὰρ ἐπιστάμεθα καὶ γινώσκομεν Θεὸν ἀληθινὸν καὶ Κύριον· γεννηθέντα μὲν πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἀσωμάτως καὶ ἀπαθῶς, ὥσπερ καὶ τοῦ νοῦ γεννᾶσθαι τὸν λόγον οἴδαμεν· εἶτα, ἐπειδὴ τὴν ἀνθρωπίνην φύσιν ἐώρα, ἣν αὐτὸς τῷ ἀγαθῷ θελήματι συνεστήσατο, *τοῖς πάθεσι τῆς ἀτιμίας* ἐκδιδομένην [*f.* ἐκδεδ.]. καὶ τοῖς κτήνεσιν ὁμοιωθεῖσαν κατά τε [*f.* γε] τὴν ἄλογον ζωὴν (ἵνα μὴ λέγω ὅτι καὶ ταῦτα ταῖς ἀτόποις παρήλασε πράξεσι)· πρὸς δὲ καὶ κατενεχθεῖσαν εἰς εἰδώλων τε προσκυνήσεις, καὶ ἑρπετῶν, καὶ κνωδάλων τιμάς· θελήσαντα διὰ *σπλάγχνα ἐλέους* C ταύτην τὴν φύσιν ἐν ἑαυτῷ προσλαβεῖν, καὶ ἁγιάσαι, καὶ λαμπρῦναι τῇ οἰκείᾳ θεότητι. Ὅθεν γεννᾶται μὲν ἐκ τῆς ἁγίας Παρθένου καὶ παναχράντου Μαρίας, καὶ σπαργανοῦται, καὶ θηλάζει, καὶ ἀνατρέφεται· καὶ πάντα τὰ τῆς φύσεως ἡμῶν ἀναδεξάμενος ἐκπληροῖ ἐκτὸς ἁμαρτίας. *Ἁμαρτίαν* γὰρ *οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ*. Οὐ γὰρ φύσεώς ἐστιν ἔργον ἡ ἁμαρτία, ἀλλὰ παρὰ φύσιν ἐξ ἀπροσεξίας τοῖς κουφοτέροις ἐγγίνεται. Τριάκοντα ἔτη δὲ γεγονὼς, ὁδὸν ἡμῖν σύντομον σωτηρίας ὑπέδειξε τὸ θεῖον καὶ πνευματικὸν βάπτισμα, αὐτὸς πρῶτος τοῦτο δεξάμενος. Ἐν ᾧ καὶ μαρτυρηθεὶς οὐρανόθεν παρὰ τοῦ Πατρὸς ὡς εἴη Υἱὸς Θεοῦ, κατὰ τὴν εὐαγγελικὴν φωνὴν τὴν λέγουσαν· *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐ*- D *δόκησα*. Δέδωκε δὲ καὶ ἡμῖν πιστεύειν, ὡς καὶ ἡμεῖς *υἱοὶ Θεοῦ γινόμεθα* διὰ τοῦ βαπτίσματος· ὅπερ γάρ ἐστιν ἐκεῖνος φύσει, τοῦτο ἡμεῖς λαμβάνομεν χάριτι. Εἶτα διδάξας, καὶ διὰ θαυμάτων τοὺς ἀνθρώπους εὐεργετήσας, καὶ φθονηθεὶς ὑπὸ τῶν τῆς ἀληθείας ἐχθρῶν, ἐσταυρώθη, καὶ θανὼν ἐτάφη, ὥσπερ ὑμεῖς τοῖς αὐτὸν τιμῶσι προσονειδίζετε. Ἀλλ' οὐκ ἐναπέμεινε τῷ θανάτῳ· ἀναστὰς δὲ τριήμερος καὶ τοῖς αὐτοῦ φίλοις καὶ μαθηταῖς συνὼν δι' ἡμε-

[33] Rom. VIII, 37. [34] Act. XVII, 28. [35] Matth. X, 33. [36] Rom. I, 26. [37] I Petr. II, 22. [38] Matth. III, 17.

Variæ lectiones et notæ.

(53) *Ita.* οὐ δυναμένου.

Digitized by Google

ρῶν τεσσαράκοντα· καὶ διδάσκων αὐτοὺς τὰ μείζονα καὶ τελειότερα, ἀνέβη τελευταῖον εἰς τοὺς οὐρανούς, ὅθεν καὶ κατῆλθεν. »

A majora et perfectiora eos edocuisset, ascendit tandem in cœlum, unde primum descenderat. »

κγ'. Ἐνταῦθα μελλόντων τῶν ἁγίων καὶ τὰ ἐφεξῆς συνερεῖν, καὶ πλατύτερον διηγήσασθαι, περί τε τοῖς ἀποστόλοις (54) καὶ καθόδου τοῦ Πνεύματος, καὶ περὶ τῆς δοθείσης τοῖς ἀποστόλοις χάριτος καὶ δυνάμεως, καὶ περὶ τῶν ἄλλων ἁπλῶς, ὅσα περὶ τούτου πιστεύομεν· ἐνέκοψαν τὸν τοῦ λόγου εἰρμὸν οἱ τύραννοι, καί, « Τί δὲ, ἡμῖν [*f.* ὑμ.], ἔφησαν, ἅπαξ ἀδείας ἐνδοθείσης πρὸς τὴν ἐρώτησιν ἀποκρίνεσθαι, ῥήτορες ἡμῖν ἀνεφάνητε, ὥσπερ ἐν θεάτρῳ τὴν τοῦ λόγου δύναμιν ἐπιδεικνύμενοι, ἀλλ' οὐχὶ πρὸς κρίσιν δικαστικῷ καὶ φοβερῷ βήματι παριστάμενοι; Τί τὰ πολλά; Θύειν ὁμολογεῖτε τοῖς ἀθανάτοις θεοῖς, ἢ οὔ; Ἀποκρίνεσθε. » — « Μὴ γένοιτο, εἶπον οἱ μάρτυρες, δαίμοσι καὶ τοῖς αὐτῶν εἰδώλοις θῦσαι ἡμᾶς, τοὺς ὑπὸ Χριστοῦ τοῦ Θεοῦ τῆς δουλείας τῶν δαιμόνων ἀπαλλαγέντας. » Οὕτω τῶν ἁγίων δόντων τὴν ἀπόκρισιν ἐπίτομον ὁμοῦ καὶ ἀπότομον, τὸ τοῦ θυμοῦ θηρίον Οὐάλεντι καὶ Φιλίππῳ προσερεθίζεται· καὶ ἐπεὶ δημοσίων προσταγμάτων (55) διοικήσεις ἐπὶ τὴν Θεσσαλονίκην αὐτοὺς κατήπειγον, οὐκ ἔχοντες ἐπὶ πολὺ ἐν Τιβεριουπόλει ἐνδιατρίβειν, εὐθὺς τὸν διὰ ξίφους θάνατον τῶν ἁγίων καταψηφίζονται.

23. Hic vero, cum sancti cætera etiam quæ secuta sunt, fusius essent dicturi, ut de missione et descensu Spiritus sancti, de gratia et virtute apostolis collata, uno verbo, de omnibus aliis quæ nos credimus; tyranni sermonis filium abrumpentes, « Quid hoc, inquiunt, anne ob concessam vobis respondendi libertatem rhetores nobis constituti estis, quod facundiam ostentatis, quasi in theatro, et non ante formidabile tribunal judicandi staretis? Sed non plura: assentimini, diis immortalibus sacrificare, vel non? Respondete. » — « Absit, dixerunt martyres, ut nos, qui a Christo Deo e dæmonum B servitute liberati sumus, ipsis dæmonibus, eorumque simulacris sacrificemus. » Brevi hac et peremptoria responsione a sanctis data, furoris bellua Valenti et Philippo vehementius irritatur, et quoniam publica negotia eos Thessalonicam ut quantocius redirent, urgebant, cum non possent diutius Tiberiopoli immorari, absque mora sanctos capite dannant.

κδ'. Ἤγοντο μὲν οὖν τὴν τελευταίαν καὶ μακαρίαν ὁδὸν, τὴν καὶ πρὸς ζωὴν καὶ οὐρανοὺς φέρουσαν, τὴν αἰωνίαν καὶ ἀτελεύτητον καὶ ἀπέραντον· ἠγαλλιῶντο δὲ χαρᾷ ἀνεκλαλήτῳ, καὶ τὴν ἔνδον κατάστασιν τῇ ἔξωθεν φαιδρότητι ἐπεσήμαινον, ὅτι βασιλέα πονηρὸν καὶ τοὺς αὐτοῦ δημίους καταλιπόντες, τῷ φιλανθρώπῳ Βασιλεῖ καὶ ἀκαταλήπτῳ, καὶ Ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς, καὶ μυριάσιν ἀγγέλων πανηγύρει προσελθεῖν μέλλουσιν. Ἓν τοῦτο μόνον αὐτοὺς ἐλύπει, ἡ τῶν τυράννων πρὸς τὸ τῆς ἀληθείας φῶς ἑκούσιος τυφλότης, καὶ τὸ πολλοὺς τῶν ἀσθενεστέρων, ἐκ τοῦ τὰς κρίσεις οὕτω προβαίνειν, περὶ τὴν πίστιν σαλεύεσθαι. Τὸ γὰρ παρανόμως γενόμενον τῶν ἐξετάσεων, δυναστείας καὶ ἀδικίας ἡ ὑπόθεσις δείκνυται. Δικαστηρίου γοῦν ὀλόσχημα καὶ κρίσεως ἐν νόμῳ τοὺς δικάζοντας πλάττεσθαι, οὐ μικρὸν τοῖς ἀβεβαιοτέροις περιποιεῖται τὸ σκάνδαλον. Εἴωθε (56) γὰρ ὡς ἡ τοῦ δικαστηρίου ἀλήθεια οὓς εὗρε τῷ ὄντι ὑπευθύνους, τιμωρίαις καὶ θανάτῳ κατέκρινεν. Εἷς οὖν τῶν ἁγίων Πέτρος ὄνομα, διὰ ταῦτα θείῳ ζήλῳ πυρωθεὶς τὴν καρδίαν, πρὸς τοὺς τυράννους ἀντέστη. « Ὦ παραβάται τῶν ἔργων, ἐδόησε, καὶ τῆς ἀληθείας ἐχθροὶ, πῶς δικαστῶν προσωπεῖον ἑαυτοῖς περιθέντες, καὶ κρίσεως σχῆμα πλασάμενοι, αἵματα δικαίων ἀναιτίως ἐκχέετε, ἐφ' οἷς οὐδὲν ἄξιον εὑρέθη θανάτου, ὅτι μὴ καὶ μᾶλλον πάντα τιμῆς καὶ στεφάνων ἄξια; » Πῦρ ὀργῆς τοῖς τυράννοις ἐπὶ τῷ λόγῳ ἀνάπτεται.

24. Ducebantur igitur illi per extremam beatam viam, quæ ducit ad vitam et ad cœlum et ad gloriam æternam, interminabilem et immensam. Exsultabant vero lætitia inenarrabili [a], et internum C gaudium externa alacritate significabant: quoniam impio rege cum satellitibus suis relicto, ad benignissimum ac immensum Regem, ad Ecclesiam primogenitorum, qui descripti sunt in cœlis, et ad festivum angelorum cœtum properabant. Illud solummodo eo in casu illos affligebat, quod perspicerent spontaneam tyrannorum cæcitatem **495** ad lumen veritatis; et quod futurum prævidebant, ut ob judicia hoc modo facta multi debiliorum forent in fide vacillaturi. Pravus enim modus inquisitionis argumentum est potentiæ et injustitiæ: at judicii forma a judicantibus conficta haud modicum infirmioribus scandalum ingenerare solet: putant enim judicii veritatem eos, quos re ipsa reos D comperit, ad tormenta et mortem condemnavisse. Quamobrem unus sanctorum nomine Petrus, divino zelo ob hæc inflammatus, tyrannis sese opposuit, et, « O prævaricatores, exclamavit, bonum operum et veritatis inimici! siccine judicum personam assumentes, et judicii formam mentientes, justorum sanguinem sine causa effunditis, in quibus nihil dignum morte inventum est, sed potius quæ omni honore sunt digna et remuneratione? » Ignis iracundiæ in tyrannis ad hunc sermonem rursus

[a] 1 Petr. 1, 8.

Variæ lectiones et notæ.

(54) *Isc.* τῆς ἀποστολῆς.
(55) *Isc.* πραγμάτων.
(56) *Isc.* οἴονται.

Digitized by Google

accenditur : quare exspoliari sanctum imperant, et ad terram dejectum virgis cedi, deinde manus ac demum caput ipsi amputari. Ut hæc omnia facta sunt, manus quidem illæ canibus in cibum sunt projectæ : quarum dexteram cum mulier quædam a nativitate cæca, sibi ad pedes forte accidentem sensisset, tulit et tegumento capitis quod gestabat, involvit ; domumque quam potuit celerrime remeans, cum non haberet aliud quod erga inventum illud suum faceret, (quid enim non fecisset ?) osculabatur, amplectebatur et ad oculos admovebat. Et ecce subito (*o mirabilia magna* [40] tua, Christe Salvator !) aperti sunt ejus oculi, statimque videns lucem, voce magna Christi et sanctorum ejus virtutem prædicat, et ubicunque benedicit Dominum, qui, sicut scriptum est, *facit mirabilia*, et portenta *quorum non est numerus* [41]. Post paucos vero dies illa lumine utique digna femina eam secum sumptam detulit in magnam Thessalonicensem civitatem, cupiens rem adeo pretiosam in loco honoratissimo collocare. Reperit vero locum tanto thesauro dignum, nempe venerabilissimum Anastasiæ martyris inclitæ sacellum : ac in eo manum illam servandam deposuit. Et hic quidem fuit eventus sacræ illius manus.

A Καὶ δὴ προστάττουσιν ἀποδυθῆναι μὲν τὸν ἅγιον, κατὰ γῆς δὲ ταθέντα ῥάβδοις κατακισθῆναι· εἶτα καὶ τὰς χεῖρας ἀποτμηθῆναι, καὶ τελευταῖον τὸν διὰ ξίφους ὑποστῆναι καὶ αὐτὸν θάνατον. Ἐπεὶ δὲ ταῦτα τέλος εἶχον, χεῖρες μὲν ἐκεῖναι κυσὶν εἰς βρῶτιν ἐρρίφησαν. Γυνὴ δέ τις ἐκ γενετῆς τυφλὴ, οὕτω παρὰ τυχὸν [*f.* παρατυχ.], τῆς δεξιᾶς τοῦ ὁσίου Πέτρου χειρὸς εἰς τοὺς πόδας αὐτῆς πεσούσης αἰσθομένη, λαβοῦσα ταύτην ἀνείλατο· καὶ τῇ τῆς κεφαλῆς αὐτῆς καλύπτρᾳ ταύτην ἐνειλήσασα, καὶ τὴν οἰκίαν ὡς εἶχε τάχος καταλαβοῦσα, οὐκ εἶχεν ὃ καὶ χρήσεται [*f.* χρήσαιτο] τῷ εὑρέματι. Τί δὲ οὐκ ἂν ἐποίει; Κατεφίλει, περιεπτύσσετο, τοῖς ὄμμασι ταύτην ἐπετίθει. Εὐθὺς (ὦ *τῶν μεγάλων* σου *θαυμασίων*, Σῶτερ Χριστέ!) ἀνεῴχθησαν αὐτῆς οἱ B ὀφθαλμοὶ παραχρῆμα, καὶ τὸ φῶς ἰδοῦσα, μεγάλῃ τῇ φωνῇ τὴν τοῦ Χριστοῦ καὶ τῶν ἁγίων αὐτοῦ ἐκήρυττε δύναμιν· καὶ διὰ παντὸς ἦν εὐλογοῦσα τὸν Θεὸν, τὸν *ποιοῦντα*, καθὼς γέγραπται, *θαυμάσιά* τε καὶ ἐξαίσια τέρατα, *ὧν οὐκ ἔστιν ἀριθμός*. Οὐ πολλαὶ παρῆλθον ἡμέραι, καὶ τὴν χεῖρα ταύτην ἄρασα ἡ τοῦ φωτὸς ἀξία γυνὴ, τὴν Θεσσαλονικέων μεγαλόπολιν καταλαμβάνει. Σκοπὸς δὲ ἦν αὐτῇ, ἐν τιμιωτάτῳ τόπῳ κατατεθῆναι [*f* καταθεῖναι] τὸ τίμιον. Εὑρίσκει τοίνυν καὶ τὸν τόπον τοῦ θησαυρίσματος ἄξιον, τὸ τῆς καλλινίκου μάρτυρος Ἀναστασίας πάντιμον τέμενος, καὶ τούτῳ τὴν χεῖρα ἐναποτίθεται. Καὶ τὰ μὲν τῆς τιμίας χειρὸς τοῦ ἁγίου οὕτως ἔσχεν.

25. Porro, cum consummati essent hi sancti, die vicesima octava Novembris, per multos dies eorum corpora indecore jacuere projecta in cibum C canibus, bestiis et volucribus, quin vel debitam communi natura sepulturam assequerentur. Servabantur quidem ea plane inviolata et illæsa, omnipotenti divina dextra illius, qui omnia videt, et protectione sanctissimi Spiritus, qui omnia operatur : quicunque etiam illa spectabat mirabatur in ipsis Christum Deum. Attamen **496** accedere et sacris pignoribus honorem tribuere sepulturæ nemo audebat, quod Valentis et Philippi crudelitatem adhuc præ oculis haberent. At postquam illi Thessalonicam redierunt, Christiani resumpto paululum animo, congregati sunt, ac sacra illa martyrum corpora reverenter, ut decebat, sublata, et mundis linteis involuta, omnibus quæ lex Christiana præscribit, rite persolutis, cum ardentibus facibus et D suffimentis (ut iis quidem perpetuam beatitudinis lucem, his vero gaudium et fragrantiam paradisi significarent) Tiberiopoli reposuerunt, singulos in singulis urnis : quibus etiam singulorum martyrum nomina, vitæ genus et dignitates quas in Christo habuere, inscripta sunt.

κε'. Ἐπεὶ δὲ, τελειωθέντων τῶν ἁγίων κατὰ τὴν εἰκοστὴν ὀγδόην τοῦ Νοεμβρίου μηνὸς, ἐπὶ πολλὰς ἡμέρας ἀτίμως ἔκειντο ἐρριμμένα τὰ τίμια τούτων σώματα εἰς βρῶσιν τοῖς κυσὶ, καὶ θηρίοις, καὶ πετεινοῖς, μηδὲ τῆς νενομισμένης τῇ κοινῇ φύσει ταφῆς τυγχάνοντα· διετηροῦντο μὲν τῇ παντοκρατορικῇ θείᾳ δεξιᾷ τοῦ τὰ πάντα ἐφορῶντος, καὶ τῇ ἐπισκιάσει τοῦ παντουργοῦ καὶ παναγίου Πνεύματος, ἀνύβριστα καὶ ἀλώβητα· ἐθαυμάζετο δὲ καὶ ἐπὶ τούτοις παρὰ τῶν βλεπόντων Χριστὸς ὁ Θεός. Οὐ μέντοι προσελθεῖν ἐτόλμων, καὶ ταφῆς ἀξιῶσαι ταῦτα, τὴν Οὐάλεντος καὶ Φιλίππου πικρίαν πρὸ ὀφθαλμῶν ἔχοντες. Ἐπεὶ δὲ ἐκεῖνοι μὲν εἰς Θεσσαλονίκην πάλιν ὑπανεχώρησαν, ἀδείας δὲ βραχείας οἱ Χριστιανοὶ ἐπιλαβόμενοι, συναχθέντες, καὶ τὰ τίμια τῶν μαρτύρων σώματα ἐντίμως, ὥσπερ καὶ ἦν εἰκὸς, ἀνελόμενοι, καὶ καθαραῖς σινδόσιν αὐτὰ ἐνειλήσαντες, καὶ ὅσα ὁ νόμος Χριστιανοῖς δίδωσιν, ἀφοσιωσάμενοι μετὰ λαμπάδων καὶ θυμιαμάτων (ἵνα ταῖς μὲν τὸ διαδεξάμενον ἀνέσπερον φῶς, ταῖς δὲ τὴν ἀγαλλίασιν τῆς τοῦ παραδείσου εὐωδίας ἐπισημαίνωνται), Τιβεριουπόλει ἐναποτίθενται, ἕκαστον ἐν ἰδίᾳ λάρνακι· αἷς τό τε ὄνομα ἑκάστου ἐπεγέγραπτο, καὶ τίνα βίον ἔσχε, καὶ ποῖον κατὰ Χριστοῦ ἄξιωμα.

26. Miracula vero non solum indigenis, sed etiam aliis ad extremas usque regiones large dispensabant sancti martyres, Dei virtute jam nullis terminis circumscripti. Quotquot enim vel a dæmonibus vexabantur, vel alia quacunque detinebantur infir-

κς'. Τὰ μέντοι θαύματα οὐ μόνοις τοῖς ἐγχωρίοις ἐχορήγουν ἀφθόνως, ἀλλ' εἰ δὴ [*f.* ἤδη] καὶ ἄχρι τῆς ὑπερορίας φθάνοντα, τῇ τοῦ Χριστοῦ δυνάμει ἀπερίγραπτοι τυγχάνοντες μάρτυρες. Ὅσοι γὰρ, ἢ δαίμοσιν ἐνοχλούμενοι, ἢ σώματος ἑτέραις ἀσθε-

[40] Psal. cxxxv, 4. [41] Psal. lxxi, 18.

Digitized by Google

νείαις ταλαιπωρούμενοι, ταῖς τῶν ἁγίων προσίεσαν λάρναξιν, ἑτοίμως τὰς ἰάσεις ἐλάμβανον. Ὥστε καὶ πολλοὺς τῶν Ἑλλήνων τοῖς θαύμασι τούτοις ἐναχθῆναι πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν, καὶ προσελθόντας τῇ τοῦ Χριστοῦ πίστει σημειωθῆναι τῷ θείῳ βαπτίσματι, καὶ μήτε ἐν Τιβεριουπόλει ἐναπολειφθῆναί τινα τῶν ἀσεβῶν, μήτε ἐν πάσῃ τῇ περιχώρῳ καὶ τοῖς ὁρίοις αὐτοῖς [*f.* αὐτῆς]· μᾶλλον μὲν οὖν, ὃ καὶ μικρὸν ἀνωτέρω εἴρηται, καὶ τοῖς λοιποῖς τῆς Δύσεως μέρεσιν ἐφαπλωθῆναι τὴν πίστιν ἐκ τῆς τῶν θαυμάτων δυνάμεως· ὥστε γενέσθαι τὴν Τιβεριούπολιν περιφανῆ τινα πύργον, ταῖς ἄλλαις δυτικαῖς πόλεσι τὸ τῆς πίστεως φῶς πυρσεύουσαν, καὶ τοῖς [*f.* τῆς *vel* τοὺς] ἐν τῷ πελάγει τῆς ἀπιστίας σκοτεινῆς πλάνης ἀνακαλουμένους (57). Ἄχρι μὲν οὖν πολλοῦ εἰρήνην τε ἦγε τὰ πράγματα, καὶ πάντοίαν κατάστασιν καὶ εὐταξίαν· καὶ πᾶσα πόλις καὶ χώρα ἐν γαλήνῃ σταθηρᾷ τὸ πρὸς Χριστὸν σέβας, ὡς οἰκὼς (58), ἐνδιεφύλαττε.

κζ'. Ἐπεὶ δὲ μετὰ πολλῶν κύκλους ἐνιαυτῶν, ἔθνος τι βάρβαρον Ὄμβροι λεγόμενοι, ἐκ τοῦ μεσημβρινοῦ κλήματος [*f.* κλίμ.] ἐπελθόντες τῆς [*f.* τοῖς] Τιβεριουπόλεως μέρεσιν, ἄλλας τε πόλεις πολλὰς καὶ ταύτην ἠρήμωσε, τοὺς μὲν τῶν οἰκητόρων ξίφει καταναλώσαντες, τοὺς δὲ καὶ ἄνδρα δησάμενοι (59), τά τε τῶν ἄλλων οἰκοδομημάτων κάλλη, καὶ τὰ τῶν θείων ναῶν διηδάφισαν, καὶ καταπεπτωκότων ἕως ἐδάφους· ὅτε δὴ καὶ αἱ τῶν ἁγίων λάρνακες τῷ περιέχοντι ταύτας νεῷ καταπεσόντι ἐγκατεχώσθησαν· ὥς τε τῇ γῇ συγκεκαλύφθαι καὶ εἶναι τοῖς πᾶσιν ἄγνωστοι.

κη'. Ἐκ ποδῶν δὲ γενομένου τούτου τοῦ ἔθνους, ἕτερον ἐπεισῆλθεν ἀνομώτατον καὶ ὠμότατον, οἱ λεγόμενοι Βούλγαροι ἐκ τῶν τῆς Σκυθίας μερῶν, ποταμὸν Ἴστρον οὕτω λεγόμενον διαπεράσαντες, καὶ βαρεῖα μάστιξ παρὰ Θεοῦ ἀφεθὲν τοῖς τῆς Δύσεως μέρεσιν (60). Οἳ Χριστοῦ μὲν ὄνομα οὐδ' ᾔδεσαν· Σκυθικῇ δὲ ἀφροσύνῃ δουλεύοντες, ἡλίῳ τε καὶ σελήνῃ καὶ τοῖς λοιποῖς ἄστροις· εἰσὶ δὲ, οἳ καὶ τοῖς κυσὶ θυσίας προσέφερον. Οὕτως ἐπεσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία, καὶ ἐλάτρευσαν τὴν κτίσιν παρὰ τὸν Κτίσαντα. Ἐπεὶ δὲ πᾶσαν τὴν Ἰλλυρίδα χώραν, τήν τε παλαιὰν Μακεδονίαν, ἄχρι τῆς Θεσσαλονικέων πόλεως, τά τε τῆς παλαιᾶς Θρᾴκης, τὰ περὶ Βερόην φημὶ καὶ Φιλιππούπολιν, τά τε ἀνώτερα ὑφ' ἑαυτοὺς ἐποιήσαντο, κατέσχον μὲν τὰς χώρας ὡς οἰκήτορες βέβαιοι· ἠμείβον δὲ τοὺς ἑκάστης οἰκήτορας, τοὺς μὲν τῶν ἑκατέρων πόλεων εἰς τὰς ἀνωτέρω μετοικίζοντες, τοὺς τούτων δὲ πάλιν εἰς ἐκείνας μετάγοντες· ὡς δούλοις μέντοι πᾶσιν ἁπλῶς καταχρώμενοι οἱ πάσης ἀπονοίας δοῦλοι, καὶ τοῦ ἀληθινοῦ Δεσπότου ἀποστάται. Ἀλλ' οἵ γε ὑπὸ τούτους Χριστιανοὶ, τὴν πατρῴαν καθαρωτάτην πίστιν κατέχοντες, ἐν ταῖς ἑκάστοτε πρὸς αὐτοὺς ὁμιλίαις

mitate, accedentes ad urnas sanctorum, sanitatem prompte recipiebant. Quare multi gentilium tot miraculis ad veritatis cognitionem adducti, ad Christi fidem accedentes sacro sunt consignati baptismate; ut jam nemo ex impiis Tiberiopoli, ac in circumjacentibus vicis ac montibus residuus esset. Imo, quod etiam paulo ante innuimus, eorumdem miraculorum virtute ad reliquas Occidentis partes fides protendebatur; adeo ut Tiberiopolis aliis Occidentis civitatibus esset ad instar conspicuæ cujusdam turris, quæ fidei facem præferret, et exsistentes in pelago infidelitatis a tenebricoso errore avocaret. Ad multum igitur temporis res illic quiete ac optimo in ordine se habuerunt, et tota civitas ac regio in firma tranquillitate cultum Christo, ut par erat, persolvebat.

27. Cum vero multis interjectis annis, Barbari quidam populi, Ombri appellati, e meridionali climate irruentes in partes Tiberiopoleos, tum alias multas civitates, tum hanc ipsam (habitatoribus partim ferro peremptis, partim in captivitatem abductis) devastarent, ac, ut præclara quæquæ alia ædificia, ita et sanctorum templa disjicerent ac funditus everterent; accidit ut horum sanctorum urnæ, corruente templo, in quo erant, ruinis obruerentur, et terra obductæ, cunctis ignotæ evaderent.

28. Ut vero Ombri recesserunt, gens alia flagitiosissima et ferocissima, nempe sic dicti Bulgari e partibus Scythiæ, trajecto flumine Istro, velut grave flagellum a Deo Occidentis regionibus immissum, supervenerunt. Hi ne quidem Christi nomen cognoscebant, **497** sed Scythica amentia serviebant soli, lunæ ac reliquis astris. Erant vero ex iis qui etiam canibus sacrificia offerrent. Adeo obtenebrata erant illorum corda, ut creaturam adorarent potius quam Creatorem. Cum igitur illi totam Illyridem regionem, ac veterem Macedoniam, usque ad Thessalonicam, et partem veteris Thraciæ, nempe quæ circa Beroeam est, et Philippopolim, et superiores quoque partes subjugassent; retinuerunt quidem eas regiones, tanquam validi habitatores, at veteres utriusque incolas permutarunt: scilicet eos, qui in inferioribus civitatibus habitabant, ad superiores, harum vero incolas ad inferiores, transtulerunt. Cæterum omnibus tanquam servis et captivis abutebantur, cum ipsi essent omnis ignaviæ servi, atque vero Domino rebelles. At Christiani eis subjecti paternam purissimam retinentes fidem, in omnibus, quæ cum ipsis habebant, collo-

Variæ lectiones et notæ.

(57) *Isc.* ἀνακαλουμένην.
(58) ὡς εἰκὸς ἦν.
(59) ἀνδραποδισάμενοι.

(60) Prima Bulgarorum in imperium Romanum irruptio contigit circa finem sæculi quinti ut ex historicis Græcis probat Du Cangius.

Digitized by Google

quiis, Christi doctrinam intrepide proferebant, et Evangelii lucem, ut poterant, manifestabant. Verum illi *claudebant oculos suos, nequando viderent, et auribus graviter audiebant* [45], juxta propheticum dictum quod ait : *Videntes videbunt, et non videbunt, audientes audient, et non intelligent : excæcatum enim est cor eorum, ne videant oculis, et auribus audiant, et corde intelligant, et convertantur, et sanem eos* [46] : quare cum non cognoscerent, nec intelligerent, in tenebris ambulabant.

A τὸ κατὰ Χριστὸν παρεισήγαγον [*f.* παρεισῆγον] δόγμα, καὶ τὸ τοῦ Εὐαγγελίου φῶς, ὡς ἐνῆν, αὐτοῖς ἀπεκάλυπτον. Ἐκεῖνοι δὲ *ἐκάμμυσαν τοὺς ὀφθαλμοὺς αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν*, κατὰ τὸ προφητικὸν λόγιον, τὸ φάσκον· *Βλέποντες γὰρ βλέπουσι* [vulg. *βλέψουσι*], *καὶ οὐ μὴ ἴδωσι· καὶ ἀκούοντες ἀκούσωσι* [vulg. *ἀκούσουσι*], *καὶ οὐ μὴ συνίσουσιν.* [vulg. *συνῶσι*]. *Πεπώρωται γὰρ αὐτῶν ἡ καρδία· ἵνα μὴ τοῖς ὀφθαλμοῖς ἴδωσι, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ ἐπιστραφῶσι καὶ ἰάσωμαι αὐτούς.* Διὸ, ὡς οὐδὲ ἐγίνωσκον, οὐδὲ συνίεσαν, ἐν σκότει διεπορεύοντο.

29. Cum vero Crubus quidam princeps Bulgarorum multas Romanorum civitates invasisset, et celebrem cepisset Adrianopolim ; ejus incolas in servitutem redactos, ad magis dissitas, quas antea possidebat, civitates transferendos curavit. Fuit vero inter illos vir quidam Cinamon nomine, externa quidem specie elegans et decorus, sed quoad animæ ornamenta, sociis suis multo illustrior atque splendidior. Hic in captivorum partitione sorte obtigit Ombritago filio Crubi. Diligebatur autem ab hero suo et reliquis, quod cunctis absque controversia præstaret. Hoc vero solum illos angebat, quod in religionis cultu ab ipsis discreparet. Quare Barbarus ille nihil intentatum reliquit, ut eum a Christo abalienaret. Primum autem hoc experimento fidem ipsius tentavit. Celebrato splendido sacrificio, atque opipara parata mensa, jussit etiam strenuum Cinamonem invitari, ut cum aliis principibus convivio interesset. At ille qui illud Pauli didicerat, vel ut verius dicam, qui præclare jam pridem institutus erat, [47] *non esse Christo conventionem cum Belial ;* et *non posse* Christi fideles *calicem Domini bibere, et calicem dæmoniorum* [48] ; ad convivium **498** illud accedere penitus recusavit.

κθ'. Κρούβου (61) δέ τινος τῶν Βουλγάρων ἄρχοντος ἄλλας τε πολλὰς πόλεις τῶν Ῥωμαίων καταδραμόντος, καὶ τὴν περιώνυμον ἑλόντος Ἀδριανούπολιν, καὶ τοὺς ταύτης ἐξανδραποδισαμένου οἰκήτορας, καὶ πρὸς τὰς πορωτέρω [*f.* πορρώτ.] πόλεις, ἃς προκατέχων ἦν, μετοικίσαντος, ἐν τοῖς μετοικισθεῖσι τούτοις ἦν τις ἀνὴρ Κινάμων ὀνόματι, καὶ τὸ μὲν ἔξωθεν εἶδος λαμπρὸς καὶ ὡραῖος, τὴν δὲ ψυχικὴν εὐπρέπειαν τῶν κατ' αὐτὸν γενομένων ἐπιτημότερος καὶ θεοειδέστερος. Οὗτος ἐν τῇ τῶν αἰχμαλώτων διανομῇ τῷ τοῦ Κρούβου υἱῷ Ὀμβριτάγῳ ἀπεκληρώθη. Ἀγαπώμενος δὲ ὑπὸ τούτου δὴ τοῦ δεσπότου καὶ τῶν λοιπῶν πάντων, διὰ τὸ ἐν πᾶσιν ἀπαράμιλλον προκρινόμενον, τοῦτο [*f.* τούτῳ] μόνον ἐκείνων [*f.* ἐκεῖνον] ἀνιῶν ἦν, ὅτι περὶ τὴν θρησκείαν αὐτῶν διεφέρετο. Ὅθεν καὶ πᾶσαν ἐποιεῖτο σπουδὴν ὁ βάρβαρος, ἀποστῆσαι τοῦτον Χριστοῦ. Καὶ δὴ πρῶτον ταύτην πεῖραν καθίστησι· Λαμπράν τινα θυσίαν ἐπιτελέσας, καὶ ἐπὶ ταύτῃ, πολυτελῆ παρασκευασάμενος τράπεζαν, κελεύει τὸν γενναῖον Κινάμωνα συνανακλιθῆναι, καὶ συνεστιασθῆναι τοῖς λοιποῖς ἄρχουσιν. Ὁ δὲ [*f.* δ' ἐκ] τοῦ Παύλου μαθών, ἢ τό γε ἀληθέστερον εἰπεῖν, ὅτι μεμνημένος ἦν καλῶς πρότερον, ὡς *οὐκ ἔστι Χριστῷ πρὸς Βελίαρ συμφώνησις*, οὐδὲ *δυνατὸν* τοὺς Χριστῷ πιστεύοντας, *ποτήριον Κυρίου πίνειν καὶ ποτήριον δαιμονίων*, τὴν συνεστίασιν παρητήσατο.

30. Quoniam vero Barbarus eum ad participandum de idolothytis urgebat, is divina fiducia repletus est : « Ego, inquit, Christianus sum, et Christo servio, qui est verus Deus, quique fecit cœlum et terram et omnia visibilia et invisibilia : hominemque propriis formatum manibus, et ratione abs se donatum, cum postea cecidisset, misericorditer erexit ; veramque Dei cognitionem nobis ratione præditis elargitus est. Ipse etiam venturus est judex vivorum, et mortuorum, ac *redditurus unicuique juxta opera sua* [49], et repetiturus ab unoquoque quod illi contradidit. Hoc ego credo, et

λ'. Ὡς δὲ ὁ Βάρβαρος ἐνέκειτο ἀναγκάζων αὐτὸν τῶν εἰδωλοθύτων μετασχεῖν, ἐνθέου παῤῥησίας πλησθεὶς ὁ ἀνὴρ, ὡμολόγησε τρανῶς, καὶ ὅτι « Χριστιανὸς ὢν καὶ Χριστῷ λατρεύω τῷ ἀληθινῷ Θεῷ, ὃς οὐρανόν τε καὶ γῆν ἐποίησε, καὶ πάντα τὰ ὁρατὰ καὶ τὰ ἀόρατα· καὶ τὸν ἄνθρωπον οἰκείαις πλάσας χερσὶ, καὶ λόγῳ τιμήσας, εἶτα καὶ παραπεπτωκότα, φιλανθρώπως ἀνορθωσάμενος, καὶ τὴν ἀληθῆ θεογνωσίαν τῷ λόγῳ τιμηθεῖσιν ἡμῖν παρεχόμενος, μέλλει πάλιν ἔρχεσθαι κριτὴς ζώντων καὶ νεκρῶν, *ἀποδώσων ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ*, καὶ ἀπαιτήσων ἑκάστῳ ὃ παρέθετο. Τοῦτο οὖν πιστεύω, καὶ τὴν παρα-

[45] Matth. XIII, 15. [46] Marc. IV, 12 ; Matth. XIII, 15. [47] II Cor. VI, 13. [48] I Cor. X, 20. [49] Rom. II, 3.

Variæ lectiones et notæ.

(61) Crubus iste, ni fallor, ille est quem Græci scriptores *Crumum* et *Crumnum* appellant, quique in Francorum Annalibus dicitur *Crumas* : ac circa annum 807 Bulgaris imperare cœpit saltem Sigebertus eo anno primam de illo mentionem facit. *Crumum* eumdem ac *Crubum* hunc esse, non sola nominis affinitas, sed etiam gestorum similitudo probat : siquidem historici Græci Crumum victoriis inclytum faciunt, et speciatim Adrianopolim ab ipso expugnatam esse narrant.

Digitized by Google

καταθήκην τῆς πίστεως τηρῆσαι σπουδάζω. Οὓς δὲ παντοίους ὑμεῖς σέβεσθε θεοὺς, δαιμόνια ὄντως ἴσημι, ὡς παρὰ τῆς θείας ἐδιδάχθην Γραφῆς, *Πάντες γὰρ οἱ θεοὶ τῶν ἐθνῶν*, λεγούσης, *δαιμόνια*. Εἰ δέ μοι προφέρεις ἥλιον καὶ σελήνην, καὶ τὴν τούτων λαμπρότητα θαυμάζειν ἀναγκάζεις, ἄκουε, ὅτι θαυμάζω μὲν καὶ αὐτὸς ταῦτα, πλὴν ἀλλ' ὡς κτίσματα καὶ δοῦλα καὶ ὑποχείρια, οὐ μόνον Θεοῦ, ἀλλὰ καὶ ἡμῶν τῶν ἀνθρώπων. Ὥστε γὰρ ἡμῖν ὑπηρετεῖν ὑπὸ τοῦ Δημιουργοῦ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθησαν, καὶ διὰ τοῦ κάλλους τούτων χειραγωγούμενος ἀναβαίνω πρὸς τὸν δημιουργήσαντα. Ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων, ἀναλόγως ὁ Δημιουργὸς καθορᾶται· καὶ ἡ *ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης*, ἀπὸ κτίσεως κόσμου *ἐμφαίνεται* τοῖς ποιήμασιν. Εἰ γὰρ ταῦτα τοιαῦτα, ὁποῖον τὸ κάλλος ἐκείνου; Οὐ τοίνυν ταῦτα προσκυνήσω, μὴ γένοιτο! ἀλλὰ τὸν ταῦτα πεποιηκότα καὶ προσκυνήσω καὶ σεβασθήσομαι πᾶσι τρόποις, ὅς ἐστι Χριστὸς, ὁ σὺν Πατρὶ καὶ Πνεύματι παρ' ἡμῶν λατρευόμενος. » Ὀμβριτάγος δὲ οὐ πράως ἐνεγκὼν ταῦτα, ἀλλὰ θυμοῦ πλησθεὶς, (καὶ τί γὰρ, ἡ βάρβαρος ψυχὴ καὶ αἱμοχαρὴς;) προσέταξεν ἀνηλεῶς αὐτὸν τύπτεσθαι, « Μὴ ἐξουθένει, λέγων, τοὺς ἡμετέρους θεοὺς, ὧν δυνάμεως μέγα σημεῖον τὸ πᾶσαν τὴν Ῥωμαίων ὑπέχειν [*f.* ὑπείκειν] ἡμῖν, τοῖς προσκυνοῦσιν αὐτούς. Εἰ γὰρ ὁ σὸς Χριστὸς ἀληθὴς Θεὸς ἦν, ὡς σὺ φῄς, πάντως ἂν ὑμῖν συμμαχῶν ἀκαταδουλώτους ὑμᾶς ἐτήρησεν, ὡς ἀγαπώμενος καὶ λατρευόμενος παρ' ὑμῶν. » Ταῦτα εἰπὼν, κελεύει σιδηρώδῃ [*f.*—δῃ *vel*—δει] τοῦτον παραδοῦναι εἱρκτῇ. Ἦν οὖν καθειργμένος ὁ τοῦ Χριστοῦ δοῦλος ἄχρι τῆς τελευτῆς Ὀμβριτάγου (62).

λα'. Ἐπεὶ δὲ οὗτος ἐξ ἀνθρώπων ἐγένετο, ἐπὶ τρισὶν υἱοῖς καταλύει τὸν βίον· ὧν τῷ μὲν πρεσβυτέρῳ ὄνομα, Ἐνραβωτᾶς· τῷ δὲ ἑτέρῳ, Ζδηνίτζης· τῷ δὲ λοιπῷ, Μαλλωμηρὸς (63)· ᾧ δὴ καὶ ἡ τοῦ πατρὸς ἀπεκληρώθη ἀρχή. Ὁ δὲ Ἐνραβωτᾶς, ὃς καὶ Βοΐνος ἐπωνομάζετο, ἐπεμνήσθη θείᾳ πάντως προμηθείᾳ τοῦ Χριστιανικωτάτου Κινάμωνος, καὶ δὴ πρὸς τὸν ἀδελφὸν αὐτοῦ Μαλωμηρὸν πέμψας, ἀξιοῖ ἀναζητήσῃ [*f.*—τῆσαί] τε τὸν Κινάμωνα μεμεριμνημένος, καὶ εὑρεθέντα, πρὸς αὐτὸν στεῖλαι. Ὁ δὲ, οὐκ ἐν παρέργῳ τὴν ἐντολὴν τοῦ ἀδελφοῦ θέμενος, ἐζήτησε τὸν ἄνδρα· καὶ εὑρὼν ἐν τῇ φυλακῇ, λιμοῦ, εὐρῶτος ἀνάμεστον, ἄχροον, ἐκτετηκότα, τοῦ πάλαι Κινάμωνος, ὡς εἰπεῖν, εἴδωλον· ἐξαγαγὼν, καὶ κομιδῇ [*f.*—δῆς] ἀξιώσας, ὡς ἐχώριν ἦν [*f.* ἐχώρει νῦν *vel* ἐγχωροῦν ἦν] (64), στέλλει πρὸς τὸν ἀδελφὸν αὐτοῦ Ἐνραβωτᾶν. Ἐλθόντα δὲ ὡς εἶδεν ἐκεῖνος διὰ πάντων τὴν ἐκ τῆς εἱρκτῆς ἐμφαίνοντα κάκωσιν, καὶ τὴν τοῦ σώματος ἀλλοιωθέντα κατάστασιν, καὶ χρόνου πρὸς τὸν

A deposítum fidei custodire studeo. Omnigenos vero, quos vos colitis, deos ego dæmonia esse scio; quippe ita edoctus a divina Scriptura quæ ait: *Omnes dii gentium dæmonia* [47]. Si autem mihi profers solem et lunam, et illorum splendorem me demirari suades, audi: Etiam ego ipsa demiror, sed ut creaturas et quidem subjectas subditasque non solum Deo, sed etiam nobis hominibus: ut enim ea nobis inservirent, ex nihilo a divino Opifice producta sunt. Et ego eorum pulchritudine veluti manu ductus, ascendo ad illum qui ea creavit: nam ex magnitudine et pulchritudine creaturarum Opifex illarum proportione quadam cognoscitur, *Sempiterna quoque ejus virtus et divinitas* ex creatione mundi *perspicitur* [48]. Si enim hæc talia B sunt, qualis erit pulchritudo illius? Non igitur ista adorabo; absit! sed eum qui ea fecit, et adorabo, et omni prosequar honore: qui est Christus Dominus, qui simul cum Patre et Spiritu sancto a nobis adoratur. » Ombrigatus haud æque animo hæc ferens, sed furore repletus, (quid enim aliud a barbara et sanguinolenta anima exspectandum erat?) jussit, illum verberibus immisericorditer cædi, inquiens: « Noli deos nostros aspernari, quorum potentiæ validum argumentum est, quod nobis, qui eos adoramus, omnem Romanorum ditionem subjecerint. Si vero vester Christus verus Deus foret, pro vobis utique pugnans in libertate qua fruebamini, vos conservasset; quandoquidem a C vobis diligitur et colitur. » His dictis, jussit eum in ferreum carcerem conjici, in quo Christi servus mansit usque ad mortem Ombritagi.

31. Moriens vero iste tres reliquit filios. Nomen majoris erat Enrabotas: alter appellabatur Suinitzes, tertius Malomirus, qui etiam paternum principatum obtinuit. Enrabotas vero qui et Boinus **499** vocabatur, divina providentia, recordatus est Christianissimi Cinamonis: et misso ad fratrem suum Malomirum nuntio, rogavit, ut diligenter eum conquireret, inventumque ad se mitteret. Ille haud insuper habens fratris sui mandatum, quæsivit virum, reperitque in carcere, fame ac squalore plenum, pallidum et tabidum, ac merum, ut ita dicam, prioris Cinamonis simulacrum. Eum itaque eduxit, et diligenter quoad fieri potuit, re- D fectum et ornatum ad Enrabotam misit. Venientem vero ut vidit iste omni ex parte referentem carceris ærumnas, et adeo toto corporis habitu mutatum, ut non nisi tempore dignosci posset, causam tantæ mutationis percontatur. Is vero, expositis primum carceris molestiis, deinde de cor-

[47] Psal. xcv, 5. [48] Rom. I, 20.

Variæ lectiones et notæ.

(62) Ombritagus iste videtur esse Mortagon ille quem tertium a Crumo imperasse ait Dufresnius. Eum *Mutragon* appellat Porphyrogenitus; *Omortag* vero Eghinardus, et Hermannus Contractus apud ipsum. Sed an Crubi filius is esset, silent auctores. Mortuus dicitur anno 826.

(63) Hunc, qui Malomirus hic vocatur, *Baldimirum* seu *Uladimirum* alii vocant apud Dufresnium, qui recte ait, eum fuisse Crumi ex filio nepotem: erat enim, ut hic dicitur, filius Ombritagi, qui patrem habebat Crubum.

(64) *Ισ.* ἐχώρει, ἢ χωρῶν ἦν.

Digitized by Google

poris nostri abjectione et tenuitate sap enter disserens : « Quid, inquit, novi, si quod corruptibile est, ac vermes et putredinem generat, corruptionem recipiat ? Alterius rei curam nos gerere oportet, nempe ejus, quæ incorruptibilis est et immortalis, animæ; quæque est interior ac proprie homo : quem profecto, quo magis exterior homo attenuatur et corrumpitur, eo magis renovari et excitari et levius faciliusque in cœlum evolare, novimus » Rogatus vero ab Enrabota, ob quam causam ea omnia passus esset, respondit, fidem in Christum unicam sibi ærumnarum causam esse : «Propter quam pati, subdidit, non calamitatem ego esse reputavi, sed summam voluptatem et gaudium. Et quomodo aliter me habuissem, cum considerarem, tot ante me martyres omnia tormentorum instrumenta contempsisse ; et ignem, gladium, bestiarumque furorem non plus quam puerorum terriculamenta, aut infantilia spicula pependisse, dummodo fidem Christi integram atque illæsam custodirent ? qui et morientes ad æternam et immortalem vitam translati sunt. »

32. Igitur Enrabotas quasi dulci telo, sauciatus amore suavissimi Jesu, et tota mente complectens verba sapientissimi Cinamonis, atque velut hamo escam, eadem arripiens, desiderio fidei corripitur et inflammatur. Amabat itaque virum, ac frequentissimis cum eo habitis colloquiis de rebus Christianæ fidei interrogabat. Cum igitur didicisset : Magnum pietatis Sacramentum [49], et cum aliquandiu cum hujus puritate Bulgaricæ superstitionis impuritatem, et cum divini verbi firmitate eorum irrationalem] putremque doctrinam contulisset ; impietatem detestatus, pietatem amplectitur, credit et baptizatur. Ex quo tempore assidue jejuniis, orationibus, aliisque omnibus vacabat **500** operibus, quibus verus Christanus insignitur et dignoscitur.

33. Ista cum rescisset ipsius frater Malomirus, inique ferens, eum ad se accersivit ; et venientem non tanquam fratrem, sed ut paternæ religionis desertorem excepit, ac zelo pro diis suis accensus: « Impero, dixit illi, ut ab extranei dei cultu recedas : secus, pro certo habeas te in horum (satellites gladium tenentes monstrabat) manus hodie tradendum esse. » At ille mortem eligens, eamque magis sitiens, quam frater ipsius sanguinem, hæc sine mora ad illum reposuit : « Nihil *me separabit a charitate* Christi [50], non ignis, non gladius, non flagella, neque aliud quodvis quantumvis dirum tormentum. Melius est mihi pro nomine Christi mortem perferre, quam cum impiis turpiter et præter fas vivere. Annon audio prophetam Davidem exserte clamantem et dicentem : *Odivi eccle-*

A ἀναγνωρισμὸν δεομένου, τὴν αἰτίαν ἠρώτα τῆς ἀλλοιώσεως. Ὁ δὲ, τὴν ἐκ τῆς εἱρκτῆς καὶ τῶν σιδήρων ἐξηγησάμενος κάκωσιν, τελευταῖον περὶ τῆς τοῦ σώματος φιλοσοφίας (65) ταπεινότητος· « Τί καινὸν, λέγων, εἰ τὸ φθαρτὸν τὰ τῆς φθορᾶς ὑποδέχεται, ὃ σκωλήκων καὶ σήψεώς ἐστι γένεσις; Ἑτέρου δεῖ φροντίζειν ἡμᾶς, τοῦ ἀφθάρτου καὶ ἀθανάτου, λέγω δὴ τῆς ψυχῆς, τοῦ ἔσω καὶ κυρίως ἀνθρώπου· ὃν ὅσῳ μὲν ὁ ἔξωθεν ἄνθρωπος φθείρεται, τοσοῦτον ἀνακαινούμενον καὶ ἀνεγηγερμένον καὶ εἰς οὐρανοὺς κούφως καὶ ῥᾳδίως ἀνιπτάμενον, τὸν ἔσω εἴδομεν. »

Ὡς δὲ καὶ τὴν αἰτίαν ἠρωτήθη παρὰ τοῦ Ἐνραβωτᾶ, καὶ τὸν τρόπον δι' ἣν ταῦτα πάθειεν, διὰ τὴν εἰς Χριστὸν πίστιν Κινάμων αἰτίαν αὐτῷ γενέσθαι τῆς τοιαύτης κακώσεως ἀπεκρίνατο· « Δι' ἣν οὐ κάκωσιν ἐγὼ ταῦτα νομίζομαι, φησὶν, ἀλλὰ πάσης τρυφῆς ἥδυσμα ἥγημαι. Τί δὲ οὐ μέλλω, τοσούτους πρὸ ἐμοῦ ὁρῶν μάρτυρας, παντὸς μὲν ὀργάνου βασανιστηρίου καταφρονήσαντας, πῦρ δὲ, καὶ ξίφος, καὶ θυμοὺς θηρίων, ἴσα καὶ παίδων λογισαμένους νηπίων φόβητρα καὶ τοξεύματα, μόνον ἵνα τὴν εἰς Χριστὸν πίστιν ἀλώβητον διασώσωσιν; Οἱ καὶ θανόντες, εἰς τὴν αἰώνιον καὶ ἀθάνατον ζωὴν μετετέθησαν. »

B

λβ'. Τοίνυν Ἐνραβωτᾶς ἰωνὶ τροθῆς (66) τὴν καρδίαν τῷ γλυκεῖ βέλει τῆς ἀγάπης τοῦ γλυκυτάτου Ἰησοῦ, εἰς νοῦν τε λαβὼν τοὺς λόγους τοῦ σοφωτάτου Κινάμωνος, καὶ ὡς ἀγγίστρῳ δέλεαρ τούτους ἁφαρπάσας, τὴν εἰς Χριστὸν πίστιν ποθεῖ καὶ συμφλέγεται· ἠγάπα τε τὸν ἄνδρα, καὶ συνεχῶς εἰς λόγους ἰὼν ἠρώτα περὶ τῆς τῶν Χριστιανῶν πίστεως. Καὶ μανθάνων τὸ μέγα τῆς εὐσεβείας μυστήριον, καὶ συγκρίνων τῇ τούτου καθαρότητι τὴν τῆς Βουλγαρικῆς θρησκείας ἀκαθαρσίαν, καὶ τῇ τοῦ θείου λόγου στερρότητι, τῆς τε [*f.* γε] ἐκείνων ἀλογίας σαθρότητα, τὴν ἀθεΐαν βδελυξάμενος, τὴν θεοσέβειαν ἐπισπάζεται, [*f.* ἀνασπ.], πιστεύει τε, καὶ τὸ βάπτισμα δέχεται. Καὶ ἀπὸ τοῦδε νηστείαις σχολάζει, καὶ προσευχαῖς, καὶ τοῖς ἄλλοις πᾶσιν, οἷς ὁ ἀκριβὴς Χριστιανὸς χαρακτηρίζεται καὶ γνωρίζεται.

C

λγ'. Μαθὼν δὲ ταῦτα ὁ ἀδελφὸς αὐτοῦ Μαλλωμηρὸς, καὶ ἐν δεινῷ τὸ γεγονὸς θέμενος, μετακαλεῖται τὸν ἀδελφὸν αὐτοῦ Ἐνραβωτᾶν· καὶ δὴ ζηλώσας ὑπὲρ τῶν πατρῴων θεῶν, οὐχ ὡς ἀδελφῷ προσηνέχθη τῷ Ἐνραβωτᾷ, ἀλλ' ὡς ἀποστάτῃ πατροπαραδότου θρησκείας, « Ἢ ἀποστῆναι παρεγγυῶ τοῦ ἀλλοτρίου Θεοῦ, ἢ (τοὺς δημίους δείξας καὶ τὸ ξίφος) ἐκείνοις, φησὶν, ἴσθι τὴν σήμερον παραδοθησόμενος. » Ὁ δὲ, τὸν διὰ Χριστὸν ἑλόμενος θάνατον, καὶ διὰ τοῦτον μᾶλλον, ἢ ὁ ἀδελφὸς αἷμα, εὐθέως πρὸς τὸν ἀδελφὸν τοιάδε ἀποκρίνεται λέγων· « Οὐδείς *με χωρίσει τῆς ἀγάπης* τοῦ Χριστοῦ, οὐ πῦρ, οὐ ξίφος, οὐ μάστιγες, οὐκ ἄλλη τις δεινὴ βάσανος. Καλόν μοι τὸ ἀποθανεῖν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ, ἢ ζῆν με μετὰ ἀσεβῶν αἰσχρῶς καὶ παρανόμως. Ἢ οὐκ ἀκούω τοῦ προφήτου Δαβὶδ διαῤῥήδην βοῶντος καὶ λέγοντος·

D

[49] 1 Tim. III, 16. [50] Rom. VIII, 39.

Variæ lectiones et notæ.

(65) *Isc.* φιλοσοφήσας.

(66) *Isc.* οἱονεὶ τρωθείς.

Digitized by Google

Ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω; Καὶ πάλιν, Ἐξελεξάμην παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν, τῆς τῶν ἀπίστων δηλαδὴ ὁμονοίας καὶ συναφείας. Ἀλλὰ καὶ ὁ Σολομῶν, Θυσίαι ἀσεβῶν, φησὶ, βδέλυγμα Κυρίῳ· καὶ γὰρ παρανόμως προσφέρουσιν αὐτάς. — Τίς κοινωνία σκότους πρὸς φῶς; Ἢ τίς μετοχὴ Χριστῷ πρὸς Βελίαρ, τίς δὲ συνάφεια πιστῷ μετὰ ἀπίστου, καὶ καθαρῷ μετὰ ἀκαθάρτου; Ὅμως, τί τὰ πολλά; Ἑνὶ λόγῳ, τὰ μὲν ἀγάλματα τῶν Ἑλλήνων ὡς ἄθεσι καὶ ἀκάθαρτα βδελύσσω καὶ ἀποστρέφομαι σὺν πάσῃ τῇ λατρείᾳ αὐτῶν. Τὸν δὲ Χριστὸν, ὡς ἀληθῆ Θεὸν καὶ Δημιουργὸν, σέβομαι καὶ τιμῶ, καὶ τὴν κατὰ σχέσιν προσκύνησιν ἀπονέμω. » Ταῦτα ἀκούσας ὁ ἄθεος καὶ παράνομος ἀδελφὸς αὐτοῦ, εὐθὺς τὴν διὰ ξίφους ἀπόφασιν αὐτῷ ἐναμήνεται (67). Ἐν ὅσῳ δὲ πρὸς τὸν τῆς σφαγῆς ὑπήγετο τόπον, θείου μὲν πληροῦται Πνεύματος, ἐκλαλεῖ δὲ προφητικῶς καὶ περὶ τῶν μελλόντων, ὡς ἄρα « Ἡ πίστις αὕτη, λέγων, δι' ἣς ἐγὼ τελειοῦμαι σήμερον, ἐφαπλωθήσεται καὶ πλατυνθήσεται κατὰ πάσης τῆς Βουλγαρικῆς γῆς, κἂν ὑμεῖς τῷ ἐμῷ θανάτῳ συστέλλαι ταύτην νομίζετε· παντὶ δὲ τόπῳ τὸ σημεῖον τοῦ σταυροῦ ἐμπαγήσεται, καὶ οἱ θεῖοι οἶκοι ἀνοικοδομηθήσονται, καὶ ἱερεῖς καθαροὶ τῷ καθαρῷ Θεῷ καθαρῶς λειτουργήσουσι· καὶ θυσίαι αἰνέσεως καὶ ἐξομολογήσεως τῇ ζωοποιῷ Τριάδι προσαχθήσονται. Εἴδωλα δὲ καὶ οἱ αὐτῶν βωμοὶ καὶ ἀνίεροι ναοὶ συντριβήσονται, καὶ εἰς τὸ μὴ ὂν ὡς οὐκ ὄντες ἔσονται. Καὶ σὺ δὲ αὐτὸς, οὐ πολλῶν ἐτῶν ἐν τῷ μέσῳ παραριέντων | *f.* παραῤῥυέντων] (68) τὴν ἀθλίαν ψυχὴν κακῶς ἀποῤῥίψεις, μηδὲν τῆς ὠμότητος ἀπονάμενος. Ταῦτα λαμπρῶς ἀποθεσπίσας ὁ τοῦ Χριστοῦ ἀθλητὴς, τὴν κεφαλὴν τῷ δημίῳ ὑπέκλινε, καὶ τὸν ζωηρὸν διὰ τοῦ ξίφους ὑπεδέξατο θάνατον, τὴν τιμίαν ψυχὴν εἰς χεῖρας Θεοῦ παραθέμενος. Μαλωμηρῷ δὲ μετὰ ταῦτα τρεῖς ἐπιβεβιωκότι ἐνιαυτοὺς, τὸ τῆς δίκης ἄωρον δρέπανον τὸν τῆς ζωῆς θερισμὸν αὐτῷ ἐπήνεγκε. Διεδέξατο δὲ τὴν τῶν Βουλγάρων ἀρχὴν ὁ τοῦ Ζβηνίτζη υἱὸς, αὐτοῦ δὲ ἀνεψιός.

λδ'. Ἀλλὰ γὰρ ἐνταῦθα βλέπε μοι τὴν τοῦ Θεοῦ ἄμετρον σοφίαν· ὃς πολλάκις ὠθῇ (69) πρὸς τὰ ἄνω τὴν ἀνθρωπίνην ψυχὴν, διὰ θλίψεων καὶ στενώσεων, ὥσπερ ὁ ὑδραγωγὸς ὕδωρ διὰ τὴν τῶν σωλήνων στενωσίαν ἐκβραζόμενος. Ὅρα δὲ καὶ ψυχῆς ἀγαθῆς σύνεσιν, ἐπιγνούσης τὸ θεῖον Θεοῦ θέλημα. Ἐπεὶ γὰρ τὴν ἀρχὴν ὁριθῆς (70) διεδέξατο Βωρίσης (71) ὁ θαυμάσιος, Φράγγων νέφος τὴν Βουλγαρίαν πᾶσαν ἐκάλυψε. Συνεπετέθη δὲ τούτῳ καὶ λιμὸς δεινός (72). Εἶχε δὲ τὸ τῶν Βουλγάρων οὕτω γένος κακῶς καὶ

siam malignantium, et cum impiis non sedebo [81] ? Et rursus : *Elegi abjectus esse in domo Dei mei, magis quam habitare in tabernaculis peccatorum* [82], hoc est in concordia et communione cum infidelibus. Verum et Salomon : *Hostiæ*, inquit, *impiorum abominabiles* Domino, *quia offeruntur ex scelere* [83]. *Quæ societas luci ad tenebras ? Aut quæ conventio Christi ad Belial ? Aut quæ pars fideli cum infideli, vel puri cum impuro* [84] ? Sed quid plura? Uno verbo : Simulacra gentilium cum omni cultu ipsorum, tanquam impia et impura exsecror detestorque : Christum autem verum Deum veneror et honoro, debitamque illi præsto servitutem. » His auditis, impius et iniquus frater, confestim capitis sententiam in ipsum pronuntiat. Cum vero ille ad supplicii locum duceretur, divino Spiritu repletus, de rebus futuris prophetice loqui cœpit : « Fides, inquiens, pro qua ego hodie occumbo, extendetur et dilatabitur per universam Bulgariæ regionem, tametsi vos mei cæde eam reprimendam et coercendam existimatis. Et quidem in omni loco signum crucis collocabitur, et sacerdotes puri Deo puro pure ministrabunt, et sacrificia laudis et confessionis vivificæ Trinitati offerentur [85] : idola vero eorumque altaria et profana templa penitus conterentur, et in nihilum, ac si nunquam fuissent, redigentur. Et tu ipse non multis posthac annis, nullo ex tanta immanitate fructu percepto, miseram animam infeliciter efflabis. » Hæc ut clare prænuntiavit egregius Christi miles, cervicem inflexit, porrexitque carnifici præcidendam, sicque gladio feriente vivificam mortem recepit, ac pretiosam animam **501** in Dei manus deposuit. Malomiro autem, cum tres adhuc transegisset annos, divinæ justitiæ falx vitam immature demessuit, ac Bulgarorum principatum obtinuit Suinitzis filius, nepos Malomiri.

34. Hic vero considera mecum immensam Dei sapientiam, quæ multoties hominis animam ad superiora extollit per tribulationes et angustias, ad instar aquæductoris qui, per angustos canales, aquam sursum extrudit. Considera etiam animæ bonæ perspicientiam, quæ divinam voluntatem intellexit. Cum enim prædictus mirabilis Borises principatum cepisset, Francorum nubes Bulgariam totam obtexit ; superaddita etiam est gravissima fames, adeo ut Bulgari pessimo loco

[81] Psal. xxv, 5. [82] Psal. lxxviii, 11. [83] Prov. xxi, 27. [84] II Cor. vi, 14. [85] Isa. ii, 18.

Variæ lectiones et notæ.

(67) *Isc.* ἐναμείβεται.
(68) *Isc.* παριέντων, ἢ παριόντων ἢ παῤῥεόντων.
(69) *Isc.* ὠθεῖ.
(70) *Isc.* ὁ ῥηθείς.
(71) Malomiri seu Uladimiri successorem, primumque ex Bulgariæ regibus Christianum Græci Latinique scriptores non *Borisen*, seu *Vorisen* vocant, sed *Bogorim*. At Theophylactus non solum hic sæpius, sed etiam, ut puto, in epistola *ad Sebastocratoris filium*, eum *Borisen* appellat ; qua de re fortasse alibi.
(72) Fortasse ex hoc loco definiri potest, quod velut *incertum manere* ait Ducangius, nempe non Uladimirum, sed Bogorim fuisse eum, in quem arma movisse Lotharium imperatorem tradit Anonymus in lib. *De miraculis sancti Faronis*.

Digitized by Google

essent : quippe qui eodem tempore cum bellico gladio, tum famis laqueo perimebantur. Verum Borises, tametsi adhuc adolescentulus, agnovit Dei flagellum, simulque illud immitti a corripiente Patre et Domino, ut filios et servos ad veritatis cognitionem adduceret : de quibus filiis ille Dei progenitor David inquit :[56] *Ego dixi : Dii estis et filii Excelsi omnes.* Igitur ad Romanum imperatorem et senatum legationem mittit (Michael Theophili filius tunc Romanum moderabatur imperium), ut pace cum illo firmata, de reliquo tranquillam et ab omni perturbatione liberam, in omni pietate et honestate vitam agerent : quid enim aliud esse poterat, si revera in fraterna concordia et charitate viverent ? Addidit vero et validum suæ rectæ voluntatis argumentum, quod ipse etiam sacrum baptisma suscipere vellet : quem in finem rogabat, ut sacerdotes ad se mitteret, qui cuncta quæ ad Christianam fidem pertinent, eos edocerent. Romani lubenter accepto, quod nunquam a Bulgaris sperassent, pacis signo, cuncta celeriter exsecutioni mandarunt. Baptizatur igitur Borises, et Michael ex sacro fonte appellatur : ut enim (dicunt) gratiam apud Romanum imperatorem iniret, eodem quo ipse nomine appellari voluit : quandoquidem et illi placuit eum ex sacro fonte suscipere, tametsi præsens corpore non fuerit. Simul vero cum principe baptizati sunt quotquot inter Bulgaros generis nobilitate, dignitatum fulgore ac divitiarum amplitudine cæteris præstabant. Horum exemplum reliqui etiam secuti sunt, præter nonnullos, quorum indoles plane ferina erat. Verum hos quoque Borises exiguo contra ipsos comparato exercitu (quandoquidem **502** Christi suffultus auxilio haud ægre illos devicturus erat) ad sanctum baptisma suscipiendum adegit.

35. Exinde vero et episcopi constituti sunt, et sacerdotes ordinati, et sacra templa ædificata : et qui prius *non populus*, sed gens barbara, *nunc populus Dei*[57] fit et appellatur : et *non misericordiam consecutam* Bulgarorum hæreditatem, *misericordiam consecutam*[58] vocat Deus, qui *vocat ea quæ non sunt, tanquam ea quæ sunt*[59] (simul cum Osee etiam Paulus loquatur), et *populus qui* prius *sedebat in tenebris* ignorantiæ, *vidit lucem magnam*[60], veræ scilicet cognitionis, *quæ illuminat omnem hominem venientem in hunc mundum*[61]. Ex eo igitur tempore videre erat celeriter multiplicari Ecclesias. Nam sacra templa, quæ prædicti Ombri et ipsimet Bulgari primum diruerant, tunc a fun-

πολεμίῳ ξίφει, καὶ λιμοῦ ἀγχόνῃ φθειρόμενον. Ἀλλ' ὁ γε Βωρίσης καίτι [*f.* καίτοι] παῖς ὤν, ἐπεγνώσθη [*f.* ἐπέγνω τε *vel* ἐπιγνούς τε] τὴν θείαν μάστιγα, καὶ ὡς ἐπάγει ταύτην ὁ παιδευτὴς Πατὴρ καὶ Δεσπότης, ἐπιστρέψαι θέλων τοὺς υἱοὺς καὶ δούλους· πρὸς τὴν ἀλήθειαν (περὶ ὧν υἱῶν ὁ Θεοπάτωρ Δαβὶδ φησιν· Ἐγὼ εἶπα· Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες· ἀμέλει τότε τῷ βασιλεῖ Ῥωμαίων καὶ τῇ συγκλήτῳ διαπρεσβεύεται (Μιχαὴλ ἄρ' ὁ [*f.* ἄρα] τότε τὴν βασιλείαν εἶχεν ὁ Θεοφίλου υἱός), ὡς ἂν συνθήκας εἰρήνης ποιησάμενος, τοῦ λοιποῦ γαλινιαῖον βίον καὶ ἀτάραχον, ἥρεμόν τε καὶ ἡσύχιον διάγειεν [*f.* διάγοιεν], ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι· καὶ τί γὰρ εἰ ἀληθῶς ἀδελφικῶς μετ' ἀλλήλων διάγειεν ἐν ὁμονοίᾳ καὶ ἀγάπῃ; Καὶ προσετέθη [*f.* -τίθη] πίστιν ἀσφαλῆ, τὸ καὶ αὐτὸς τὸ θεῖον δέξασθαι βάπτισμα. Ἠξίου δὲ, καὶ ἱερεῖς πρὸς αὐτὸν σταλῆναι, ὡς ἂν πάντα τὸν Χριστιανισμὸν αὐτοῖς παραδώσοντας. Ῥωμαῖοι δὲ, τὸ μηδέποτε παρὰ Βουλγάρων ἐλπισθὲν αὐτοῖς τὸ περὶ τῆς εἰρήνης μήνυμα ἀσμένως δεξάμενοι, πάντα διὰ τάχους ἐτέλεσαν. Βαπτίζεται τοίνυν Βορίσης (73), καὶ Μιχαὴλ ἐκ τοῦ λουτροῦ τῆς ἁγίας κολυμβήθρας ἐπονομάζεται, τῷ βασιλεῖ Ῥωμαίων (αὐτοί φασι) χαριζόμενος, τῷ ἐπ' ὀνόματι αὐτοῦ κληθῆναι. Καὶ γὰρ δὴ καὶ αὐτὸς ἔδοξεν αὐτὸν ἀναδέξασθαι, καὶ (74) μὴ σωματικῶς παρεῖν (75). Συνεβαπτίσθησαν δὲ αὐτῷ, καὶ ὅσον ἐν Βουλγάροις γένος, ὄγκον τε καὶ πλούτου βάθη τῶν ἄλλων εἶχον ἐξαίρετον. Ἐκ τούτου δὲ καὶ οἱ λοιποὶ (76) τὴν φωτοποιὸν ἐδέχοντο κάθαρσιν, πλὴν εἴ τινες θηριώδεις παντάπασιν, οὓς καὶ αὐτοὺς, στρατείαν κατ' αὐτῶν ἀθροίσας οὐ πάνυ πολλὴν, ἐπειδὴ δὲ Χριστῷ βοηθούμενος, οὐ ταλαιπώρως κατετροπώσατο [*f. add.* καὶ] πρὸς τὸ θεῖον ὑπηγάγετο βάπτισμα.

λε'. Ἐκ τούτου δὲ ἐπίσκοποί τε καθίστανται, καὶ ἱερεῖς πλείονες τελοῦνται, καὶ ναοὶ ἅγιοι ἀνεγείρονται· καὶ ὁ πρὶν *οὐ λαὸς*, ἀλλ' ἔθνος βάρβαρον, *νῦν λαὸς Θεοῦ* γίνεται καὶ καλεῖται. Καὶ τὴν *οὐκ ἠλεημένην* τῶν Βουλγάρων κληρονομίαν, *ἠλεημένην* καλεῖ Θεὸς, ὁ *τὰ μὴ ὄντα καλῶν ὡς ὄντα* (συνφθεγγέσθω μὲν καὶ Παῦλος τῷ Ὡσηέ)· καὶ ὁ *λαὸς ὁ καθήμενος* πρότερον *ἐν σκότει* τῆς ἀγνοίας, *εἶδε* τὸ νῦν *φῶς μέγα* καὶ ἀληθινὸν τῆς ἐπιγνώσεως, ὃ *φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον*. Ἦν οὖν ἰδεῖν αὖθις ἀπὸ τοῦδε, πληθυνθείσας τὰς Ἐκκλησίας, αἵ (77) οἵ τε προσιρημένοι Ὄμβροι, οἵ τε Βούλγαροι καθεῖλον, θείους ναοὺς, καλῶς ἀνῳκοδόμησαν καὶ ἀνήγειραν ἐκ βάθρων, *καὶ τὴν*

[56] Psal. LXXXI, 6. [57] Ose. I, 9. [58] I Petr. II, 10. [59] Rom. VII, 17. [60] Isa. IX, 2. [61] Joan. I, 9.

Variæ lectiones et notæ.

(73) His consentanea narrat Leo Grammaticus, pag. 462 ed. Regiæ.

(74) *Ισ.* εἰ καί.

(75) *Ισ.* παρεῖναι ἢ παρῆν.

(76) Bulgarorum ad Christum conversionem plerique historici figunt ad an. 846 ; nonnulli tamen eam ad an. 866 differunt. Fortasse uno tempore cœpta, alio completa est : vel aliquandiu interrupta, postea instaurata fuit. Variæ etiam feruntur rationes, quæ regem Bogorim, vel Vorisen ad amplectendam Christianam religionem pepulerunt ; sed plures simul concurrisse, ut in magnis rebus usuvenit, verisimilius est.

(77) *Ισ.* καὶ οὗς.

Digitized by Google

γῆν πᾶσαν ἐπλήρουν ἐνταῦθα τῆς δόξης καὶ τῆς αἰνέσεως Κυρίου. Ἐνταῦθα μὲν ἐπληροῦτο τὸ ὑπὸ τοῦ προφήτου Ἰεζεκιὴλ εἰρημένον· *Καὶ πλήρης δόξης ὁ οἶκος Κυρίου*· καὶ πάλιν ὁ αὐτὸς (78), *Πλήρης πᾶσα ἡ γῆ τῆς δόξης Κυρίου.* Ἀλλὰ καὶ ὁ Δαβὶδ, *Ἡ αἴνεσις αὐτοῦ*, φησὶν, *ἐν ἐκκλησίᾳ ὁσίων*· καὶ πάλιν, *Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν Κύριον ἐκ πηγῶν Ἰσραὴλ*, ἢ ἐκ φυλῆς Βουλγάρων. Γεγόνασι μὲν καὶ οὗτοι κατὰ τὸ εἰρημένον· *Βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς περιούσιος* (79) κλῆρος ἀναφαίρετος. *Μία πίστις, ἓν βάπτισμα, εἷς Θεὸς ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν.*

A damentis erigentes, magnifice reædificarunt, ac *omnem terram repleverunt gloria et laude Domini* [64]. Unde impletum est illud prophetæ Ezech. : [63] *Plena gloria domus Domini*, et rursus ipse : *Plena est omnis terra gloria Domini.* [64] Sed et David : [65] *Laus ejus*, inquit, *in Ecclesia sanctorum*, et rursus : [66] *in ecclesiis benedicite Deo Domino de fontibus Israel*, gentis scilicet Bulgarorum. Siquidem et isti facti sunt, juxta Scripturam, [67] *Regale sacerdotium, gens sancta, populus acquisitionis*, sors immobilis. [68] *Una fides, unum baptismum, unus Deus, super omnes, per omnia et in omnibus.*

λς'. Ἦγε δὲ καὶ ἡ ἀρχὴ τῷ Βωρὶς γαλήνην σταθηρὰν, οὐκ ὀλίγων ἐθνῶν ὑποταγέντων αὐτῷ. Ἐπεποίθει γὰρ βεβαίως ἐπὶ τῷ *τοὺς πολέμους συντρίβοντι, καὶ τόξα συνθλῶντι, καὶ θυρεοὺς ἐν πυρὶ κατακαίοντι*, καὶ *σχολάζειν* διδόντι, καὶ αὐτὸν *ἐπιγινώσκειν μόνον Θεόν*. Ζήσας δὲ ἔτη τριάκοντα πρὸς τοῖς ἓξ ἐν τῇ βασιλείᾳ, καὶ τὴν πίστιν στηρίξας, εἶτα καὶ ἀῤῥωστίᾳ δεινῇ περιπεσὼν, αὐτὸς μὲν καὶ διὰ τοῦτο εὐχαριστήσας Θεῷ, τὸν προφητικὸν ἐκεῖνον λόγον ἐφθέγξατο, *Ἀγαθόν μοι*, λέγων, *ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου.* Ἀποκειράμενος δὲ, τὸν νοῦν πρὸς Θεὸν μετήνεγκε· τῷ δὲ πρώτῳ τῶν παίδων αὐτοῦ, Βλαδιμήρῳ (80) τοὔνομα, τὴν βασιλείαν παρέδωκεν. Οὐκ ὀλίγων δὲ χρόνων κἀν τῷ μοναχικῷ σχήματι ζήσας, εἰς τὴν ἀτελεύτητον μετῆλθε ζωὴν, δοξάσαντος αὐτὸν τοῦ Κυρίου ἐν ἐπιδείξεσι θαυμάτων καὶ ἰάσεων, ἐκ τῶν ὀστῶν αὐτοῦ τελουμένων θεοπρεπῶς.

36. Porro regnavit exinde Borises, summa cum pace et tranquillitate, nec paucæ nationes illi subjectæ evaserunt : firmam enim fiduciam in eo habebat, qui aufert bella, *arcum conterit et confringit arma, et scuta comburit igni*, qui vacare facit, et *videre, quoniam ipse* (solus) *est Deus* [69]. Cum autem regnasset annos sex supra triginta, in gravem morbum incidit : ob quem etiam gratias agens Deo illud Davidicum usurpabat : [70] *Bonum mihi quia humiliasti me, ut discam justificationes tuas.* Dein vero detonsus, totam mentem in Deum transtulit ac regnum primogenito suo Uladimiro contradidit. Haud paucis vero annis in monastico etiam habitu exactis, ad æternam gloriam commigravit, glorificatus a Deo post mortem multis miraculis quæ, mediantibus ossibus ejus, patrata divinitus sunt.

λζ'. Ἐν δὲ τοῖς καιροῖς τούτου, ἐφάνη μὲν ὁ ἅγιος Γερμανὸς ἐπὶ τῆς Βουλγαρικῆς χώρας· ἐφάνησαν δὲ καὶ οἱ ἅγιοι οὗτοι, οὓς ὑπόθεσιν τοῦ παρόντος λόγου ἐνεστησάμεθα, ἐναργεστέρας τὰς ἐμφανείας ἐν Τιβεριουπόλει ποιούμενοι, καὶ νῦν μὲν, ἐν τῷ τόπῳ τῆς αὐτῶν καταθέσεως ὀπτανόμενοι, νῦν δὲ νυκτὸς βαδίζοντες διὰ τοῦ τείχους ὁρώμενοι· πᾶσι δὲ τοῖς δεομένοις δαψιλεῖς τὰς ἰάσεις πηγάζοντες, περιβόητοι πᾶσιν ἦσαν. Φθάνει τοίνυν ἡ περὶ τούτων φήμη εἰς τὰς τοῦ βασιλέως Βουλγάρων Μιχαὴλ ἀκοάς. Ὁ δὲ, οἷος ἦν ἐκεῖνος περὶ τὰ θεῖα θερμότατος, προστάττει ναὸν τοῖς ἁγίοις ἀνεγερθῆναι ἐν τῇ τῆς Βραγαληνίτζης ἐπισκοπῇ (ὃ καὶ γέγονεν), κακεῖσε μετακομισθῆναι τὰ ἱερὰ τούτων λείψανα· ὅπερ οὐκ ἠμελήθη. Τοῦ δὲ προστάγματος τούτου πρὸς Ταριδῆνα γενομένου τὸν κόμητα, ἄνδρα Βούλγαρον, οὐ μόνον εὐγενέστατον, ἀλλὰ καὶ δραστηριώτατον, οὐκ ἀμελὴς περὶ τὸ ἔργον ὁ Ταριδῆνας ἐφάνη· ἀλλὰ τῷ φύσει δραστηρίῳ λαβὼν καὶ

37. Hujus regis tempore apparuit sanctus Germanus in Bulgarorum regione : apparuerunt et sancti isti, de quibus præsentem instituimus sermonem : illustriores tamen eorum apparitiones factæ sunt **503** in civitate Tiberiopoli, ubi visi sunt modo stantes in loco, ubi depositi erant, modo nocte ambulantes supra templi parietem : cumque omnibus orantibus sanitatem large impertirentur, ab omnibus etiam celebrabantur. Pervenit de his fama etiam ad aures Michaelis Bulgarorum regis, qui utpote erga sacra quæquæ ferventissimus, jussit, ut templum illis in episcopio Bragalinitzæ ædificaretur (quod statim fuit exsecutioni mandatum) et illuc sanctorum reliquias transferrentur : quod etiam minime neglectum est. Cum enim hoc negotium Taridinæ comiti, homini Bulgaro, non solum genere nobilissimo, sed etiam summe industrio, demandatum esset; is nullo modo segnem in eo conficiendo se præstitit. Sed super-

[62] Isa. VI, 3. [63] Ezech. XLIII, 5. [64] Isa. VI, 3. [65] Psal. CXLIX, 1. [66] Psal. LXVII, 27. [67] I Petr. II, 9. [68] Ephes. IV, 5. [69] Psal. XLV, 10. [70] Psal. CXVIII, 71.

Variæ lectiones et notæ.

(78) Non Ezechielis, sed Isaiæ sunt verba quæ sequuntur.

(79) *Is.* εἰς περιποίησιν, ut habet Apostolus.

(80) De hoc Uladimiro mentionem nullam invenio apud alios auctores. Fortasse is fuit qui, a paterna pietate recedens, cum totum se ebrietati dedisset, ac subditos etiam ad gentilismum revocare studeret, a patre, qui, divino zelo repletus, regimen, deposito interim monastico habitu, resumpsisse dicitur, victus, regno oculisque exutus, ac carceri mancipatus est.

Digitized by Google

addito naturali solertiæ suæ etiam zelo fidei erga mirificos martyres, templum multa cum celeritate, multorum manibus usus, perfecit. Deinde, congregatis pontificibus, sacerdotibus, principibus ac ingenti populi magnitudine, cum hymnis, thymiamatis Tiberiopolim contendunt. Stantes vero in loco ubi sancti apparere solebant, facta fervidis cum lacrymis prolixa oratione, effodere incipiunt, et humum asportare : cumque satis effodissent, inveniunt sanctorum urnas tabulis ex polito marmore opertas, quibus inscripta erant cujuscunque nomen, forma staturæ, genus vitæ, dignitas et lineamenta visus. Sublatas vero tabulas istas marmoreas hominibus, qui eas ad domum episcopalem Bragalinitzæ deferrent, tradiderunt, ut cum illuc translatæ essent sanctorum reliquiæ, ac in sacro loco positæ, denuo illis operimento essent. Ipsas vero reliquias mundis linteis obvolutas in arculis ligneis, quas ad earumdem comportationem de industria fecerant, reposuerunt : rursusque prolixa oratione ad Deum *mirabilem in sanctis suis* [71] facta, ejus in se misericordiam implorarunt.

Α τὸ ζέον τῆς πρὸς τοὺς θαυματουργοὺς πίστεως, τὸν μὲν ναὸν, τάχει πολλῷ συνετέλεσε, πολυχειρίᾳ πρὸς τὸ ἔργον χρησάμενος. Συναγαγὼν δὲ καὶ ἀρχιερεῖς σὺν ἱερεῦσιν, ἄρχοντάς τε καὶ πλῆθος πολὺ τοῦ λαοῦ μεθ' ὕμνων καὶ θυμιάτων καταλαμβάνουσι τὴν Τιβεριούπολιν. Ἐπιστάντες δὲ τὸν τόπον, ἐν ᾧ οἱ ἅγιοι ἐπεφαίνοντο, ἐκτενῆ [*f.* ἐκτενῆ] τε δέησιν μετὰ δακρύων θερμῶν ποιησάμενοι, ὠρύσιν (81) ἤρξαντο καὶ τὸν χοῦν ἐκφορεῖν. Ἐφ' ἱκανὸν δὲ ὀρύξαντες, ἐντυγχάνουσιν ἤδη ταῖς τῶν ἁγίων λάρναξιν, ἐκ λίθου μὲν μαρμαρίνου πριστοῦ τὰς σκεπούσας αὐτῶν σανίδας ἐχούσαις, ἄνωθεν δὲ ἐπιγεγραμμένους ἑκάστους [*f.* —νον ἑκάστου] τό τε ὄνομα, τό τε σχῆμα τοῦ εἴδους, καὶ τὸν τρόπον τοῦ βίου, καὶ τὸ ἀξίωμα, καὶ τὸν χαρακτῆρα τῆς ὄψεως. Ἅραντες οὖν τὰς μαρμάρων ἐκείνων σανίδας, εἰς τὴν τῆς Βραγαληνίτζης ἐπισκοπὴν φέρειν ἔδωκαν· ὡς ἂν μετακομισθεῖσιν ἐκεῖθεν τοῖς τῶν ἁγίων λειψάνοις, καὶ κατατεθεῖσιν ἐν τόπῳ ἱερῷ, αὖθις δι' αὐτῶν τούτων ἡ σκέπη γένοιτο. Αὐτὰ δὲ τὰ λείψανα, καθαραῖς τε σινδόσιν ἐνειλήσαντες, καὶ ξυλίνοις κιβωτίοις ἐνθέντες, ἃ ἐπίτηδες εἰς τὴν τούτων συγκομιδὴν ἐκαινουργησαν, ἄρχονται μὲν αὖθις ἐκτενοῦς δεήσεως πρὸς τὸν *ἐν ἁγίοις θαυμαστὸν* Κύριον, τὸν ἐξ αὐτοῦ ἐπικαλούμενοι ἔλεον.

B

38. Interea dum hæc fierent, jamjamque arculas in humeros sublaturi essent, ex lectoribus quidam, qui a multis annis ob indispositionem quæ ipsi acciderat, lingua ita impeditus erat, ut vocem emittere omnino non posset, accessit et ipse cum aliis inspecturus quæ fiebant. Et ecce momento temporis (o mirabilia magna tua, Christe Dei Verbum !) solutis linguæ ipsius vinculis, procurrit velut furens, et æstro percitus ad sacras illas thecas quæ reliquias claudebant; ac clariore voce usus, recepti beneficii præco factus est, eodem organo gratias referens, quas potuit maximas : sicque sanctorum in se expertus est virtutem, **504** locutione rependens acceptam loquendi facultatem. Quod cum populus vidisset audiissetque, illum multo tempore voce penitus destitutum fuisse, indeque miraculi magnitudinem perspexisset, quæ sanctorum potestatem declarabat, circum arcas sanctorum effusi, eas osculabatur, amplectabatur, atque arctissime tenebat, ut inde avelli non posset.

C

D

λη'. Ἐν ὅσῳ δὲ ταῦτα ἐτέλουν, καὶ τὰ κιβώτια αἴρειν ἔμελλον, τῶν ἀναγνωστῶν τις πρὸ πολλῶν ἐτῶν ἔκ τινος πάθους συμβεβηκότος αὐτοῦ [*f.* αὐτῷ] τὴν γλῶσσαν πεδηθείς, ὡς παντελῶς συνῆν [*f.* συνεῖναι] ἀφωνίᾳ, συνῆλθε μὲν τοῖς πολλοῖς κατὰ θέαν τῶν γινομένων. Ἀθρόως οὗτος (ὦ τῶν μεγάλων σου θαυμάτων, Χριστὲ Λόγε!), λυθέντων αὐτοῦ τῶν τῆς γλώττης δεσμῶν, προστρέχει, οἷά τις ἐκμανείς καὶ σεσοβημένος, ταῖς τὰ λείψανα φερούσαις ἐκείναις θείαις θήκαις, γεγωνοτέρᾳ δὲ τῇ φωνῇ προσχρώμενος, κῆρυξ τῆς εὐεργεσίας ἐγένετο· μεγαλοφώνως δι' αὐτοῦ τοῦ ὀργάνου ἀποτεινῆς [*f.* ἀποτεννὺς] (82) τὰ κατὰ δύναμιν χαριστήρια, εἰς οὐ κἂν [*f.* εἰς ὃ καὶ *vel* ἐφ' οὗ καὶ] (83) τῆς τῶν ἁγίων ἐπειράσθη δυνάμεως, καὶ λόγῳ τὴν ὑπὲρ τοῦ δύνασθαι λέγειν ἀποδιδοὺς ἀμοιβήν. Ὡς δὲ ὁ λαὸς ἔδε τὸ γεγονὸς, καὶ ἀκούσιε [*f.* ἀκούσειε] (84) τόν τε τῆς ἀφωνίας χρόνον, ὅτι πολὺς, καὶ τὴν τοῦ θαύματος ἐνέργειαν τὴν ἐν τοῖς ἁγίοις τοῦ Θεοῦ ἐκφαίνουσαν δύναμιν, περιχυθέντες ταῖς τῶν ἁγίων θήκαις, κατησπάζοντο, προσεφύοντο, ἀδιασπάστως εἶχον αὐτῶν.

39. At Tiberiopolitæ reliquis adhuc vehementius commoti, ad comitem et ad episcopos : « Non dimittemus unquam, dixerunt, bonum nostrum; neque si unica tantum die vita nobis protrahenda foret, patiemur privari Dei dono, quod superna Providentia nobis in salutem animarum nostrarum concessit. Haud feremus ex manibus et sinibus nostris rapi illæsum atque inviolatum thesaurum.

λθ'. Οἱ δὲ Τιβεριοπολῖται, οὗτοι μέν γε καί τι πλέον παρεκινοῦντο θερμότερον, καὶ πρὸς τὸν κόμητα καὶ πρὸς τοὺς ἐπισκόπους, « Οὐ καταπροησόμεθα τὸ ἡμέτερον ἀγαθὸν, λέγοντες· οὐδ' ἂν εἰ [*f.* ᾗ] ἡμέρα μία ἡ ζωὴ ἡμῶν, ἔλεγον, γένοιτο, τὴν τοῦ Θεοῦ δωρεὰν στερηθείημεν, ἣν ἡμῖν πρὸς σωτηρίαν ψυχῶν καὶ σωμάτων ἔδωκεν ἡ ἄνω Πρόνοια. Οὐ περιοψόμεθα, ἐκ μέσου τῶν ἡμετέρων ἁρπαζό-

[71] Psal. LXVII, 37.

Variæ lectiones et notæ.

(81) *Ισ.* ὀρύττειν, ἢ ὄρυξιν.
(82) *Ισ.* ἀποτίνων, ἢ ἀποτίσας.
(83) *Ισ.* ἐφ' ᾧ, ἢ καὶ ὡς.
(84) *Ισ.* ἤκουσε.

Digitized by Google

μενον χειρῶν, καὶ ἐκ τῶν κόλπων ἡμῶν ἀφαιρούμενον τὸν ἀσινῆ καὶ ἀσύλητον θησαυρόν. Οἵδε ἡμεῖς, καὶ δεσμεῖσθαι, καὶ κολάζεσθαι, καὶ εἰς πῦρ παραπεμφθῆναι, καὶ θάνατον ὑποστῆναι ἑτοίμως ἔχομεν. Οὐκ εὐκλαιὴς [*f.* ἀκλεὴς] οὐδὲ οὗτος ὁ θάνατος ἡμῖν ἔσται. Εἴτε περὶ τὰ κιβώτια στῶμεν, αὐτοῦ τὰ σώματα καταθύσομεν, καὶ τὰς ψυχὰς ἀπορρίψομεν. Μὴ μαλακισθῶμεν τὰ νεῦρα τῆς προθυμίας· μὴ φανῶμεν ὄντως ἀνάξιοι τηλικαύτης χάριτος. Φανησόμεθα δὲ, εἰ ἄλλοις ταῦτα παραχωρήσομεν. Πόσοι πίπτουσιν ἐπὶ παρατάξεων ὑπὲρ ἀγαθῶν δωρεὰν [*f.* — ρεᾶς] τῶν καὶ φθειρομένων, καὶ ὧν πολλάκις οὐκ αὐτοὶ κύριοι, ἀλλ' ἕτερος δεσπότης, ᾧ μισθοφοροῦντες ἐκεῖνοι, τὸν πόλεμον ὑποδύονται! Ἡμῖν δὲ, καὶ οἰκεῖον τὸ ἀγαθὸν, καὶ ἄφθαρτον, καὶ αἰώνιον. Πόσης οὖν μαλακίας ὑπεκστῆναι τούτους τοῖς λαβεῖν θέλουσι! Ποῖον ἄλλον τόπον τάφον [*f.* τάφων *vel* τάφου] ἱερώτερον ἕξομεν, ἢ τοῦτον τὸν καὶ τοὺς ἁγίους καλύψαντα, ὑπὲρ ὧν νῦν διασυνδεινεύσωμεν [*f.* ὑπὲρ ὧν νῦν διακινδυνεύσομεν] (85); »

A Parati sumus et vincula et verbera et ignem et mortem omnem potius tolerare. Mors hujusmodi chara nobis erit: et circum arculas istas stantes, et corpora sacrificabimus, et projiciemus animas. Absit ut deficiat animi nostri robur, ac videamur tanta gratia indigni; ut videremur sane, si ista aliis dimitteremus! Quam multi in prœliis cadunt ob corruptibilia bona, et quorum sæpe domini non fiunt ipsi, sed alius, cujus stipendiis militant! Nobis vero et proprium est hoc bonum, et incorruptibile, et æternum. Quantæ igitur ignaviæ foret, illud subripere volentibus cedere! Et quo alio in loco sanctius sepulcrum habere possumus, quam, in isto, qui sanctos hos tegit, ac ubi paulo ante simul prandium sumpsimus? »

μ'. Τοιαῦτα λέγοντος τοῦ πλήθους, καὶ θρασυνομένου πλέον τοῦ δέοντος (θερμὸν γὰρ ὁ ζῆλος, καὶ μάλιστα τοῦ κοινοῦ πλήθους), ὡς κουφοτέρας ὕλης δραξάμενος, ἐκ μικροῦ σπινθῆρος πυρσὸς ἐγείρετο· ὁ κόμης σὺν τοῖς ἐπισκόποις μόλις κατασιγάσας τὸν πολὺν ἐν τῷ κοινῷ θόρυβον, « Τί τοῦτο, ἔφησεν, ἀδελφοὶ, καὶ τέκνα; τίς ἡ ἀλόγιστος αὕτη θρασύτης καὶ ἐπανάστασις; Εἰ μὲν οἰκοθεν αὐτὸς ἐπεβαλλόμην τῷ πράγματι, καὶ αὐθαιρέτως ἐνήργουν τὴν ὀδυνηρὰν ὑμῖν ταύτην τῶν ἁγίων μετάθεσιν, εἶχεν ἂν λόγον ὑμῖν ἡ ἀντίστασις· εἰ δὲ πρόσταγμα τοῦτο τοῦ θεοφιλοῦς ἡμῶν βασιλέως, ἡμεῖς δὲ ὑπηρέται, καὶ ἐκπληρωταὶ τοῦ προστάγματος ἀπεστάλημεν· τίς ὁ λόγος, δούλους εἶναι ὁμολογοῦντας, δεσποτικῷ μὴ ὑποκύπτειν κελεύσματι; Οὐκ ἴστε πικρὰς βασάνους ἀποκειμένας τοῖς τὰ βασιλικὰ προστάγματα παραθραύουσι; Ὁρᾶτε, μὴ τὸν μέχρι νῦν πρᾶον καὶ χριστοφόρον [*f.* χρηστ.] βασιλέα, πρὸς τὴν καθ' ὑμῶν ὀργὴν ἀναστήσητε τῷ πολλῷ θράσει, τῆς φυσικῆς ἐκστῆναι χρηστότητος βιασάμενοι. Μὴ οὕτως ἀπονενοημένως ὡς κατὰ μαχαιρῶν καὶ ξίφων πηδήσητε. Ἄδοξος ὁ τοιοῦτος θάνατος· οὐκ ἀρεστὴ γὰρ ἡ θρασύτης, εἰ καὶ δόξης ἀποφέρητε στέφανον. Μὴ ποιήσητε τὸν θεῖον καὶ ἱερὸν τόπον τοῦτον, πολυάνδριον· μὴ τὸν ἅγιον βεβηλώσητε μιανθέντα ἐμφυλίῳ ἐναγῶς αἵματι. » Τούτων ἔτι λεγομένων παρὰ τοῦ κόμητος, τὸ πλῆθος ἐπὶ μᾶλλον ἀνῆπτε τὸν θόρυβον, καὶ τὴν πρὸς τὸν θάνατον προθυμίαν, προθυμοτέραν καὶ θερμοτέραν ἅπαντες ἐπεδείκνυντο. Ἐνταῦθα ὁ κόμης παντοῖος ἐγένετο [*f.* ἐγίν.], νῦν μὲν τῇ χρηστολογίᾳ μαλάττειν, νῦν δὲ τῇ τῶν ἀπειλῶν αὐστηρίᾳ καταστέλλειν πειρώμενος. Ὡς δὲ ὁ χρόνος ἐτρίβετο, καὶ μηδέν τι διαπράξαι ἰσχύοντες ἑκάτερα τὰ μέρη, ἀλλ' ἄπρακτοι διαμένοντες οἱ ἀμφότεροι, τέλος, συνεβίβασαν ὥστε τρεῖς ἐκ τῶν ἐπισημοτέρων ἁγίων μόνους ἅπαντες, λέγω δὴ, Τιμόθεον, Κομάσιον, καὶ Εὐσέβιον, τοὺς δὲ λοιποὺς, ἐν Τιβεριουπόλει καταλιπεῖν.

B 40. Hæc cum diceret populus, et animosius se haberet quam decebat, siquidem violentus est zelus, præsertim in gregaria multitudine, ceu ignis in leviore materia accensus: adeoque ex parva scintilla jam incendium parabatur. Quare comes cum episcopis ægre impetrato in tanta perturbatione silentio: « Quid est hoc, clamavit, fratres et filii? Quænam hæc absque ulla ratione audacia et insurrectio? Si ego a me ipso animum appulissem ad hoc opus, et sponte mea urgerem hanc adeo vobis molestam sanctorum translationem, æqua utique foret hæc resistentia vestra. At cum tale sit pientissimi regis nostri mandatum, nosque solummodo ministri et exsecutores illius simus; quænam ratio est, ut ii qui servos sese agnoscunt et fatentur, C nolint dominico subesse mandato? An vero ignoratis diros cruciatus iis paratos esse, qui regia mandata infregerint. Videte ne clementissimi ac mitissimi regis iracundiam in vos concitetis, ac ne vestra hac nimia **505** audacia eum a naturali mansuetudine sua recedere cogatis. Non adeo dementes sitis, ut in secures et gladios ultro insiliatis. Ingloria foret hæc mors: ac non placeret vestra temeritas, etiamsi gloriæ coronam exinde referretis. Nolite sacrum hunc locum facere mortuorum sepulcrum. Nolite profanare hoc templum, sacrilege illud polluentes civili sanguine. » Dum hæc a comite dicerentur, multitudo majorem adhuc tumultum ciebat, omnesque ad mortem subeundam sese exhibebant promptiores. Quare comes D in omnes sese versabat partes, ac modo suavitate verborum eos delinire, modo minarum asperitate eos deterrere conabatur. Verum, cum tempus tereretur, ac neutra pars quidquam proficeret, adeoque otiosi permanerent, tandem convenerunt, ut tres tantum ex illustrioribus sanctis tollerentur, nempe Timotheus, Comasius, et Eusebius: reliqui Tiberiopoli relinquerentur.

Variæ lectiones et notæ.

(85) *Isσ.* διασυνδειπνήσαμεν ἢ διασυνδεινάζομεν· id est, *pro quo nunc contendimus et contristamur.*

Digitized by Google

41. Sublatis igitur illis, Bragalinitzam cum præclaro hymnorum concentu, multorum luminum gestatione, suaviumque odorum effusione perrexerunt. Cum vero ab ea civitate viginti circiter stadiis abessent, obviam illis venit vir distortos habens pedes, ac magna voce clamans : « Sancti Dei, miseremini mei infelicis, qui hac corporali infirmitate præpeditus, haud potui ad vos cum aliis accedere : attamen cogitatione et fide semper vos complexus sum, vestramque virtutem invocavi : sicut et nunc infirmitati meæ violentiam inferens, huc, priusquam ad civitatem perveniatis, accedo, subsidium vestrum atque adjumentum implorans. Si quid igitur potestis, adjuvate me, miserti mei, vos rogo et obtestor, ego miserrimus. Ne, quæso, confundar quoniam speravi in vos, neve revertar humiliatus et confusus, ac ne, rogo, defrauder spe mea et protectione vestra. » Ista cum lacrymis clamdo illo dicente, subito Dei gratia egit ea quæ propria ipsius sunt; et *mirabilis in sanctis suis Dominus*[72] virtutem suam ostendit. Thecæ enim sanctorum, quæ eo usque admodum leviter ferebantur, repente adeo graves evaserunt, ut amplius eas ferre non possent. Quare illas ibidem deposuerunt. Ille autem qui distortos pedes habebat, eisdem accidens, dum omne lamentationis genus adhiberet, nihilque ad miserationem commovendam idoneum prætermitteret, extemplo animadvertit, pedes suos naturalem se movendi virtutem recuperasse. Deambulabat itaque Deum glorificans, ac eum qui omni tempore, et ubique *in sanctis suis mirabilis*, vocibus gratiarum actionis laudabat, magnificabat **506** atque benedicebat. Hic vero ingemiret mecum sanctus David illud psalmi sui dictum : [73] *Mirabilis Deus in sanctis suis, Deus Israel.* Et rursus : [74] *Mirifica misericordias tuas, qui salvos facis sperantes in te.* Ac rursus : [75] *Corroboravit* (Græce *mirificavit*) *misericordiam suam super timentes se.* Et hæc quidem ita se habuere. Nos autem ad propositum revertamur.

42. Facta a sacerdotibus prolixa oratione, iterato aggressi sunt thecas gestare; et illæ rursus leves ut erant antea, evaserunt. Et sic multum benedicentes et laudantes Dominum Bragalinitzam pervenerunt : ibique omnibus, quæ decebant, defuncti, sacras illas thecas deposuerunt in dextra parte templi, quod in eorum honorem exstructum erat, vigesima octava die prædicti mensis. Constituti etiam sunt pro hoc sacro templo clerici, qui scirent sacra facere Bulgarica lingua, ut ei præsiderent, ac in perpetuum sacras laudes concinerent.

43. At vero is qui pedum sanitatem receperat,

μα'. Ἅπαντες οὖν μετὰ πολλῆς δοξολογίας καὶ φωταγωγίας, καὶ εὐωδίας, καὶ ὕμνων, εἰς τὴν Βραγαληνίτζαν ἀπῆεσαν. Ἔτι δὲ τῆς πόλεως ἀπεχόντων ὡς ἀπὸ εἴκοσι σταδίων διάστημα, ὑπαντᾷ τις ἀνὴρ αὐτοὺς [*ſ.* αὐτοῖς] (86) τοὺς πόδας διάστροφος ὤν, μεγάλῃ τῇ φωνῇ βοῶν· « Ἐλεήσατέ με, ἅγιοι τοῦ Θεοῦ, τὸν ταλαίπωρον, τὸν διὰ τὴν σωματικὴν ταύτην ἀσθένειαν ἀπολειφθέντα με [*ſ.* μὲν] τῆς μετὰ τῶν ἄλλων πρὸς ὑμᾶς συνελεύσεως, τῇ δὲ διανοίᾳ καὶ τῇ πίστει ἀεὶ ὑμῶν [*ſ.* ὑμᾶς] ἐκδεχόμενος, καὶ τὴν ὑμῶν ἐπικαλούμενος δύναμιν· ὅς γε καὶ νῦν τὴν ἐμαυτοῦ ἀσθένειαν βιασάμενος, πρὶν ἢ τῇ πόλει ἐπιφοιτῆσαι ὑμᾶς, ἦκω, τὴν ὑμετέραν ἀντίληψιν καὶ βοήθειαν ἐξαιτούμενος. Ἀλλ' εἴ τι δύνασθε, βοηθήσατέ μοι σπλαγχνισάμενοι ἐπ' ἐμοί. Διὸ δέομαι καὶ ἀντιβολῶ, ὁ πολλῶν δακρύων καὶ θρήνων ἄξιος, μὴ καταισχυνθείην, ὅτι ἦλπισα ἐφ' ὑμᾶς, μηδὲ ἀποστραφείην τεταπεινωμένος καὶ κατησχυμμένος, μηδὲ στερηθείην τῆς ἐμῆς προσδοκίας, καὶ ὑμῶν ἐπισκέψεως. » Ταῦτα σὺν κλαυθμῷ τοῦ χωλοῦ βοῶντος, εὐθὺς ἡ τοῦ Κυρίου χάρις ἐποίει τὰ ἑαυτῆς, καὶ *ὁ ἐν τοῖς ἁγίοις θαυμαστὸς Κύριος*, τὴν οἰκείαν δύναμιν ἐπεδείκνυτο. Αἱ γὰρ θῆκαι τῶν ἁγίων μέχρι τότε κούφως φερόμεναι, ἄθρόον οὕτω βαρεῖαι τοῖς φέρουσιν ἔδοξαν, ὥστε μὴ παρετέρω [*ſ.* περαιτέρω] (87) φέρειν δύνασθαι ταύτας. Ἀμέλει καὶ κατατίθενται μὲν αὐτοῦ. Ὁ δὲ τοὺς πόδας ἐκεῖνος διάστροφος προσπεσὼν αὐταῖς, καὶ τί μὲν οὐκ ἔτι λέγων ἐλεεινὸν, τί δὲ οὐ ποιῶν οἰκτον ἄξιον, εὐθὺς ὁρᾷ τοὺς πόδας τὴν φυσικὴν δύναμιν καὶ κίνησιν ἔχοντας. Περιεπάτει τὸν Θεὸν δοξάζων, καὶ εὐχαριστηρίοις φωναῖς τὸν *διὰ τῶν ἁγίων αὐτοῦ* ἐν παντὶ καιρῷ καὶ τόπῳ *θαυμαζόμενον* Κύριον καὶ Θεὸν ὑμνῶν, καὶ μεγαλύνων, καὶ εὐλογῶν, καὶ δοξάζων. Ἐνταῦθά μοι συμφθεγγέσθω ὁ θεῖος Δαβὶδ τὸ ψαλμικὸν λόγιον ἐκεῖνο· *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, ὁ Θεὸς Ἰσραήλ·* καὶ πάλιν, *Θαυμάστωσον τὰ ἐλέη σου, Κύριε, ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σέ·* καὶ πάλιν, *Ἐθαυμάστωσε Κύριος τὸ ἔλεος αὐτοῦ, ἐπὶ τοὺς φοβουμένους αὐτόν.* Καὶ ταῦτα μὲν ἐν τούτοις. Ἡμεῖς δὲ ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν.

μβ'. Ἐκτενοῦς δὲ παρὰ τῶν ἱερέων γενομένης δεήσεως, αὖθις ἐπεβάλλοντο ταῖς τῶν ἁγίων θήκαις βαστάσαι· αἱ δὲ, κοῦφαι πάλιν ἦσαν καὶ ἐλαφραὶ ὡς τὸ πρότερον. Καὶ οὕτως ἐπὶ πλέον δοξάζοντες καὶ εὐλογοῦντες τὸν Θεὸν, φθάνουσιν ἄχρι Βραγαληνίτζης· καὶ ὅσα εἰκὸς ἀφοσιωσάμενοι, κατατιθέασι τὰς θείας θήκας ἐκείνας, ἐν τῷ δεξιῷ μέρει τοῦ εἰς ὄνομα τῶν ἁγίων οἰκοδομηθέντος ναοῦ, εἰκοστῇ ὀγδόῃ τοῦ αὐτοῦ μηνὸς ἄγοντος. Ἀφωρίσθη δὲ τῷ θείῳ τούτῳ ναῷ καὶ κλῆρος, Βουλγάριον γλώττῃ τὰ θεῖα πεπαιδευμένος, ὥστε προσεδρεύειν τούτῳ, καὶ τὰς ἱερὰς ποιεῖσθαι ὑμνολογίας ἑκάστοτε.

μγ'. Ὁ μέντοι τοὺς πόδας ἰαθεὶς ἐκεῖνος, οὐκ

[72] Psal. LXVII, 36. [73] Ibid. [74] Psal. XVI, 7. [75] Psal. CII, 11.

Variæ lectiones et notæ.

(86) *Ισ.* ἀμφοτέρους.

(87) *Ισ.* πορρωτέρω.

Digitized by Google

εἰς καλὸν τὴν ὑγείαν ἐχρήσατο· ἀλλ' οἴκαδε ἀπελ- A
θὼν, καὶ γυναικὶ ἀνδρὶ νομίμῳ συνημμένῃ λοιγίους
[*f.* μοιχίους] ἐπιβαλὼν ὀφθαλμοὺς, καὶ λόγοις ὑπο-
κλέψας ἀπατηλοῖς (εὔκολον γὰρ εἰς ἀπάτην γυνὴ), καὶ
ῥήμασιν ἐρωτικοῖς εὐένδοτον ἄρας αὐτὴν, εἰς ἑτέραν
χώραν μεταναστεύουσιν ἀμφότεροι. Ἀλλὰ γὰρ οὐκ
εἰς μακρὰν ἐπ' αὐτῷ ἡ Θεία δίκη ἐνύσταξεν, ἀλλὰ
πικρὸν ἐνιδοῦσα τὸ γενόμενον αὐτοῦ πονηρὸν, καὶ
τὸ τῆς ποινῆς ἔργον ἐπάγει· καὶ στρεβλοῖ τοὺς
πόδας τῷ ἀλλοτρίῳ υἱῷ, τῷ ψευσαμένῳ τὴν χάριν
τῶν ἁγίων, καὶ ἀπὸ τῆς Θείας καὶ εὐθείας τρίβου
χωλάναντι, καὶ πρὸς ἀτόπους ὁδοὺς καὶ πονηρὰς
διαδραμόντι. Περὶ τῶν τοιούτων μοι δοκεῖ εἰρηκέναι
τὸν Σολομῶντα, ὡς καὶ τὸ ἀληθὲς ἔχει· *Ὁ πορευό-
μενος ὀρθῶς, πορεύεται πεποιθώς· ὁ δὲ σκολιά-
ζων ταῖς ὁδοῖς αὐτοῦ, γνωσθήσεται.* Τί οὖν ἐκεῖ- B
νος; Ἐπιγινώσκει τὸ πταῖσμα, καὶ εὐθὺς τὸν τῆς
παρανόμου συζυγίας ῥηγνύει σύνδεσμον· ἀφίησι τὴν
γυναῖκα τῷ προτέρῳ ἀνδρὶ, αὐτὸς δὲ τοῖς ἁγίοις
προσδραμὼν, καὶ ταῖς ἱεραῖς προσπεσὼν θήκαις,
γοεράς τε ἀφίει φωνὰς, καὶ τὸ ἁμάρτημα ἐξομολο-
γούμενος ἐν συντετριμμένῃ καρδίᾳ καὶ πνεύματι
ταπεινώσεως, ἠτεῖτο μὲν συγγνώμης ἐπὶ τούτῳ
τυχεῖν, ἠτεῖτο δὲ καὶ τὴν πρὸς τὸ εὐθὺ τῶν ποδῶν
ἀποκατάστασιν. Ὁ τοίνυν τῶν μετανοούντων Θεὸς,
ἅμα καὶ τοὺς ἁγίους αὐτοῦ δοξάζων, ὡς εἴωθεν,
ἀπευθύνει πάλιν τοὺς πόδας αὐτῷ· ἦν γὰρ, ὡς ἔοικε,
ψυχῆς πρὸς τὸ καλὸν ἐχούσης οἰκείωσιν. Ἐντεῦθεν
πεπλήρωται τὸ τοῦ προφήτου Ἡσαΐου ῥητὸν, τὸ
φάσκον· *Τότε ἁλεῖται χωλὸς ὡς ἔλαφος, καὶ τρα- C*
χὴ ἔσται γλῶσσα μογιλάλου· καὶ πάλιν, *Ἰσχύσα-
τε, χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα,
παρακαλέσατε.* Τί δὲ τὸ ἀπὸ τοῦδε; Πολλὰ χαίρειν
εἰπὼν κόσμῳ καὶ τοῖς ἐν κόσμῳ, τὸ πάλαι μὲν ἱερὸν,
νῦν δὲ ἅγιον ὄρος λεγόμενον καταλαμβάνει· πρόσ-
εισί τε τῇ μεγίστῃ τῶν ἐκεῖσε μονῶν, καὶ τὰ τῶν
μοναχῶν ἐνδὺς, μόνου Θεοῦ καὶ τῶν θείων γίνεται,
καὶ μόνος πρὸς μόνον τὸν Θεὸν οἰκειοῦται. Τοιοῦτο
μὲν οὖν τὸ θαῦμα τοῦτο.

μδ'. Ἕτερος δέ τις ἐκ μακρῶν τῶν χρόνων ἀκαθάρτῳ
πνεύματι τυραννούμενος, καὶ τοσοῦτον, ὅσον [*f.* ὡς οὐ]
μόνον ἁλύσεσι περιαυχενίζεσθαι, ἀλλὰ καὶ σιδήροις
τοὺς πόδας ἐνέχεσθαι ἐπιτηδείοις, μάστιξ ὢν καρ-
δίαις καὶ *πληγὴ χαλεπὴ* καὶ *δυσίατος*· ἐλύπει γὰρ
αὐτοὺς, οὕτω πικρῷ ποινηλατούμενος δαίμονι· ἐπεὶ D
μηδὲν ἕτερον ἔχοντες ὁρᾶσαι, τὴν πρὸς τοὺς ἁγίους
καταφυγὴν ἔγνωσαν, συλλαμβάνεται μὲν ἁλύσεσι
κραταιῶς, ἄγεται δὲ εἰς τὸν τῶν ἁγίων ναόν. Ἐπεὶ
δὲ μὴ κατέχειν αὐτὸν ἠδύναντο, δένδρῳ μεγίστῳ ἔξω
τοῦ ναοῦ ἑστῶτα προσέδησαν. Ἦν οὖν τῷ δένδρῳ
προσδεδεμένος ἡμέρας τρεῖς, πᾶσι τοῖς ὁρῶσι θρήνου
καὶ δακρύων ἄξιον θέαμα. Τῶν δὲ φυλασσόντων
αὐτὸν, τῶν μὲν εἰς ὕπνον κατενεχθέντων, τῶν δὲ,
ἄλλου ἀλλαχόσε διακεκινηκότων, τὰς ἁλύσεις καὶ
πάντα τὰ κατέχοντα ῥήξας, βοῶν εἰς τὸν ναὸν εἰσ-

haud recte tanto usus est beneficio : domum enim reversus, cum avidos oculos in mulierem, viro suo junctam, conjecisset, eamque fallacibus sermonibus seduxisset (proclivis enim in deceptionem est femina, et amatoriis verbis facile capitur), simul cum ea in aliam regionem commigravit. At diu non distulit divina justitia; sed tantam ejus iniquitatem perspiciens, debitam ipsi pœnam inflixit. Detorsit igitur denuo pedes filio alieno, qui receptam a sanctis gratiam fine suo fraudaverat, et claudicans a semita recta [76], pravas et iniquas vias percurrebat. De similibus hominibus videtur mihi Salomon dixisse, quod sane verum est : [77] *Qui ambulat recte* (88), *ambulat confidenter : qui autem depravat vias suas, manifestus erit.* Quid vero ille? Agnovit peccatum suum; ac statim, iniqua dissoluta consuetudine, mulierem priori viro dimisit : et ad sanctos accurrens, ac ad ipsorum thecas provolutus, flebiles voces emittebat, atque peccatum confitens suum, in corde contrito et spiritu humiliato, veniam, pedumque suorum ad rectum statum restitutionem enixe precabatur. Ille igitur, qui est pœnitentium Deus, sanctos suos glorificans, ut solet, iterum illius pedes ad rectitudinem perfectamque sanitatem restituit (erat enim animo, ut videtur, alias ad bonum propenso). Quare impletum est illud Isaiæ dicentis : [78] *Tunc saliet sicut cervus claudus, et aperta erit lingua mutorum.* Et rursus : [79] *Confortate manus dissolutas, et genua debilium roborate.* Sed quid postea? Mundo et omnibus **507** quæ in eo sunt, valedicens, ad montem qui olim quidem sacer, nunc sanctus appellatur, se confert, et ad monasteriorum maximum accedens, ibi monastico sumpto habitu, se totum soli Deo, rebusque divinis dicat, ac solus cum solo Deo exinde conversatur. Ita quidem se habuit miraculum istud.

44. Alius vero vir erat, qui a multo jam tempore, immundo spiritu adeo crudeliter vexabatur, ut eum non solum catenis circum collum vinciri, sed etiam ferreis compedibus ejus pedes constringi necesse foret. Quare cordibus suorum flagellum erat, ac *plaga gravis*, et *insanabilis* [80], summopere enim dolebant videntes eum a tam immiti dæmone excruciari. Cum vero nihil illis aliud agendum superesset, ad sanctos istos confugere decreverunt. Catenis igitur fortiter vinctum ad sanctorum templum trahunt. Cum vero ipsum detinere non possent, ad magnam arborem extra templum stantem alligarunt. Stetit igitur ipse arbori alligatus dies tres, exhibens omnibus qui eum intuebantur, spectaculum fletu et lacrymis dignum. Cum autem qui eum custodiebant, partim somno

[76] Psal. xvii, 46. [77] Prov. x, 9. [78] Isa. xxxv, 6. [79] Ibid. [80] Isa. xiv, 6.

Variæ lectiones et notæ.

(88) Vulg. habet, *simpliciter.*

Digitized by Google

correpti essent, ac partim alio abiissent, is catenis, et si quæ alia ipsum detinebant, disruptis, clamans in templum prosilivit atque ad urnam sancti Eusebii procurrens, marmoreum urnæ operimentum tollere conabatur. Apparuit vero illi ex theca vir terribilis et totus igneus, qui consurgens graviter immundo spiritui interminatus est : « Quomodo ausus es (dicens) domum Dei ingredi, et ejus creaturam ita dire vexare? » Illis ab eo dictis, urnam denuo subire visus est. Dæmoniacus vero ille eo momento sanatus admirationi omnibus imposterum fuit, gloriam assidue Deo referens et sanctis ejus.

A επήδησε· καὶ προσδραμὼν τῇ τοῦ ἱεροῦ Εὐσεβίου λάρνακι, ἐπεχείρει μὲν αἴρειν τὸ ἐκ μαρμάρου τῆς λάρνακος σκέπασμα· ἐφάνη δὲ αὐτῷ ἐκ τῆς θήκης ἀνὴρ φοβερὸς καὶ πύρινος ὅλως [*f.* ὅλος], ὃς ἅμα τε διανέστη, καὶ τῷ ἀκαθάρτῳ ἐνεβριμήσατο πνεύματι, « Πῶς ἐτόλμησας, λέγων, τὸν τοῦ Θεοῦ οἶκον εἰσελθεῖν, καὶ τῷ αὐτοῦ πλάσματι πικρῶς ἐξετάζειν; » Ταῦτα εἰπὼν, καὶ πάλιν εἰσδῦναι τὴν λάρνακα ἔδοξεν. Ὁ δὲ δαιμονιῶν ἐκεῖνος ἰαθεὶς, θαῦμα πᾶσιν ἦν τὸ ἀπ' ἐκείνου, δόξαν ἀναφέρων Θεῷ, καὶ τῶν θεραπόντων αὐτοῦ.

45. Alius rursus paralyticus, qui nec se movere ullo pacto poterat (unde et naturales excretiones in ipso discubitus sui loco faciebat, quæ res ipsum B malo odore et putredine compleverat) sublatus a suis affinibus, prope sancti Eusebii arcam positus est, eo quidem redactus, ut sola respiratione a mortuo secerneretur. Porro, apparens ei sanctus tribus consecutis noctibus, oleo sancto eum per totum corpus inunxit, ac demum dixit: « Ecce sanus factus es ; abi in domum tuam, gratia illius qui paralyticum sanavit et dixit ei : *Tolle grabbatum tuum, et ambula* [81]. » Tunc ille surgens ambulabat coram omnibus sanus ac robustus, deposita paralysi, haud minus faciliter, quam si se levi palliolo exuisset.

με'. Ἕτερος πάλιν παράλυτος, οὐδὲ κινηθῆναι ὅλως δυνάμενος, ἀλλὰ καὶ τὰς φυσικὰς ἐκκρίσεις ἐν αὐτῷ τῷ τῆς κατακλίσεως τόπῳ ποιούμενος, ὡς καὶ δυσωδίας αὐτὸν γέμειν καὶ σήψεως, ὑπὸ τῶν κατὰ γένος αὐτῷ προσηκόντων ἀρθεὶς, πλησίον τῆς τοῦ ἁγίου Εὐσεβίου ἐτέθη λάρνακος, μόνῃ πνοῇ τὸ νεκρὸς εἶναι μὴ συγχωρούμενος. Ἐπιφανεὶς οὖν ὁ ἅγιος αὐτῷ τρεῖς ἑφεξῆς νύκτας, καὶ ἐλαίῳ ἁγίῳ ἀλείφων αὐτὸν καθ' ὅλου τοῦ σώματος, τελευταῖον ἔφη· « Ἴδε ὑγιὴς γέγονας, ἄπελθε εἰς τὸν οἶκόν σου, χάριτι τοῦ Κυρίου τοῦ ὑγιάσαντος τὸν παράλυτον, καὶ εἰπόντος πρὸς αὐτόν· *Ἆρον τὸν κράβατόν σου καὶ περιπάτει.* » Ἀναστὰς δὲ ἔμπροσθεν πάντων, περιεπάτει ὑγιὴς, εὔρωστος, ὥσπερ ἱμάτιον ἐλαφρὸν ἀποδυσάμενος τὴν παράλυσιν.

46. Accedat vero et alter, qui etiam dissolutionibus a spiritu immundo vexabatur. Is aliquando adactus est proficisci una cum uno ex cursoribus regis. Quanquam **508** vero per id temporis dæmoniaci mali recursu correptus esset, attamen urgens cursorum iter ipsum discedere tunc compulit. Porro gravem illam dæmonis vexationem sustinens integram diem exegit. Ut vero paulo melius habere se sensit, proprio conscenso equo, laxatis habenis, properabat, ut regiam viam quæ scilicet ad istos sanctos ducit, quam citissime decurreret. Itaque equo continenter vectus ad vestibulum templi pervenit ; statimque equo desiliens, templum ingreditur, atque ad magni Eusebii urnam procidens, rugitum altosque clamores emittebat, dein marmoreum urnæ operimentum D sublatum ad parietem reclinavit : interea vero os ipsius in utramque partem distorquebatur. At segnis non fuit hac quoque occasione divina gratia ; sed homo ille cito a flagello dæmonis liberatur, ore illi ad naturalem statum restituto, ut eo cum ad communes loquendi necessitates, tum ad Deum glorificandum uteretur. Tot igitur tantaque miracula patrabat Deus, sanctos suos glorificans,

μς'. Παρίτω καὶ ἕτερος, ὃς ἐκ διαλειμμάτων μὲν C ἀκαθάρτῳ πνεύματι καὶ οὗτος ἠνωχλεῖτο· ἐπεὶ δέ ποτε ἀγγαρευθεὶς, ἐστάλη μετά τινος τῶν βασιλικῶν ταχυδρόμων, ἔτυχε μὲν τῇ δαιμονιώδει ταύτῃ περιόδῳ τηνικαῦτα ἄλλους (89). Ἐπεὶ τῶν ταχυδρόμων ἐκείνῳ [*f.* ἐκεῖνον] ἡ κατεπείγουσα ὁδὸς ἠνάγκαζεν ἀπᾶραι, ὁ τὴν δεινὴν ἐκείνην περίοδον τοῦ δαίμονος ὑφιστάμενος, δυσημερεύσας (90) ἐν ταύτῃ, ὡς ἔγνω ῥᾷον γενόμενος, ἀναβὰς τὸν οἰκεῖον ἵππον, ἤλαυνεν ἀκρατῶς. Σπεύδων καταλαβεῖν τῶν βασιλικῶν (91), τὴν παρὰ τοὺς ἁγίους φημὶ ἀπάγουσαν, καὶ τῷ ἵππῳ ἐλαυνόμενος, καὶ συνότερον [*f.* συντονώτερον] (92) ἐποχούμενος, ἐν τῷ τοῦ ναοῦ προαυλίῳ εὑρίσκεται· καὶ αὐτίκα τοῦ ἵππου καταπηδήσας, εἰς τὸν ναὸν εἰσέρχεται, καὶ τῇ τοῦ μεγάλου Εὐσεβίου λάρνακι προσπεσὼν, βρηχιμῷ (93) τε καὶ ὑλακαῖς ἐχρῆτο· καὶ τὴν ἐκ μαρμάρων σκέπην τῆς λάρνακος ἀνελόμενος, τῷ τείχει ταύτην προσήρεισεν. Ἐν ὅσῳ δὲ ταῦτα ἐποίει, διεστράφη αὐτοῦ τὸ στόμα ἐπὶ θάτερον μέρος. Ἀλλ' οὐκ ἠμέλησεν ἡ θεία χάρις οὐδὲ ἐνταῦθα· ἀλλ' ἐλευθεροῦται μὲν τῆς τοῦ δαίμονος μάστιγος ὁ ἄνθρωπος, ἀποκαθίσταται δὲ αὐτῷ καὶ τὸ στόμα, εἰς τὰς ἄλλας τοῦ λόγου χρείας ὀρθωθὲν, καὶ εἰς τὸ δοξάζειν τὸν Θεόν. Οὕτω

[81] Joan. v. 8.

Variæ lectiones et notæ.

(89) *Ισ.* ἁλούς.
(90) *Ισ.* διημερεύσας.
(91) *Ισ.* τὴν βασιλικήν.
(92) *Ισ.* συνεχώτερον.
(93) *Ισ.* βρυχηθμῷ.

Digitized by Google

τηλικαῦτα θαυμάσια ἐποίει ὁ Θεὸς διὰ τῶν ἁγίων αὐτοῦ δοξαζόμενος· *Τοὺς δοξάζοντάς με, φησί, δοξάσω.*

μζ'. Βλαδίμηρος δὲ ὁ υἱὸς τῷ Βορίσει γεγενημένος, ὡς ὁ λόγος φθάσας διέλαβε, τὴν βασιλείαν ἀπ' ἐκείνου παρέλαβε. Τέσσαρας τῇ ἀρχῇ ἐπιβεβιωκότος ἐνιαυτοὺς, ὁ νεώτερος αὐτοῦ ἀδελφὸς, ᾧ ὄνομα Συμεὼν (94), ἐπὶ τῶν πραγμάτων καθίσταται. Οὗ κελεύσαντος Δίστρος ὁ κόμης μετεκόμισεν ἀπὸ τῆς Τιβεριουπόλεως εἰς τὴν Βραγαληνίτζαν τοὺς ἁγίους, Σωκράτην τε καὶ Θεόδωρον. Οἳ δὴ καὶ αὐτοὶ ἐν τῷ αὐτῷ ναῷ τοῖς προδιαληφθεῖσιν ἁγίοις συγκατετέθησαν. Πλείων [*f.* πλείω] τοίνυν τὸ ἀπεκείνου ἐπήγαζε καὶ τὰ θαύματα· ἃ πανταχοῦ κηρυττόμενα, πάντας συνεκάλει πρὸς τὴν τῶν θείων χαρισμάτων ἀπόλαυσιν.

μη'. Ὥσπερ οὖν καὶ γυναῖκά τινα ἐκ τῆς ἐπαρχίας τῆς Βραγαληνίτζης οὖσαν, ἐφ' υἱῷ δὲ μονογενεῖ τὰς ἐλπίδας σαλεύουσαν. Ὃς ἑπταετὴς ὢν, κωφός τε καὶ ἄλαλος ἦν· ταύτην ἡ τῶν ἁγίων χάρις ἑλκύει. Καταφρονήσασα μὲν τῆς γυναικείας ἀσθενείας, καταθαρρήσασα δὲ καὶ τῆς μακρᾶς ὁδοῦ, καὶ δὴ παραλαβοῦσα τὸν παῖδα, τὴν τῶν θαυμάτων καταλαμβάνει πηγὴν, τὴν τοὺς ἁγίους ἔχουσαν δηλαδὴ, ἱερὸν καὶ θεῖον ναόν· καὶ μετὰ δακρύων ἐδέετο νυκτός τε καὶ ἡμέρας ὡς ἂν, τῷ παιδὶ μὲν τὴν ἀφωνίαν, αὐτῇ δὲ τὴν λύπην λύσοιεν. Ἐν μιᾷ δὲ τῆς νυκτὸς, ἐπεὶ τὰς δεήσεις θερμοτέρας ποιησαμένη, κάματον ἔλαβεν, ἐξῆλθε μὲν ἐπὶ τὰ πρόθυρα τοῦ ναοῦ· ἐναγκαλισαμένη δὲ τὸ τέκνον, πρὸς ὕπνον ἀνεκλίθη. Εὐθὺς οὖν ὁ παῖς ἐκ τῶν ἀγκαλῶν τῆς μητρὸς ἀνέθορε, καὶ πρὸς τὸ φεύγειν ἐξώρμησε. Καὶ ἡ μήτηρ ἐξαναστᾶσα, τεταραγμένη τῷ πάθει τοῦ παιδὸς, ἐπυνθάνετο. Ὁ δὲ καθαρᾷ τῇ γλώττῃ, « Μῆτερ, ἔλεγε, μῆτερ, φοβερός τις ἀνὴρ ἀπὸ σοῦ ἁρπάσαι με ἔμελλεν. » Ἡ δὲ ἔκθαμβος ἐπὶ τῷ πράγματι γενομένη, οὐδὲ πιστεύειν εἶχεν. Ἐώκει γὰρ ὅραμα βλέπειν (φιλεῖ γὰρ τὰ δυσέλπιστα, καὶ μετὰ τὸ τελεσθῆναι εὐθὺς νομίζεσθαι ἄπιστα. χρόνου πρὸς πίστιν δεόμενα). Εἰς ἑαυτὴν οὖν ἐλθοῦσα, καὶ γνοῦσα ὕπαρ καὶ οὐκ ὄναρ εἶναι τὸ θαυματούργημα, καὶ ὡς ἀληθῶς τῷ παιδὶ τὰ τῆς ἀφωνίας ἐλύθη δεσμὰ, φωναῖς εὐχαριστηρίοις τὴν θείαν χάριν ἠμείβετο.

μθ'. Παρίτω τε [*f.* δὲ] καὶ ἑτέρα γυνή. Αὕτη μέν γε ἀπὸ χώρας εἰς χώραν ἐλαυνομένη ἀκαθάρτῳ

A et ab ipsis glorificatus, juxta illud quod ait: *Quicunque glorificaverit me, glorificabo eum* [83].

47. Uladimirus autem Borisis filius, ut jam diximus, ab eo tempore regnum administrandum susceperat. Cumque quatuor annos in principatu supervixisset, junior illius frater, cui nomen Simeon (94), rerum administrationi admovetur. Hujus jussu Distrus comes sanctos Socratem et Theodorum Tiberiopoli Bragalinitzam transtulit ac in eodem templo prope alios reposuit. Porro ex eo die plura adhuc miracula ex iis profluxerunt quæ ubique deprædicata, omnes ad divinorum charismatum fruitionem invitabant.

B

48. Hinc et mulierem quamdam ex provincia Bragalinitzæ, quæ ob filium suum unigenitum, qui, cum jam septennis esset, surdus erat et mutus, animo summopere afflicto erat, sanctorum gratia ad se attraxit. Porro ista, contempta imbecillitate muliebri, et ad itineris longitudinem imperterrita assumpto secum puero, ad miraculorum fontem, qui sanctos continebat, nempe ad sacrum et divinum ipsorum templum accedit: ibique perfusa lacrymis die noctuque sanctos rogabat, ut filio suo dirum linguæ impedimentum, sibique acerbum mœrorem exsolverent. Quadam vero nocte post ferventiorem orationem, cum nimium defatigata esset, exiit ad vestibulum templi; ubi filium complexa, se **509** ad paululum somni capiendum reclinavit. Mox vero puer ex matris ulnis exsiliens, fugere occepit. Tunc mater a somno consurgens, ac rei novitate perturbata, puerum, quid ei accidisset, interrogat. Is vero, clara voce, « Mater, dixit, mater! terribilis quidam vir e sinu tuo rapere me volebat. » Illa attonita ad rem tantam, neque eam credere poterat; sed existimabat se visum videre [84] (solent enim ea, quæ vix sperari possunt, etiam cum facta fuerint, incredibilia videri, ac tempore egent, ut credantur). Verum ad se reversa, et cognoscens veritatem, non somnium esse quod videbat, et revera puero soluta esse vincula quæ mutum detinebant, elata voce, gratias quas potuit, maximas divinæ egit bonitati.

C

D

49. Accedat vero et mulier altera. Hæc a loco in locum ab immundo spiritu agebatur; solitudines

[83] I Reg. II, 30. [84] Act. XII, 9.

Variæ lectiones et notæ.

(94) Symeonem hunc, Vladimiri, qui ante Bogorim imperavit, filium fuisse scribit Ducangius ex Constantino Porphyrogenito lib. *De administr. imp.* c. 32. An ex hoc loco corrigendus sit, viderint ii, qui de auctoritate hujus, quem edimus, scriptoris definire voluerint: hic enim eum filium Borisis, seu Bogoris esse, perspicue docet. Fortasse Symeon iste is junior Bogoris filius fuerit, quem, oculis exuto et carceri mancipato seniore filio degenere, antequam iterato monasticum habitum induceret, regno præfecit. Quod si admittatur, et illud sit probabile, illum Michaelem, cognomento *Vorisen*, quem post Bogorim atque Presiamum regnasse, scribit Ducangius, non alium esse quam Michaelem ipsum Bogorim (sane nomen fere consentit, et quod magis est, a nostro auctore non Bogoris, sed *Borises* ille ipse appellatur, cum, resumpto diademate, iterum aliquandiu imperavit donec degenerem seniorem filium in ordinem redigeret.

Digitized by Google

tamen potissimum frequentabat. Tandem singulari Dei dispositione venit ad sanctorum templum atque in vestibulo quiescens, videt per somnum senes duos splendidos ac lucidos qui ipsi dixerunt : « Ingredere etiam tu cum aliis templum, ingredere, et sacerdoti quem videris, lumen lampadibus olei admoventem, præbe capitis velamentum quod gestas ; et ipse orabit pro salute tua. » Cum hæc audiisset, ea statim exsecutioni mandavit et salutem confestim obtinuit.

50. Verum, nec claudus a nobis silentio prætermittatur. Hic pauper quidem opibus erat adeo, ut ad necessarium sibi victum capessendum domos (virgis ligneis pro pedibus utens) circuire cogeretur ; non tamen pauper erat fide, imo valde dives : habebat etiam propinquos ab orthodoxa fide neutiquam alienos. Illis itaque post multa tandem persuasit, ut se ad sanctos deferrent ; quod et fecerunt. Tunc ille fidei opera ostendens cum lacrymis et orationibus, juxta propheticum dictum, [84] *saliit sicut cervus claudus*, domumque propriis pedibus reversus est, suspensis primum in templo virgis ligneis in trophæum pro expugnata infirmitate, et in monumentum virtutis sanctorum, gratiæque ab ipsis receptæ. Verum cur et alium paralyticum simul et cæcum in medium non afferat oratio nostra, narretque ipsum et a paralysi sanatum et liberatum a cæcitate? Sane fluminis instar affluunt mihi sanctorum miracula. Quare nimiam loquendi prolixitatem effugiens, via breviore pergam, ac sequentium tantummodo mentionem adhuc faciam.

51. Vir quidam, prope fluvium qui Bardarius dicitur habitans, a maligno obsessus spiritu, omne turpiloquium ex ore emittebat, ignorans omnino quid diceret aut faceret. Hic ad sanctos ductus, **510** atque sanitatem adeptus, recuperato etiam mentis lumine, quod dæmoniaca caligine jamdudum obtectum illi fuerat, elegit eo in templo magna cum alacritate servire, dicens et ipse cum David [85] : *Concupiscit et deficit anima mea in atria Domini* : et : *Melior dies una in atriis tuis super millia* : et : *Elegi abjectus esse in domo Dei mei, magis quam habitare in angustia cordis peccatorum* [86]. Cumque tres integros annos eo in ministerio exegisset, domum reversus, perpetuam servavit tantæ gratiæ a sanctis receptæ memoriam.

52. Alius lepra toto corpore albicans, pedes etiam luxatos habens, ex Moglenis veniens, rogabat *in anxietate spiritus* [86*], quemadmodum ait Scriptura, ut ex duabus infirmitatibus alterutra liberaretur. At ille Dominus, qui abundantius dat quam nos petamus, illum sanctorum intercessione ab utraque liberavit. Alius a nativitate mutus, cum

A πνεύματι, καὶ μάλιστα τὰς ἐρημίας διοικοῦσα. Αὕτη ποτὲ κατὰ θείαν πάντως οἰκονομίαν, τῷ τῶν ἁγίων προσῆλθε νεῷ, καὶ τῷ προνάῳ διάγουσα, ὁρᾷ καθ' ὕπνον γέροντας δύο λαμπροὺς καὶ φωτοειδεῖς, οὓς καὶ πρὸς αὐτήν, « Εἴσελθε, φᾶναι, μετὰ τῶν ἄλλων, εἴσελθε καὶ σὺ εἰς τὸν ναὸν, καὶ ὃν ἂν ἴδῃς ἱερέα τοῖς ἐξ ἐλαίου λύχνοις τὸ φῶς ἐπανάπτοντα, ἐπίδος αὐτῷ τὸ φορούμενόν σοι κεφαλοδέσμιον, καὶ δώσει σοι εὐχὰς ὑγείας. » Ἤκουσε ταῦτα, καὶ εὐθὺς ἐποίησε τὰ διαταχθέντα· καὶ τῆς ἰάσεως οὐκ ἠστόχησεν.

ν'. Ἀλλὰ μηδὲ ὁ χωλὸς ἡμᾶς παραδράμῃ. Ὃς καὶ πένης ὢν, καὶ οἰκίαν ἐξ οἰκίας ἀμείβων εἰς πορισμὸν τῆς ἀναγκαίας τροφῆς, οἷα ποσὶν εἰς τὴν πορείαν ῥάβδοις ἐκέχρητο. Οὐ μὴν πένης ἦν καὶ τὴν B πίστιν, ἀλλὰ καὶ σφόδρα πλούσιος· καὶ τούτου γε τὸ γένος οὐκ ἄμοιρον τῆς ὀρθοδόξου πίστεως γέγονεν. Οὗτος πολλὰ καὶ πολλάκις τοὺς τῆς κατὰ γένος οἰκίας τέλος πείθει τῆς πρὸς τοὺς ἁγίους αὐτὸν ἀγωγῆς. Ὁ δὴ γεγονὼς, καὶ πίστεως ἔργα δείξας, ἔν τε δάκρυσι καὶ δεήσεσι, τοῦτο δὴ τὸ τοῦ προφήτου, *Ἤλατο ὡς ἔλαφος ὁ χωλὸς*, καὶ οἴκαδε ἀπῆεσε [*f.* ἀπῆει] τοῖς ποσὶ χρώμενος. Τὰς μέντοι ῥάβδους, τῷ ἱερῷ ναῷ ἐγκατέλιπεν, οἷά τινα τρόπαια τὴν κατὰ τῆς αὐτοῦ ἀσθενείας τῶν ἁγίων δύναμιν καὶ χάριν στηλιτεύοντας. Τὸν δὲ καὶ παράλυτον καὶ τυφλὸν, πῶς οὐκ ἂν ἄρας ὁ λόγος, εἰς τὸ μέσον χειραγωγήσοιε [*f.* -σειε] καὶ δείξαι τοῦτον, καὶ τῆς παραλύσεως ἀπαλλαγέντα, καὶ τῆς τυφλότητος ἐλευθερωθέντα; C Ποταμηδὸν ἐπιῤῥεῖ μοι τὰ θαύματα τῶν ἁγίων, ὅθεν καὶ τὸν κόρον τοῦ λόγου φεύγων, τὴν ἐπιτιμοτέραν [*f.* ἐπιτομωτ.] βαδίσω, καὶ ἁπλῶς τούτων ἐπιμνησθήσομαι.

να'. Ἀνήρ τις παρὰ τὸν οὕτω καλούμενον Βαρδάριον ποταμὸν οἰκῶν, δαιμονίῳ κατείχετο πνεύματι, πᾶσαν αἰσχρολογίαν ἀφεὶς [*f.* ἀφιεὶς] ἐκ τοῦ στόματος αὐτοῦ, καὶ μηδὲν τῶν παρ' αὐτοῦ λεγομένων, ἢ πραττομένων εἰδώς. Οὗτος εἰς τοὺς ἁγίους ἀχθείς, καὶ τυχὼν τῆς ἰάσεως, καὶ τὸν ὑπὸ δαιμονικοῦ ζόφου συγκεκαλυμμένον νοῦν, ἀναλάμψαντα πάλιν ἐσχηκὼς, δουλεύειν ἐν τῷ ναῷ μετὰ πολλῆς ἀγαλλιάσεως ᾑρετίσατο, μᾶλλον καὶ αὐτὸς μετὰ τοῦ Δαβὶδ, *Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου*, λέγων, *εἰς τὰς αὐλὰς τοῦ Κυρίου*· καὶ, ὅτι *Κρεῖσσον ἡμέραν μίαν* [*vulg. κρείσσων ἡμέρα μία*] *ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας*· καὶ, *Ἐξελεξάμην παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν*. Τρία οὖν ἔτη ἐν τῷ ναῷ τῶν ἁγίων τελέσας, ἀπῆλθεν οἴκαδε, τῆς τῶν ἁγίων ἀεὶ μεμνημένος χάριτος.

νβ'. Ἄλλος λέπραν ἐξανθήσας καθ' ὅλου τοῦ σώματος, καὶ τοὺς πόδας πεπηρωμένος ἐκ τῶν Μογλένων ἐλθὼν, ᾐτεῖτο *ἐν συνοχῇ πνεύματος*, ὃ φησιν ἡ Γραφὴ, τῶν δυοῖν παθῶν θατέρου ἐλευθερωθῆναι. Ἀλλ' ὁ ὑπερεκπερισσοῦ διδοὺς ὧν αἰτούμεθα Κύριος, διὰ τῆς τῶν ἁγίων πρὸς αὐτὸν παῤῥησίας, ἀμφοτέρων αὐτὸν ἀπήλλαξεν. Ἄλλος ἐκ γεννητῆς ἄλαλος

[84] Isa. xxxv, 6. [85] Psal. lxxxiii, 1. [86] Ibid. 11. [86*] II Cor. ii, 4.

Digitized by Google

ὧν, ἔφθασέ τε καὶ εἰς γῆρας ποῖον [*f.* πῖον], καὶ πάσης ἤδη θεραπείας ἀπεγνωκὼς, διῆγεν οἶκοι, τῆς ἐπὶ τῇ ἀφωνίᾳ λύπης μόνον ἰατρὸν τὸν θάνατον ἐκδεχόμενος. Ὑπνώττοντι γοῦν, ἐφάνησαν αὐτῷ ἐκ τρίτου οἱ ἅγιοι, τήν τε πρὸς τὸν ναὸν προσέλευσιν ἡγούμενοι, καὶ τὴν θεραπείαν ἐπαγγελλόμενοι. Πεισθῆς οὖν εἷς (95-96) ἴδεν, ἅπεισιν εἰς τὸν θεῖον ναὸν, κατ' αὐτὴν τὴν λαμπρὰν καὶ μεγάλην Κυριακὴν τοῦ Πάσχα. Μετὰ δὲ τὴν τοῦ Εὐαγγελίου ἀνακήρυξιν, προτελθὼν ὥστε τὴν ἱερὰν τοῦ Εὐαγγελίου βίβλον ἀσπάσασθαι (ὦ τοῦ θαύματος!), ὁ ἐν τῇ ἀφωνίᾳ γεγηρακὼς, τὸ, *Κύριε, ἐλέησον*, ἐβόα λαμπρᾷ τῇ φωνῇ. Καὶ οὕτως ἰαθεὶς, οἶκαδε ἐπανῆκε, πασχαλίους ὄντως διάγων ἡμέρας, οὐ τὰς τῆς τότε μόνον ἐνεστακείας [*f.* -στηκ.] ἑορτῆς, ἀλλὰ καὶ πάσας τὰς τῆς ὑπολειπομένης αὐτῷ ζωῆς.

νγ'. Γυνή δέ τις πλούτῳ κομῶσα, μοχθηροῦ τινος χυμοῦ ἐκ τῆς κεφαλῆς ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτῆς καταῤῥεύσαντος, ἀφῃρέθη τοῦ βλέπειν· καὶ οὐ τοῦτο μόνον ἀλλὰ καὶ ὑγρὸν ἰδεῖν ἀειδὲς [*f.* ἀηδὲς] ἐκ τῶν ὀμμάτων αὐτῆς ἀπέῤῥεεν· ὥστε μὴ μόνον τοῖς ἀλλοτρίοις, ἀλλ' ἤδη καὶ τῷ συζύγῳ βδελυκτὸν εἶναι τὴν ἐλεεινὴν ἐκείνην θέαμα. Αὕτη, ἰατροῖς σχεδὸν τὸν ἅπαντα βίον προσαναλώσασα, ἐπειδὴ πάντα τοῦ πάθους ἀσθενέστερα εὗρεν, ἐπὶ τὴν ἀδάπανον ἰατρείαν ἔγνω καταφυγεῖν· καὶ τοῖς λειψάνοις πρόσεισι τῶν ἁγίων, αἰτεῖται τυχεῖν ἐλέους, καὶ στῆναι κἂν γοῦν τὴν τοῦ βδελυκτοῦ ἐκείνου ὑγροῦ ἐκ τῶν ὀμμάτων ἀπόῤῥοιαν. Ὅτε τοίνυν εὐδόκησεν ὁ Θεὸς τὴν ἴασιν αὐτῇ δοῦναι, ὅναρ ὁρᾷ τοιοῦτον καθάπερ αὐτὴ διηγήσατο· « Ἐδόκουν, φησὶν, ἀετὸν ὑψόθεν καταπτάντα, ἐπὶ τῆς ἐμῆς καθεσθῆναι κεφαλῆς, καὶ σκεπάσαι με ταῖς αὐτοῦ πτέρυξι. Διατραχθεῖσα δὲ ἐπὶ τούτῳ, διανέστην τε τοῦ ὕπνου, καὶ τὸν μὲν, οὐκ ἔτι εἶδον· βλέπω δὲ, ὡς ὁρᾶτε, ὑγιῶς καὶ ἀνεπιθολώτως. » Ἀλλὰ μηδὲ τὸ παρὸν ἡμᾶς παρέλθοι ἀνεκδιήγητον· Ἐπῆλθόν ποτε στρατιῶταί τινες τὴν τῶν ἁγίων κόνιν θρασύτερον, ἄνδρες ἀδιαφόρως ζῶντες, καὶ τὴν ἀγωγὴν τοῦ βίου ἀμελεστέραν ἐπιτηδεύσαντες. Ὡς εἶδον αὐτοὺς οἱ τῆς ἐκκλησίας, τοῖς λεγομένοις Κατηχουμένοις προσφυγόντες, τὰς θύρας ἐπέκλεισαν. Εἷς δέ τις τῶν στρατιωτῶν ἰδὼν αὐτοὺς, ἱππότης (ὦ γνώμης τολμηρᾶς! ὦ ἀτάκτου φορᾶς!) ἐπὶ τὴν ἐκκλησίαν εἰσήλαυνεν. Ἀλλ' οὐκ ἔσωεν [*f.* ἔφθασεν] τὸ προαύλιον εἰσελθεῖν, καὶ σὺν τῷ ἵππῳ, πάντων ὁρώντων, ἀφανὴς γίνεται. Τοῦτο τοῖς ἄλλοις ἰδοῦσι φόβον ἐμποιῆσαν, δρομαίους ἀναχωρῆσαι τῆς μονῆς παρεσκεύασεν.

νδ'. Οὐκ ἔστι μοι κόρος τὰ τῶν ἁγίων ἐκδιηγεῖσθαι τεράστια. Ὅθεν οὐδὲ τὴν ἐπὶ τῷ ἀνδρὶ γενομένην θαυματουργίαν παραλίποιμι ἀδιήγητον. Ὃς πολλάκις μὲν ὀκτὼ μεγίστους ἄρτους φαγὼν (οὓς εἴωθε τὸ τῶν Βουλγάρων γένος ποιεῖν, ὡς εἶναι τὸν ἕνα ἄρτον ἱκανὸν εἰς δέκα ἄνδρας, ἢ καὶ πλείους

jam consenuisset, omni curationis amissa spe, domi manebat mortem exspectans tanquam unicum medicum tristitiæ quam ob loquendi impotentiam patiebatur. Ac dormienti sancti isti ter apparuerunt, suadentes, ut ad templum ipsorum accederet, ac sanitatem, si id faceret, promittebant. Persuasus ille iis quæ viderat, ad sacrum templum pergit, ipsa illustri ac magna die Dominica Paschatis. Ubi post decantatum Evangelium, accedens, ut sanctum Evangelii librum oscularetur (oh miraculum!) is qui in omnimodo loquendi impotentia consenuerat, tunc elata voce clamavit: *Kyrie, eleison.* Hac ratione sanatus domum suam repetit, acturus dies vere paschales, non solum decurrentis tunc solemnitatis, sed etiam reliquos omnes vitæ suæ.

53. Mulier vero quædam divitiis suis superbiens, maligno quodam humore ex capite in oculos defluente videndi facultate privata erat: ac præterea sordidus quidam fœdusque humor ex oculis ejus indesinenter defluebat, adeo ut misera illa non solum alienis, sed etiam viro suo molestum spectaculum esset. Porro, cum ipsa facultates fere omnes suas in medicos insumpsisset, omniaque comperiisset infirmitate sua debiliora, ad indeficientem medicinam confugere decrevit. Accedit itaque ad sanctorum reliquias, postulat misericordiam, et ut aliquando sistatur tetri illius humoris ex oculis fluxus, enixe rogat. Quando igitur Deo placuit, sanitatem ei impertiri, tale illa somnium habuit, quemadmodum ipsa postea narrabat. « Videbar mihi, inquiebat, videre aquilam, quæ ex alto advolans supra caput meum consideret, meque alis suis obtegeret: qua re turbata, evigilavi, et aquilam quidem non amplius vidi. Oculis autem nunc perfecte **511** valeo, ut videtis. » Sed neque istud nos tacitum prætereat. Milites quidam aliquando ad sanctorum cineres, audacius quam par erat, accesserunt; erant quippe homines indiscrete viventes, quique nullam moderandæ vitæ curam gerebant. Porro cum eos vidissent custodes ecclesiæ, ad sic dictos catechumenos profugientes, fores clauserunt. Unus vero ex illis militibus, cum eos fugientes vidisset, equum, cui insidebat (oh audaciam! oh temeritatem!) ecclesiam versus impulit; sed neque usque ad ingressum vestibuli pertingere potuit: nam protinus simul cum equo omnibus spectantibus evanuit. Id cum cæteros milites terruisset, satis abunde fuit, ut veloci cursu a monasterio recederent.

54. Satiari vero non possum in narrandis sanctorum mirabilibus. Quare neque miraculum, quod in viro alio patratum est, silentio præteribo. Is cum sæpe octo panes ex iis sane maximis, quos Bulgari facere solent, ut singuli decem et amplius hominibus plene saturandis sufficiant, fame adhuc

Variæ lectiones et notæ.

(95-96) *Ic.* πεισθεὶς οὖν οἷς.

Digitized by Google

detinebatur: Aliquando etiam, cum arietem integrum devorasset, adhuc jejunus sibi videbatur. Quin ipse affirmabat, interdum nec taurum integrum ad famem expellendam satis sibi fuisse. Quadam die etiam torcular integrum uvarum devoravit. Erat utique dæmonum effectus fames ista : quæ enim præter naturam sunt, passiones, eas dæmonum perturbationes ipse puto. Porro vir ille intelligens pravam affectionem suam, erubescebat quidem ; at quid sibi agendum esset, ignorabat. Loca omnia miraculis inclyta circumire cœpit : unde et Romam profectus est, ut magni illius apostolorum principis Petri virtutem invocaret. Adiit quoque sanctum Irenæum, qui etiam miraculis valde celebris erat. Cum vero nullibi, quod postulabat, impetrasset, vix tandem in mentem illi venerunt sancti nostri. Ad eos igitur ire contendit. Cum autem adhuc a longe civitatis mœnia, et templum in quo sancti jacebant, vidisset, venit ad quemdam rivum aquæ, ubi reperit senem prope decursum ipsius sedentem. Erat vero senex ille gratiosissimus aspectu, cui alba canities decorem ac venerationem conciliabat : ante ipsum autem erat panis. Is igitur qui prædictam passionem coercere nunquam poterat, volebat a sene illo cibum petere. At cogitans modico illo pane famem suam adeo sedandam non fore, ut potius acrius esset incitanda, voluntatem petendi comprimebat. Interea ipsum hæc secum cogitantem, vocat senex, dicens : « Huc adsis, frater, ac mecum recumbe, ut ambo de isto pane comedamus. » Ille rursus eadem, quæ prius mente revolvens, panis illius parvitatem cum **512** inexplebili fame sua conferebat. Hinc aliquandiu ambiguus hæsit, num humanam adeo invitationem acceptaret. Sed demum aquiescens, assidet venerando seni : qui bifariam primum fracto pane, et rursus altero dimidio in duas partes secto, ex his unam, hoc est quartam panis totius partem insaturabili illi homini comedendam tribuit. Hic eam comedens, adeo brevi saturatus est, ut etiam portio ipsi superfuerit. Qua secum sumpta, monasterium ingressus est, usque ad illud tantummodo tempus insatiabilis, in posterum vero ea infirmitate penitus liber, nunquam intermisit Deo O. M. gratias agere. Et hæc quidem de sanctis istis martyribus.

55. Ego vero similis videor homini, qui abyssum cavitate manus haurire studet, aut astra cœli, guttas pluviæ et arenam maris dinumerare ; vel qui propriam umbram persequitur, quam comprehendere nunquam potest, sed in vanum laborat, nihil plane proficiens, ut qui inutilia ac impossibilia conatur. Perinde enim se habet, qui horum sanctorum miracula per ordinem enarrare aggrediatur. Hic igitur finem dicendi faciens, hanc narrationem absolvam. Illa vero tanquam fluvius revera perennis et torrens voluptatis et fons inexhaustus fluunt indeficienter et fluent : suntque iis qui credunt, pignus et argumentum fruitionis

A τυχὸν ἐμπλησθῆναι εἰς κόρον), ἔτι πείνης [*f.* πείνῃ] κατείχετο. Ποτὲ δὲ καὶ κριὸν ὅλον βεβρωκὼς, ὡς νῆστις διέκειτο. Ἔλεγε δέ ποτε καὶ ταῦρον ὅλον μὴ ἀρκέσαι εἰς βρῶσιν αὐτῷ. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν, καὶ ληνὸν ὅλον βοτρύων κατέφαγε. Πάντως δὲ τοῦτο δαιμόνων ἦν. Τὰ γὰρ παρὰ φύσιν πάθη, δαιμόνων ἐνοχλήματα τίθημι. Αἰσθησιν δὲ τοῦ πάθους λαβὼν
B ὁ ἄνθρωπος, ἠσχύνετο μὲν, οὐκ ἔχων δὲ ὃ καὶ δράσοιε [*f.* -σειε], τοὺς ἀνὰ πάντας τόπους ἐν ἁγίοις θαυματουργοὺς περιῄει· ὥστε καὶ τῆς Ῥώμης [*f.* τῇ Ῥώμῃ] ἐπιφοιτῆσαι, τὴν τοῦ μεγάλου καὶ κορυφαίου Πέτρου τῶν ἀποστόλων ἐπικαλούμενος δύναμιν. Ἐπεζήτησε δὲ καὶ τὸν ἅγιον Εἰρηναῖον, πολὺν καὶ αὐτὸν ἀδόμενον ἐν τοῖς θαύμασιν. Ὡς δὲ τῆς αἰτήσεως οὐκ ἐτύγχανε, μόγις εἰς μνήμην ἔρχεται τῶν
B κατ' ἡμᾶς τούτων ἁγίων· καὶ δὴ τὴν πρὸς αὐτοὺς πορείαν στέλλεται. Ὅτε δὲ τὰ ἐπιτείχια τῆς πόλεως εἶδε πόρρωθεν, καὶ τὸν ναὸν ἔνθα οἱ ἅγιοι ἔκειντο, ἦλθεν ἐπί τι ὕδωρ, καὶ εὗρε γέροντα παρὰ τὴν διέξοδον τοῦ ὕδατος ἀνακείμενον. Καὶ ὁ γέρων χαριεντέστατος τῷ εἴδει, τὴν τῆς πολιᾶς λευκότητα ἔχων ἐπιεικῶς αὐτῷ ἐπιπρέπουσαν· καὶ ἰδοὺ ἔμπροσθεν τοῦ γέροντος ἄρτος. Ὁ τοίνυν τῷ ῥηθέντι πάθει ἀκατάσχετος ἄνθρωπος, προεθυμεῖτο μὲν ζητῆσαι τροφὴν τῷ γέροντι· λογιζόμενος δὲ ὡς βραχὺς μὲν ὁ ἄρτος, οὐ μᾶλλον αὐτὸν παύσει τῆς πείνης, ἢ τὴν ὄρεξιν ἐρεθίσει, τὴν προθυμίαν ἐνεκόπτετο. Ἐν ὅσῳ δὲ ταῦτα διελογίζετο, προσκαλεῖται τοῦτον ὁ γέρων,
C καὶ, « Δεῦρο, φησὶν, ἀδελφὲ, καὶ συνανακλίθητι, καὶ τοῦ ἄρτου ἄμφω γευσώμεθα. » Ὁ δὲ πάλιν τὰ αὐτὰ λογιζόμενος, καὶ τὴν τοῦ ἄρτου βραχύτητα, τῷ ἀκορέστῳ αὐτοῦ πάθει ἀντιμέτρει [*f.* -μετρῶν], καὶ διὰ τοῦτο πρὸς τὴν φιλάνθρωπον τοῦ γέροντος ἀναβαλλόμενος πρόσκλησιν, τέλος, πείθεται, καὶ συγκάθηται τῷ γέροντι. Ὁ δὲ διχῇ κλάσας τὸν ἄρτον, καὶ θάτερον τῶν διχοτομημάτων πάλιν εἰς δύο τεμὼν, τὸ ἥμισυ τῶν δυοῖν τούτων τμημάτων, τὴν τοῦ ἄρτου φημὶ τετάρτην μερίδα εἰς βρῶσιν τῷ ἀκορέστῳ ἐκείνῳ δέδωκε. Καὶ ἔφαγε καὶ ἐνεπλήσθη, καί τι μέρος αὐτῷ ἐπερίσσευσεν. Ὁ ἐπιφερόμενος εἰσῆλθεν εἰς τὴν μονὴν, ἕως τούτου μόνον ἀκόρεστος ὢν· τοῦ λοιποῦ δὲ τὴν εἰς τὸν Θεὸν καὶ τοὺς ἁγίους εὐχαριστίαν οὐ διέλιπεν ἀναφέρειν [*f.* -ρων] καθεκάστην. Καὶ ταῦτα μὲν οὕτως τὰ κατὰ τῶν ἁγίων
D ἱερομαρτύρων.

νε'. Ἐγὼ δὲ ἔοικα ἀνθρώπῳ ἀντλοῦντι τῇ κοτύλῃ τὴν ἄβυσσον, καὶ τὰ ἄστρα τοῦ οὐρανοῦ ἀριθμοῦντι, καὶ σταγόνας ὑετοῦ, καὶ ψάμμον παράλιον, καὶ τὴν σκιὰν αὐτοῦ καταδιώκοντι, καὶ μὴ καταλαμβανομένῳ, ἀλλ' εἰς κενὸν καὶ μάτην κοπιοῦντι [*f.* -ῶντι] καὶ μηδὲν ὀνουμένῳ, ἀνόνητα μοχθοῦντι καὶ ἀτέλεστα. Ἴσον γὰρ τοιούτοις ἔργοις ἐπιχειρεῖν, καὶ πειρᾶσθαι τῶν ἁγίων ἐφεξῆς διηγεῖσθαι τὰ θαύματα. Ἀλλ' ἐγὼ μὲν ἐνταῦθα, πέρας λαβὼν τοῦ λόγου, στήσομαι τὴν διήγησιν. Τὰ δὲ ποταμὸς ὄντως ὄντα ἀένναος καὶ χείμαρρος τρυφῆς, καὶ πηγὴ ἀνεξάντλητος, ῥεῖ τε ἀκαταπαύστως καὶ ῥεύσοιεν [*f.* -σειεν]· ἀρραβὼν πιστευόμενα, καὶ δόγματα τῆς

Digitized by Google

τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσεως, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· καθὼς ἐν τοῖς Εὐαγγελίοις ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς Χριστὸς εἴρηκε· Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ὧν καὶ εἰσμεθέξουσιν [*f.* συμμεθ.] γυμνότερόν τε καὶ τελειότερον, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, σὺν τῷ ἀϊδίῳ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ εἰς τοὺς ἀτελευτήτους ξύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A cœlestium bonorum, *quæ oculus non vidit, nec auris audivit, neque in cor hominis ascendit, quæ præparavit Deus diligentibus se* [87]: quemadmodum et in Evangelio Dominus dixit: *Venite, benedicti Patris mei, percipite regnum quod vobis paratum est a constitutione mundi* [88]. Quorum bonorum purius et perfectius participes sunt hi (sancti) in Christo Jesu Domino nostro, cui gloria, honor et adoratio, simul cum æterno ingenito ipsius Patre et cum sanctissimo optimo et vivificante ejusdem Spiritu, nunc et per omnia infinita sæculorum sæcula. Amen.

[87] I Cor. II, 9. [88] Matth. XXV, 34.

ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ

ΚΥΡΙΟΥ ΘΕΟΦΥΛΑΚΤΟΥ

ΠΡΟΣΛΑΛΙΑ

ΤΙΝΙ ΤΩΝ ΑΥΤΟΥ ΟΜΙΛΗΤΩΝ

ΠΕΡΙ ΩΝ ΕΓΚΑΛΟΥΝΤΑΙ ΛΑΤΙΝΟΙ.

BEATI BULGARIÆ ARCHIEPISCOPI

DOMINI THEOPHYLACTI

ALLOCUTIO

AD QUEMDAM EX SUIS FAMILIARIBUS

DE IIS QUORUM LATINI INCUSANTUR (*).

Interprete Bonifacio Finetti ord. Prædicatorum.

Εἰσῆλθε τὸ ἀξίωμά σου ἐνώπιόν μου, εὐλαβέστατέ μοι ἐν Κυρίῳ υἱὲ, καὶ κατενόησα μὲν αὐτὸ καλὸν, καὶ ὀφθαλμῶν ἀρχιερατικῶν ἄξιον· πλὴν ἀλλ' ὑπὸ τοῦ νῦν καιροῦ, ὥσπερ θυρωροῦ τινος αὐστηροῦ καὶ ἀγνώμονος, ἐξωθούμενον. Ἠξίωσας μὲν γὰρ ἡμᾶς ἀντειπεῖν διὰ βραχέων, ὡς οἷόν τε, τοῖς τῶν Λατίνων περὶ τὰ ἐκκλησιαστικὰ σφάλματα [*f.* -σι], πολλοῖς τε οὖσιν ὡς ἔφησας, καὶ περὶ τὸ σχίζειν τὰς Ἐκκλησίας, οὐ μικρὰν ἰσχὺν ἔχουσιν. Ἡμεῖς δὲ οὕτω μὲν φρονεῖν

B **513** Intravit postulatio tua in conspectu meo [1], religiosissime mi in Domino fili, eamque perspexi et rectam esse, et archiepiscopi conspectu dignam, tametsi a præsentis temporis conditione, tanquam ab austero et improbo janitore, repellatur. Etenim rogasti nos, ut Latinorum circa res ecclesiasticas errores, breviter quoad fieri potest, refelleremus; quoniam, inquiebas, et multi sunt, et ad scindendas Ecclesias haud modicam vim habent. Nos tamen,

[1] Psal. CXVIII, 170.

Variæ lectiones et notæ.

(*) Prodit ex codice Cæsareo-Vindobonensi. Vide Præfationem, num. XXV, superioris tomi col. 141

Digitized by Google

etsi plures, et tantum non omnes ita sentire, novimus, non ita sentimus : neque enim multos eorum errores esse scimus ; neque tales, qui ad discindendas Ecclesias sint idonei, quandoquidem nullum est, quod ad ipsum fidei caput pertineat. Idcirco piget nos tot hominibus adversari, et animas turbare, quæ alias turbari facile possunt ; eo quod *refriguerit* jam *charitas* [2], et quidem in me præsertim, ob præsens tempus, in quo (ut audivimus) *abundat iniquitas*. Non enim fraterne suscipimus, quæ a fratre inducuntur ; sed iis lubenter adversamur : et satagimus unusquisque videri æmulum suum retro pepulisse : putamusque nobis primatum theologos inter adjudicandum, si pluribus **514** hæreseos notam affricuerimus, ac fore, ut perspicaces oculos nos habere videamur, si luciferum nigrum esse sustinuerimus. Idcirco mihi hæc silentio premenda videntur ei, qui tempus (silendi, et tempus loquendi) intelligit, ut vetus habet prophetia. Aliunde tamen probe sciens, haud justum esse, ut benevolentia charitatis tuæ ex aliorum improbitate damnum patiatur, Ægyptios quidem dimittam palpabilibus in tenebris languere, et loco aquæ sanguinem habere ; quemlibet vero Israelitam lubenter videbo et lumine ad opera, et aqua ad vitam frui : et simpliciter gaudebo considerans divina portenta aliis quidem in pœnam, aliis vero ad salutem esse.

2. Multa itaque, ut dixi, videntur Latini peccare : nempe quod et azyma offerant, et jejunii ante Passionem dies, non uti nos, enumerent ; et quod clericorum matrimonia dissolvant, laicorum vero indiscriminatim permittant : addam, modo non rideas, quod barbas tondeant, etiam qui sacri sunt ordinis : quorum etiam manus aureis micant annulis, vestemque sacerdotalem gestant sericis contextam staminibus et variis coloribus pictam : et ascetæ seu monachi ipsorum carne vescuntur : et, cum Dominum adorare sese inclinando oporteret, ipsi genua flectunt. Et hoc quidem communiter omnes peccant. Videbis vero etiam aliquos sicaranos et suffocata comedentes : indeque Romanam abominaberis Ecclesiam, quæ talia docet. Fortasse vero insurgens hic aliquis ex valde fidelibus, et fervidioribus orthodoxiæ zelatoribus nos etiam inscitiæ, ac crassioris in rebus sacris judicii, vel incuriæ, ac nostrarum rerum proditionis condemnabit, ipse autem et alia multa recensebit. Ast ego et ista ipsa, alia quidem nullius emendationis indigere puto ; alia autem mediocris, et talis, ut si

περὶ αὐτῶν, καὶ τοὺς ἄλλους εἰδότες σχεδόν τι σύμπαντας, αὐτοὶ δὲ οὐχ οὕτω φρονοῦντες. Οὔτε γὰρ πολλὰ τὰ σφάλματα οἴδαμεν, οὔτε σχίζειν Ἐκκλησίας δυνάμενα. Ὅτι μὴ μόνον ἐν τὸ φέρον πρὸς αὐτὸ τῆς πίστεως ἡμῶν τὸ κεφάλαιον, ὀκνοῦμεν τὴν ἐναντίαν θέσθαι τοσούτοις καὶ παράξαι ψυχὰς εὐθολώτους, διὰ τὴν *τῆς ἀγάπης ἀπόψυξιν*, ἣν ὁ νῦν καιρὸς ἐν ἐμοὶ πρώτῳ εἰργάσατο, *πληθύνας τὴν ἀνομίαν*, ὥσπερ ἠκούσαμεν. Οὐ γὰρ ἀδελφικῶς δεχόμεθα τὰ παρὰ τοῦ ἀδελφοῦ εἰσαγόμενα, ἀλλ' ἀντιθετικῶς αὐτοῖς προσφερόμεθα, καὶ σπεύδομεν αὐτὸς ἕκαστος δόξαι τις, τὸν φθάσαντα παραγκωνισάμενος. Καὶ κριθήσεσθαι παρὰ τοῖς πολλοῖς τὰ πρῶτα τῶν τὰ θεῖα σοφῶν, οἰόμεθα, εἰ τοῖς πλείουσιν (1) αἱρεσίν τινα ἐπιτρίψαμεν [*f.* —ψομ.] καὶ φανήσεσθαι δοκοῦμεν, ὄμματα ἔχοντες, εἰ ἐωσφόρον μελαναυγῆ παρεισάξομεν. Διὰ (2) ταῦτα δοκεῖ μοι σιωπητέα εἶναι, συνιέντι τὸν καιρὸν, ὡς ἡ παλαιὰ προφητεία. Συνιδὼν δὲ ἑτέρωθεν τὴν εὐγνωμοσύνην τῆς σῆς ἀγάπης, οὐ δικαιοῦσαν ἐκ τῆς ἑτέρων ζημιοῦσθαι κακοηθείας, τοὺς μὲν Αἰγυπτίους τῷ ὑπὸ τῷ ψηλαφητῷ τε σκότει ἀργεῖν, καὶ τῷ ὕδατι ἐντυγχάνειν αἵματι· σύμπαντα δὲ τὸν Ἰσραηλίτην, ἡδέως ὁρῶ τοῦ τε φωτὸς πρὸς τὰ ἔργα, καὶ τοῦ ὕδατος πρὸς τὴν ζωὴν ἀπολαύοντας· ἁπλῶς τε τὰ θεῖα τεράστια χαίρω βλέπων τοῖς μὲν κολαστήρια, τοῖς δὲ σωτήρια.

β'. Πολλὰ μὲν οὖν, ὡς ἔφην, δοκοῦσι Λατῖνοι σφάλλεσθαι ἄζυμά τε προσφέροντες, καὶ ἐν Σαββάτῳ νηστεύοντες, καὶ τὴν πρὸ τοῦ πάθους δὲ νηστείαν οὐ καθ' ἡμᾶς ἀριθμοῦντες, γάμους τε τοὺς μὲν τῶν ἱερωμένων λύοντες, τοὺς δὲ τῶν λαϊκῶν χύδην καὶ ἄνευ φραγμοῦ τινος ἐπιτρέποντες. Εἰ δὲ μὴ γελάσειν μέλλεις, καὶ ξυρόμενοι τοὺς πώγωνας, οἵ τε ἄλλοι, καὶ τὰ γένη τὰ ἱερά· ὧν τε καὶ δακτυλίοις χρυσοῖς αἱ χεῖρες ἀστράπτουσι, καὶ τὴν ἱερατικὴν στολὴν σηρικοῖς ὑφασμένην νήμασι, καὶ ποικιλόχρουν ἐνδύονται· ἀλλὰ καὶ κρεοφαγοῦντες οἱ ἀσκηταὶ (3) καὶ προσκυνῆσαι δεῆσαν τῷ Κυρίῳ, τῷ ἐδάφει κολλώμενοι. Τοῦτο μέν γε πάντες κοινῶς ἁμαρτάνοντες· ἴδοις δ' ἂν τοὺς σικαράνους (4), καὶ πνικτῶν κατευωχουμένους· καὶ βδελύξῃ τὴν Ῥωμαίων Ἐκκλησίαν, ὡς τοιαῦτα διδάσκουσαν. Τάχα δ' ἂν τις ἐπαναστὰς τῶν λίαν πιστῶν τε καὶ θερμοτέρων, καὶ ὑπὲρ τῆς ὀρθοδοξίας ζηλούντων, ἡμῶν μὲν ἀμαθίαν καταγνοίη, καὶ ἀκρισίαν περὶ τὰ θεῖα, ἢ ψυχρότητα καὶ προδοσίαν τῶν ἡμετέρων. Αὐτὸς δὲ καὶ ἄλλα πλείω τῶν ῥηθέντων ἀπαριθμήσαιτο. Ἐγὼ δὲ καὶ τούτων τὰ μὲν, οὐδεμιᾶς ἐπιστροφῆς δεῖσθαι νομί-

[2] Matth. xxiv, 12. [3] Eccle. iii, 7.

Variæ lectiones et notæ.

(1) Cod. Bonon., τοῖς πλησίον.

(2) *Ισ.* διό. Vel si retineatur διὰ ταῦτα fortasse legendum σιωπητέον loco τοῦ σιωπητέα.

(3) μοναχοὶ habet cod. Bon. eodemque modo legit Choma'enus. Cod. vero noster habet compendiarie duplex α· quod legendum esse ἀσκηταὶ ex aliis codicibus, in quibus simile compendium occurrit, deprehendi.

(4) Hanc vocem ut in Græco textu se habet vertendo posui, quod neque ex lexicis, neque ex peritissimis Græcæ nationis hominibus, qui in hac urbe sunt quosque ipse consului, ejus significationem assequi potuerim. Simili causa Mingarellius eam penitus omisit.

Digitized by Google

ζων, τὰ δὲ, μετρίας, καὶ οἵας, εἰ μὲν ἀνύσειέ τι (7), μικρὰ τῇ Ἐκκλησίᾳ χαρίζεσθαι· εἰ δ' οὔ, ἀλλὰ μηδὲ ἡμίαν γε τιθέναι τὸ ἀνεξάνυστον. Ὃ δὲ μάλιστά μοι ζόχεῖ τὴν πρὸς Λατίνων κοινωνίαν τοῖς φρονοῦσι (6) δποιεῖν ἀπότομον (7), καὶ ὃ μὴ κατορθούμενον μεγάλην προξενεῖ τὴν ζημίαν τῇ τοῦ Υἱοῦ κληρονομίᾳ, ἣν ἐν τοῖς ἔθνεσιν ἔλαβε, τοῦτό σοι καὶ δείξω, καὶ διελέγξω καθόσον ἐνεστιν. Εἰ δὲ μὴ μακρὸν ὁρῶμεν τὸν λόγον, καί τινα τῶν ἄλλων μετρίως ἐπισκεψόμεθα.

γ'. Ἔστιν οὖν τὸ μέγιστον ἐκείνων σφάλμα, καὶ τοῦτο δὴ τὸ τοῦ Σολομῶντος Ἅδου πεταύρῳ ποιοῦν *συναρτᾷν*, ἡ ἐν τῷ τῆς πίστεως Συμβόλῳ καινοτομία, ἣν ἐποιήσαντο ἀνακηρύττοντες *τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορευόμενον*. Δεῖ δὲ Σύμβολον εἶναι τοῦ πιστοῦ τὸ Σύμβολον πάσης ἀπηλλαγμένον παραποιήσεως. Οὐδὲ γὰρ ἂν, οὐδ' οἱ παρὰ τῷ Ἰεζεκιὴλ *πελεκυφόροι τῶν σεσημειωμένων* ἐφείδοντο, οὐ [*f.* εἰ] μὴ ἐνεώρων αὐτοῖς τὸ σημεῖον ἀπαραποίητον. Πῶς οὖν πρὸς τὴν καινοτομίαν ἀπαντησόμεθα, ἁπλῶς τε καὶ ἀφελῶς, καὶ τὸ ὅλον, ὡς τοὺς ἁλιέων προσῆκε μαθητάς; Εἰ μὲν γὰρ ἄλλον διδάσκαλον προὐστησάμεθα, εἴχομεν ἂν ἐκ τῶν ἐκείνου συμπείθειν τοὺς τοῦ αὐτοῦ μαθητάς, καὶ τῶν ἐναντίων λόγων προστάτας. Ἐπεὶ δὲ οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται τοῦ Λόγου τοῦτον αὐτὸν παρέδοσαν ἡμῖν, τὸ Πνεῦμα, καὶ *ἀληθείας* λέγοντα *Πνεῦμα*, καὶ *παρὰ τοῦ Πατρὸς ἐκπορευόμενον*, ἁπλοῦς ὁ λόγος· ἢ ἄλλον διδάσκαλον ἀντεισάγαγε, τοῦ Λόγου τρανότερα λέγοντα, καὶ τῆς σοφίας σοφώτερα, παρ' οὗ τὸ νέον τοῦτο δόγμα λαβὼν ὑπερφυῶς ἔστερξας· ἢ τοῦτον μὴ ἔχων, δεῖξαι τὸν *ἕνα καθηγητὴν* ἡμῶν, *τὸν Χριστὸν*, περὶ τοῦ συγγενοῦς διδάσκοντα Πνεύματος, ἐκ τίνος, καὶ πῶς ἔχει τὸ εἶναι, καὶ μαρτυροῦντα τῷ αὐτοῦ *μάρτυρι*, ὅτι *παρὰ τοῦ Πατρὸς ἐκπορεύεται*. Καίτοι καθ' ὑμᾶς, εἰ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται, τί ἐκώλυεν εἰπεῖν· Ὃ παρὰ τοῦ Πατρὸς καὶ ἐμοῦ ἐκπορεύεται; οὕτω μὲν εὑρέθης οὐ κατακολουθῶν *τῷ τῶν πτωχῶν εὐαγγελιστῇ* Χριστῷ· εἰ καὶ τὸν αὐτοῦ σταυρὸν αἴρειν λέγεις. Εἰ δέ τινι τῶν ἐγκεκριμένων Πατέρων τοῦτο ἐπείσθης, *δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν*. Ἀλλ' οὐκ ἂν ἔχοις δεῖξαι, κἂν πολλὰ κάμοις· ἢ γὰρ ἐγκεκριμένος οὐκ εἶπεν, ἢ εἰπὼν οὐκ ἐγκέκριται. Ἔπειτα, κἂν εἰ τοῦτό σοι δῶμεν, ἀλλ' οὔ τί γε τὸ σπάνιον ἑλκύσομεν εἰς ὑπόδειγμα. Νόμος καὶ τοῦτο ἡμέτερος (8). Ὅπου γὰρ μυρίων θεολογούντων μὲν περὶ τοῦ ἁγίου Πνεύματος, μηδενὸς δέ τι τοιοῦτον λέγοντος, εἰ μὴ τὸ *δι' Υἱοῦ πεφηνέναι*· καὶ *δι' Υἱοῦ ἐκ Θεοῦ εἶναι*· εὑρίσκεταί τις εἷς, ἢ καὶ δεύτερος τἀναντία παρεισηγούμενοι, τὸ μὴ ἐκείνοις, ἀλλὰ τούτοις προσθέσθαι, γεμόντων ἐστὶ τοῦ τῆς πλάνης πνεύματος.

quis eam perficiat, modicum Ecclesiæ beneficium impendat; sin vero, non sit hoc inter damna computandum. Quod autem mihi omnium maxime videtur Latinorum communionem iis, qui sapiunt, exosam facere, quodque ni corrigatur, magnum afferre potest detrimentum hæreditati Filii Dei, quam in gentibus acquisivit [4], illud tibi indicabo, et quoad licuerit, refellam. Tum vero, nisi orationem nostram justo longiorem fieri viderimus, aliqua etiam ex cæteris mediocriter discutiemus.

3. Summus igitur eorum error est, quodque in Salomonicum *Inferni profundum incurrere* fac.t [5], est innovatio in Symbolo fidei, quam ii fecerunt, enuntiantes, *Spiritum sanctum ex Patre Filioque procedere:* **515** oportet enim fidelis Symbolum esse Symbolum omnis adulterationis immune: nam neque *securiferi* illi apud Ezechielem, *signatis* pepercissent [6], nisi in eis minime falsatum signum vidissem. Quomodo igitur innovationi isti occurremus? Et simpliciter et candide, et omnino ut piscatorum discipulos decet. Si enim magister alius propositus nobis esset, ex ejus dictis discipulos ipsius, et adversæ sententiæ patronos utique persuaderemus. Cum vero ii, qui ab initio oculati testes, et ministri fuere Verbi, tradidere nobis eum dixisse, Spiritum sanctum esse *Spiritum veritatis*, et ex *Patre procedere* [7], simplex, et absoluta hæc est ratio: vel tu magistrum alium profer, qui Verbo clariora, et sapientia sapientiora doceat, a quo novum istud dogma, quod adeo mirifice amas, acceperis; vel alium non habens, amplectere *unum magistrum* nostrum *Christum* [8], docentem de cognato Spiritu, a quo et quomodo esse habeat, et attestantem *testi* suo, eum *a Patre procedere*. Et quidem si ex Filio etiam, ut vos contenditis, procedit, quid prohibuit, ne diceret: Qui ex Patre et ex me procedit? sic quidem tu convinceris non sequi *pauperum evangelizatorem* Christum [9]: etsi crucem ipsius tollere te dicas. Si vero ab aliquo ex probatis Patribus hoc edoctus es, *ostende nobis Patrem et sufficit nobis* [10]: at ostendere non poteris, etiamsi multum, diuque fatigeris: si enim probatus est, non dixit; et si dixit, probatus non est. Deinde etsi hoc tibi daremus, attamen quod rarius est, non utique in argumentum trahendum: quod legi quoque vestræ consentaneum est. Si enim plurimi theologi de Spiritu sancto disserentes, nemo quid tale dicat, sed tantummodo *per Filium apparuisse, et per Filium ex Deo esse*, reperiatur vero unus, vel alter qui contrarium doceat, profecto non illis, sed istis adhærere, res est illorum qui spiritu erroris pleni sunt.

[4] Psal. II, 8. [5] Prov. IX, 19. [6] Ezech. IX, 6. [7] Joan. XV, 26. [8] Matth. XXIII, 8. [9] Luc. IV, 18. [10] Joan. XIV, 12.

Variæ lectiones et notæ.

(5) Chomatenus, ἀνύσειέ τις.
(6) Chomat., εὐφρονοῦσι.
(7) ἀπώμοτον Chomat.
(8*) Cod. Bon. ὑμέτερος. Hanc lectionem ego quoque ut verisimiliorem secutus sum.

Digitized by Google

4. Verum scriptum est, inquiunt, *Spiritus Filii, et Spiritus Christi* [11]. Et ego similia appono, nam *Spiritus veritatis et Spiritus vitæ* [12] est etiam Filius; addam etiam, et *sapientiæ, et fortitudinis* [13]. Ita igitur dicitur Spiritus sanctus, non quia ex Filio profluat, sed quia proprius ipsius est (cognatus enim illi est, et non alienus), et quia in eo conquiescit, et ab ipso dignis immittitur, tribuitur ac donatur. Sed alacriter prosequamur orationem, quoniam progrediens jam ad id quod præcipuum est, nos perduxit. Videmini enim mihi vos, qui *quæ sursum* dicta *sunt, sapitis* [14], non tam animi improbitate, quam ignoratione veritatis errare. Putantes enim, idem esse *procedere*, ac *tribui, et donari*; quoniam **516** reperitur Spiritus sanctus a Filio *mitti, distribui et donari*; nullatenus vos impingere existimatis, si ipsum etiam ex Filio procedere dixeritis. Sed hæc profecto non ita se habent: quin ea omnino differre affirmamus. Siquidem *procedere* significat modum quo Spiritus sanctus esse habeat. Quemadmodum enim Filius est ex Patre, sed *generatione*, et non alio quocunque modo; ita et Spiritus sanctus est ex eodem principio, nempe, ex Patre, non *generatione* (non enim sunt duo Filii) sed *processione*. Igitur procedere est modus, quo Spiritus sanctus habet esse a Patre: quod etiam *proprietas* ipsius esse dignoscitur. *Mitti* autem, *dari* et *donari* haud significant, quomodo Spiritus sanctus sit; sed his verbis significatur ditatio quædam, ac veluti effusio bonitatis, quæ a Patre quidem habet esse: sed a Filio in dignos effunditur: quibus etiam per Filium apparuisse dicitur; quoniam iis qui verbum receperunt, non vero Verbo, aut ratione carentibus Spiritus apparet: et quoniam hujus divinitatem, nulli antea clare cognitam per Filium didicimus ex eo quod eum Patri, et sibi in divini baptismatis forma copulavit. Hac etiam ratione *insufflasse* dicitur Dominus Spiritum sanctum post resurrectionem, non tanquam productor ipsius (non enim *substantiatio*, ut ita dicam, seu productio substantialis, Spiritus erat *insufflatio* illa: et alias neque totus tunc datus est: sed unum tantum donum, scilicet, remissionis peccatorum; totus enim ut tantummodo Pentecostes tempore daretur, decretum erat) sed quatenus etiam ipse eum habet substantialiter; et quando vult, ipsum dat; et quibus vult, et quomodo vult: id est aliquibus quidem secundum unam speciem Joni; aliis autem secundum plures; aliis demum totum ipsum *alium Paracletum* [15]. Desinamus igitur in unum conferre, quæ diversa sunt (dari, scilicet et procedere) et simul conjungere quæ conjuncta non sunt.

5. Quod si hoc te quoque scire mihi dixeris, ac Patrem esse Spiritus sancti auctorem per modum *processionis*, sicut est Filii per *generationem*; nihilominus te affirmare, Spiritum sanctum *procedere* ex Filio non eadem significatione sumendo eam

δ'. Ἀλλὰ γέγραπται, φησί· *Πνεῦμα τοῦ Υἱοῦ*, καὶ *Πνεῦμα Χριστοῦ*. Κἀγὼ τίθεμαι· ἐπειδὴ καὶ *Πνεῦμα τῆς ἀληθείας*, καὶ *Πνεῦμα τῆς ζωῆς* ὁ Υἱός· προσθήσω δὲ καὶ *σοφίας* καὶ *ἰσχύος*. Καὶ ταῦτα γὰρ ἐκεῖνος, ἀλλ' οὐχ ὡς ἐξ ἐκείνου προῖὸν, ἀλλ' ὡς οἰκεῖον αὐτοῦ (συγγενὲς γάρ, καὶ οὐκ ἀλλότριον), καὶ ὡς αὐτῷ ἐναναπαυόμενον, καὶ ὡς παρ' αὐτοῦ τοῖς ἀξίοις πεμπόμενον καὶ χορηγούμενον καὶ μεταδιδόμενον. Ἀλλ' εὖγε τοῦ λόγου ὅτι προήκων ἐπ' αὐτὸ τὸ καιριώτατον ἤγαγεν. Ἔοικατε γάρ μοι, ὦ *τὰ ἄνω φρονοῦντες* ὑμεῖς, οὐ κακίᾳ γνώμης τοσοῦτον, ὅσον ἀγνοίᾳ τῆς ὀρθότητος σφάλλεσθαι. Τὸ γὰρ *ἐκπορεύεσθαι*, νομίζοντες ἴσον εἶναι τῷ *χορηγεῖσθαι*, καὶ *μεταδίδοσθαι*, ἐπειδὴ τὸ Πνεῦμα εὑρίσκεται παρὰ τοῦ Υἱοῦ *πεμπόμενον*, καὶ *χορηγούμενον*, καὶ *μεταδιδόμενον*, οὐδὲ οἴεσθε προσκόπτειν, εἰ καὶ ἐκπορεύεσθαι τοῦτο ἐκ τοῦ Υἱοῦ φαίητε. Ἔστι δὲ οὐχ οὕτω ταῦτ' ἔχοντα. Πόθεν, ἄγε [*f.* ἄ γε] καὶ παντί φαμεν διαφέρειν; Τὸ μὲν γὰρ *ἐκπορεύεσθαι*, τοῦ πῶς ἐστι τὸ Πνεῦμα δηλωτικόν. Ὡς γὰρ ὁ Υἱὸς ἔστιν ἐκ τοῦ Πατρὸς, *γεννητῶς* δὲ, καὶ οὐ κατ' ἄλλον τινὰ τρόπον· οὕτω καὶ τὸ Πνεῦμα ἐκ τῆς αὐτῆς μὲν ἀρχῆς, τοῦ Πατρὸς δὴ λέγω, οὐ *γεννητῶς* δὲ (οὐ γὰρ δύο Υἱοὶ), ἀλλ' *ἐκπορευτῶς*. Τὸ μὲν οὖν *ἐκπορεύεσθαι*, τρόπος ἐστὶ καθ' ὃν ἔχει τὸ Πνεῦμα τὸ εἶναι ἐκ τοῦ Πατρός· ὅπερ δὴ καὶ *ἰδιότης* αὐτοῦ γινώσκεται. Τὸ δὲ *πέμπεσθαι* καὶ *χορηγεῖσθαι* καὶ *μεταδίδοσθαι*, οὐ τοῦ πῶς ἐστι τὸ Πνεῦμα δηλωτικὸν, ἀλλὰ πλουτισμός τις ἐν τούτοις δηλοῦται, καὶ οἷον χύσις τῆς ἀγαθότητος, τῆς ἐκ τοῦ Πατρὸς μὲν ἐχούσης τὸ εἶναι, παρὰ τοῦ Υἱοῦ δὲ εἰς τοὺς ἀξίους ἐκχεομένης· οἷς καὶ δι' Υἱοῦ πεφηνέναι λέγεται. Ὅτι δὲ τοῖς τὸν λόγον δεξαμένοις, ἀλλ' οὐ τοῖς ἀλογίστοις τὸ Πνεῦμα ἐμφαίνεται· καὶ ὅτι τὴν τούτου θεότητα μὴ πρότερόν τινι γνωσθεῖσαν τρανῶς, διὰ τοῦ Υἱοῦ μεμαθήκαμεν, τῷ Πατρὶ καὶ ἑαυτῷ τοῦτο συντεταχότος ἐν τῷ θεοποιοῦντι βαπτίσματι. Οὕτω καὶ *ἐμφυσᾷν* λέγεται τὸ Πνεῦμα τοῖς μαθηταῖς ὁ Κύριος μετὰ τὴν ἀνάστασιν, οὐχ ὡς προβολὴν αὐτοῦ (οὐ γὰρ *οὐσίωσις*, ἵν' οὕτως εἴπω, τοῦ Πνεύματος, ἡ *ἐμφύσησις*· ἄλλως τε, μηδὲ ὅλου τότε δοθέντος, ἀλλ' ἑνὸς χαρίσματος, τοῦ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν· τὸ γὰρ ὅλον τοῖς τῆς Πεντηκοστῆς καιροῖς ὥριστο), ἀλλ' ὡς ἔχων καὶ αὐτὸς αὐτὸ οὐσιωδῶς, καὶ ὅτε βούλεται τοῦτο διδοὺς, καὶ οἷς βούλεται, καὶ ὡς βούλεται· ὅπερ ἐστὶ τοῖς μὲν καθ' ἓν εἶδος χαρίσματος, τοῖς δὲ, κατὰ πλεῖω, τοῖς δὲ ὅλον αὐτὸν τὸν *ἄλλον Παράκλητον*. Παυσώμεθα τοίνυν εἰς ταὐτὸν ἄγοντες τὰ ἀσύμβατα, μετάδοσιν καὶ ἐκπόρευσιν, καὶ συγκλώθοντες τὰ ἀσύγκλωστα.

ε'. Εἰ δέ μοι τοῦτο καὶ αὐτὸς φήσεις εἰδέναι, καὶ ὡς αἴτιος τοῦ εἶναι τῷ Πνεύματι ὁ Πατὴρ κατὰ τὸν τρόπον *τῆς ἐκπορεύσεως*, ὥσπερ κατὰ τὸν *τῆς γεννήσεως*, τῷ Υἱῷ· *ἐκπορεύεσθαι* δὲ λέγεις τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ, οὐ κατὰ τοῦτο τὸ σημαινόμενον, ἀλλὰ

[11] Galat. IV, 6. [12] Rom. VIII, 9. [13] Isa. IX, 11. [14] Coloss. III, 2. [15] Joan. XIV, 6.

Digitized by Google

κατὰ τὸ *χεῖσθαι* καὶ *διαδίδοσθαι*· καὶ ὑγιαίνων τὸν νοῦν βιάζῃ πρὸς τὸ τ[οι]οῦτο πενίᾳ λέξεων, καὶ Λατίνου γλώττης στενότητι· ἐνταῦθά σοι δείξω τὴν μακαριζομένην *πτωχείαν τοῦ Πνεύματος* (9), καὶ τὴν ἀδελφικὴν πρόσληψιν· βδελύξῃ δὲ καὶ αὐτὸς τὴν τῆς ὑψηλῆς καρδίας ἀκαθαρσίαν· καὶ οὕτως ἐν ἑνὶ Πνεύματι φρονήσαντες τὸ αὐτὸ, δοξάσομεν ὁμοθυμαδὸν τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον· τὸν μὲν, ὡς *γεννῶντα* καὶ *προβάλλοντα*· τὰ δὲ, τὸν μὲν, ὡς *γεννώμενον*, τὸ δὲ ὡς *ἐκπορευόμενον*. Εἰ γὰρ ἀληθῶς εἶ πτωχὸς τὸν πλοῦτον τῆς γλώττης, καί σοι ἀπορία τῶν ἱματίων τοῦ νοῦ καὶ τῶν λέξεων, καὶ διὰ τοῦτο διελεῖν οὐκ ἔχεις τὴν παρὰ τοῦ Υἱοῦ γινομένην *χύσιν* τοῦ Πνεύματος, ἢ *μετάδοσιν* (ἢ ὡς ἄν τις λέγειν ἑτέρως βούλοιτο) ἐκ τῆς *ἐκπορεύσεως*, καθ' ἣν ἐκ τοῦ Πατρὸς μόνου τὸ εἶναι τῷ Πνεύματι· ἐν μὲν τοῖς ἄλλοις συγχωρήσω χρῆσθαί σε τούτοις, ὡς ἡ γλῶττά σοι δίδωσιν, ἐν κοινοῖς λέγω καὶ ὁμιλίαις, εἰ βούλῃ [*f.* βουλή] σοι, ἐκκλησιαστικαῖς· καὶ τοῦτο, μετὰ τοῦ προσδιορισμοῦ τοῦ προσήκοντος, ὥστε μὴ ἀγνοεῖν τοὺς ἀκούοντας τὴν ἐν μιᾷ λέξει διπλόην τῶν νοημάτων. Ἐν δὲ τῷ Συμβόλῳ τὴν *ἐκπόρευσιν* ἀνακηρύττειν ἐκ μόνου τοῦ Πατρός· ἐνταῦθα γὰρ ἡμῖν ἡ *ὁμολογία* τῆς πίστεως· ἣν δεῖ καθαρὰν εἶναι καὶ φωτοειδῆ καὶ ἁπλῆν (τοιαῦτα γὰρ καὶ τὰ πιστευόμενα), καὶ μηδὲν συγκεχυμένον, ἢ σκοτεινὸν, ἢ πολλαπλοῦν ἐν ἑαυτῇ φέρουσαν· ὥσπερ οὖν ἔχει καὶ ἡ καθ' ἡμᾶς τῆς πίστεως Ἔκθεσις, ἐκφώνησίς τε οὖσα τοῦ ἐν τῇ δευτέρᾳ συνόδῳ νικήσαντος Πνεύματος. Οὗπερ ἔμπνοια, καὶ ἡ ὑπὲρ αὐτοῦ τῶν Πατέρων σύμπνοια, καὶ πάσαις τηρουμένη ταῖς Ἐκκλησίαις· αἷς τὸ μὲν ἀξίωμα, μὴ ταπεινότερα φρονεῖν ὑμῶν δίδωσιν (ἴσον γὰρ), ὁ δὲ ἀριθμὸς, καὶ νικητικώτερα· πλείων γάρ.

ς'. Προσλόγισαι δέ μοι καὶ τόδε· εἰ μὴ τὸ παρὰ τοῦ Υἱοῦ *χορηγεῖσθαι* τὸ Πνεῦμα, ἕτερόν ἐστι τοῦ ἐκ τοῦ Πατρὸς *ἐκπορεύεσθαι*, δυοῖν ἀνάγκη θάτερον· ἢ καὶ τὸν Υἱὸν αἴτιον εἶναι τοῦ Πνεύματος, ἢ τὸν Πατέρα χορηγὸν μόνως, ὡς καὶ τὸν Υἱόν. Εἰ μὲν οὖν ὁ Υἱὸς τοῦ Πνεύματος αἴτιος, δύο ἀρχαὶ τοῦ ἑνός. Τὸ δὲ πλειόνων δεόμενον εἰς τὴν ὕπαρξιν, ἢ *μεῖζον* ἔσται τοῦ ἐξ ἑνὸς τὸ εἶναι ἔχοντος, ἢ *ἴσον*, ἢ *ἔλαττον*· ἀλλ' *ἴσον* μὲν, οὐκ ἂν εἴη· ἦν γὰρ ἂν ἐξ ἑνὸς, καὶ οὐ λείπεται τοίνυν εἶναι ἢ *μεῖζον*, ἢ *ἔλαττον*. Καὶ τὸ Πνεῦμα ἄρα ἢ *μεῖζον* ἔσται τοῦ Υἱοῦ (καὶ ὅρα τὴν τῆς ἀσεβείας καινοτομίαν· οὐδεὶς γάρ πω τοῦτο τῶν κατὰ τοῦ Υἱοῦ θρασυνθέντων εἰπεῖν ἐτόλμησεν), ἢ ἔλαττον ἔσται· καὶ ἀναζῇ Μακεδόνιος. Εἰ δὲ παρὰ τοῦ Πατρὸς χορηγεῖται μόνως, ὡς παρὰ τοῦ Υἱοῦ· ἢ ἄναρχον ἔσται καὶ αὐτὸ, καὶ

A vocem; sed ut perinde sit, ac *effundi*, et *dari*: adeoque te quidem recte sentire, ad ita tamen loquendum cogi penuria vocum, Latinæque linguæ egestate; si hæc, inquam, mihi dixeris, ego protinus exhibeo tibi beatificatam illam *paupertatem Spiritus* [16], ac excusationem tuam fraterne suscipiam: abominaberis vero et ipse elati cordis impuritatem: sicque in uno Spiritu idem sentientes unanimiter glorificabimus Patrem, **517** et Filium, et Spiritum sanctum: eum quidem ut *generantem* et *producentem*; alterum ut *genitum*; hunc autem ut *procedentem*. Si itaque revera pauper es lingua, et vocabulorum inopia laboras, et idcirco verbis distinguere non vales *effusionem* Spiritus, vel *communicationem* (seu quomodocunque aliter quis dicere malit) a *processione*, secundum quam a solo Patre esse habet; ego quidem tibi veniam facile dabo, ut in aliis, hoc est in familiaribus, ac etiam in ecclesiasticis, si velis, sermonibus, vocibus, ut tua tibi lingua concedit, utaris, adjecta tamen congrua declaratione, ne, qui audiunt, ignorent, duplicem inesse eidem dictioni intelligentiam. At in Symbolo exprimas *processionem* ex solo Patre: id enim continet *confessionem* nostræ fidei, quam puram, claram ac simplicem esse oportet (talia enim sunt etiam quæ creduntur) nihilque confusum, vel obscurum, vel ambiguum in se continere: cujusmodi se habet etiam nostra fidei Expositio, quæ est enuntiatio ejus qui in secunda synodo vicit, Spiritus sancti (cujus sane inspiratio etiam fuit ea Patrum pro ipso conspiratio) quæque ab omnibus custoditur Ecclesiis: quibus profecto propria sua dignitas concedit, ut viliora vobis non sentiant: æqualis enim est; numerus autem, ut et præstantiora: est enim major.

6. Verum et istud perpendas, velim. Si Spiritum sanctum *dari* a Filio diversum non est a *processione* ejusdem a Patre, duorum alterum sequi necesse est, vel etiam Filium auctorem esse Spiritus sancti; vel Patrem esse tantummodo datorem, sicut est Filius. Si vero Filius Spiritus Sancti auctor est, jam duo sunt principia unius personæ. Quod autem pluribus principiis opus habet ad exsistendum, vel *majus* erit eo, quod ex unico principio esse habet (10), vel *æquale*, vel *minus*. Sed *æquale* esse non potest; alias esset illud quoque ex uno principio. Restat igitur, esse aut *majus* aut *minus*. Igitur etiam Spiritus sanctus aut major erit Filio (et ecce impiam innovationem: nemo enim illorum, qui contra Filium audacius insurrexerunt, hoc dicere ausus est); vel erit minor, et sic reviviscit

[16] Matth. v, 3.

Variæ lectiones et notæ.

(9) In nostro codice ascripta hic est ad marginem hæc alia lectio, τὴν μακαρίαν πτωχείαν μακαριζομένου τοῦ Πνεύματος, hoc est, *beatam paupertatem illius beatificati Spiritus*.

(10) Mingarellius hic vertit: *Aut majus erit, quam unum, quod exsistentiam habet*, inhærens scilicet codici suo, in quo deest particula ἐξ, *ex*, quam habet codex noster, ac necessariam hic esse, consideranti patet: instituitur enim comparatio inter eum qui ex *uno* principio tantum, et inter eum qui ex *duobus* principiis procedit.

Digitized by Google

Macedonius. Si autem a Patre solummodo datur, ut a Filio, vel Spiritus sanctus erit absque omni principio ; et sic, ubinam Patris dignitas ? ac quomodo *proprietas* evasit communis ? Vel alium Spiritus Sancti auctorem perquiremus : sicque quaternitas (12) nobis introducetur personarum, et dualitas divinitatum, altera videlicet **518** illorum trium ; altera vero quarti illius introducti, qui nobis ex mira ista innovatione tua procedit. Præterea, si idem est *procedere* ac *dari*, quæro : quænam alia dictio significat modum, quo Spiritus sanctus esse habet a Patre ? Amplius : Si Pater major est Filio propterea quod auctor ejus sit, erit eadem de causa major etiam Spiritu sancto. Si vero etiam Filius auctor est Spiritus sancti, erit etiam pari modo major ipso. At ubinam tu reperisti, Filium dici majorem Spiritu sancto ? Ad hæc. Si Domini in discipulos *insufflatio* significat juxta vos, Spiritus sancti ab ipso *processionem*, quæ nempe est totius, ac non unius tantum doni, profecto tunc illis sanctum dedit Spiritum : ubi ergo, quod dixit : *Si ego non abiero, Paracletus non veniet ad vos* [17] ? Rursus. Si tunc *Paracletus* datus est per *insufflationem*, et non tantum donum remissionis peccatorum (solet enim Scriptura etiam dona appellare *spiritus*) adventus, qui contigit die Pentecostes, vel fuit ejusdem Spiritus, et sic fuit superfluus, vel alterius, et hunc quis fuerit, inquiremus. Et hæc quidem a nobis in confirmationem *processionis* Spiritus sancti a solo Patre, dicta sunt.

A ποῦ τῷ Πατρὶ τὸ ἀξίωμα ; πῶς δὲ ἡ *ἰδιότης* κεκοίνωται ; Ἢ ἄλλον τούτου ζητήσομεν αἴτιον, καὶ τετρὰς (11) μὲν ἡμῖν εἰσαχθήσεται προσώπων, δυὰς δὲ θεοτήτων, ἑτέρα μὲν ἡ τῶν τριῶν, ἑτέρα δὲ ἡ τοῦ ἐπεισάκτου τετάρτου, δι' ἐκ τῆς θαυμαστῆς σου καινοτομίας ἡμῖν ἐκπορεύεται (12). Ἔτι, εἰ ταὐτὸν τὸ *ἐκπορεύεσθαι* τῷ *χορηγεῖσθαι*, ζητῶ, τίς ἑτέρα λέξις δηλοῖ τὸ, πῶς ἔστι τὸ Πνεῦμα ἐκ τοῦ Πατρός ; Ἔτι, εἰ τοῦ Υἱοῦ μείζων ὁ Πατὴρ τῷ αἰτίῳ, ἔσται καὶ τοῦ Πνεύματος τῷ αὐτῷ · εἰ δὲ καὶ ὁ Υἱὸς αἴτιος τοῦ Πνεύματος, ἔσται καὶ οὕτως μείζων αὐτοῦ. Καὶ ποῦ σοι τοῦτο ἐξεύρηται μείζονα τὸν Υἱὸν τοῦ Πνεύματος λέγεσθαι ; Ἔτι, εἴπερ ἡ τοῦ Κυρίου εἰς τοὺς μαθητὰς *ἐμφύσησις*, δηλοῖ τὴν ἐξ αὐτοῦ καθ' ὑμᾶς *ἐκπόρευσιν* τοῦ Πνεύματος, ἥτις ἐστὶν ὅλου

B δηλαδή, οὐχ ἑνὸς χαρίσματος · τηνικαῦτα Παράκλητον αὐτοῖς δέδωκε · καὶ ποῦ τὸ, *Ἐὰν μὴ ἐγὼ ἀπέλθω, ἐκεῖνος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς* ; Ἔτι, εἰ αὐτὸς ὁ *Παράκλητος* ἐδόθη τότε διὰ τῆς *ἐμφυσήσεως*, ἀλλὰ μὴ τὸ χάρισμα τῆς ἀφέσεως τῶν ἁμαρτιῶν (οἶδε γὰρ ὁ λόγος καὶ τὰ χαρίσματα καλεῖν *πνεύματα*) · ἡ κατὰ τὴν Πεντηκοστὴν παρουσία, ἢ τοῦ αὐτοῦ, καὶ περιττή · ἢ ἄλλου Πνεύματος, καὶ ποῖον τοῦτο, ζητήσομεν. Ταῦτα μὲν οὖν παρ' ἡμῶν εἰς σύστασιν τοῦ *ἐκπορεύεσθαι* τὸ Πνεῦμα ἐκ μόνου τοῦ Πατρὸς, ἀλλὰ μὴ καὶ ἐκ τοῦ Υἱοῦ.

7. Porro nonnemo ex antiquis sapientibus alia etiam, quibus nos ad præsentem orationem nullatenus usi sumus, illud Pauli ratum habentes, non oportere *super alienum fundamentum ædificantes, ex iis quæ parata sunt, gloriari* [18] : sed conandum, ut quod proferimus nostri proprium sit; si tamen quidpiam boni proprium habet nostra tenuitas, et non totum sit gratiæ. Audio vero et hodierno tempore nonnullos hac de re libros haud exiguos conscripsisse. Et fortasse illi *aurum*, et *lapides pretiosos* et *purpuram* [19] ad Dei tabernaculum attulerint : tu vero nunc accipe meæ crassitudinis *pelles*, quæ sin aliud, saltem *rubricatæ* [20] sunt ex divino Verbo, quod propter me crassum factum est (13) quique sanguinem effudit, ut mihi panderet cum alia mysteria, tum quæ ad Spiritum sanctum pertinent, et me *regalem* constitueret, et *unctum*, *obsignans*, et ungens *sanguine* [21], et Spiritu.

C ζ'. Εἴρηται δὲ καὶ ἄλλα τινὶ τῶν παλαιοτέρων σοφῶν, ὧν οὐδενὶ πρὸς τὸν παρόντα λόγον, συνεχρησάμεθα, τοῦτό γε κατὰ Παῦλον φρονήσαντες, τὸ, *μὴ ἐπ' ἀλλοτρίῳ θεμελίῳ οἰκοδομοῦντες, εἰς τὰ ἕτοιμα καυχᾶσθαι* · ἀλλ' εἴπερ ἄρα ὡς οἰκείῳ ἐμφιλοτιμεῖσθαι τῷ ὅλῳ, εἴ γέ τι οἰκεῖον ἀγαθὸν ἡ ἡμετέρα ἔχει ἀσθένεια, ἀλλὰ μὴ τὸ πᾶν ἢ τῆς χάριτος. Ἀκούω δὲ καὶ τῶν νῦν τινας πολύστιχα βιβλία περὶ τούτου συντάξαι τοῦ δόγματος, καὶ τυχὸν ἂν *χρυσὸν*, καὶ *λίθους τιμίους*, καὶ *πορφύραν* τῇ τοῦ Θεοῦ σκηνῇ συνεισήγαγον · ἀλλά σό γε νῦν δέχου τὰ τοῦ ἐμοῦ πάχους *δέρματα*, εἰ μή τ' [*f.* τι] ἄλλο, τὸ γοῦν *ἐρυθρὸν* ἔχοντα ἐκ τοῦ δι' ἐμὲ παχυνθέντος Λόγου, καὶ τὸ αἷμα κενώσαντος, ἵνα ἐμὲ μυσταγωγήσῃ, τά τε ἄλλα καὶ τὰ περὶ τοῦ

D Πνεύματος, καὶ *βασιλικὸν* δείξῃ, καὶ *χριστὸν*, *σφραγίσας*, καὶ χρίσας τῷ *αἵματι* καὶ τῷ Πνεύματι.

8. Quoniam vero de azymorum oblatione multis ingens est zelus, et igne, quod dici solet, fervention, adeo ut vitam potius quam suam de istis opinionem desererent (sic enim nonnulli propriæ

η'. Ἐπεὶ δὲ καὶ περὶ τῆς προσφορᾶς τῶν ἀζύμων πολὺς ὁ ζῆλος τοῖς πολλοῖς, καὶ πυρὸς θερμότερος, ὃ δὴ λέγεται, καὶ πρότερον ἂν τὰς ψυχὰς πρόοιντο, ἢ τὴν περὶ τούτων δόξαν αὐτῶν παραλύσαιεν, οὐδέ

[17] Joan. xvi, 7. [18] Rom. xv, 20 ; II Cor. x, 16. [19] Exod. xxv, 3. [20] Ibid. 5. [21] II Cor. i, 21.

Variæ lectiones et notæ.

(11) Mingarellius hic vertit *monstrum personarum* ; in suo enim codice pro τετρὰς legit τέρας. Sed nostri codicis lectionem præferendam esse nullus dubito : perspicuum enim est, Theophylactum hoc sophismate suo concludere velle, ex dogmate nostro sequi, quatuor esse divinas personas et duas deitates.

(12) Cod. Bon., ἐκπεπόρουνται.

(13) Nempe per assumptam carnem in incarnatione.

Digitized by Google

τινες (14) οἰκείῳ πάθει κατιχαρίζονται, ὃ *κρῖμα* καὶ *παγὶς τοῦ διαβόλου* Παύλῳ δοκεῖ· ἃ μὲν δεῖ πρὸς τούτους εἰπεῖν, ἐν ὑστέρῳ λέξομεν· τῶν μέν, τὸ ἄμετρον τοῦ ζήλου κολάζοντες· τοῖς δὲ, ταπεινὸν δεικνύντες τὸ ἀταπείνωτον. Πρὸς δὲ τοὺς Λατίνους οὐ τὴν *πρώτην* παρεξηγησόμεθα *τῶν ἀζύμων*, φάσκοντες εἶναι ταύτην, τὴν τοῦ μηνὸς *δεκάτην*, καθ' ἣν τὸ πρόβατον ἐλαμβάνετο. Οἴδαμεν γὰρ τὸν νόμον *πρώτην τῶν ἀζύμων* τὴν *ιε' ἡμέραν* λέγοντα· εἰς ἣν ἡ νὺξ ἐπεφώσκει τῆς *τοῦ πάσχα βρώσεως*. Ὅθεν καί τις τῶν παρ' ἡμῖν θείων διδασκάλων, ἐξηγούμενος τὴν παρὰ τῷ εὐαγγελιστῇ λεγομένην *πρώτην τῶν ἀζύμων*, *πρώτην*, φησὶ, *τῶν ἀζύμων* τῷ Ματθαίῳ, τὴν πρὸ τῶν ἀζύμων ἡμέραν λέγεσθαι, εἰδὼς μὲν τὸν νόμον κατὰ τῆς πόστης ἡμέρας τοῦνομα τίθησιν, ὡς δὲ καινόν τι τοῦτο παρὰ τοῦ εὐαγγελιστοῦ λεγόμενον ἐπισημαινόμενος. Ἀλλ' οὐδὲ τὸν Κύριον παρεισάξομεν, ἢ μὴ τελέσαντα τὸ *πάσχα τὸ νομικὸν*, ὡς ἂν μηδὲ τῶν ἀζύμων μεταλαβόντα συναποδείξωμεν· ἢ τελέσαντα μὲν, ἀλλὰ πρὸ τοῦ καιροῦ τοῦ τὴν *ζύμην* αἴροντος· ὥστε καὶ ἄρτον ζυμίτην εὑρίσκεσθαι. Ταῦτα γάρ τινες ἤδη καὶ τῶν ὑπὲρ λίαν ἐθάρρησαν. Οὔκουν αὐτός τινος τῶν οὕτω λεγομένων ἀνάξομαι (15)· οὐ γὰρ θέμις σπεύδειν συνιστᾷν ἐκ τοῦ ψεύδους τὰ τῆς ἀληθείας μυστήρια. Εἰ δὲ καὶ ἔστιν ἡ *ὁδὸς* καὶ ἡ *ἀλήθεια* ὁ Χριστὸς, οὔτε τῆς ὁδοῦ ἑκὼν εἶναι ἀποπλανήσομαι, οὔτε τῆς ἀληθείας τὸ μὴ ὂν καταψεύσομαι. Τίς οὖν ὁ ἐμὸς λόγος; Φαγεῖν μὲν τὸ πάσχα τὸν Κύριον ἐν καιρῷ, καὶ ὅτε ἡ ὥρα ἐγένετο, ἑτοιμασθὲν αὐτῷ παρὰ τῶν μαθητῶν καὶ τοῦ οἰκοδεσπότου, κατὰ τὸ ἔθος δηλαδὴ, καὶ οὐκ ἄλλως (ἢ γὰρ ἂν ἐπεσημήνατο τὴν καινοτομίαν, τὸ Εὐαγγέλιον, ὥσπερ καὶ τ' ἄλλα, οἷς τὸν νόμον ὑπεραναβαίνων ἐχρῆτο, οὐ μόνος αὐτὸς, ἀλλὰ καὶ οἱ μαθηταί· οἷον, τὸ ἐν Σαββάτῳ *πηλὸν ποιεῖν*, τὸ κελεύειν *αἴρειν τὸν κράββατον*, τὸ *ψώχειν τοὺς στάχυας*, τὸ *τὸν ἄρτον ἐσθίειν ἀνίπτοις χερσί*)· φαγεῖν δὲ τὸ νομικὸν πρότερον, εἶτα καὶ τὸ μυστήριον τοῦ κατ' αὐτὸν Πάσχα παραδοῦναι τοῖς μαθηταῖς, δηλονότι, ὡς ἐκ τοῦ παρευρεθέντος ἄρτου· εὑρητο δὲ τηνικαῦτα ἄζυμος. Οὐ μὴν ἐπειδὴ ἐκεῖνος ὁ ἄρτος ἄζυμος ἦν, τῆς ἀνάγκης τοῦ νόμου τουτο ποιούσης, ἤδη καὶ ἡμεῖς οἱ τῆς ἐν Χριστῷ ἐλευθερίας καταπολαύοντες, ἄζυμον ἐξ ἀνάγκης ποθήσομεν, τὸν ζυμίτην ἀπορραπίσαντες. Ἢ οὕτως (οὐ χεῖρον γὰρ καὶ τοιουτοτρόπως συμπλακῆναι τοῖς ἄλλον τρόπον περιεχομένοις τοῦ γράμματος), ἐπειδὴ τὸν ἄρτον ἐκεῖνον, εἰκὸς, μᾶλλον δὲ καὶ πλεῖον τοῦ εἰκότος, εὐτελῆ τινα εἶναι, καὶ τυχὸν κρίθινον (οὐ γὰρ ἁβροδίαιτος οὐδ' ὁ ἑστιάτωρ, οὐδ' οἱ δαιτυμόνες· ἀλλὰ τῇ τε ἄλλῃ εὐτελείᾳ τοῦ βίου σύντροφοι, καὶ τῶν κριθίνων ἄρτων ἐθάδου [*f.* ἐθάδες], ἐξ ὧν καὶ χιλιάδες αὐτοῖς ἐτράφησαν,

passioni indulgent, quod *judicium, et laqueus diaboli* [22] Paulo censetur) : quæ quidem ad hos dicere oporteat, inferius declarabimus, ubi aliorum quidem zeli immoderantiam castigabimus ; aliis vero ostendemus, vile et abjectum esse, quidquid humilitate caret. Quoad Latinos attinet, non nos prave interpretabimur, **519** illis *primam diem azymorum* [23], dicentes hanc esse *decimam* mensis, qua sumebatur agnus. Novimus enim a lege *primam diem azymorum* dici *decimam quintam*, circa quam illucescit nox in qua *pascha comedebant* [24]. Quare et quidam ex nostris theologis exponens diem quæ ab evangelista *prima azymorum* dicitur, ait, *primam azymorum* a Matthæo dici diem quæ Azyma præcedit, sciens quidem ille, cui diei nomen istud lex imponeret, at insinuans, novo quodam sensu ab evangelista hoc dictum esse. At neque dicemus, Dominum vel *Pascha legale* non perfecisse, ut sic neque azymis usum esse ostendamus ; vel perfecisse quidem, sed ante diem qua *fermentum* exterminabatur, ut et tunc quoque panis fermentatus reperiretur. Hæc enim nonnulli nimis audacter dixerunt. At ipse nihil horum in medium afferam : neque enim fas est, velle mysteria veritatis mendacio confirmare : et ego sane, cum Christus Dominus sit *via* et *veritas* [25], neque a via sponte aberrabo, neque falsitati contra veritatem patrocinabor. Quæ igitur sententia mea est ? Dominum comedisse Pascha tempore et hora præscripta paratum sibi a discipulis et a domino domus, juxta consuetudinem, et non aliter (si enim quidquam præter legem hac occasione Dominus fecisset, novitatem ejusmodi adnotasset Evangelium, quemadmodum adnotavit alia quæ ipse legem supergrediendo peregit, et non solum quæ ipse, verum etiam quæ discipuli ejus peregerunt cujusmodi sunt, Sabbato *lutum facere* [26], jubere paralytico, ut *tollat grabbatum ; vellere spicas; non lotis manibus manducare* [27], etc.); comedisse vero legale Pascha prius, deinde mysterium Paschatis sui tradidisse discipulis, nempe ex pane, qui tunc repertus est, repertus autem est azymus. At non propterea quod panis ille azymus fuerit necessitate a lege inducta, nunc etiam nos, qui libertate in Christo fruimur, necessario azymum procurabimus rejecto fermentato. Si enim ita se res habeat (pari jure hoc modo argumentari possumus contra eos, qui aliter litteræ adhærent), quoniam verisimile, imo plus quam verisimile est, panem illum viliorem fuisse, et fortasse hordeaceum (neque enim delicati cibo erant convivator, neque convivæ, et alias frugalitati innutriti erant, et præsertim hordeaceis panibus assueti, ex quibus etiam

[22] I Tim. II, 6. [23] Matth. XXV, 17. [24] Exod. XII, 3. [25] Joan. XIV, 6. [26] Joan. IX, 6. [27] Matth. XII, 1 ; VI, 28.

Variæ lectiones et notæ.

(14) Chomatenus, οἱ δέ τινες καί.

(15) Cod. Bonon., ἀνέξομαι.

Digitized by Google

aliquot hominum millia saturarunt, ut hinc discas, frugalitatem etiam prodigia operari), cur igitur etiam nunc, non talem quæremus panem, et præsentem similagineum procul ab altari amandabimus? quasi etiammodo Dominum audiremus dicentem : *Si offeratis similam,* **520** *frustra* [28]. Idem de calice dicere possumus, quoniam fortasse illud fuit vini aqua diluti, vel etiam vappidi (hoc ex alio sequitur, nec infra Dei humilitatem est) : nunc vero vinum generosum et odoriferum sæpe offertur : anne ergo hoc quidem abjiciemus pretiosum; illud vero seligemus, quod frugalitatem redolet? Quid vero? etiamne ex Palæstina ipsum procurabimus, et ex eodem agro, ex quo illud erat, quod Domini calicem implebat? addam, si hoc non sit nugas congerere, etiam ex eadem amphora! (multa sane et in his mentium imbecillitas). Quin etiam tu post cœnam, et recumbens hocce mysterium sumes, et cœnaculum etiam ad hoc requiras et alia quæ tunc quidem in usu erant temporis conditione ita exigente, nunc vero in aliam formam sunt translata, pietate ita præscribente ac fide.

9. Fortasse vero etiam quispiam legens in libro Actuum apostolorum multoties factam mentionem *fractionis panis*, idemque reperiens et apud Paulum, talem fuisse inferet panem tunc temporis mystice fractum, qualis et ad mensam communem prostabat, qui certe azymus non erat : hujus enim usus ad certas quasdam dies et sacrificia determinatus erat. Etsi vero hæc necessaria non sunt, (ponderant enim et in alteram partem) nihilominus plus mihi certe lanx tribuit, quod satis est ad victoriam : nam etiam cursor coronatur, qui unico passu aliis præcurrit. Verum amplius te persuadet multitudo orientalium sacerdotum Dei, et Hierosolymitanæ Ecclesiæ dignitas, a qua tanquam a fonte fides et apostolica traditio promanarunt; quæ etiam panem fermentatum offerre solet. Ad quid Orientales tibi dico, in quibus recte adnumeraveris et Indos et Æthiopes? respice, quæso, et ad *Ægyptum et partes* siticulosæ *Libyæ, quæ est circa Cyrenem* [29], et vide hic omnes idem sentientes, eidemque regulæ insistentes circa panes mysticæ propositionis. Verum et Corinthiorum Ecclesiæ panem expende, quam profecto non incusabis veluti non servantem traditiones [30] : nam qui eas tradidit, eam ut servantem commendavit : cui refragari omnem excedit audaciam, ne te contristem dicendo, impietatem. Audis, bene novi, et Sardos tuos testimonium ferentes contra azymorum oblationem. Sed surdum te simulas. Ego autem et hos acute audio, et vetus adagium, *Domesticus testis,*

A ἵνα σὺ μάθῃς τερατουργὸν (16) τὴν εὐτέλειαν) · τί γοῦν κωλύει καὶ νῦν τοιοῦτον ζητοῦντες [*f.*-τας] ἄρτον, παρόντα τὸν σεμιδαλίτην τοῦ θυσιαστηρίου ποιεῖν ὑπερόριον; ὥσπερ καὶ νῦν ἀκούοντας τοῦ Κυρίου λέγοντος· *Ἐὰν προσφέρητέ μοι σεμίδαλιν, μάταιον.* Τὸ δ' αὐτὸ καὶ περὶ τοῦ ποτηρίου ἔχοιμεν ἂν εἰπεῖν, ὡς ἐκεῖνο μὲν, οἶνου τυχὸν ἂν ἦν ὑδαροῦς, ἢ καὶ ἐκ τροπίου [*f.* ἐκτρ.], (ἀκολούθως τῇ ἄλλῃ οὐ κάτω Θεοῦ ταπεινότητι) · νῦν δὲ ἀνθοσμίας πολλάκις προσφέρεται · ἆρ' οὖν τοῦτον μὲν ἀποπεμψόμεθα τὸν πολύτιμον, ἐκεῖνον δὲ ἐγκρινοῦμεν τὸν τῆς εὐτελείας ἀπόζοντα, εἰ καὶ Παλαιστιναῖον ἀξιώσαιμεν εἶναι τοῦτον, καὶ τοῦδε τοῦ χωρίου, ἐξ οὗπερ ἦν καὶ ὁ τὸ τοῦ Κυρίου πληρῶν ποτήριον, εἰ δὲ μὴ λήρους ἐπισυνείρω, καὶ τοιοῦδε τοῦ κεραμίου (17). Πολλῆς ὄντως ταῦτα τῆς τῶν φρενῶν εὐτελείας. Ἤπου σὺ καὶ μετὰ τὸ φαγεῖν μεταλήψῃ τοῦ μυστηρίου, καὶ ἀνακείμενος, καὶ ἀνώων γε (18) ζητήσεις, καὶ τἆλλα, ὅσα τότε μὲν ἐτελεῖτο τῷ καιρῷ ἀπαιτούμενα, νῦν δὲ πρὸς ἄλλον τύπον μετεσχημάτισται, οὕτω τῆς εὐλαβείας νομοθετούσης ἡμῖν καὶ τῆς πίστεως.

B

C

D

9'. Ἴσως δέ τις ἀκούων καὶ τῆς βίβλου τῶν Πράξεων, πολλαχοῦ μεμνημένης *κλάσεως ἄρτου*, εὑρίσκων δὲ ταυτὸ τοῦτο καὶ παρὰ Παύλῳ, τοιοῦτον εἶναι συλλογίσεται τὸν μυστικῶς τότε κλώμενον, οἷος καὶ πρὸς τὴν κοινὴν βρῶσιν προὔκειτο. Ἠσθίετο δὲ οὐ πάντως ὁ ἄζυμος · οὗτος γὰρ ῥηταῖς τισιν ἡμέραις καὶ θυσίαις ἀποκεκλήρωτο. Εἰ δ' οὐκ ἀναγκαῖα ταῦτα (ῥέπει γόρ τοι καὶ ἐπὶ θάτερον), ἀλλ' ἔμοιγε, τὸ πλεῖον ἡ πλάστιγξ νέμει, ἐξ οὗ καὶ τὸ νικᾷν δίδοται, καὶ δρομεὺς δὲ στεφανίτης ἑνὶ βήματι προτερῶν. Καὶ πρός γε δυσωπείτω σε τὸ πλῆθος τῶν Ἑῴων τοῦ Θεοῦ λειτουργῶν, καὶ τὸ τῆς [*f. add.* ἐν] Ἱεροσολύμοις Ἐκκλησίας ἀξίωμα, ἀφ' ἧς ὡς πηγῆς ἡ χύσις τῆς πίστεως, καὶ τῆς ἀποστολικῆς παραδόσεως, ἧς καὶ τὸ τοὺς ἄρτους ζυμίτας προσφέρεσθαι. Τί τοὺς Ἑῴους σοι λέγω, ἐν οἷς εὐριθμήσεις [*f.* ἀριθμ.] τοὺς Ἰνδούς τε καὶ τοὺς Αἰθίοπας; Ἀπόβλεψόν μοι καὶ πρὸς τὴν *Αἴγυπτον, καὶ τὰ μέρη Λιβύης τῆς κατὰ Κυρήνην*, καὶ αὐτῆς δὲ τῆς διψηρᾶς · καὶ ὄψει πάντας τὸ ἓν φρονοῦντας, τῷ αὐτῷ κανόνι στοιχοῦντας περὶ τοὺς ἄρτους τῆς μυστικῆς προθέσεως. Ἀλλὰ καὶ τὸν τῆς Κορινθίων Ἐκκλησίας ἄρτον ἐπίσκεψαι, ἣν οὐ διαγράψῃ ὡς μὴ τὰς παραδόσεις κατέχουσαν. Ὁ γὰρ παραδοὺς ἐπῄνεσεν ὡς κατέχουσαν · ὥπερ ἀντιψηφίζεσθαι, πᾶσαν ὑπερβάλλει αὐθάδειαν, ἵνα μὴ λυπήσω λέγων ἀσέβειαν. Ἀκούεις, οἶδ' ὅτι, καὶ Σαρδώων τῶν σῶν καταμαρτυρούντων τῆς τῶν ἀζύμων ἀναφορᾶς, ἀλλὰ προσποιῇ τὸν κωφεύοντα. Ἐγὼ δὲ καὶ τούτων ὀξέως ἀκούω, καὶ τῆς παλαιᾶς παροιμίας, *Οἰκοθεν*

[28] Isa. I, 3. [29] Act. II, 10. [30] I Cor. I, 16.

Variæ lectiones et notæ.

(16) Cod. Bonon, τερατουργῶν. Quare vertit Mingarellius, *ut appareat, quanta essent frugalitate, vel dum prodigia parabant.*

(17) Cod. Bon. pro κεραμίου habet κεραμωές, unde Mingarellius hic vertit *ejusdem etiam figuli.* Lectio nostri codicis mihi magis arridet, quod non intelligo ad quid *figulus* hic nominari possit : anne enim vinum calicis Domini fuerit alicujus *figuli?*

(18) ἀνώγεων.

Digitized by Google

ὁ μαρτυς, ἐπιβοώσης, καὶ τὴν λευκὴν διδούσης ἐμοί. Τί τοίνυν τοῖ; τοσούτοις, ἐρῶ δὲ καὶ τηλικούτοις, ἀντινομοθετοῦντες, οὐδὲν ἁμαρτάνειν οἴεσθε, καὶ παρὰ τὴν συνήθειαν τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ τελοῦντες, τὴν ὀφρὺν αἴρετε; καὶ δέον συνυπαχθῆναι, ὑμεῖς δὲ συναπάγειν βιάζεσθε, καὶ κατηγορεῖτε ἡμῶν, τῶν, εἰ θελήσαιμεν, κατηγορησόντων ἂν δικαιότερον. Ἡμεῖς μὲν γὰρ εὐλαβούμεθα τούτου γε ἕνεκα πράγματα παρέχειν ὑμῖν, καὶ προσερεθίζειν τὸ φιλότιμον καὶ φιλόνεικον· ὑμεῖς δὲ οὐ φειδομένων οἴδατε φείδεσθαι.

ι'. Ἐπεὶ ἄλλως γε καὶ τὴν ἐν τοῖς Σάββασι νηστείαν ὑμῶν, εἰ βουλοίμεθα πικρῶς ἐξετάζειν, δείξομεν οὔτε ἀποστολικαῖς, οὔτε Πατρικαῖς διδασκαλίαις ἀκόλουθον. Οἵ τε γὰρ ἀπόστολοι, τῶν τὴν Κυριακὴν ἡμέραν, ἢ τὸ Σάββατον νηστευόντων, ἑνὸς ὑπεξῃρημένου, καταψηφίζονται, λαϊκῶν μὲν ἀφορισμὸν, κληρικῶν δὲ καθαίρεσιν. Καὶ οὐ δήπου παρεγγράπτους τούτους τοὺς κανόνας κρινεῖς, οὓς ἡ ἕκτη σύνοδος ἐσεβάσατο. Ἦ δογματιζούσῃ μὲν παρῆσαν οἱ τοῦ ὑμετέρου Ἀγάθωνος τοποτηρηταί· κανονιζούσῃ δὲ, ὁ Ὀτρυναίων Βασίλειος οὕτω πολὺς, ὡς πάσης τῆς καθ' ὑμᾶς συνόδου τὸν τόπον πληροῦν. Ἀλλὰ καὶ οἱ ἐν Λαοδικείᾳ Πατέρες, οἷς καὶ αὐτοῖς ἡ ἕκτη πᾶσαν τιμὴν ἀποδέδωκεν, οὐ δεῖν εἶπον, ἐν Τεσσαρακοστῇ προσφέρειν ἄρτον, εἰ μὴ ἐν Σαββάτῳ καὶ Κυριακῇ· οὐκ ἂν τοῦτο νομοθετήσαντες, εἰ τὸ Σάββατον νηστείας ἡμέραν ἤδεσαν. Ὅτι δὲ τοῦθ' οὕτως ἔχει, καὶ οὐ παραστοχαζόμεθα, καὶ τὰ γενέθλια τῶν μαρτύρων, εἴτουν τὰς μνήμας, οὐκ ἐν τῇ Τεσσαρακοστῇ τελεῖσθαι νομοθετοῦσιν, ἀλλ' ἐν τοῖς Σαββάτοις καὶ ταῖς Κυριακαῖς· ἑορτῆς γάρ εἰσιν, οὐ κακώσεως, ἣν ἡμῖν ἡ νηστεία βούλεται· τί δὲ μαρτύρων μνήμης φαιδρότερον; Βούλει σοι καὶ βασιλικὸν (19) ἐπιδείξω ψήφισμα; Βασίλειος ἐκεῖνος, οὗ τὸ ἐν λόγῳ καὶ Πνεύματι κράτος, πᾶσαν ἐπέσχε τὴν γῆν, ἐν οἷς Περὶ νηστείας ὡμίλησε τῇ δι' αὐτὸν καλῇ καὶ μεγάλῃ Ἐκκλησίᾳ τῶν Καισαρέων, πενθήμερον τὴν νηστείαν ἀπαριθμούμενος, τὴν καθ' ὑμᾶς ἑξαήμερον παρεμβόλιμον ἀποδείκνυσιν. Ὥστε καὶ πρὸς ὑμᾶς, εὐστόχως ἂν τις τοῖς τοῦ Ἡσαΐου χρήσαιτο· *Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, λέγει Κύριος.*

A inclamans, mihique album calculum tribuens. Quomodo igitur vos, dum tam multis, dicam etiam, tam magnis contrarium statuitis, nihil vos peccare existimatis, et præter Ecclesiarum consuetudinem facientes supercilium attollitis, et cum oporteret **521** vos cedere, nos vobiscum abducere conamini; nosque incusatis, qui, si hæc nobis esset voluntas, potiori jure vos accusare possemus? Sed nos quidem refugimus molestiam vobis hac de causa creare, vestramque ambitionem lacessere: at vos neque parcentibus parcere nostis.

B 10. Alias enim, si vestrum quoque Sabbaticum jejunium severius discutere nobis lubitum esset, ostendere utique possemus, illud nec apostolorum, neque Patrum doctrinæ consentaneum esse. Nam et apostoli contra eos qui Dominicam, vel Sabbatum, (uno excepto) jejunaverint, si laici quidem sunt, excommunicationem, si vero clerici depositionem decernunt. Neque vero supposititios hosce canones recte judicabis, quos sexta synodus venerata est; cui quidem dogmata condenti interfuerunt Agathonis vestri legati; canones autem sancienti adfuit incitator episcopus Basilius tantæ auctoritatis, ut integræ vestræ synodi locum impleret. Verum et concilii Laodiceni Patres, quibus etiam sexta synodus honorem detulit omnem, non oportere sanxerunt in Quadragesima offerre panem, præterquam in Sabbato, et Dominica: quod sane non præscripsissent, si Sabbatum tanquam jejunii diem agnovissent. Quod vero ita sese res habeat, et nos non male conjectemur, argumento est, quod etiam natalitia martyrum, sive memorias in Quadragesima celebranda non esse, sanxerunt, præterquam in Sabbatis et Dominicis: ea enim festivitatis, seu lætitiæ sunt, non afflictionis, quam a nobis exigit jejunii dies: quid vero martyrum memoria lætius? At vero vis etiam, ut regium tibi suffragium proferam. Basilius ille, cujus in verbo, et Spiritu virtus omnem obtinuit terram, in suis De jejunio sermonibus ad Cæsariensem nobilem magnamque propter ipsum Ecclesiam, quinario dierum numero jejunium in hebdomada definiens, senarium vestrum numerum illegitime insertum esse demonstrat. Quare in vos quispiam illud Isaiæ usurpare posset[21]: *Jejunium istud ego non elegi, dicit Dominus.*

C

ια'. Ἃ μὲν οὖν ἔδει πρὸς τοὺς Δυτικοὺς εἰπεῖν τὸν ἀληθῆ καὶ μαθητὴν, καὶ διδάσκαλον, περί τε τῶν ἀζύμων καὶ τῆς ἐν Σαββάτῳ νηστείας, κατὰ τὴν δύναμιν ἡμῖν εἴρηται. Ἀξιώσειε δ' ἂν τις λόγου καὶ τὸ περὶ τοὺς γάμους αὐτοῖς, ὡς δοκεῖ, πλημμελούμενον. Ἐμοὶ δὲ οὐ σχολὴ τὴν καμάρινναν κινεῖν, τά τε ἄλλα, καὶ ὅτι παρ' ἐκείνων ἡμῖν ὁ γάμος τῶν ἱερωμένων ἐγκαλεῖται, καὶ οὐ μόνος οὗτος, ἀλλ', ὥς φασι, καὶ ἄλλα δυσεξαρίθμητα. Τοιοῦτον γὰρ ἡ φιλονεικία, περὶ τὰ ὄντα τυφλὸν, περὶ τὰ μὴ ὄντα

D 11. Jam vero, quæ ad Occidentales a veritatis et discipulo et magistro, cum de azymo, tum de jejunio Sabbati dicenda sunt, jam pro virili mea satis exposui. Operæ vero pretium quispiam putabit esse, ut de eo etiam, quod circa connubia ii peccare videntur, sermo habeatur. Verum mihi minime lubet, camerinam hanc movere, cum aliis de causis tum quod ab illis sacerdotum nostrorum connubia reprehenduntur; et quidem non ea solum, sed et alia quæ, ut inquiunt, haud facile numerari

[21] Isa. LVIII, 5.

Variæ lectiones et notæ.

(19) Alludit ad nomen *Basilii*, quod Græce idem est ac *regius*.

Digitized by Google

possunt. Sic enim se habet ambitiosus vincendi amor : circa ea quæ sunt (seu recte facta) cæcus est ; circa quæ non **522** sunt, (seu defectus,) linceus. Quando igitur hos defendendos suscipiemus a criminibus quæ nobis objiciuntur, tunc etiam de connubiis disserere opportunum erit, et inquirere an illi, vel nos circa illa peccemus, vel utrique recte agamus, juxta diversum scopum quem nobis præfigimus. Reliquum vero est, ut moneamus populares nostros, qui *zelum quidem habent, sed non secundum scientiam* [32], et eos qui, quod gravius est, ex cæco sui amore Christi corpus dilacerant. Et primo quidem ad simpliciores verba faciemus.

12. Non omnia ab omnibus sunt exigenda, o fratres ; quemadmodum neque omnia omnibus condonanda : at si quæ sint, quibus non constitutis, magnum in rebus capitalibus infertur detrimentum, his manibus pedibusque, ut dicitur, insistendum, ac tanquam quoddam vectigal inexorabiliter exigenda, scientes ex horum pensitatione haud modicam rebus afferendam esse utilitatem. Quorum vero nec multum nocet absentia, et si violentius procurentur, damna imminent majora ; ea relinquere uti se habent, hominis est judicio pollentis, et negotiationis callentis leges, quibus præscribitur magnis parva, non minimis maxima commutare. Idem a medicis in corporum curatione observari video. Ii enim, cum cerebrum, aut cor, vel jecur male affecta sunt, omnem adhibent diligentiam cum in victus qualitate, tum in usu medicamentorum, aliquando etiam, arte non proficiente, ad naturales antipathias confugiunt, et incantamenta quoque submurmurant : quin et collectionem aliquam multi generis materiarum patienti applicant, et non magis ab ipso illa pendere faciunt, quam ipsi ab eorum adjumento pendeant. Et quamquam videant aliquod ex minus principalibus membris ejusmodi curatione lædi, parvi vel nihili id faciunt, licet alias quam maxime cuperent, et illam corporis partem optime se habere : at, si utrumque obtinere non possunt, minus malum eligunt præ majore. Eamdem quoque methodum in præcipuis ignobiliorum membrorum infirmitatibus servant. Nam si aliquo illorum ægrotante, ex illius curatione quodpiam ex nobilioribus damno affici perspexerint, confestim ab eo curando desistunt. Hoc item in pulcherrimo Ecclesiæ corpore ab iis qui illius curam habent, servandum. Si enim fides ac dogmata læsa fuerint, dignum censeo, ut omnem ad horum curationem impendant studium et verbis et factis morbi causas impugnando. Postquam vero propria medicamenta adhibuerint, imo antequam ea adhibeant, veram e cœlo deposcant antipathiam, et incantationem, quæ omnia potest, admurmurent Jesu Christi nomen, qui *portavit infirmitates nostras, morbos nostros tulit, et languorem omnem sanavit* [33], qui **523** est Verbum Dei,

[32] Rom. x, 2. [33] Isa. LIII, 4.

A ἐξυδερκές· τὸ μὲν κατορθώματα, τὸ δὲ, ἐλαττώματα. Ὅτε τοίνυν ἀπολογεῖσθαι τούτοις καιρὸς πρὸς τὰ καθ' ἡμῶν ἐγκλήματα, τότε καὶ περὶ τοῦ γάμου λέγειν καιρὸς, εἶτ' ἐκείνοις εἶθ' ἡμῖν ἁμαρτάνεται, εἴτε καὶ ἀμφοτέροις ἔχει καλῶς πρὸς τὸν σκοπὸν ὃν ἕ καστοι τοῦ πράγματος προϊστάνομεν. Λοιπὸν δὲ νουθετῆσαι καὶ τοὺς πολλοὺς τῶν ἡμετέρων, ὅσοι *ζῆλον μὲν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν*, καὶ ὅσοι, τὸ δεινότερον, ὑπὸ φιλαυτίας τὸ Χριστοῦ σῶμα σπαράττουσι. Καὶ πρότερόν γε, πρὸς τοὺς ἁπλουστέρους τὸν λόγον ποιήσομαι.

ιβ'. Οὐ πάντα πάντας ἀπαιτητέον, ἀδελφοι, ὥσπερ οὐδὲ πᾶσι πάντα συγχωρητέον· ἀλλ' ὅσα μὲν μὴ B καταβαλλόμενα φέρει τὴν ζημίαν ἐπὶ τὰ καίρια, τούτων ἀνθεκτέον καὶ χερσὶ καὶ ποσίν, ὃ λέγεται, καὶ ὥς τινα φόρον εἰσπρακτέον ἀπαραιτήτως, εἰδότας τὴν τούτου συντέλειαν οὐ μικρὰν εἰσφέρουσαν τοῖς πράγμασι λυσιτέλειαν. Ὅσα δὲ μήτε τῇ ἀποστερήσει ζημιοῖ μεγάλα, κἂν προσβιασθεῖεν ὥστε κερδανθῆναι ζημιώσει τὰ μέγιστα, ταῦτα καταλείπειν ἔχειν ὡς ἔχει, ἀνδρὸς κριτικοῦ, καὶ τοὺς τῆς πραγματείας εἰδότος νόμους, μεγάλων ἀλλατωμένους [*f.* ἀλλαττομ.] μικρὰ, ἀλλὰ μὴ τῶν ἐλαχίστων τὰ μέγιστα. Οὕτω κἂν ταῖς τῶν σωμάτων θεραπείαις, ὁρῶ τοὺς ἰατροὺς κρίνοντας· ἐγκεφάλου μὲν, ἢ καρδίας, ἢ ἥπατος πασχόντων, πᾶσαν εἰσφέροντας ἐπιμέλειαν ἔν τε διαίτης τρόποις καὶ φαρμακείαις· ἔστι δ' ὅτε, τοῦ τῆς τέχνης λόγου μηδὲν C ἀνύοντος, ἐπὶ ἀντιπαθείας φυσικὰς μεταβαίνοντας, καὶ ἐπῳδὰς ὑποβαρβαρίζοντας, καί τινα συρφετὸν πολυειδῶν ὑλῶν τῷ κακῶς ἔχοντι προτάπτοντας [*f.* περιάπτ.], καὶ οὐ μᾶλλον ἐκείνου ταῦτ' ἐξαρτῶντας, ἢ αὐτοὺς τῆς τούτων βοηθείας ἐξαρτωμένους. Κἄν τι τῶν ἀκυρωτέρων ὁρῶσιν ἐκ τῆς τοιαύτης ἐπιμελείας βλαπτόμενον, σμικρὰ τούτου, ἢ οὐδ' ὅλως φροντίζοντας· καὶ μάλιστα μὲν εὐχομένους κἀκεῖνο τὸ μέρος τοῦ σώματος ἀμέμπτως ἔχειν καὶ ὑγιῶς· εἰ δ' ἀμφότερα μὴ ἐνδέχεται, τὸ μεῖον κακὸν προαιρουμένους τοῦ μείζονος· κἀν ταῖς πρωτοπαθείαις δὲ τῶν ἀκυρωτέρων, τὴν αὐτὴν κρίσιν φυλάττοντας. Καὶ γάρ τινας τούτων νενοσηκότας, ἐπ ιδ' ἂν τὴν θεραπείαν ποιούμενοι κατασκέ- D ψωνταί τι τῶν κυριωτέρων ἐνταῦθα κακοπραγοῦν, τοῦ θεραπεύειν ἀφίστανται. Ταὐτὸ τοῦτο καὶ ἐπὶ τοῦ καλοῦ τῆς Ἐκκλησίας σώματος τηρητέον τοῖς τούτου θεραπευταῖς. Οὓς τῆς πίστεως μὲν κακῶς πασχούσης καὶ τῶν δογμάτων, ἀξιῶ πᾶσαν εἰσφέρειν πρὸς τὴν θεραπείαν σπουδὴν, καὶ λόγοις καὶ ἔργοις πρὸς τὰς νοσοποιοὺς αἰτίας ἐνισταμένους, καὶ μετὰ τοῦ τὰ οἰκεῖα εἰσφέρειν, μᾶλλον δὲ καὶ πρὸ τούτου τὴν ἄνωθεν ἐξαιτεῖσθαι τὴν ἀληθινὴν ἀντιπάθειαν, καὶ τὴν πάντα ἰσχύουσαν ἐπῳδὴν ἐπιλέγειν τὸ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ὄνομα, ὃς *τὰς ἀσθενείας ἡμῶν ἦρε, καὶ τὰς νόσους ἐβάστασε, καὶ πᾶσαν μαλακίαν ἰάσατο*· ὅς ἐστι Λόγος τοῦ Θεοῦ καὶ σο-

Digitized by Google

φία, καὶ δύναμις, καὶ χεὶρ δεξιὰ καὶ βραχίων, καὶ ὅσα ἄλλα θείας ἐπιστήμης καὶ ἰσχύος ὀνόματα. Τῆς δὲ τοιαύτης θεραπείας μὴ εὐοδουμένης διὰ τὸ τῆς νόσου δυστράπελον καὶ κακόηθες, ἃς ὁ Παῦλος γαγγραίνας καλεῖ, ἐνταῦθα παραληπτέον τὸν τῆς ἀκοινωνησίας, ἢ τοῦ ἀναθέματος σίδηρον, ἢ τὴν καῦσιν, ἢ τὴν τομὴν ἐνεργήσοντα, ἵνα μὴ *νομὴν* ὁ πονηρὸς λόγος ἕξει, καὶ τῶν τέως ὑγιῶν ἐπιλάβηται. Οὕτως ὁ τεχνίτης ἐκεῖνος ἰατρὸς τὰς κατ' αὐτὸν γαγγραίνας ἐχειρίσατο, τοὺς μὲν *παραδοὺς τῷ Σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν*, τοὺς δὲ παρὰ τὴν αὐτοῦ διδασκαλίαν *εὐαγγελιζομένους*, ὑποβαλὼν *ἀναθέματι*, κἂν τῶν δοκούντων ὦσι, κἂν ἀξιωματικώτερον ἔχωσι. Τοῦτο γὰρ αὐτὸ βούλεται ὁ *ἄγγελος* τῷ λόγῳ ἐπεισαγόμενος.

et sapientia, et virtus, et manus dextera, et brachium, et quæcunque alia divinæ scientiæ et fortitudinis nomina. Quod si hujusmodi curatio haud feliciter procedat propter morbi contumaciam et malignitatem (quæ Paulus gangrænas vocat [34]), tunc arripiendum separationis, vel anathematis ferrum, quod vel exustionem, vel præcisionem efficiat, ne *pabulum* error habeat, et membra, quæ hactenus sana fuere, corripiat. Hoc modo sagax ille medicus sui temporis gangrænas tractavit, quosdam quidem *tradens Satanæ, ut discerent non blasphemare* [35]; alios vero, qui contra ipsius doctrinam *evangelizabant*, subjiciens *anathemati* [36], tametsi personæ spectabiles ac in dignitate constitutæ forent. Hoc enim significatur per *angelum* ab eo in sermonem inductum.

ιγ'. Καὶ τοῖς Δυτικοῖς τοίνυν, εἴ τι μὲν περὶ τὸ δόγμα διαμαρτάνεται, τὴν Πατρικὴν πίστιν σαλεῦον, οἷον δὴ τὸ ἐν τῷ Συμβόλῳ περὶ τοῦ ἁγίου Πνεύματος προστιθέμενον, ἔνθα καὶ ὁ κίνδυνος μέγιστος, τοῦτο μὴ διορθώσεως ἀξιούμενον, ὁ συγχωρῶν ἀσυγχώρητος, κἂν ἀπὸ τοῦ θρόνου τοὺς λόγους ποιῶνται, ὃν ὑψηλὸν ὑψηλοὶ προτιθέασι (20), κἂν τὴν τοῦ Πέτρου ὁμολογίαν προβάλλωνται, κἂν τὸν ἐπ' ἐκείνῃ μακαρισμὸν ἐπιφέρωσι, κἂν τὰς κλεῖς τῆς βασιλείας ἡμῖν ἐπισείωσιν· οἷς ὅσῳ τιμᾶν ἐκεῖνον δοκοῦσι, τοσοῦτον ἑαυτοὺς ἀτιμάζουσι, ἃ ἐκεῖνος ᾔδρασεν, αὐτοὶ καταλύοντες, καὶ τοὺς θεμελίους ὑποσπῶντες τῆς Ἐκκλησίας, ἣν ἐκεῖνος ἀνέχειν πιστεύεται. Ἐνταῦθά μοι μαχητής, ὁ τἆλλα πραΰς, περίζωσαι τὴν τοῦ Πνεύματος μάχαιραν, χρῆσαι τῷ ῥήματι τοῦ Θεοῦ, τῷ μερίζοντι σάρκα καὶ *πνεῦμα*, τῦφον κοσμικὸν, καὶ θεῖα μυστήρια, καὶ κριτικῷ τῶν ἀνθρωπίνων καὶ σφαλερῶν ἐνθυμήσεων· ἀποκέντησον ὡς Λευΐτης καὶ Θεοῦ λειτουργὸς τοὺς μαχοποιοῦντας (21) τὰ τῶν οἰκείων λογισμῶν ἀναπλάσματα, καὶ προτιθέντας τὴν κεφαλὴν εἰς προσκύνησιν καὶ πάντας ὑποπίπτειν ἀξοῦντας τῷ τῆς ἀρχῆς ἀξιώματι.

13. Igitur Occidentalibus, si quidem circa aliquod dogma errent, quod Patrum fidem lædat, cujusmodi est additamentum illud in Symbolo, ubi et periculum est maximum, qui hoc minime correctum condonat, ipse venia est indignus, etiamsi ex throno, quem sublimem sublimes cæteris præponunt, verba faciant; etiamsi Petri confessionem proferant; quamvis claves regni cœlorum nobis quatiant: quibus quanto honoraro ipsum putant, tanto se dehonorant, cum, quæ ille constituit, ipsi dissolvant et fundamenta subruant Ecclesiæ quæ illi sustinenda concreditur (22). Hac in re, si quis es pugnator alias mitis, succingere gladium spiritus, utere verbo Dei, quod dividit carnem et *spiritum*, tumorem mundanum et divina mysteria, ac damnat fallaces hominum cogitationes: punge et feri sicut Levita et Dei minister, eos, qui pro cogitationum suarum figmentis bellum gerunt et caput adorationi proponunt, et omnes succumbere volunt imperii sui auctoritati.

ιδ'. Ἂν δὲ τοῦ δόγματος αὐτοῖς εὐθετηθέντος, καὶ τῆς καινοτομίας ὑπεκστάσης τοῖς πρεσβυτέροις, τὰ περὶ τῶν ἀζύμων καὶ τῶν νηστειῶν ἐγκόλπια στέργηται, καὶ ἀποπηδῶσιν ἡμῶν αἰτούντων ἐν τῷ τῆς πραότητος Πνεύματι τὸ καὶ ἐν τούτοις ὁμόγνωμον· γενοῦ *Παῦλος* ἐν τούτῳ τοῖς *ὑπὸ νόμον*, *ὡς ὑπὸ νόμον γαινόμενος, καὶ τοῖς εὐχὴν ἔχουσι συναγνιζόμενος καὶ ξυρόμενος*, καὶ πρὸς τὰς θυσίας τοῦ ἁγνισμοῦ *δαπανώμενος*, καὶ *περιτέμνων Τιμόθεον*, ὁ *τὴν ἐν νόμῳ δικαιοσύνην ἡγησάμενος σκύβαλα*· ὁ Γαλάταις *περιτεμνομένοις*, *ἄχρηστον* ὑποδεικνὺς τὸν Χριστὸν, καὶ τὸ τῆς εἰς τοῦτον

14. Si vero eo dogmate recte constituto, ac novitate sublata, presbyteri eorum azyma et jejunia sua impensius adament ac recusent, tametsi nos in mansuetudine Spiritus postulemus, in istis quoque nobiscum concordes fieri; in hoc tu esto [37], *Paulus, qui iis, qui sub lege erant, quasi sub lege esset, factus est, et cum votum habentibus se purificavit, et rasit*, et pro sacrificiis purificationis *impendit*, seu sumptus fecit, et *Timotheum circumcidit* (tametsi ipse *justitiam, quæ ex lege est*, arbitraretur, *ut stercora* [38]): qui Galatis enuntiavit Christum, si *circumciderentur, nihil profuturum* [39]. Ut quid

[34] Tim. I, 17. [35] Tim. I, 10. [36] Galat. I, 18. [37] I Cor. IX, 24; Act. XXI, 23, 24. [38] Act. XVI, 3; Philipp. III, 6, 8. [39] Galat. V, 2.

Variæ lectiones et notæ.

(20) Cod. Bon., προστιθέασι. Textus a Chomateno aliatus cum nostro apographo omnimode consentit.

(21) Cod. Bonon. pro μαχοποιοῦντας habet μοσχοποιοῦντας: unde Mingarellius vertit, *qui e propriarum cogitationum figmentis quasi vitulum conflant*. Quæ si vera lectio est, ut est sane probabilis, allusio fit ad *vitulum* ab Hebræis in deserto conflatum.

(22) Verti etiam potest *quam ille creditur sustinere*, ut vertit Mingarellius; qui etiam adnotat, *his verbis Romani pontificis primatum aperte indicari*. Idem ante ipsum adnotaverat cl. auctor Dissert. præviæ in hanc editionem, n. 98.

Digitized by Google

vero lucraretur hac arte? Nempe innumeros illos fideles Ecclesiæ Hierosolymitanæ, atque **524** procellam contra Evangelii prædicationem apparentis dissensionis causa excitatam sedaret. Sic etiam navium gubernatores faciunt : laxare enim solent funes, ut vela naufragium minantia evacuent, et simul cum navi salvum fiat ejus onus. Simile quid ars gubernatoria tua a te postulat, ut nempe non omnia urgeas, et præsertim, cum nimius flat ventus arrogantiæ et ethnicæ existimationis. Præstat hoc in casu remittere et laxare prudenter, et navigationem facere tarditate incolumem potius quam festinationem lethalem; et navim cursus imminutione servare potius, quam ejus immoditate naufragium facere. Sane enim pulcherrimum quidem foret fidelium corpus, si præter integritatem membrorum, haberet etiam in capillis, et unguibus venustatem, tanquam corpus *filiæ Regis*, ac *sponsæ Christi, speciosi præ filiis hominum* [40], et completi et perfecti, ac similem sibi adjungere expetentis. Attamen pulchrum etiam est, si nullum membrum ei desit, ac præsertim oculi (quibus Trinitatis solem intuemur, et per eum etiam alia, quibus ad confirmationem Spiritus indigemus), etiamsi capilli et ungues reliquæ pulchritudini non respondeant; sed ii quidem paulo nigriores sint, et non similes capillis regis *David*. qui *rufus erat et pulcher aspectu* [41]; neque sicut capilli *fratris sponsæ*, qui erat *candidus et rubicundus* [42] : isti vero, seu ungues vel nimium prominentes, vel justo breviores sint : unde parvæ festucæ vel nullo modo, vel minus commode capi possint. Tu non propter ista reliquum despicies corpus; sed potius neque respicies ista, voluptatem ex aliis capiens, et in illorum pulchritudinem ita defixos tenens oculos, ut neque nictent aliorsum. Sic et magis fervebis Spiritu, et Domino famulaberis velut *servus bonus et fidelis* [43], si Dominicæ domus curam habueris : habebis autem curam, si non patieris eam detrimentum pati : detrimentum autem ea patietur, si parum plena fuerit : parum vero plena est, dum nos conservos persequimur : persequimur autem, cum erga illos obdurescimus : obdurescimus vero, cum non indulgemus. Indulgeamus igitur, neve simus duri : si non duri erimus, fratres *suscipiemus* [44] : suscipientes autem Domini domum replebimus : replentes vero, eam ditiorem faciemus : ditantes autem, benevolentiam nostram de-

A πίστεως ὄνομα ἵνα τι κερδάνῃ, τεχνώμενος ἐκείνας τὰς μυριάδας τῆς ἐν Ἱερουσαλὴμ Ἐκκλησίας, καὶ στήσῃ τὸν τοῦ κηρύγματος (23) σάλον, διὰ τῆς δοκούσης διαφωνίας ἐπεγειρόμενον. Οὕτω καὶ κυβερνῆται ποιῶσιν [*f.* ποιοῦσιν], ἐνδιδόντες τὸν πόδα, ἵνα τὸ ἱστίον βάπτον ἀποκενώσωσι, καὶ συνδιασωθῇ τῇ νηΐ τὸ πλήρωμα. Τοῦτο καὶ αὐτὸς ἀπαιτεῖτο παρὰ τῆς σῆς κυβερνητικῆς, μὴ πάντα ἐντείνειν καὶ μάλιστα ὅπου περιττὸν τὸ πνεῦμα τοῦ τύφου, καὶ τῆς ἐθνικῆς οἰήσεως· ἀλλὰ χαλᾷν ἐπιστημόνως, καὶ ποιεῖσθαι τὸν πλοῦν μετὰ τῆς βραδυτῆτος βιώσιμον, ἢ μετὰ τῆς ταχυτῆτος θανάσιμον· καὶ πλοῦν φυλάττειν διὰ τῆς ὑφέσεως, ἢ διὰ τοῦ ἀπαχωρήτου [*f.* ἀπαραχ.] τιθέναι ναυάγιον. Κάλλιστον μὲν γὰρ εἰ τὸ σῶμα τῶν πιστῶν, μετὰ τοῦ ἀρτιμελὲς εἶναι, καὶ
B τῶν τριχῶν εὖ ἔχοι καὶ τῶν ὀνύχων, ὡς σῶμα *θυγατρὸς βασιλέως, νύμφης Χριστοῦ, τοῦ ὡραίου κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων*, καὶ πλήρους, καὶ ἐντελείου [*f.* -λοῦς], καὶ ἡδέως ἁρμοζομένου τὸν ὅμοιον· καλὸν δὲ καὶ εἰ μηδενὸς μὲν λείποιτο μέλους, καὶ μάλιστα ὀφθαλμῶν (οἷς ὁρῶμεν τῆς Τριάδος τὸν ἥλιον, καὶ διὰ τούτου καὶ τἄλλα ὧν πρὸς σύστασιν τοῦ Πνεύματος χρῄζομεν)· αἱ τρίχες δὲ αὐτῷ καὶ οἱ ὄνυχες, οὐ κατὰ τὸ λοιπὸν κάλλος· ἀλλ' αἱ μὲν, βραχύ τι μελάντεραι, καὶ οὐ κατὰ τὰς τοῦ βασιλέως Δαβὶδ (ὃς ἦν *πυῤῥάκης μετὰ κάλλους ὀφθαλμῶν*), εἴτουν τὰς *τοῦ ἀδελφοῦ τῆς νύμφης τοῦ λευκοῦ καὶ πυροῦ* [*f.* πυῤῥοῦ]· οἱ ὄνυχες δὲ ἢ ὑπερέχοντες, ἢ ἐλλείC πόντες, ὡς ἐντεῦθεν αὐτοῖς τὰ μικρὰ κάρφη, ἢ μηδόλως, ἢ ἀδεξίως περιλαμβάνεσθαι. Οὔκουν διὰ ταῦτα καταφρονήσεις τοῦ λοιποῦ σώματος· ἀλλὰ τοὐναντίον οὐδὲ ὄψει ταῦτα, τοῖς ἄλλοις ἐντρυφῶν καὶ πρὸς τὸ ἐκείνων κάλλος πεπατταλευμένος τοὺς ὀφθαλμούς, ὡς μηδὲ νεύειν ἑτέρωσε. Οὕτως ἂν μᾶλλον καὶ ζέοις τῷ Πνεύματι, καὶ τῷ Κυρίῳ δουλεύοις *δουλείαν ἀγαθοῦ καὶ πιστοῦ*, εἰ τοῦ Δεσποτικοῦ οἴκου φαίνῃ κηδόμενος· κήδοιο δ' ἄν, εἰ μὴ ἀνέχῃ ζημιουμένου· ζημιοῦται δὲ, ὅταν ὀλίγον ἔχῃ τὸ πλήρωμα· ἔχει δ' ὀλίγον, ὅτε τοὺς συνδούλους διώκομεν· διώκομεν δὲ, ὅτε πρὸς αὐτοὺς σκληρυνόμεθα· σκληρυνόμεθα δὲ, ὅτε μὴ συγκαταβαίνομεν. Συγκαταβῶμεν οὖν, μὴ φανῶμεν σκληροί· μὴ σκληρυνόμενοι γὰρ, *προσληψόμεθα*· προσD λαμβάνοντες δὲ τὸν τοῦ Κυρίου οἶκον πληρώσομεν· πληροῦντες δὲ, πλουσιώτερον ἐργαζόμεθα· πλουτίζοντες δὲ, τὴν εὐνοιαν δείξομεν· ἐκ δὲ τῆς [*f.* ταύτης], *ἀγαθοὶ δοῦλοι* μαρτυρησόμεθα, *καὶ πιστοί*· ἐκ δὲ

[40] Psal. XLIV, 3. [41] I Reg. XVII, 42. [42] Cant. V, 10. [43] Matth. XXV, 21. [44] Rom. XV, 7.

Variæ lectiones et notæ.

(23) Cod. Bonon. pro κηρύγματος mendose habet κηρύματος. Doctissimus Mingarellius facile vidit legendum esse κηρύγματος, ut habet codex noster : sed neque hanc lectionem sibi satisfacere subdit. Cur ita vero, non pandit. Ipse non video quid eam impetere possit : nam sensus, ut ego quidem verti, recte procedere videtur. Cum enim *Hierosolymis millia essent in Judæis, qui credidissent*, ut inquit Jacobus ad Paulum (Act. 21, 22) *et omnes æmulatores essent legis*, ipsi tumultum ciebant contra prædicationem Pauli, quoniam de illo audierant, *quod discessionem doceret a Moyse eorum, qui per gentes erant, Judæorum.* Ad eum tumultum sedandum Jacobus suasit Paulo ut *cum votum habentibus purificaretur* : quod et Paulus fecit. Cæterum Mingarellius, voce illa abjecta, ita vertit, *tumultumque ob dissensionem, quæ in speciem erat, excitatum compesceret.*

Digitized by Google

τούτου, εἰς τὴν χαρὰν τοῦ Κυρίου εἰσαχθησόμεθα. Ὅρᾳς ποῖ φέρουσα ἡμᾶς ἡ συγκατάβασις ὕψωσεν;

ιε'. Οὐ τοίνυν, οὔτε περὶ τῶν ἀζύμων, οὔτε περὶ τῶν νηστειῶν ἀντισκληρυνθησόμεθα τῷ ἀκαμπεῖ τοῦ ἔθνους φρονήματι. Τοῦτο γὰρ ἐστιν ὀστράκῳ συγκολλᾶν ὄστρακον, μηδὲν εἶδους ὑγροτέρου παρεντιθέντας· ὅπερ ἐγένετ' ἂν ἴσως ἐχέκολλον. Οὐδὲ πολλοῦ δεῖ περὶ τῶν ἀπηριθμημένων λοιπῶν, ἅπερ ὁμολογοῦντες καὶ αὐτοὶ τηρεῖν, ἐκτὸς τῆς *πνικτοφαγίας* (ταύτης γὰρ οὐδὲ τοὔνομα τοῖς Λατίνοις σώφροσιν ἀνεκτὸν, ὥσπερ οὐδὲ παρ' ἡμῖν τὸ τῆς ληστείας, ἢ πορνείας· κἂν εἰ θηριώδεις, καὶ κτηνώδεις, ταῦτα ἐπιτηδεύωσι), δοκοῦσι πολλοῖς ἀσύγγνωστα σφάλλεσθαι. Ὧν μὴ συντίθεσθαι τοῖς λόγοις, ἀνδρός ἐστιν, ὡς οἶμαι, ταῖς ἐκκλησιαστικαῖς ἱστορίαις ἐγγυμνασθέντος, καὶ μαθόντος, ὡς οὐ πᾶν *ἔθος* ἀποσχίζειν Ἐκκλησίας ἰσχύει, ἀλλὰ τὸ πρὸς διαφορὰν ἄγον δόγματος. *Ἔθη* δὲ πάντως καὶ ταῦτα τὰ παρὰ τοῖς θαυμαστοῖς κριταῖς σφάλματα· τὰ μὲν, ἐξ εὐλαβείας, ὡς τὸ προσάγειν τοὺς ἀσπασμοὺς τοῖς θείοις ἐδάφεσι (μὴ γὰρ δὴ παραδεξόμεθα (24) τὴν σατανικὴν ἐκείνην συκοφαντίαν, ὡς ἄρα Λατίνοις οὐ παραδεκτέα ἡ τῶν εἰκόνων προσκύνησις)· τὰ δὲ ἐξ οἰκονομίας οἰκοδομούσης ἀσθένειαν, τάχα μὲν καὶ ψυχῆς, πάντως δὲ τὴν σωματικὴν, ὡς τὸ τοὺς πρώτους ἐν ταῖς νόσοις μεταλαμβάνειν κρεῶν, καὶ τοῦτο κεκολασμένως καὶ τῷ ὄντι πνευματικῶς. Εἰ δέ τινες αὐτὸ χυδαιοῦσι ταῖς ἀδιαφορίαις, ἕτερος οὗτος λόγος (25), οὐ πρὸς τοὺς πρώτους τοῦτο κατὰ λόγον οἰκονομήσαντας, καὶ ἄλλα κατ' ἄλλους τινὰς λόγους ἐμπαγέντας (26) ταῖς Δυτικαῖς Ἐκκλησίαις· ὧν οὐδὲν διασπᾷν ἡμᾶς δύναται, οὐκ ἦν γε τοὺς κρίνοντας ἔχῃ, τὴν ψῆφον φέροντας (27) πατρικοῖς νόμοις ἀκόλουθον.

ις'. Καὶ εἴ γε μὴ μακρός μοι ὁ λόγος ἐμέλλεν ἔσεσθαι, καὶ ἱστορίας ἐγγὺς, ἔδειξα ἄν σοι μυρία ἐπὶ μυρίοις *ἔθη* τοῖς παλαιοῖς Πατράσι παραχωρηθέντα πρὸς τὴν τῶν ἀδελφικῶν ψυχῶν *περιποίησιν*. Ἤδεσαν γὰρ ἐκεῖνοι *μὴ ἑαυτοῖς ἀρέσκειν, ἀλλ' ἕκαστος τῷ πλησίον εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν*. Ἀλλὰ νῦν (φεῦ τοῦ ὑδερικοῦ ἡμῶν ὄγκου), *Καὶ τίς ἐστί μου πλησίον;* λέγομεν, καὶ μυρίους καταβάλλομεν ἱσταμένους, ἵνα τὸ οἰκεῖον στήσωμεν (28) θέλημα (ὃ οὐχ ὅπως ἵστασθαι, ἀλλὰ καὶ καταχωννύεσθαι ἄξιον)· καὶ πάντα μεταστοιχειοῦμεν καὶ μετατάττομεν, ἵνα τὸ ἀνούσιον οὐσιώσωμεν, καὶ μορφώσωμεν τὸ ἀμόρφωτον· κἂν τι ῥῆμα προέσθαι φθάσωμεν, καὶ εἰ τῶν γελοίων φαίνοιτο γελοιότερον, Θεοῦ φωνὴν ἀποδεῖξαι τοῦτο σπουδάζομεν, ἀξίαν ἀκοῆς Μωσέως τυχὸν καὶ Ἀαρὼν (ταπεινὸν γὰρ

monstrabimus : ex hac *servi boni et fideles* declarabimur : et hinc in gaudium Domini introducemur. Vides, quousque indulgentia nos sublimaverit?

525 15. Non igitur neque propter azyma, neque propter jejunia durius nos habebimus erga inflexibile gentis hujus genium. Hoc enim esset testam testæ copulare velle, nulla adhibita molliore materia quæ agglutinandi fortasse vim habuisset. Multo vero minus propter reliqua supra enumerata, quæ se ipsi fatentes servare (excepto *suffocatorum* esu ; hujus enim ne nomen quidem bene moratis Latinis ferendum videtur, sicut neque apud nos furti, aut fornicationis : quanquam hæc etiam homines quidam ferini ac brutales exerceant) multis irremissibiliter peccare videntur : quorum non astipulari sententiæ hominis, ut puto, est in ecclesiastica historia exercitati, quique exinde didicit, non omnem diversam *consuetudinem* ad Ecclesias scindendas validam esse ; sed tantum quæ diversum dogma inducit. Porro meræ *consuetudines* sunt etiam ista, quæ apud præclaros istos judices sunt errores. Quædam enim ex pietate, ut sacra pavimenta deosculari (neque enim satanicæ illi assentiemur calumniæ, quasi Latinis sacrarum imaginum veneratio non probetur) : alia vero ex provida dispositione ob imbecillitatem, fortasse quidem animæ, certe autem corporis ; ut quod ascetæ seu monachi ægrotantes vescantur carnibus, parce tamen, et vere religiose. Si vero id aliqui laxant ad vulgarem usum, alia res hæc est, quæ minime spectat ad priores illos, qui secundum rationem ista disposuerunt, sicut et alia ob alias rationes, quæ in Occidentalibus vigent Ecclesiis, et quorum nihil nos ab invicem divellere jure potest : neque sane divellent unquam, si judices habeant, qui patrum legibus consentaneum calculum ferant.

16. Et quidem, si sermo meus longior, ac pene historiæ similis evasurus non esset, ostendere utique possem, innumeros *consuetudines* a priscis Patribus ad fraternarum animarum *acquisitionem* toleratas. Noverant enim illi *non sibimet ipsis placere, sed unusquisque proximo suo in bonum ad ædificationem* [46]. At nunc (o hydropicum nostrum tumorem!) *Et quis est meus proximus* [47]? dicimus : et innumeros stantes dejicimus, ut nostram statuamus voluntatem (quam nullo modo stare, sed obrui, dignum est) et omnia transformamus et transmutamus, ut non exsistenti esse tribuamus, et forma donemus, quod informe est : et si quidem vel verbum a nobis proferatur, utut omnium perridiculum, vocem Dei esse contendimus, dignam quam Moses et Aaron attente audiant (parum enim

[46] Rom. xv, 1, 2. [47] Luc. x, 29.

Variæ lectiones et notæ.

(24) Sic etiam Chomatenus ; at cod. Bonon. habet. παραδεξώμεθα.
(25) Chomatenus hic addit πρὸς τούτους.
(26) Chomatenus, ἐμπαγέντα : quod mihi magis placet.
(27) Chomatenus ἐκφέροντας.
(28) Chomatenus συστήσωμεν.

Digitized by Google

ad dignitatem esset dicere, *Ithamar*, et *Eleazar*; et minus adhuc, si dicerem : *Gregales Israelitæ*, etsi triduo ante **526** *sanctificati*). Et non animadvertimus, nos dupliciter peccare, cum ob ea quæ initio male dicimus ; tum ob ea quæ postea prima propugnando superaddimus. *Perfectus* enim *ille* quidem *est, qui non offendit in verbo* [47], ut quidam dixit : sed laudandus etiam, qui postquam peccavit, peccatum deprehendit, cognoscit, ac ut horridum aspectu detestatur, tanquam scilicet monstrum quod in nocte partum, sed de die visum, horrori est, et procul abjicitur. Cur vero non imitamur Domini humilitatem, qui *non sibi* ipsi *placuit* [48], sed nobis homunciouibus, et ut inutilis alligatus est, ut nos sibi, et nobis mutuo colligaret in *vinculo pacis* : et sanguinem profudit, *ut filios Dei dispersos congregaret in unum*, et *unum fieret ovile* [49], ex omnibus ovibus eidem subjectis Pastori, et fugientibus plus quam lupos, carentiam gubernationis, quæ non minus quam illi, dilacerare valet ; imo ipsa illis ad gregis dilacerationem vires validiores submnistrat?

17. Quid Pharisæos deplorabiles effecit ? Nonne ambitio et prælationis amor, et *velle ab hominibus vocari Rabbi* [50] ? Nonne hoc ipsum etiam deicidas infelices illos reddidit ? Quis sit *fumus furoris Domini* [51], scire desidero : et Isaias mihi respondet, esse illud : *Noli me tangere*, a *superbis* iis prolatum quibus *Deus resistit* [52]. Ostendam vero ego tibi Pharisæum aliquem imitatione dignum, nempe Gamalielem, qui nihil pharisaicum contra apostolos protulit, sed e contra pium pro ipsis ac religiosum consilium dedit. Nos vero, qui *justitia* supra *Pharisæos abundare* ita necessario debemus, ut non aliter possimus *intrare in regnum cœlorum* [53], ad quod ab eo, qui nos *justificavit*, vocati sumus et destinati ; plus quam Pharisæi superbe sapimus, ut haud scio, an ab Ecclesia fratres nostros, vel nosmetipsos a regno cœlorum excludamus. Non vides, ut Paulus Evangelii sui judicem Petrum segerit ? Non vides Petrum a Paulo reprehensum, et reprehensiones æquo animo tolerantem. Tu vero si ad tonitru vocis tuæ non omnes trementes ac venerabundos videas, et ad verbi tui fulgur pronos corruentes (quemadmodum sacer textus testatur, in Thabore accidisse apostolis ad fulgorem manifestatæ deitatis), tunc sane, tunc Simones et Marciones a te e tumba refodiuntur et demonstrantur, quos recte tempus defoderat et contexerat : et cœnum movetur Gnosticorum, et Sabellii refinguntur præstigiæ, et Arii rabies, et tenebrosus Photinus, et reliqua turba filiorum perditionis (ne omnes recensendo vel ipsis eorum nominibus inficiam orationem meam), et hos fratri tuo, o cæcitatem ! et quidem uni eidem, tametsi inter se dissentientes et contrarios, velut longos quosdam funiculos, **527** annectis, ut fugientem comprehendas ; et non tu

A εἰπεῖν Ἰθάμαρ καὶ Ἐλεάζαρ, καὶ ἔτι ταπεινότερον τῶν πολλῶν τοῦ Ἰσραὴλ, καὶ ταῦτα καθηραμένων πρότριτα), καὶ οὐ συνίεμεν ἀσχημονοῦντες διπλῇ· οἷς τε τὴν ἀρχὴν κακῶς λέγομεν, καὶ οἷς ἐπαγωνιζόμεθα. *Μακάριος* μὲν γὰρ *ὁ μὴ ἁμαρτὼν ἐν λόγῳ*, καθώς τις ἔφησεν· ἐπαινετὸς δὲ καὶ ὁ, μετὰ τὸ ἡμαρτηκέναι, τὴν ἁμαρτίαν εὑρὼν καὶ γνοὺς, καὶ ὡς εἰδεχθῆ βδελυξάμενος, οἷόν τι τέρας ἐν νυκτὶ τεχθὲν, εἶτα ἐν ἡμέρᾳ ὀφθέν τε καὶ βδελυχθὲν, καὶ διὰ τοῦτο ἀπορρίψαν. Οὐ μιμησόμεθα τὴν τοῦ Κυρίου ταπείνωσιν, *οὐχ ἑαυτῷ ἀρέσαντος*, ἀλλ' ἡμῖν τοῖς πολλοῖς, καὶ ὡς δυσχρήστου δεθέντος, ἵνα ἡμᾶς ἑαυτῷ καὶ ἀλλήλοις συνδήσῃ ἐν *τῷ τῆς εἰρήνης συνδέσμῳ* · καὶ τὸ αἷμα κενώσαντος, *ἵνα τὰ τέκνα τοῦ Θεοῦ τὰ διεσκορπισμένα συνάγῃ* [*f. συναγάγῃ*] *εἰς ἕν*, καὶ *ποίμνη μία* τῶν προβάτων ἁπάντων γένηται ὑφ' ἑνὶ τεττομένων ποιμένι, καὶ διαφευγόντων πρὸ τῶν λύκων τὴν ἀνεπιστασίαν, οὐδὲν ἧττον ἐκείνων σπαράττουσαν, μᾶλλον δὲ κἀκείνου αὐτὴν πρὸς τὸν τῆς ποίμνης σπαραγμὸν ἐνισχύουσαν ;

B

ιζ'. Τί τοὺς Φαρισαίους ἐποίησε ταλανίζεσθαι ; Οὐ τὸ φιλότιμον, καὶ φιλόπρωτον, καὶ τὸ *θέλειν καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων Ῥαβί* ; Οὐ τὸ αὐτὸ τοῦτο Θεοκτόνους τοὺς ἀθλίους εἰργάσατο ; Τίς *ὁ καπνὸς τοῦ θυμοῦ τοῦ Κυρίου*, ζητῶ μαθεῖν καὶ Ἡσαΐας μοι ἀποκρίνεται, ὅτι τὸ, *Μή μου ἅπτου*, παρὰ τῶν ὑπερηφάνων λεγόμενον, οἷς *ὁ Κύριος ἀντιτάσσεται*. Δείξω σοι καὶ Φαρισαῖον ἀξιοζήλωτον τὸν Γαμαλιήλ, οὐδὲν Φαρισαϊκὸν κατὰ τῶν ἀποστόλων εἰσηγησάμενον, πᾶν μὲν οὖν τοὐναντίον θεοσεβῶς ὑπὲρ ἐκείνων καὶ εὐλαβῶς συμβουλεύσαντα. Ἡμεῖς δὲ, οἱ *τῇ δικαιοσύνῃ περισσεύειν ὑπὲρ τοὺς Φαρισαίους* ἀναγκαίως ὀφείλοντες, ὡς οὐκ ἄλλως ἐν [*f.* ἑνὶ *vel* ἑνὶ] τῆς βασιλείας τυχεῖν, εἰς ἣν ὑπὸ τοῦ *Δικαιώσαντος* ἐκλήθημεν καὶ ἐτέθημεν, ὑπὲρ τοὺς Φαρισαίους φρονοῦμεν, οὐκ οἶδα, πότερον, ἵνα τῆς Ἐκκλησίας τοὺς ἀδελφοὺς, ἢ ἑαυτοὺς τῆς βασιλείας ἐκκλείσωμεν. Οὐχ ὁρᾷς Παῦλον τοῦ κατ' αὐτὸν Εὐαγγελίου κριτὰς τοὺς περὶ Πέτρον αἱρουμένους ; οὐχ ὁρᾷς Πέτρον ὑπ' αὐτοῦ ἐλεγχόμενον, καὶ τοὺς ἐλέγχους ἐν πραότητι φέροντα ; Αὐτὸς δὲ εἰ μὴ πρὸς τὴν βροντὴν τοῦ σοῦ λόγου πάντας ὁρᾷς ὑποπτήσσοντας, καὶ πρὸς τὴν ἀστραπὴν πρηνεῖς πίπτοντας (ὅπερ ὁ λόγος ἐν Θαβὼρ εἰσάγει παθόντας τοὺς μαθητὰς πρὸς τὴν λάμψιν τῆς παραδειχθείσης Θεότητος), τότε δὴ, τότε Σίμωνες καὶ Μαρκίωνες ἀνορύττονταί σοι καὶ ἀναδείκνυνται (οὓς καλῶς ποιῶν ὁ χρόνος κατώρυξε καὶ κατέκρυψε), καὶ ὁ βόρβορος ἀνακινεῖται τῶν Γνωστικῶν, καὶ ἡ τοῦ Σαβελλίου ἀναπλάττεται τερατεία, καὶ ἡ τοῦ Ἀρείου λύσσα, καὶ ὁ σκοτεινὸς Φωτεινὸς, καὶ ὁ ἄλλος ὁρμαθὸς τῶν τῆς ἀπωλείας υἱῶν (ἵνα μὴ πάντας ἀπαριθμούμενος, μολύνω τὸν λόγον καὶ τοῖς ὀνόμασι), καὶ περιάπτεις τούτους τῷ ἀδελφῷ (ὢ τῆς τυφλότητος !), τῷ αὐτῷ τοὺς πρὸς ἀλλήλους διαφωνοῦντας, ὥσπερ τινὰ σχοινία μακρὰ,

C

D

[47] Jac. III, 2. [48] Joan. XI, 52. [49] Joan. X, 16. [50] Matth. XXIII, 7. [51] Isa. LXV, 5. [52] I Petr. V, 5. [53] Matth. V, 20.

Digitized by Google

ἵν' ἐπιλαμβάνῃ ἀποδιδράσκοντος, καὶ μὴ μόνος αὐτὸς, ἀλλὰ καὶ ἄλλους ἔχῃς συνεπιλαμβανομένους, οὓς προσκαλεῖ τῷ τῆς φιλευσεβίας προσχήματι, πολλάκις οὐδὲ εἰδότας τίς ἡ εὐσέβεια, πλὴν ἀλλ' ὄνομα λαβεῖν ἐρῶντας ἐκ τῆς τοῦ ἀδελφοῦ κατακρίσεως. Βαβαὶ τῶν τοῦ Πονηροῦ τεχνασμάτων! θεοποιοῦντος καὶ νῦν τὰ εἴδωλα, καὶ φὴν κακίαν ἀρετὴν ἐπιγράφοντος, καὶ ποιοῦντος προσκυνεῖσθαι καὶ σέβεσθαι.

ιη'. Ἀλλὰ μὴ οὕτω, δοῦλοι Χριστοῦ καὶ φίλοι καὶ ἀδελφοὶ, μὴ οὕτως ἡμᾶς αὐτοὺς ἀλλοτριῶμεν Θεοῦ, τοῦ πάντας διὰ τῆς χρηστότητος ἕλκοντος, αὐτοὶ διὰ τὴν ὑπερηφάνειαν πάντας σχεδὸν ἀπωθούμενοι· μηδὲ τοὺς θρόνους ποιῶμεν κακίας ἔδρυσιν· μηδὲ τὸ τῆς ἀξίας ὕψος, πύργον κουφότητος (τοῦτο γὰρ ἐμοὶ ἡ διὰ φιλοδοξίαν καὶ οἴησιν ἔνστασις)· ἀλλ' ὅπερ ἂν ὦμεν ἢ ἰσχυροὶ, τοὺς ἀδυνάτους βαστάζωμεν, ἢ ἰατροὶ τοὺς συντετριμμένους ἰώμεθα. Ἂν δὲ καὶ αὐτοὶ ἐπιτρίβωμεν, φείδομαι μὲν εἰπεῖν, ἐρῶ δ' ὅμως, ὡς ληστῶν τοῦτο ἔργον, οὐκ ἰατρῶν. Ταῦτά σοι καὶ πρὸς τοὺς κατοιομένους καὶ καταφρονητάς· οἱ *οὐδὲν οὐ μὴ περανοῦσι*, λέγει τὸ Πνεῦμα τὸ ἅγιον. Σὺ δέ μοι παραλαβὼν, ὁ τραπεζίτης, τὸ τάλαντον, καὶ *τὸν τόκον ὡς ἀποδώσεις ἐν καιρῷ* φρόντιζε· ὁ δέ ἐστι, κατ' ἐμὲ κριτὴν, τὸ καὶ αὐτὸν σὲ προσεξευρίσκειν ὅσα τῷ φιλοπόνῳ τὸ Πνεῦμα δίδωσιν. Οὗ τῇ χάριτι δυναμούμενοι, αὐτοί τε καθαρῶς καὶ ἀκιβδήλως αὐτὸ καὶ κατὰ τοὺς Πατρικοὺς ὅρους ἀνακηρύττοιμεν, καὶ τοὺς ἄλλους ταὐτὸ διδάσκοιμεν ἐν Θεῷ Πατρὶ τῷ διδάσκοντι ἄνθρωπον γνῶσιν, καὶ Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

A solus, sed ut alios etiam habeas, qui tecum apprehendant, quos sub specie pietatis advocas, tametsi plerumque neque ii sciant, quid sit pietas: at nomen amant sibi comparare ex fratris condemnatione. Vah maligni spiritus artificia! qui et nunc deificat idola, et malitiam appellat virtutem, seque adorari facit et coli.

18. Verum non sic, servi Christi, amici et fratres, non sic nosmetipsos abalienemus a Deo, qui omnes benignitate sua ad se trahit, dum nos per superbiam omnes fere repellimus: neque thronos faciamus iniquitatis sedem, neve dignitatis altitudinem turrim vanitatis (hoc enim mihi videntur esse lites ob amorem gloriæ et existimationem sui), sed B si sumus fortes, debiles portemus; et si medici, contritos sanemus. Quod si etiam nos ipsi insuper conteramus, vereor quidem dicere, dicam tamen: Res hæc latronum est, non medicorum. Et hæc dicta sint etiam ad arrogantes et contemptores, qui *nihil* omnino *proficient* [54], inquit Spiritus sanctus. Tu vero trapezita, qui accepisti talentum, cura, ut et *usuram reddas in tempore suo*: quæ est, me judice, in eo sita, quod etiam tu superaddas, quæ homini solerti et laborioso Spiritus tribuit, cujus gratia confortati ipsimet pure et sincere ipsum juxta Patrum definitiones prædicemus, et alios hoc idem doceamus, in Deo Patre, *qui docet hominem scientiam* [55], et Jesu Christo Domino nostro, C cui gloria in sæcula. Amen.

[54] Psal. LXXXVIII, 23. [55] Psal. XXXIX, 10.

THEOPHYLACTI INSTITUTIO REGIA.

INDEX CAPITUM OPERIS.

PARS PRIOR.—PANEGYRICA.

528 Cap. I. *Dignitas et pretium operis.*
Cap. II. *De officio magistri principis.*
Cap. III. *Constantinus a patria felix.*
Cap. IV. *Dotes eximiæ corporis in Constantino.*
Cap. V. *Ingenium ejusdem et memoria.*
Cap. VI. *De avo ac patre Constantini.*
Cap. VII. *Nobilitas et religio matris Constantini.*
Cap. VIII. *Matris Constantini misericordia.*
Cap. IX. *Ejusdem liberalitas non ambitiosa.*
Cap. X. *Digressio in quosdam ambitiose munificos.*
Cap. XI. *Largitiones Mariæ Augustæ.*
Cap. XII. *Ejusdem studium et eruditio.*
Cap. XIII. *Cura ejus laudabilis instituendi filii.*

Digitized by Google

PARS ALTERA. — PARÆNETICA.

Cap. I. *Princeps qui acceptis a Deo bonis non ad bonum utitur, miser est.*
Cap. II. *Regia dignitas regias virtutes non habenti, dedecori est.*
Cap. III. *Virtutibus non vestitu commendari regem.*
Cap. IV. *Voluptas regi vincenda.*
Cap. V. *Labores regi honesti et utiles.*
Cap. VI. *De tribus bonis totidemque malis regiminis formis.*
Cap. VII. *Primus tyrannidis character : violenta invasio.*
Cap. VIII. *Secundus tyrannidis character : crudelis et contumeliosa grassatio in subditorum bona et corpora.*
Cap. IX. *Miseria populi tyrannide oppressi.*
Cap. X. *Tyranni timores anxii et perpetuum tormentum.*
Cap. XI. *Justi regis ingressus pacatus et lætus subditis.*
Cap. XII. *Quam necessaria, quamque utilis sit principi religio excellens.*
Cap. XIII. *Instrumentum necessarium regni bene gerendi amici fideles.*
Cap. XIV. *Amici maximum bonorum principum bonum, quo alii carent.*
Cap. XV. *Veri amici erga principem officia.*
Cap. XVI. *Adulatorum pernicies principi cavenda.*
Cap. XVII. *Amicorum monitis docilem et patientem esse oportere principem.*
Cap. XVIII. *Quomodo probandi principi amici.*
Cap. XIX. *Favoris regum perspecti mira vis est ad studia subditorum provocanda.*
Cap. XX. *Quam indignum et noxium sit sceleratos apud principem gratiosos esse.*
Cap. XXI. *Reipublicæ, uti navis, gubernatorem assidue laborare oportere.*
Cap. XXII. *Ut curare atque administrare rem bellicam princeps debeat.*
Cap. XXIII. *Exercitationes militares in pace frequentandæ, honorandique veterani.*
Cap. XXIV. *Exercitatio corporis salubris principi.*
Cap. XXV. *Mimis et scurris dare operam regem non decere ; sed doctos et prudentes viros secum habere.*
Cap. XXVI. *De clementia principi necessaria.*
Cap. XXVII. *Quatenus regi gladio et suppliciis utendum.*
Cap. XXVIII. *Præeminere subjectis virtute ac sapientia regem debere.*
Cap. XXIX. *Hujus operis clausula et promissio alterius.*
Cap. XXX. *Promittitur Constantino divinus favor, si et huic paræsi et matris præceptis obtemperet.*

Digitized by Google

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΘΕΟΦΥΛΑΚΤΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ

ΠΑΙΔΕΙΑ ΒΑΣΙΛΙΚΗ

ΠΡΟΣ ΤΟΝ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΝ ΚΩΝΣΤΑΝΤΙΝΟΝ.

—

S. P. N. THEOPHYLACTI

BULGARIÆ ARCHIEPISCOPI

INSTITUTIO REGIA

AD PORPHYROGENITUM CONSTANTINUM.*

ΠΡΩΤΟΝ ΜΕΡΟΣ, ΠΑΝΗΓΥΡΙΚΟΝ.

PARS PRIOR, PANEGYRICA.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

Ἀξία καὶ τιμὴ τοῦ συντάγματος.

Δῶρόν τοι καὶ ἐγὼ, βασιλεῦ φίλε, τοῦτο δίδωμι· δῶρον ἐμοὶ διδόναι καὶ σοὶ λαμβάνειν ἱλαρῶς οἰκειότατον. Καὶ τάχα κρεῖττον τῶν ἄλλων, ἃ δαπάνη τε χρόνου καὶ φθόνου, καὶ λῃσταῖς εὐπορία, καὶ κλέπταις ἅρπαγμα. Οἱ μὲν γάρ σου τοῦ κράτους ὑπήκοοι δασμοφοροῦσιν ἐτήσια, οἱ μὲν χρυσίον, οἱ δὲ ἀργύριον, οἱ δὲ ὅσα ἄλλα εἰς φθορὰν τῇ ἀποχρήσει, καθά φησιν ὁ θεῖος Ἀπόστολος. Λόγος δὲ, χρυσοῦ τιμαλφέστερος, ἀργύρου λαμπρότερος, πάντων ἁπλῶς μενιμώτερος. Κἀκεῖνοι μὲν ὑποτελοῦσι καὶ ἄκοντες, τῆς ἡμετέρας κατακρίσεως τὸ βαρύτατον· σοφία δὲ, ἀνετόν τι χρῆμα, καὶ τῷ ὄντι ἀδέσποτον, αὐθαιρέτως μὲν οἰκεῖον φέρουσα φιλοπόνημα, εὐεργετοῦσα δὲ τοὺς, οἵτινες τὰ δῶρα προσδέχονται. A B

CAPUT PRIMUM.

529 *Dignitas et pretium operis.*

Donum tibi ego quoque, princeps charissime, hoc affero: donum accommodatione ad res rationesque tuas aptissima dignissimum, quod et ego dem hilaris, et tu serenus accipias. Quippe haud paulo præstantius, quam illa cætera temporis aut invidiæ dente absumenda, et plerumque vel profutura furibus vel armatæ audacia cupiditati latronum optimæ rapinæ gaudium latura. Et istorum quidem tibi copia redundat ex collatione legitima eorum qui tuo imperio subjecti annuum majestati tuæ tributum pendunt, aurum quidam afferentes, alii argentum, sive alia ejus generis sui usu in corruptionem abeuntia, ut divinus Apostolus loquitur. Cæterum doctrinam utilem sermonemque sapientem satis convenit et auro pretiosiorem et splendidiorem argento, et possessione omnino quavis stabiliorem haberi oportere. Atque **530** illi qui hæc exhibent, pro nostra subditorum contumaci erga principes et plurimum vituperabili tenacitate, maligne inviteque suppeditant. At sapientia pro suo libero et liberali nulliusque patiente servilis necessitatis ingenio, quidquid ex se gignit ac confert beneficia profusione citra vim ullam excipientibus largitur.

ΚΕΦΑΛ. Β'.

Περὶ τοῦ καθήκοντος τοῦ βασιλικοῦ διδασκάλου.

Κἀγὼ τοίνυν ὁ σὸς διδάσκαλος (πτεροῦμαι γὰρ τῷ ὀνόματι καὶ δεκάπηχυς γίνομαι, βασιλέως καθηγητὴς προσκαλούμενος), καὶ ἐθελοντὴς ἄγω σοι τοῦ λόγου τὸ δῶρον τήμερον, καί σοι εὐάγγελο, γίνομαι (μὴ ἀπιστήσῃς φωνῇ διδασκάλου), ὡς εὐδαιμονίας ταμοί σοι ῥυήσονται, εἴπερ ἐπὶ σὴν καρδίαν, ὡς

CAPUT II.

De officio magistri principis.

Hujus ego ex peculio hoc tibi utilis allocutionis munusculum irrequisitus hodie ac voluntarius ecce affero magister tuus. Quo nomine non dissimulo gloriari me, efferrique ac crescere, tolerabili, opinor, certe non de nihilo concepta superbia, quod præceptor ac moderator principis appeller. Cujus

* Vide Præfationem, superioris tomi col. 465.

Digitized by Google

quidem tibi officii auctoritate ac fide polliceor jam hinc ac denuntio, quod credere tanquam a magistro traditum debeas, flumina felicitatis in tuam vitam plenis aiveis confluxura, si verba mea in cor tuum ut pluvia descenderint : quemadmodum fieri est consequens, ex quo voluntaria oris mei beneplacita te habere declarasti. Non enim imperatorem te meum adulatione ambiam, aut mulcebo aures tuas verbis fallacibus et artem sophisticam præferentibus ; nec fides meas ad Lydium mollem illum ac muliebriter blandum aptabo modum : verum ad contentiorem alterum et virilem Dorium. Sane enimvero si aliter facerem, deficerem nimium ab instituto susceptæ vitæ, professionique ipse meæ atque ordini facerem injuriam ; non minus quam naturæ indolique tuæ. Quæ profecto vim habet ac materiam bonis generosisque gignendis fructibus idoneam, modo regiæ institutionis congruum in eam jaciatur semen.

A

CAPUT III.

Constantinus a patria felix.

Quid enim non tibi ad vitæ optimæ, cumque omni laude conjunctæ susceptionem velificatur ? Cui primum quidem patria contigit urbs regnatrix, omnium maxima pulcherrimaque urbium ; cujus in cœlo atque temperie ne Momus quidem invenerit quod reprehendat, aut requirat quidquam : adeo cum ad utilitates, tum ad voluptates, aeris ac tempestatum exacte dimensa natura ratioque est. Non hic indomitis velut rebellans insultibus exsurgit hiems, non præscriptos transiliens terminos, illa in Scythiæ montibus ac sylvis usitata sibi ferocia grassatur in nos quoque, usque ad congelandum in venis animantium sanguinem, et fluvios glacialium compedum injectione sistendos. Non æstas immodicis ardoribus vires exhaurit vigoremque solvit corporum, neque horum ad statum roburque labefactandum rabiosam et vi malefica formidabilem concitat caniculam. Verum hiems quidem tantum afflat frigidioris auræ quantum opus modo est ad colligendos in nobis diffluentes spiritus, ipsamque **531** elementorum sese per tepores relaxantem connexionem renodandam, ne, penitus soluta, dissipetur. Æstas autem in eum duntaxat modum atque usum effervescit, ut superfluitatibus excoquendis diffandisque corporum, salubri ea vitalique vapore confoveat. Porro tempestates reliquæ harum lineamenta, velut sororum, referunt, pari temperamenti proportione conformatæ. Enimvero autumnum mihi vide, fructusque illos felicium plantarum, quibus ad delicias fruimur beatæ inquilini civitatis, ut magnitudine præcellenti eam exhibent speciem, quæ ad eos citra gustus suavitatem merito commendandos valere possit. Rursum tam delicati saliva saporis palatum imbuunt libantium, ut si moles et species deesset, abunde is defectus dote succi mitissimi compensaretur. Nunc cunctis una confluentibus laudibus, et eos qui alibi magni nascuntur, exquisita saporis dulcedine superant, et si qui uspiam succi præcipui feruntur, nostri et in hoc pares, mole certe ac magnitudine præcellant. Quod si qui utroque isto a capite laudentur, ii tamen inferiores nostris eo sint nomine, quod hos urbs regia produxit.

B

C

CAPUT IV.

Dotes eximiæ corporis in Constantino.

Hæc tibi corpus efformavit ad omnem usum habile, ac quasi volucre : vividisque micanti motibus animæ ministrum subdidit nullo molis impedimento tardaturum velocitatem illam vigoris igneiNempe non id tibi grave, non lentum, aut ægre mobile, multisque vix excitandum stimulis ; non

D

ΚΕΦΑΛ. Γ'.

Κωνσταντῖνος ἐκ τῆς πατρίδος εὔμοιρος.

Τί γὰρ οὔ σοι συντρέχει πρὸς τὸ βίον ἐλέσθαι τὸ [*f.* τὸν] δεξιώτατον ; ᾧ γε καὶ πατρὶς βασίλισσα καὶ μεγαλόπολις καὶ καλλίπολις, ἥπερ οὐδ' ἂν ὁ Μῶμος αὐτὸς ἐγκαλέσειε τῷ μὴ οὐ πρὸς τὰς ὥρας κεκρᾶσθαι, καὶ τρυφᾶν ἀέρων εὐμοιρίᾳ καὶ συμμετρίᾳ. Οὔτε γὰρ χειμὼν ἐγταῦθα νεωτερίζει, καὶ τοὺς ὄρους ἐκβαίνων Σκυθικώτερον ἡμῖν ἐπιτίθεται, ὡς τὸ αἷμα τοῖς ζώοις πηγνύναι, καὶ τοῖς ποταμοῖς ἐπιβάλλειν δεσμὰ κρυστάλλινα · οὐδὲ θέρος ἐκλύον καὶ πᾶσαν καταβάλλον τὴν δύναμιν, ὡς καὶ τὸν κύνα φοβερὸν ἐπεγείρειν τοῖς σώμασι κατὰ τῆς τούτων εὐσταθείας ἀγριαινόμενον. Ἀλλὰ χειμὼν μὲν οἷος τὴν ἡμετέραν συγκροτεῖν δύναμιν, καὶ συνάγειν τὴν τῶν στοιχείων παράταξιν, οὐκ ἐῶν αὐτὴν πάμπαν διαφορεῖσθαι καὶ σκίδνασθαι · θέρος δὲ, οἷον θάλψιν διδόναι τοῖς σώμασι καὶ περιττωμάτων διάπνοιαν · αἱ δὲ λοιπαὶ τῶν ὡρῶν, πρὸς τὴν τῶν ἀδελφῶν ἰδέαν ἀναλόγως μορφούμεναι. Οὐχ ὁρᾷς γάρ τι [*f.* τοι] καὶ τοὺς τῶν δένδρων καρποὺς, οἷς ἐντρυφῶμεν οἱ τῆς εὐδαίμονος οἰκήτορες πόλεως ; Οὕτω μὲν γὰρ μεγέθους ἱκανῶς ἔχουσιν, ὡς μηδένα λόγον εἶναι τοῖς ὁρῶσι περὶ τῆς κατὰ γεῦσιν ἡδύτητος · οὕτω δὲ τὴν γεῦσιν ἡδύνουσιν, ὡς ἐν τούτῳ τῷ μέρει τὸ μέγεθος ἀποκρύπτεσθαι. Καὶ γὰρ οὖν τοὺς μὲν ἀλλαχοῦ μεγάλους τῇ ἡδονῇ ὑπερβάλλουσι · τοὺς δ' ἡδονῇ προὔχοντας, τῷ μέγεθος προφαίνειν ἐξαίσιον · τοὺς δ' ἄμφω ταῦτα ἐπαινετοὺς, τῷ βασιλίδος εἶναι γεννήματα.

ΚΕΦΑΛ. Δ'.

Δωρεαὶ τοῦ σώματος ἐν Κωνσταντίνῳ ἐξαίρεται.

Αὕτη σου καὶ τὸ σῶμα πτερώσασα πρὸς πᾶν ὁτιοῦν ἔπλασεν ἐπιτήδειον, καὶ ταῖς ψυχικαῖς ἐνεργείαις ὑπέθηκε διάκονον ἀνεμπόδιστον. Οὔτε γὰρ βαρύ σοι τοῦτο, καὶ νωχελὲς, καὶ δυσκίνητον, καὶ πολλῶν κέντρων δεόμενον · οὔτ' αὖ πάλιν εὐκινητότερον τοῦ προσήκοντος, ὥστε καὶ ἄττειν ἀκράτητα ·

Digitized by Google

ἀλλ' ἀμφοτέρων τὴν ἀμετρίαν διαφυγὸν, τοῖς ὅροις τῆς μεσότητος ἐγκαθίδρυται. Ἔνθα μὲν γὰρ ἵππον ἀναδῆναι δεῖ, καὶ πυκνοῖς δρόμοις ἑαυτὸν ἐγγυμνάσασθαι, καὶ τὸ δόρυ τῇδε καὶ τῇδε περιαγαγεῖν δεξιαῖς ταῖς στροφαῖς, καὶ πολεμικαῖς ταῖς ὀρχήσεσιν, ἐνταῦθά σοι τὸ σῶμα κουφότατον· ἀλλὰ δὴ καὶ τὸ ἐν κυνηγεσίαις τῶν ἄλλων προεξιππάσασθαι, καὶ προφθάσαι τοὺς ἄνδρας, καὶ καταβαλεῖν θηρίον, ὃ καὶ νεκρὸν ἰδεῖν τὴν σὴν ἄλλος ἄγων ἡλικίαν οὐκ ἂν ὑπέμεινε· τό τε τοξεύειν ἀφ' ἵππου πετομένου τοῖς δρόμοις, καὶ τοξεύειν ἐπίσκοπα· ταῦτα δὴ πάντα τῆς εὐκινησίας γνωρίσματα. Λύθι; δὲ τὸ κόσμιον τοῦ βαδίσματος, καὶ τὸ τετυγμένον τοῦ φθέγματος, καὶ τὸ ἔννουν ἁπλῶς ἐν πᾶσι καὶ οἷον φιλόσοφον, καὶ τὸ μὴ περιιέσθαι κατὰ τοὺς νυμφολήπτους καὶ ἀλόγιστα περιστρέφεσθαι, δηλοῖ τὴν τῶν στοιχείων σοι κρᾶσιν, οἷόν τινι ζυγῷ διατεθεῖσαν ὑπὸ τοῦ Κρείττονος.

A idem rursus ultra decori rationem ususve modum petulcum et saltitans, effrenique levitate instabile contigit; sed quod extremi utriusque infamia vitata, meditullium virtuti sacrum quadam maturæ strenuitatis moderatione insidens obtinet. Ergo ubi insilire in equum et decurrere ludicrum, anhela contentione perplexis flexibus; ubi torquere sudem, ac rude batuere; ubi hastam incitatione huc et huc marita et scita rotatione raptim obvertere, sicque bellicos illos agitare thiasos res et tempus poscit, tum sane velocissimo uteris corpore. In venationibus quoque cum effusa equitatione comites antevolas, cum jactus occupas collimantium, et transverberas manu coram bestiam, quam ne aspicere quidem mortuam ætate puer tua sustineret B alius. Quid jam dicam arcu sagittas jacere te ex equo volante rapidissimis cursibus, et vel sic in scopum rectissime jacere? Hæc qualia quantaque agilitatis documenta maximæ! Quibus si adjungatur decora majestas incessus tui, grata concinnitas sedatæ vocis, circumspectissima in omnibus et philosophicam haud dubie gravitatem præferens agendi ratio, sine ulla circumactione præcipiti, et vel prima eruptione impetus minus sani, profecto palam erit aptissime commistam in tui concretione corporis, et libratis exactissime momentis attemperatam peculiari velut quadam attentione summi Numinis, elementorum fuisse naturam.

ΚΕΦΑΛ. Ε'.

Τοῦ αὐτοῦ νοῦς καὶ μνήμη.

Τὸ δὲ πρὸς τὰ μαθήματα πτερυκὸς, τὸ δὲ ἀγχίνουν, τὸ δὲ μνημονικὸν, ποῦ θήσομεν, ὦ πανδέξιε; Ἐγὼ τούτων ἁπάντων ἀψευδὴς μάρτυς καὶ ἀπαράγραπτος· συμμάρτυρες δέ μοι καὶ ὁ χρηστότατος οὗτος χορὸς, οἳ σῆς ἐπειράθησαν φύσεως. Πολλάκις γὰρ C ἀναγινώσκεταί μέν τις ἀνδρῶν παλαιῶν, ἡ πρᾶξις, ἡ λόγος ἀξιανάγνωστος· προφθάνεις δὲ σύ με ὁ μαθητὴς τὸν διδάσκαλον, καὶ προαρπάζεις τὸ νόημα· καὶ ἁρπάσας, οὐκ εὐθὺς ἀπολώλεκας, ἀλλὰ τοῖς τῆς ψυχῆς ταμείοις ἐναπέθηκας κειμήλιον ἀναφαίρετον. Πολλοὶ γὰρ ὀξέως μανθάνουσιν, ὀξύτερον δὲ πάλιν ἀπομανθάνουσιν· ἅμα τε ἐπέβαλον, καὶ ἅμα ἀπέβαλον· ὅμοιον ὥσπερ εἴ τις γράφῃ καθ' ὕδατος· ταχέως μὲν γὰρ κινήσει τὸν κάλαμον, ἀλλ' οὐδ' ἴχνος τῇ τοχύτητι τῶν κινήσεων ἕψεται. Σοὶ δὲ τὰ διαστῶτα ἡ φύσις ἤνωσε, καὶ τάχος μαθήσεως, καὶ μνήμης ἀσύγκριτον. Καὶ παντὸς μὲν εἰ κηροῦ πρὸς τὴν ἐγγραφὴν εὐτυπώτερος, πάσης δὲ πλακὸς πρὸς τὴν συνεπήρησιν στερεώτερος.

532 CAPUT V.

Ingenium ejusdem et memoria.

Quid jam ingenium, et miræ capacitati discendi, solertiæ pervidendi momento quodlibet, fidam additam memoriæ custodiam prædicem? Hæc, inquam, quorum rarissime cocuntium beato confluxu felix es, bona quo loco ponam? Quæ quidem inesse tibi oculatum expertus, nec recusabile opinor, aut suspectum dicam testimonium, consona suffragatione roboratum lectissimi consessus, cui experimenta tuæ mirabilis in hoc genere indolis coram usurpare præsentibus sensibus vix aliter credibilia licuit; cum tu sæpius videlicet recitata e libro actione, sententiave memorabili cujuspiam veterum, præcurreres me magistrum discipulus, nec exspectata enarratione mea, facinoris aut apophthegmatis vim intimam volatu mentis prævertens raperes, utique non statim amittendam, sed thesauris memoriæ committendam ad fidem æternæ possessionis. Multos scimus ad perdiscendum celeres, qui fere velocius dediscant cito percepta. Rimosis animis simul influit, simul effluit, veri notitia; nec diuturniora sui vestigia doctrina pervolans imprimit, quam queis otiosus in aqua scriptor irrita in fluxo vibratione calami, liquorem pingeret. Tua vero natura rerum distantium rara consociatione mirabilis celeritati perceptionis perennitatem recordationis adjungit: cera quavis ad appressi exceptionem sigilli mollior; rursum quacunque lamina rigidior ad diuturnitatem servandæ figuræ quam semel expresserit.

ΚΕΦΑΛ. Ϛ'.

Περὶ τοῦ πάππου καὶ πατρὸς τοῦ Κωνσταντίνου.

Ἀλλὰ γὰρ οὔ με διέλαθε τὰ τῶν σῶν γονέων καλὰ, οἷς καὶ αὐτοῖς σε Θεὸς εἰς πᾶν καλὸν συνεκρότησε. Σὺ γὰρ, ὦ καλὲ παῖ, καὶ πάντων βασιλέων ἐμοὶ ποθεινότερε, οὐ τὴν μὲν φύσιν τοιαύτην ἔτυχες, οἵαν μετρίως ὁ λόγος ὑπετυπώσατο, τῇ δὲ τῶν γονέων ἐπαισχύνῃ φαυλότητι, ὡς τοὺς ἑτεροφθάλμους πάσχειν φησὶ παροιμία, καὶ τῇ μὲν ἐλλάμπεσθαι, τῇ δὲ καταδύεσθαι. Ἀλλὰ σοὶ καὶ βασιλικὸν

CAPUT VI.

De avo ac patre Constantini.

At enim ita ego tuis propriis celebrandis immoror dotibus, quasi quæ prædicem majorum tuorum decora desint. Atqui et præclara sunt et mihi notissima ornamenta omnis generis in eorum vita rebusque gestis eluccntia, quorum e sanguine te Deus stirpis nobilissimæ generosissimum produxit surculum. Non tu, inquam, beate puer, et præ cunctis mihi principibus desideratissime, naturam

Digitized by Google

quidem talem nactus es, qualem obiter oratio modo designabat mea, iis autem parentibus natus es, quorum tibi sordes aut tenuitas pudorem afferant. Coclitemque, ut sic dicam, faciant honoris vultum, cujus oculorum (quod habet paræmia) velut astrorum, alterum luceat, alterum occubuerit: ingrataque ac deformi umbra virtutis præfulgentis quasi luminibus obscuri generis humilitas obstruat. Verum tibi regalis jam ab avo et patre, justitiæque præcipua laude celebris prosapia est. Nemo tuum hodieque avum non eo nomine beatum celebrat, quod rectitudine in judiciis indeclinabili, jurisque et æqui constantissima custodia, magis quam principatus apice studuerit eminere. Divinissimo vero patri tuo quæ virtutis species animum non expinxerat? aut cuinam is alteri vel in humanitatis studio primas, vel in sacræ doctrinæ accurata exquisitione concessit? cui totum imperium nihil fuit aliud nisi libri et dissertationes doctorum hominum; et aut proferre ipsum ex sese, aut ab alio audire quiddam ex antiquitate scitu dignum.

A πατρόθεν τὸ γένος καὶ δικαιότατον· καὶ τῷ μακαρίῳ σου πάππῳ, μᾶλλον τῆς ἀρχῆς, τὸ ἐν ταῖς κρίσεσιν ἰθυτενὲς καὶ ἀπροσκλινές· τῷ τε θειοτάτῳ σου πατρὶ ποῖον ἀρετῆς εἶδος τὴν ψυχὴν οὐ μεμόρφωκεν; ἢ τίνι παρῆκεν ἄλλῳ τὰ πρῶτα φέρεσθαι, ταῖς τε φιλομαθείαις καὶ ταῖς περὶ τὸ Θεῖον φροντίσιν; Ὧ γε καὶ ἡ βασιλεία οὐδὲν ἦν ἕτερον ἢ βίβλοι, καὶ λογίων ἀνδρῶν ὁμιλίαι, καὶ τὸ εἰπεῖν τι καὶ ἀκοῦσαι παλαιὸν σπούδασμα.

533 CAPUT VII.

Nobilitas et religio matris Constantini.

De matre deinceps tua dicere paranti optandam mihi video, simul fluide liquidam, suaviterque fusam Herodoti copiam, simul nervose strictam, et stipatis densatam sensibus dictionem Aristidis; harum enim rerum conjuncto auxilio duarum, fortasse assequerer, ut eorum quæ tale argumentum varia et dictu dignissima suggerit, nihil præterirem. Principio ita conspicuum Augustæ parentis tuæ genus est, ut non patrem modo, avum, proavumque ciere nobilissimos et late illustres queat; sed reges etiam innumerabiles in majorum serie suorum rara felicitate censeat. Verum eadem generositatem habet ab indole ac virtutibus animi majorem: cui e mentione gentilis decoris putare ornamentum posse accedere, non aliud nempe fuerit quam margaritæ commendationem ac pretium a concha atque ab ostrei testa petere. Enimvero quid attinet magnopere in ea jactare dignitatem originemque regiam, quæ cuncta, sicut ait Apostolus, arbitrata ut stercora, Christum lucrifacere solum optavit: cujus et opem in discrimine præsentem experta, eam tali gratiæ vicem reddidit, ut vitam ejus illam absconditam affectaret, coleretque studio ac devotione mentis intima, cui vitæ usuram corporeæ recenti beneficio assertam se debere sentiebat. Atque hac instincta religione puella regia sic a regni apice, quem velut barathrum aversabatur, ad humilitatis Christianæ celsissimum ac vere cœleste fastigium contendit, ut mutationem tantam miranti, mirabilior occurreret mutationis celeritas ejusdem: porro impetum istum ipsum conversionis velocissimæ admirabilitate præcelleret vitæ in religiosis septis post eam institutæ summa perfectio. Scio commune plurimarum et quotidianum esse facinus ad vitam monasticam transitum. Verum hoc pleræque mollius, atque, ut sic dicam, muliebrius mulieres defunguntur. At festinatione tam calida, studioque sic flagranti ad spiritus paupertatem e maximis evolare divitiis, nostræ videlicet Mariæ laude hac præcipua felicis propria virtus est et singularis gloria. Imo, si

B

ΚΕΦΑΛ. Ζ'.

Εὐγένεια καὶ εὐσέβεια τῆς μητρὸς Κωνσταντίνου.

καὶ οἱ λοιποὶ ἀστερες ἐκρύβησαν. Ἐκείνοις μὲν γὰρ εἰς τὰς σκιὰς ἐξυβρίσασιν, οὐ τοσοῦτον μέγα τὰς τιμωρίας χαρίσασθαι μηδὲν μέγα λυμηναμένοις τὰ πράγματα· σοῦ δὲ τῷ αὐχένι μόνον οὐκ ἐπικατήνεγκεν ἡ πονηρὰ φατρία τὸν σίδηρον, οἷς χάριν τῆς ἀθωώσεως τοῖς παλαιοῖς οὐ δίδως χώραν συγκρίσεως. Οὕτω διδάσκεις ἡμᾶς τοῖς ἀδικοῦσι προσφέρεσθαι. Καὶ γὰρ κἂν τοῖς ἄλλοις Σολομῶνος εἶ δικαιότερος, ταύτῃ γοῦν ἑκὼν τῆς ἀκριβείας ὑφίεσαι, καὶ τὸ μὲν διανεμητικόν σοι δίκαιον, καὶ τὸ ἐπανορθωτικὸν ὑπερευκατώρθωται· τὸ δὲ κατὰ τὸ ἀντιπεπονθὸς, ἐνταῦθά σοι μετριώτερον. Καὶ βούλει μᾶλλον ὑπόχρεως ἔχειν τοὺς εἰς σὲ πλημμελήσαντας, ὡς πολὺ μὲν ὀφείλοντας, πολὺ δὲ ἀφεθέντας, καὶ τὸ δίκαιον ἀγαπήσαντας τοσοῦτον ὅσον ἀφείθησαν. Οἶδας πάντως τὸ εὐαγγελικὸν ἀποθέσπισμα· φιλεῖ γὰρ ἄνθρωπος πρὸς μὲν τὸ ἀντιτεῖνον ἀντισκληρήνεσθαι, ὑπείκειν δὲ τῷ μαλάττοντι, καθάπερ ἐλαίῳ τῷ τῆς πειθοῦς φαρμάκῳ γινόμενος χαλαρώτερος. Ἆρα δή σοι τὸ πρᾶον ἀπὸ φρενὸς μαλακωτέρας ἐμπέφυκεν, ὡς μὴ εἶναι προτέρημα, ἀλλὰ νόσημα. Μὴ οὕτως ἡμεῖς τὰς φρένας νοσήσαιμεν, ὡς τῆς βασιλικῆς ἀρετῆς τὴν μορφὴν λελωβῆσθαι πιστεύειν οὐλαῖς τισι καὶ σπαράγμασι. Καὶ γάρ σοι τὸ ἦθος ἐπὶ τῆς ἀρχικῆς μεγαλειότητος ἔστηκε, καὶ τὸ ἡδὺ προδείκνυσι καὶ τὸ χάριεν· καὶ οὔτε σκληρὸν τὸ ἀνδρικὸν,

Variæ lectiones et notæ.

(3) Homer. *Odyss.* l. III, v. 1.

Digitized by Google

οὔτε κορασιῶδές σοι τὸ ἐπίχαρι, ὡς μήτε τὸ σεμνὸν εἰς ἀλαζονείαν ἐκτραχηλίζεσθαι, μήτε καταῤῥιπτεῖσθαι τὸ ἱλαρὸν εἰς εὐτέλειαν. Σὺ μαλακίσῃ ποτὲ, ὁ ἀδαμάντινος, ὁ ἀνένδοτος; ὃς ἐπειδὰν σχολάζῃς τῶν τοῦ πολέμου κινήσεων, οὐχ ἵππων ἁμίλλαις καὶ δήμων μανίαις σεαυτὸν ἐπιῤῥίπτεις, οὐδ' ἐνθηλύνεις τὴν ἀκοὴν τοῖς τῆς ἀνάνδρου μουσικῆς κρούσμασιν, ἀλλὰ θήραις καὶ κυνηγεσίαις ἀνεγείρεις τοῦ θυμοῦ τὸ κοιμώμενον, καὶ τοὺς εὐγενεῖς παῖδας γεύων τῶν τῆς ἡλικίας ἀριστευμάτων ὡς σκύλακας.

ζ'. Σωφροσύνης δὲ οἶδ', ὅτι οὐ ζητεῖτε μαρτυρίαν, οὕτως αὐτὸν πιέζοντα τὸ σῶμα θεώμενοι καὶ ταῖς ἑκάστοτε θυραυλίαις, καὶ τοῖς ξηροτέροις γυμνάσμασιν, ὅς γε καὶ μίαν ἐξ ἀρχῆς ἔστερξε τὴν καλὴν ἐν γυναιξὶ, τὴν βασιλείας ἀξίαν σύζυγον. Ὅθεν αὐτοῖς προσήκοντα τῇ τοῦ γάμου ῥίζῃ καὶ τὰ βλαστήματα. Καὶ νῦν τοῖσδε ἔρταις [τοῖς γενέταις ?] ὁ καλὸς, ὁ μυριοπόθητος, τὸ ὀψιμώτατον θέαμα, ὁ τῶν ἀετῶν νεοττὸς, ὀξὺ μὲν ὁρῶν ἤδη, περιμένων δὲ τὰ ὠκύπτερα. Ἀλλά τί, ὦ πάτερ, πρὸς τὸν παῖδα βραδύτερος ἐγένου τῆς φύσεως; Τί μὴ τὸν βασιλέα υἱὸν καὶ βασιλέα γνωρίζεις, ἀλλ' ἀναδύῃ τὴν ποθουμένην ἀνάῤῥησιν; Τί μὴ μεταδίδως ὀνόματος τῷ μετασχόντι φύσει τοῦ πράγματος; Ἀλλὰ κἂν σὺ μὴ θέλῃς, θεσμός ἐστιν ἀδραστείας ἀκίνητος, λέοντα τὸν σκύμνον εἶναι τοῦ λέοντος.

η'. Ἡ φρόνησις δέ σοι αὕτη μέν γε καὶ τῶν ἔξω, καὶ τῶν ἔσω μεταποιεῖται· κἂν πόλεμον κατορθώσῃς, μερίτιν ἑαυτῇ παρεντίθησι, καὶ τὴν ταύτης ἀδελφὴν, τὴν ἀνδρίαν, οὐκ ἀξιοῖ σχετλιάζειν, εἰ τὸν κλῆρον τῶν τροπαίων ἡ ἀδελφὴ συμμερίζεται ταῖς τῶν πόλεων διοικήσεσιν, αὐτὴ μόνη ἐπιστατεῖν διατείνεται. Ταύτην γὰρ ὡς ὄντως νοήμων ἐκτήσω τῆς ἀρχῆς σου κυβέρνησιν. Ταῦτα ἄρα καὶ διατάττεται, ἄρχοντας μὲν αἱρεῖσθαι τοὺς ὡς πατέρες παίδων ἐπιμελησομένους τῶν ὑπηκόων. Ἢ οὐχ ὁρᾷς, φησὶ, τὸν μέγαν βασιλέα καὶ σοῦ ἀρχέτυπον, ὅπως ἄλλοις ὁρίοις ἄγγελον ἄλλον ἐθνῶν ἐπέστησε, πάντας πρὸς ἐκεῖνον ἐπεστραμμένους συμφέροντας, οὐ καταμαγειρεύοντας τὸν ὑπήκοον, οὐδὲ αὐτοὺς μὲν πιαίνοντας, τοὺς δὲ πολίτας ἰσχναίνοντας; Ἀνάλωμα δὲ πᾶν μὲν, βωμολόχοι, καὶ τῷ θεάτρῳ τελούμενοι, καὶ πρὸς τὸ γελασθῆναι σπουδάζοντες, τῶν βασιλείων ἐλήλανται. Καὶ τοὺς ἀργοὺς κηφῆνας πρὸς τὸ κακὸν μόνον τὰ κέντρα φέροντας, τούτους ὁ βασιλεὺς σὺ τοῦ σοῦ σμήνους ἀπήγαγες, ἵνα μὴ τῶν καμώντων τὸ μέλι βλίττωσι. Καὶ μόνος εἶ τοῖς ἀνθρώποις διδάσκαλος, ἔργῳ τούτους παιδεύων ὡς ἐπ' ἔργοις ἀγαθοῖς διαπλάσθημεν. Μαθὼν γὰρ ἔχεις, ὅτι πᾶσαν κακίαν ἡ ἀργία ἐδίδαξε, καὶ ὡς ἐπίπαν ἀνὰ τοὺς [ἀνθρώπους ?] μὴ βουλομένους ἐργάζεσθαι, τὰ τῶν ἑτέρων περιεργάζεσθαι.

θ'. Σωφροσύνην δὲ καὶ εὐκοσμίαν περὶ τοὺς βασιλέως οἴκους ὅσην περὶ τοὺς ἱερεῖς ἀπαιτεῖν γινώσκομεν (καὶ μήποτε τούτων ἐστὶ τὸ βασίλειον ἱεράτευμα;). Ἐθαύμασα τοῦτο πολλάκις ἐγὼ κατ' ἐμαυτὸν

A gratia feminea, neque serietas tua in arrogantiam, neque hilaritas in vilitatem degenerat. Tune vero molliori vitæ te tradas unquam, qui adamantinus ac plane indefessus es? Qui quando a belli motibus te vacare contingat, non equorum certaminibus popularibusque ineptiis oblectaris, neque mollioris musicæ modulis aurem accommodas; verum aucupiis et venationibus sopitum excitas spiritum, atque ingenuis pueris præclararum illius ætatis actionum gustum, quasi catulis, insinuas.

7. Temperantiæ vero ejus testimonium vos non quærere, satis novi, cum videatis eum corpus suum et assidua sub dio vita, et asperioribus exercitiis castigantem: qui etiam ab initio unicam adamavit feminarum optimam, ac regno plane dignam consortem: unde et congruentes nuptiarum radici orti sunt surculi: ac ille, qui nunc spectatoribus adest, pulcher ac millies desiderabilis, sed nimis serum spectaculum: ille, inquam, aquilarum pullus, acute quidem jam videns, sed celeres adhuc alas ad volandum exspectans. Verum cur, o pater, erga puerum te tardiorem, quam natura præbes? Cur non regem filium renuntias, et desideratam differs appellationem? Cur ei qui rem jam natura participat, et nomen ipsum non communicas? Attamen, si vel nolis, immobilis naturæ lex est, catulum leonis leonem esse.

8. Prudentia vero ea emines, quæ externis et internis rebus æque prospicit. Et quidem si bellum geras, illa partem sibi aliquam vindicat: neque putat, sororem suam fortitudinem ægre ferre, si sortis tropæorum soror particeps fiat. At civitatum gubernationi ipsa sola præsidere pertendit. Hanc enim tu, utpote plane intelligens, possides imperii gubernatricem. Hæc propterea jubet, magistratus eligas, qui parentum instar, subditorum, uti filiorum, curam gerant. Nonne vides, inquit illa, summum regem, primumque tui exemplar, quemadmodum alios aliis gentibus regionibusque præfecerit angelos, qui omnes illum respicientes communem utilitatem curant, subditos non opprimunt, neque semetipsos pinguefaciunt, et cives extenuant? Omnes inutiles expensæ, scurræ theatrales, risus provocatores ex regiis ædibus expulsi sunt. Ignavos etiam fucos ad malum tantummodo stimulum ferentes, tu, o imperator, e tuo alveari abegisti, ne laborantium mel exsugant. Et quidem tu, ipse hominibus magister es, eos facto erudiens, quod ad bona opera formati simus: probe enim nosti, otio nequitiam omnem edoceri, ac generatim **557** eos, qui non operantur, in aliorum facta operosus esse.

9. Moderationem vero et decentiam tantam circa regias ædes, quantam circa sacerdotes te exigere novimus: (nonne enim et horum est regale sacerdotium?) Rem hanc sæpius mecum perpendens mi-

Digitized by Google

ratus sum; et iterato in rem hanc inquisivi, cum ipsius consideratio animo occurrit: ac vix tandem comperi, præcipuam tantæ concinnitatis causam esse beatam illam vestri radicem, optimam matrem. Si enim delibatio sancta est [11], omnino et massa. Illa igitur est vobis omnis boni conciliatrix et causa. Illa et unitatem vobis impertitur tanquam ramis in duas quidem divisis personas, sed radice conjunctis, ab eademque qualitatem suam attrahentibus. (En vero quomodo oratio mea statim ac illius mentionem attigit, vos quoque simul copulavit: antea quidem allocutione ad regem solum fruebar; mentione autem illius facta, protinus et magni illius honorabilisque mihi capitis, primi videlicet post primum, et fortissimi regis post fortissimum memini.) Ejusdem autem aureæ lacrymæ victoriam lacrymarum expertem nobis donarunt. Illius assidui per noctem gemitus, exsultationis clamores, et triumphalia cantica suppeditarunt. Illa te, o imperator, tropæo contra Scythas coronavit. Vin' igitur, ut tibi canam illud ex sacro cantico, quandoquidem tempus est victoriæ et celebritatis: *Egredimini, et videte regem in diademate, quo coronavit eum mater sua in die lætitiæ cordis sui* [12] (4)? Idcirco etsi non adsitis, rebus ipsis adestis; omnium enim curas, sicut nemo unius tantum, illa excipit: et si adestis, perinde est, ac si præsto non essetis, magnæ ejus menti omnia committentes. *Multæ filiæ congregaverunt divitias, tu supergressa es universas* [13]. Salomon tuum nobiscum encomium celebrat; cujus tu prudentia mirum quam longius progressa es. Verum et David te matrem in filiis lætantem psallit [14]. At, o beatissime, ne dicas tantummodo in filiis; sed adde et natis natorum, fortasse, et qui nascentur ab illis, ut beatitudinem efficias clariorem. O felicissima ob inexplebilem aspectum! magis quidem mirabilis propter seipsam, magis etiam propter eos qui ex ea sunt: qui seipsos efficacem legem omnibus hominibus proponentes, ex sese ipsis prædicant fraternam dilectionem, facundo silentio vitam nostram moderantes. Cum enim antea regia potestas vel nullo modo, vel difficillime communicari posset (hinc enim Thyesteæ cœnæ in proverbium abierunt, nec temporis diuturnitas infamem illam mensam delere potuit), hi duo summa cum hilaritate eam communem sibi fecerunt; et duobus cura est de uno, et uni de **558** duobus (non enim suppetit mihi quomodo aliter me exprimam), ut idcirco mihi videatur Deus alteram novamque rerum conditionem ostendere voluisse, duo in imperii cœlo *Luminaria magna* constituens. Et hoc quidem spectabat sapiens illud Ecclesiastæ dictum: *Boni sunt duo super unum* [15] (5). O vos soli æqualiter invicem commutabiles! soli, qui

A συσκοπούμενος· καὶ γὰρ αὖ καὶ αὐτῷ διαπορῆσαί μοι παρέστη ἐν ἐπιστάσει γενομένῳ τοῦ πράγματος, καὶ μόλις εὗρον τῆς τοιαύτης εὐκοσμίας τὸ ἀρχικώτατον αἴτιον, τὴν μακαρίαν ῥίζαν ὑμῶν τὴν ὁσίαν μητέρα. Εἰ γὰρ ἡ ἀπαρχὴ ἁγία, πάντως που καὶ τὸ φύραμα. Ἐκείνη παντὸς ὑμῖν καλοῦ καὶ χορηγία καὶ πρόξενος· ἐκείνη καὶ τὴν ἕνωσιν ὑμῖν δίδωσι, κλάδοις μὲν οὖσι καὶ σχιζομένοις εἰς διάφορα πρόσωπα· τῇ ῥίζῃ δ' ἑνουμένοις, καὶ ἀπ' ἐκείνης ἕλκουσι τὴν ποιότητα (ὁρᾶτε γοῦν, πῶς; καὶ ὁ λόγος ἅμα τε ἐκείνης ἐμνήσθη, καὶ ὑμᾶς ἥνωσε! Πρῶτον μὲν γὰρ τῆς πρὸς τὸν βασιλέα μόνον ἀπέλαυον προσφωνήσεως· ἐκείνης δ' ἐπιμνησθείς, εὐθὺς ἐμνήσθην τῆς μεγίστης καὶ τιμίας μοι κεφαλῆς, τοῦ πρώτου μετὰ τὸν πρῶτον, καὶ κρατίστου βασιλέως μετὰ τὸν κράτιστον)· ἐκεί-
B νης τὰ χρυσᾶ δάκρυα τὴν ἄδακρυν ἡμῖν νίκην δεδόασιν· ἐκείνης οἱ πάννυχοι στεναγμοὶ τὰς τῆς χαρᾶς ἐκβοήσεις, καὶ τὰ ἐπινίκια ᾄσματα· ἐκείνη σε, βασιλεῦ, τροπαίῳ τῷ κατὰ Σκυθῶν ἐστεφάνωσε. Θέλεις ᾄσωμαί σοι τὰ ἐκ τοῦ Ἄσματος, ἐπεί μοι καιρὸς καὶ νίκης καὶ πανηγύρεως; *Ἐξέλθετε καὶ ἴδετε ἐν τῷ στεφάνῳ, ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτοῦ.* Διὰ ταῦτα κἂν μὴ παρῆτε, τοῖς πράγμασι πάρεστε· τὰς ἁπάντων γὰρ φροντίδας ὡς οὐδεὶς ἑνὸς ἀναδέχεται. Κἂν παρῆτε, οὐ πάρεστε, τῇ ταύτης μεγαλονοίᾳ τὸ πᾶν ἐπιτρέποντες. Πολλαὶ γυναῖκες ἐποίησαν δύναμιν· σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας. Σολομῶν λειτουργεῖ σοι μεθ' ἡμῶν τὸ ἐγκώμιον, οὗ σὺ
C τῆς φρονήσεως; βαθεῖ ὄντι προώδευσας! Ἀλλὰ καὶ ὁ Δαβὶδ σε μητέρα ἐπὶ τέκνοις εὐφραινομένην ᾄλλει, οὐχ ἁπλῶς τέκνοις, ὦ σὺ μακάριε, ἀλλὰ πρόσθες καὶ τέκνοις τέκνων· τάχα δὲ κἀκείνων ἐγόνοις, ἵνα τὴν εὐδαιμονίαν παραστήσῃ σαφεστέραν. Ὦ πανολβίᾳ τοῦ ἀνεμπλήστου ὁράματος, μᾶλλον μὲν θαυμασίᾳ δι' ἑαυτήν, μᾶλλον δὲ διὰ τοὺς ἐξ αὐτῆς· οἳ νόμον ἔμπρακτον ἑαυτοὺς προθέντες ἀνθρώποις ἅπασι, δι' ἑαυτῶν κηρύττουσι τὸ φιλάδελφον, λάλῳ σιωπῇ τὸν βίον ἡμῶν σωφρονίζοντες. Τὸ γὰρ πρὶν ἀκοινώνητον τὸ χρῆμα τῆς βασιλείας, ἢ δυσκοινώνητον· διὸ τὰ Θυέστεια δεῖπνα πεπαροιμίασται, καὶ οὐδ' ὁ πολὺς χρόνος τὴν μιαρὰν ἐκείνην συνέστειλε τράπεζαν. Ἀλλ' οὗτοι μεθ' ἱλαρότητος ἐκοινώσαντο καὶ δυοῖν
D ἑνὸς μέλει, καὶ τῷ ἑνὶ τοῖν δυοῖν. Οὐ γὰρ ἔχω πῶς ἄλλως φθέγξωμαι, ὅθεν ἐμοὶ δοκεῖν βουληθεὶς ὁ Θεὸς τῶν πραγμάτων ἑτέραν κτίσιν καὶ νεωτέραν ἐνδείξασθαι τῇ τῆς βασιλείας οὐρανῷ τοὺς δύο *φωστῆρας τοὺς μεγάλους* ἐγκαταστήσασθαι. Καὶ τοῦτο ἦν ἄρα τοῦ Ἐκκλησιαστοῦ τὸ σοφὸν, *Ἀγαθοὶ οἱ δύο ὑπὲρ τὸν ἕνα.* Ὦ μόνοι τοῖς ἴσοις ἀλλήλους ἀμειψάμενοι, μόνοι μὲν νικῶντες ἅπαντας, μόνοι δὲ ἀλλήλων νικώμενοι. Μακάριοί τε καὶ ὑμεῖς οἱ ἀρχόμενοι, καὶ τῶν πρὸ τούτου μακαριώτεροι, τῶν μὲν ὑφ' ἑνὸς, ὅτι ὑπὸ δύο ἀρχόμεθα, τῶν δὲ ὑπὸ δύο, ὅτι ὑπὸ τοιούτων. Οἱ

[11] Rom. xi, 16. [12] Cant. iii, 13. [13] Prov. xxxi, 29. [14] Psal. cxii, 9. [15] Eccles. iv, 9.

Variæ lectiones et notæ.

(4) Fortasse hic aliquid deest.
(5) Ita LXX. Vulg. habet: *Melius est esse duos simul quam unum.*

Digitized by Google

δὲ ὑμῖν πλησιάζοντες ἡμῶν μᾶλλον μακαριώτεροι, ὅτι τοὺς ὑμετέρους χαρακτῆρας ταῖς ἑαυτῶν ψυχαῖς ἐνσημαίνονται, καὶ κατέχουσι τούτους μᾶλλον, ἢ οἱ δακτύλιοι τὰ γλύμματα. Ἢ οὐχὶ καὶ οὗτος ὁ περὶ ὑμᾶς κύκλος πρὸς τὸ μέσον τῆς ἀρετῆς ὑμῶν νένευκε, κἀντεῦθεν ἴσας τὰς εὐθείας γνώμας ἐκδέχεται; σοφίας τε εἰς τὸ ἀκρότατον ἥκουσι καὶ σεμνότητος πάντες καὶ τοῦ δικαίου κατάμεστοι. Εἶτα τοιαύτην βασιλείαν οὐ μαντευσαίμην ἐγὼ καὶ ὀρνίθων γάλα παρέξειν ἡμῖν; κἂν τις με μάντιν ἐρῇ, οὐκ ἀποποιήσομαι τ' οὔνομα, ἀλλὰ καὶ οἰωνιστὴν αὐτὸν ἀνερυθριάστως προσονομάσαιμι, εἰς σὲ τὸν ἀετὸν ἐπιδέξιον βλέποντα, κάντεῦθεν δεχόμενον τῆς κοσμικῆς εὐετηρίας τὸ σύμβολον Μελάμποδος ἀληθέστερον, Πολυδάμαντος ἀκριβέστερον, Βαλαὰμ εὐσεβέστερον.

A vincant omnes, ac soli, qui mutuo vincantur. Felices et vos, qui subditi estis, et iis qui vos præcesserunt, feliciores: iis quidem, qui sub uno fuerunt, quia nos duobus regimur; iis vero, qui sub duobus fuere, quod nos sub talibus simus. At qui prope vos sunt, magis adhuc felices; quoniam characteres vestros ipsorum animis imprimunt, magisque, quam annuli sculpturas suas, servant. Nonne vero et iste, qui circa vos est, circulus ad medium virtutis vestræ oculos intendit, indeque rectos sensus æqualiter haurit? omnesque ad sapientiæ culmen properant, morum severitate et justitia repleti. Post hæc vero non ego jure vaticinabor, tale imperium nobis et avium lac præbiturum? Quod si quis me vatem dicere velit, nomen istud haud re-

B cusabo: quin et augurem me absque rubore appellarem, cum te fausti ominis aquilam respicio; indeque sumo mundanæ prosperitatis symbolum Melampodo verius, Polydamante exactius, ac Balaamo religiosius.

ι'. Ἀπολαύσει μὲν οὖν καὶ κοινῇ τῶν κοινῶν ἀγαθῶν ἡ σοφιστική. Σὺ δὲ ἀλλὰ καὶ ἰδίᾳ ταύτῃ βοήθησον· κινδυνεύει γὰρ οὐκ ἐπὶ γόνυ, ἀλλ' ἐπὶ στόμα πεσεῖν. Οὐ δέχομαι τὸν ἐμὸν βασιλέα Ἀδριανῶν καὶ Μάρκων καὶ Κομμόδων ἀφιλολογώτερον φαίνεσθαι, οἳ δημοσίοις σιτήσεσι σοφιστικὴν γλῶσσαν ἔτρεφον· οὐ δέχομαί σε τῶν πρὸ σοῦ βασιλέων καὶ μὴ ταύτῃ τὸ κρεῖττον παρὰ δικαζούσῃ τῇ Θέμιδι φέρεσθαι. Ἐκεῖνοι μὲν γὰρ ἔθος ἐκλιπὲς τῷ χρόνῳ γενόμενον ἐπεισήγαγον, καὶ τὸ λέγειν ἐπὶ βασιλείων ἀπέδωκαν· σὺ δὲ, καὶ τὸ προθυμότερον λέγειν, τῷ θεμελίῳ ἐποικοδόμησον. Ἀλλ' ἐγὼ μὲν, ὦ παῖδες, τῷ πέπλῳ τῆς βασιλικῆς εὐφημίας τὸν στήμονα προϋπέστησα· ὑμεῖς δὲ καὶ δὴ τὴν κρόκην προσεπιβάλετε. Ἐγὼ τὴν τέχνην ὑμῖν παρέδωκα, ἵνα ποικιλώτερος ὁ πέ-

10. Gaudebit igitur simul communibus bonis etiam oratoria. Tu vero eam peculiariter juva: periculum est enim, ut non solum in genua, sed et in faciem corruat. Ferre ego sane non possum, imperatorem meum Adrianis, Marcis et Commodis minus philologum videri; qui ex publica annona oratoriam linguam enutriebant. Non fero, te vel in hac parte anteactis imperatoribus potiorem a Themide non judicari. Illi enim morem, qui tempore defecerat, instaurarunt, ac facultatem in regiis ædibus dicendi concesserunt. Tu ut promptius et alacrius dicere liceat, posito jam fundamento, superædifica. At vero ego quidem, o pueri, debitæ imperatori nostro faustæ precationis ac laudis telæ

C stamen jam posui. Vos subtegmen adjicite. Ego vobis artem monstravi, qua elegantius picta atque perfectior tela fiat.

Digitized by Google

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ

ΚΥΡΟΥ ΘΕΟΦΥΛΑΚΤΟΥ

ΕΠΙΣΤΟΛΑΙ Κ'

BEATISSIMI EPISCOPI BULGARIÆ

DOMNI THEOPHYLACTI

EPISTOLÆ XX.

Interprete Bonifacio Finetti ord. Prædicatorum.

559 I. — *Sine nomine* (1).

Vir iste non amplius idem est, rursus abnuit (2). Nondum ego Achridam ascendi, et urbem, quæ vos habet, meis in amoribus infelix, jam concupisco. A longe enim ad me pervenit halitus quidam lethalis, cujusmodi revera exhalant Plutonia barathra. Empedocli igitur victoria capita progignit destituta cervice; sed iste infidelitatis principatus cervices absque capitibus millenas supra millenas effudit. Quis enim Achridensis non est cervix absque capite, qui neque Deum neque hominem revereri novit. Ego autem ad habitandum talibus cum monstris damnatus sum. Et, quod gravius est, neque ulla spes est cervices istas capiti aliquando, vel superiore aliqua virtute, jungendas fore; quemadmodum alioquin memorati Agrigentini sapientis amor imperfecta capita ad perfectionem adduxit. At mihi spei melioris pennæ diffluxerunt omnes : et aquila cujus supra Jovis sceptrum sedes est, nunc pedibus incedit, heu! et cœno inhæresci, et vitam cum ranis trahit : quæ molestum quoque sibi reputantes et fortuna qua fruuntur, indignum, si Jovis aliti omnimode non insultent, supra dorsum ejus, ut sunt luto et fetore plenæ, conscendunt : et conscendentes clamant **560** dissonum quid, et inharmonicum, lutulenta scilicet anima ipsorum dignum. Videntur igitur illi triumphalem quemdam Pæana canere. Attamen aquilæ nondum vel rostrum, vel unguium acies retusæ sunt; sed adhuc dilaniare carnesque discerpere valet. Verum majorem ipsa sibi reputans inferre injuriam, si animadvertat, et

A'. — *Ἀνώνυμος.*

Οὐδ' ἀνὴρ οὐκ ἔτ' αὐτὸς ἐκτενεῖ πάλιν. Οὔπω τῆς Ἀχρίδος ἐπέβην, καὶ τὴν ὑμᾶς ἔχουσαν πόλιν ὁ δύσερως ἐπεπόθησα. Μακρόθεν γάρ μοι προσέβαλλεν ἀποφορά τις θανάσιμος, οἵας ἀτεχνῶς ἀποπνέουσι τὰ Χαρώνεια. Τῷ μὲν οὖν Ἐμπεδοκλεῖ τὸ νίκος, κόρσας ἐκφύει ἀναύχενας· ἡ δ' ἐνταῦθα τῆς ἀνεπιστασίας ἐπιστασία, αὐχένας ἀκορσώτους μυρίους ἐπὶ μυρίοις ἐξέφυσε. Τίς γὰρ Ἀχριδιώτης οὐκ ἔστιν αὐχὴν ἀκέφαλος, οὔτε θεὸν, οὔτ' ἄνερα τίειν εἰδώς; Τοιούτοις συνεῖναι κατακέκριμαι τέρασι· καὶ τὸ δεινότατον, ὅτι μηδ' ἐλπίς ἐστι τοὺς αὐχένας τούτους κεφαλωθῆναί ποτέ τισι δυνάμεσι χρείττοσιν· ὥσπερ ἡ τοῦ Ἀχραγαντίνου σοφοῦ φιλία ἀτελεῖς κόρσας συνάγει πρὸς τὴν ἐντέλειαν. Ἀλλά μοι τὰ πτερὰ τῶν χρηστοτέρων ἐλπίδων ἀπερρύη παντάπασι, καὶ ὁ ἐπὶ τῷ σκήπτρῳ τοῦ Διὸς ἀετὸς πεζεύει φεῦ! καὶ τῇ ἰλύϊ ἐνίσχεται, καὶ τῆς μετὰ βατράχων ζωῆς ἀνέχεται, οἵ γε καὶ δεινὸν οἰόμενοι, καὶ τῶν καιρῶν τῆς αὐτῶν τύχης ἀνάξιον, εἰ μὴ πάντα ἐντρυφῷεν ἐπὶ τῆς σφετέρας τῷ Διὸς ὄρνιθι, ἐπιβαίνουσί τε ἐπὶ τὰ τούτου νῶτα, πηλοῦ καὶ δυσωδίας ἀνάμεστοι, καὶ ἐπιβάντες βοῶσι δύσηχον μέντοι καὶ ἀναρμόνιον, καὶ τί γὰρ ἢ τελματώδους ψυχῆς ἐπάξιον. Ἐοίκασι γοῦν ᾄδειν παιᾶνά τινα ἐπινίκιον. Τῷ δὲ οὔπω μὲν οὔτε τὸ ῥάμφος, οὔθ' αἱ τῶν ὀνύχων ἀκωκαὶ ἠμβλυνται, ἀλλ' ἔτι σπαράττειν, καὶ ἀποκνίζειν σάρκας ἔχουσι. Μείζω δὲ ὕβριν τιθεὶς ἑαυτῷ τὴν ἐπιστροφὴν, καὶ ἄμυναν τῆς ἐκείνων ὕβρεως πρὸς τὰς τοῦ ἡλίου μόνον ἀκτῖνας ὁρᾷ ἀτενές τε καὶ ἔντρανον, καὶ οἷον αὐτῷ τοῖς ὀφθαλμοῖς (3) ἑκάτερον ἡ φύσις ἡρμόσατο,

Variæ lectiones et notæ.

(1) Non est epistola, sed pars epistolæ, illius scilicet quæ inter Lamianas *Magno Domestico* inscribitur. Vide infra col. 507 B 1.

(2) Euripidis *in Phœnissis* versus 957, juxta edit. Cantabrigiensem Kingii an. 1726.

(3) *Ισ.* τοῖν ὀφθαλμοῖν.

* Prodeunt nunc primum ex codice Vaticano. *Edit. Ven.* — Vid. Præfationem, num. XLII, tomi superioris col. 469.

Digitized by Google

καὶ ἔοικέ τε τὸν, ὅστις ποτὲ οὗτος ὁ ἥλιος, μάρτυρα ποιεῖσθαι τοῦ πάθους, καὶ τὸ ἀντωπεῖν, τοῦτό ἐστιν αὐτῷ δυσωπεῖν, καὶ νεμεσητὸν δεικνύναι τὸ, τοιοῦτον τοιούτοις παίζεσθαι. Εἶτα, ὦ πρὸς τῶν τοῦ ἡλίου τούτου καθαρῶν ἀκτίνων, αἷς αὐτός γε ὁσημέραι φωτίζει, καὶ φωτίζεις οὓς ἀετιδεῖς ἀπογεννᾷς, φιλοσοφώτατε ἀνθρώπων καὶ χαριέστατε. Ὁ ταῦτα ὑβριζόμενος ἀετὸς, μάτην ποθεῖ τὸ μεθ' ὑμῶν διάγειν τῶν μακαρίων ἔνθα μάλ' αἴθρη πέπταται καὶ ἀνέφελος ἐκσπασθεὶς τοῦ πηλοῦ καὶ τοῦ τέλματος, οὐκ, ἔγωγε οἶμαι, ἐρεῖς, ἢ τὴν ἐνταῦθα τῶν κακῶν λίμνην, καὶ τοὺς ταύτης ἐκγόνους κατακριθείης βατράχους. Οὐδὲ γὰρ ἔχω τί ἂν σοι ἐπαρασαίμην ἄλλο καὶ τῆς συνήθους ποδάγρας ἄλγιον. Τρυφᾷν σοι δοκῶ παίζων οὕτω, καὶ ναὶ μὰ τοὺς λόγους τοσοῦτόν μοι γέμεις χαρίτων, καὶ οὕτω διαχέεις με καὶ μνημονευόμενος, ὡς καὶ τοῖς πρὸς σὲ γράμμασιν, αὐτὸ τοῦτο ἐπισημαίνεσθαι, καὶ πάσης τηνικαῦτα λύπης με λύεσθαι, καὶ ἄνετον πρὸς τὰς σὰς χάριτας φέρεσθαι, ἄλλαις δή τισι χάρισιν. Ἀλλὰ δοίη ποτὲ ὁ τῷ ὄντι χαριτοδότης Θεὸς κἀμοὶ παντελῆ τῶν ἐνταῦθα λύσιν κακῶν, ἢ παράκλησιν, καὶ σοὶ τῆς ἀμειλίκτου θηρὸς ἀπαλλαγὴν τελείαν, ἢ ἄνεσιν. Οὐ γὰρ δὴ ἢ μόνοι τῆς κατ' αὐτὸν ὁδοῦ ἀπεσφάλημεν, ἢ μόνοις ἡμῖν ἀπένειμεν ἄκρατον τὸ κόνδυ τῆς πτώσεως.

A injuriam ab illis illatam ulcisci aggrediatur, ad solis radios unice, intente et pure respicit, prout ad hoc utrumque illi oculum aptavit natura. Et quidem decet, quicunque demum fuerit sol iste, testem eum facere afflictionis suæ cæterum pudori sibi ducit vel contra illos intueri, seque merito reprehendendam putaret, si talis cum talibus contendere aggrederetur. Igitur per puros solis hujus radios, quibus ipse quotidie illuminat, et tu aquilinos, quos progignis, pullos illuminas, sapientissime et suavissime hominum, aquila, quæ tales injurias patitur, frustra desiderat vobiscum beatis versari, ubi magna est serenitas, atque innubilus spirat aer secretus a luto et cœno. Non, puto, inquies. Ergo ad istam malorum paludem, et ad progenitas ex ea ranas condemneris. Neque enim habeo quidquam, quod consueta etiam podagra molestius tibi imprecer. In deliciis ne agere tibi videor, dum ita ludo? Sed tu adeo erga me abundas gratiis, et ita vel si solum in montem veneris, me recreas; ut non possim non id et datis ad te significare litteris, et omni interim tristitia exsolvi, ac libero etiam animo erga gratias tuas aliis gratiis ferri. Verum det aliquando verus gratiæ largitor Deus et mihi omnimodam a præsentibus malis exsolutionem; et tibi ab implacabili bellua perfectam liberationem ac requiem: non enim vel soli nos ab illius via discedimus; vel ea solis nobis ruinæ poculum propinat.

B

Β'. — Τῷ Σεβαστῷ Ἰωάννῃ τῷ γυναικαδέλφῳ τοῦ βασιλέως.

Τίς ἂν μοι σχολὴν ἔδωκε πρὸς λόγους, πανσέβαστέ μου ἀντιλῆπτορ, ὅση μοι βούλησις, ἵνα σοι πρὸς τὴν τοῦ κατορθώματος δόξαν, τὴν γλῶτταν ἥρμοσα; τίς δ' ἂν μοι ῥητόρων χορὸν συνεκρότησεν, ἵνα τούτων κορυφαῖος γενόμενος, ὅπερ, ἦν ποτε, εἶτα δοὺς αὐτοῖς τὸ ἐνδόσιμον, κοινῇ τὴν λογικὴν χορείαν ἐπλήρωσα; Σὺ γὰρ *βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα παρὰ τοῦ βοήθειαν ἐξαποστείλαντός σοι ἐξ ἁγίου* καὶ ὑπερασπίσαντος ἀναδέξαι (4). *Σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος· σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος*, κἂν νῦν σπαίρῃ τῷ οὐραίῳ καὶ δοκῇ ζῇν οὕτω παρὰ τοῖς οὐκ ὀρθῶς κρίνουσιν, ὡς ἡμεῖς γε παρὰ σοῦ τοῦ λαβόντος δύναμιν *πατεῖν ἐπὶ πᾶσαν τὴν δύναμιν* τοῦ ἐχθροῦ τὸ ζῇν ἀπειληφότες, ἐγγελῶμεν *τὸν καυχησάμενον εἰς τὰ ἄμετρα*, καὶ εἰπόντα· *Τῇ χειρί μου καταλήψομαι τὴν οἰκουμένην, καὶ ἐξαλείψω τὴν θάλασσαν, καὶ ὡς καταλελειμμένα ᾠὰ τοὺς σύμπαντας ἐξαρῶ.* Ἀλλὰ γὰρ *οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, Κύριε. Ἐπέβλεψας δὲ ἐξ οὐρανοῦ* καὶ εἶδες *τοὺς υἱοὺς τῶν τεθνατωμένων, καὶ ὠκτείρησας ἡμᾶς, καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας ἑαυτῷ καὶ ἐπὶ ἄνδρα διεξιᾷ σου ἐξαπέστειλας*

C

D

II. — *Joanni Sebasto Augustæ fratri.*

Quis, augustissime mi fautor, tantum, ut cupio, otii mihi dederit, ut ad præclari facinoris tui gloriam extollendam linguam meam aptare possim? Quisve mihi rhetorum adjunxerit chorum, ut illorum coryphæus factus, ut olim eram, dato illis melodiæ themate, una cum eisdem choream oratoriam persolvam. Tu enim *Adjutor in tribulationibus, quæ invenerunt nos nimis, ab eo, qui auxilium misit tibi de sancto* [16], et protexit te, exhibitus nobis es. *Tu contribulasti capita draconum in aquis* [17]: *Tu confregisti capita draconis* [18]: tametsi enim caudam etiamnum moveat, ac vivere iis, qui non recte judicant, videatur; nos tamen, qui a te, **561** qui recepisti potestatem *calcandi super omnem virtutem* inimici [19], vitæ donum accepimus, irridemus eum, *qui gloriatur in immensum* [20], ac dixit: *Manu mea comprehendam universum, et delebo mare, et velut derelicta ova, omnes levabo* [21]. At enim *Non dereliquisti quærentes te, Domine* [22]; *sed respexisti de cœlo* [23-24], et vidisti *filios mortificatorum, et misertus es nostri* [25], *et super filium hominis quem confirmasti tibi* [26], *et super virum dexteræ tuæ emisisti lucem tuam et veritatem tuam* [27]: *et multiplicasti* super Augustum *magnificentiam tuam* [28].

[16] Psal. XLIII, 2. [17] Psal. XIX, 3. [18] Psal. LXXIII, 15. [19] Luc. X, 19. [20] I Cor. I, 31. [21] Isa. X, 14. [22] Psal. IX, 11. [23-24] Psal. XXXII, 13. [25] Psal. LXXVIII, 11. [26] Psal. LXXIX, 16. [27] Psal. XLII, 3. [28] Psal. LXX, 21.

Variæ lectiones et notæ.

(4) Ἴσ. ἀναδέδεξαι.

Digitized by Google

et dicens manus ejus ad prælium, et digitos ejus ad bellum [29], *contrivisti brachia peccatoris* [30]; *et confractis vectibus ferreis, eduxisti vinctos in fortitudine* [31]; *et dixisti iniquis, Nolite inique agere, et delinquentibus, Nolite exaltare cornu* [32]. En vero, augustissime, quomodo Dei in te dona Dei ipsius verbis concinni: neque enim decet, quæ homine superiora sunt, ea humano eloquio deprimere. Pergeigitur divinam bonitatem imitari, neque unquam ulli malum velis, quin beneficentiam tuam in omnes exerceas, præsertim vero in eos, quorum ab initio misertus es, quales sumus nos; quibus profecto beneficium summum conferes, si nostros in Euripo consanguineos et affines benignitate tua complecti digneris, ac cunctis qui in Græcia sunt, manifestum facias, archiepiscopum apud te, augustissimum omnium adjutorem, majore quapiam consideratione dignum censeri. Comple igitur gaudium meis, in omnibus ipsos juvans: et te Deus amplius, ampliusque exaltet et glorificet te, qui bonitate tua ipsum quotidie vicissim glorificas: *Et inimici tui terram lingent.*

A τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου, καὶ ἐπλεόνασας ἐπὶ τὸν Σεβαστὸν τὴν μεγαλωσύνην σου, καὶ διδάξας τὰς χεῖρας αὐτοῦ εἰς παράταξιν, καὶ τοὺς δακτύλους εἰς πόλεμον, συνέτριψας ἁμαρτωλοῦ βραχίονας, καὶ μοχλοὺς σιδηροῦς συνέθλασας, ἐξῆξας πεπεδημένους· καὶ εἶπας τοῖς παρανομοῦσι, *Μὴ παρανομεῖτε*, καὶ τοῖς παρανικῶσι, *Μὴ ὑψοῦτε κέρας.* Ἀλλ' ὁρᾷς, ὦ πανσέβαστε, ὅπως τὰ Θεοῦ τὰ περὶ σὲ δωρήματα τοῖς τοῦ Θεοῦ λογίοις ὡς δυνατὸν ὕμνησα· ἐπεὶ καὶ δεῖ μὴ ἀνθρωπίνῃ γλώσσῃ τὰ ὑπὲρ ἀνθρώπους κατασμικρύνεσθαι. Φύλαττέ μοι τοίνυν τὴν ἐπὶ ἀγαθότητι θεομιμησίαν, καὶ μηδέποτε μηδενὶ μηδὲν θελήσεις [*f.* — σῃς.] κακὸν καὶ πρὸς πάντας μὲν ἀγαθωσύνην ἐπιδεικνύμενος, μάλιστα δὲ πρὸς τοὺς ἐξ ἀρχῆς B ἐλεηθέντας σοι, ὁποῖοί ἐσμεν ἡμεῖς, οἷς μάλιστα ἂν χαρίσαιο καὶ τὰ μέγιστα, εἴ γε τοὺς ἐν τῇ Εὐρίπῳ συγγενεῖς ἡμῶν ἐλέους ἀξιοῖς, καὶ δείξοις τοῖς ἐν τῇ Ἑλλάδι ὡς παρὰ σοὶ τῷ πανσεβάστῳ πάντων ἀντιλήπτορι πλείονος ὁ ἀρχιεπίσκοπος λόγου ἄξιος. Πλήρωσον οὖν μου τὴν χαρὰν ἐν τοῖς ἐμοῖς ἐν πᾶσιν αὐτῶν ἀντιλαβόμενος, καί σε Θεὸς ἔστι, καὶ ἔστι (5) ὑψώσειε, δοξάζων σε τὸν διὰ τῆς ἀγαθότητος αὐτὸν ὁσημέραι ἀντιδοξάζοντα, καὶ *οἱ ἐχθροί σου χοῦν λείξουσιν* [33].

III. — *Machetari.*

Si Deus *charitas est* [34], ut dilectus Christi discipulus divinitus docuit, jure ego arbitror, litteras quæ ex charitate proficiscuntur, non descensum a Deo, sed ascensum ad Deum esse; scalamque esse illam quam vidit Jacob, quæ angelorum loco alloquia unionis habet, et super omnia et ante omnia, *Dominum sibi innixum* [35]. Quare tu non scribendi C causam in desiderium indivulsam cum meliori hujus unionem conservandi conferre non debes; sed sciens, quo firmiorem inter nos, quibus possumus colloquiis, stringimus dilectionem, eo nos magis Deo conjungi; utere in hunc finem litteris nostris: et, ut dici aliquando possit, inter nos catenam esse auream e cœlo pendentem, quæ illuc eos, **562** qui per illam scandunt, deponit, tuas vicissim mihi dona. Etenim in adeo barbaris locis, nemo est, qui aliquid boni docere me possit. Quare si vel modicus ad nos perveniat sapientiæ sucus, integer nobis nectaris fons affluere videtur. Ne igitur, quæso, imposterum aridos nos sinas *in hac terra deserta, et invia, et inaquosa* [36]: hujusmodi enim est ea', ad D quam damnati sumus, tametsi vulgo beati et gloriosi videamur. Et quidem beatus in foro reputor, sed vix januam aperio meam, infelicissimus sum. Et hæc quidem ego nunquam non deploravi; nec tamen hactenus consolationem adeptus sum ullam. Ita scilicet placitum esse arbitror vero Consolatori, ut descensus ad nos suus adhuc differatur; ut sic vel nostrum probet affectum, vel nos gratia sua

Γ'. — *Τῷ Μαχητάρῃ.*

Εἰ ὁ Θεὸς *ἀγάπη ἐστίν*, ὡς ὁ ἠγαπημένος ἐν Χριστῷ μαθητὴς ἐπεθέσπισεν [*f.* ἀπ.], οὐ κατάβασιν ἐκ Θεοῦ, ἀλλ' ἀνάβασιν πρὸς Θεὸν τὰ τῆς ἀγάπης ἡμῖν γράμματα, καὶ τοῦτ' ἐκεῖνο τὴν Ἰακὼβ ὁραθεῖσαν κλίμακα, ἀγγέλους τοὺς λόγους τῆς ἑνώσεως ἔχουσαν, καὶ ἐπὶ πᾶσιν, ἢ πρὸ πάντων, *τὸν Κύριον ἐπιστηριζόμενον*. Ὥστε μή μοι τῆς ἀγραφίας αἰτιῶ τὸ βούλεσθαι ἡμῖν τὴν πρὸς τὸ κρεῖττον ἕνωσιν τηρεῖν ἀδιάσπαστον· ἀλλὰ μαθὼν ὡς μᾶλλον ἐκ τοῦ τὴν ἀγάπην ἡμῖν διὰ τῶν ὡς ἔνεστιν ὁμιλιῶν ἀῤῥηκτοτέραν πλέκεσθαι, Θεῷ προσδεσμούμεθα, ὡς ἅμα χρῶ τοῖς γράμμασι, καὶ ἵν' εἴπω τι τῶν ποτε ἡμετέρων, σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμασθεῖσαν, κἀκεῖ τοὺς δι' αὐτῆς ἀναῤῥιχωμένους ἀνατιθεῖσαν τὰς σάς μοι γραφὰς ἔχε δωρούμενος. Ἐν γὰρ οὕτω βαρβάροις χωρίοις οὐδὲν ἀγαθόν με διδάσκειν ἐθέλουσι, βραχεῖά τις ἀπορῥοὴ σοφίας πρὸς ἡμᾶς καταβαίνουσα, αὐτὴ δοκεῖ τοῦ νέκταρος ἡ πηγή. Ὅπως οὖν μοι (6) τοῦ λοιποῦ αὖους παροῤῥῆς ἡμᾶς *ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ*. Τοιαύτη γὰρ ἣν κατεδικάσθημεν οἱ τοῖς πολλοῖς μακαριστοὶ καὶ ἀπόβλεπτοι. Μακάριος μὲν ἐν ἀγορᾷ νομίζομαι, ὅταν δ' ἀνοίξω τὰς θύρας, τρισάθλιος. Ἀλλὰ ταῦτα μὲν οὐκ ἔστιν ὅτε μὴ ἀνακλαυσάμενος, οὔπω καὶ παράκλησιν ἔσχηκα· δόξαν, οἶμαι, τῷ ἀληθινῷ Παρακλήτῳ τὴν πρὸς ἡμᾶς ἔτι κατάβασιν ἀναβάλλεσθαι, ἵν' ἢ δοκιμάσῃ τὸν πόθον, ἢ δείξῃ μὴ ἀξίους τῆς αὐτοῦ χάριτος· ὡς τοῖς γε Χριστοῦ γνησίοις συνουσιάταις, οἶσθα ὅτι καὶ

[29] Psal. CLXIII, 1. [30] Psal. XXXVI, 17. [31] Psal. CVI, 16. [32] Psal. LXVII, 7; LXXIV, 5. [33] Psal. LXXI, 9. [34] I Joan. IV, 16. [35] Gen. XXVIII, 13. [36] Psal. LXII, 3.

Variæ lectiones et notæ.

(5) *Isc.* ἔτι καὶ ἔτι.

(6) *Isc.* μή.

Digitized by Google

τῆς ἐλπίδος θᾶττον ἐπέπνευσεν. Ἐφ' οἷς δέ με ἠξίωσας, ἀνάσχου μικρὰ νουθετηθῆναι ὁ πολλοῖς νομοθετῶν· ἐπειδὴ καὶ τοῦτο σοφία, μέτρα γινώσκειν τελούσης καὶ τελουμένης τάξεως (7). Μὴ θέλε πρὸς τὰ θεῖα παρεμβάλλειν σαυτὸν, μηδ' ἀνθρώπου ψυχῆς εἶναι δοκιμαστὴς, ζώου φύσει εὐμεταβόλου, κατὰ τὸν σὸν εἰπεῖν Πλάτωνα· ἀλλὰ τὸ μέχρι τούτων ἔσο φίλος, τὸ δ' ἐνδοτέρω βλέπε καπνῷ καὶ πυρὶ σκεπτόμενον [*f.* σκεπόμ.] καὶ *τῇ φλογίνῃ ῥομφαίᾳ* ξορυσσόμενον. Ἀλλὰ βαβαί σου τῆς φιλοσόφου ψυχῆς! ὡς ἐδέξω τὴν νουθεσίαν, ὡς ἐρυθρίασας, ὡς ηὐλαβήθης τὰ θεῖα, ὡς ἐφρίξας! Οὕτως οὖν ἔχε, καὶ τηροίη σε Κύριος πάσης κακύνσεως ἀνώτερον καὶ κακώσεως.

A nondum dignos esse, ostendat. Aliunde enim nosti, quomodo genuinis Christi discipulis spe etiam citius aspirare soleat. Quoniam vero ita me rogasti, patere, tu, qui multis legem imponis, ut de paucis quibusdam te commoneam: quandoquidem et hoc sapientiæ est, noscere terminos ordinis, seu classis cum eorum qui perficiunt, tum eorum qui perficiuntur. Noli igitur in res sacras temet immittere, neque discussor esse velis animæ hominis, qui est animal natura sua, juxta Platonem tuum, facile mutabile; sed ad hæc usque esto amicus: quod autem interius manet, considera fumo et igne tectum esse, et *flammeo gladio* custoditum. Sed papæ! quam philosophica anima tua! ut excepisti admonitionem! quomodo erubuisti! ut revereris divina! ut trepidas! Ita igitur perge: et conservet te Dominus omni malitia et nocumento superiorem.

Δ'. — *Τῷ πατριάρχῃ.*

Πῶς ἐτόλμησας, φαίη ἄν τις, πρὸς τὸν δεσπότην παῤῥησιάσασθαι, ἄνθρωπος τοσούτων ἐνιαυτῶν τὰ σαυτοῦ χείλη *τῇ φυλακῇ* τῆς σιωπῆς ἐκκλεισάμενος [*f.* ἐγκλ.], καὶ μηδὲν μὴ μικρὸν, μὴ μέγα τῷ εὐεργέτῃ φθεγξάμενος, ὃν ἔδει στόματι, καὶ πνεύματι, καὶ γράμματι κατασπάζεσθαι, καὶ διὰ πάντων ὡς ἔνεστιν ἁγιάζεσθαι; ὅτι τοι μὴ δεσπότης μόνον, ἀλλὰ καὶ πατὴρ, καὶ πατέρων οἰκειότατος καὶ φιλοστοργώτατος. Εἴπερ ἐγὼ μὲν ἡ ψυχὴ, ταύτην δέ μοι ὁ πατριάρχης *ἐκτήσατό* (8) τε, καὶ *ἔκλωσε* κτίσιν καὶ πλάσιν ἡμερινὴν καὶ σωτήριον, καὶ πρός γε ὅτι μετριοπαθεῖν ταῖς ἡμετέραις ἀσθενείαις, καὶ φύσιν ἔχει καὶ ἄσκησιν. Τάχα μὲν καὶ αὐτὸς *πείσ*ασθείς, καὶ *μαθὼν*, *ἐξ ὧν ἔπαθε*, τὰ ἡμέτερα, ἵνα μὴ λέγω τι πλέον (εἰ γὰρ *ἐν τῷ ὑγρῷ ξύλῳ τοιαῦτα γέγονεν, ἐν τῷ ξηρῷ τί οὐ δράσουσι;*)· τάχα δὲ καὶ τῷ μεγαλείῳ τοῦ νοῦ περιλαμβάνων ἃ μὴ αὐτοπαθήσας, ἐπέγνωκεν. Οὐ γὰρ ἀγνοεῖ τοὺς (φεῦ! πῶς ἂν εἴπω;) τῶν ἀρχιερατευόντων νῦν *σκόλοπας*, καὶ *τὰς ἀκάνθας*, αἷς ἐμπαγείσαις, εἰς ταλαιπωρίαν ἐστράφημεν· ὅτε οὐρανῷ μὲν στηρίζει τὴν κεφαλὴν ἡ τῶν ἁμαρτωλῶν καύχησις, *χήραν* καὶ *ὀρφανὸν* ὁπωτινοῦντων, καὶ φονευόντων πάντα καὶ *ἰδιαγενῆ καὶ πρόσηλυτον*. Οὐκ ἔστι δὲ *ὁ βοηθῶν*, ἢ *ὁ ἐξαιρούμενος*· ἀλλ' ἄγεται καὶ φέρεται πάντα, *μὴ ὄντος λυτρουμένου μηδὲ σώζοντος*· καὶ *ἐμπαῖκται μὲν ἡμῶν κυριεύσουσιν*. *Οἱ πράκτορες δὲ ἡμῶν* κλαμῶνται τὰ τομώτερα ὄρεπάνου κατάλοιπα. Πάντες ἡμῖν ἐφιστάμενοι νεώτεροι τὴν ἡλικίαν ὁμοῦ καὶ τὸ φρόνημα, ἀλλὰ καὶ τὴν ἀδικίαν ἀεὶ νεώτεροι, οὐ γηρῶντες, ἢ παρακμάζοντες, ἀλλ' ἑκάστοτε πλεονεξίας εἶδος προσεξευρίσκοντες, καὶ τὸ στρεβλὸν *πνεῦμα τοῖς ἐγκάτοις αὐτῶν ἐγκαινίζοντες*, καὶ μήτε νουθεσίαι, μήτε φόβου (9) ἀνθρώπων ἀνακοπτόμενοι, ἀλλὰ πρός τι κραταιότερον ἀφορῶντες, ᾧ τὴν κακίαν εὐροῦνται (10) καὶ τὴν ἀδικίαν ἀνατρέφονται, καὶ ῥωννύονται. Κἂν τις βασιλέως ἐπιμνησθῇ, καὶ

IV. — *Patriarchæ.*

Quomodo audes, dicet mihi fortasse aliquis, ad dominum tuum libere nunc loqui, tu, qui tot annis *custodia* silentii labia tua [87] ita occlusa tenuisti, ut nec verbulum dixeris benefactori tuo, quem alias et ore, et spiritu, et litteris complecti, deosculari, omnique honoris cultu prosequi debebas? Non solum enim dominus ille est, sed etiam pater, imo patrum omnium conjunctissimus et amantissimus. Nam ego quidem sum anima: hanc vero patriarcha *condidit*, et *formavit* [88], conditione et formatione blanda et plane salutari: ac præterea compatiendi infirmitatibus nostris et indolem habet et exercitium. Fortasse etiam ipse *tentatus* aliquando *didicit ex iis quæ passus est* [89], nostra, ne dicam amplius. Si enim *in viridi ligno hoc fecerunt*, *in arido quid facient* [90]? Fortasse etiam, quæ propria experientia **563** nunquam didicit, præcellentia mentis suæ facile cognovit. Non enim ignorat illos, (heu! nescio, quid dicam) pontificum *tribulos et spinas* quibus pectori nostro infixis, miseri effecti sumus: quandoquidem ad cœlum usque pertingit jactantia peccatorum, qui *viduam*, *et pupillum*, *indigenam*, *et advenam* interficiunt [91]: et non est *qui auxilietur*, neque *qui eripiat* [92]: sed aguntur et feruntur omnia, *dum non est qui relimat*, *neque qui salvum faciat* [93]: *et illusores dominantur nobis*. *Exactores autem nostri* [94] etiam minutiores spicas, quæ falcis effugerunt aciem, sibi colligunt. Omnes nos premunt, qui etsi juniores ætate sint et prudentia, malitia tamen semper multo valentiores sunt: neque in ea unquam senescunt, aut languidiores fiunt, sed novum jugiter avaritiæ genus excogitantes, perversumque *spiritum* semper *innovantes in visceribus suis* [95] (a quo neque monitionibus, neque timore hominum avocari possunt), et ad quid validius jugiter respicientes, quo in malitia præpotentes fiunt, injustitia adolescunt et corroborantur. Quod

[87] Psal. xxxviii, 2. [88] Deut. xxxii, 6. [89] Hebr. v, 8. [90] Luc. xxiii, 31. [91] Psal. xciii, 6. [92] Psal. vii, 11. [93] Ibid. 3. [94] Isa. iii, 4, 11. [95] Psal. l, 12.

Variæ lectiones et notæ.

(7) Hoc est, *ecclesiasticorum et sæcularium*.

(8) *Isp.* ἔκτισε, quia postea sequitur κτίσιν, quanquam etiam ἐκτήσατο recte se habet.

(9) *Isp.* φόβῳ.

(10) *Isp.* ἐῤῥώνται.

Digitized by Google

si quis imperatoris, et gladii, quem ad *timorem* [46] malorum Dei nutu ille portat, mentionem fecerit, rident obsoletum jam verbum, et ejus qui illud effert, damnant simplicitatem : ignari, quomodo olim hanc illis cæcitatem induxerit simulatio. Porro et illius perquisitionem submovere nitentes, proprias sibi fabricant ærumnas; ne ille a rebus domesticis bene compositis vacans, inquirat in aliena : scilicet velut torrentem, qui ipsos rapere potest, aliam in partem divertere conantur. Sicque tropæum sibi erigere videntur : *et gloriantur in malitia, qui potentes sunt iniquitate* [47], et sapientes malefaciendi. Sicque Dei providentiam cavillantur, ut ferme cum Pharaone dicant : *Vacatis, otiosi estis; idcirco festivitatem comminiscimini populo, et quietem* [48]. Hinc opera graviora; hinc exactores operum acerbiores : hinc clerici exspoliati et cæsi : advenæ censi, et exspoliati omni portione terræ, etiam ejusmodi, quam pullex saltibus facile dimetiri posset (ut nobis reipsa modo ea nonnisi tribulos et spinas germinet [49]) : hinc omnia examinata et appensa; ut usque *ad divisionem* carnis et ossium *pertingant* opera istius absurditatis [50] : ac ea *renum cordiumque scrutatio* [51], quæ propria Dei est, nunc communis etiam exactoribus evaserit; ut nihil plus mundi potentatibus hac parte habeat omnipotens; neque principibus hujus sæculi *Pater futuri sæculi* [52]. Adeo scilicet longe processerunt, ut postquam divina in rerum possessione rapinis suis violaverint, etiam ad divinas prærogativas sibi arrogandas progressi sint : et qui inter ipsos *formica* erat, factus est leo, juxta magnum illud apud Jobum ænigma. Præterea illud etiam sibi assumunt, **564** ut irreprehensibiles esset velint, ac data opera sibi, ac si essent sui ipsorum proci, negotiorum cinnum propinant. Captant insuper munera, velut ad sese leniendos idonea : at ubi acceperunt, iterum irascuntur et territant eos, qui semel dedere, ut dare assidue pergant : quod si quod expetunt, non accipiant, belluarum instar ferociunt. Putant enim episcopum pauperem esse non posse, atque ei ex terra non sata, nec culta fruges sponte sua prodire; quin et a fluviis aurum ipsi advehi absque labore, aut igni purificatum : equos autem et mulos a canibus progigni, et omnia demum esse Dei sacerdoti nova et insolita : vel si non ita sit, eum neque sacerdotem Dei esse, sed pollutum et omnino profanum : quin et rerum divinarum contemptorem, et nimis suis addictum, et in muneribus profusum, et quo demum dæmone non pejorem? Neque enim horrescunt illi ea, quibus contra Christianos avaritiæ rabie exagitati furunt; sed episcoporum accusationibus tan-

A τῆς μαχαίρας ἣν εἰς *φόβον* τῶν κακοποιῶν ἐκ Θεοῦ φορεῖ, καταγελῶσιν ἐώλου τοῦ λόγου, καὶ τοῦ λέγοντος καταδιαιτῶσιν εὐήθειαν· μὴ εἰδότες ὡς πάλαι ταύτην αὐτοῖς ἀμβλεῖαν πεποίηκεν ἡ ὑπόκρισις. Ἤδη δὲ καὶ τὴν περιεργίαν τούτου βαρέως ἀντιπερισπᾶν μηχανώμενοι, ἰδίας αὐτῶν συμφορὰς τεκταίνουσιν, ἵνα μὴ σχολάζων ἀπὸ τῶν οἰκείων εὖ κειμένων, περιεργάζηται τὰ ἀλλότρια, καὶ ὥσπερ τι ῥεῦμα παρασύρον αὐτοὺς ἀνθελκύοντες, μετοχετεύουσιν ἄλλοθεν. Καὶ οὕτως ἄγουσι στησάμενοι τρόπαιον, *καὶ ἐγκαυχῶνται ἐν κακίᾳ οἱ δυνατοὶ, καὶ οἱ σοφοὶ τοῦ κακοποιεῖν.* Οὕτω τὴν τοῦ Θεοῦ μοῖραν κατασοφίζονται, μονονουχὶ καὶ αὐτοὶ κατὰ τὸν Φαραὼ λέγοντες· *Σχολάζετε, σχολασταί ἐστε, καὶ διὰ τοῦτο ἑορτὴν ἐπινοεῖτε τῷ λαῷ καὶ ἀνάπαυσιν.*

B Ἐντεῦθεν ἔργα βαρύτερα καὶ ἐργοδιῶκται πικρότεροι, καὶ κληρικοὶ μὲν γυμνούμενοι καὶ τραχηλιζόμενοι, πάροικοι δὲ ἀριθμούμενοί τε καὶ ἐξονυχιζόμενοι, καὶ γῇ διαμετρουμένη τοῖς τῆς ψύλλης πηδήμασιν, ἵν' ἡμῖν ὄντως νῦν ἀκάνθας καὶ τριβόλους ἐξανατέλλῃ· καὶ πάντα ἐρευνώμενα καὶ ζυγοστατούμενα, ἄχρι *μερισμοῦ* σαρκῶν καὶ ὀστέων *ἱκνούμενα* τῆς ἀλογίας ταύτης, καὶ *ὁ τῶν νεφρῶν καὶ καρδιῶν ἐτασμὸς* Θεῷ νῦν κοινούμενος πρὸς τοὺς πράκτορας, ἵνα μηδέν τι πλέον ἔχῃ τῶν κοσμοκρατόρων ὁ παντοκράτωρ, μηδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου *ὁ τοῦ μέλλοντος αἰῶνος Πατήρ.* Οὕτω προσώτερον κεχωρήκασι, καὶ ἀπὸ τοῦ τὰ ἐν χρήμασι θεῖα ταῖς ἁρπαγαῖς βεβηλοῦν, καὶ ἐπὶ τὸ τὰ θεῖα ἰδιώματα ἐξιδιοῦσθαι προέβησαν, καὶ ὁ ἐν C αὐτοῖς *μύρμηξ* λέων ἐγένετο, κατὰ τὸ μέγα παρὰ τῷ Ἰὼβ αἴνιγμα. Ἐπὶ τούτοις λαμβάνουσι μὲν καὶ τὸ ἀνέλεγκτον, ἢ προηγουμένως σφίσιν αὐτοῖς μνηστευόμενοι τὸν κυκεῶνα τῶν πραγμάτων ἐκέρασαν. Προσλαμβάνουσι δὲ καὶ τἄλλα μειλίγματα, κἀπειδὰν λάβωσι, προσερεθίζονται, καὶ δεδίττονται ἀεὶ τοὺς ἅπαξ δόντας, ὡς ἀεὶ διδόναι δεδωκημένους? κἂν μὴ λάβωσιν, ἀγριαίνουσιν. Ἀξιοῦσι γὰρ μηδὲ πένεσθαι τὸν ἐπίσκοπον, ἀλλὰ φύεσθαι μὲν αὐτῷ τὰ ἐκ τῆς γῆς ἄσπαρτα καὶ ἀνήροτα· ἕλκεσθαι δὲ αὐτῷ τοὺς ποταμοὺς χρυσὸν ἀτεχνῶς ἄπυρον· ἵππους δὲ καὶ ἡμιόνους αὐτῷ τὰς κύνας τίκτειν, καὶ πάντα εἶναι τῷ τοῦ Θεοῦ λειτουργῷ καινά, ἢ εἰ μὴ εἶεν, D μηδὲ λειτουργὸν εἶναι Θεοῦ, ἀλλ' ἀνίερον καὶ παμβέβηλον, καὶ τὸν θεῖον (11) ὑβριστὴν ἐκ τοῦ κόρου, καὶ προσπαθῆ τοῖς οἰκείοις καὶ προικοδότην, καὶ τίνος γὰρ οὐ χείρω καὶ τῶν δαιμόνων; Οὐ γὰρ φρίττουσιν ἐφ' οἷς αὐτοὶ κατὰ Χριστιανῶν μαίνονται τῇ λύττῃ τῆς πλεονεξίας ὑποκινούμενοι, ἀλλὰ ταῖς τῶν ἐπισκόπων κατηγορίαις ὡς σφετέραις συνηγορίαις ἐρείδονται, ὥσπερ ἐπάθλου τινὸς αὐτοῖς κειμένου, εἰ τὰ τῶν Ἐκκλησιῶν ἐπιτρέψαντες, ἔτι καὶ τοὺς προεστῶτας κατασπιλώσαιεν. Τοῦτο μὲν ἴσως κατὰ

[46] Rom. XIII. 3. [47] Psal. LI, 3. [48] Exod. V, 17. [49] Gen. III, 10. [50] Hebr. XLIX, 12. [51] Psal. VII, 10. [52] Isa. IX, 6.

Variæ lectiones et notæ.

(11) *Ισ.* τῶν θείων.

Digitized by Google

λόγον γινόμενον, ἵνα μηδὲν αὐτοῖς ἀτόλμητον ᾖ, μηδὲ τῆς ποίμνης κερατιζομένης, ἁπλῆξ ὁ ποιμὴν καταλείποιτο· ἀλλ' ἓν ἡ κεφαλὴ πρὸς τὸ σῶμα γνωρίζοιτο, οὐκ ἐκ τοῦ συναισθάνεσθαι μόνον τοῦ τῶν λοιπῶν μελῶν ἄλγους, ἀλλὰ γὰρ καὶ ἐκ τοῦ μηδ' αὐτὸν ἀμοιρεῖν κατάγματος, ὡς ἂν καὶ διπλῇ πάσχῃ οἷς τε τὰ τῶν ἄλλων ἀναδέχεται διὰ τὴν συμπάθειαν, καὶ οἷς αὐτὴ δέχεται τὴν ἐμπάθειαν. *Διὰ ταῦτα ἐγὼ κλαίω*, φησὶν Ἱερεμίας, διὰ ταῦτα, ὡς οὐδ' αὐτὸς ἀγνοεῖς, ἐγενόμην σοι ἄλαλος. Οὐ γὰρ οὕτως ἐγὼ μεγαλόψυχος, ὥστε τηλικαῦτα βάρη ῥᾳδίως ἀποτεισόμενος, εὐφόρως ἔχειν πρὸς τὰ καθήκοντα. Ἀλλ' ὁμολογεῖς (12) τοῦ τῶν κακῶν τούτων ὕψους ἱστασθαι ταπεινότερος· μὴ λίθων ἰσχὺς ἡ ἰσχύς μου; *Ταλαίπωρος ἐγὼ ἄνθρωπος*, καὶ *ἐκτακείς τὴν ψυχήν ὡς ἀράχνη*, καὶ δεόμενος ἀναψύξεως. Διὰ ταῦτα πάλιν τὰς ὠδῖνας τῆς γλώττης ἔλυσα, πεποιθὼς ὡς οὐκ ἀπώσῃ τοὺς λόγους τοὺς βιαίους (13), ὡς οἶσθα, σιγήσαντος. Εἰδὼς δὲ ὡς ῥᾴων ἔσομαι διὰ τῆς ὡς ἐνεστι τῶν ἐνοχλούντων ἡμῖν ἐξερεύξεως, τὸ μέγιστον ὡς λυθήσομαι τούτων σαῖς ἁγίαις εὐχαῖς, ἢ μετριώτερον πειραθήσομαι, ἢ καρτερῶς φέρειν δυναμωθήσομαι. Μὴ οὖν ἀμελήσῃς τῶν πρὸς τὸν ἀγαθὸν Δεσπότην δυσωπητικώτερον ἐντεύξεων, γινώσκων, ὃ καὶ ἡμᾶς διδάσκεις, ὡς καὶ τοῖς κακουμένοις μὲν χαρτὴ μεγάλα, τοῖς δὲ κακοῦσι τὰ μείζονα, εἴπερ ἐκείνοις μείζων ἐκ τῆς ἀδικίας ἡ βλάβη, εἰς ψυχὰς ἀποσκήπτουσα. Καὶ θατέρου μὲν οὖν ὠφελουμένου μέρου, ἕτοιμος ὁ Δεσπότης τὸ ἀγαθὸν ἐξεργάσασθαι· ἔνθα δ' ἑκατέρῳ καὶ μάλιστα ψυχικὸν τὸ κέρδος, πῶς οὐ πάντας μὲν κινήσει λόγους, πᾶσαν δ' ἀναστείσει τοῦ ἐλέους ἱκετηρίαν, ὥστε χεθῆναι τὸ ἀγαθὸν, καὶ ὀδεῦσαι ἔνθα πλείονα τὰ εὐεργετούμενα; Ταῦτά σοι, ὦ τοῦ Πνεύματος σοφὸν καὶ καθαρὸν οἰκητήριον, ἐπιστολῆς μὲν ἴσως μείζω, τραγῳδίας δὲ ἐλάττω, τῶν δὲ πραγμάτων οὐδ' ἔστιν εἰπεῖν ὅσον ὕστερον. Δώῃ δὲ Κύριος ἢ περιαιρεθῆναι, ἢ περικερασθῆναι, ἢ ἡμῖν ἐφόρως (14) ποθῆναι τὸ τῆς πικρίας ποτήριον ταῖς σαῖς, ὑπὲρ πάντων πρεσβείαις, πανάγιε δέσποτα.

quam advocationibus suis gaudent, veluti si præmium aliquod certaminis esset illis propositum, si post eversas res ecclesiasticas, ipsos etiam præsides expilarent. In hoc solum fortasse consentanee ipsi se gerunt, ut nihil ausum ab ipsis non sit, ne, direpto grege, pastor impercussus remaneat; sed unum cum corpore suo caput esse dignoscatur, non ex eo solum quod reliquorum sentiat dolorem membrorum; sed ex eo etiam quod neque ipsummet propria careat fractura: sicque dupliciter patiatur, et ex aliorum vulnere membrorum, quæ in se per compassionem recipit; et ob ea, quæ in seipso recipit per impressionem. *Idcirco ego plorans* [53], ait Jeremias: et propter hanc ego causam, quod et tu nosti, factus sum erga te mutus: non enim ipse adeo magno et generoso sum animo, ut tam ingentia onera facile excutiens, promptus ad officia esse possim; sed fateor tanta me malorum altitudine inferiorem esse: nunquid enim silicis est fortitudo mea? *Infelix ego homo* [54]! *Tabescit sicut aranea anima mea* [55], et egens sum refrigerii. Propterea rursus linguæ meæ vincula solvi, confidens fore, ut sermones meos non repellas: non enim sponte, sed vi summa præpeditus, ut jam nosti, hucusque conticui. Aliunde vero scio, me levius habiturum, si ea quæ me conturbant egessero; et, quod maximum est, sanctis tuis precibus me vel malis istis penitus exsolvendum, vel minus tentandum fore; aut saltem ita corroborandum, ut ad ea fortiter perferenda idoneus magis fiam. Ne igitur negligas, efficaciores ad optimum Dominum orationes tuas effundere: nosti enim (quod et nos doces) hac te ratione et læsis beneficium collaturum te maximum; et lædentibus adhuc majus: nam isti **565** ob injustitiam majore, quippe ad animas spectante, afficiuntur damno. Et quidem si de unius tantum partis emolumento ageretur, promptus foret Dominus meus ad id perficiendum: cum vero utrique parti magnum et præsertim spirituale, obventurum est lucrum; quomodo non omnes excutiat rationes, omnesque non insumat, quibus commiseratio uti potest, precandi formulas, ut diffundatur bonum, et eo usque progrediatur, ubi plurimi beneficio afficiendi sunt. Hæc vero dicta sint tibi, o sapiens, et purum Spiritus sancti habitaculum: quæ quidem epistolæ modulo fortasse sunt plura tragœdiæ vero pauciora; rebus autem ipsis, haud dici potest, quantum inferiora. De reliquo det Dominus tuis precibus, sanctissime domine, ut vel omnino tollatur, aut saltem temperetur, vel demum facilius a nobis ebibatur amarus passionis calix.

Ε'. — *Τῷ Ῥωμαίῳ.*

Ἐκκεκώφηκάς μοι τὰ ὦτα, ὁ καλὸς Ἰωάννης, λαμπρότατέ μοι ἐν Κυρίῳ υἱὲ, μετὰ κρότων τὰ σὰ διηγούμενος. Ὅ τι μὲν γὰρ αὐτῷ καλὸν ἐπιδείξαιο, οὐ πάνυ τι σαφῶς ἴσημι· οἱ δ' οὖν τούτου λόγοι νεφέλην ἐκείνην σε ποιοῦσι τὴν Ῥοδίοις χρυσόν ποτε ῥεύσασαν· ὥστ' εἰ μὴ σφόδρα ἤδειν πεπνυμένον καὶ διὰ τοῦτο ψεῦδος οὐ λέγοντα, οὐκ ἂν ἐνεδεδώκειν τῇ τῶν ἐπαίνων καινότητι· ὑπερβαίνουσι γὰρ τοῦ νῦν

V. — *Romano.*

Surdas pene mihi aures fecisti, illustrissime mi in Domino fili, velut bonus Joannes, tua tantis cum plausibus mihi enarrans. Sed an idcirco bonum te demonstraveris, ego quidem affirmare non ausim; tui namque hac de re sermones nubem te illam faciunt, quæ Rhodiis aurum olim depluebat. Quare si ego eximiam tuam non nossem prudentiam, teque adeo a mentiendo alienum nescirem; non

[53] Thren. I, 16. [54] Rom. VII, 24. [55] Psal. XXXVIII, 12.

Variæ lectiones et notæ.

(12) *Ισ.* ὁμολογῶ.
(13) *Ισ.* τοῦ βιαίως.
(14) *Ισ.* εὐφόρως.

Digitized by Google

utique laudum tuarum novitatem admisissem : excedunt enim præsentis ætatis, haud scio an ferreæ dicam vel testaceæ bonitatem. Unde igitur tu nobis apparuisti in præsentis vitiositatis nocte stella insignis juxta Pindari phrasim? Unde, o beate? Solve dubitationis meæ vincula. Sed in promptu est solutio. Scilicet illa benefactrix hominum philosophia, quæ etiam pecuinos, ferinosque humanat homines, non minus ac Circe, cum Ulyssis socios ex suibus, proprio cuique collato pharmaco, ad humanum statum restituit; philosophia, inquam, ut humana est ac benigna, hanc tibi intus formavit habitudinem, et cœlestem plantam in alieno agro, juxta Platonis tui dictum, insevit. Arcte igitur retine bonitatem qua Deo appropinquas, cœloque caput innixum tenes, tametsi adhuc per terram gradiaris. Hoc enim est verum esse philosophum. Non enim iste mihi de rebus sublimibus ac cœlestibus tantummodo nugetur : neque mihi tostionem et assationem et alixationem explicet, neque majus alpha magnifice jactet, et deinde cum quidquam operari oportet, et ad id descendere, quo usui nobis est, ruditate transcendat vel illum olim Atheniensium cauponem **566** Sarabum. Porro ita se gerere res est ejus, qui nec cognoscit num sint, quæ sunt (alias rebus vere exstantibus studeret) nec ejus, qui in mortis meditatione se exercet. Sed tu non utique talis es. Ita tibi Deus Verbum, et vera Dei Sapientia semper magis ac magis cognitionis lucem effundat, et servet ab omni malo.

A γένους, οὐκ οἶδα πότερον, σιδηρέου φαίην, ἢ κεραμέου ἀγαθότητα. Πόθεν οὖν ἡμῖν τοιοῦτος ἀνεφάνης ἐν τῇ παρούσῃ νυκτὶ τῆς κακίας ἀστὴρ ἀρίζηλος κατὰ Πίνδαρον (15); Πόθεν, ὦ μακάριε; Λῦσον τὰ τῆς ἀπορίας δεσμά. Καὶ μὴν ἐγγύθεν ἡ λύσις. Ἡ γάρ τι [*f.* γάρ τοι] τῶν ἀνθρώπων εὐεργέτις φιλοσοφία, ἡ καὶ τοὺς θηριώδεις, ἢ κτηνώδεις ἐξανθρωπίζουσα, οὐχ ἧττον ἢ Κίρκη τοῦ Ὀδυσσέως ἑταίρους, ἡνίκα καὶ ἐκ σιῶν (16) ἀποκαθίστα πρὸς τὸ ἀνθρώπινον ἑκάστῳ φάρμακον ἄλλο προσεπαλείφουσα. Ἐκείνη γοῦν ἡ φιλάνθρωπος τοιαύτην σοι τὴν ἕξιν ἐνέπλασε, καὶ φυτὸν οὐράνιον ἐν ἀλλοτρίῳ χώρῳ τῇ γῇ κατεφύτευσε, κατὰ τὸν αὐτῆς καὶ σὸν εἰπεῖν Πλάτωνα. Ἔχου τοίνυν τῆς ἀγαθότητος, δι' ἧς ἐγγίσας τῷ Θεῷ καὶ οὐρανῷ στηρίζεις κάρη, κἂν ἐπὶ χθονὸς βαίης. Τοῦτο γὰρ ὁ B ὄντως φιλόσοφος. Μὴ γάρ μοι μετεωρολέσχης ἦτω [*f.* μετεωρολεσχείτω] μόνον, μηδέ μοι τρανούτω στάθεσι, καὶ ὄπτησι, καὶ ἕπτησι· μηδὲ τὸ μεῖζον ἄλφα κομπαζέτω, εἶτα δεῆσαν ἐργάσασθαί τι, καὶ καταβῆναι· τοῦτο δὴ τὸ ἡμέτερον, Σάραβον ὑπερβαινέτω τὸν Ἀθήνησί ποτε κάπηλον· τοῦτο γὰρ οὔτε γινώσκοντος τὰ ὄντα ἢ ὄντα· ἢ γὰρ ἂν τοῖς οὖσι προσέθετο, οὔτε μελέτην ποιουμένου τὸν θάνατον. Ἀλλὰ μὴ σύ γε τοιοῦτος, ἵνα σοι καὶ ὁ Θεὸς Λόγος ἡ ἀληθὴς τοῦ Θεοῦ Σοφία, ἔτι καὶ ἔτι φωτίζει τὸ φῶς γνώσεως, καὶ τηροίη πάσης κακνύσεως ἀνώτερον καὶ κακώσεως.

VI. — *Mermentopulo.*

De me autem nulla ratio. Intelligis, bene novi comicum hoc hemistichium. Nempe facultas tua, quæ ut multis benefaceret, sortita est, in me suum proprium ignorat propositum, meque solum bonis tuis privat. Omnibus enim per tuam linguam instillat nectar; me autem prorsus aridum reliquit. Hoc sane est illud poetarum Alibanta. Quem igitur constituet sui patronum? Quomodo non ab omnibus revincetur, cum ego in illam omnes concitabo? Au contra me idcirco audacior est, quod inter barbaros degens rusticus, et agrestis evaserim? Sed, o mirabilis judiciaria facultas! tuis nos legibus instituti non verbis fidimus, sed factis : hæc vero in me nunquam rustica evaserunt. Vel igitur etiam mihi linguam parumper irrora, et aliquid nectaris D infunde; vel ad tui defensionem eam amplius exacue; non enim ego hoc ita feram, ut non de violata amicitia te incusem. Acri enim patrono instructus sum, nempe operibus : ac etsi debilis mihi sit famulus, segnesque mihi equi, attamen Diomedes novit servare Nestorem.

C Ϛ'. — *Τῷ Μερμεντοπούλῳ.*

Domine mi sancte, tuæ litteræ, quæ læto consolationis rore perpetuo madent et stillanti effluunt solatii nimbo, quæ præcipue nuper ad me perlatæ sunt, omnibus anxietatis et timoris fluminibus pectus meum inundarunt atque immerserunt, et docuerunt, te corpore misere et male fuisse affectum, et animam tuam terrificum mœroris et tristitiæ cetos absorbuisse, lamentabili illo interitus sebastocratoris, qui citra controversiam, omnes, gestarum gloria conspicuus evincebat. Certe quidem statim illum perspexi utriusque apud Deum medicinæ, et salutis modum posse invenire, qui animæ Pater est et corporis Conditor. Et hanc, ut filiam, suavibus lenociniis et mellea hilaritate, diris planctibus spoliavit. Et suam sobolem tandem firmabit, illi virium fulcra immittens potentissima. Utique in hunc oculos converti, simul anxietudinis et tristitiæ flumen cessavit, retroque compulsum stetit. At ut in te magnanimum et gravi mentis lumine splendentem conspexi, et congenitam animæ vim sum meditatus, protinus in arido mihi puppis constitit. Animo enim reputavi meo, tuæ mentis magnitudinem infortunia quæque mediorum eventuum esse existimasse materiam, et miseros corporis luctus, memoriam quamdam, ut quidem revera est, te merito ducere, atque ita te esse instructum, ut affirmares non omnia huic obsequi, cujus furentem fluxum non possumus continere, etsi multum sapientiæ et potentiæ robur toto conflaverimus conatu, ita ut hoc quidem

Variæ lectiones et notæ.

(15) *Λοιπούντων.* Iterum scrib. λυπούντων.

(16) *Ἀπέβλαψα.* Scrib. ἀπέβλεψα.

Digitized by Google

cnixe cogitemus, illa vero quælibet remorantia obstacula illi sedulo opponamus. Sed solum impensius omne illi objicere studium, ne totum dicam ministerium eorum, quæ nobiscum divinitora sunt, et in nos fortius dominantur, et quod constitutum est dominari **643** prius eorum quæ ornatui nobis sunt, deinde eorum quæ ipsum participant rationis usum, et quod nobis solum stabile et firmum habemus, et quasi ex interitus experte, et nullo modo labili et caduco constans et immortale. At affinis tui imperatoris mortem (cujus sanctitatis virtutes omnes et gratias ego ipse potissimum sum expertus, unde planctu dignus et perpetuo luctu mihi ille videtur, si alicui alteri etiam) illam, inquam, modo in expeditam animi promptitudinem accipies. Nam prorsus arbitror te, juxta paræmiæ sermonem, quo non minorem sapientiam habes, quam regnum, opera tua, in vitæ exitum, et ipsam tui corporis naturam disponere atque parare. Et simpliciter quidem omne inconstans judicium, quod solum immobile et stabile, quod in assiduo est motu et lapsu volvit, veluti quosdam indices, et signa prævia futuri te esse existimare. Maxime autem nunc quasi quæ proxime præcurrant, et ut proprius loquar veluti jam facem præferentem videas, Illique pareas, quantum vel ipse te nil tale sperantem adesse animadverterit, et ob hoc quidem magis paratum et expeditum, ita ut nec tibi ipsi terrori nec perturbationi esse potuerit. Ita et ego imperium tuum ratione certa expendi, et quam sit ejus magnitudo, sine ullo fuco et arte simplex, quæ omnia, quæ amara sunt et acerba, suavia sibi et jucunda, et quæ deformia pulcherrima esse constituit. Ex illa autem ingenti inundatione, quæ multis et rapidis anxietatis et tristitiæ aquis accrevit, ne lutum quidem in anima mea relictum video. Nam veluti sol omnia exsiccasti, et hoc solum excogitasti in me quomodo videlicet ad omnes casus, dubiosque rerum eventus me constitueres. Quid enim, nonne omne injucundum et durum læto animo, ut est tui pectoris magnitudo, es suscepturus? Qui etiam sermones meos, etsi nihil habentes molestium, et acre omnium suavissimos esse voves. Atque fateris te, qui

A σιλέως θάνατον, οὗ τῶν τῆς ἀγαθοσύνης χαρίτων μάλιστα πάντων αὐτὸς πεπείραμαι. Ὅθεν καὶ πενθητέος ἐμοὶ ἐκεῖνος, εἴπερ ἄλλῳ τινί· καὶ τοῦτόν γε δέξῃ ἑτοιμαστήριον. Καὶ πάντοτε μὲν γάρ σε πιστεύω, κατὰ τὸν τοῦ Παροιμιαστοῦ λόγον, ᾧ τὴν σοφίαν οὐχ ἧττον, ἢ τὴν βασιλείαν ἔχεις ταύτην, ἑτοιμάζειν τὰ ἔργα σου εἰς τὴν ἔξοδον, καὶ αὐτὴν τὴν τοῦ σώματος φύσιν, καὶ ἁπλῶς, πᾶσαν τὴν ἀστατοῦσαν κρίσιν, καὶ μόνον ἀκίνητον τὸ ἀεικίνητον ἔχουσαν, οἷόν τινας προδρόμους τοῦ πάντως ἐλευσομένου ποιούμενον. Μάλιστα δὲ νῦν ὥσπερ ἐγγυτέρους προδρόμους, καὶ ἵν' οἰκειότερον εἴπω, λαμπαδηφόρει πειθούμενον, ὅσον οὐκ ἔδει παρεῖναι τὸν προσδοκώμενον, καὶ διὰ τοῦτο μᾶλλον ἑτοιμαζόμενον, ὥστε σαυτοῦ περιποιήσασθαι τὸ ἀτάραχον. Οὕτως ἐγὼ παρὰ τῆς B βασιλείας σου λογισάμενος, οἷα δὴ αὐτὴ ἀμήχανος, πάντα διατιθεῖσα καὶ τὰ πικρὰ πρὸς τὸ ἥδιον, καὶ τὸ ἀσχήμονα πρὸς τὸ κάλλιον. Ἐκ τοῦ τῶν τῆς ἀθυμίας πολλῶν ὑδάτων κατακλυσμοῦ οὐδὲ πηλὸν ὅλως ἐναπολελειμμένον ὁρῶ τῇ καρδίᾳ μου. Πάντα γὰρ ὁ ἥλιος ἀποξηράνας ἐννοηθείς μοι μόνον ὅπως διατεθήσῃ πρὸς τὰ συμβάντα. Τί δὲ οὐ μέλλεις καὶ πᾶν ἀηδὲς ἡδέως διὰ τὸ μεγαλόψυχον δέχεσθαι; ὅς γε καὶ τοὺς ἐμοὺς λόγους τίνος οὐκ ὄντας ἀηδεστέρους ἡδίους εἶναι πάντων ψηφίζεις. Καὶ ὁμολογεῖς ὁ ἀετὸς τοῖς κρωγμοῖς τῆς κορώνης θέλγεσθαι, καὶ τοὺς παρ' ἡμῖν ἰχθύας πιστεύεις ἐπίσης τοῖς ἐμοῖς λόγοις ἡδεῖς ποι γεγενημένους ἀνεγερεῖν πρὸς πᾶν ἄλλο νεκρωθεῖσαν τὴν ὄρεξιν. Σὺ μὲν οὖν ἀξίως φθέγγῃ τῆς σῆς χρηστότητος, σαυτὸν μᾶλλον ὑψῶν, οἷς συγκαταβαί- C νων αἴρεις τὴν ἐμὴν χθαμαλότητα. Ἡμεῖς δὲ σύνισμεν ἡμῖν αὐτοῖς οὔτε λόγοις οὔτε ἔργοις οὐδὲν θελκτήριον ἔχουσι. Πλὴν ἀλλ' ἐστάλησαν ἰχθύες· οἱ μέν, ἄρτοι ταριχευτοί, οἱ δὲ, ἀρτιδίοις ἐνωπτημένοι. Καὶ ἡδυνθείη μέν σοι ἡ διαλογή μου, ἣν ποιοῦμαι διὰ τοῦδε τοῦ γράμματος· ἡδυνθείησαν δὲ μᾶλλον τῇ ὀρέξει σου οἱ ἰχθύες, ὡς καὶ ἀποστολὴ καὶ εὐλογία τῆς τὸν ζωοδότην ἡμῖν ἀποτεκούσης ἐν σώματι. Ἀναζωώσαιεν ταύτην, καὶ ἐνίσχυσις τῷ σώματι γένοιντο, πρὸς τὴν τῶν κατὰ φύσιν ἐνεργειῶν εὐστάθειαν ἐπαγαγόντες. Ἐπεὶ καὶ ὁ ἀριθμὸς τούτων τῆς κατὰ φύσιν τελειότητος σύμβολον. Εἴπερ δεκάδος μὲν τὸ τέλειον· ἡ δὲ φύσις πενταδικὴ διὰ τὴν ὕλην ἐν τῇ τετράδι τῶν στοιχείων θεωρουμένη, καὶ τὸ εἶ ἐξ ὧν πάντα τὰ καθ' ἡμᾶς φυσικά.

elegans aquila es, et sublimis, aspero cornicantis rostri strepitu demulceri, et nostros pisciculos, credis, cum meis sermonibus æque dulces effectos, appetitus sensus, qui ad omne aliud omnino demortui sunt, posse excitare. Tu autem quæ digna sunt tua sanctitate, et loqueris, et excogitas. Te ipsum maxime extollis, et quibus aliquantulum te demittis, meam humilitatem penitus in sublime effers. Nos vero, neque sermonibus, neque operibus nihil delinimenti et blanditiarum habentibus, nobis ipsi conscii sumus, nisi jam aliud nobis pisciculi instillaverint. Quorum hi quidem panes conditi sunt, hi vero panibus incocti. Et forte tibi hæc dissertatiuncula, et colloquium, quod hac epistola necto jucundum erit. Vel præcipue tuo appetitui et sensui, pisciculi valde fuerunt suaves, quasi munus et sacrum beneficium Virginis, quæ vitæ Datorem nobis in corpore peperit. Hoc quidem reviviscere facient et corporis vires, et robur erunt, illud in constantem efficacis operæ naturam adducentes. Quoniam et horum numerus, cujusdam naturæ perfectioris symbolum est. Siquidem denarius summa est perfectio. Et ipsa quidem natura, ob objectam materiam, quam in quatuor elementorum meditamur compagine, pentade constat, et quinaria esse fertur, et omne, id est ex quo, cuncta, quæ in nobis naturalia sunt, componuntur.

Digitized by Google

ΕΠΙΣΤ. ΙΓ'.

Τῷ Σεμνῶν.

Καί κεν τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον ἦεν, ἱερωτάτη μοι κεφαλή, ἡ [*f.* εἰ] θανάτοις ἑτέρων οἱ κακοῦντες πρὸς τὸ ἀνθρωπινώτερον ἡμᾶς συνεστέλλοντο. Νῦν δὲ οὕτως εἰσὶν ἄτρυτοι τὴν κακίαν, ὥστε μᾶλλον ταῖς πληγαῖς κατὰ τὸν Αἰγύπτιον ἐκεῖνον κατασκληρύνεσθαι καὶ οὕτω [*f.* οὔπω] τοῦτο ἂν ἀνδρικὸν, εἰ ταῖς τῶν οἰκείων, ἀλλ' ἤδη καὶ ταῖς σφῶν αὐτῶν καὶ ὅ φασι, πολλὰ τῶν θηρίων ἐπειδὰν τρωθεῖεν ποιεῖν, ἀφειδοῦντα μᾶλλον ἑαυτῶν, εἰσπηδᾷν τοῖς τραύμασι θυμικώτερον· ὡς ἂν ἐπειδὴ παθεῖν μέλλοιεν, καὶ δράσαιέν τι τοὺς πολεμοῦντας. Εἰ βούλει δέ μοι, οἳ τὸν Ἀντίπατρον Ἡρῴδην ἱστοροῦσι, νεανιεύσασθαι ἐπιθανάτιόν τι κατόρθωμα, καὶ τῆς ἐκείνου θηριωδίας ἄξιον, συναγαγόντα πάντας τοὺς τῶν Ἰουδαίων λογάδας εἰς τὴν τῶν βασιλείων αὐλὴν, ἀθρόους κατασφάξαι ὡς ἱερεῖα, ἵνα, φησὶ, μηδεὶς οἶκος Ἰουδαίων πένθους ἄγων σχολὴν τῷ ἐμῷ ἐπικροτοίη θανάτῳ. Τοιαῦτα τοίνυν δοκῶ μοι λογιζομένους τοὺς ἐν ταῖς νῦν ἡμέραις θηριώδεις καὶ Ἡρωδιανοὺς, καὶ πληττομένους, προσερεθίζεσθαι, καὶ θανατουμένους, ζῶσαν τὴν κακίαν καὶ ἀθάνατον ἐπιδείκνυσθαι· ὅσῳ μᾶλλον ἐγγίζουσαν προορῶσι τὴν θείαν ἀπώλειαν, τοσούτῳ πλείους προσαπολλύναι σπουδάζοντας· ὡς ἂν προαπελθόντος, μήτ' ἴδωσι τὴν ἑαυτῶν ἀπώλειαν, μήτε ταύτῃ ἐπιγελάσωσι, καὶ σχῶσιν ὅλως τοῦ διαχυθῆναι καιρόν. Οὓς ἀεὶ πενθεῖν καὶ σκυθρωπάζειν ἠβούλοντο. Εἰ μὲν οὖν τῶν τινα δαιμόνων ἐλπίζεις μεταβαλεῖν τὴν προαίρεσιν πεισθέντα τοῦτ' ἢ βιασθέντα ταῖς οἰκονομίαις τῆς τοῦ Θεοῦ ἀγαθότητος, ἔλπιζε δὲ τοὺς ἡμετέρους δημίους ἀγαθυνθῆναι ταῖς αὐστηροτέραις τῆς πολυποικίλης σοφίας ἐπεξελεύσεσιν. Εἰ δ' οὐ κἀκεῖνο, πῶς; τοῦτο συνιδεῖν οὐκ ἔχω. Καὶ τούτοις γὰρ εἰς ἕξιν ἡ κακία παγεῖσα, φύσεως δύναμιν ἔλαβεν· ὡς, ἐξ ὧν δρῶσι, συμπείθομαι. Πλὴν ἀλλ' ἡμᾶς τὸ ὀφειλόμενον δεῖ ποιεῖν, ἐπεύχεσθαι τούτοις ἀεὶ τὴν διόρθωσιν. Ἐπεὶ καὶ ὁ Κύριος ἐτάζων τοὺς νεφροὺς τοῦ Ἰούδα, ᾔδει μὲν αὐτὸν ἀδιόρθωτον, οὐκ ἐπαύετο δὲ τὰ τῆς ἀγαθότητος ἐνδεικνύμενος. Μὴ παύσαιο τοίνυν αὐτός τε τούτων ὑπερευχόμενος, καὶ ἄλλους, ὅσους οἵδας εὐσθενεῖς, ἐπὶ τῷ ἴσῳ ἔργῳ παρακαλῶν, εἴ πως ὑπὲρ ἐλπίδος τῇ πολυχειρίᾳ τὸν λίθον μετακινήσαιμεν.

644 EPIST. XIII.

Semnarum episcopo.

Equidem hoc cuperem, et multo quidem utilius esset, vir sanctissime, si aliorum morte et cædibus, qui infligendis plagis et cladibus inhiant, in majorem in nos humanitatem et mansuetudinem adiguntur. Nunc autem ita flagitiis nefariis et sceleribus sunt indefessi et effracti, ut ipsis plagis, quemadmodum ille Ægyptius ad mala sævius recrudescant et exasperentur. Et nondum hoc illis satis ad strenuitatem est, si domesticorum et proximorum cædibus, sed jam si suis ipsorum casibus crescant, et quod dicunt etiam plures feras, postquam vulneribus variis effossæ fuerint, maxime nec sibi ipsis parcentes, ad truculenta vulnera animosiores insurgere et ingruere compellunt, ac si quia mortem fuerint passuræ, ipsos adversarios pertimescerent. Si vero mihi concedis, quod de Antipatro Herode historiæ referunt, facinus fuisse aggressum sævissimæ morti obnoxium et certe illius feritate dignum. Nam cum omnes Judæorum lectas cohortes congregasset et in regiam aulam invexisset, confestim omnes quasi victimas et sacrificia mactavit, ut, inquit, nulla Judæorum domus, si a luctu quodammodo cessaret, in meam mortem lætantes ederet plausus. Talia quidem hisce diebus, hos Herodianos et hæc ferina corda reputare et excogitare arbitror, et excitatos et compulsos irritari et sævire, et etiam vel defunctos penitus, et terræ abditos sulcis, vitia, scelera et immortale flagitium manifestare. Qui et quanto propius prævident divina accedere flagella, tanto plures vastare et diripere conantur. Ut quam primum illa decesserint, neque proprium ipsorum interitum videant, neque hoc modo illudere et irridere possint, sed et omnino illud confusionis truculentæ tempus continere illi, quos perpetuo ingemere et diro mœroris tabo confici statuerunt. Si quidem quemdam dæmonum speras, aut hoc pacto persuasum, aut ipsa divinæ bonitatis administratione coactum et deflexum, quam sibi constituerit cladem immutare, etiam sperare potes, hoc nostros acerrimos tortores, severioribus variæ sapientiæ viribus, asperam posse vindictam mitigare. Si autem illud fieri non potest, quomodo hoc posse effici pernoscam non habeo. In his etenim omne flagitii genus, vitiique robur, ipso corporis habitu accrescens, jam naturæ vires suscipit. Quemadmodum ex eorum operibus intelligimus. Nisi quod nos fas est facere, quod nos decet. Quippe facilem operis exitum, et emendatos mores ab illis semper precari. Etenim postquam Dominus Judæ renes scrutatus fuit, et illum nulli obnoxium correctioni invenit, non tamen cessavit bonitatis suæ et clementiæ munera illi emittere. Ne igitur tu etiam cessa in hos aliosque, quos infirmos noveris, orare, cunctosque in compensationis æquale munus et opus deflectere, si quando supra spem totis manibus lapidem trajicere-mus.

ΕΠΙΣΤ. ΙΔ'.

Τῷ Κύτρου.

Ὄντως τῷ πνευματικῷ πνευματικὰ, καὶ τὰ κοσμικὰ, καὶ πάντα ἐν πᾶσιν ὁ Θεὸς τούτῳ γίνεται, ἰδοὺ γοῦν σοὶ καὶ αὐτῷ, σεβασμιώτατέ μοι δέσποτα, τὰ πρὸς τὴν ἡμετέραν σταλέντα εὐτέλειαν. Εἰ καὶ

645 EPIST. XIV

Citri episcopo.

Vere quidem hoc spirituali robore et spiritualia et terrena et omnia quæ sunt in omnibus Deus occupat. Te quidem ipsum circumspice, augustissime domine, hæc quidem quæ in nostram

Digitized by Google

vilitatem tenuemque naturam sunt emissa, etsi terrena sint, nescio quid secum spirituale involucro quodam innuere videntur. Nam unguentum ex odoriferis rosarum guttulis instillatum, in duabus vitreis amphoris emissum, hujus me compaginis et ossium structuræ admonuit. Ut si corpus et animam diaphana et perspicua quædam, ut vitrum, ille effecerit, hæc vasa effusi et evacuati in nos unguenti constitueremus. Nosti autem omnino hanc quasi guttam, super terram stillantem, cujus quæ astricta est et solida pars, suavi fragrans est odore. Est enim natura conservandi prædita. Et pars bonum spirans odorem stipata est et condensa. Non enim dissolvi potest. Nam jugum quidem habet, sed commodum et utile. Etiam et pondus habet, sed leve et suave. Et porro in dulcem inducit thalamum, sed per angustum viæ callem. Et lætitia nos gestire jubet, sed trepidos nos et pavidos constituit. Ligna vero illa odorifera, frustra ita et abs re, a tua spirituali scientia sunt emissa. Sed nimis nos ipsi etiam desides essemus et inepti, nisi hoc in loco aliquid spirituale comprehenderemus. Quatuor etenim cum hæc ligna sint, quid aliud quam lignum in quatuor dissectum partes manifestant, quod omnium nostrum salutem mire perfecit? In quo Paulus glorians, et nos qui Christi sumus, carnem cum humanis affectibus et cupiditatem illecebris crucifigere suadet [8]. Insigniter itaque nos edocuisti, decere quidem cum omnibus hujus mundi voluptatibus et jucunditatibus nos ipsos crucifigi. Sed forte aliquis urbane diceret, Hæc quæ missa sunt, in se ipsos vere sunt emissa. Nam juxta numeri mysterium, ut dictum est, nos in hæc mundi pericula et imminentia damna crucifigi docemur. Maxime autem cuncta summo Deo referre, et talium rerum venire, qui, etsi aliis ignobilibus lignis, tamen ob fragrantem odorem, tantum honorem impendit. Et plura quidem quæ scriberem habui, scilicet quæcunque perspexi te, ob ea quæ jam missa sunt, meam humilitatem et abjectam naturæ conditionem edocere. Sed quod mihi emolumentum est, quæ utilitas, hæc mente evolvere et nullis tamen exsequi operibus. Tuis autem precibus et intelligere, et quod opus est, absolvere facile consequar et meam ipsius vitam, vitæ odorem habentem, non autem cæcæ mortis, vago gregi qui meis insistit vestigiis, qui in me oculos figit suos, exhibere. Quod præstare nunquam cessabis, qui in nos præcipue ad hæc semper es expetitus.

A κοσμικά εἰσι, πνευματικόν τι αἰνίττεται. Τὸ μὲν γὰρ ἐκ τῶν τοῦ ῥόδου σταγόνων μύρων ἐν δυσὶν ἀγγείοις ὑελίνοις ἀπεσταλμένον, ἐνουθέτει τὴν ἐμὴν πώρωσιν, ὡς ἂν σῶμα καὶ ψυχὴ καθαρὰ καὶ διαφανῆ ὡς ὕελον ἐργασάμενος, ἀγγεῖα ταῦτα τοῦ κενωθέντος δι' ἡμᾶς μύρου ποιήσωμεν. Οἶδας πάντως τὸν ὡσεὶ σταγόνα ἐπὶ γῆς στάζοντα· οὗ καὶ στύφον, εὐῶδες, σωτήριον γάρ· καὶ τὸ εὐῶδες στύφον, οὐκ ἄνετον γάρ. Ζυγὸν μὲν γὰρ ἔχει, ἀλλὰ χρηστόν· καὶ φορτίον ἔχει, ἀλλ' ἐλαφρόν· καὶ αὖ εἰς νυμφῶνα ἄγει, ἀλλὰ διὰ στενῆς· καὶ ἀγαλλιᾶσθαι κελεύει, ἀλλὰ καὶ ἐν τρόμῳ προστίθησι. Τὰ δὲ εὐώδη ξύλα ἄρα ματαίως οὕτω καὶ ἀργῶς παρὰ τῆς πνευματικῆς σου σοφίας ἔσταλται; Ἀλλὰ λίαν ἂν αὐτοὶ ἀργοὶ εἴημεν, εἰ μὴ κάνταῦθά τι πνευματικὸν ἐννοήσομεν. B Τέτταρα γὰρ ὄντα τὰ ξύλα, τί ἄλλο, ἢ τετραμερὲς ξύλον ἐδήλουν, ὃ τὴν σωτηρίαν ἡμῖν ἐργάσατο; Ὃ Παῦλος καυχώμενος, καὶ ἡμᾶς τοὺς τοῦ Χριστοῦ σταυροῦν τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ τοῖς ἐπιθυμήμασι βούλεται. Ἐδίδαξας οὖν προδήλως ἡμᾶς, ὅτι δεῖ σταυροῦν ἑαυτοὺς πᾶσι τοῖς κατὰ κόσμον ἡδέσι τε καὶ εὐώδεσι. Καὶ εἶποι ἄν τις ἀστείως, ὡς τὰ στελέντα, καθ' ἑαυτῶν ἀπεστάλησαν. Διὰ γὰρ τοῦ ἀριθμοῦ, ὡς εἴρηται, σταυροῦσθαι πρὸς τὰ τοιαῦτα βλαβερὰ διδασκόμεθα· μᾶλλον δὲ προσάγειν πάντα Θεῷ καὶ διὰ τῶν τοιούτων εἰς ἐπίγνωσιν αὐτοῦ ἔρχεσθαι τοῦ κἀν τοῖς ἄλλοις ἀτίμοις ξύλοις τοσαύτην τιμὴν διὰ τῆς εὐωδίας φυτεύσαντος. Καὶ πλείω δ' ἂν εἶχον γράφειν, ὅσα κατενόησά σε διὰ τῶν σταλέντων τὴν ἐμὴν διδάσκοντα ταπεινότητα· Ἀλλά τί μοι τὸ ὄφελος, νοεῖν μὲν ταῦτα, C μὴ πράττειν δέ; Γένοιτο δὲ ταῖς σαῖς εὐχαῖς, καὶ νοεῖν με καὶ πράττειν τὰ δέοντα, καὶ τὸν ἐμαυτοῦ βίον, ὁσμὴν ζωῆς, ἀλλὰ μὴ θανάτου τῷ πρὸς ἐμὲ βλέποντι ποιμνίῳ παρέχεσθαι, Ὃ καὶ μὴ παύσῃ ὑπὲρ ἡμῶν ἐξαιτούμενος.

646 EPIST. XV.

Camateropulo.

Defunctorum etsi immemorem Plutonis in antro. Verumtamen ego defunctum amicum debita gratia, inter eos quos ipse reliquit, perpetuo prosequar. Nimirum terque quaterque beatum et eximium Psellum, qui citra controversiam linguæ suavitate primas tenuit. Huic equidem, ut fas est, quas nemo enarrare posset, neque posset referre, debeo gratias. Multa enim edidici, ex tanti viri

ΕΠΙΣΤ. ΙΕ'.

Τῷ Καματηροπούλῳ.

Εἰ καὶ θανόντων περ καταλήθοντ' εἰν ἀΐδαο, ἀλλ' αὐτός γε καὶ θανόντα φίλον τὴν ὀφειλομένην χάριν ἐν τοῖς ὑπολειφθεῖσιν αὐτῷ καταθήσομαι. Ἀμέλει καὶ τῷ τρισμακαριωτάτῳ ὑπερτίμῳ τῷ Ψελλῷ, καὶ παραμίλλῳ (17) τὴν γλῶτταν, ὀφείλω μὲν ὡς εἰκὸς, οὐκ εὐαποδότους χάριτας. Πολλὰ γὰρ οἶδα τῆς μούσης τοῦ ἀνδρὸς ἀπονάμενος, Οὐκ ἔχων δὲ ὅπως ὅλῳ τούτῳ χαρισαίμην τῷ μέλει αὐτοῦ,

[8] Galat. v, 24; Rom. vi, 6.

Variæ lectiones et notæ.

(17) Ἀπαραμίλλῳ legendum docet DD. Hasius ad Leonem Diaconum (tom. CXVII, col. 726). Edit. Patr.

Digitized by Google

ὡς ἔξεστι, διὰ τῆς σῆς περὶ ἡμᾶς ἀγάπης χαρίζομαι. Ὁ γάρ τοι τὸ παρὸν ἡμῶν ἐγχειρίζων τῇ σῇ λαμπρότητι γραμματίδιον, θυγατριδοῦς μὲν ἐκείνου, πικρᾶς δὲ πειραθεὶς τῆς τύχης, συμφορᾷ κέχρηται, ὅπως οὖν αὐτῷ καταλλάξῃς τὴν τύραννον. Εἰ γὰρ μὴ μόνον συνεύσεις, προσμειδιάσει τε τούτῳ, καὶ περιπτύξεται ἤ που καὶ τὴν αὐτοῦ εἰς τὸν κόλπον αὐτῆς εἰσαγαγοῦσα, δώσει τῶν ἀγαθῶν αὐτὸν δράξεσθαι. Καὶ μή τί με οἷου ἄλλως ἀφοσιούμενον ταῦτά σοι γράφειν. Ἀλλὰ γὰρ μήτε τῶν λόγων ὀναίμην, μήτε τοῦ ἐπὶ τῇ σωτηρίᾳ τῆς ψυχῆς μου θελήματος, εἰ μὴ ἐγὼ ταῦτά σοι ἐκ βαθείας καρδίας γράφω, ἐλεῶ γὰρ τὸν νεανίαν, ὡς πάλαι ποτὲ ἐν ὀλβίοις ἰδὼν, καὶ τὴν τοῦ πάππου τούτου ψυχὴν δέδοικα, μήπως ὀνειδίσῃ ἐμοὶ τὸ σκληρὸν καὶ ἀτέραμνον. Ὀκνῶ γὰρ εἰπεῖν τέως τὸν ταῖς ἀριστεραῖς ἐρίφοις τὸ ἀπάνθρωπον ἐν κρίσει προφέροντα. Εἰ γάρ μοι φανείη κατ' ὄναρ, καὶ τὴν γλῶσσαν ἐπαφήσει τὴν δωδεκάκρουμον (18) ἆρά με οἶει καὶ τὴν τῆς ἐπιπλήξεως φαντασίαν ὑποστῆναι φρίκης ἄτερ καὶ ταραχῆς; Εἰ δὲ πρὸς τοῖς ἄλλοις τὸν Θεὸν παρεισάγῃ διὰ Δαβὶδ, καίτοι τεθνηκότα, τῆς Ἱερουσαλὴμ προασπίζοντα, κἂν ἄλλως ἦν ἀνάξια, καὶ χωρὶς αἱμάτων, τί πρὸς ταῦτα, ὃ πρὸς τῶν ἐκείνου χαρίτων πείσομαι, καὶ τῷ δικαίῳ καὶ τῷ Θεῷ καὶ Ψελλοῦ γλώσσῃ θλιβόμενος; Ἀλλά με τούτων ῥῦσαι τῶν ἀναγκῶν, ἔν τινι δουλείᾳ τάξας τὸν στελλόμενόν σοι τοῦτον. Πάντως γὰρ πολλῶν σοι ἀνατεθεισῶν, ῥᾴδιον εἰ τὸ μὴ μᾶλλον, τὸν γοῦν ὑπὸ τοσούτων συνιστάμενόν σοι ὠφελείας ἀξιωθέντα ἀποκαταστῆσαι ἡμῖν· οὐ γὰρ ἐστενοχώρηταί σοι τὰ τῆς ὁδοῦ. Καί σε Θεὸς εἴη πάσης τηρῶν ἀνώτερον κακίας καὶ κακώσεως.

musa utilitatem decerpens non vulgarem. At quo penitus non habeo, quo pacto hujus suavitati gratum et beneficum me præbeam, ut decet, ob tuam tamen in nos dilectionem et integrum amorem, aliquam grati animi significationem ostendam. Qui enim nostras has præsentes litteras tuis splendidissimis committit manibus, illius quidem nepos est, et acerbo fati nunc depressus casu, ultimis fere calamitatibus affligitur. Quomodo itaque cum hoc asperam et tyrannicam fortunam reconciliabis? Nam nisi solum conspiraveris, et huic quidem illa arridebit, totamque se circumfundet, et alicui hujus sortem in suum ipsa sinum inducens, bona cuncta huic accipere indulgebit. At ne existima, me aliter quam hac pietate obstrictum hæc ad te scribere. Etenim neque sermonis fructum percipe-rem, nec illo consilio tuo, quod in animæ meæ salutem impendisti, fungerer, nisi hæc ex intimo cordis sensu ad te scriberem. Hujus enim adolescentis misereor, quasi jam pridem inter beatos illos conspicerem. Etiam et hujus avi animum timeo, ne forte mei cordis asperitatem et immitem incuset dureque increpet mentem. Nequeo etenim dicere, quantum infaustos hædos benignitate et humanitate in judicio superabit. Si etenim mihi per somnium appareret, et linguam duodecim efflu ente scatebris contrectaverit, etiam num existimas, me tanti timoris spectrum horridumque simulacrum, et sine stupore et tumultu sustinere? Si vero in alios ipsum Deum insinuaret et proponeret, juxta Davidem [a], et si defunctum, magnæ tamen Jerusalem protectorem, et si secus quam ejus dignitas postulabat, vel siquidem et sine aliorum cædibus fuerit. Sed ad hæc quod de illius gratiarum venustate et fulgore credam, et ipsa æquitate, et divino Dei numine, et dulci Pselli lingua constrictus. Sed jam ab his me custodi, et defende fati necessitatibus, et hunc tibi submissum et subditum quadam in servitute constitue. Nam cum harum multæ tibi delatæ et expositæ sint, facilius erit, si hoc non magis decuerit, hunc, tantis compressum cladibus, aliquo subsidio et emolumento, a te cumulatum nobis restituere. Non enim quæ ad viam necessaria sunt, te in arctum deducere, et in angustam rerum orbitam devolvere poterunt. Deus itaque te sceleris purum et malæ fortunæ detractum casibus servet.

ΕΠΙΣΤ. ΙϚ'.

Τῷ Ἀγκυραίῳ.

Μὴ καὶ τὴν γλῶτταν ἐπεδήθης ὁ σοφὸς πρόεδρος, ὑπὲρ, φεῦ! τῶν νῦν καιρῶν, οἱ τῇ ποδάγρᾳ καὶ γλώττας δεσμεῖν διδόασιν; Οὕτω πάντα πρὸς τὸ χεῖρον ἐξαγριαίνουσιν. Ἀλλὰ μή, τοῦτο μέν, οὔθ' ὑπὸ τῶν καιρῶν ἐνεωχμώθη, οὔτ' αὐτὸς πέπονθας. Ἀφοσιοῖ δὲ τὰς πρὸς ἡμᾶς ὁμιλίας, οἷς τῷ ἀδελφῷ ἡμῶν ὁμιλεῖς, ἐμβιβάζων αὐτὸν καὶ συνετίζων ἐν ὁδῷ ταύτῃ ᾗ πρὸς τὰς φιλοσοφίας πορεύεται· δέχομαι τοῦτο, καὶ πάσης τῆς πρὸς ἡμᾶς ὁμιλίας τίθεμαι ἥδιον. Ὅπως οὖν συνεχέστερον ὁμιλοίης τῷ νέῳ, εἴ τί σοι μέλλει (19) τοῦ ἡμᾶς εὐφραίνειν πυκνότερον, ἀπολαυέτω μὲν οὖν καὶ τῶν κοινῶν σου τῆς σοφίας κρατήρων, καὶ τῶν θυμάτων ἑστιάσθω σὺν τοῖς λοιποῖς καλῶς ἄφροσιν. Ἐθέλω δέ τι τούτῳ

647 EPIST. XVI.

Ancyræ episcopo.

Non equidem cum sapiens sit præses, in hos (o mores!) temporum lapsus, linguam vinculo cohibes, quæ etiam podagra linguas devincire et constringere permittit. Ita quidem omnia in pejus ferociunt. Sed non hoc etenim, neque sub hoc tempore innovatum est, neque ipse ita male es affectus. Verum colloquia quæ in nos habes, omni religione solvit, quibus etiam cum fratre nostro familiariter uteris illumque impellis, mireque instruis in hac via, per quam in sacram philosophiam conscenditur. Hoc ita percipio, et omni quod in nos habes colloquio, jucundius et suavius censeo. Quodammodo igitur assiduam cum adolescente familiaritatem et colloquium conseres si

[a] Ps. CXXIV, 21.

Variæ lectiones et notæ.

(18) *Δωδεκάκρουμον*. Scrib. δωδεκάκρουνον.

(19) *Μέλλει*. Scrib. μέλει.

Digitized by Google

est tibi curæ, nos crebrius summo afficere gaudio. Fungatur itaque ille communibus tuæ sapientiæ crateribus, et lautis sacrificiorum convivis, cum reliquis, qui secum non absurde lætitia desipiunt, comiter excipiatur. Volo autem hunc modo, et privatim his commissum sapientiæ, ab illo saltim hoc consequi, quo aliquod lucri habeat munus, ut vel etiam aliqua sibi gratia referatur. Quoniam et matres, ut aliquem ex filiis seorsim singulari suscipiunt studio, mellitis illum deliciarum blandimentis fovent, dulceque leniunt. Vis forsan, ut hujus quam loquor rei, rationem et specimen præbeam? Quantum Theophylactus a te, reliquis, in amorem et amicitiam prælatus est, et antepositus, tantas privatim fratri debes rependere gratias, tantumque supra alios Theophylactum tibi charum habere. Alium et tibi rei ostendam modum. Qualem me volebas esse tuo Paulo, cum illum sapientiæ mysteria absoluto studio edocebam; talis tu meo Demetrio exsiste, qui philosophiæ studio, te docente, initiatus et instructus est. Denique utinam læto salutis spiritu diu vivas, hominum mihi gratissime!

A

EPIST. XVII.

Cercyræ episcopo.

Quodammodo diceres, nos jucunde et hilari animo tuas litteras suscepisse, inclyte domine. Etenim cuncta illarum occasione et opportunitate nobis pulchra et suavia visa fuerunt, et maxime vero oratio. Oratio, inquam, quæ tantæ est mentis et sententiæ germen, tantæque linguæ soboles. Nam cum in summa animi anxietudine versaret, pharmacum mihi illud, quo profundus oblivionis sopor inducitur, effudisti. Cumque arida arderem siti, dulci ex petra, liquore, in siccas, potius dulcedinem, fauces emisisti. Et quasi divini interpres Paracleti, meam animam doloribus aliquantulum **648** affectam et fixam recreasti, et dulci consolatione evexisti. Nos enim supra quam dici potest, gravi conflictamur rerum mole, ita ut penitus nobis horrentia immineant bella, intus vero timores. Hostes etiam in nos superiores evadunt. Et amici et propinqui ita in nos se habent, ut hi penitus nobis adversentur, et illi quam remotissimam humanitatis et benignitatis opem nobis objiciant. Sed enim qui humiles et abjectos consolatur, quique illis qui, lacero corde et disrupto pectore, atteruntur medetur, nobis etiam solatio fuit, quibus et familiarem se præbuit. Et ros ille tuus divinitus stillans medicamentum nobis salubre exstitit. Gratia ergo sit misericordiarum Patri et Deo totius consolationis, quoniam his tam infaustis et pessimis diebus, et hoc tempore hostium irruptione ferociente et infesto, tuam sanctitatem nobis paterna dilectione cinctam, et ipsis Jesu visceribus quasi incoctam et probatam indulsit. Ne igitur lassescas, Dei homo, illam qua apud Dominum dives factus es [7], sapientiam in nos deflectere, et thesaurum illum egregium, quem in

B

ΕΠΙΣΤ. ΙΖ'.

Τῷ Κερκύρας.

Πῶς ἂν εἴποις ἡδέως ἐδεξάμην σου τὴν ἐπιστολὴν (20), τιμιώτατε δέσποτα. Καὶ πάντα μὲν καλὰ ἐν καιρῷ αὐτῶν· λόγος δὲ μᾶλλον. Καὶ λόγος, τοιαύτης μὲν γνώμης γέννημα, τοιαύτης δὲ γλώττης μαίευμα. Ἐν ἀθυμίᾳ γὰρ ὄντι μοι, τὸ λαθικηδὲς ἐκεῖνο ἀνέχεας φάρμακον· καὶ διψῶντι, τῷ ἐκ τῆς πέτρας κατεγλύκανας νάματι. Καὶ ὡς ὑποφήτης τοῦ Παρακλήτου τὴν κατώδυνόν μου ψυχὴν παρεκάλεσας. Καθ' ὑπερβολὴν γὰρ ἐβαρύνθημεν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν. Ἔξωθεν μάχαι, ἔσωθεν φόβοι. Οἵ τε γὰρ ἐχθροὶ κεκραταίωνται· καὶ οἱ φίλοι καὶ οἱ πλησίον, οἱ μὲν, ἀντέστησαν, οἱ δὲ, ἀπὸ μακρόθεν ἔστησαν τὸ φιλανθρωπότερον. Ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς, καὶ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν, παρεκάλεσεν ἡμᾶς οἷς ὠμίλησεν. Καὶ ἡ δρόσος ἡ παρὰ σοῦ ἴαμα ἡμῖν γέγονε· καὶ χάρις τῷ Πατρὶ τῶν οἰκτιρμῶν, καὶ Θεῷ πάσης παρακλήσεως, ὅτι ἐν οὕτως ἡμέραις πονηραῖς, καὶ ἐν καιροῖς ἀφίλοις καὶ θηριώδεσι, τὴν σὴν ἱερότητα δέδωκεν ἡμῖν τῇ φιλαδελφίᾳ φιλόστοργον, σπλάγχνοις Ἰησοῦ δικαιωμένην. Μὴ κάμοις οὖν, ἄνθρωπε τοῦ Θεοῦ, ᾗ παρὰ τοῦ Κυρίου ἐπλουτίσθης γνώμῃ καὶ σοφίᾳ πρὸς ἡμᾶς χρώμενος, καὶ τὸν θησαυρὸν ὃν ἔχοντες (21) ἐν ὀστρακίνῳ σκεύει, τῷ τῆς ταπεινώσεως σώματι, χορηγῶν ἀφθόνως τοῖς χρῄζουσιν· ὡς ἐμέ γε οὔτε πρόσοδοι λυποῦσιν, ἐν αἷς ἦν ποτε τὰ τῆς ἀρχιεπισκοπῆς ἄλκιμα, οὔτε ἡ ἀπὸ ποταμῶν ἕως περάτων θαλάσσης διατεταμένη ἐξουσία καὶ ἐπικράτεια. Τῆς μὲν γὰρ αὐτάρκως ἔχομεν· τὸ δὲ περισσὸν ἐκ τίνος ἐστὶ, μεμαθήκαμεν· τῆς δὲ, ἀῤῥωστότερον ἢ ὥστε ἀντέχεσθαι. Ὁ δὲ τῶν φροντίδων περικλυσμὸς, καὶ ὁ πονηρὸς περισπασμὸς, καὶ τὸ μάτην ταράττεσθαι, καὶ μήπω πραῦναι ἀφ' ἡμερῶν πονηρῶν, ταῦτά μοι σῆς ὁστέων,

C

D

[7] II Cor. VIII, 9.

Variæ lectiones et notæ

(20) *Ἡδέως ἐδεξαν μήν σου τὴν ἐπιστολήν.* Rescribo, ἡδέως ἐδεξάμην σου τὴν ἐ.

(21) *Ὃν ἔχοντες.* Scrib. ὃν ἔχων τ' εἰ

ταῦτά μοι τοὺς μυελοὺς δαπανᾷ. Οὕπω γὰρ τελείως πεφευγόσι τὸν λέοντα, ἡ ἄρκτος ἡμῖν συναντᾷ· καὶ ταύτην ἀποδρᾶσι, καὶ ἐπὶ τοὺς τοίχους τῆς οἰκίας τὰς χεῖρας ἐρείσασιν, ὅφις ἐκ τῆς ὀπῆς προκύπτει ἐπίβουλος· ὃ καὶ μᾶλλον ἐμοὶ τὰς ὀδύνας δριμυτέρας ἐργάζεται. Ἀλλὰ ταῦτα μὲν, καίτοι μάλα σφόδρα βουλόμενος ἐκπτύσαι, ἵνα μικρόν τι τὴν καρδίαν κουφίσαιμι, ἐν πείστῃ στέγω (22) τετληότι θυμῷ. Φυλακήν τε καὶ νῦν τῷ στόματι τίθεμαι, ὡς κἂν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου, ἵνα μὴ καταισχύνω τὸ μέγα τῆς ἀρχιεροσύνης πρᾶγμα, ἢ ὄνομα. Τὸ γὰρ τῆς ἐπιστολῆς χρῆμα λάλον, ὡς οἶσθα, καὶ οὐκ ἐχέμυθον. Ἐπεὶ παρὰ συνιερέων, καὶ συνεπισκόπων, οἳ δοκοῦσι κρίνειν τὸν λαὸν, ἐκτέτακται τὰ τῶν θλίψεων ἡμῶν δίκτυα. Σὺ δὲ εὔχου, τίμιε πάτερ καὶ δέσποτα, ἡμῖν μὲν, τοὺς ἐν τοῖς ψευδαδέλφοις τούτοις κινδύνους ὑπεκφυγεῖν, αὐτοῖς δὲ ἐκείνοις, ἐκ τῆς παγίδος ἀνανῆψαι τοῦ διαβόλου, ἐν ᾗ ἐζωγράφησαν. Πάντως δὲ τὸν ἀπ' ἐναντίας ἡμῶν αἰσχυνθῆναι, καὶ διὰ πάντων τὸν Θεὸν δοξασθῆναι. Οὗ ἡ χάρις εἴη μετὰ τοῦ πνεύματός σου, πανίερε καὶ ἅγιε δέσποτα.

A fictili et luteo vase hoc abjectæ humilitatis corpore habes, indigentibus large suppeditare. Ut neque incursus hostiles, in quibus præcipue archiepiscopi muneris robur totum positum est, neque immensa potestas urensque vis, a suis incruentis fluminibus usque ad ultimos maris terminos protensa, me turpi deprimant ruina. Hoc enim satis superque stipati sumus. At excessus hujus et copia, ex quo profluat jam didicimus. Illius vero causa, ea est nobis impotentia et infirmitas, ut facile cohiberi et cogi possit. Equidem curarum inundatio, et irruptio, et dura calamitatum invasio, et irrita consternatio animi, et nunquam infortunatis dierum malorum casibus mansuescere, hæc quidem mihi ossa ipsasque medullas absumunt. Sic enim præcipitanter fugientibus leonem, ursus nobis occurrit, et in nos, qui hunc vel cursu vitare nitimur, et qui in tutæ domus septum manus firmare studemus, lethifer anguis, ex foramine insidians erumpit. Qui maxime in me graviores infert dolores, malaque molitur. Sed hæc quidem et toto conatu respuere studeo, ut vel parum, cordis mei pondus levius reddam.

Sed tamen hæc animo tandem sic perfero forti.

Ori quidem meo custodiam et seras constituo [a], mihi penitus aut nomen aut magni sacerdotii modus, ut nosti, loquax est, nec se silentio ullo laquei et inextricabilia retia intenduntur. Tu ut nos quidem quæ inter falsos fratres pericula diaboli plagis, cui ascripti sunt, dilabantur, et ut ijiicere, et ut Deus prorsus, summis gloriæ laudibus fulgeat, sancte et divine domine.

quasi adversum me peccatorem conflarem, ne opus vitio et probro vertatur. Epistolæ enim potuit continere, quoniam a sodalibus sacerdotibus et episcopis, qui populum judicare et dirigere videntur, in nostram afflictionem et interitum, vero, venerabilis pater et domine, Deum precare, pertimescimus, fugiamus, et ut illi ipsi, ex cæcis omnino illum pudeat in nos adversa quæque celebretur, cujus gratia cœlestis tuo in spiritu

ΕΠΙΣΤ. ΙΗ'.

Τῷ Μερμεντλῶν.

649 EPIST. XVIII.

Mermentlarum episcopo.

Ad S. Scripturæ lectionem invitat, post profanos scriptores.

Οὔ τίς τοι θεός εἰμι, τίμ' ἀθανάτοισιν ἐΐσκεις;

Ἀλλὰ σοὶ μὲν ὁ φίλος καὶ ψεύδεσθαι δίδωσι, καὶ ταῦτα τὴν ἀλήθειαν ἐν ταῖς Θέμιδος ἀποκρίσεσιν, ὧν εἶ προστάτης, ἀσκήσαντι. Ἡμῖν δὲ ἀπόχρη μένειν ἐφ' ἧς ποτε ἦμεν τάξεως, δεκαδάρχαι τεταγμένοι, ἢ σὴν χάριν, τριακοντάρχαι· χιλιαρχίας δὲ καὶ στρατηγίας κλέος οἷον ἀκούομεν. Μή μοι οὖν τὰς Λογγίνου κρίσεις περίαπτε, μὴ καὶ δόξῃς τισὶν αὐτός γε οὐ κατὰ Λογγῖνον κρίνειν. Τοσοῦτον γὰρ νῦν τῆς ἡμῶν αὐτῶν ὑστερούμεν δυνάμεως, καθ' ἣν ποτ' ἦμεν πάλαι ἄλκιμοι, ὅσον τότε τῆς τῶν ἀρχαίων ἀπελειπόμεθα ἕξεως. Οὔτε γὰρ τὰ χωρία ταῦτα ἐθέλει με εἰδάσκειν [*f.* ἐθέλοιμεν διδ.]· καὶ τὰ βιβλία Ἅρπυιαι ἀνηρείψαντο. Χεῖρες πρακτόρων οὐχ ἧττον ἡμῶν πᾶσαν ἀνάγνωσιν ἀφαιρούμεναι, ἢ ἐκεῖναι τοῦ Φινέως τὰ βρώματα. Αὐτοὺς μὲν οὖν ἀπὸ τοῦ περιπατεῖν πρὸς τὴν Ἀκαδημίαν μετάβαινε, καὶ πρὸς τὴν Στοὰν, καὶ τὰ ταύτης κάλλη διάβαινε. Ἐντρύφα δέ μοι καὶ τοῖς Ἰωνικοῖς λειμῶσι,

Num immortalis ego, cur me immortalibus æquas?

Sed tibi quidem vel amicus et mendacem te esse concedit, qui interea ipsam veritatem claris Themidis responsis et decretis, quorum tu es interpres et præses, semper exerces et doces. Nos autem in acie belli, in qua constituti sumus, decet permanere, aut decuriones assignati, aut ut tuum est beneficium et gratia, triginta virorum præfecti. Militum tribunatus et exercitus præfecturæ decus solum audimus. Tu igitur Longini judicia ne mihi imponas, neque imponas, neque videaris ipse juxta Longini sensum aliquid decernere. Tantum enim nunc, nostra ipsorum potentia nostrisque viribus inferiores sumus, quibus olim potentes cunctisque fuimus longo præstantiores intervallo, quantum tunc ipsa priscorum facultate et opibus vincebamur. Neque enim hæ regiones jam me statuunt edocere, et ipsos libros furentes Harpyiæ subverterunt. Manus vero exactorum, non minus omnem

[a] Psal. xxxviii, 2.

Variæ lectiones et notæ.

(22) *Ἐν πείστῃ στέγω.* Restituo, Ἔμπης τε στέγω. Est Homeri frequens hemistichium.

Digitized by Google

lectionem detrahunt, quam illæ Phinecibos deturbarunt. Ipsos itaque peripateticos in Academiam trajice, et in variam Stoam, nobilemque ejus pulchritudinem emitte. Tu vero per Ionica viridaria luxurianti illude pede, et blandos horum Zephyros emissis suscipe afflatibus. Decerpe etiam fragrantes Iliadis rosas, quæcunque tibi, ob earum dulcem odorem, forte placuerint. Et tragici quidem theatri inspector assideo, et comica scurrilitate collude. Neque bucolicam recusa fistulam, quæ strepitantes lapillis fontes, et mutuos frondentis pini susurros, et alia quæcunque diverso concinna cultu effingit. Nisi quid quid in hoc amoris involvitur lusibus, tuis suavibus Musis respuendum videatur. Tu vero interea etiam et his omnibus, et multo his omnibus præstantiore partu illo, qui sacris tuum animum fulcit stabilimentis, te enutri. Qui olim de cœlo descendens illos, qui per malorum et ærumnarum desertum gradiebantur, fovit, vitaque recreavit jucunda, et nunc etiam nutrire et potest et refertur. At ne ad hæc Mosaicas illas legum tabulas curiosius appone, sive quod extrinsece ibi referunt usurpans, sive quod intra se immunt pervestigans. Hoc denique nitere, ut propheticas visiones mirabilesque illas imagines, quasi res quæ fieri potuerint, attento mentis contempleris lumine, et rerum cognitione et historia, quæ te quasi manuducat in rerum antiquarum veram imitationem, vestigia certa in id fige. Etiam adhuc splendentem gratiæ Solem intuere, et ejus micantibus radiis, quoad liceat, fungere. **650** Gregorios illos et Basilios imitare, et beatum horum cœtum divinumque chorum insequere, et horum quidem omnium affluentibus bonis tibi laute oblectantia convivia appara. Nobiscum vero precare : etenim nolle vocem in me ullam emittere probrio verti. Sic penitus pessime id effeci. Tandem tuam exoptatam faciem videre studeo, et illum tuum dulcem et mellitum audire sermonem, quem omnino ante omnia admiror, o vir et opere et ore mihi splendidissime.

A καὶ διὰ τούτων Ζεφύρους δέχου ἐνέτῳ [*f.* ἀνέτῳ] τῇ εἰσπνόῃ. Δρέπου δέ μοι καὶ τῶν τῆς Ἰλιάδος ῥόδων, ὅσα σοι καὶ διὰ τούτων καὶ βουλομένῳ ἐστί. Κάθου δὲ θεατὴς τραγικοῦ, καὶ βωμολοχίᾳ κωμικῇ πρόσπαιζε, μηδὲ τὴν βουκολικὴν ἀπανήνῃ σύριγγα, πηγάς τινας καὶ πίτυος ψιθυρίσματα καὶ ἔργ' ἄττα διάφορα ποιουμένην ἐμμελῆ· κἂν ὅσον ἐρωτικὸν ταύτης, ταῖς σαῖς Μούσαις δοκῇ κατάπτυστον. Σὺ μὲν οὖν ταῦτα καὶ σὺν τούτοις, ἢ καὶ πρὸ τούτων ἄρτι τρέφου, τῷ ἐν τῇ καρδίᾳ στηρίζοντι. Ὃς ἐκ τοῦ οὐρανοῦ καταβὰς τούς τε πάλαι διὰ τῆς ἐρήμου τῶν κακῶν ἀγωγῆς βαδίσαντας ἔθρεψε, καὶ νῦν τρέφειν ἔτι ἐπαγγέλλεταί τε καὶ δύναται· καὶ μή μοι τοῦτο μὲν, τὰς Μωσαϊκὰς πλάκας περιεργάζου, τό τε ἔξω λαμβάνων αὐτόθι καὶ τὸ ἔσω ἀνερευνώμενος· B τοῦτο δὲ, τὰς προφητικὰς ὁράσεις, ἢ ὁμοιώσεις ὡς δυνατὸν φανταζόμενος, καὶ τῇ χειραγωγῷ ἱστορίᾳ πρὸς τὴν τῶν παλαιῶν καθοδηγούμενος μίμησιν. Ἔτι βλέπε τὸν τῆς χάριτος Ἥλιον, καὶ τῶν τούτου ἀκτίνων κατὰ τὸ ἐγχωροῦν ἐπαπόλαυε. Συγγίνου δὲ Γρηγορίοις καὶ Βασιλείοις, καὶ τῷ μακαρίῳ περὶ τούτους χορῷ. Καὶ τούτων μὲν ἁπάντων τῶν ἀγαθῶν αὐτὸς εὐωχοῦ· ἡμῖν δὲ συνεύχου, τὸ μὴ καὶ τὸ ἔπλημα φθόγγον (23) ἀποβαλεῖν. Οὕτω πάνυ πονήρως πέπραγε (24). Ἀλλ' ἴδοιμί σε τὴν ποθουμένην ὄψιν, καὶ τῆς λαλιᾶς ἐκείνης ἀκούσαιμι, ἣν πάντοτε καὶ πρὸ πάντων ἔχω θαυμάζων, ᾧ καὶ λόγοις καὶ ἔργοις ἐμοὶ πανυπέρλαμπρε.

EPIST. XIX.

Anemo.

Morbi medela sermo blandiens sono,
Quam suave munus advenis in tempore!

Hæc Orestæ cum sint, ut nosti, charissime mihi anime, in te, parum hoc illudens carmine cuncta deflecto. Vis etiam ut et tibi illud comici referam, scilicet :

Quam gaudeo, quam delector, quam gestio lætus [exsilire.

Sed ad quid hoc pingui peccatorum oleo meas litteras inungo? Decet quidem illius solum donis nitescere, quæ cœlesti pulchra oleo pinguescens dixit : *Magnificat anima mea Dominum; et exsultavit spiritus meus in Deo* [9]. Quoniam me gaudii veste et stola gloriæ, pro Spiritu tristitiæ induit me. Etenim *saccum meum disrupit, et me lætitia circumdedit* [10]. Quoniam *inimicos meos terga vertendo in fugam conjecit, et illos qui me odio persequebantur,*

C

ΕΠΙΣΤ. ΙΘ'.

Τῷ Ἀνέμῳ.

Φίλον λόγου θέλγητρον, ἐπίκουρον νοσου (25),
Ὡς ἡδύ μοι προσῆλθες ἐν δέοντί γε.

Ταῦτα Ὀρέστου ὄντα, ὡς οἶσθα, φιλτάτη μοι κεφαλὴ, μικρόν τι παρῳδήσας ἐπὶ σοὶ λέγω. Βούλει σοι προσθήσω καὶ τὸ τοῦ κωμικοῦ·

Ὡς ἥδομαι, καὶ τέρπομαι, καὶ βούλομαι χο-[ρεύειν.

Ἀλλά τί τῷ τῶν ἁμαρτωλῶν ἐλαίῳ λιπαίνω μου τὰ γράμματα, ἐξόν τοι τῆς καλλιελαίου δώροις φαιδρύνεσθαι· *Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ.* Ὅτι ἐνέδυσέ με ἱμάτιον εὐφροσύνης, καὶ καταστολὴν δόξης, D ἀντὶ Πνεύματος ἀκηδίας. *Διέῤῥηξε τὸν σάκκον μου, καὶ περιέζωσέ με τὴν εὐφροσύνην.* Ὅτι *τοὺς ἐχθρούς μου ἔδωκέ μοι νῶτον, καὶ τοὺς μισοῦντάς με ἐξωλόθρευσε*, καὶ ἀπέστειλεν ἄνθρωπον

[9] Luc. I, 46. [10] Psal. XXIX, 12.

Variæ lectiones et notæ.

(23) *Καὶ τὸ ἔπλημα φθόγγον.* Scrib. καὶ τὸν ἐπλένα φ.

(24) *Πέπραγε.* Scrib. πέπραγα.

(25) Eurip. in *Orest.*

Digitized by Google

ἡμῶν ἔμπροσθεν τοὺς συντετριμμένους ἰασόμενον, τοὺς ἀσθενοῦντας ἐπισκεψόμενον, πᾶσι τὰ πάντα πρὸς σωτηρίαν ἐσόμενον. Ἀλλ' εὖγε ὅτι τοῖς καθ' ἡμᾶς ἐπεφάνης μέρεσιν ἀλεξίκακος (26), ὡς ταῦτά γε ἤδη ἀπέγνωστο. Καὶ Λυσίας ἂν εἶπεν· Ἐξείργαστο ἡγεμόνων κακότης. Καὶ νῦν μὲν ὁ κασστροκτίστης καθῄρει τὰ τῶν ἐλεεινῶν· νῦν δὲ ὁ κατεπάνος, καὶ τὸν χοῦν ἐλικμᾶτο. Ἦν τι καὶ τρία αὐτοῖς τῷ Φαραώ τις προσήκων ἀπὸ τῆς κλήσεως. Οὐκ οἶδα εἰ τῶν προλεχθέντων ὅπως τι οὖν ἀνεκτότερον, ἀλλὰ νῦν ἐπεσκέφθησαν ἐπισκοπῇ ἐξ ὕψους, καὶ ὁ λόγος ἐπιστατήσει αὐτῶν, εἰ μή πω ἐγὼ τοῦ ἐμοῦ καὶ τοῦ παντὸς ἡδέος Νικολάου ἐπιλέλησμαι. Καὶ ἀγαλλιάσονται ἀνθ' ὧν ἡμερῶν ἐταπεινώθησαν ἐκ τῶν ὧν εἶδοσαν κακῶν. Τοῦτο μὲν αὐτοῖς ἔσται· καὶ μηνυτὴς ἐγὼ τῶν ἐσομένων εὐάγγελος.

internecioni dedit [11]. Et nostram hanc humanam naturam, palam, illis, quos attrivit, et effregit mundi ærumna medentem emisit, et infirmos et fragiles undique circumspectantem, et omnibus omnia in salutem obtendentem. Sed eia, euge, quoniam nobis malorum expulsor exstitisti, quasi hæc cuncta nobis jam deplorata et desperata fuerint. Etiam Lysias dixit pessimam principum conditionem in summum jam pervenisse fastigium. Et nunc quidem castrorum metator cunctas miserorum opes diruit. Atque vectigalium redemptor nunc etiam nostram ipsam humum cribrat et eventilat. In quibus tertius est, cui vel alter Pharao ipsa appellationis affinitate est simillimus. Non autem novi, num his jam prædictis aliquid esse possit intolerabilius. Sed nunc jam ab alto, ipsa ratio ipsis præibit, duxque erit, si ego mei vigili sunt requisiti speculatione, et prospecti, et ipsius, et suavissimi Nicolai nondum oblitus sum. Et exsultabunt quidem, pro his diebus, in quibus abjecti et depressi fuerunt, impendentibus malis, quæ diu noverant. Hoc quidem ipsis eveniet, et ego futurorum illis felix nuntius ero.

ΕΠΙΣΤ. Κ'.

Τῷ Μερμενταλῶν.

Τὸν βραχύν μου τοῦτον χρόνον, ὃν σεσιώπηκας, εἰς ἑκατονταετηρίδας ἴσθι μετρούμενον. Οὕτως ἐγὼ τῆς σῆς ἱρῶ λαλιᾶς, ὦ πάντων ἐμοὶ πανυπέρλαμπρε· καί μοι τὸ σὸν γράμμα φανὲν (27) ὁ ἡλίου ποτὲ φοῖνίξ ἐστιν. Ἀλλ', ὦ μακάριε, μὴ τοῦτον φοίνικα, τὸ τοῖς Αἰγυπτίοις σπάνιον θέαμα· τὸν ἥλιον δὲ μιμούμενος καθημέραν ἐπίλαμπέ μοι γράμμασιν· μᾶλλον καὶ ἡμέραν μοι ποίει μακροτέραν, ἄλλως νύκτα κατακρύπτων. Οὐ γὰρ δὴ προφίσῃ [*f.* — φασίσῃ] τὴν περὶ τὰς νύκτας τριβήν· ἢ ἀδικήσεις γε τὴν σαυτοῦ ἀλήθειαν, κἀκείναις ἀρκεῖν καὶ τοῖς πρὸς ἡμᾶς δυνάμενος γράμμασιν. Οὐ μᾶλλον γὰρ τῷ τοῦ Ὁμήρου Παίονι περὶ πολέμους, ἢ σοὶ περὶ λόγους τὸ ἀμφιδέξιον. Ὃς γε καὶ τοὺς αὐτοσχεδίους ἀναπνεῖς κάλλιόν τε καὶ ἥδιον, ἢ οἱ τοὺς τῶν ἐλλυχνίων ἀπόζοντας ἀποτίκτοντες· οὓς βοστρυχίζουσι, καὶ κτενίζουσι, καὶ περιαρτῶσιν ἐκ σαπφείρου ἐνώτια. Καὶ τέως μέν τι δοκοῦσι παρὰ θεάτρῳ μεθύοντι. *Ἥλιος δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην* (28), καὶ οὐδὲ τὸν Ἑῷον ὁρῶμεν. Εἰ μὲν οὖν ἔδει σοι χρόνου καὶ περιόδων ἐπὶ τοὺς τόκους τῶν λόγων, εἶχεν ἂν λόγον σοι τὰ σπάνια καὶ χρόνια γράμματα· ἐπεὶ δὲ διαπετάσας τὰ θύρας τοῦ νήφοντος στόματος θεσπιωδεῖς χρυσηλάτους, ὁρᾷς, ὅπως ἀδικεῖς τοὺς ἐμοὺς ἔρωτας ὁ τῆς Θέμιδος προνοούμενος. Ἀλλὰ μὴ σύ γε τοῦ λοιποῦ. Ἐπίπεμπε δέ μοι τοὺς σοὺς Ζεφύρους κακῶς κεκαφυτὸ θυμῷ (29). Οἶσθα τὰ καθ' ἡμῶν ἀῤῥωστήματα, καὶ μᾶλλον τὰ νῦν, ὅτε ὁ Κύριος ἡμῖν ἐπιβαλὼν καύσωνα, πᾶσαν ἰκμάδα ζωογόνον ἐξέτηξεν. Ἀλλὰ τοῦτον μέν, ὃ μόνον εἶχον, ἡμυνάμην στίχοις ἰαμβείοις, πολλὰς ἐλεγείας ἆσαι δι' ὅλου ἐνιαυτοῦ

EPIST. XX.

Mermentarum episcopo.

Hoc breve tempus, quo tacuisti, centum annorum spatium scito mihi videri fuisse. Sic enim ego tuum amo sermonem, o omnium mihi illustrissime, et tuæ **651** præsentes litteræ ut splendidi solis mihi phœnix exsistunt. Sed, o felicissime, ne mihi hunc phœnicem, quod Ægyptiis rarum spectaculum est, illas esse existima; sed solem ipsum imitans, illum veluti quotidianis radiis, litteris tuis illustra, imo potius diem mihi longiorem emitte. Quippe noctem penitus mihi absconde. Non enim in diuturnas noctium moras, aliquid mihi causæ prætexe, aut tuam ipsius veritatem iniqua cohibebis contumelia, dum et illis mihi satisfacere, et litteris, quas ad me mittis, facile potes. Non enim major illi Homerico Pæoni, in horrentia bella, quam tibi, in dulce eloquium, ingenii dexteritas inest. Nam suavius et pulchrius inelaborata et præcipitata opera promis et spiras, quam qui multam olentes lucernam suas producunt lucubrationes, quas veluti calamistratis cincinni globulis perpoliunt, et eburneo discriminant pecline, et splendenti sapphiro illis inaures appendunt. Et tunc quidem apud ebrium et insanum theatrum admiratione maxima digni videntur.

Phœbus at occiduus pulchram subit axe paludem.

Et neque ipsum Orientem inspicimus. Si autem ad tuorum sermonum partus, tibi opus est temporis et periodorum spatio, vere quidem raræ et tardæ litteræ tibi temporis rationem habent. Quia vero aureas sobrii tui oris valvas aperiens, vaticinaris [***] inspicis quidem quo pacto

[11] Psal. xvii, 41.

Variæ lectiones et notæ.

(26) Ἀλεξίκακος, averuncus.

(27) *Τὸ σὸν γράμμα φαμήν.* Legendum, τ. σ. γράμμα φανέν. Atque ita reposui

(28) Homer. *Odyss.* γ', v. 1.

(29) *Κεκαφυτὸ θυμῷ.* Rescrib. κεκαφηότι θ. Respexit versum Homeri *Iliad.* E, v. 698 : Ζώγρει ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν.

Digitized by Google

meum candidum amorem injuria afficias, qui ipsius sacræ Themidis es inspector. Sed jam tu ne in posterum talis esto, tuos vero latos et flantes Zephyros,

Ipse mihi miseros spiranti corde dolores,

emitte. Nosti quidem nostram imbecillitatem, et maxime eam qua nunc premimur, siquidem Dominus vehementem in nos æstum emittens, omnem illum humorem, quo vitæ halitus nutriebatur, penitus consumpsit. Sed enim hoc quidem, quod solum habui, iambicis versibus expressi, multas interim elegias totum per annum concinere coactus. Tu vero quia mala meditans, illis, qui nos nequaquam dimittunt, illucebis, nescio quidem utrum ob necessarium rerum ambitum, quo nunc circumducimur, an quia peccatorum horror in ipsum Dei conspectum ascendit. Ne tamen desiste, sed animæ nostræ regimen semper exsequere. Ita autem neque teipsum blandi prætermittet Zephyri, quam prius bonus odor vas aromatibus refertum.

A με καταναγκάσαντος. Σὺ δὲ ἐπεὶ κακοποιῶν ἐπιψαύσεις οὔποτε ἡμᾶς ἐπιλείψουσιν, οὐκ οἶδ' εἴτε διὰ τὴν ἀναγκαίαν τοῦ περιέχοντος νῦν περίοδον, εἴτε τὴν τῶν ἁμαρτιῶν πρὸς τὸν Θεὸν ἄνοδον, μὴ πτύσειο ψυχαγωγίας ἡμῖν προμηθούμενος. Πάντως οὐδ' αὐτόν σε οἱ Ζέφυροι ἐπιλείψουσιν, ἢ πρότερον ἂν τὴν ἀρωματοφόρον ἡ εὐωδία.

EPIST. XXI.

Anemo.

Meum mihi somnium enarras, virorum mihi dilectissime, me in media Bulgaria barbaros et rusticos mores credens imitari. Inspice enim quantum ego rusticitatis et feritatis craterem ebiberim, qui tot etiam annos ab ipsa sapientiæ regione et sede absum, et mea insipientia quantam **652** ebrietatem contraxerim. Quis autem dabit nobis e contrario e sapientiæ poculo degustato inebriari, quod illa quidem apud Salomonem miscet, et sapientes præstat eos qui hucusque insipientes fuere? Quoties autem ad hanc et illud canticum dixi : *Ostende mihi vultum tuum* [12], tuamque vocem meis injice auribus? At hæc me quidem effugit et sese abscondit, et maxime meos amores expungit et vellicat. Ego autem perdite amans tantoque neglectus studio, huic vitæ fabula fieri videor, veluti Echus ille amator, sive dæmon, sive deus fuerit, aut Tantalus ille dici timeo, qui omnium est sermone notus, semper quidem sitiens, et semper ab ipso potu deceptus. Porro vero illud Salomonis mihi dictre in animo est: [13] *Dixi, Sapientiam requiram, at ipsa longius a me recedit, supra quam antea fuit.* Atque hæc dicens, nihil aliud quam meis ærumnis imminere sum visus. Quare medicamentum quoddam multum mea interest moliri, quasi nobis quidem in Bulgarorum terra assiduæ illæ sint et diuturnæ. Jam enim rusticitas fere eodem mecum ubere nutritur, et iisdem mecum assidet laribus. Tu vero ne impensius, ab his, qui te norunt, rogari velis, dissimulatione quadam semper involutus. Heri enim jam libros manibus

ΕΠΙΣΤ. ΚΑ'.

Τῷ Ἀνέμῳ.

Τὸ ἐμὸν ὄναρ μοι λέγεις, ἀνδρῶν ἐμοὶ ποθεινότατε, ἐκβεβαρβαρῶσθαι λέγων ἐν μέσοις Βουλγάροις. Σκόπει γὰρ ὅσον ἐγὼ τοῦ τῆς ἀγροικίας κρατῆρος πέπωκα, τοσούτων ἐτῶν τῶν τῆς σοφίας χωρίων ἀποδημῶν, καὶ ὡς ἐμεθύσθην τῆς ἀμουσίας. Ἀλλὰ γάρ τίς ἡμῖν δώῃ τὴν ἐναντίαν μεθυσθῆναι μέθην ἐκ τοῦ τῆς σοφίας κρατῆρος, ὃν αὕτη παρὰ τῷ Σολομῶντι κίρνησιν, ἔμφρονας ἀποδεικνύουσα τοὺς τέως ἄφρονας; Ποσάκις πρὸς αὐτὴν εἶπον ταῦτα δὴ τὰ καὶ [*f.* τοῦ] Ἄσματος· *Δεῖξόν μοι τὴν ὄψιν σου*, καὶ ἀκούτισόν μοι τὴν φωνήν σου; Ἡ δέ με ὑποφεύγει, καὶ ὑποκρύπτεται (30), καὶ ὑποκνίζει μᾶλλον τοὺς ἐμοὺς ἔρωτας. Ἐγὼ δύσερως, ἀθεράπευτος, κινδυνεύων μῦθος γενέσθαι τῷ βίῳ, καθάπερ ὁ τῆς Ἠχοῦς ἐρῶν, εἴτε δαίμων εἴτε, θεὸς, ἢ ὁ πολυλάλητος Τάνταλος, ἀεὶ μὲν διψῶν, ἀεὶ δὲ τὴν πόσιν ἐξαπατώμενος. Αὖθίς μοι τὸ τοῦ Σολομῶντος ἔπεισι λέγειν· *Σοφισθήσομαι, καὶ αὕτη ἐμακρύνθη ἀπ' ἐμοῦ μακρὰν ὑπὲρ ὃ ἦν.* Καὶ λέγων ταῦτα, οὐδὲν ἀλλ' ἢ ἐπὶ τοῖς ἐμοῖς ἔοικα πάθεσιν, ἰατρείαν δέ τινα πολλοῦ γε δεῖ μηχανᾶσθαι. Ἡμῖν μὲν οὖν, ὡς χρονίοις οὖσιν ἐν γῇ Βουλγάρων, ὁμότροφος ἤδη ἡ ἀγροικία καὶ ὁμοέστιος. Σὺ δὲ μὴ οὕτω θρύπτου πρὸς τοὺς εἰδότας εἰρωνευόμενος. Χθὲς γάρ που τὰς βίβλους παρῆκα ταῖν χεροῖν, ὥστε σοι ἔτι παρεῖναι τὰ τῶν σοφῶν ἐνηχήματα. Πλὴν ἀλλὰ καὶ νῦν σοι βίβλον Χρυσοστομικὴν διεπέμψαμεν. Ἡ δὲ τῆς σοφίας πηγὴ, ἡ σοφία Χριστὸς, εἴη σε συνετίζων καὶ συμβιβάζων ἐν ὁδῷ ταύτῃ ᾗ πορεύῃ, καὶ διδάσκων τὴν αὐτοῦ γνῶσιν μετὰ τῆς πράξεως.

B

C

D

Meum candidum amorem injuria afficias, qui ipsius sacræ Themidis es inspector. Sed jam tu ne in posterum talis esto, tuos vero latos et flantes Zephyros,

Ipse mihi miseros spiranti corde dolores,

emitte. Nosti quidem nostram imbecillitatem, et maxime eam qua nunc premimur, siquidem Dominus vehementem in nos æstum emittens, omnem illum humorem, quo vitæ halitus nutriebatur, penitus consumpsit. Sed enim hoc quidem, quod solum habui, iambicis versibus expressi, multas interim elegias totum per annum concinere coactus. Tu vero quia mala meditans, illis, qui nos nequaquam dimittunt, illucebis, nescio quidem utrum ob necessarium rerum ambitum, quo nunc circumducimur, an quia peccatorum horror in ipsum Dei conspectum ascendit. Ne tamen desiste, sed animæ nostræ regimen semper exsequere. Ita autem neque teipsum blandi prætermittet Zephyri, quam prius bonus odor vas aromatibus refertum.

reliqui, ut tibi adhuc sapientum dogmata ob oculos semper versentur. Cæterum jam tibi librum Chrysostomicum emisimus. Fons equidem sapientiæ, et ipsa sapientia Christus sit, qui te erudiat, et te in hac via qua procedis, impellat et ducat, et suam ipsius cognitionem cum operibus edoceat.

EPIST. XXII.

Cercyræ episcopo.

Et rursus nobis alta debet esse speculatio, su-

[12] Cant. II, 14. [13] Eccles. VII, 24.

ΕΠΙΣΤ. ΚΒ'.

Τῷ Κερκύρας.

Καὶ πάλιν ἡμῖν ἐξ ὕψους ἐπισκοπὴ, ὅτι πάλιν ἐκ

Variæ lectiones et notæ.

(30) Ὑποκρύπτεται. Scrib. προκρύπτει τε.

Digitized by Google

(πτηνὸν γάρ σοι τοῦτο ἐλαύνεται) · δ δ' οὖν εἰς ἡμᾶς ἦκον ἱκανῶς ἔχοντας, καὶ οὐκ ἀξίους ἴσως τῷ θεάτρῳ τοῦ λόγου συρίττεσθαι, τοῦτο μόνον εἰπὼν καὶ δὴ παύσομαι. Αἶρέ σου τοὺς ὀφθαλμοὺς εἰς τὰ ὄρη, ὅθεν ἥκει σοι ἡ βοήθεια, καὶ ἤξει ἔτι, καὶ ἔτι· βάλῃς τούτους κάτω, μὴ τρέψῃς πρὸς ἑαυτόν. Οὐ γὰρ ἀνθρωπίνης ἰσχύος τὰ τηλικαῦτα, ἢ μόνον ἀλλὰ τὸ πᾶν, ἢ τὸ πλεῖον τῆς θείας χάριτος. Καὶ ἐν τῷ Θεῷ ποιεῖς δύναμιν, τῷ τοὺς πολεμίους συντρίβοντι. Ἣν σαυτῷ ἐμβεβαιώσεις, ἣ καὶ πλείονα ἐπισπάσει, εὐγνώμων τῷ χαριτοῦντι γενόμενος. Γίνοιο [*f.* Γέν.] δ' ἂν, εἰ πρὸς αὐτὸν διὰ τῆς ἀγαθότητος εἰκονίζοιο, ἐκχεομένης καὶ πλουσίοις καὶ πένησι, τοῖς ἱερώτερον ζῶσι καὶ τοῖς κοινότερον, εἴτουν θειότερον καὶ ἀνθρωπικώτερον, καθ' ὅσον ἕκαστοι ταύτης χρῄζουσι. Δι' ἣν καὶ ῥυσθείης τῶν πονηρῶν καὶ τοῦ Πονηροῦ, ὡς μήτε κακοῖο, μήτε κακύνοιο.

EPIST. XXVII.

Michaeli Chalcedonis episcopo.

Solas quidem Ecclesiarum opes ereptas fuisse, inclyte frater et domine, ægre sane tulimus. Nisi quod hæc molestia nobis utrinque levis ac tolerabilis fuit, cum plane videamus, quæ spiritualiora sunt, soluta et eversa omnino non esse. Unde et nos, veluti in maximis, hac consolatione nimis erigimur. Nunc autem, quia hæc omnia nobis disjecta et soluta fere ruunt, omne solatium nos prorsus relinquit. Quando enim divini et sacri canones nihil aliud multitudini præceperunt, quam ut quisque, nullo rerum novarum studio, terminos sibi præscriptos conservet, et ne humanarum divitiarum fastus, superbamque insolentiam Spiritus opibus admisceat. Quidam vero prædicare et evulgare his et aliis didicerunt, ut et illi, quos forte deceptione et errore labi viderint, corrigerentur. Quidam autem maxime hos canones, in suam imperitiam et inobedientiam penitus enutriunt, et grandi quodam multiplicant cumulo. Qui et in alios fines **663** compulsi, et immissi, omnia et divina et humana jura confundunt. Non equidem novi, quam aliam consolationem simus habituri, quam solam jam peracti mali et infortunii correctionem. In quam, et in nostrum zelum et studium, non parum nobis perfectionis, persuasi allaturi emolumenti, tuæ objiciemus sanctitati hoc Cittaba, quod præter canones est exortum et constitutum. Sed ut ne rideas propter barbarum nomen. Est quidam loci terminus, nostro archiepi-

ΕΠΙΣΤ. ΚΖ'.

Τῷ τῆς Χαλκηδόνος κυρίῳ Μιχαήλ.

Ἕως μὲν μόνα τὰ χρηματικὰ τῶν Ἐκκλησιῶν διηρπάζοντο, τιμιώτατε ἀδελφὲ καὶ δέσποτα, ἠχθόμεθα μέν, πλὴν ἀλλὰ τὸ ἄχθος ἡμῖν ἑτέρωθι ἐκουφίζετο, ὁρῶσι τὰ πνευματικώτερα μὴ λυόμενα, κἀντεῦθεν παρακαλουμένοις τὰ μέγιστα. Νῦν δὲ καὶ τούτων ἡμῖν λυομένων, οἴχεται πᾶσα παράκλησις. Ὅταν γὰρ οἱ μὲν θεῖοι καὶ ἱεροὶ κανόνες οὐδὲν ἄλλο περὶ πλείονος ἐποιήσαντο τοῦ τὰς ἑκάστων ἐνορίας ἀκαινοτομήτους φυλάττεσθαι, καὶ μὴ τῦφον κοσμικῆς ἐξουσίας τοῖς τοῦ Πνεύματος παρεισδύεσθαι· οἱ δὲ τούτοις [*f.* τούτους] καὶ τοῖς ἄλλοις διαγγέλλειν διδαχθέντες, καὶ τοὺς σφαλλομένους ἐπανορθοῦσθαι, οἱ δὲ τούτους μάλιστα πάντων τὴν πρὸς αὐτοὺς ἀνηκοΐαν τρέφουσι καὶ ἀδρύνουσι, καὶ πρὸς ἀλλοτρίας ἐνορίας εἰσωθιζόμενοι πάντα φύρουσι καὶ θεῖα καὶ ἀνθρώπινα δίκαια· οὐκ οἶδα ποίαν ἄλλην παράκλησιν ἔξομεν, ἢ μόνην τὴν τῶν γενομένων κακῶς διόρθωσιν. Πρὸς ἣν καὶ τὸν ἡμετέρον ζῆλον οὐ μικρὰν ἡμῖν εἰσοίσει, πιστεύοντες τὴν συντέλειαν, γνωρίζομεν τῇ σῇ ἱερότητι τὸ παρὰ κανόνας γινόμενον Κίτταβα. Ἀλλ' ὅπως μή μοι γελάσῃς πρὸς τὸ βάρβαρον ὄνομα. Ἐνορία τίς ἐστι, τῇ καθ' ἡμῶν ἀρχιεπισκοπῇ διαφέρουσα, ἐν ᾗ τῶν τις μοναχῶν ἀνεγείρων οἶκον εὐκτήριον, ἐκωλύθη παρ' ἡμῶν, ὡς παρὰ γνώμην ἡμετέραν τοῦ ἔργου ἀρξάμενος, καὶ μήτε τοῖς κανόσι, μήτε τοῖς τῆς πολιτείας νόμοις ἐγνωσμένα ποιῶν. Ὁ δὲ σταυροπήγιον πατριαρχικὸν λαβεῖν ἔφησε καὶ οὕτω τοῦ ἔργου ἄρξασθαι. Ἐκεῖνος μὲν οὖν ἀκοινωνησία· παρ' ἡμῶν ἐνεδέθη

[81*] Psal. xx, 1.

Digitized by Google

δεσμοῖς, τὰ τοῖς κανόσιν, ὡς οἶσθα, διωρισμένα ἐπιβαλόντων αὐτῷ. Ἡμεῖς καὶ [*f.* δὲ] οὐ περὶ ἐλαχίστου τὸ πρᾶγμα τιθέμενοι, καὶ τῷ τιμιωτάτῳ μὲν χαρτοφύλακι, κυρίῳ Πέτρῳ, περὶ τούτου ἐγράψαμεν, ὅσα τὸ μέτρον τῆς ἐπιστολῆς ἐνεδίδου· καὶ τῇ σῇ δὲ φιλοθέῳ, καὶ διὰ τοῦτο φιλοκάνονι, τιμιότητι γράφομεν, ὡς ἂν καὶ αὐτὸς περὶ τούτου τῷ ἀνδρὶ ὁμιλήσῃς, εἰδότι μὲν οὐδενὸς ἧττον ἃ τοῖς κανόσι διώρισται, καὶ ἥτις ἐπίκειται ποινὴ τοῖς ταῦτα παραλύειν ἐθέλουσι, πλὴν οὐκ οἶδ' ὅπως συγχωροῦντι τοιαῦτα γίνεσθαι, ὑφ' ὧν πᾶσα εὐταξία καὶ εἰρήνη τῶν Ἐκκλησιῶν ἀπελαύνεται, καὶ τὸ αἷμα τοῦ Χριστοῦ χυθὲν, ἵνα εἰρηνοποιήσῃ τὰ πάντα, κενὸν ἀποδείκνυται. Τίς γὰρ ἐν Βουλγάροις μετουσία τῷ Κωνσταντινουπόλεως πατριάρχῃ, μήτε χειροτονίας ἐπ' αὐτῇ δίκαια ἔχοντι, λαχούσῃ τὸν ἀρχιεπίσκοπον αὐτοκέφαλον, μήτ' ἄλλο τι διαδεξαμένῳ κατὰ ταύτης προνόμιον; Διὰ τίνος δὲ καὶ τὰ σφάλματα τῶν μοναχῶν τῆς κατὰ γνώμην αὐτοῦ συστάσης μονῆς τηρηθήσεται καὶ διορθωθήσεται; Διὰ τοῦ τὰ τῶν ὑποκειμένων αὐτοῦ ἄλλων μοναχῶν ἐπικρατοῦντος, καὶ διευθύνοντος, ὃν ἔξαρχον ἀναμφίζομεν. Καὶ ποῖος οὕτω Κρονίων ὄζων κεκεσέληνος ἱερῷ, τὸ τοῦ κωμικοῦ (42) ἐν τραγικοῖς πάθεσιν, ὃς Κωνσταντινουπολίτου παρουσίαν ἐξάρχου ἐν Βουλγάροις μετρίως οἴσει, καὶ οὐχ ὡς μοιχῷ χρήσεται, μεστὸν ζήλου θυμὸν, ὃ φησι Σολομὼν, ἐνδεικνύμενος; Ἐγὼ μὲν οὖν οὐκ οἶμαι. Τίς δ' ἂν ἄλλος καὶ πρὸς αὐτὴν τὴν ἀπαγγελίαν οὐ δυσχεραίνοι τοῦ ἀνομήματος, εὐσεβείας γοῦν ἐμπεριπατούσης ἡμῖν, καὶ κανόνων δοκούντων ἐμπνεῖν ἔτι τῷ καθ' ἡμᾶς πολιτεύματι; Εἰ μὲν οὖν καὶ τὸ ἡμέτερον γράμμα, καὶ ὁ σὸς λόγος, τὸ σπουδαζόμενον ἐξανύσειε, χάρις μὲν τῷ τῆς εὐταξίας καὶ εἰρήνης Θεῷ· χάρις δὲ καὶ τῇ ὑμετέρᾳ ἀγάπῃ, ἧς καὶ αὐτῷ καὶ αὐτὸς Θεὸς εἶναι καὶ λέγεται καὶ πιστεύεται. Εἰ δὲ κωφεύσαιεν πρὸς ταῦτα οἱ δύναμοι (43) τὰ κακῶς γινόμενα διορθώσασθαι, ἀνάγκη καὶ κοινότερον ἐκβοῆσαι, καὶ πρὸς πλείους ἐκλαλῆσαι τὸ ἄλγημα· εἴ γέ τινες εὑρεθεῖεν οἱ τοῦτο ἰάσασθαι βουλησόμενοί τε καὶ δυνησόμενοι. Πλὴν ἀλλ' εὔχου ἡμῖν τὸ ἀπραγμονέστερον καὶ εἰρηνικώτερον. Οὔ πώποτε γὰρ, οὔτε αὐτοὶ πράγματα ἔχειν, οὔτε ἄλλοις παρέχειν ἐπεθυμήσαμεν. Ὅ καὶ νῦν ἡμῖν προσείη ταῖς σαῖς εὐχαῖς, πανίερε δέσποτα.

A scopatui proprius (41), in quo cum quidam monachus templum et sacrarium construeret, a nobis impeditus est, eo quod præter nostram sententiam et consilium opus inceperit, et neque sacris canonibus, neque reipublicæ legibus nota et consona molitus fuerit. Qui patriarchico jure, crucem in illo loco affigens dixit, se ita opus illud inchoasse. Ille autem a nobis nihilominus excommunicationis vinculis est alligatus, atque in illum, quæ canones, ut nosti, definiunt et decernunt, protrusimus. Nos autem opus illud non minimi facientes, ad scriniorum præfectum dominum Petrum, de hac re scripsimus, quantum vel epistolæ modus permisit. Atque etiam ad te, qui Deum diligis, et ob hoc canonum observas leges, scribimus, ut etiamsi ipse de B hac re, cum hoc viro sermonem inieris, qui quidem nihilominus tamen, quæ canones statuunt optime percepit, et quæ pœna his proposita; qui hæc præterire et dissolvere nituntur. Cæterum non novi quomodo his non reclamanti, nec obsistenti hæc accidant, a quibus omnis ordo, et Ecclesiarum pax repellitur, et ipse Christi sanguis, ut omnia pace conderet effusus, irritus quidem pene ostenditur. Quæ enim inter Bulgaros participatio et communio cum Constantinopolitano patriarcha, qui neque suffragia justa in ipsam, aut vota habet, quæ archiepiscopum, quasi sibi proprium caput respiciant, neque aliud privilegium circa ipsam contineat? Propter quem monachorum delicta, et C erroris ipsius sententia et constitutione, et observari possint, et capi, et juxta corrigi æquitate, ob illum, qui aliorum monachorum, qui ipsi parent, opera et studia subigit, et quadam veluti emendatione reficit, quem exarchum nuncupamus. Et qualis Cronion ita olet Beceselenus, ut illud comici in tragicis affectibus dicam. Quis Constantinopolitani exarchi præsentiam in Bulgaros mediocriter ferat, et illo non ut adultero utetur, plenum zelo animum, quod inquit Salomon, manifestans [42]? Equidem, non arbitror, quis alius ad ipsam hujus rei commemorationem, flagitium hoc non ægre ferret, præsertim cum religio circum nos obambulet, et ipsi canones nostro vivendi instituto semper afflare videantur. Si vero hæ nostræ litteræ, et tuus sermo rerum hunc conatum perfecerint, gratia sit modestiæ et pacis Deo; gratia etiam, et vestræ dilectioni, et charitati, cujus et hic, et ipse Deus dicitur et creditur. Si autem ad hæc, **664** qui, quæ male evenerunt corrigere possunt, veluti surdi silent, necesse erit commune proclamare auxilium, et ad populum hunc nostrum evulgare dolorem. Si vero aliqui inventi fuerint, qui huic rei mederi velint et possint, verumtamen tu tranquillitatem, et tutum pacis statum nobis precare. Non enim neque nos ipsi molestia ulla affici, neque aliis negotium facessere optavimus. Quod quidem nunc tuis nobis precibus, o sanctissime domine, facile contingat.

ΕΠΙΣΤ. ΚΗ'.

Τῷ χαρτοφύλακι κυρίῳ Νικήτᾳ.

Διαπτᾶσά τις φήμη περὶ ὑμῶν, ἅγιε Πάτερ καὶ

EPIST. XXVIII.

Domino Nicetæ chartophylaci.

Cum ad nos fama de vestris rebus pervolasset,

Variæ lectiones et notæ.

(41) Sic vertendum monet D. Hasius ad Leonem Diaconum, p. 253, ed. Paris. Antea legebatur, *quidam loci terminus a nostro archiepiscopatu diversus.* EDIT. PATR.

(42) *Κεκεσέληνος ἱερῷ τὸ τοῦ κωμικοῦ.* Restituo et interpungo βεκεσέληνος ἐν ἱερῷ τὸ τ. κ. Respexit versum Aristoph. *Nubibus:*

Καὶ πῶς, ὦ μωρὲ σὺ, καὶ Κρονίων ὄζων, καὶ [*Βεκεσέληνος.*

(43) *Οἱ δύναμοι.* Scrib. δυνάμενοι.

Digitized by Google

sancte Pater et domine, non mediocriter nostram imbecillitatem commovit atque concussit. Si enim nos nostra soliditate et firmitate, quasi potenti petra secure firmati essemus, nihil sufficeret quidem, et in nos vel parvum excutere motum. Nisi jam hæc vos in fundamentum, quo firmiores et tutiores insidere possimus, constituitis. Sed enim nos præsentibus rerum casibus agitamur et volvimur, instabiliorem et ruinæ proclivem structuram omnino molientes. Fuit ergo rumor, improbos et facinorosos homines, patri mendacii inservientes, altæ imperatorum majestati, de vobis dignos ipsis sermones emisisse, et continuo in ipsorum cordibus fœtidum cœnum permiscentes, terrimum exhalare odorem, ita ut nunc et ipsos imperatores injucundo afficiant halitu, qui in nos aliquando grati et suaves perstiterunt, ut vero et bono Christi odore suffusi. Digne quidem censeo de tua egregia sanctitate aliquid mihi patefieri, si juxta hunc rumorem et famam cuncta eveniant. At magis supervacanea et maxime hæc tumultuantia esse, famam et rumorem novi proferre, quam ipsi calumniantium sunt sermones. Mihi quidem id necesse est, non quod de tuo timeam honore et dignitate, sed quod meam miseræ sortis horrescam ærumnam, qui nunc his afflictionum diebus cum omnibus fere Christianis, dulcem tui sermonis rorem combibens, te medicamentum et solatium constituo, post primum illum communem Consolatorem. Sed enim illi, qui contra te odium pro dilectione parant, et tuam bonitatem et virtutem calumniis profundunt, impense diris erunt afflicti clavibus. Veritatis autem Dominus emendationi et integritati sit illis. Tu autem nobis, et aliis serveris, et ut lumen, et alimentum, et te, ut quisque indiguerit, perfungemur.

A

B

C

D

665 EPIST. XXIX.

Niceiæ discipulo Chalcedonis episcopi diacono.

Antilochum nosti, fili sanctissime, ob Nestorem patrem multa subiisse pericula, quando ob illius pugnam et victoriam, Æthiopis hastam ipse suscepit. Ego autem te, non ad pericula, tuus pater, advoco, sed ad securum, et periculi expers ministerium. Fortasse igitur præ timore concides, et hoc ita facile auxilium mihi interdices. Sed ita etiam vel probro vertes dolores, et cruciatus sermonis et colloquii mei, etiam et ipsum partum et ipsam, ut ita dicam, obstetricationem et nutrimentum illud, quale cum lacte, vel jam validioribus cibis, tibi collatum fuit. Verumtamen hoc non ita erit, sed neque, quod existimas. Quod igitur est auxilium, quod dulcis et blanda oratio, veluti quidam exactor, a te exigit? Ad sanctam Authentriam, sanctæ dominæ matrem litteræ a me delatæ sunt, quam non illa magis nobis, quam ipsi, o amice, peperit. Postulant quidem, ut hæc sacris legibus et canonibus, a pansebasto ipsius filio protostratore divexatis et repulsis opituletur, et maxime etiam, ut illi ipsi opprimenti illas, et elidenti auxilio sit. Quibus est nihil gravius, nihilque durius, quam

ΕΠΙΣΤ. ΚΘ'.

Τῷ μαθητῇ αὐτοῦ Νικήτᾳ, διακόνῳ τῷ τοῦ Χαλκηδόνος.

Τὸν Ἀντίλοχον οἶσθα, ὦ παῖ ἱερώτατε, τοῦ πατρὸς ὑπερκινδεύσαντα Νέστορος, ὅτε πρὸς τὰς ἐκείνου τὴν τοῦ Αἰθίοπος λόγχην αὐτὸς ἐδέξατο. Ἐγὼ δέ σε οὐ πρὸς κινδύνους ὁ σὸς καλῶ Πατήρ, ἀλλὰ πρὸς διακονίαν ἀκίνδυνον. Ἀποδειλιάσεις οὖν, καὶ ἀπαγορεύσεις τὴν οὕτω ῥᾳδίαν βοήθειαν; Ἀλλ' οὕτω γ' ἂν καταισχύναις καὶ τὰς ὠδῖνας τοῦ λόγου, καὶ τὴν ἀπότευξιν, καὶ τὴν μαίευσιν, καὶ θρέψιν ἐκείνην ὅσην τε ἐν γάλαξι, καὶ ὅσην ἐν στερεωτέραις τροφαῖς ἐποιήσατο. Ἀλλὰ μὲν [*f.* μὴν] τοῦτο οὐκ ἔσται· τοιγαροῦν δὐδὲ τὸ ἡγούμενον. Τίς οὖν ἡ βοήθεια, ἣν ὁ γλυκύς σε πράκτωρ λόγος εἰσπράττεται; Πρὸς τὴν ἡγιασμένην Αὐθέντριαν, τὴν μητέρα τῆς ἁγίας δεσποίνης, γράμμα μοι ἐκτέθειται, οὐ μᾶλλον ἡμῖν ἢ αὐτῇ συντεκεῖν, ὦ φίλε. Ἀξιοῖ γὰρ κανόσι βοηθῆσαι ταύτην ὑπὸ τοῦ πανσεβάστου αὐτῆς υἱοῦ τοῦ πρωτοστράτωρος θλιβομένους· μᾶλλον δὲ ἐκείνῳ αὐτῷ βοηθῆσαι τῷ θλίβοντι. Τοῖς μὲν γὰρ οὐδὲν δεινὸν τὸ πιέζεσθαι· θεῖον γάρ εἰσι χρῆμα, κἀκείνου θέσπισμα καὶ ἀποστομάτισμα, οὗ τὴν δύναμιν ἐν ἀσθενείᾳ τελειοῦσθαι πιστεύομεν. Ἐκείνῳ δὲ πολὺς καὶ βαρὺς ὁ κίνδυνος, καὶ ὅσος καὶ

Variæ lectiones et notæ.

(44) *Ἀπολάζοι μέν σου.* Restituo ἀπελαύοιμέν σου.

Digitized by Google

οἷς τοῖς Θεοῦ διαταγὰς λύουσιν. Εἴτε γοῦν ὡς Υἱῷ Θεοῦ συμμαχοῦσα, οὗ νόμοι ἐπηρεάζονται, εἴτε ὡς οἰκεῖον υἱὸν τῆς τοῦ ἐπηρεάζειν ἐπηρείας ἐκλύουσα, πάντως δὲ κερδαίνει τὰ μέγιστα. Τοῦτο δὲ τὸ γράμμα δικαιοῦμεν ἐμφανισθῆναι διὰ σοῦ τῇ τοῦ Θεοῦ δούλῃ, καὶ κοινῇ κυρίᾳ ἡμῶν. Ἐπεὶ δὲ καὶ πρὸς τὸν πανσέβαστον πρωτοστράτορα περὶ τῆς αὐτῆς ὑποθέσεως ἔγραψα, καὶ τὸ πρὸς τοῦτον γράμμα ταύτῃ ἐμφανισθήτω, ὡς ἂν δι' αὐτῆς ἐκείνῳ δοθῇ. Καὶ τοῦτο γὰρ ἀξιοῦμεν τὴν ὁσιωτάτην γυναικῶν ἐν τῷ πρὸς αὐτὴν γράμματι τὸ τῆς διακονίας ἐπίταγμα, πάσης ἀπηλλαγμένον βαρύτητος, καὶ Πατρὶ προσῆκον ὄντως φειδομένῳ παιδὸς δυνάμεως, τοῦτό μοι τελέσειν, καὶ πᾶν ἀπέχω τὸ ὀφειλόμενον. Αὐτὸς μὲν οὖν καὶ μείζω καὶ κρείττω δύναιο, ἡμεῖς δὲ καὶ τῶν δοκούντων μικρῶν καὶ εὐφόρων πειρασμῶν ἐκτὸς εἴημεν, ὡς ἂν μηδὲ τοὐλάχιστον μήτ' ἄλλοις μήθ' ὑμῖν ἐνοχλοίημεν.

premi et coerceri. Opus enim divinum sunt. Et illius auspicium, et interpretatio illis est, cujus potentiam in impotentia perfici existimas. Illi enim multa et gravia instant pericula, et tot et quanta illis, qui Dei solvunt præcepta et statuta imminuunt. Aut illa quidem quasi Dei Filio opem ferre studet, cujus leges et decreta deteruntur et abolentur, aut, ut proprium filium contumelia hac et injuria ipsum liberet, quod damna et flagitia in illos moliatur, penitus quidem maxima lucratur. Quare has litteras, justum censemus, ut Dei servæ et famulæ, et communi nostræ dominæ exponas et manifestes. Quoniam autem ad pansebastum protostratorem de hoc ipso argumento jam scripsi, etiam et has litteras me ad hunc misisse, ipsi innotescat, ut si forsan illi ipsas mitti contigerit. Quocirca etiam a sanctissima muliere, in illis ad ipsam litteris, hoc ministerii statutum omni pondere et molestia liberum, et quod ad patrem, qui vere filii potentiæ parcit, pertinet, efflagitamus. Et hoc mihi peragi, et condonari peto, et omne tandem debitum officium facile absolvo. At tu et majora et meliora potes. Nos autem et quæ parva et quæ facilia sunt, tentare in nos omnino desistimus, ne vel quid minimum tumultus et perturbationis, aut in alios, aut in nos commoveamus.

ΕΠΙΣΤ. Λ'.

Τῷ μεγάλῳ δομεστίκῳ κυρίῳ Ἀδριανῷ, τῷ ἀδελφῷ τοῦ βασιλέως.

Τίς εἰμι ἐγώ, κύριέ μου, κύριε, ὅτι ἠγάπησάς με ἕως τούτων, ἵνα πρὸς σὲ νῦν ἃ Δαβὶδ ποτε πρὸς Θεὸν, φθέγξωμαι ; « Τί μοι τηλικοῦτον ἀνετίθης φορτίον, κατεαγότι πᾶσαν τὴν φορταγωγὸν δύναμιν; » Τοῦτο αἱ κίονες ἄντικρυς αἳ οὐρανὸν εὐρὺν ἔχουσιν, ἐφ' ἃς τῆς Ἄτλαντος δεῖ δυνάμεως, ἐμὲ διασχεῖν κελεύεις τὰς νεφέλας τοῦ προφητικοῦ γράμματος, καὶ γυμνὸν παραδεικνύναι τὸν ἥλιον. Ἐμοὶ δὲ τίς ἀποφυσήσει τὴν τῶν πραγμάτων νεφέλην, ἣν αἱ τῶν συκοφαντῶν ἀναφοραὶ παχεῖαν ἀνέθρεψαν ἐκθυμιωτῷ καθ' ἡμᾶς ἡλίῳ ; Ὅστις ποτὲ οὗτος ὁ ἥλιος, ὃς καλὸς μὲν ὡς νυμφίος, εὐμεγέθης δὲ ὡς γίγας, καὶ πάντα τῇ καύσει καὶ τῇ θάλψει ζωογονῶν καὶ νικῶν. Δέον ἐκτήκειν ταύτας, ὡς μηδ', εἰ γένοιντο, φαίνεσθαι, ὁ δὲ παχύνει καὶ εἰς νεφελῶν σύστασιν, τυχὸν μὲν κατὰ λόγον, ὡς δὲ τοῖς πολλοῖς δοκεῖ, παρὰ λόγον. Οὕπω γὰρ ἐκ τῶν προτέρων αἰθρίαν ἔχομεν, αὖθις σὺν δ' εὖρός τε νότος τ' ἔπεσε, ζέφυρός τε δυσαὴς, ὀρώδει δ' οὐρανόθεν νύξ (45). Ὅ μοι καὶ πλείους καὶ πικροτέρας τὰς ἀχίδας τῆς ἀθυμίας ἐμπήγνυσιν, ὅταν ἄνωθεν ἔχω τὴν νύκτα, ὅθεν φῶς ἐπήλπισα. Ἀλλὰ γὰρ ἵνα καὶ αὐτὸς συνιστῶ νεφέλας τῇ ἀσαφείᾳ, καὶ σκιάζω τοῦ λόγου τὸν ἥλιον, οἱ χθὲς καὶ πρώην μοι ἐπαναστάντες ἄδικοι μάρτυρες, οὓς ὁ κράτιστος ἡμῶν βασιλεὺς, καὶ σὸς παμπόθητος ἀδελφὸς, τὸ ψεῦδος φωράσας ἀποπεσεῖν τῶν διαβουλίων αὐτῶν πεποίηκεν, ὡς ψεύσασθαι τὴν ἀδικίαν ἑαυτήν. Οὗτοι νῦν πάλιν αὐτῷ προσελθόντες, καὶ τὰ αὐτὰ περὶ τῶν αὐτῶν εἰπόντες, τοσοῦτον

666 EPIST. XXX.

Domino Adriano magno domestico imperatoris fratri.

Quis ego sum, domine mi, domine, inquam, quia usque adeo dilexisti me, ut possim nunc tecum, quæ David cum Deo, loqui? « Ad quid mihi tantum imposuisti onus, qui omnes vires, quibus pondera sustinere possem, effractas et penitus dirutas habeo? » Hoc enim sublimes possunt columnæ, quæ ex adverso latum cœlum sustinent, ad quas Atlantis opus est robore. Me quidem densas propheticì libri nubes cogere jubes, et nudum et apertum solem manifestare. Quis etenim mihi impendentes rerum nubes flatu expellet, quas crebræ calumniarum exhalationes crassas et obscuras nutrierunt, et in solem in nos ardentem et accensum explicarunt? Quis quidem hic est sol, qui vere pulcher est tanquam sponsus et procerus, et magnus quasi gigas, et omnia calore et foventibus radiis ad vitam educit, cunctisque præstantior est. Oportet enim has nubes penitus liquefacere et dispergere, quasi ille, si densæ exoriantur, neutiquam insplendescat. Hic quidem nubium cœtu et agmine obscuratur. Forte vero, ut ratio postulat, et ut pluribus videtur, præter rationem et modum. Nondum enim primis expulsis nubibus, sereno fungimur cœlo.

Et cœlo nox decidit alto,
Nam Notus, atque Eurus, Zephyrusque per æthe-
[ra perflant.

Quod quidem plures et amariores timoris et tristitiæ cuspides exacuit, et conflat in me, quando

Variæ lectiones et notæ.

(45) *Ὀρώδει δ' οὐρανόθεν νύξ.* Scrib. ὀρώρει δ' οὐ. ν. Est locus apud Homerum *Odyss.* E, v. 394 :

Ὀρώρει δ' οὐρανόθεν νὺξ,
Σὺν δ' εὖρός τε νότος τ' ἔπεσε ζέφυρός τε δυσαὴς,
Καὶ βορέης αἰθρηγενέτης.

Digitized by Google

ab alto noctem et umbras habeo, unde lumen speravi. Sed enim me obscuritati nubes cogere, et orationis solem obumbrare, heri, et nuper injusti, in me insurgentes testantur, quos potentissimus noster imperator, et tuus optatissimus frater, mendacium sedulo indagans, suis temerariis fecit consiliis cadere, quasi ipsa iniquitas tunc se ipsam fefellerit, omninoque frustraverit. Hi quidem nunc rursus ipsum adeuntes, atque eadem de illis ipsis rebus referentes, tantum roboris sunt nacti, ut candidos illos calculos et suffragia, quæ nobis justis quidem condonaverat nunc illum persuadeant, ut inconfusam et indigestam, illam ejiciat molem, et nigra, et multo plena odio educat, et hæc juxta illud vere regium judicium, ut Penelopes textum ostentet, interdiu veritatis contexta stamine, noctu vero mendacii illa resolvat, et disjiciat pectine. Et hoc gravissimum censetur, nos ita indicta causa damnari. Ut enim id intellexi, ut dimissus ad nos scriba, totam hanc Ecclesiæ Achridis regionem relinqueret, decretum est. Locus hic est, ad quem hujus conventionis litteræ pervenerunt, Ecclesiæ quidem, inquam, pro erronum, **667** et sceleratorum loco, quæ cum illis dominaretur, publicis tandem cessit incursibus, et hoc quadam solum habitandi servitute succedit. Quæres omnium est maxime necessaria. Et vere aurea sententia, et sermo, qui illam conventionem et conspirationem constituerat videbatur, et imperatoris minis obsignatus fuit. Cum enim Cercopes hi cum Hercule contendebant, in quem horum existimas me toto spiritu intentum esse et proclivem? Quomodo enim non juxta divinum Jeremiam asper in præcordiis dolor insidebit, et ipsi sensus tumultuanti undique furore, et veluti bacchanti non ferentur? Superbus enim fastus et insolens, subita animi egressione tumens, et insperato assurgens incursu, et maxime ut rationi adversarium contigit (ut inclytus ait Thucydides [46]) cuncta coercet, et in servitutem redigit. Ego autem hesternis calumniis, et si non firmiter enectus sum, verumtamen, quia hoc solum in regiis auribus quasi in fertili et effossa terra, seminarunt, quasi quoddam venenum et mortiferum aconitum, aut aliquod aliud lethale germen, ita tamen illis misere confectus decidi, et toto flexus tacui pectore, ac si humi consternerer, et in uno deprimerer solo, nulla honoris sublatione fretus, nec erectione dignus, et veluti diris servorum penitus conculterer ictibus. O Rex regum Christe, qui nullo obstrictus scelere, flagris fuisti contusus, et miti et blando pectore, hominis servi flagello conculi pertulisti. Quem enim existimas in nos, manus sæve injici metuere, cum plane videat delatores et adversarios ita permitti, ut heroas et semideos, ut dicunt, inter vagantes multos et petulanter et temulente cuncta deferre et intrudere et audacter loqui? Hæc, et alia augustissimo-

ἴσχυσαν, ὥστε καὶ τὰς λευκὰς ἐκείνας ψήφους, ἃς τοῖς δικαίοις ἡμῖν ἐχαρίσατο, νῦν πεῖσαι κατὰ χάους βαλόντα μελαίνας ἀντεξενεγκεῖν, καὶ πολλῆς γεμούσας στυγνότητος. Καὶ τὴν τῷ ὄντι βασιλικὴν ἐκείνην κρίσιν τὸν τῆς Πηνελόπης ἱστὸν φανῆναι, τῇ μὲν ἡμέρᾳ τῆς ἀληθείας ἐξυφανθέντα, τῇ δὲ νυκτὶ τοῦ ψεύδους ἀναλυθέντα· καὶ τὸ δεινότατον, ὅτι καὶ ἐρήμην αἱρούμεθα. Ὡς γὰρ ἐπυθόμην, ὁ ἐπαφεθεὶς ἡμῖν ἀναγραφεὺς ἀφεῖλέσθαι τοῦ ἐν Ἀχρίδι τῆς Ἐκκλησίας χωρίου διώρισται· χωρίου, ἐφ' ᾧ καὶ ἀνταλλαγῆς ἔγγραφα προὔδησαν τῆς Ἐκκλησίας ἀντὶ τῶν πλανητῶν, ὧν δεσπόζουσα ὑπεξέστη τῷ δημοσίῳ, τοῦτο λαβούσης διὰ τὴν παροικικὴν δουλείαν. Χρῆμα πάντων ἀναγκαιότερον, καὶ χρυσόβουλος ἑδράζων τὴν ἀνταλλαγὴν προσεγένετο. Καὶ βασιλικὸν ἐπαπειλήθη σημείωμα, ὅτε τὸν Ἡρακλέα ἐρεσχελοῦντες ἦσαν οἱ Κέρκωπες. Ἐπὶ τούτων τίνα με οἴει ψυχὴν ἔχειν; Πῶς δ' οὐχί, κατὰ τὸν θεῖον Ἱερεμίαν, καὶ τὴν κοιλίαν ἀλγεῖν, καὶ τὰς αἰσθήσεις μαιμάσσεσθαι, καταθορυβούμενον πάντοθεν, καὶ οἷον ἐκβακχευόμενον; Δουλοῖ γὰρ τὸ φρόνημα, τὸ αἰφνίδιον καὶ ἀπροσδόκητον, καὶ πλείστῳ παρὰ λόγον ξυμβαῖνον, ὁ σεμνὸς Θουκυδίδης φησίν· ἐγωγέ τοι καὶ ταῖς χθιζαῖς συκοφαντίαις, εἰ καὶ μὴ ἐῤῥιζώθην βεβαίως, πλὴν ἀλλ' ὅτι τοῦτο μόνον ἐσπάρησαν κατὰ γῆς ἀγαθῆς τῆς βασιλικῆς ἀκοῆς, ὡς τι κώνειον, ἢ ἀκόνιτον, ἢ ἄλλο τι δηλητηριῶδες φυτόν. Κἀκείναις τοίνυν οὕτω κατεκάμφθην τεταλαιπωρηκώς, ὡς συγκύπτειν χαμαὶ, καὶ κάτω νεύειν, μηδὲν ἀξιωματικὸν ἔχων δίαρμα, καὶ φέρειν παρὰ δούλων τυπτόμενος. Ὦ βασιλεύων ἐν τοῖς βασιλείοις Χριστὲ, καὶ μηδ' ὅτε κρινόμενος ἐῤῥαπίσθης, πρᾶος τὸν ἐκ δούλου ῥαπισμὸν ἀνενεγκών. Τίνα γὰρ ὀκνήσειν οἴει τὸ μὴ οὐχὶ καὶ χεῖρας ἐπιβάλλειν ἡμῖν ὁρῶντα τοὺς κατειπόντας, οὕτω παριόντας ὡς ἠμιθέους ἐν ἡμιόνοις φασὶ, καὶ παροίνιον ποιουμένους διήγημα, τὸ, τάδε καὶ τάδε τῶν βασιλέων εὐσεβεστάτων κατὰ ἀρχιερέως συμπλασαμένους εἰπεῖν, καὶ ἀποδρᾶναι τὴν δίκην, εἶτα τούτῳ ἐπικαγχάζοντας; Τετέλεσται γὰρ κἀνταῦθα ἐπ' ἐμοὶ τὸ Δαβιτικόν· *Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἐμὲ ἐψαλλον οἱ πίνοντες οἶνον.* Πάνυ γοῦν ἀνέξονταί μου, ἢ ἐλέγχοντος, ἢ ἐπιτιμῶντος, ἢ παρακαλοῦντος, εἴτε τοῦ λαοῦ μέρος εἶεν, εἴτε τῆς ἐκκλησιαστικῆς συγκληρώσεως, ἰδόντες τινὸς οὐ κάκιον ἐπὶ τοῖς προτέροις ἐλεγμοῖς πράττοντα, δι' οὓς ἐκθηριωθέντες οἱ τούτοις ὑπεύθυνοι, *λόγοις μίσους ἐκύκλωσάν με καὶ ἐπολέμησάν με δωρεάν.* Καὶ ἐπὶ πᾶσιν οὐχ ὅπως ποινὴν οὐκ ἔδοσαν, ἀλλὰ καὶ ὡς τροπαίῳ τῇ κακίᾳ ἐλλάμπονται καὶ φόβος οὐδαμοῦ· μένουσι δὲ ὥσπερ πρόβατα αἰώνια, καὶ συνετέλεσαν ἐν ἀγαθοῖς τὸν βίον αὐτῶν. Οὐκ ἄκαιρον γὰρ τὸ τοῦ πολυπαθοῦς Ἰὼβ φθέγξασθαι. Ἐγὼ γὰρ τὴν Λερναίαν ὕδραν ᾔδειν, καὶ ταῖς τομαῖς διπλασίω ἑαυτῆς γινομένην, καὶ πράγματα παρασχοῦσαν Ἡρακλεῖ τῷ γενναίῳ, ξίφος μόνον ἐπ' αὐτὴν αἴροντι. Κἂν ἐκινδύνευσεν ὁ ἥρως,

Variæ lectiones et notæ.

(46) Lib. VI.

Digitized by Google

ἢ καὶ πάντως; γε ὁ ἄθλος τῷ ἥρωϊ, εἰ μὴ καὶ τὸν καλὸν Ἰόλεων πυρφόρον προσεταιρίσατο, τὰς τομὰς ἐπιφέροντα. Τί τοῦ μύθου δηλοῦντος; Ἐμοὶ δοκεῖν, ὡς ἐπὶ τὴν κακίαν (τοῦτο γὰρ ἡ Ὕδρα) οὐκ ἐπιπολαίου δεῖ τομῆς καὶ κολάσεως. Κακοὺς γὰρ ἂν τοὺς οὕτω κολαζομένους ἀπηργασάμεθα, οἰομένους ἐμπαίζαι τῇ δίκῃ, καὶ διὰ τοῦτο τοῦ λοιποῦ τὴν πονηρίαν παῤῥησιαζομένους ἀδεέστερον καὶ γυμνότερον. Πολυπλασιάζεται γὰρ ἡ τόλμα τοῖς πονηροῖς, ὅταν μαλακωτέρας τῆς ποινῆς πειρασθῶσιν, ἣν αὐστηρὰν εὑρεῖν ἥλπισαν. Οὔκουν ἀποτμητέον μόνον τὰς τῆς κακίας ἐκχύσεις, ἀλλὰ καὶ τὰς πηγὰς ἀποξηραντέον τοῦ τὰς θηριώδεις κεφαλὰς καὶ φύοντος καὶ τρέφοντος αἵματος. Εἰ δὲ μηδ' ἁπλῶς οὕτως αἱ κακαὶ προβολαὶ τέμνοιντο, τοῦτ' αὐτὸ τὸ τῆς παροιμίας, Λέρνη κακῶν. Ἀλλ' οὕτω μὲν καὶ ἐπὶ ταῖς προγεγονυίαις ὕβρεσι καὶ ἡ καρδία μου ἐγκατέλιπέ με· ὅπερ ἐστὶν ἡ ζέσις τοῦ πνεύματος, ᾗ κατὰ πάσης κακοηθείας ἐχρώμην, καὶ τὴν γλῶσσαν ὄντως ἐδείκνυον κυρίνων γλωσσῶν μαθήτριαν. Εἰ δὲ τὰς παρὰ τοῦ νῦν καταγραφαμένου πληγὰς προσλάβοιμι, βαρεῖαν, ὡς φασιν, ἐκδεξαμένου παρὰ τῶν βασιλείων χειρῶν τὴν μάστιγα, καὶ κελευσθέντος τοῦ Ἡσαΐου ἀλλοτρίως τοῖς ἡμετέροις χρήσασθαι· τοῦτο γὰρ ἡνυσαν, ὡς ἀπειλοῦσιν οἱ μισοῦντες ἐν πύλαις ἐλέγχοντας, καὶ λόγον ὅσιον βδελυσσόμενοι. Ἀλλ' ἐνταῦθά μοι παρέστω Βαροὺχ ὑπογραμματεύων Ἱερεμίᾳ θρηνοῦντι, καὶ τῷ μέλλοντι χρόνῳ φυλάττων ἀοιδίμους τὰς συμφοράς. Εἶτα τοιούτων κηλίδων καὶ τοσούτων ἡμῖν ἐνσπιλωθεισῶν, οἷον θείας ἐμφάσεις τοῦ νοῦ τὸ κάτοπτρον δέξασθαι, οἷς καὶ τὸ φῶς τῶν ὀφθαλμῶν καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ. Τοῦτο μὲν εἰκός τε καὶ κατὰ λόγον. Πλὴν ἐπεὶ τῷ Θεῷ, καὶ τῷ ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ βασιλεύοντι, καὶ τῇ τῆς ὑμετέρας μεγαλειότητος ἀγαθότητι τῆς καθ' ἡμᾶς ἀνεθήκαμεν· πεποίθαμεν ὡς ἡ ἐλπὶς ἡμῶν οὐ καταισχυνθήσεται, οὐδ' ἀπολεῖται εἰς τέλος ἡ τῶν πενήτων ὑπομονή, οὐδέ τι κατισχύσει σοφίας κακία, εἴ τι δεῖ, τῇ σοφίᾳ τοῦτο ὑποφαινομένῃ πείθεσθαι. Καὶ τὸ δὲ ῥᾴους γενόμενοι, ἐγχειρίσομεν τῇ ἐργασίᾳ τοῦ ἐπιτάγματος, καὶ γεῦμα στελοῦμεν τοῖς τὴν γεῦσιν κριτικωτάτοις ὑμῖν. Κἂν μὲν ἀνθοσμίας δόξῃ τὸ γεῦμα, καὶ τῆς ἀμπέλου ἐκείνης γέννημα, ἧς ὁ οὐράνιος Πατὴρ γεωργός ἐστι, καὶ τοὺς λειπομένους ἐκθλίψομεν βότρυας. Εἰ δ' ὀξίνου καὶ τὴν γεῦσιν δριμύσσοντος, οἷοις δὴ Χριστὸς παρὰ τῶν σταυρωτῶν παίζεται, ἀποκτενούντων αὐτὸν ἔξω τοῦ ἀμπελῶνος, καὶ τοῦ τῶν Γραφῶν βουλήματος, ματαιοπονοῦντες εἰσόμεθα. Τὸ δ' οὖν πικρὸν ἀνασχέσθω τῆς ἡμῶν ἀσθενείας ἡ σὴ φιλανθρωπία, ἄχρις οὗ μικρόν τι κουφισθέντων ἡμῶν αἱ παραιμίαι (47) χεῖρες καὶ τὰ παραλελυμένα ἰσχύσωσι γόνατα, Χριστοῦ, ὃς ἐστι δύναμις, ἡμᾶς ἐνισχύοντος, τοῦ τῆς ἀσθενείας καὶ ψυχικῆς καὶ σωματικῆς ἀνωτέρου, ὅπερ ἐστὶ κακύνσεως καὶ κακώσεως.

A rum imperatorum opera, contra archiepiscopum machinantes, et flagitii opinionem omnino effugere, postea in illum male obstrepentes. In me autem illud Davidicum mire impletum [23]: *Adversum me loquebantur, qui sedebant in portis, et in me psallebant, qui bibebant vinum.* Omnino itaque me ferent, aut illos redarguentem, aut objurgantem, aut verbis inflectentem, sive illi ex populi sunt caterva, sive ex ecclesiastica sodalitate et consortio. Qui vero jam in meliorem redacti mentem, jam tum, primis acti reprehensionibus opus suum absolvunt, ob quas tamen illi, qui crimini obnoxii sunt, duriori perciti ferocia, *sermonibus odii circumdederunt me, et persecuti sunt me gratis* [24]. Et inter omnes non quasi pœnas non luerint, sed quasi quodam B victoriæ tropæo evecti, ita sceleribus, et vitiis illustres esse student, et nusquam illis ullus inest metus. Persistunt itaque veluti sæculi hujus pecudes, vitamque ipsorum inter probos et æquos peragunt. Est enim nunc consentaneum illud patientissimi Jobi adducere, et proferre [25]. Ego equidem illam Lernæam hydram noveram, suis ipsius dissectis dupliciter membris, difficilem et gravem generoso Herculi pugnam intulisse, cum solum in illam ipse ensem distringeret, ita ut fere in summum heros periculum vocaretur. Aut extremum fuisse heroico viro certamen, nisi potentissimum Jolaiis accensa face illi se socium jungens, abscissa combussisset membra. Quid ergo hæc fabula **668** C innuit? Mihi quidem videtur in scelera et vitia (hæc enim est hydra) non levi ictu et concussu decere uti. Nam improbos potius, quos ita castigamus, efficimus, cum præsertim existiment veluti per ludibrium illis supplicium immitti. Unde propter hanc causam, in posterum, manifestius et audacius in effrenem scelerum libertatem erumpunt. Nam sceleratis et pessimis viris tunc acrior innascitur audacia, cum molliore pœna tentantur, quam severiorem et duriorem subituros se speraverant. Non equidem solum vitiorum tubi et canales præscindendi sunt, sed ipsas venas, et fontes, per quos sanguis ille effluit, qui hæc ferina capita nutrit et procreat, exsiccare decet et obstringere. Si autem non ita simpliciter malorum propugnacula evertun- D tur, tunc illud parœmiæ fiet: *Lerna malorum.* Quare equidem jam illatis in me injuriis, me meum cor penitus defecit, penitusque defervit, videlicet fervens spiritus ardor, quo ad omnem motum improbitatis comprimendum usus fueram, ipsamque linguam vere flammantium et comburentium linguarum decipulam esse manifestavi. Si autem flagella et plagas, ut perscriptum modo decretum jubet, susciperem, quod, ut dicunt, gravius locum ipsis imperatoris manibus vibrat, quodque illud Isaiæ dire præcipit [26], ut nostris alienissimo et remotissimo animo utamur; hoc quidem erit, quod nos penitus exsecrentur, et minis in nos insurgant, quia illos in portis, et pa-

[23] Psal. LXVII, 13. [24] Psal CVIII, 3. [25] Job XXXVI. 14. [26] Isa. LXI, 5.

Variæ lectiones et notæ.

(47) *Παραιμίαι.* Scrib. παρειμέναι.

Digitized by Google

kam reprehendimus, quasi qui divinum et sanctum sermonem nefarie neglectui ducant. Sed enim hoc in loco mihi Baruch adsit, lamentanti Jeremiæ subscribens, et in posterum celebrata infortunia et calamitates observans. Deinde cum tot sint rerum maculæ, et ita nos funditus coinquinent, existimas, divina inspiracula, divinasque apparitiones mentis posse speculum suscipere, quibus et ipsum oculorum lumen mecum nullo modo persistit. Hoc enim decentius est et rationi consentaneum. Verumtamen in Deo, et in illo, qui ex ipso, et per ipsum regnat, et in summa vestræ amplitudinis bonitate et virtute, quam in nos reflectitis, confidimus nostram spem nullo esse ruituram dedecore, neque pauperum tolerantiam, constantemque animum in finem esse defecturum, neque scientiæ malitiam, et vitium viribus, et conamine antecellere, si quid decet, scientiæ hoc plane ostendenti obsequi. Atque etiam ita faciliores effecti et expeditiores, quidquid nobis illa præceperit, opere adimplebimus, nostrique gustus sensum vobis, ut qui solertius et acutius judicatis emittemus. Et si fragrantis florum odore vini gustus forte videatur etiam, et illius palmitis germen, cujus Pater cœlestis agricola est, et reliquas illius uvas exprimemus. Si autem acetum degustatum acriter nos affecerit, quali Christus a crucifigentibus illuditur, dum extra vineam occiditur, et præter ipsum Scripturarum decretum [27], frustra quidem laborem impendere nos sciemus. Hoc itaque nostræ præsentis infirmitatis tua humanitas et benignitas sufferat, donec brevi aliquo sublevatis solamine, **669** nostræ languidæ manus et fere luxata et soluta genua convalescunt, et Christus, qui omnis potestas est, nos robore firmat quique omni infirmitate, et spiritus, et corporis nimirum, et vitii, et vitæ offensionum perpetuo est superior.

EPIST. XXXI.

Bryennio consocero imperatoris.

Ut primum suavissimum tuæ bonitatis mel degustavi, illustrissime domine, in ipsis cordis mei labris, hujus jucunditatis succus permansit. Cumque ingentes tantæ dulcedinis haustus percipio, nihil est quod me tuæ majestatis altitudinem meminisse non faciat. Quippe semper tecum disserere desidero. At quia non habeo, cum perdite amem, unde hoc desiderium irrigem, me loci intervallum, ne, tam dulci madescam rore, inique afflicit, litteris autem hoc ingeniose comminiscor. Quocirca semper tecum sum, et quæ decent, tecum loquor. Valeigitur et corpore, et animo, et bonum et felix rerum tuarum iter absolve, ut tibi omnino perpetuus felicitatis typus affulgeat, et de te ego audiam, quæcunque Deo grata sunt, et tibi utilia, et nobis ex voto educta, scilicet, sacerdotum honores ut parentum te ducere, et populi requiem et tutum ex dura peregrinatione adventum, quasi liberatoris, et redemptoris advenientis; barbaricarum vero regionum effractas servitutes, clementiam clementia potius quam hasta prosequentium, te etiam existimare. Illa etenim est, quæ maxime ad fugam nos compellit. Benevolentia equidem et bonitas solius est dilectionis et charitatis securum tutamentum, quasi manibus servatum, et custoditum armatis. Hæc et horum plurima, ad nos fama evehet, et nos itidem alte personante ore prædicabimus, tuis felicissimis gestis delectantes, et cum illis, qui ad hæc bene affecti sunt, quasi plenos hilaritatis fluvios ebibentes, ut in hoc saltim felicem hanc consequamur fortunam, ut vicini nos beatiores et feliciores conspiciant, vel invidia oculos illis penitus exstinguamus, quasi nostra nimis duræ sint illis amaritudini. Si autem hæc pernoscere cupis propter tuam in nos benevolentiam, qui ad te litteras

[27] Luc. xxiii, 36.

ΕΠΙΣΤ. ΛΑ'.

Τῷ Βρυεννίῳ, τῷ συμπενθέρῳ τοῦ βασιλέως.

Ἀφ' οὗ πρώτως ἐγευσάμην τοῦ τῆς σῆς χρηστότητος μέλιτος, μεγαλεπιφανέστατέ μου αὐθέντα, ἔγκειται μέν μου τῷ τῆς καρδίας στόματι ὁ ταύτης χυμός· γλυκείας δὲ τὰς ἀναφορὰς ποιούμενος, οὐκ ἔστιν ὅτε μὴ μνημονεύειν με ποιεῖ τοῦ τῆς σῆς μεγαλειότητος ὕψους. Ἀμέλει καὶ ἀεί σοι ποθῶ διαλέγεσθαι· μὴ ἔχων δὲ ὁ δύσερως ὅπως δροσίσω τὸν πόθον (ἀδικεῖ γάρ με περὶ τὸν δροσισμὸν τὸ διάστημα), γράμμασι τοῦτον σοφίζομαι. Καὶ διὰ τούτου σύνειμί σοι, καὶ τὰ εἰκότα προσφθέγγομαι. Ὑγιαίνου οὖν καὶ σώματι καὶ ψυχῇ, καὶ εὐοδοῖ τοῖς περὶ σέ, ἵνα σοι διὰ πάντων ὁ χαρακτὴρ τῆς εὐδαιμονίας ἐμφαίνοιτο, καὶ ἀκούοιμι περὶ σοῦ, ἅττα καὶ θεῷ φίλα, καὶ σοὶ προσήκοντα, καὶ ἡμῖν δι' εὐχῆς ἀγόμενα· ἱερέων τιμάς, ὡς πατέρων· λαοῦ ἀνάπαυσιν, κἀκ τῆς ἀλλοδαπῆς ἐπαναγωγήν, ὡς ἐλευθερωτοῦ ἥκοντος· βαρβαρικῶν χωρῶν καταδουλώσεις χρηστότητα μᾶλλον χρηστότητι ἐπαγομένων, ἢ δόρατι. Τὸ μὲν γάρ ἐστι κινητικὸν πρὸς ἀπόδρασιν· ἡ δὲ χρηστότης, μόνης ἐχέγγυον ἀγάπης χειρὶ τηρούμενον. Ταῦτα καὶ πλείω τούτων ἥ τε φήμη πρὸς ἡμᾶς ἄγοι, καὶ ἡμεῖς αὖ τῷ μεγαλοφώνῳ στόματι τοῦ λόγου κηρύττοιμεν, τοῖς σοῖς κατορθώμασιν ἐφηδόμενοι, καὶ τοῖς εὖ πάσχουσι συνηδόμενοι· ἵνα τοῦτο γοῦν εὐτυχοῖμεν, τὸ πρὸς γείτονας ὁρᾶν μακαρίους, τοῦ φθόνου τὰς κόρας σβεννύοντες· ὡς τά γε ἡμέτερα καὶ λίαν ἔχει πικρῶς. Εἰ δὲ ποθεῖς ταῦτα μαθεῖν διὰ τὴν περὶ ἡμᾶς σου χρηστότητα, ὁ τὸ γράμμα διακομίζων, ἃ περὶ τὸ γράμμα, ταῦτα ἐκδιηγήσεται. Ἡμέτερος γὰρ ὢν, καὶ διὰ τοῦτο παρὼν ἡμῖν, καὶ ἀπαγγελλομένων τούτων ἀκούσας, συνέπαθε τὴν ψυχήν, καὶ τῇ μνήμῃ παρακατέχων ἃ ἤκουσεν, ἠκελευσθείη (48) ἐξειπεῖν, ἔξει τὴν γλῶσσαν διδασκαλικῶν συμφορῶν διδάσκαλον. Ἀλλὰ γὰρ ἡμεῖς μὲν τῷ Πατρὶ μαστιζόμενοι, παρ' ἐκείνου περιμε-

Variæ lectiones et notæ.

(48) *Ἠκελευσθείη.* Scrib. εἰ κελευσθείη.

Digitized by Google

νοῦμεν καὶ τὴν παράκλησιν· ἐπεὶ καὶ *Πατὴρ πάσης παρακλήσεως* λέγεται. Αὐτὸς δὲ τὸν Ὕψιστον καταφυγὴν ἑαυτοῦ ποιησάμενος, οὐκ ὄψῃ κακὰ προσερχόμενά σοι, καὶ *μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου*, τηρουμένου πάσης ἀνωτέρου κακύνσεως καὶ κακώσεως.

A perfert, quæ ad scribendum me compellunt, facile enarrabit. Nam cum noster sit, et propter hoc nobis adsit, ut primum hæc, quæ ad te enuntiata sunt, audivit, communi nobiscum spiritu percepit et bene memoriæ, quæ audivit, mandavit, ut si illa referre et eloqui coactus fuerit, linguam, magistri casibus et eventibus magistram, et peritam vere ostendat. Sed enim nos flagris a Patre oppressi ab illo consolationem exspectabimus, quoniam *Pater omnis consolationis* dicitur [28]. Tu autem cum a teipso longe effugies, mala quæ tibi imminent non conspicies, et *flagellum domui tuæ non appropinquabit* [29], sed omni tutus scelere et oppressione custodieris.

ΕΠΙΣΤ. ΛΒ'.

Τῷ ἐπισκόπῳ Τριαδίτζης.

Ἐδεξάμεθά σου τὴν γραφήν, τιμιώτατε ἀδελφὲ, ἐν ᾗ εὐγνώμονα μὲν σαυτὸν συνίστης ἡμῖν, καὶ ὡμολόγεις εὐεργέτας, καὶ *κρείττους* πατρὸς καὶ μητρὸς καὶ λοιπῶν συγγενῶν. Ἡξίους δὲ καὶ τοῦ δεσμοῦ λύσιν λαβεῖν, ὃς παρὰ τῆς συνελθούσης ἡμῖν ἀδελφότητος ἐπετέθη σοι, ὡς μὴ καὶ αὐτῷ συνελθόντι, καὶ ταῦτα κληθέντι, κἀντεῦθεν πραγμάτων ἀναγκαίων οἰκονομίας κωλύσαντι. Ἐπὶ μὲν τῇ τῆς εὐγνωμοσύνης προσποιήσει, καθ' ὑπερβολὴν ἐβαρύνθημεν, ὅτι οὕτως ἀπόλωλεν ἐκ μέσων ἡμῶν ἡ ἀλήθεια, καὶ ὁ δόλος μετὰ τῆς αὐτοῦ ποικιλοβαφοῦς ἀμπεχόνης τῆς ὑποκρίσεως τῷ θεάτρῳ ἡμῶν ἐμπαρῄσιάζεται, καὶ σκηνικῶς παίζει τὰ φρίκης ἄξια, εἰρήνην μὲν λαλῶν μετὰ τῶν πλησίον, κακὰ δὲ τεκταίνων ἐν τῇ καρδίᾳ. Τίς γὰρ οὐκ οἶδε, ὅπως εἰς τὴν μεγαλόπολιν εἰσελθοῦσα ἡ τιμιότης σου μυρίας ἐπαφῆκε τὰς τῶν διαβολῶν βολίδας τοῖς νῦν ἀναγραφομένοις εὐεργέταις ἡμῖν ἐν τῷ γράμματι, καὶ ὡς οὐδεὶς ὑπελείφθη σχεδὸν, οὔτε μείζων, οὔτε μείων, ὃς μὴ ταῖς παρὰ τῆς σῆς γλώττης καθ' ἡμῶν δυσφημίαις τὰς ἀκοὰς ἐκκεκώφωται; Τούτων οὐκ ὀλίγοι οὐδ' ἀναξιόπιστοι μάρτυρες. Ἀλλὰ γὰρ ταῦτα μὲν καὶ λόγου μακρότερα καὶ καιροῦ ἐκτραγῳδεῖν τε καὶ ἀνακλαίεσθαι, συλλογιζομένοις ἐντεῦθεν ὡς οὐ μακροὶ οἱ τῆς ἀποστασίας καιροὶ, οὐδὲ μέλλουσι τὰ κατ' αὐτοὺς ἀπειλούμενα. Διὸ καὶ πρὸς τὸν δυνάμενον ταῦτα παῦσαι μόνον Θεὸν τοὺς ὀφθαλμοὺς αἴρομεν, καὶ πρὸς τὰ τῆς ἐκείνου δικαιοσύνης ὄρη, ὅθεν ἥξει ἡμῖν ἡ βοήθεια. Ὁ γὰρ διδάξας πάντως καὶ οἷς ἐποίει, καὶ οἷς ἐλάλει, εὐχαρίστους εἶναι ἡμᾶς (τί μὲν οὖν εὐχαρίστους λέγω; Καὶ τοῖς κακῶς ποιοῦσιν, ἀγαθῶν χορηγοὺς), οὗτος ἡ διορθώσεται τὰ στρεβλὰ, ἢ κλαύσει πάντως ἰδὼν ἀδιόρθωτα, ὥσπερ αὐτοῦ νόμος ἄνωθεν. Ταῦτα μὲν οὖν ἐφ' οἷς ἡμῖν καινῶς τε καὶ ἀσυνήθως ταπεινολόγον σαυτὸν ἐφάντασας. Τὴν δὲ λοιπήν σου ἀξίωσιν, ὡς Χριστοῦ μαθηταὶ, εἰ καὶ ἀνάξιοι, προσηκάμεθα· *Ὃς καὶ λοιδορούμενος, οὐκ ἀντελοιδόρει, καὶ πάσχων, οὐκ ἠπείλει· παρεδίδου δὲ τῷ κρίνοντι δικαίως*· καὶ τὴν τοῦ Πέτρου μικρολογίαν καταγνοὺς, ἐπτάκις ἀφιέναι δικαιοῦντος τῷ ἁμαρτάνοντι, αὐτὸς τὴν τοῦ ἑβδομηκοντάκις ἑπτὰ φιλοτίμως, ὁ ἐν ἐλέει πλούσιος, ἐπεδαψιλεύσατο. Ἐδεξάμεθα γοῦν, ὡς εἴρηται, τὴν ἀξίωσίν σου, ἄλλως τε καὶ βαρείᾳ νόσῳ πεπεδημένου, ὡς ἔγραψας, καὶ τὸν τοῦ θανάτου ἐπανατεινομένῃ σοι κίνδυνον, καὶ ὅσον

670 EPIST. XXXII.

Triaditzæ episcopo.

Tuas litteras accepi, inclyte frater, in quibus te nobis benevolum et pronum constituis et nos in te collocasse beneficia, et patre et matre et reliquis propinquis meliores esse fateris. Dignumque jam judicasti vinculo illo te solvi, quod, coeunte nobiscum fraternitate, impositum fuit. Quasi tu jam non mihi obvius occurras, neque hæc quæ in nos accersita sunt, nec interim sævam tantæ necessitatis administrationem et emissionem omnino prohibeas. Ob hanc autem tuam æquanimitatis et candoris simulationem, graviter et vehementer opprimimur, quoniam ita in medio nostri ipsa veritas tota periit, et dolus malus tuæ variegato indumento hypocriseos in nostrum theatrum libere prodit, et scenice ludit, quæ horrore digna potius judicantur. Pacem quidem cum consanguineis loqueris, et mala in corde moliris [30]. Quis enim non videt, quomodo tuum decus, in magnam urbem ingressum, mille calumniarum artes effinxerit, his, quos nobis, in litteris, beneficos et opitulatores describis, et nullum fere vel ætate maximum, vel minimum reliotum fuisse, qui linguæ tuæ maledicis in nos vocibus non obsurduerit? Cujus rei non pauci iique multa digni fide testes exsistunt. Sed tamen hæc, et quovis sunt longiora sermone, et pro tempore ingenti sunt commiseratione enarranda et tragice fere lugenda, a nobis præcipue, qui hinc, non multum apostasiæ tempora distare perpendimus, et qui tanti infortunii minas in nos nullo modo cunctari percipimus. Quocica in Deum solum, qui hæc omnia vincere potest, et abscindere, oculos nostros attollimus, et in sublimes ejus justitiæ montes, unde nobis auxilium veniet [31]. Hic enim et his quæ fecit, et his quæ locutus fuit, nos gratos esse omnino edocuit. Sed quid inquam gratos? Etiam his, qui in nos mala inferunt, bonorum nos docuit esse duces atque ministros. Ipse quidem vel obliqua vel tortuosa corriget, aut quæ inemendata et incorrecta viderit radicitus confringet, quemadmodum ejus ab alto lex fusa præcipit. Cæterum quidem in nos jam nunc, nove tamen, et præter morem, abjectum et humilem te ipsum ostendisti. At reliquam tuam amplitudinem, ut Christi discipuli, etsi indigni amplexi sumus : *Qui cum malediceretur, non maledicebat; cum pateretur, non comminabatur;*

[28] I Cor. I, 3. [29] Psal. xc, 10. [30] Psal. xxvii, 3. [31] Psal. cxx, 1.

Digitized by Google

tradebatur autem juste judicanti [32]. Et exiguam Petri sermonis cognoscens tenuitatem, cum septies scelera peccatorum justum censeret dimitti, ipse septuagies septies munifice quidem et liberaliter, quia in misericordia dives est, condonari et remitti præcepit [33]. Suscepimu igitur, ut diximus, tuamexi-miæ amplitudinis benevolentiam certe quidem gravi cum sis morbo **671** præpeditus, ut scribis, et ipsum mortis p riculum propenso tibi jam decidat casu. Tu vero jam quod ad nos pertineat, sancto afflatus Spiritu cognosce, et omne sacerdotale opus laxe quidem, et effuse perfice. Verumtamen jam a pluribus fratribus, arctum tibi vinculum injectum est quemadmodum litteræ ad te missæ significabant. Hæc quidem etiam ad Pelagonium et ad Strombitzæ et Malesobæ episcopos, scripsi, ad quos famulus tuus viam instituet. Novi etenim illis tuam amplitudinem, tuum hunc animi splendorem, non contemnendum videri. Ipsique vinculum hoc quod in te intulerunt, dissolvent, uno eodemque in te ipsum spiritu perculsi. Ad alios etiam scribemus, a quibus omnino edisces, quid illis prorsus immineat. Quod autem nostrum est, ut diximus, jam funditus persolutum est. Tu in posterum pro nobis preces effunde, et illos, qui te diligunt bono prosequere animo, nullisque imprecationibus, et diris devove. Et tandem erubesce ultra illud evangelici præcepti progredi, quod persequentibus benedicere, nec illis imprecari jubet.

γε τὸ εἰς ἡμᾶς ἦκον, ἴσθι λελυμένος ἐν ἁγίῳ Πνεύματι, καὶ πᾶν ἀρχιερατικὸν ἔργον ἀνέτως τελῶν. Πλὴν ἐπεὶ καὶ παρὰ πλειόνων ἀδελφῶν ὁ δεσμὸς ἐπεβλήθη σοι, καθὰ καὶ τὸ συνοδικῶς ἐκτεθὲν πρὸς σὲ γράμμα ἐδήλου· ἔγραψα μὲν ταῦτα καὶ πρὸς τὸν Στρομβίτζης, καὶ πρὸς τὸν Μαλεσόβης, δι' ὧν ὁ σὸς ὑπηρέτης τὴν πάροδον δή που ποιήσεται. Καὶ οἶδ' ὅτι καὶ αὐτοῖς δόσει (49) ἡ σὴ ἀξίωσις οὐκ ἀπόβλητος, καὶ λήσουσι (50) δεσμὸν, ὃν ἐπέβαλον, ἑνὶ καὶ τῷ αὐτῷ κινούμενοι πνεύματι. Γράψομεν δὲ καὶ πρὸς τοὺς λοιποὺς, καὶ πάντως παρ' ἐκείνων αὐτῶν μαθήσῃ τὸ ἐκείνοις παραστησόμενον. Τὸ δ' οὖν ἡμέτερον, ὡς ἔφημεν, λέλυται· καὶ λοιπὸν ὑπὲρ ἡμῶν εὔχου, εὐλογῶν τοὺς ἀγαπῶντάς σε, καὶ μὴ καταρώμενος, αἰσχυνόμενος παρὰ τοσοῦτον ἐλθεῖν τῆς εὐαγγελικῆς ἐντολῆς, ἣ καὶ τοὺς διώκοντας εὐλογεῖν καὶ μὴ καταρᾶσθαι βούλεται.

Ergo et ipse jam multorum litteris credes, venerande frater et domine, et has præsentes litteras, quas ad te necessitatis tempore misi, præterire audebis et despicere? Non equidem antea perscriptæ fuerunt, quoniam scilicet necessitas ulla non aderat, quæ auxilium exposceret et evocaret. Aut quasi rationis lacte nutritus, et judicio cuncta submittens, illos qui suo tempore morbi medelam avide inquirunt, et efflagitant minime reprehendes, superfluum judicantes medico tunc negotium facessere, si quando salubri corpore exsistunt, illum ad se accersunt. Ita quidem existimo, et maxime id sine periculo credo, nisi jam ego tuæ constantiæ et stabilitatis penitus sum oblitus. Sed quia hujus rei ita se mea fert sententia, jam tandem epistolam, ejusque fundamentum et materiam percipe. Est locus nostræ Ecclesiæ proprius, hic circum Bardarion adjacet, et immanibus tributorum exactoribus, in nostram perniciem prævius est, et paratus, et maxime Jasitæ, insanabili habendi cupiditate corrupto. Hic quidem *neque Deum, neque virum honoris cultu prosequi novit.* Illum enim horrenda induit rabies. Hic demum improbissimis vicinis nostris, quos melius captantes sagenas, et avida retia, et omnino ferinos ungues quis appellabit, ad id, quod ejus dira et perniciosa voluntas

EPIST. XXXIII.

Domino Joanni grammatico Palæologi.

ΕΠΙΣΤ. ΛΓ'.

Τῷ κυρίῳ Ἰωάννῃ, τῷ γραμματικῷ τοῦ Παλαιολόγου.

Ἆρα καὶ αὐτὸς τὸ τῶν πολλῶν πείσῃ, θεοτίμητε ἀδελφὲ καὶ δέσποτα, καὶ τὸ παρὸν καταμείψῃ γράμμα, ἐν καιροῖς ἀνάγκης πρὸς σὲ γινόμενον, οὕπω πρότερον γεγονὸς, ὅτι μὴ ἀνάγκη δηλαδὴ παρῆν ἐκκαλουμένη βοήθειαν. Ἢ ὡς λόγῳ σύντροφος, καὶ κρίσει τὰ πάντα διδοὺς, οὐκ ἐπιλήψῃ τῶν ἐν χειρῷ τῆς νόσου καλούντων τὸν ἰᾶσθαι δυνάμενον, περιττὸν κρινόντων ἐνοχλεῖν αὐτῷ ὁπηνίκα ὑγιῶς τὸ σῶμα διάκειται. Τοῦτο οἶμαι, μᾶλλον δὲ ἀσφαλῶς πέπεισμαι, εἰ μή τί γε ἐγὼ τῆς σῆς σταθερότητος ἐπιλέλησμαι. Ἀλλ' ἐπεὶ τοῦτο οὕτως ἔχον ἐστὶν ἡμῖν, ἄκουε λοιπὸν καὶ τὴν τοῦ γραμματίου ὑπόθεσιν· Χωρίον τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ διαφέρον, περὶ τὸν Βαρδάριον διακείμενον, τοῖς ἀθεωτάτοις πράκτορσιν ἐφόδιον πρὸς τὴν ἡμετέραν κάκωσιν γίνεται, καὶ μάλιστα τῷ μὴ τὴν ἀπληστίαν ἰασίμην Ἰασίτῃ, ὃς *οὔτ' ἀνέμους τίειν οἶδεν, οὔτε Θεόν. Χαλεπὴ δὲ ἐλύσσα δέδορκεν* (51). Οὗτος γείτοσιν ἡμῶν πονηροῖς, σαγήναι, εἴποι ἂν τις, καὶ πανάγροις, πρὸς τὸ τῆς ψυχῆς αὐτῷ βουλόμενον συγχρησάμενος, συνέλαβέ τε σχεδὸν πάντα τὰ τοῦ χωρίου, καὶ κατέφαγέ με, ἐμερίσατό με, ὥσπερ ἐγκοτῶν τῷ λόγῳ ἀλογώτατος. Ἐπεὶ τοίνυν, ὡς ἐπυθόμεθα, τῷ τοῦ πανσεβάστου αὐθέντου ἡμῶν υἱῷ ἡ περὶ τὸν Βαρδάριον ἀρχὴ νῦν ἀνετέθη, ἔγραψα μὲν τῷ κοινῷ ἡμῶν αὐτένθῃ, ὥστε συνήθως ἀντιλαβέσθαι ἡμῶν, καὶ ὑποθέσθαι τῷ περιποθήτῳ υἱῷ αὐτοῦ

[32] I Petr. II, 23. [33] Matth. XVIII, 22.

Variæ lectiones et notæ.

(49) *Δόσει.* Scrib. δόξει.
(50) *Λήσουσι.* Scrib. λύσουσι.
(51) *Χαλεπὴ δὲ ἐλύσσα δέδορκεν.* Restituo. χ. δέ ἐλύσσα δέδυκεν. Respexit locum Homeri *Iliad.* I :
Οὐδέ τι τίει
Ἀνέρας, οὐδὲ θεούς, κρατερὴ δέ ἐλύσσα δέδυκεν.

Digitized by Google

περὶ ἡμῶν τὰ χρηστότερα. Χρηστεύσεται δὲ, εἰ τὰ τε ἄλλα ἀνεπηρέαστους ἡμᾶς περὶ τὸ χωρίον τοῦτο διατηρήσει. Καὶ δὴ καὶ τοῦτο ἡμῖν, μᾶλλον δὲ καὶ τῷ Θεῷ χαρίσεται, τὸ μὴ ἀναγραφεῖς ἐπιπέμψαι τῷ χωρίῳ· τοῦτο γὰρ καὶ οἱ ἀπανθρωποτατοι τῶν πρακτόρων ἡμῖν ἐχαρίσαντο. Ταῦτα μὲν οὖν τοῦ αὐθέντου ἡμῶν ἐν τῷ πρὸς αὐτὸν ἐδεήθημεν γράμματι. Γράφομεν δὲ καὶ τῇ τῆς σῆς ἱερότητος τιμιότητι, ὡς ἂν ταὐτῷ ἀκολουθήσαις, τῇ τε ἀγάπῃ ὑπουργήσαις εἰκότα, καὶ τῷ τῆς ἀγάπης Θεῷ, καὶ τοῦτο λειτουργήσαις, τὸ ἐμφανίσαι μὲν τῷ πανσεβάστῳ τὸ ἡμέτερον γράμμα· κἵντριζε δὲ αὐτὸν ἀεὶ ἐπὶ τὸ πέρας ἐπιθεῖναι τοῖς ζητουμένοις διὰ τοῦ γράμματος, ὀχηρῶ [*f* Ὀχληρός], σοι δοκῶ, ἀδελφὸν θαυμάσιε (52). Ἀλλὰ τί πάθω, πρὸς ἀνάγκην οὐκ ἔχων μάχεσθαι, ἣν καὶ τοῦ θείου γένους κραταιοτέραν ἡ παροιμία πεποίηκεν; Ὑπόστηθι τοίνυν τὸν ἅπαντα τοῦτον, καὶ γενοῦ ἡμῖν Ἡρακλῆς ληστοτόνος (53)· ληστὰς γὰρ ἐγὼ τῆς ἀληθείας, τοὺς ἀναγραφεῖς τίθημι. Θεὸς, ᾧ καὶ διὰ τοῦ λόγου καὶ διὰ τοῦ ἐπαγγέλματος καθωσίωσας, τηροίη σε πάσης κακύνσεως ἀνώτερον καὶ κακώσεως.

fertur, utens, omnes fere hujus regionis opes subripuit, meque præsertim totum devoravit, totumque dissecuit: veluti qui ira excandescens gravi, sub ratione, nullum rationis **672** vestigium retinet. Quia vero, ut cognovimus, pansebasti domini nostri filio hujus regionis, quæ est circa Bardarium, imperium nunc substitutum est, ad nostrum communem dominum scripsi, ut nobis opitulari assuescat, et quæ nobis utiliora sunt, suo exoptato filio proponat. Benigne autem, et clementer in nos se geret, si inter alia, nullo nos affectos damno in hac regione servaverit. Et hoc quidem nobis, maxime vero Deo gratum erit, scilicet scribas in regionem hanc nullos emittere. Hoc enim inhumanissimi vectigalium exactores, nobis obsequium præstiterunt et gratiam. Equidem hoc patroni et domini nostri beneficium, in his ad eum litteris vehementer petimus, etiam et scribimus ad te, ut qui illi ipsi administras, illique ades, quæ charitatem et dilectionem decent exsequaris, et ut ipsi charitatis Deo hoc offeras sacrificium, ut has nostras litteras pansebasto plane patefacias, illumque perpetuo stimula ut ad illum finem tendat, quem litteræ, sibi constitui, quærunt et postulant, si utile hoc et commodum tibi videtur, o frater admirabilis. Sed quid agam? In fatum et necessitatem armis contendere non possum, quam divina prole robustiorem, parœmia quidem prædicat. Substitue igitur huic certamen, et nobis potentissimus Hercules latronum et prædonum domitor et occisor esto. Ego enim veritatis prædones, hos scribas appello. Tandem Deus, cui, et ut Evangelium præcipit, et ratio, sacrificasti, te sceleris purum, et vitæ integrum tueatur.

ΕΠΙΣΤ. ΛΔ'.

Τῷ ἀδελφῷ βασιλέως κυρίῳ Ἀδριανῷ.

Ἁγιέ μου αὐθέντα, διὰ μὲν τοῦ ἐναγχος πρὸς τὴν μεγαλειότητά σου σταλέντος γράμματος, νεφελῶν ἀπετραχύνουν ζοφερὰν περὶ ἐμὲ σύστασιν. Καὶ δυσφόρως ἔχων ἐπὶ ταύτῃ μόνον οὐ δάκρυσι τὴν ἐπιστολὴν διεχάραξα. Νῦν δὲ καὶ χαλάζης εἶδον καταφορὰν, θρηνούσης ἐλεεινῶς τὰ ἡμέτερα. Καὶ οὐκ ἔχω πῶς ἀξίως τὴν συμφορὰν ἀποκλαύσωμαι. Καὶ αὐτὴ γὰρ ἡ τῆς γλώττης ἰσχὺς ἐθραύσθη μοι, ὅσῳ καὶ γυμνότερον ἔχουσα οἱονεὶ σκοπὸς ταῖς βολαῖς ἐξέκειτο. Πλὴν ἔν γε τοῦτο μόνον λέγειν ἰσχύω, ὅτι παντάπασιν ὑπὸ τοῦ ψεύδους παρευημέρηται ἡ ἀλήθεια, καὶ ἡ συκοφαντία στεφανωσαμένη, κατὰ τῆς δίκης πομπεύει λαμπρὰ λαμπρῶς ἐπὶ πορφυρέου τοῦ ἅρματος. Διὰ τοῦτο ἐν ἡμῖν πολλοὶ ἀσθενεῖς, καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται οἱ κανοὶ (54). Ἐμὲ γὰρ, ὦ γῆ καὶ ἥλιε, ἐμὲ Βουλγάροιν δυοῖν παιζόμενον ἡ σκηνὴ τοῦ ἐνεστῶτος βίου προδείκνυσιν. Ὁ δ' Οἰδίπους ποῦ, καὶ τὰ κλεῖν' αἰνίγματα; Ἀλλ' αὐτός γε ὁ τῆς ἀληθείας μαθητής τε καὶ φίλος, καὶ σύμμαχος, βοήθησον αὐτῇ κινδυνευούσῃ, ὡς ἔνεστιν. Ἔσται δὲ τοῦτο, εἰ εὐδοκήσεις ὑπερλαλῆσαι ταύτης εἰς τὰ ὦτα τοῦ βασιλέως καὶ ἀδελφοῦ. Δεινὸν γὰρ, δεινὸν

EPIST. XXXIV.

Domino Adriano fratri imperatoris.

Sancte domine, ob has litteras quas nuper ad tuam majestatem misi, densissimarum nubium tenebricosum in me agonem, tragica quadam exaggeratione concitarunt. Ad quem, quia nullis sum viribus, lacrymis propemodum hanc epistolam enaravi. Nunc autem quia crebrum ejus grandinis imbrem, cuncta, quæ mea sunt, misere perfringere et evastare intueor, quomodo digne hanc calamitatem defleam equidem nescio. Etiam et ipsa linguæ vis mihi disrupta est, et robore destituta omni, ut solum infensissimis ictibus, ut scopus pateat, præter hoc solum, quippe, quod loqui possum. Quoniam penitus a mendacio ipsa veritas superatur, et turpis calumnia, contra jus, stemmate præcincta claro, purpureo in curru insidens, splendenti pompa incedit. Propter quod inter nos multi sunt infirmi, et invalidi, et dormiunt multi[34]. Me enim, o terra, o sol, me, inquam, duobus illusum Bulgaris, hæc præsentis vitæ scena manifestat. At vero Œdipus alicubi sua inclyta denuntiet ænigmata. Sed enim tu, qui, candidæ veritatis et discipulus, et amator, et opitulator es, ipsi jam fer opem, **673**

[34] 1 Cor. xi, 22.

Variæ lectiones et notæ.

(52) *Ὀχηρῶ σοι δοκῶ, ἀδελφὸν θαυμάσιε.* Restituo, εἰ χρειώ σοι δοκῇ, ἀδελφῶν θ.

(53) *Ληστοτόνος.* Scrib. ληστοκτόνος.

(54) *Καὶ κοιμῶνται οἱ κανοί.* Restituo, καὶ κοιμῶνται ἱκανοί.

Digitized by Google

ut oportet, periclitanti. Erit enim certum subsidium, si pro hac benevolus adsurgens, in aures imperatoris et fratris tui libere loqueris. Durum enim est, durum, inquam, mortuos canes vivo leoni antecellere et præferri, qui divinis et regiis coercetur vinculis, et veluti arcto capistro validos rugitus excutit, quibus solis timorem in omnes incutere potest. Durum etiam est fortem Samsonem acuta calumniæ novacula abradi, et deinceps tradi alienigenis, qui oculos ejus truculenter confodiant (quibus cœlestia intuebatur); ita ut cogatur molere ea, quibus impii illi nutriebantur, et perpetuis gyris in eamdem circumagi, et libero incessu cohiberi. Non enim mihi vis est, et facultas qua ultra hæc dicere possim, ita vero et nuda rerum gestarum memoria confundor. Si autem imperatoris æquitas, ob potentissimum tuum pro nobis sermonem, illos qui in nos audaci et ferino pectore insurgunt, paulum injuriæ habenas remittere jubet, confestim, qui potentiæ comam præsecti fuimus, repullulantibus iterum crinibus obtegemur, et injuriæ sedem et domum, in alienigenas, qui in nos turpi luxuriabantur studio, evellentes, longum quidem certamen finiemus. Ipsi etiam vel cum pudore mortem trucem effugiemus. Pro quibus te, justus Deus, quique in summa montium fastigia iram suam convertit, omnis criminis labe, et minacis mali affectu conservet solutum.

A τεθνηκότας κύνας ζῶντος λέοντος κατεπαίρεσθαι, θείοις καὶ βασιλικοῖς δεθέντος δεσμοῖς, καὶ φορβεᾷ τοὺς βρυχηθμοὺς ἐκκοπέντος, οἷς καὶ μόνοις ἐκφοβεῖν δύναται. Δεινὸν ξυρηθῆναι τῷ τῆς διαβολῆς ξυρῷ τὸν Σαμψὼν, ἔπειτα παραδοθῆναι τοῖς ἀλλοφύλοις, ὥστε καὶ τοὺς ὀφθαλμοὺς ἐξορυγῆναι, οἷς ἑώρα τὰ ἐπουράνια, καὶ ἀλήθειν τὰ τοὺς ἀθέους ἐκείνους τρέφοντα, ἀεὶ περὶ τὰ αὐτὰ δινεύοντα, καὶ προκοπῆς ἀνειργμένον. Οὐκέτι μοι λέγειν περαιτέρω τούτου ἰσχὺς, οὕτω καὶ ψιλῇ τῇ μνήμῃ τῶν γινομένων συγχέομαι. Εἰ δ' ἡ τοῦ βασιλέως δικαιοσύνη διὰ τῆς σῆς δυνατωτάτης ὑπὲρ ἡμῶν ὁμιλίας συστολὴν ἐπιτάξει τοῖς νῦν τολμωμένοις ὑβριστικῶς καθ' ἡμῶν, τάχ' ἂν οἱ ξυρηθέντες τὴν κόμην ἀναθαλήσοιμεν, καὶ τὸν τῆς ὕβρεως οἶκον ἐπὶ τοὺς ἀλλοφύλους ἐντρυφῶντας ἡμῖν καταπάσαντες, τὸν μακρὸν μὲν κάταυλον παύσοιμεν, αὐτοὶ δὲ μετὰ τῆς αἰσχύνης καὶ τὸν θάνατον ἐκφευξοίμεθα. Ἀνθ' ὧν τηροῖο ὑπὸ τοῦ δικαίου, καὶ ταῖς ἀκρωρείαις νεμεσῶντος Θεοῦ, πάσης ἀνώτερος κακύνσεως καὶ κακώσεως.

B

EPIST. XXXV.

Chartophylaci.

Fratrem meum ad te mitti, et media hieme longam et difficilem viam conficere, certum nostræ necessitatis et æruumnæ signum tibi hoc fiat, sancte pater et domine. Ad quam nos solos decet tuarum precum auxilium impense efflagitare, quasi reliqua omnia, nobis, ficulneam, ut dicunt, præbeant opem. Ita quidem potentissima permisti fuimus fortuna, ut in me multæ calamitates et mœrores gravissimi ingruerent, ex quo in tabernaculis Cedar habitavi [35]. At vero quæ mihi nunc eveniunt, tantum immensæ amaritudinis acerbitate et excessu illa superant, quantum illa oblectantium animam deprimunt. Et nunc siquidem efficaciter cognovi, illum scilicet, et qui a Deo recessit, et qui superbienti ferocia sibi fidit, eo quod Ecclesias obstrictas et penitus compulsas reliquerint, veluti sordidos quidem, et pusillanimes fuisse, ut desertis illis atque eversis, sacra omnia et cœlestia opera illudi, et ad ima ruere possent. Verumtamen his propter exstinctam fidem, auxilium penitus dubitantibus, qui et in medio pelago veluti obruti et immersi videntur, portum, qui intra ipsosmet est, ipsis ostende. Nos vero intra rationis limites constituimur, et vere regnum cœlorum, nobiscum habentes invenimur [36]. Equidem omni conatu, illi, qui, æstuantes fluctuum impetus, **674** in nos excitat, indica, frustra turgentes undarum maris illum attollere globos, cum præcipue nobis adsit ille, qui tuis precibus illis imperat, et ait: *Tace, obmutesce* [37], et in se ipsos fluctus tui contusi comminuentur.

C

D

ΕΠΙΣΤ. ΛΕ'.

Τῷ χαρτοφύλακι.

Αὐτὸ τοῦτο, καὶ τὸν ἀδελφόν μου στείλασθαι, μέσον χειμῶνος δολιχὴν ὁδὸν ἀργαλέην τε, τεκμήριον τῆς καθ' ἡμᾶς ἀνάγκης γενέσθω σοι, ἅγιε πάτερ καὶ δέσποτα. Πρὸς ἣν μόνοις ἡμῖν δεῖ τῆς τῶν σῶν εὐχῶν βοηθείας· ὡς τά γε ἄλλα συκίνη, φασὶν, ἐπικουρία. Οὕτω πολυφόρῳ συγκεκράμεθα δαίμονι, ὡς ἔμοιγε πολλῶν συμπεσόντων ἀνιαρῶν, ἀφ' οὗ παρῴκησα μετὰ τῶν σκηνωμάτων Κηδάρ, τὰ νῦν ταῦτα τοσοῦτον προτεροῦσιν ἐκείνων τῇ τῆς πικρίας ὑπερβολῇ, ὅσον ἐκεῖνα τῶν εὐφραινόντων ψυχήν. Καὶ νῦν ἐμπράκτως ἔγνων, εἴπερ ποτὲ, ὅτι τῷ τοῦ Θεοῦ ἀποστάτῃ, καὶ τραχηλιαστῇ, πρὸς τὸ καταλιπεῖν τὰς Ἐκκλησίας συνελαυνομένας, ὡς μικρόψυχοι· ἵν' ἐρήμοις αὐταῖς ἐγκυβιστήσῃ, καὶ παίξῃ τὰ θεῖα καὶ ἐπουράνια. Ἀλλὰ βοήθειαν τοῖς διὰ τὴν ὀλιγοπιστίαν διστάζουσι, καὶ τοῖς ἐν μέσῳ πελάγει δοκοῦσι καταβαπτίζεσθαι, τὸν λιμένα παρὰ σφίσιν αὐτοῖς ὄντα ἐδείκνυε. Τοῦ λόγου ἐντὸς γινόμενοι καθιστάμεθα, καὶ τῷ ὄντι τὴν βασιλείαν τῶν οὐρανῶν ἐν τοῖς (*a*) ἡμῶν ἔχοντες εὑρισκόμεθα. Καὶ διὰ πάντων δίδαξον τὸν τὰς τρικυμίας ἡμῖν ἐπεγείροντα, ὅτι μάτην ὀγκοῖ τὴν θάλασσαν, παρόντος ἡμῖν διὰ σοῦ τοῦ ἐπιτάσσοντος αὐτῇ, καὶ λέγοντος· *Σιώπα, πεφίμωσο*, καὶ ἐν σεαυτῇ συντριβήσονταί σου τὰ κύματα.

EPIST. XXXVI

Doctori magnæ Ecclesiæ.

Si me quidem conflagrantem conspexisti, inclyte

ΕΠΙΣΤ. ΛϚ'.

Τῷ διδασκάλῳ τῆς μεγάλης Ἐκκλησίας.

Εἴ με φλεγόμενον ἑώρακας, τιμιώτατέ μοι ἐν

[35] Psal. cxix, 5. [36] Luc. xvii, 21. [37] Marc. iv, 39.

(*a*) Ἐντὸς pro ἐν τοῖς legendum monet Cotelerius *Monum. Eccl. Gr.* II, 598. Edit. Patr.

Digitized by Google

Κυρίῳ υἱὲ, αὐτὸς ταῖν χερσῖν ὑδρίαν κατέχων, ἄρ' ἂν τοῖς φλεγαμένοις μέλεσιν ἐπεκένωσας, ἢ παρῆλθες, ὑπερηφάνοις, ἢ ἀπηνέσιν ὀφθαλμοῖς θεασάμενος; Οὐκ οἶμαι τὸ δεύτερον. Εἴτε ἄλλο τι τὰ παρόντα νομίζεις ἡμῖν, ὅτι μὴ καὶ φλογὸς καὶ ἀνθράκων χείρονα, μὴ σύγε. Βοήθει νῦν, ἐπειδὴ ταῖς πηγαῖς παρακάθησαι. Εἰ δέ τοι σκοτεινοὺς λόγους λαλῶ, καὶ αἰνίγματα, τάχα μὲν οὐδὲν ἀπεικὸς ποιῶν ἐλεγχθήσομαι, τῷ τοιαῦτα λύειν ἐθισθέντι καὶ ἠσκηκότι τοιαῦτα φθεγγόμενος. Πλὴν ἀλλ' εἰ καὶ δυσξενέτως (55) τῶν λεγομένων ἀκούσῃ, πυθοῦ τοῦ μαθητοῦ σου, τοῦ ἐμοῦ ἀδελφοῦ, καὶ διδάσκαλον εὑρήσεις τῶν ἡμετέρων ἐπηρειῶν. Ἃς διασκεδάσαι Κύριος ταῖς ὑμῶν ὑπὲρ ἡμῶν εὐχαῖς καὶ σπουδαῖς, ὁ ἐν πᾶσι τῆς ἡμετέρας ἀσθενείας κηδόμενος.

A in Domino fili, tu vero manibus habens hydriam, numquid tandem in flammantia illam pectora effudisti, aut præteriisti superbe, aut immanibus me oculis inspectasti? Non autem hoc secundum esse arbitror. Sive autem aliquid aliud, hæc præsentia nobis pericula esse existimas, quam et flammis et accensis carbonibus pejora. Non tu id quidem saltem nunc autem fer opem, quoniam ad ipsos assides fontes. Si autem sermones tenebris obvolutos ad te profero, et obscura ænigmata, statim quidem vel nihil dissentaneum et absurdum faciens redarguar, præsertim cum illi loquar, qui talia dissolvere et talia evertere assuevit. Nisi si quid intellectu difficile, ex his quæ dicta sunt, audiveris, interroga discipulum tuum, meumque fratrem, et nostrarum calamitatum et cladium certum doctorem invenies. Quas quidem Dominus, vestris in nos precibus vestrisque votis dispergat et superet, qui in omnibus nostræ imbecillitatis curam gerit.

ΕΠΙΣΤ. ΛΖ'.

Τῷ Ταρωνίτῃ, κυρίῳ Γρηγορίῳ.

Ἐν μέσῳ δυεῖν εἰλημμένος παθῶν, οὐκ ἔχω μεγαλεπιφανέστατέ μοι ἐν Κυρίῳ υἱὲ καὶ αὐθέντα, ποτέρῳ μᾶλλον ἐμαυτὸν ἐπικλίναιμι. Ἐπανιόντα γάρ σε τῆς Κολχίδος ἀκούσας, ἡδονῇ καὶ λύπῃ μερίζομαι· τῇ μὲν, ὅτι σε ἐγγύτερον ἔχομεν, καὶ ἀπολαύσει σου πόλις ἡ βασιλὶς, οἷον ἐκ χειμῶνος τῆς σῆς ἀπουσίας τῇ παρουσίᾳ ἐνεαρίζουσα· καὶ βασιλεὺς ὁ πάντων ἐν πᾶσι κράτιστος φρουρὸν ἄγρυπνον ἔχει, καὶ κοινὸν σκεμμάτων καὶ φροντίδων μεριστὴν, καὶ γνησιώτατον σύμβουλον. Τῇ δὲ τῆς ἀσπιδίτιδος πόρπακι, μᾶλλον δὲ οὐδὲ τῷ ἵππῳ ἐπινυστάξει, ἀλλ' ἐπὶ στρωμνῆς ἀνέτως ἀνακλινθήσεται· καὶ τὼ πόδε ἀποτενεῖ, καὶ εὐνείρους [*f.* εὐον.] ὕπνους ὑπνώσει· καὶ οὐ φεύξεται Ταρωνίτης κἂν τοῖς φάσμασιν. Αἱ δὲ τοῦ Πόντου πόλεις νῦν ὄντως ἐξουσι κακῶν θάλασσαν. Καὶ μετὰ τὴν ἐπὶ σοῦ καὶ παρὰ σοῦ γαλήνην ἡ πρὸ σοῦ ζάλη τούτοις αὖθις ἐπιπεσοῦσα ἀκατεύναστον ὀγκώσει τὸν τάριχον [*f.* τάραχ]. Ὁ δὴ τοῖς ἀθλίοις ἄλγιον· δυστυχία γὰρ, ἐπειδὰν εὐτυχία διακοπεῖσα, πάλιν εἰς ἑαυτὴν ἐπανέλθοι, λυπηροτέρα καθίσταται, ὥσπερ καὶ ψύχος μετὰ θέρμανσιν κρυερότερον. Ὦ δείλαιοι δειλαίων ἐκεῖνοι, οἷς ἡ περιουσία τῶν ἀγαθῶν, ὧν ἀπήλαυσαν, εἰς κακοδαιμονίας ὑπερβολὴν περίσταται· καὶ ἀναθαλήσαντες τῷ εὐκραεῖ τῆς σῆς ὥρας, εἶτα ἀθρόον ἀπεξηράνθησαν, καὶ γεγόνασιν ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρξας αὐτῶν· τοῦτό γε πλέον ἔχοντες νῦν, τὸ πλέον τῶν συμφορῶν ἐπαισθάνεσθαι, καὶ τὸ τὰς χρηστοτέρας τῶν ἐλπίδων ἀφαιρεθῆναι. Τίνα γὰρ εὑρεῖν ἐλπίσουσι τοῦ λοιποῦ, ὃς τοῖς μὲν πολιτικοῖς οὕτως ἐπιστατήσει, ὡς τῶν πολεμικῶν ἀγνοεῖν καὶ τὸ ὄνομα· τοῖς δὲ πολεμικοῖς οὕτως ἡρωϊκῶς ἐπιπρέπει, ὡς μηδὲ τὴν πόλιν ἁπλῶς θεασάμενός τις, πτωχίσει μὲν τὸ ἀντίπαλον, πλουτίσει δὲ τὸ ὑπήκοον; Τίς πτηνοὺς μὲν τοὺς στρατιώτας προϊόντας ἐπὶ τὸν πόλεμον, βαρεῖς δὲ καὶ δυσκινήτους ἐπανιόντας ἐργάσεται, τὸ μὲν, τῷ κούφῳ τῆς προθυμίας καὶ τῆς ἐλπίδος, τὸ δὲ, τῇ τῶν λαφύρων περι-

B

EPIST. XXXVII.

Domno Gregorio, Taronitæ.

In medio duplicis calamitatis anxii animi comprehensus, illustrissime in Domino fili et domine, ignoro prorsus, ad quam præcipue me convertam. Cum enim te ex Colchide egressum fuisse audivi, et voluptate, et tristitia divisim actus exsilui. Hæc quidem, quia te viciniorem habemus, et urbs hæc regia te utitur, quemadmodum ex horrida tuæ absentiæ hieme, vernantibus tuæ præsentiæ floribus hilarescens. Et imperator, qui omnium in omnibus est potentissimus, vigilem te custodem habet, cui cogitationum et curarum suarum molem communiter divisit, teque sibi legitimum effecit consiliarium. Illa autem, quia neque clypei loro, maxime vero quia neque in equo obdormiscet, sed laxe in stragula fusus inclinabitur, pedesque libere extendet, et somnos dulci persolvet conflatos sopore, neque spectris, et portentis jam Taronites turbatus effugiet. Ponti autem urbes nunc vere malorum oceanum habebunt, et post tranquillam illam serenitatem qua tecum et propter te usæ fuerunt, sævus ille procellæ turbo, qui ante te, cum illis, omnes invaserat, ferventem periculorum æstum irrequietis attollet flatibus. Quod quidem miseris molestius est et gravius, quia summa est infelicitas. Nam felicitas, quæ in seipsam abrupta et abscissa redit, horridior et tristior advenit, quemadmodum **675** frigoris asper horror, post calidam æstatis auram. O miserorum omnium miserrimi, quos, bonorum abundantia et affluentia, qua fuerunt perfuncti, in infortunia et infelicitatis excessum circumstat, quique jucundo tui veris temperamento germina eduxerunt floridæ, deinde confertim, et subito sicco exarescunt solo, et in pristinum calamitatum statum redeunt, ut fuit, quando in illos nullum tu imperium exercebas. Nunc autem hoc abundantius secum habent, ut scilicet sensus creberrimis cladibus atterant, et omni utilitatis et commodi spe destituantur. Nam quem alium in

C

D

Variæ lectiones et notæ.

(55) Δυσξενέτως. Scrib. δυσξυνέτως.

Digitized by Google

posterum invenire posse sperabunt, qui ita civilibus præsideat negotiis, ut vel hostium fere nomen penitus ignoretur, qui ipsis hostibus ita inclyte et heroice commodus, et decens exsistat, ut neque in urbem simpliciter, cum oculos curamque convertet, adversarios sibi, et reluctantes, in paupertatem redigat, subditos vero divitiis semper afficiat. Qui et milites, in bellum veluti alis ferri velocissimis coget, et opulentos et opibus onustos redire et immobiles. Illud enim spei et alacritatis ipsa celeritas præstat, hoc vero quasi quadam spoliorum abundantia et copia Ecclesiæ opes quiescent : et filium, qui illam jam senescentem alat, illæ habebunt, qui benedictionibus et gratia se firmari credat, et corporis viribus et dotibus sese fulcire et protegere studeat, cujus et prudentia ipsos deserti monachos concutiat, quasi corpore integritate et puritate tantum superatos et evictos, quantum et in hac, purificantem ignem vident vim suam denegare. Sed enim fere quidem ingens affectus me tragico fecit insultare gressu. Illis vero hæc ipsa propter fraternum amorem satis, superque consecrantur. Tu vero, quia optantibus appropinquasti, et omnes, quantum decet, te perfruuntur, et ego quidem, ut si quis alius, dignus etiam sum, qui tuo præclaro fungar aspectu. At nequaquam mihi, juxta ea quæ jam intercepi, harum litterarum gratiæ mensuram repende et injice, neque uberrimos lætitiæ amnes guttatim in nos effunde, sed pleno fluminis alveo, hanc meam humilitatem et mediocritatem inunda. Atque etiam ostende mihi, qui ægre et perdite te amo, quæ frequentius in te scaturiunt. Non enim jam in posterum, Pontum ipsum, immensumque ad viam intervallum, in culpam et excusationem adduces. Equidem semper jam quæ tibi jucundiora eveniunt, et commodiora sunt, nuntio ad me deferes securo, ut ita meam linguam qui adeo dives sum detrimentis et damnis calumniantium illatis acerbitate, penitus refrigeres et recrees. Qui et ob hanc causam, hac alia inextinguibili flamma diros cruciatus dolores perpetior. Equidem quando ita tua semper audio, sicut pluviam prorsus, ut combusta et arida terra, suscipio. Audio etenim semper Theodosium, hæc mihi enarrantem lingua et benefica et benevola, sed digna operum existimatione depressa. Qui nobis semper adest, maxima quæque large effundens, **676** quibus et tui ingenii dexteritatem, et industriam nimis celebrat. Quam et adhuc dulci Dominus afficiens, et accumulans gratia, te omnibus virtutibus, et quæ spiritus sunt, et quæ corporis splendidissimum ostendit, atque omni sceleris contagio, et infelici casu, te undique custodit superiorem.

A οὐσίᾳ τινὶ, τῆς Ἐκκλησίας μέρος ἐπαναπαύσεται, καὶ παῖδα γηροκόμον ἕξει, στηρίζεσθαι ταῖς εὐλογίαις πιστεύοντα, καὶ τοῖς σωματικοῖς ἀντιστηρίζειν σπουδάζοντα ; Τίνος σωφροσύνη καὶ τοὺς τῆς ἐρημίας μοναχοὺς καταπλήξει, ὡς ἡττωμένους τοσοῦτον τῇ τοῦ σώματος καθαρότητι, ὅσῳ καὶ πῦρ ὁρῶσιν ἐν ὅλῃ τοσαύτῃ τὴν φύσιν ἀρνούμενον ; Ἀλλὰ μικροῦ με καὶ τραγῳδὸν τὸ πάθος ἐποίησε. Ἐκείνοις μὲν οὖν ἱκανῶς καὶ ταῦτα διὰ τὸ φιλάδελφον ἀφωσίωται· σὺ δ' ἐπειδὴ τοῖς ποθοῦσιν ἤγγισας, καὶ πάντες καθ' ὅσον ἔνεστιν ἀπολαύουσι, καὶ αὐτὸς δὲ, εἴπερ τις ἄλλος, ἀπολαύειν σου ἄξιος, μηκέτι μοι ἐκ διαλειμμάτων ἐπιμέτρει τὰς ἐκ τῶν Γραφῶν χάριτας· μηδ' ἀνέχου κατὰ στράγγα τὰς τῆς εὐφροσύνης ἐπιστάζειν ἡμῖν, ἀλλ' ὅλοις ποταμοῖς τὴν ἐμὴν ἐπλύζε ταπεινότητα, καὶ δήλου μοι τὰ σὰ τῷ πρὸς σὲ B δυσέρωτι θαμινώτερα. Οὐ γὰρ δήπου τοῦ λοιποῦ Πόντον αἰτιάσῃ, καὶ διάστημα δυσδιόδευτον· καὶ ἀγγέλλοις μὲν περὶ σαυτοῦ χρηστότερα καὶ ἡδίονα· ἵν' οὕτω γοῦν καταψύχοις τὴν ἐμὴν γλῶτταν τοῦ πλουσίου ταῖς ἐκ τῶν συκοφαντῶν ἐπηρείαις, καὶ διὰ ταῦτα ὀδυνωμένου ἐν τῇ ἄλλῃ ἀκατασκέστῳ ταύτῃ φλογί. Ὡς ἔγωγε, ὁπηνίκα τι τῶν σῶν ἀκούω, ὑετὸν ἀτεχνῶς ἡ διακεκαυμένη γῆ δέχομαι. Ἀκούω δὲ ἑκάστοτε ἀεί μοι ταῦτα τοῦ Θεοδοσίου διηγουμένου γλώττῃ, εὐγνώμονι μὲν, ἐλαττουμένῃ δὲ τῆς ἀξίας εὐφημίας τῶν ἔργων. Ὃς σύνεστιν ἡμῖν τὰ μέγιστα χαριζόμενος, οἷς ἐξυμνεῖ σου τὴν δεξιότητα. Ἧν καὶ ἔτι καὶ ἔτι χαριτώσας ὁ Κύριος ἀεί σε δεικνύοι λαμπρότερον ἐν ἀρεταῖς πάσαις, ὅσαι ψυχῆς, ὅσαι σώματος, καὶ φυλάττοι πάσης κακύνσεως ἀνώτερον καὶ κακώσεως. C

EPIST. XXXVIII.

Domno Nicol. Callicli, archiatro.

Sic quidem mutuo odio habemur, ut nec ullo compellemur sermone ? Verumtamen ego quia nullo te prosequor odio, jam alloquor. Vales igitur, et ex arte medicinæ, quæ humanitatis studio consistit, et ex regio tuo munere commoda tibi vindicas summa. Quæ utraque, quanta sunt, sunt utilissima. Longe autem ab adversis tutus esto et custoditus, ut hoc pacto ad illud saltem propius accedas, et ab ingenti fulmine, te illius penitus inexpertem tuteris. Sed enim amicos tuæ felicitatis fac participes, nec sotus grandia suscipiens commoda, tibi habe. Imperteris hæc autem, si fratrem meum beneficio afficis,

D

ΕΠΙΣΤ. ΛΗ'.

Τῷ ἀρχιατρῷ κυρίῳ Νικολάῳ τῷ Καλλικλεῖ.

Μισούμεθ' οὕτως, ὥστε μὴ προσενέπειν ; Ἀλλ' αὐτός γε προσφωνῶ, μὴ μισῶν δηλαδή. Ὑγιαίνοις οὖν, καὶ ἀπολαύοις τῆς τε φιλανθρώπου ἰατρικῆς, καὶ τῶν βασιλείων, ὅσα καὶ ἀμφότερα χρηστά. Τῶν δ' ἐναντίων πόρρω φυλάττοιο, ἵνα ταύτῃ καὶ τῷ διεγγίζοις (*a*), καὶ τοῦ κεραυνοῦ τηροῖο ἀπείραστος. Ἀλλὰ μετάδος φίλοις σῆς εὐπραξίας, καὶ μὴ μόνος τὸ χρηστὸν ἀπολαβὼν ἔχε. Μεταδοίης δ' ἄν, εἰ τῷ ἀδελφῷ μου συνεργήσαις, εἰς ἃ σου δεῖται, ὡς ἔνεστιν. Ὃν ἰδὼν ἐν τοιούτῳ καιρῷ πρὸς τοσαύτην ὁδὸν παραβαλλόμενον, συλλογίσῃ τὸ τῆς ἀνάγκης μέγεθος, ὑφ' ἧς ἐντεῦθεν ἐλήλαται. Δεῖξον

(*a*) Cotelerius (*Monum. Eccl. Gr.* II, 664) legit τῷ Διὶ ἐγγίζοις ex vulgari adagio, Ἡόρρω Διός τε καὶ κεραυνοῦ, de quo paræmiographi et Synesius *De regno*, p. 11. Edit. Patr.

Digitized by Google

οὖν ἡμῖν ὅσον δύνασαι· οὕτω γὰρ ἄν σοι καὶ τὸ μείζονα δυνήσεσθαι συνευξώμεθα.

A in his in quibus te indiget, ut illi expedias. Quem cum videas, hac occasione, in tantam viam profusum, necessitatis magnitudinem facile perpendes, qua pressus modo ire funditus compellitur. Nobis itaque totam tuæ potentiæ vim objice, ita etenim te et majora posse deprecabimur.

ΕΠΙΣΤ. ΛΘ'.

Τῷ αὐτῷ.

Σὺ δὲ, εἰ καὶ τὸν Ἀλκμαίωνα (56) εἶδες ἐκεῖνον, τὸν διὰ τὴν μητροκτονίαν οὐδενὶ μέρει γῆς δεκτὸν νομιζόμενον· ἀλλ' ἐμέ γε ἰδὼν, τὴν ἐκείνου κατόψει τοῦ κακοδαίμονος ἀθλιότητα. Ἐμὲ γὰρ τῆς ἐν Ἀχρίδι γῆς ἀπελαύνων ὁ τὰς τῶν ἀνθρώπων εὐημερίας κωλύων δήμιος, καὶ τὰς τούτων συμφορὰς ἐκκαρπούμενος, εἶτα πρὸς Πελαγονίαν φεύγοντα συναισθόμενος, οὐδὲ ταύτην πατεῖν ἀξιοῖ· οὐδὲ μὲν ἔχων προτείνειν δίκαια, ὅτι δὲ δημόσιος εἴη δήμιος. Τί τοίνυν ταῦτά σοι ἀποδύρομαι; Ἵνα στήσῃς μοι τὴν B πλάνην αὐτός. Πάντως ὁ ῥοῦς σου τῆς ἀγαθότητος οὐκ ἐλάττων, ἢ ὁ τοῦ Ἀχελῴου, τοῦ νέαν γῆν ὑποστήσαντος τῷ Ἀλκμαίωνι. Εἰ δὲ ζητοίης τὸν τρόπον, δι' οὗ στησόμεθα, μαθήσῃ παρὰ τοῦ ἀδελφοῦ μου, ὃν εἰς αὐτὸ τοῦτο ἐστείλαμεν, τὸ ταῖς συμφοραῖς ἡμῶν λύσιν εὑρέσθαι· ταῖς μὲν ἄλλαις, δι' ἄλλων· τῇ δὲ τῆς ἀτιμίας ταύτῃ, διὰ τῆς σῆς δεξιότητος. Ὅπως οὖν μοι κἀν τῷ πάθει τούτῳ δείξῃς τὸν ἰατρὸν τὸν Παιήονα.

EPIST. XXXIX.

Eidem.

Tu vero Alcmæonem illum nosti, propter horrendam in matrem cædem, in nullis terræ partibus dignum consistere judicari: in me tamen oculos vertens tuos, diram illius infelicitatis miseriam et calamitatem conspicies. Nam me dirus ille carnifex, qui hominum tranquillitati obstrepit, et ex horum calamitatibus, fructus sibi ingentes ascribit, ex Achridis solo miserrime depulit. Deinde cum me Pelagoniam petere persensit, neque illam me pedibus terere dignatur, neque ullo me æquitatis jure tueri intendit, quoniam cum publicus administrator sit, carnifex fiat. Sed quid hæc gravibus ad te lamentis conqueror? Ut scilicet hunc meum errorem ipse sistas. Certe tamen tuus ille bonitatis fluvius, non est minor illo Acheloi, qui novam terram misero Alcmæoni substituit. Si autem modum quæris quo consistere et commorari possimus, te illum frater meus edocebit, quem hac de causa ad te mittimus, ut nostræ calamitatis finem et terminum inveniat, aliarum vero ærumnarum, ut ab aliis, at hujus mei dedecoris, ut a tua facili ingenii industria, ultimam metam defigat. Quemadmodum et mihi, et huic meo morbo te medicum illum Pæonem ostenderis.

ΕΠΙΣΤ. Μ'.

Τῷ ὑπάτῳ τῶν φιλοσόφων, τῷ Ἀμυρταίῳ (57).

Εἰ μὲν τραγῳδιῶν ἀκούειν ποθεῖς, ὦ τῶν ἐν φιλοσόφοις Χριστιανῶν, ἢ τῶν ἐν Χριστιανοῖς φιλοσόφων ὕπατε, ἐπαίτει τὴν ὑμετέραν φιλίαν γράμματα. Οὐδὲν γὰρ, ἀλλ' ἢ ἀναποτνιασμοὺς καὶ θρήνους ταῦτά σοι ἔξουσι· ἐπεὶ καὶ τοιούτων τὰ παρόντα ἡμῖν ὑπόθεσις. Εἰ δ' ἄλλοις σοι τῶν τραγῳδιῶν (58), καὶ ἐγγύθεν αὐτῶν ἀπολαύων δαψιλεστάτων, οὐκ ἂν καὶ Βουλγαρόθεν δεήσῃ προσερανίσασθαι. Μηδὲ γράμματα πρᾶττε ἡμᾶς δηλοῦντά σοι τὰ ἡμέτερα. Οὐδὲ γὰρ, οὐδὲ βουλομένοις ἡμῖν ἀλλοιότερα γράφειν ἔνεστιν. Ἀλλ' αὐτόματος ἡ τῶν συμφορῶν ἀγγελία ὑπὸ τὸν γραφέα γίνεται κάλαμον. Καὶ ἅμα γράφομεν, καὶ συμφορὰς γράφομεν. Ἀλλ' αὐτός γε ῥᾷον τῶν τοιούτων ἔχοις, ἵνα μὴ πάντα εὐτυχοῖεν οἱ τὴν ἀρετὴν θλίβοντες. Ὧν καὶ τὴν ἡμετέραν ἀσθένειαν ἐξέλοιτο Κύριος· οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν, ἃς C ἐποιήσαμεν, ἀλλὰ διὰ τὴν οἰκείαν χρηστότητα.

EPIST. XL.

Amyrnæo summo philosopho.

Si quidem tragicos audire casus desideras, o philosophorum qui Christiani sunt, et Christianorum qui philosophi sunt, maxime, meas ad vestram amicitiam pete litteras. Nihil enim aliud quam anxii suspiria cordis, tristesque planctus hæ tibi referent. Quoniam his diebus nobis solum horum materia abunde suppetit. Si vero tibi tragœdiarum satis est, et e propinquo large illis frueris, non equidem necesse erit e Bulgaria illas impetrare. Neque litteras a me exige, quæ tibi mea infortunia manifestent. Non enim, non, inquam, aliena scribere nobis vel volentibus vacat. Sed sponte scribente calamo, ipsa calamitatum exaratur enuntiatio. Atque ita et simul scribimus et calamitates, tristesque casus scribimus. Etenim ipse facilius etiam talibus affectus eris eventibus, ne cuncta, qui virtutem elidunt, felicia consequerentur. Quibus jam Dominus non propter opera justitiæ, quæ fecimus nos, sed propter suam immensam bonitatem, nostram imbecillitatem adimat.

ΕΠΙΣΤ. ΜΑ'.

Τῷ πανυπερσεβάστῳ Βρυεννίῳ, τῷ γαμβρῷ τοῦ βασιλέως.

Δεῦτε, ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν, πάντες οἱ

EPIST. XLI.

Panhypersebasto Bryennio, imperatoris genero.

Huc adeste, audite, omnes, qui timete Deum [36],

[36] Psal. LXV, 16.

Variæ lectiones et notæ.

(56) Homer. in *Odyss.* v. 248, et Pausan. in *Arcad.*

(57) *Ἀμυρταίῳ.* Puto scribendum, τῷ Σμυρναίῳ, ac designari episcopum Smyrnæ, cujus meminit iterum epist. 57, Παρὰ τοῦ παγκάλου Σμυρναίου τῇ ἀγάπῃ σου συσταθήσεται. Iterum epist. 59, Ὃς καὶ τοῦ φιλοσοφωτάτου καὶ πανδεξίου Σμυρναίου φησὶν εἶναι συγγενής.

(58) *Εἰ δ' ἄλλοις σοι τῶν τραγῳδιῶν.* Scrib. εἰ δ' ἄλλως σοι τ. τ.

Digitized by Google

et quæcunque animæ meæ vere panhyperscbastus intulit nobis manifeste enarrabo. Jamque et qui nulla illum formidine veremini, vos quidem quasi communi gaudentes hilaritate, proceditis, et in illum solum oculos defigitis, in quo nos audaci, et tuto confidentes spiritu, nunquam decepti fuimus, nec elapsi. Et hic quidem omnino optimus, nihil eorum præterit, quibus in nos ingentia possit efficacissime emittere beneficia. Nam me, cum fere jam inter eos qui ad sepulcra efferuntur, adnumeratus essem, atque horrentibus honoris tenebris comprehensus, in lætæ vitæ lumen revocavit atque constituit, et siderum regem, solem in me, ad fovendam vitam, splendidiorem et calidiorem circumjecit. Neque improbitati et vitio permisit, ut caput contra veritatem attolleret, superbaque corona præcingeret, etiam si minanter os suum aperiat, et multo incumbat conate, direque superbiat, nostras opes, veluti relicta ova, confringere intendens. Hæc enim, quia auxiliatores sibi, et opitulatores habet, ausus est excogitare : *Qui dixerunt Linguam nostram extollamus, labia nostra a nobis sunt, quis noster Dominus est* [39]? Et venenum aspidum in nos conspuentes, præclarissimam et mitissimam imperatoris animam **678** lethifera amaritudine infecerunt, et quidquid Ecclesia nostra continebat ingenti internecione deleverunt. Et omnium quidem harum rerum causa, vectigalium exactorum insatiabilis cupiditas, et corrupta consuetudo fuit. Qui nostræ linguæ gladium, ipsorum injustitiæ nervos præscindentem, nullo tolerantes modo, et *laborem conceperunt, et pepererunt iniquitatem* [40]. Et hoc quidem in ipso potentissimi nostri imperatoris conspectu, in nostrum contemptum, et abjectionem sunt aggressi, et rebus quæ nunquam fuerunt, fictam verborum contulerunt vitam, et fœdum mendacium, pulchro pompæ apparatu exornarunt, et in nos invictam vim perpetuo testantes, etiam illos fabulæ centimanos et centum horridos capitibus Briareos et Typhœos, meras esse nugas nobis persuadentes, quasi ita nostram in loquendo libertatem comprimere possent et cohibere. Cujus acerbitas et amaritudo illorum corda invadens illos frigido cogit horrore conteri, et manus metu contrahere. Qui inde obiter obtecto persona vultu, ipsam calumniam et maledicentiam in cœlum usque efferunt, qui solum sunt flammanti Tartaro digni. Et Lazarum quidem, qui cum Ecclesiæ esset colonus, et se nimis libertati dedere cogitaret, e cervicibus habitationis jugum desideravit excutere; hunc, inquam, contra nos audaci armarunt pectore, et quot et qualia diceret, illum edocentes, etiam ipsas imperatoris aures impleverunt, et illius animum qui tunc nobis candidus erat, atro conspurcarunt facinore.

Semel igitur hic Lazarus cum vidisset sibi, sua propria figmenta, præcipiti decurrere flumine, et nobis, veritatis opera coacta, quasi reciproco reflecti amne, non tulit, quin sua tetrica natura contra nos dirius uteretur. Est enim Bulgarorum natura omnis sceleris, omnisque mali nutrix. Qui vero, cum sibi non satis esset, si commilitones et pugnaces Achridiotas in bellum contra nos excita-

A φοβούμενοι τὸν Θεὸν, ὅσα ἐποίησε τῇ ψυχῇ μου ὁ τῷ ὄντι πανυπερσέβαστος· ἤδη δὲ καὶ οἱ μὴ φοβούμενοι· οἱ μὲν, ὡς συνησθέντες ἔτι προκόπτοιτε, καὶ πρὸς ἐκεῖνον βλέποιτε μόνον, ᾧ καὶ ἡμεῖς θαρρήσαντες οὐκ ἐψεύσθημεν· καὶ ὁ πανάγαθος οὗτος τὰ πρὸς ἀγαθοποιΐαν διακονοῦ ὁραστικώτερον. Μετὰ γάρ τοι τῶν εἰς ᾅδου καταβαινόντων τεταγμένον με ἤδη, καὶ τῷ σκότῳ τῆς ἀθυμίας ἐγκατεχόμενον, ἐπὶ τὸ τῆς ζωῆς εὐθυμίας φῶς ἀνήγαγε καὶ ἀποκατέστησε· καὶ τὸν βασιλέα ἥλιον περιεποιήσατό μοι θαλπνότερόν τε καὶ ζωτικώτερον· καὶ οὐκ ἔδωκε τῇ κακίᾳ κεφαλὴν ἆραι κατὰ τῆς ἀληθείας, καὶ στεφανώσασθαι, καίτοι ἀνοιγούσῃ στόμα, ὑποστρουθιζούσῃ καὶ ἀλαζονευομένῃ ὡς καταλελειμμένα ὠὰ ἀρεῖν τὰ ἡμέτερα. Τοιαῦτα γὰρ ἐφρόνει διὰ τῶν αὐ-

B τῆς ὑπουργῶν· οἱ, *Τὴν γλῶσσαν ἡμῶν*, εἰπόντες, *μεγαλύνωμεν, τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι· τίς ἡμῶν Κύριός ἐστιν;* ἰόν τε ἐκπίδων καθ' ἡμῶν ἀποπτύσαντες, τὴν διειδεστάτην τοῦ βασιλέως ψυχὴν ἐπίκραναν, καὶ τὰ τῆς Ἐκκλησίας ἡμῶν ἐνέκρωσαν. Καὶ τούτων πάντων αἰτία ἡ τῶν πρακτόρων ἀπληστία καὶ κακοήθεια· οἱ τὴν κοπίδα τῆς ἐμῆς γλώττης τὰ νεῦρα τῆς ἀδικίας αὐτῶν ὑποτεμνομένην οὐ φέροντες, *συνέλαβόν τε πόνον, καὶ ἔτεκον ἀνομίαν*. Καὶ τοῦτο μὲν αὐτοπροσώπως τῷ κρατίστῳ ἡμῶν βασιλεῖ κατὰ τῆς ἐμῆς ἐνέτυχον οὐθενότητος, τὰ ἀνούσια οὐσιώσαντες, τὸ ψεῦδος στολίσαντες πομπικώτερον, καὶ ἰσχὺν ἡμῖν ἀνίκητον

C ἐπιμαρτυρήσαντες· καὶ τοὺς τοῦ μύθου ἑκατόγχειρας ἐκείνους, ἢ ἑκατογκεφάλους Βριάρεως, ἢ Τυφῶς λήρους εἶναι πρὸς ἡμᾶς πείσαντες, ὡς ἂν τούτῳ τὴν παῤῥησίαν ἡμῶν κωλύσωσιν, ἧς ἡ ὀξύτης ταῖς αὐτῶν καρδίαις ἐνδύνουσα, φρίττειν ἐποίει, καὶ τὰς χεῖρας συστέλλεσθαι· τοῦτο δὲ καὶ διαπαρενθέντων [*f.* διὰ παρενθέτων] προσώπων τὴν συκοφαντίαν οὐρανώσαντες οἱ Ταρτάρου ἄξιοι, τὸν Λάζαρον, ὃς πάροικος ὢν τῆς Ἐκκλησίας, καὶ φρονῶν ἐλευθεριώτερον, ἐπόθει τὸν τῆς παροικίας ἀπαυχενίσαι ζυγὸν, τοῦτον καθ' ἡμῶν ἐπιῤῥώσαντες, καὶ ὅσα δὲ λέγων [λέγειν] καὶ οἷα διδάξαντες, καὶ τὰς ἀκοὰς τοῦ βασιλέως ἐπλήρωσαν, καὶ τὴν καρδίαν τὴν τέως λευκὴν ἡμῖν ἐμελάνωσαν.

D Ἅπαξ οὖν οὗτος ὁ Λάζαρος ἰδὼν ἑαυτῷ μὲν κατὰ ῥοῦν χωροῦντα τὰ πλάσματα, ἡμῖν δὲ πρὸς ἀνάῤῥουν βιαζόμενα τὰ τῆς ἀληθείας πράγματα, οὐκ ἀνήσει τῇ φύσει καθ' ἡμῶν χρώμενος. Φύσις γὰρ [*f.* γὰρ *vel* δὲ] Βουλγαρικὴ, πάσης κακίας τιθηνός. Ὅς γε, ἀποχρῶν αὐτῷ εἰ συνασπιστὰς Ἀχριδιώτας ἐπὶ τὸν πρὸς ἡμᾶς ἐπάγοιτο πόλεμον, καὶ τὰς ἄλλας τῆς Βουλγαρίας χώρας περινοστεῖ, καὶ ζητεῖ λίαν

[39] Psal. xi, 5. [40] Psal. ii, 15.

Digitized by Google

ἐπιμελῶς, εἴ τις εἴη καθ' ἡμῶν ἐπὶ αἱρέσει κατα- A
γνωσθείς, ἢ ὡς πολύγαμος, ἢ ἀθεμιτόγαμος, ἐκ-
κλησιαστικοῖς δεσμοῖς ἐνδεθείς. Εὑρὼν δὲ πολλοὺς
τοιούτους ἐπάγεται καθ' ἡμᾶς ὡς Ἀχριδιώτας, ἐπ'
ἀρούραις καὶ ἀμπελῶνι παρ' ἡμῶν ἡρπασμένους,
τὰς ψυχὰς διαπεπονημένους. Ἔστι δ' οὓς καὶ ἐν τῇ
πόλει εὗρον (59) ἐπ' ἄλλαις αἰτίαις δεομένους τοῦ
βασιλέως συνεπιβοᾷν πείθει, ὥστε δυσφημεῖν τὸ
ἐμὸν ὄνομα· οἶδε γάρ, κατὰ τῶν μηνίγγων με τύ-
πτων, εἰ μόνον ἐκβοήσεις ποιοῖτο κατὰ τοῦ ἀρχι-
επισκόπου τὸν βασιλέα ἐπικαλούμενος· δι' ὧν ἡ
ἐμὴ δόξα καταῤῥυπαίνεται· ἢ, ἵνα τὰ τοῦ Πνεύμα-
τος εἴπω, εἰς χοῦν κατασκηνοῦται. Ἔναγχος γοῦν
ἐμπρησθῆναι παρ' ἐμοῦ ἰσχυρίσατο, καίτοι μηδ-
ὁλως μηδ' ὑφ' οὑτινος οὖν ἐμπρησθείς, μηδ' ἔχων B
ὅ τι καὶ ἀπολέσαι. Ἅτε γὰρ μηδὲν ἐργαζόμενος,
ἀλλὰ περιεργαζόμενος, καὶ τὸ τοῖς πράκτορσι προσ-
αναχρώννυσθαι τέχνην ποιούμενος, καὶ κατὰ τῶν
κυνῶν τοὺς τραπεζεῖς καὶ συναμόρους, πρὸς ἓν μό-
νον ὁρῶν, ὅ τι ἂν ἐπιῤῥιφείη παρ' ἐκείνων αὐτῷ,
καθυλακτοῦντι μὲν πρότερον, ὑπερυλακτοῦντι δὲ
ὕστερον, καρκινάδος ἐστὶ γυμνότερος. Καὶ εἰ ἐν-
επρήσθη δὲ, οὐδὲν πρὸς ἐμὲ τοῦτο, οὐ μᾶλλον ἢ τὰ
ἐν Λιβύῃ πρὸς τοὺς κατὰ τὴν Νύσσαν Ἰνδούς. Τῆς
Ἀχρίδος ἀποδημῶν, ὅτε φησὶ τὸ δεινὸν αὐτὸς πα-
θεῖν ἐκεῖνο τὸ ἀνυπόστατον, τρόπον ἕτερον τῇ Πε-
λαγονίᾳ ἐνεδήμει, νόσῳ βαρείᾳ κατάσχετος. Εἶτα τί
οὐκ ἂν εἶποι τῶν ἀδηλοτέρων, καὶ ἐχεγγύως πιστώ-
σαιτο, ὁ τοῖς οὕτως ἐναργέσιν ὁμόσε χωρῶν; Τὸν δέ
γε βασιλέα, καίτοι στεγανώτατον ἄνθρωπον ὄντα, C
καὶ οὐ ῥᾴδιον διδόναι ψευδολογίαις, ὅμως κατεμάλ-
θαζεν ὁ παμπόνηρος, τί μὲν οὐ σχηματισάμενος, τί
δ' οὐκ ἀνακλαυσάμενος, τίνος δ' ὅρκου φεισάμενος,
ἵν' ἐξάρῃ τὸν ἐμπρησμὸν, καὶ πείσῃ, ὡς τὰ τοιαῦτα
παρὰ τοῦ ἀρχιεπισκόπου ὑπέστη, τῆς πρὸς τὸν'''
εὐνοίας (60), ὃν ἔκειρεν ἐκεῖνος, ἀντίποινα· ἔτι καὶ
χέεσθαι μέντοι τὰς ὁδοὺς τυρῷ, τὰ δὲ ὄρη μου χέε-
σθαι γάλακτι. Καὶ ταλάντων οὐκ οἶδ' ὁπόσων συμ-
πορισμοῖς ἀδρὸν εἶναί με καὶ βαθύπλουτον διωμό-
σατο. Καὶ ἄγειν σατραπικῶς, μᾶλλον δὲ καὶ πικρο-
πρεπῆ [f. μικρ.] φανῆναι ἂν καὶ τὰ Μηδικὰ, τοῖς ἀρ-
χιεπισκόποις [f. ἀρχιεπισκοπικοῖς] παραθεωρούμενα,
καὶ τὰ ἐν Σούσοις καὶ Ἐκβατάνοις βασίλεια κολύ-
βας; ἀτεχνῶς πρὸς τὰ ἐμὰ πολυόροφα, καὶ τοὺς ῥι-
πιστοὺς οἴκους, οἷς ἐνθερίζων, ἀναψύχω τὴν τῶν D
ἐπιφαινομένων μοι σαρκῶν κάμινον. Ἃ δὴ πάντα
καὶ γνώμης δαιμονιώδους συμπλάσματα, καὶ γλώσ-
σης κακολογεῖν μόνον μαθούσης φάσματα. Ἐκτὸς
γὰρ τῆς περιλαλήτου γῆς οὐδὲν τῶν δημοσιακῶν
εὑρέθην κατέχων, ὁ πολὺς ἐγὼ τὴν ἰσχὺν, καὶ τοῖς
Ἀλωάδαις ἐφάμιλλος· καίτοι ἐπηρεαστικῶς ἐρευ-
νώμενος καὶ λογοπραγούμενος. Μὴ γάρ μέ τις ἐρή-
μην αἰρείτω τὰς τοῦ πράκτορος κατ' ἐμοῦ διαβολὰς
πιστὰς αὐτόθεν δεχόμενος· ἀλλὰ πρὸς ἅπερ ἂν ἐκεῖ-

ret, alias Bulgariæ regiones circumiit, et nimis
sollicito indagavit studio, si forte aliquis contra
nos esset, qui aut ob conditionem, aut dogmata
esset condemnatus, vel quia multinugus, vel quia
contra juris leges nuptias fuisset molitus, eccle-
siasticis esset obstrictus vinculis. At demum cum
multos hujusmodi invenisset, cunctos contra nos,
quasi Achridiotæ essent, armis compulit, et nobis
ex ipsa aratione, et vinearum cultu illos eripuit,
ægre animarum morbo laborantes. Et quos in urbe
invenit, alias ob causas damnatos, ut in ipsum im-
peratorem alta voce conclamarent, persuasit, ita
ut nomen nostrum probris et maledictis contem-
nerent. Novit enim me capitis periculo petens, ut
si solum voces attolleret, se contra archiepiscopum,
etiam ipsum imperatorem esse evocaturum, quibus
quidem meus honor sordido penitus fœdaretur
dedecore, aut, ut quæ Spiritus sunt, loquar, quasi
in busto collocatur. Nuper autem a me quasi se
totum comburi et absumi affirmavit, et a neutiquam
vel a quovis accensus est, et afflictus; nec habuit
quod amplius everteret, **679** nam cum se veluti
nihil proficere et agere videret, sed solum quasi
quadam id curiositate suscepisse, etiam et ad exa-
ctorum artem et modum hæc effecit conflari, et
contra canes, mensæ asseclas exitiales et vastato-
res impios, in unum solum vidit confluere, ut si
forte illi, ipsi latranti quidem prius, tandem altis-
simo vociferanti latratu, ut socii super injicerentur.
Est vero ipsa Carcinade inermior ac nudior. At si
hic quodammodo absumptus est, et combustus,
nihil hoc ad me attinet, non magis quam ea quæ
in Libya, ad Indos, qui Nyssam incolunt, peragun-
tur. Equidem Achridem reliquit, quia, inquit, ut
grave illud et intolerabile se perpeti incommodum,
nulloque illud posse modo, sustinere, et ita ut
tristi depressus morbo iterum iter ad Pelagoniam
deflexit. Deinde quid non diceret eorum, quæ nulli
nota sunt, etiam ejus auctoritate intercepta fidem
exigeret, qui ita in eumdem locum, cum illis, qui
secum, sibi similia perpetrant, proficiscitur. At
imperatorem, quia talis homo est, qui vivo arcana
quæque pectore condit, nec facile mendaciis fidem
præstat, tamen ille sceleratus et nefarius detorsit,
et ad sua facinora emollivit. Quod vero ficto non
prætexit animo, quid non multo deflevit lamento,
et cujus fidei, et jurejurando pepercit, ut atrox af-
ferret et educeret incendium, et ut persuaderet sibi
talia ab archiepiscopo fuisse substituta, ut mitem
præfecti benevolentiam conciliaret, quem penitus
ille in vindictam depopulatus fuerat. Adhuc etiam
et affirmavit vias omnes caseo efflnere, et meos
montes dulci scatere lacte, et talentorum (non
quidem novi quot, vel quanta dixit) acquisitione

Variæ lectiones et notæ.

(59) *Εὗρον*. Scrib. εὐρών.

(60) *Τὸν''' εὐνοίας*. Censeo supplendum, τὸν δη-
μόσιον εὐνοίας. Quæ vox paulo post iterum excri-
dit. Apparet ex serie epistolæ. Sic etiam inquit,
epist 43. Καὶ ταῦτα τὰ πάνδεινα παθεῖν ἀνεκλαύσατο,
διὰ τὸ εὔνους εἶναι τῷ δημοσίῳ.

Digitized by Google

multa me ditissimum esse et opulentum, et satrapica me degere affluentia effinxit. Maxime autem me, cum amaritudine omnibus exsistere, et amplas illas Medorum ædes, quas archiepiscopi fuerant moliti, et quæ in Susis et Ecbatanis sunt, cum hic meis palatiis multo erectis fornice, et denso structis tegmine collatas, tuguria prorsus videri. At ego has domos dirutas et ventis expositas, in quibus æstatem perago, quasi harum carnium, quæ in me adhuc apparent, caminum reficio et apparo. Quæ quidem omnia dæmoniacæ mentis sunt figmenta et portenta dira linguæ, quæ solum convitia effutire edidicit. Nam extra terram hanc quam inani garrulitate hic est locutus, inventus sum publicarum opum nihil habens, qui ego viribus, et potentia multus eram, et ipsis Aloadis æqualis, etiam et me injuriose et calumniose indagavit, et verbis me excussit acerbis. Ne ergo aliquis me indicta causa condemnet, tributorum exactoris calumnias, in me certas et exploratas inde detorquens. Sed ad quæcunque ille dixerit, et ad ecclesiasticæ substantiæ defensionem constans persistat.

Quare jam maxime tuo imperio mihi opus est: nihil enim in hac re, novum a te peto, neque **680** aliquid, quod divinæ, et sanctæ imperatoris animæ præter morem fuerit, sed quod assiduo in omnibus ubicunque servat, hoc in me et observari efflagito, ut illius nefarii hostis, et ultoris injusti ne verbis antevertar et capiar. Si enim ex clericis, ad præfectum, inquit, debere lucra et quæstus devolvi, *non id curat Hippoclides*. Non enim hic ego ulli obnoxius sum. Primum quidem quia neque antea a nobis lucrum susceperunt aliquod, sed par unum unusquisque excutiens, et excusans quæ ultra hæc sunt præsidi perfecerunt. Denique quia in omnia animalia, magis quam in hoc decimatione non servata perstiti. Et hoc non rapinam alicubi, et furtum præsidis, aliquis improbe et inique judicans, constituerit, sed potius absurdam et inconsequentem animi sententiam imperatoria munificentia præscriptam, qua copiose sunt usi, qui illam adinvenerunt. Nunc autem cum hæc munificentia et ambitio finem suum susceperit, et notum augmenti cumulum, merito quidem ultra præscriptum legum modum et præsidi cuncta acquirunt, et quemdam superbiæ fastum, et insolentiæ tumorem, in ipsa exactione et efflagitatione constituunt. Ultimo, quod et lacrymis est dignum, quia neque populus, non servatæ unius paris exactionis, neque præscriptæ in animalia excusationis particeps effectus est. Sed cum jam ipsis a computatoribus maxime et scribis, paria et animalia præfinita et præscripta (ut dicam aliquid ridiculum), apposita fuerint, non solum restituere sunt conati ea, in quibus condemnati sunt, ut re infecta manerent, sed iterum atque iterum restituere. Hoc equidem in aliarum rerum summam etiam iniquissime sum perpessus. Etenim et super molarum proventus, dupliciter clerici, quam laici sua pependerunt tributa, et super ea, quæ Bulgari sua lingua strugas, Græci vero διώρυχας, scilicet effossos lacus et paludes in quibus piscium captura et venatio paratur, appellant, etiam multo plures,

Ὁ δὴ καὶ μάλιστα τῆς βασιλείας σου δέομαι, οὐδὲν καινῶν [*f.* -νὸν] αἰτῶν· οὐδὲ τῇ ἁγίᾳ καὶ θειοτάτῃ ψυχῇ τοῦ βασιλέως ἀσύνηθες, ἀλλ' ὅπερ ἐπὶ πᾶσι τηρεῖ καὶ πάντοτε, τοῦτο καὶ ἐπ' ἐμοὶ ζητῶ τηρηθῆναι, καὶ μὴ προληφθῆναι τοῖς λόγοις τοῦ ἔχθρου καὶ ἐκδικητοῦ. Εἰ μὲν γὰρ ἐκ τῶν κληρικῶν προσαγάγειν φήσει κέρδη τῷ *** (61) οὐ φροντὶς Ἱπποκλείδῃ. Οὐ γὰρ παρὰ τοῦτο ἐγὼ ὑπεύθυνος· πρῶτον μὲν, ὅτι οὐδὲ πρότερον παρ' ἡμῶν ἐκερδαίνοντο, ἀλλ' ἓν ζευγάριον ἕκαστος ἐξκουσσεύοντες, τὰ ἐπέκεινα τούτων ἐπετέλουν τῷ δημοσίῳ· ἔπειτα ὅτι ἐπὶ πᾶσι τοῖς ζώοις πρὸ τούτου εἶχον ἀτέλειαν δεκατώσεως. Καὶ τοῦτο οὐ κλοπὴν δήπου τοῦ ἡμόου (62) θείη ἄν τις ἀγνωμονῶν (*a*) κριτὴς, ἀλλὰ βασιλικῇ φιλοτιμίᾳ ἀπροσδιόριστον, ἢ ἀφθόνως ἀπήλαυον οἱ ταύτην εὑρίσκοντες. Νῦν δὲ τῆς φιλοτιμίας ταύτης ὅρον λαβούσης, καὶ πῆξιν γνώριμον, εἰκότως ἐπέκεινα τοῦ προ[σ]διορισμοῦ τῷ δημοσίῳ τε προσεπορίσθησαν, καί τινα ὄγκον τῇ ἀπαιτήσει προσέθηκαν. Τρίτον, ὃ καὶ δακρύων ἄξιον, ὅτι οὐδὲ τῆς ἐφ' ἑνὶ ζευγαρίῳ ἀτελείας οἱ πλείους, οὐδὲ τῆς ἐπὶ τοῖς ζώοις ὁρισθείσης ἐξουσείου (63) ἀπήλαυσαν, ἀλλὰ καὶ προστεθέντων αὐτοῖς παρὰ τοῦ μᾶλλον καταγραφέως, ἢ ἀναγραφέως, ἵν' εἴπω τι καὶ γελοῖον, ζευγαρίων καὶ ζώων, οὐ μόνον ἀπῃτήθησαν ἐφ' οἷς ἐδικαιοῦντο ἀτελεῖς μεῖναι, ἀλλὰ καὶ ὑπεραπῃτήθησαν. Τοῦτο δὲ καὶ ἐπὶ κεφαλαίων ἄλλων ἔπαθον ἀνομώτατα. Καὶ γὰρ ἐπί τε τοῖς μύλοις διπλασίω οἱ κληρικοὶ, ἢ οἱ λαϊκοὶ ὑπετέλεσαν, καὶ ἐπὶ ταῖς Βουλγάρων μὲν γλώτταις λεγομέναις στρούγαις, Ἕλλην δ' ἀνὴρ, διώρυχας ἂν ταύτας ἐρεῖ, ἰχθύων ἄγραν προξενούσαις, καὶ ἐπὶ ταύταις δὲ πολλαπλασίω τῶν τοῦ κοινοῦ πλήθους ἐζημιώθησαν. Καὶ ταῦτα ἐπετεχνάσατο ὁ πιστὸς καὶ εὐσεβὴς, ὡς ἂν ὀγκωθεῖεν τὰ ἐκ τῶν κληρικῶν προσαχθέντα κέρδη τῷ δημοσίῳ, καὶ διαβληθείην ἐγὼ, ὡς τοσαύτην ἐτίσασαν ζημίαν τῷ εὐεργέτῃ καὶ ἀντιλήπτορί μου περιποιούμενος, ὁ ἀχάριστός τε καὶ ἄπληστος. Ταὐτὸ δὲ τοῦτο λέγω καὶ περὶ τελῶν, ἃ τοὺς ἀνθρώπους τῆς Ἐκκλησίας ἀπῄτησε· καὶ γὰρ καὶ οὗτοι ἀδικωτάτως ἀπῃτήθη-

Variæ lectiones et notæ.

(61) *Τῷ* *** Puto etiam hic suppleudum, τῷ δημοσίῳ.. Satis manifestum ex verbis statim sequentibus : Πρῶτον μὲν ὅτι οὐδὲ πρότερον παρ' ἡμῶν ἐκερδαίνοντο, ἀλλ' ἓν ζευγάριον ἕκαστος ἐξκουσσεύοντες, τὰ ἐπέκεινα τούτων ἐπετέλουν τῷ δημοσίῳ.

(62) *Τοῦ ἡμόου*. Et hic quoque scribendum existimo, τοῦ δημοσίου.

(63) *Ἐξουσείου*. Restituo, ἐξκουσείας. Vide de hac voce Glossarium nostrum Græco-Barbarum. Sic statim infra, Τῆς Ἐκκλησίας τῶν ζώων ἐξκουσείαν ἀδρῶν τε καὶ λεπτῶν λαβούσης.

(*a*) εὐγνωμονῶν Cotelerius. *Monum.* II, 636.

Digitized by Google

σαν, μοναχοί τε ὄντες, καὶ εὐνοῦχοι ἱερωμένοι· ἔτι δὲ καὶ λαϊκοί τινες, οὐ πλείους, οἶμαι, τῶν πέντε, ἅπαντες μηθὲν τοῦ δημοσίου νεμόμενοι, οἳ πῶς ἂν ἄξιοι νομισθεῖεν φορολογεῖσθαι; Οὐδὲ γὰρ οὐδὲ βασιλεὺς τοῦτο δύναται. Ἐμὲ δὲ αὐτὸν οὕτω μεγαλοπλεθέστερον εἰσπράξατο, ὡς μή μοι καταισχύνῃ τὸν ὄγκον τοῦ ἀξιώματος. Ὥστε ὑπὲρ μὲν καθῃρημένων πρόπαλαι μύλων πάντα ἀπῄτησεν· ὑπὲρ ὧν συνισταμένων διπλασίω ἢ τοὺς Βουλγάρους. Καὶ ἐπί τινι τοπαρίῳ λιμναίῳ, ἰχθύων ἄγραν διδόντι πέντησσας, τρισκαίδεκα κεφαλαίων ὀκτὼ καταθέσθαι ἐξεβιάσατο, οὐ πλείους ἢ ἑνὸς διωβόλου ἀξίους· χθύας (64) ἐκεῖθεν λαβόντα, καὶ ταῦτα τῶν ἄλλων ἑκάστου ἐν διώβολον καταβαλλομένων ἐπὶ τοῖς ὁμοίοις τόποις. Ἔτι τῆς Ἐκκλησίας τῶν ζώων ἐξουσείαν ἀδρῶν τε καὶ λεπτῶν ἐχούσης ἐκ δωρεᾶς βασιλικῆς, οἱ ῥηθέντες ἄνθρωποι ταῦτα ἐδεκατώθησαν, ἐφ' οἷς εἶχον ζώοις ὀλίγοις πάνυ, παρ' ἐμοῦ δοθεῖσιν αὐτοῖς εἰς βραχεῖαν παράκλησιν.

A quam tota communis multitudo multati sunt. Et hæc pius ille, ut probatus vir suis machinatus est artibus, quasi ita quæ clerici lucra impenderent, in præsidis invecta commodum, amplificarentur et crescerent, atque ego ideo ingentibus essem affectus calumniis, quasi tantum detrimentum in meum opitulatorem et munificum converterem ut ingratus, et insatiabili obrutus cupiditate. Hæc etiam dico de tributis, quæ ab ecclesiasticis hominibus extorsit. Etenim hi injustissime sunt ab exactoribus afflicti, cum monachi essent, et consecrati eunuchi. Etiam et laici quidam, quos non plures quam quinque esse arbitror, qui nihil præsidis possident, hi quomodo digne cogi possunt, ut tributa pendant? B Non enim, non, inquam, imperator hoc efficere potest. At me ipsum, qui ita sum hac honoris cohonestatus magnitudine, multæ alia pœna invasit, quasi hunc nihil meæ dignitatis præstantia pudefaceret. Ita quidem super jam pridem detracta molarum fœnora, omnia exegit, et in ea quæ constituta fuerunt et imposita, nos duplo magis quam Bulgaros, divexavit. Et ob quemdam palustrem locum, cujus piscium erat magna inopia et venatio rarior, ex tredecim, octo deponere et tribuere coegit illum, qui non pluris ibi pisces, quam unius dioboli pretio **681** dignos suscepisset et interea etiam ut alii, in similibus locis, unum diobolum pro quovis pisce objiceret. Cumque etiam Ecclesia imperatoris licentia et munere, ab erogandis piscibus tam crassioribus et pinguibus quam minutulis, immunis et libera exstitisset, jam prædicti viri, ut decimationem illa exsolveret, coegerunt, præcipue ex paucis animalibus quæ habui, ut in breve illis solatium victumque donarem.

Καὶ ἵνα τὰ πλείω παρῶ, μὴ καὶ λογισθείην ὁ τῆς παῤῥημίας (65) *Ἀράβιος αὐλητὴς*, τὴν ἐναγχος ἀπολυθεῖναι (66) τῆς ἀγαθότητος ὑμῶν πρόσταξιν, ἄχριστον (67) ἐπὶ πᾶσιν ἐποίησεν· ἐπὶ μὲν τῷ χωρίῳ μυριοτρόπως ἐκφοβῶν τε τοὺς χωρίτας, ὡς ἐπιθήσων αὐτοῖς τέλη ἑκάστῳ, μείζονα τῆς δυνάμεως, εἰ τὴν ἀρχιεπισκοπὴν αὖθις δεσπότην αἱρήσονται. Καὶ ἄλλο δὲ κακουργῶν τὸ μὴ παραδιδόναι τῇ Ἐκκλησίᾳ τοὺς ἐν τῷ χωρίῳ περισσούς· ὑπὲρ ὧν ὀφείλει τελεῖν τοιαύτην βασιλικὴν πρόσταξιν. Ζητούντων γὰρ ἡμῶν ἀναγραφῆναι τούτους, καθὰ ἕκαστος εὐπορεῖ, εἶτα παραδοθῆναι ἡμῖν, αὐτὸς ἀγριαίνων, καὶ πρὸς μόνην τὴν ἡμετέραν ἀξίωσιν ὑβριοπαθῶν, Κἂν τὸν πρῶτον, φησὶν, ὡς ἕβδομον τελεσθῆναι παρὰ τῆς Ἐκκλησίας ἐν καιρῷ συντελείας αἰτήσω, καὶ ἄκοντες τοσοῦτον ὑποτελέσετε. Τίς γὰρ τῷ βουλήματί μου ἀνθέστηκε; τίς δέ με κρινεῖ, εἰ τὸν τόσου ἄξιον τοσοῦδε τιμῶμαι; Καίτοι τὴν σοφωτάτην Ἰουδὴθ ἐγίνωσκον ἔγωγε μόνῳ Θεῷ προσᾴδουσαν τὸ, *Εἶπες, καὶ ἐγένοντο. Ἐνενόησας, καὶ παρέστησαν.* Ὁ δὲ ἑαυτὸν μερίτην ποιεῖται τῆς μακαριότητος ταύτης, ὁ τίς; ὁ ποῖος; ὁ πόσος; ὁ πηλίκος; οὗ ὑποκάτω αὐτοῦ σῆψιν στρώσουσιν. Ἔτι καὶ ταῦτα προστίθησιν, ὅτι καὶ ἐπὶ τοῖς δεδωρημένοις τῇ Ἐκκλησίᾳ παροίκοις, οὓς καὶ αὐτοὺς ἀδικώτατα ἀναγραψάμενος ἠύξησεν, οὐδενὸς ἄλλου

At non amplius jam progrediar, ne illa paroemia *Arabicus tibicen* dicar. Ille autem quam nuper C vestra immensa bonitas, nobis constitutionem et statutum ascripserat, prorsus in omnibus inutile et irritum effecit. Etenim in hac regione mille modis ipsos incolas reformidat, quasi ipsorum cuivis tributa, viribus et facultate majora, constitueret, si archiepiscopalem potentiam rursus, et dominum ipsum deturbaret. Et hac alia se sceleris improbitate contaminat, cum perpetuo efficiat ne Ecclesiæ illi, qui in hac regione præstantiores et opulentiores sunt, traditi et ascripti innotescant. In quos imperatorum statutum præsertim debebat perfici et toto absolvi nixu. Nam cum nos impensius hoc inscribere niteremur, ut juxta quas quisque divitias haberet, ita nobis singuli munera suppeditarent, ipse rustico et agresti in nos insurrexit animo, et in solam nostram dignitatem injurioso et contumelioso D incessit impetu, atque, inquit, etiam ex primo quoque tributum, quasi ex septimo, ab Ecclesia, tempore tributa solvendi, vectigalia repetam, atque inviti tanta ponsabitis, quis enim meæ voluntati meoque statuto obsistet? Quis me judicio convincet si illum, qui tali est dignus pœna, multo majori punio? Etenim sapientissimam Judith, soli Deo hoc cecinisse cognovi [66*]: *Dixisti, et facta sunt: excogitasti, et*

[66*] Judith. IX, 4.

Variæ lectiones et notæ.

(64) *Χθύας*. Scrib. ἰχθύας.
(65) *Παῤῥημίας*. Scrib. παροιμίας.
(66) *Ἀπολυθεῖναι*. Scrib. ἀποδοθεῖσαιν.
(67) *Ἄχριστον*. Scrib. ἄχρηστον.

Digitized by Google

ecce exstiterunt. Qui equidem se ipsum tantæ beatitudinis facit participem, quis, qualis, quantus, quamque ingens? Infra hunc ipsum multo putredinem tabo substerment. Adhuc etiam ille et hæc substituit in accolas, Ecclesiæ subditos, quos ipsos iniquissime rescribens, numero adauxit, non ob aliam causam quam ut solum jugarium Ecclesiæ concederet. Et aliis etiam omnibus summis se opponere minatur. Quod regionis conditio, et status manifeste fieri in rerum traditione penitus prohibet. Et hoc ille aggreditur, quasi ego acerbo in hæc affectus animo, in hujus regionis consolationem et recreationem inertior et tardior fiam. Et interea Lazarus amicorum ipsius gratissimus, in nos omnes dominabitur. Etiam et in ipsa terræ deditione, tunc mensuræ spatium resecat et detruncat, et in ipsa numeratione inepte se gerit. Ubi enim ipsi geometricas nosse rationes datum est? Et ego quidem arenæ numerum, et pluviæ guttas facillimo describam calculo? Et omni modo, et loco, et causa et tempore, et opere et persona, damna quidem et pericula hic justissimus mihi machinatur, et probra in me inferre molitur ob illa quibus maxime novit, propria mea cogitata rectius et felicius dirigi. Ad quæ omnia defensionis et excusationis locum mihi dari omnino deprecor, ut jam dictum est, et ut hujus sermones impuri ne ut oracula desumantur. Solutis **682** etenim umbris, disjectisque tenebris, candida veritas, ipsum leonis vultum circumducet, et simiam deformem subsidentem demonstrabit. Equidem omnibus peto votis, ut absque ullo impedimento, hinc, exitus liber, facilisque redemptio mihi constituatur. Non etenim hoc remisso animo et languenti spiritu appeto. Nam non hæc mearum virium tenuitas, duri est scopuli robur. Unde autem anima hac mea ante tempus spoliatus fuissem, qui nihil, neque Deum neque imperatorem vestrum, pro virili, ut arbitror, iniquo animo et effracto sum prosecutus?

ὅτι μὴ ζευγαρίου μόνου παραχωρήσῃ τῇ Ἐκκλησίᾳ. Τῶν δὲ ἄλλων πάντων κεφαλαίων, αὐτὸς ἀνθέξεσθαι ἀπειλεῖ. Ὃ προδήλως οὐ βούλεται ἡ ἐπὶ τῇ παραδόσει τοῦ χωρίου πρόσταξις. Καὶ ταῦτα ποιεῖ ὡς ἂν ἀηδισθεὶς ἐγὼ διὰ ταῦτα περὶ τὴν τοῦ χωρίου παράκλησιν ἀργότερος γένωμαι, κἀντεῦθεν δεσπόσῃ τούτων ὁ τῶν ἑταίρων χαριέστατος αὐτοῦ Λάζαρος. Ἐπὶ δὲ τῇ παραδόσει τῆς γῆς, τό τε τῆς σχοίνου μέτρον κολοβοῖ, καὶ ἔτι περὶ τὴν τοῦ μοδισμοῦ συναρίθμησιν ἀμαθέστατα πράττει. Ποῦ γὰρ αὐτῷ γεωμετρίας λόγους εἰδέναι; Καὶ τί ψάμμου ἀριθμὸν, καὶ σταγόνας ὑετοῦ ἀναγράφομαι; Κατὰ πάντα τρόπον, καὶ τόπον, καὶ αἰτίαν, καὶ χρόνον, καὶ πρᾶγμα, καὶ πρόσωπον, ζημίας μοι καὶ βλάβας ἐπιτεκτονεῖ ὁ δικαιότατος· καὶ μώμους ἐπιτρίβειν τεχνάζεται, δι' ὧν οἷδε μάλιστα τὰ οἰκεῖα σκέμματα κατορθούμενα. Ἐφ' οἷς ἅπασι δέομαι τόπον ἀπολογίας τηρηθῆναι κἀμοὶ, ὡς εἴρηται, καὶ μὴ τοὺς τούτου λόγους ὡς χρησμοὺς ὑποδεχθῆναι. Λυθεισῶν γὰρ τῶν σκιῶν, περισπάσει μὲν ἡ ἀλήθεια τὸ προσωπεῖον τοῦ λέοντος, δείξει δὲ πίθηκον ὑποκαθήμενον δύσμορφον. Ἐπὶ πᾶν δέομαι, πρόσταξιν γενέσθαι ἐφιεῖσάν μοι ἀκώλυτον τὴν ἐντεῦθεν ἐξέλευσιν, ἢ ἀνάῤῥυσιν, ὡς ἂν μὴ τῇ ἀθυμίᾳ καταποθῶ· οὐ γὰρ δὴ λίθων ἰσχὺς, ἡ ἰσχύς μου. Ἀφαιρεθείην τὴν ψυχὴν ἄωρον, ὁ μηδὲν μήτε θεὸν τοῦτό γε τὸ μέρος, μήτε τὴν βασιλείαν ὑμῶν παρανομήσας ὅλως, ὡς οἶμαι.

EPIST. XLII.

Domino Joanni Periblepteno.

Quid equidem non sum dimissurus illi, qui ita scelus suum cognovit? Et ita illud odio prosequitur ingenti, ut semetipsum suis condemnarit verbis, illud demum palam projicere non desistat. Etenim si verum dicere oportet, hoc dimittere et absolvere revera non erit; nam crimen et culpa non præcessit, sed hoc tuæ probitati et candori facile impenderim, cujus causa tuipsius accusator in tuis primis sermonibus exstitisti. Nam ego tuum illud prolixissimum silentium, non tibi in crimen objiciam, sed meorum peccatorum debitam esse manifestationem existimabo. Propter quæ et amici et affines hi quidem contra me insurrexerunt, et hæc divini Job verba dixi [61]: *Dereliquerunt me consanguinei mei et noti mei; mei etiam nominis sunt obliti.* Dominus autem ita in me conversus est, gravem equidem in me iram exercuit. Sed enim, quia dulces tui compellantis et grati oris valvas in me explicuisti, non jam illas, vel negligenter mihi occludes, aut nunc vel justius, vel facilius de crimine expostulaberis, non quidem ob solam opinionis suspicionem, quam litteris veniam exposcenti-

ΕΠΙΣΤ. ΜΒ'.

Τῷ Κυρίῳ Ἰωάννῃ τῷ Περιβλεπτηνῷ.

Τί δέ; οὐ μέλλω ἀφεῖναι τῷ οὕτω μὲν εὑρόντι τὴν ἁμαρτίαν, οὕτω δὲ καὶ μισήσαντι, ὥστε δημοσιεῦσαι ταύτην διὰ τῆς δικαιούσης ἀγορεύσεως; Εἰ δὲ δεῖ τἀληθὲς ἐρεῖν, οὐδὲ ἀφεῖναι τοῦτό ἐστιν· οὐ γὰρ ἔγκλησις προηγήσατο, ἀλλὰ καὶ τοῦτο τῆς σῆς εὐγνωμοσύνης ἂν θείμεν, δι' ἣν σαυτοῦ κατήγορος ἐν πρωτολογίαις γέγονας· ὡς ἐγωγε τὴν μακρὰν ἐκείνην ἀποσιώπησιν οὐ σὸν ἐποιούμην ἔγκλημα, ἀλλὰ τῶν ἐμῶν ἁμαρτιῶν ἔνδειγμα. Δι' ἃς τῶν φίλων καὶ τῶν πλησίον οἱ μὲν ἐξ ἐναντίας ἔστησαν, καὶ ταῦτα δὴ τὰ τοῦ Ἰὼβ ἔλεγον· *Οὐ προσεποιήσαντό με οἱ ἐγγύτατοι· καὶ οἱ εἰδότες μου τὸ ὄνομα ἐπελάθοντό μου*, καὶ ὁ Κύριος ἐποίησέ μοι οὕτως· δεινῶς δέ μοι ὀργῇ ἐχρήσατο. Ἀλλὰ γὰρ ἐπειδὴ τὰς πύλας τοῦ φίλου καὶ προσηγόρου στόματος ἡμῖν ἀνεπέτασας, μή μοι μηκέτι κλείσῃς ταύτας ἀπονυστάξας· ἢ νῦν ἂν ἐγκληθείσης [*f.* -θείης] ἑτοιμότερόν τε καὶ δικαιότερον, οὐ διὰ τὴν ὑπόληψιν μόνον, ἣν ἐγκατέθου τῷ τὴν συγγνώμην αἰτοῦντι γράμματι· καὶ γὰρ οἶδας ὡς οὐ μικρά σοι ἡ ἐκ τῆς παραμασία; [*f.* -θασίας] προστίμησις, εἰ μή με διακ[ρ]ούσασθαι μελετῴης ταῖς περὶ τῶν ἐπερωτήσεων μικρο-

[61] Job XIX, 14.

Digitized by Google

A λοχόντα μακαριότητας. Καί τινι μὲν ἐλαχίστῳ, καθά φησιν ὁ Κύριος, ἀγαθύνοντες, οὔτε νῷ λεπτᾶς (4) οὔτε λόγῳ ῥητὰς ἀμοιβὰς ἐλπίζομεν. Εἰ δὲ τηλικούτους εὐεργετοῖμεν [*f.*—τοῦμεν], ἡλίκον αὐτόν σε τότε τοῦ λογοθέτου ἀξίωμα τέθεικε, τοῦ πάλαι βασιλεῖ συνεδρεύοντος, καὶ τὸ τοῦ πρωτασηκρῆτις ὀφφίκιον, τοῦ ἀεὶ τοῖς αὐτοκράτορσιν ὑπογραμματεύοντος, καὶ μάλιστα νῦν ὅσῳ καὶ σοφώτερος ὁ αὐτοκράτωρ καὶ ἐμμελέστερος, ὥστε καὶ τά τε ἄπια [*f.* ἄλλα] καὶ τοὺς λόγους αὐτουργεῖν· βαβαί μοι τοῦ πλήθους καὶ μεγέθους τῶν ἀμοιβῶν! ὧν ἤδη καὶ ἀῤῥαβῶνας δέχομαι. Καὶ εἰ μή σε ἤδειν ἀποκναίσων τῷ μήκει τοῦ γράμματος, ἱκανῶς ὑπὸ τῶν γραμμάτων κεντούμενον, ἃ καὶ παθήματα τῆς ψυχῆς δριμέως ἡρμήνευσας, ἄλλον τρόπον τοῖς τοῦ Σταγειρίτου χρησάμενος, B ἀπηριθμησαίμην ἄν σοι τοὺς ἀῤῥαβῶνας κατ' εἶδος ἕκαστον. Νῦν δὲ ἀλλ' ἑνός σοι ἐπιμνησθήσομαι. Ἐπειθόμην τοῖς Βαρδαριώταις ἐπαφεθῆναι τὸν πανσέβαστον υἱὸν τοῦ πρωτοστράτορος, τά τε ἄλλα πατρῴζοντα, καὶ τὴν πρὸς τοὺς λόγους διάθεσιν, τὰ ἐμὰ παιδικά. Οὓς τιμῶν ἀξίως τῆς σπουδῆς, ἣν ἐπ' αὐτοὺς κατεβάλετο, οὐδὲ ἡμᾶς δοκοῦντας μὲν ἐν τούτοις εἶναί τι, ὑπὸ δὲ τὰς αὐτοῦ γενομένους χεῖρας ἀπειράτους ἐάσει τῆς ἰδίας μεγαλειότητος· ἀλλ' ἀπολαύσομεν ἡλίκων ἀεὶ μεμνησόμεθα. Ἆρά σοι μικρὸς οὗτος ὁ ἀῤῥαβών, ἢ καὶ πραγματείας κερδαλεωτάτης κεφάλαιον; Ἐγὼ μὲν οὐδ' ἔχω χωρῆσαι τοῦτον· τοσοῦτόν ἐστι τῆς ἐμῆς στενοχωρίας πλατύτερος.

C Οὕτω γοῦν μεγάλα κερδάνας, ἐφ' οἷς σε εὐηργέτησα, ἡδέως εὐεργετήσω καὶ ἕτερον, καὶ γνωριῶ σοι τὸν ἐμὸν Κύκλωπα τοῦθ' ὅπερ ᾔτησαν διὰ τοῦ καθαροῦ καὶ μαργαρώδους σου γράμματος. Ἔστι τοίνυν οὗτος ὁ πρὸς τῇ ἀνδροφαγίᾳ καὶ ἕνα μοι ἀεὶ δεικνύων ὀφθαλμὸν, οὐδέποτε τῇ ἐμῇ κακώσει ἐπιδιάζοντα, κἂν συναχθείη πρὸς τὸ συνούστερον [*f.* συννούστ.], κἂν διαχθείη [*f.* — χυθ.] πρὸς τὸ ἁπλούστερον, κἂν χαριεντίσωμαι πρὸς αὐτὸν, ἂν πλήρει τῷ γαύλῳ προσοίσω τὸν Πράμνειον, ὃν μοι δῶκε μερῶν εὐώδεος υἱὸς τὸν ἔτι παραμένοντά μοι λόγον ἐν τῷ ἀσκίῳ τοῦ σώματος τὸ πᾶσαν μαραῖνον ἀνίαν φάρμακον· ὁ δὲ ἕνα καὶ τὸν αὐτὸν ἐπιβάλλει μοι ὀφθαλμὸν, μιᾶς ἐνδεικτικὸν διαθέσεως. Καὶ ὡς εὐσεβῶν ἐπὶ τούτοις κομῶ, περιαρθρήσας (6) D ἴδε τίς ἔχει πρός με τοιουτοτρόπως· κἂν εὕροις τοῦτον, τὸν ἐμὸν ἂν ἔγνως Πολύφημον. Ὁρᾷς, μόνον οὐ τῷ δακτύλῳ τοῦτόν σοι ἔδειξα. Ἐπὶ τούτων κρῖνον, εἰ μάτην ἐπιβοῶμαι τὴν ἐμὴν Παρθένον, καὶ τὸν Κριὸν τὸν προσδεθέντα τῷ φυτῷ τῆς ἀφέσεως. Δέδοικα γὰρ, μή με φθάσῃ ξενίσας ὡς ἐπαγγέλλεται. Οὕτως οὖν ἔχοντι χρηστότατον ἐποίησας ἔργον, ἀφείς

Variæ lectiones et notæ.

(4) *οὔτε νῷ λεπτᾶς*. Scrib. οὔτε νῷ ληπτάς.
(5) Hom. *Iliad.* λ' v. 638, et *Odyss.* κ', v. 238.
(6) *Περιαρθρήσας*. Scrib. περιαθρήσας.

Digitized by Google

μοι τὸ τῆς ὕβρεως ἔγκλημα· τοῦτο γὰρ ἐκεῖνο, οὐκ ἐπανέδης κειμένῳ, οὐδὲ νεκρὸν ἠκίσω τὸν Ἕκτορα. Καὶ τοῦτ' ἀπονάμενος, ἔχεις τῆς παρὰ τῷ βασιλεῖ προσεδρίας, οὗ τῆς χρηστότητος καὶ οἱ πολέμιοι μάρτυρες. Διὸ καὶ ὁ Θεός σε τῆς φιλανθρωπίας ἀμείβεται, τὴν ψυχαγωγὸν ἀντιδοὺς παράκλησιν, τὸν ἡδὺν Θεόδωρον, τὸν ὄντως Χρυσήλιον, τὸν ἐκ δυοῖν ἀσυγκρίτων ἐν κόσμῳ πραγμάτων τὴν ἐπωνυμίαν ἐρανισάμενον, καὶ φυγόντα μὲν τὴν ἡμετέραν τὴν καματηρὰν ἀληθῶς, ἀκάματον δὲ γενόμενον. Ἢ πῶς ἂν σοι τοσαύτας τέχνας καὶ οὕτω πεπαίδευτο, εἰ τὴν φύσιν εἶχε καματηρὰν καὶ ὀκλάζουσαν; πῶς δ' ἂν στρατιωτικὴν καὶ γεωμετρικὴν εἰς ταὐτὸ συνήγαγε, καὶ συνῆψε τὰ μακροῖς θριγγίοις ἐκπαλαι διειργόμενα, μετ' Ἀρχύταν, μετὰ Φιλόλαον, μετὰ τὸν Αἴλιον Ἀδριανὸν, μετὰ τὸν ἔκπτωτον ἡμῖν Ἰουλιανόν; Ἀριθμητικὸν μὲν οὖν αὐτὸν ἤδειν, ἀφ' οὗ τοὺς Βαρδαριώτας ἐπράττειν· ὃς γε καὶ μέσων ἠρίθμει νυκτῶν. Ἐξέπληττε γὰρ αὐτὸν τοῦ ὕπνου ἀριθμητικόν τι θεώρημα, ἐπεὶ μηδὲ τοῖς ὕπνοις ἐνεδυθίζετο.

A eum tibi manifestavi, in horum omnium caput, si frustra magnum meæ Virginis auxilium implo ro, et sacrum illum Arietem, qui in redemptionis arbore alligatus fuit. Timeo enim ne me hospitio antecedat, ut ille gloriatur. Ergo me ita affectum utilissimo cumulasti beneficio, cum injuriæ crimine me penitus absolvisti. Hoc etenim illud est; non calcasti jacentem, neque mortuum Hectorem verberibus concussisti. Et hoc tibi utilitatis habens assiduus es etiam ipsi imperatori, cujus virtutis vel ipsi hostes sunt testes. Quocirca et Deus tibi **705** benignitatis ingentia dona impertitur, dum suavem Theodorum, et vere aureum Chryselium, qui ex duobus totius mundi operibus, quibus nullum aliud æquari potest, egregium sibi B cognomen vindicavit, qui et fugiens nostrum hoc vere laboriosum cognomentum, omni vacuus labore evasit. Profecto quomodo hic tantas artes tibi ita paravit et instruit, si naturam habet succumbentem penitus et labantem? quomodo vero militarem peritiam et geometricam structuram in idem ipsum conjunxit, et quæ jam olim concluso vallata ambitu, altis erant septa mœnibus contexuit, post Archytam, post Philolaum, post Ælium Adrianum et post Julianum, qui a nobis defectu excidit misero? Ipsum equidem arithmeticum noveram, ex quo Bardariotas administravit; qui et totum noctium dimidium numeris incumbebat. Quædam enim arithmetica speculatio et meditatio illi jucundum præripiebat somnum, deinde nec somno se immergebat.

Ἀλλ' εἶχε καὶ αὐτὸς ἀληθῶς λέγειν· *Ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ*. Καὶ ἀεὶ δέ τι ἠκριβολογεῖτο, καὶ ὅπως τὴν μονάδα εἰς μέρη τέμῃ, καὶ ἀμαθεῖς δείξῃ τοὺς ἀμετρῆ λέγοντας. Ὃ δὲ καὶ κύβους ἔδει [*f.* ἤδει], καὶ κυβοκύβους, καὶ τοῖς μὴ εἰδόσιν ἡρμήνευε. Γεωμέτρην δὲ οὔπω ἤδειν.

C Verum enimvero ipse sermonem hunc vere attexere poterat: *Ego dormio, et cor meum vigilat*[54]. Et semper quidem accurate cuncta discutiebat, et quomodo unitas in partes dividi possit; unde et imperitos et stultos illos appellabat, qui mensura unitatem carere et divisione affirmabant. Hic etiam cubos mire callebat, et cubi cubos, et illorum imperitis solerter interpretabatur. Geometram vero nondum illum noveram.

Καίτοι τό γε εἰκὸς αὐτὸν ἀπῄτει τὴν γῆν συχνάκις μετρεῖν, ἀεί τι σφαλλόμενον, εἰ δή τι καὶ μουσικὸς γένοιτο. Δίκαιον δέ· τὸ γὰρ ἀριθμητικὸν τῷ ἁρμονικῷ συγγενές· ἐπεὶ καὶ περὶ τὸ διωρισμένον ποσὸν ἄμφω ἔχετον. Γένοιτο δ' ἄν, εἰ πρῶτον μὲν ἐπιβαίη τῶν ἀσκημάτων, τῶν τὸ πνεῦμα χορηγούντων τοῖς χαλκοῖς δόναξι, καὶ μάθῃ ταῦτα πρὸς ῥυθμὸν διαστέλλειν τε καὶ συστέλλειν· ὥστε τῇ μὲν, πληροῦν, τῇ δ', ἀποκενοῦν. Ἔπειτα καὶ τοὺς κανόνας ἀμφιψηλαφήσῃ· καὶ ἁπλῶς τοῖς τε ἄλλοις ἐμπνευστοῖς ὀργάνοις, καὶ τοῖς ἐντατοῖς καὶ νευροσπάστοις ἐνασκηθείη. Τότε δὲ καὶ ἐπὶ τὴν πολυύμνητον σφαιρικὴν, ἢ ἀστρολογίαν ἄτξει, οὐχ ὡς ἀδελφὴν μόνον οὖσαν γεωμετρίας (ὕλη γὰρ τὸ πηλίκον ἀμφοῖν), ἀλλὰ καὶ ὡς προεπιτηδεύσας αὐτὸς τὴν ὁμώνυμον σφαιρικὴν, ἣν καὶ ἐφιππος ἡμῖν ἐπεδείξατο. Καὶ δὴ τὰς τύχας λέγων ταῖς γυναιξὶν, οὐκ ἐν ταῖς τριόδοις, κατὰ τοὺς μάντεις τούτους δὴ τοὺς ἀγύρτας, ἀλλ' ἐπ' ἐργαστήριον, ὡς ἂν σεμνύνοι τὸ μάθημα, αὐτόθεν τε χρηματίσεται [*f.* — σητ.].

D Ipsa quidem ratio ab ipso postulabat, ut terram crebro metiretur, quia semper fere prolabebatur. Siquidem et musicus exstitit, et æque quidem: nam arithmetica facultas cum harmonica affinitate est quadam conjuncta, quoniam præfinitæ quantitati utræque inserviunt. Exstitit etenim: verum primum illa aggressus est instrumenta, quæ per æreas fistulas, ducto flatu concinnos agitant somitus. Et hæc quidem edidicit ad concinnitatem et numerum remittere et distendere, quasi modo illas flatu complens, modo spiritu evacuans. Deinceps ipsos divisos ad sonum canonas, utrimque contrectat. Et simpliciter alia exercet organa quæ vel tenui spiritus ducuntur halitu, vel quæ fidibus extenduntur, et dulci distrahuntur nervia. Tunc etiam in inclytam multoque celebratam hymno sphæræ cœlestis scientiam, sive astrologiam, quodam quasi ingenito impetu ferebatur, non quia solum illius soror est et germana; nam geometriæ materia utriusque quantitatem ascribit; sed quia conatu multo sphæram, quæ cum illa homonyma est, sibi scrutari paravit. Hanc et nobis eques exacte patefecit. Etiam sortes fortunæque eventus mulieribus indicavit, non triviali jactantia et errore,

[54] Cant. v, 2.

Digitized by Google

ut quidam vates circulatores per compita vagantes, sed in ipsa ejus officina, ut gravi ita cultu ipsas disciplinas celebraret, inde etiam nomen trahens.

Neque etiam illum aliquis latuit thesaurus quacunque in terræ parte defossus qui illum thesaurorum copia posset exsaturare, juxta illum sophistam Herodem, Attici filium. **706** At cum opus esset, ut hic alicui multa scientiarum studia quæ ad unguem pernoscebat, manifesto exprimeret sermone, certe nunquam ille vertentem et insequentem astrorum motum ignoravit, nec horoscopi dominum, nec dominum domus lunæ, ex quibus forte illi mille infortunii casus oriri poterant : unde hæc ediscens, anni scansilis difficilem et periculosum gradum facile declinat ; illudque longius repellit et excutit, quod illi varia poterat ingerere incommoda. In quo et alium Ptolemæum habere poterimus, et alium, si volueris, Aratum. Et maxime nunc, cum scientiæ utilitas et ingens opus legibus quibusdam propulsatur. Observavit itaque et splendentis rotæ solis, et alatum impellentis currum velocissimas aurigationes, et mirum aurigantis Phœbi regimen edidicit. Atque ita erit non cognomento, sed revera Chryselius.

Καὶ ἔτι οὐδὲ θησαυρὸς αὐτὸν λήσεται ὅπου δὴ τῆς γῆς κατορωρυγμένος, θησαυρῶν αὐτὸν κορέσαι δυνάμενος, κατ' ἐκεῖνον τὸν Ἀττικοῦ, τοῦ τὸν σοφιστὴν τεκόντος Ἡρώδην. Καὶ δεῆσαν δή ποτε ἐπιδείξασθαί τι ὧν οἶδε πολλῶν ἐπιτηδευμάτων, οὐκ ἀγνοήσει τὸν πολεύοντα καὶ τὸν διέποντα, καὶ τὸν κύριον τοῦ ὡροσκόπου καὶ τὸν τῆς σελήνης οἰκοδεσπότην · ἐξ ὧν ἴσως ἔσται αὐτῷ τὰ κακοδαιμόνια. Καὶ μαθὼν ἐκκλινεῖ τὸν κληματῆρα (7), καὶ τὸν κακοποιὸν διακρούσεται· καὶ Πτολεμαῖον ἕξομεν ἄλλον, εἰ δὲ βούλει, καὶ Ἄρατον· καὶ μάλιστα νῦν, ὅτε τὸ χρῆμα τῆς ἐπιστήμης νόμοις ἐλήλαται. Τηρήσας δὲ καὶ τὰς τοῦ ἡλίου διφρηλασίας τὸ ἅρμα ἐλαύνοντος τὸ πτηνὸν, καὶ τὴν ἡνιοχικὴν ἐκμαθήσεται. Καὶ οὕτως ἔσται οὐ μᾶλλον ἐπωνύμως ἢ φερωνύμως Χρυσήλιος.

Etsi vero ab illo quis exigit, ut hæc plane manifestet, etiam currui adjunget mulam, quæ cum illis coætanea fuit, quæ Priamum in Achillis tentoria eduxerunt ; quæ ita effugit, ut Harpyia, quæ nullo est carnis pondere pressa, sed summa est levitate celeris et corpus, et maxime si metam cursus hordei acervum constituitis, quem ut novum et expectatum sibi spectaculum conspexerit. Et alicubi ejus ipse venter in altum oris rictum dentesque conscendit, et si forte vehementem efflat spiritum, ipsum in sublime attollit. Et hunc vere ipsum aurigam, ut illa leviorem, nisi pondus in se aliquod ad trutinam, ut assuevit, subjunxerit, extra sedem propellit.

Καὶ αἰτήσησθέ ποτε καὶ τοῦτ' ἐπιδείξασθαι, ὑποζεύξει τῷ ἅρματι τὴν ἡμίονον τὴν ἡλικιῶτιν ἐκείνων, αἳ τὸν Πρίαμον ἐπὶ τὰς Ἀχιλλέως σκηνὰς ἐπόρευσαν. Ἡ δὲ δραμεῖται Ἁρπυίαις ἴσα, μὴ βαρουμένη σαρξὶν, ἀλλ' οὖσα κούφη καὶ περιβετισμένη τὸ σῶμα, καὶ μάλιστα εἰ νύσσαν προστήσεσθε θημωνιὰς κριθῶν, ἃς ὄψεται καινὸν καὶ ποθητὸν θέαμα. Ἴδ' που καὶ ἡ γαστὴρ ἀναδραμεῖται κατὰ τὰς χάνας καὶ τοὺς συνόδοντας (8). Εἰ δὲ καὶ πνεῦμα εἴη σφοδρὸν, ἀρεῖ ταύτην μετέωρον, καὶ τὸν διφρηλάτην δηλαδὴ τοῦτον, ὡς ἐκείνης κουφότερον, ἐκτὸς εἰ μὴ περιέζωσται στατῆρας, ὡς εἴωθεν.

Si igitur te voluntas commonet videndi hunc probatissimum aurigam, et feram illam venationem, quam populi, quibus a colore cognomentum inditum est, summa contentionis pugna domant, illamque ab omnibus equorum studio actis celebrem famam, nequaquam talem habe naturam, nec tam in angusto nostræ Macedoniæ loco consiste, sed te in Larissam confer. Nam Thessalia hac est multo accommodatior, et ipsa planities Pharsalia. In quarum lato et diffuso campo modo has artes et scientias ostendet, modo illas ut ediscat, adjutore et socio nobili utetur. At vero si ad nos progreditur, neque aliis, neque ipsa geometria ad honoris studium excitabitur. Nam harum vel ipsum specimen vultumque exhorreo, cujus quidem apud me locus ullus est. Omnes enim illis superioris sæculi inundantibus cataclysmis pene nobis submersæ sunt, et alte obrutæ. Unam igitur utilem ferens artem ad me accedet, siquidem cantandi peritiam, et ducendi choros lætantem callet artem, cum hæc etiam pars sit et species harmoniæ, et nequaquam ab omnibus omnino studiose exculta, quia ne ab his quidem qui nobiscum sunt. Igitur

Εἰ τοίνυν μέλει σοι καὶ ἁρματηλάτην τοῦτον ἰδεῖν δοκιμώτατον, καὶ τοῖς τῶν χρωμάτων ἐπωνύμοις δήμοις περιμάχητον θήραμα, καὶ πᾶσι φιλίπποις εὔφημον λάλημα, μηκέτι τοιαύτην ἔχε φύσιν ἐν τῇ τῆς ἐχούσης ἡμᾶς Μακεδονίας στενοχωρίᾳ· ἀλλὰ λῦσον ἐπὶ τὴν Λάρισσαν. Ἡ γὰρ Θεσσαλία τούτου οἰκειοτέρα, καὶ ἡ πεδιὰς ἡ Φαρσάλιος · ὧν τῷ πλάτει τὰς μὲν ἐπιδείξεται τῶν ἐπιστημῶν καὶ τεχνῶν· τὰς δὲ, πρὸς τὸ μαθεῖν συνεργῷ χρήσεται · πρὸς ἡμᾶς δὲ διαβὰς, οὔτε ταῖς ἄλλαις, οὔτε τῇ γεωμετρικῇ ἐμφιλοτιμήσεται. Τῶν μὲν γὰρ ἀνεράστως ἔχω τῆς ἐπιδείξεως· τῆς δὲ τόπος ὄντως οὐκ ἔστι παρ' ἐμοί. Πάντες γὰρ ἡμῖν ὑπὸ τῶν ἄνωθεν κατακλυσμῶν ἀπεθαλαττώθησαν. Μίαν μοι τέχνην ἔχων ἕξει χρησίμην, εἴ γε ἐπίσταται τὴν ᾀσματικήν τε καὶ χοροστατικήν· μέρος μὲν οὖσαν καὶ αὐτὴν ἡ εἶδος ἁρμονικῆς, οὐ πᾶσι δὲ πάντως σπουδαζομένην, ὅτι μὴ μόνον τοῖς καθ' ἡμᾶς. Ὥστ' ἢ μὴ παραβαλέτω τῇδε, ἢ ὡς ἐπ' ἐκκλησίας ᾀσόμενος ποικιλώτερον καὶ περισσότερον, καὶ χοροῦ κορυφαῖος ἐσόμενος, δακτύλων τε περιαγωγαῖς ἐπισημαίνων τὴν τέχνην, καὶ τῶν ἄλλων μελῶν στροφαῖς καὶ λυγίσμασι. Πρότερος οὖν αὐτός μοι τοῦτο βασάνιστον,

Variæ lectiones et notæ.

(7) *Κληματῆρα.* Scrib. κλιμακτῆρα.

(8) *Συνόδοντας.* Scrib. κυνόδοντας.

Digitized by Google

κἂν γνωριεῖ σοι τὸν τεχνίτην, καὶ κριθῇ δόκιμος, μηδ' οὕτω τὴν ὁδὸν θαῤῥησάτω τὴν πρὸς τὴν Ἀχερουσίαν τὴν λίμνην, τὴν ἐμὴν Λύχνιδον, εἰ μὴ πρότερον σύνθοιτο τῷ ἀδελφῷ μου Δημητρίῳ περὶ τοῦ τῶν ᾀσμάτων μισθοῦ. Ὁ δὲ ἔσται μελίγης (9) ἢ μελαμπύρου ἐμπορικὸν ἡμιμέδιμνον. Τοσοῦτον γὰρ ὅ τε ᾄσμενος ὅ τε ἀκουσόμενος· ὁ μὲν, λαβεῖν ἄξιος· ὁ δὲ, δῶσειν εὔπορος.

A huc non accedat, nisi veluti ad ecclesiasticum morem, varie et præstantius concinat, aut vel ebori magister futurus, vel solo digiti ductu ipsam artem edoceat, aut diversis aliorum cantuum modis et dulci stridulæ vocis modulatione. Prius itaque ipse hoc mihi explora, ut si tibi **707** hoc artificem notum fecerit, illeque a te præstantissimus judicatus fuerit. Neque vero ita statim ad Acherusiam paludem, hanc scilicet meam Lychnidon, ita fidenti animo viam ingrediatur, nisi prius cum Demetrio fratre meo cantuum præmia composuerit. Quæ erunt milii, aut melampyri mercatorius semimedimnus. Nam tantum et qui cantat, et qui audit, ille quidem recipere meretur, hic vero facilis et promptus debet elargiri.

Ὁρᾷς παρ' ὅσον ἦλθον εὐλαβείας γεροντικῆς καὶ σεμνότητος, ἵνα χαρίσωμαί σοι, καὶ τῷ γλυκεῖ Θεοδώρῳ συνεντρυφήσωμεν· ἐπεὶ καὶ ἀμφότεροι ψυχαγωγησόντων δεόμεθα· ἐγὼ μὲν διὰ πάντα τἀμὰ κακά· σὺ δὲ διὰ τὴν δυσχεραινομένην σοι ἀποδημίαν, ταύτην δὴ τὴν, ὡς ἔφης, μακράν. Πρὸς ἣν μηδὲ πάνυ σφόδρα δυσφόρως ἔχε, εἰδὼς, εἴπερ τις ἄλλος, γινομένην κοινωφελῶς, καὶ δεικνῦσαν τὸ τοῦ βασιλέως ἡμῶν μηδεμνικὸν καὶ φερέπονον. Ὅς ἵνα τοὺς ἐχθροὺς ἐγγύθεν δειδίττηται, πόλεως μὲν ἐκείνης, καὶ βασιλείων ἐκείνων, καὶ τῶν ἄλλων ἐκείνης ἀπολαυσμάτων ὀλιγωρεῖ, ἀγροτικῶν κακῶν ἀνεχόμενος. Ἔκκειται μὲν ψύχεσί τε καὶ θάλπεσιν, ὕπαιθρος δὲ φέρει τὰς ἐναντίας ὥρας σὺν τοῖς φιλτάτοις· καὶ ἅμα τὰς χώρας, αἷς ἂν ἐπισταίη, καθιστᾷ μεγαλοπρεπῶς καὶ βασιλικῶς, τῶν τε ἄλλων ἁρμοστὴς, καὶ τῶν ἐκκλησιαστικῶν διαφερόντως γινόμενος. Ταῦτα καὶ ἄλλα μυρία τῆς μακρᾶς ἀποδημίας ὑμῶν καὶ ἀγροὶ καὶ πόλεις ὀνίνανται· ὥστ' εἰ μὴ φιλαίτης [*f.* — τιός τις] εἴης, ἀλλὰ φιλάνθρωπος καὶ φιλάδελφος, οὐ μόνον οὐ δυσχερεῖς [*f.* — ρανεῖς] πρὸς τὴν ἀποδημίαν οὐκέτι, ἀλλὰ καὶ μᾶλλον ἐπεκτεθῆναι ταύτην ἐπεύξῃ, ἵνα πλείους καὶ πλείω εὐεργετώμεθα.

B Vides igitur ad quam circumspectæ gravitatis sedem et senectutis religionem pervenerim, ut et tibi gratificari non dubitem, et cum dulcissimo Theodoro, veluti luxurianti insultemus pectore. Quoniam uterque animæ ductoribus indigemus: ego quidem propter omnia mea infortunia lapsus; tu vero propter absentiam, quæ quidem te acerbo quodam pungit luctu; quæ, ut ipse dicis, longiori persistit mora. Ad quam quidem non te ægrum neque difficilem præbe, cum cognoscas, si quis alius, communem nobis allaturam esse utilitatem, et imperatoris nostri anxium curæ studium ostensuram, nimiam laborum tolerantiam. Qui ut infensos hostes cominus terrore agitet truculento, illius urbis et illorum regnorum delicias, aliaque suavia oblectamenta penitus negligit. Agrestibus infestatur, et deprimitur injuriis, et duro frigori et repentibus solis radiis subjectus jacet, et adversa horarum spatia cum amicissimis sociis ad serenam cœli plagam assiduo transigit. Simulque regiones omnes, quibus ipse præfuit, ingenti majestate ac vere imperatorio jubare construit. Et non solum aliorum est præfectus et princeps, sed ecclesiasticæ dignitatis summa cum excellentia moderator. Hæc quidem et alia mille longæ vestræ absentiæ dona et agri et urbes sibi in summum utilitatis munus vindicant, quia minime contentiosus es, sed humanus et fratrum amator. At non solum arduos et difficiles nos ob hunc discessum et absentiam senties, sed maxime illam finiri deprecaberis, ut saltim plnribus et majoribus tandem afficiamur beneficiis

C

ΕΠΙΣΤ. ΟΒ'.

Τῷ προέδρῳ τῷ Παντέχνῃ.

Τὸν κολοφῶνα ἐπέθηκας, ὑπέρλαμπρέ μοι ἐν Κυρίῳ υἱὲ, ταῖς περιεχούσαις με θλίψεσι, καὶ αὐτὸς εἰπὼν συνέχεσθαι θλίψεσιν. Ὅ γοῦν ἐμαυτῷ φάρμακον διὰ τῶν τοῦ λόγου βοτανῶν ἤρτυσα, τοῦτο καὶ σοὶ χρήσιμον εἰδὼς, στελῶ καιροῦ δραξάμενος· ὡς νῦν γε ὑπὸ φωτὶ τουτί σοι τὸ γραμμάτιον συντάξας, οὐκ εἶχον ὅπως ἐκ τῆς πυξίδος τὸ φάρμακον ἀναλήψομαι· οὐχ οὕτως ἀνειμένης ἁπλῶς, οὐδὲ πᾶσιν ἐκκειμένης, ἀλλὰ περιεργοτέρας χειρὸς δεομένης πρὸς τὸ ἀνοίγεσθαι. Πλὴν ὅσον τοῦτο μόνον νῦν ἔχω σοι συντελεῖν, ὡς μετὰ τὸν χειμῶνα πάντως ἔαρ, καὶ ὅσα τοῦ ἔαρος. Ὁ δέ γε τοῦ Ἡλίου παῖς Φοίνιξ, καὶ τεφρωθεὶς ἐξανίσταται, ἵνα μηδὲν εἴπω θειότερον καὶ ἡμέτερον.

D

EPIST. LXXII.

Assessori Pantechnæ.

Jam tandem colophonem imposuisti, illustrissime in Domino fili, ærumnis durisque calamitatibus, quæ me circumdederant. Atque ego etiam jam dicere cesso, me illis premi et astringi, qui etiam utilissimum mihi pharmacum salubribus litterarum plantis apparavi et condidi. Hoc etiam, quia tibi conducere video, ut primum occasionem nactus fuero, ad te mittam. Nunc autem quia ad hoc tantum lumen has tibi litterulas construo, nulla mihi facultas fuit, ut ex pyxide hoc pharmacum assumerem, quia non ita simpliciter dissoluta et remissa est, neque omnibus ita exposita, sed quia curiosiori manu, ut aperiatur, indiget. Verumtamen quantum modo tibi perficere et conari debeo, ita

Variæ lectiones et notæ.

(9) *Μελίγης*. Scrib. μελίνης.

Digitized by Google

erit, quemadmodum post horridam hiemem dulce ver, et quæcunque veris sunt, prorsus adveniunt. Equidem Phœnix solis filius postquam in cineres resolutus fuit, denuo felix resurgit, ut nihil magis divinum de nobis ipsis ad te loquar.

708 EPIST. LXXIII.

Domino Michaeli Pantechnæ medico imperatoris. A

Vos quidem semper nos quadam spe suspensos concutitis, quasi ad iter accincti, meque invisere studentes, semper autem me decipitis. Ita quidem vos qui per aerem vestigia figitis, nos quidem humi repentes negligitis. Sed enim jam sero veluti glutinis ligamen, quibus ibi morari diutius cohibemini, projicientes, nostrum omne solatium fiatis. Illa vero dura terriculamenta, quæ in nos obtendistis, puerorum sunt spectra, scilicet mendicorum episcoporum. At totius Bulgariæ archiepiscopus, quem vel quotquot in illum oculos convertunt, illumque plane audiunt, etiam totos dies, aureos nummos numerare, et quasi mensuræ complementis arbitrantur accumulare, veram rursus præsentiam, quasi B mendici cujusdam etiam existimabit, qui solerti quodam ambitu solum circumit,

ΕΠΙΣΤ. ΟΓ'.

Τῷ ἰατρῷ τοῦ βασιλέως κυρίῳ Μιχαὴλ τῷ Παντέχνῃ.

Ὑμεῖς δὲ ἀεὶ μὲν ἡμᾶς ταῖς ἐλπίσι σανεῖτε, ὡς ἤξοντες καὶ ἐπισκεψόμενοι, ἀεὶ δὲ ἐξαπατήσετε· οὕτως ἡμᾶς περιφρονεῖτε τοὺς χαμαὶ ἐρχομένους οἱ ἀεροβατοῦντες ὑμεῖς. Ἀλλὰ γὰρ ὀψέ ποτε ἐχέκολλον ἀπορρίψαντες, ᾧ πρὸς τὰ αὐτόθι ἔχεσθε, παράκλησις ἡμῶν γένεσθε. Τὰ δὲ φόβητρα, ἃ ἡμῖν ἐπανατείνεσθε, μορμολυκεῖα παίδων εἰσὶν, ἤγουν πτωχῶν τινων ἐπισκόπων. Ὁ δὲ πάσης Βουλγαρίας ἀρχιεπίσκοπος, ὃν ὅσοιπερ ὁρῶσί τε καὶ ἀκούουσιν, οἴονται μεδίμνοις ἐκμετρεῖσθαι τοὺς χρυσίνους ἑκάστης ἡμέρας, τὴν ὑμετέραν παρουσίαν ὡς πτωχοῦ τινος οἰήσεται, ὃς περίεισιν

Altîζων ἀκόλους οὐκ ἄορας οὐδὲ λέβητας,

κἂν μικρόν τι λάβῃ, τῷ ληφθέντι ἀρκούμενος. Μόνον ἐλθὲ, καὶ οἱ πάροικοι μόνοι, οἱ παρὰ τοῦ Βλαχερνίτου ἀποκρυβέντες, πλουτίσουσί σε, ἀνὰ ἓν σκόρδον δόντες. Τηροῖο ὑπὸ Κυρίου πάσης κακίας ἀνώτερος.

Inquîrens ossam, haud tripodas, sed necve lebetas.

Qui vel si quid parvum susceperit, illud sibi in auxilium satis esse censet. Solus tu veni, et domestici tui soli. Illi vero, qui apud Blachernitem occulti degunt, te multis sublevare poterunt divitiis, vel si unum allium tibi obtrudant. Dominus itaque te omnis fortunæ iniquæ victorem custodiat.

EPIST. LXXIV.

Eidem.

Gaudeo quidem, quia a te litteras non suscipio. Quoniam certo quasi quodam signo, te occupationibus obrui facile conjicio : quibus non parvi sit emolumenti lucrum. Si equidem scopi ita attingo C metam, nec longe ab illo mea spicula torqueo, proculdubio habeo, ob ea quæ tu moliris, inter meæ tristitiæ et mœroris causas, ingens solatium. Si autem, ut tua sunt, adversus mihi fortunæ obvenit casus, equidem nobis adversarius utrimque tela sua vibrans imminet : cui solus Deus potentissimus et optimus demum obsistet. Qui te ab illius dolis et multo fraudium laqueo semper tutetur.

ΕΠΙΣΤ. ΟΔ'.

Τῷ αὐτῷ.

Χαίρω μὴ δεχόμενος ἐκ σοῦ γράμματα. Τεκμαίρομαι γάρ σοι προσεῖναι πράγματα, οἷς τι καὶ κερδαλέον ὑπεστιν. Εἰ μὲν οὖν τυγχάνω τοῦ σκοποῦ, καὶ οὐ παρατοξεύω, ἔχω τοσαύτην ἐκ τῶν σῶν ἐν τοῖς ἐμοῖς λυπηροῖς παράκλησιν· εἰ δὲ καὶ τὸ σὸν δυστυχῶ, δίπαλτος ἡμῖν ὁ πονηρὸς ἐπεισιν. Ὦ μόνος ὁ ἀγαθὸς Θεὸς καὶ κρατικὸς ἀντιστήσεται. Ὑφ' οὗ καὶ αὐτὸς ἀνώτερος τῆς ἐκείνου κακομηχανίας φυλάττοιο.

EPIST. LXXV.

Eidem.

Cum multa desiderii siti flagrarem, ut perspicue et aperte, quæ tibi contingunt, ediscerem, illustrissime in Domino fili, tu obscuras et quodam veluti turbidas cœno mihi guttas emisisti quibus me ea siti nullo modo levare possum. Igitur D ad me manifestius scribe, quibus forsan sis distractus negotiis, et si ea sint digna spe qua nos nutrimur.

ΕΠΙΣΤ. ΟΕ'.

Τῷ αὐτῷ.

Διψῶντί μοι μαθεῖν τὰ κατὰ σὲ λευκότερον, ὑπέρλαμπρέ μοι ἐν Κυρίῳ υἱὲ, αὐτὸς σταγόνας ἐπιπέμπεις θολώδεις, ἐξ ὧν οὐκ ἰῶμαι τὴν δίψαν. Γράψον οὖν μοι ἀριδηλότερον ἐνίοις τε (10) εἴ, καὶ εἰ ἐν ἀξίοις τῶν ἐλπίδων αἷς ἐτρεφόμεθα.

Variæ lectiones et notæ.

(10) *Ἐνίοις τε.* Scrib. ἐν οἷς τε.

Digitized by Google

ΘΕΟΦΥΛΑΚΤΟΥ
ΕΠΙΣΤΟΛΑΙ ΛΕ'.

—

THEOPHYLACTI
EPISTOLÆ XXXV

Editæ et Latine versæ a Joanne Lami.

—

ΕΠΙΣΤ. Α'.

Τῇ δεσποίνῃ κυρᾷ Μαρίᾳ.

Δέσποινά μου ἁγία, πολλοῖς μέν με τοῖς λυπηροῖς ἐξ οὗ τῇ βασιλίδι τῶν πόλεων Ἀχριδόθεν ἐπεδήμησα, αἱ πολλαί μου ἁμαρτίαι προσεπαττάλευσαν· οὔπω δὲ τοιοῦτον οὐδὲν οἷον νῦν ὁ ἄθλιος ἔπαθον, μὴ δυνηθεὶς ἀποδοῦναι τὴν τελευταίαν καὶ συντακτήριον τῇ βασιλείᾳ προσκύνησιν. Ἐκεῖνα μὲν γάρ μοι τὰ λυπηρὰ ἡ σὴ γαληνότης ἐκούφιζε, μᾶλλον δὲ τελείως ἐξήλειφεν, ὡς μηδὲ ἴχνος τούτων ἐμφαίνεσθαι, καὶ τὸ θαῦμα εἰς ἱλαρότητα μετεβάλλοντο, ἀλλοιούσης αὐτὰ τῆς θειοτάτης σου δεξιᾶς, ὥστε τὰ πρὸς Θεὸν τῷ Δαβὶδ λεχθέντα, κἀμοὶ πρὸς τὴν βασιλείαν σου λέγεσθαι· *Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου αἱ παρακλήσεις σου εὐφράναν τὴν ψυχήν μου.* Τὸ δὲ νῦν τοῦτο πάθος τίς ὁ ἐπικουφίσων τῇ ἐμῇ ταπεινότητι; τίς ὁ θήσων τῇ ἀσθενείᾳ μου φορητότερα; Ἐκτὸς εἰ μὲν [*f.* μὴ] τὴν σὴν ὑπολογισάμενος ἀγαθότητα, ταύτην ἕξω κἀν τούτῳ παράκλησιν. Πιστεύω γὰρ, κατὰ τὸ εἰκὸς, ὡς καὶ τὸ παρὸν γράμμα δέξαιο, καθάπερ ἐκείνην αὐτὴν τὴν διὰ τοῦ σώματος ἐντυχίαν, ἣν ὑστερήσαμεν ἄκοντες.

Ἴστω γὰρ ἡ ἐλεοῦσά με βασιλεία σου, ὡς ἀπὸ Νικομηδείας ἐπανερχόμενος (κἀκεῖσε γάρ με τὰ τῶν κακῶν μου διεπόρθμευσε κύματα), πολλὰ μὲν καὶ πολλάκις ἐβιασάμην τοὺς ναύτας, ὥστε πρὸς τὸ τῆς βασιλείας σου εὐτυχῶς ἔχοντες τῆς Πρίγκιπος νησιδίου, καὶ τοὺς οἴακας ἐπιστρέψαι, καὶ τὸ οθόνιον μεταστεῖλασθαι· ἀλλ' οὗτοί γε τῶν ἐμῶν βιαίων ῥημάτων οὐδὲ κέλευσμα ἐπαΐουσιν, οἶμαι, βιαιοτέρας βοῆς τῆς τοῦ βορέου τὰ ὦτα καταβομβούσης αὐτῶν, ὃς ἀπὸ τοῦ παντειχίου καταβαίνων λαμπρὸς, ἀπόρευτον ἐτίθει τὸ πέραμα, πλὴν εἰ μὴ πρὸς τὴν Ἀπολλωνιάδα καταίρειν ἐμέλλομεν, ἀλλὰ καὶ μετὰ τὸ πρὸς τὴν μεγαλόπολιν διασωθῆναι. Διεσώθημεν δὲ, μόνον οὐχὶ τῆς γῆς ταῖς κώπαις προσψαύοντες·

709 EPIST. I.

Augustæ domnæ Mariæ.

Augusta mea sancta, multis quidem doloribus, ex quo ad urbium reginam Achride sum profectus, multa me mea peccata affecerunt. Nihil vero unquam tale, quale nunc, miser perpessus sum, quod non potuerim imperium tuum ultima ac congrua prosequi veneratione. Illos enim dolores tua mihi levavit serenitas, imo vero delevit omnino, ut ne vestigium quidem illorum appareat, et quod mirum est in hilaritatem conversi sunt, divinissima tua immutante dextera, ita ut, quæ ad Deum dicta sunt a Davide, mihi quoque ad imperium tuum dici possint : *Secundum multitudinem dolorum meorum in corde meo consolationes tuæ lætificaverunt animam meam*[88]. Hanc vero præsentem ægritudinem quisnam levet humilitati meæ? Quis infirmis meis viribus imponat leviora? Nisi forte tuam ego respiciens bonitatem ejusmodi assequar vel in hoc consolationem; credo enim fore, ut præsentes etiam litteras ea excipias humanitate, qua hominem ad colloquium illud tuum admisisti, quo caruimus inviti.

Sciat enim volo imperium tuum, mei motum misericordia, me Nicomenia redeuntem; nam illuc meis cum malis fluctus advexerant; multum plane ac sæpius institisse nautis, ut ad imperium tuum, feliciter habentes iter ad insulam Principis et clavos verterent et vela darent. Sed hi meorum urgentium verborum clamorem minime audiunt, vehementiore puto boreæ stridore ipsorum auribus obstrepente, qui quidem ex adverso violenter irruens, impervium faciebat iter, nisi futurum erat ut Apolloniadi appelleremus, deinde vero Megalopolin confugeremus. Confugimus autem solummodo, non ad terram remos inhibendo descendimus, tantum destitimus navigando. Volebam equi-

[88] Psal. xciii, 10.

Digitized by Google

dem sæpenumero meam explere cupiditatem, atque ad meum unicum post Deum currere auxilium. At perniciosus notus nos **710** iterum repulit, perinde ac boreæ idipsum condixisset, ut immensis vicissim flatibus dolorem mihi alteruter afferret. Quid tum postea? Facta nobis egrediendi potestate ab illo, qui rerum nostrarum conservando ac dirigendo curam gerit, Sebastus autem erat, et prætor Dyrrachii, ita mihi profecto quæ desiderabam exciderunt, atque id æquum fuit. *Desiderium enim*, ait, *peccatoris peribit* [55]. Bonis vero semper invidens inimicus, omne quodcunque voluit adversum perfecit. Sed neque inutilia fuerunt hujusce consilia, quoniam et peccatorum dux est, imo, inquam, et factor et instructor. Etenim imperium tuum, quemadmodum speravi, et præsentes meas litteras pro congrua excipiet veneratione atque adoratione, et meæ ignoscet indignitati, utpote qui defectus in ipsa corporis constructione sustineo potius quam facio. Cum vero ego consequar quod contendebam accipere, adimpletis quæ desunt, suavius componar. Verum enimvero, quandoquidem ea mihi disciplinæ filum resolverunt et mutam hanc loquelam, in quo lingua manu utitur, bono ac miti animo audiat imperium tuum, et spondeat mihi tuam bonitatem et auxilium. Itaque pete mihi a Deo, in cujus conspectu quotidie appares per opera ad eum manu ducentia, mediocrem in posterum tentationem; nimium enim esset dicere tribulationum cessationem, et quod proprium est tuum, ne avertas misericordiam tuam a me, sed in aliis etiam et innatam tuam atque in me consuetam ostende clementiam et promissum, quod antea fecit os tuum custos veritatis, erga conservum et fratrem meum Demetrium perficito.

Habeo autem quid et urbane scribam ad feminam vere plenam gratiarum. In hac urbe versanti mihi (tantum tempus est) male oluerunt et putruerunt omnia nostra, alibi et suave reddentia et bene olentia. Descendo igitur ad Bulgaros re Constantinopolitanus, hospitio Bulgarus, cariem situmque redolens, ut illi pellium pedorem. Et quod gravissimum est, existimabunt homines isti me tibi quoque horrori ac nauseæ fuisse. Nonne hic fœtor suaviter mihi oluit, et laute oppido ac urbane? Scis ergo quid facies, ne mihi eveniant quæ dixi, graveolentiam evaporabis et perpetuo damnabis exsilio, e nostris ipsis lignis proscindens tergum, quæ tellus fert primis et puris solis radiis fruens, ut tibi inter alia sincero animo, et non adulandi gratia, hæc quoque habeam cavenda, quæ Canticorum sponsæ aptavit Salomon, quanquam ea ad majus quoddam magisque **711** arcanum proferat: *Genæ tuæ sicut areolæ aromatum consitæ ex*

τοσοῦτον τοῦ πελάγους ἀπείχομεν. Ἠβουλήθην μὲν πολλάκις τελειῶσαι τὴν ἔφεσιν, καὶ πρὸς τὴν ἐμὴν μετά γε Θεὸν μόνην δραμεῖν ἀντίληψιν· ἀλλ' ὁ παλαμναῖος νότος αὖθις ἀντέκρουσεν, ὥσπερ πρὸς τὸν βορρᾶν αὐτὸ τοῦτο συνθέμενος, ἵνα με ταῖς ἀμέτροις πνοαῖς ἀνὰ μέρος λυπῶσιν ἑκάτεροι. Εἶτα τί; Τῆς ἐξελεύσεως ἡμῖν ἐπιτρεπομένης παρὰ τοῦ τὴν τῶν ἡμετέρων ἐπιτραπέντος ἐπιτήρησιν καὶ διόρθωσιν, ὁ σεβαστὸς δὲ καὶ πραίτωρ Δυρραχίου, οὕτως ἐμοὶ μὲν τὰ τῆς ἐπιθυμίας διέπεσεν· εἰκός γε τοῦτο. Ἐπιθυμία γάρ, φησὶν, ἁμαρτωλοῦ ἀπολεῖται. Ὁ δὲ τοῖς καλοῖς ἀεὶ βασκαίνων ἐχθρὸς πᾶν ὅσον ἐβουλήθη κατήνυσεν. Ἀλλὰ μήποτε καὶ τούτου ἠχρείωται τὰ βουλεύματα, ἐπὶ [*f.* ἐπεὶ] καὶ τῶν ἁμαρτωλῶν ἀρχηγὸς, ἐρῶ δὲ καὶ πλάττης καὶ σκευαστής. Ἡ γε γὰρ βασιλεία σου, ὡς ἐπῆλπισα, καὶ τὸ παρόν μου γράμμα ἀντὶ συντακτηρίου προσφωνήσεως καὶ προσκυνήσεως δέξεται, καὶ συγγνώσεται τῇ ἐμῇ τοῦ δούλου αὐτῆς ἀναξιότητι, ὡς παθόντος μᾶλλον, ἢ δράσαντος, τὸ τῆς αὐτοπροσώπου συντάξεως λέλειμα [*f.* ἔλλειμμα]. Ἐγὼ δὲ ὡς ἐσχηκὼς ὃ λαβεῖν ἠπειγόμην, πληρωθέντος τοῦ ὑστερήματος, διατεθήσομαι ἥδιον. Ἀλλὰ γὰρ ἐπεὶ κἀνταῦθά μοι τὸν τῆς διδασκαλίας μῖτον ἀνέλυσαν, καὶ τὴν ἄφωνον ταύτην λαλιὰν ᾗ τῇ χειρὶ γλώττῃ χρῆται, πραέως ἐνωτίζῃ καὶ εὐμενῶς, καὶ πρεσβεύῃ μοι αὐτὴ τὴν σὴν ἀγαθότητα καὶ ἀντίληψιν· αἴτησαι μέν μοι παρὰ Θεοῦ ᾧ καθεκάστην παρίστασαι διὰ τῶν πρὸς αὐτὸν χειραγωγουσῶν πράξεων, τὴν ἐς τὸ μέλλον μετρίαν πεῖραν (πολὺ γὰρ φάναι, παῦλαν τῶν Ὀλίψεων), καὶ τὸ σὸν δὲ ἴδιον, μὴ διασκεδάσῃς τὸ ἔλεός σου ἀπ' ἐμοῦ, ἀλλὰ τά τε ἄλλα καὶ τὴν ἔμφυτόν σου καὶ πρός με συνήθη χρηστότητα ἐπιδείκνυσο, καὶ τὴν ὑπόσχεσιν, ἣν τὸ τῆς ἀληθείας ὑπουργόν σου στόμα πρὸ καιροῦ ἐποιήσατο εἰς τὸν σύνδουλον καὶ ἀδελφόν μου Δημήτριον, ἀποτέλεσον.

Ἔχω δέ τι καὶ χαριεντίσασθαι πρὸς τὴν τῶν χαρίτων ἀληθῶς γέμουσαν. Ἐν τῇ πόλει ταύτῃ ὄντι μοι (τοσοῦτός ἐστι χρόνος) προσώζεσαν καὶ ἐσάπησαν τὰ καθ' ἡμᾶς ἅπαντα, καὶ τὰ ἄλλως ἡδύνοντα καὶ εὐωδιάζοντα. Κάτειμι τοίνυν ἐπὶ Βουλγάρους (1) ἀτεχνῶς Κωνσταντινουπολίτης, τὸ ξένον Βούλγαρος, ἀπόζων σαπρίας, ὡς ἐκεῖνοι τοῦ τῶν κωδίων γράσου. Καὶ τὸ δεινότατον, ὅτι με οἱ ἐκεῖνοι ἄνθρωποι καὶ παρὰ σοῦ βδελυχθῆναι οἰήσονται. Ἡ γὰρ ἂν ἡ σαπρία μοι εὐωδιάσθη καὶ μάλα πλουσίως καὶ χαριέντως. Οἶσθα οὖν ὃ ποιήσεις, ἵνα μὴ τοῖς ἐλεγχθεῖσιν ἁλώσωμαι; Τὴν δυσωδίαν ἐκθυμιάσεις καὶ ἀειφυγίᾳ κατακρινεῖς ἀφ' ἡμῶν ξύλοις αὐτοῖς κόπτουσα τὸ μετάφρενον, ἃ γῆ φέρει πρώτων καὶ καθαρῶν τῶν ἡλιακῶν ἀκτίνων ἐπαπολαύουσα, ἵνα σοι καὶ ταῦτα πρὸς τοῖς ἄλλοις ἔχω προσάδειν ἐπαληθῶς, καὶ οὐ κολακικῶς, ἃ Σολομὼν τῇ τοῦ Ἄσματος νύμφῃ προσήρμοσε, κἂν καὶ πρὸς μεῖζόν τι φέρῃ ταῦτα καὶ μυστικώτερον· *Σταγόνες σου*

[55] Psal. cxi, 10.

Variæ lectiones et notæ.

(1) Hæc vertebat Simundus, ut videre est apud Baron.

Digitized by Google

ὡς φιάλαι ἀρωμάτων φύουσαι μυρεψικά. Πάντως δέ σοι διὰ σιαγόνων ὁ τοῦ κελεύσματος λόγος προενεχθήσεται. Ταῦτα μὲν οὖν γεροντικώτερον πρὸς τὴν ἁγίαν σου βασιλείαν ἠτησάμεθα. Θεὸς δὲ οὗ σὺ, καὶ ὃς σοῦ, αὐτός σε πάσης ἐξαιρούμενος κακύνσεως καὶ κακώσεως, ἀξιώσειέ τε ἦτε [*f.*—σειέ τέ σε] τῶν αὐτοῦ χαρίτων τελείων, καὶ ὀσμὴν εὐωδίας Χριστοῦ γενομένην, καὶ ἐπὶ τὸ ἄνω ὑψώσοι θυσιαστήριον· καὶ νοερὸν ἀποτελέσοι θυμιατήριον, ἵνα καὶ θυσιάσῃς ὅσα ἡ χεὶρ σου καὶ ἡ πρᾶξις εὐπόρησε, καὶ θυμιάσῃς τὸ τῆς ἐκ τῶν ἀρετῶν συνθέσεως τερπνὸν καὶ δεκτὸν θυμίαμα.

pigmentariis [57]. Per genas autem tibi omnino verbum imperii proferetur. Hæc itaque semli ore petimus a sancto imperio tuo. (2) Deus autem cujus tu, quique tuus, ipse te omni liberans malo et malitia, perfectis te gratiis suis impertiat, odoremque suavitatis Christi factam ad supernum altare subvehat, et spiritalem suffitum efficiat, ut simul offeras quæcunque manus tua et actio affatim congesserunt, adoleasque ex virtutibus conflatum acceptabile gratumque suffimentum.

ΕΠΙΣΤ. Β'.

Τῷ μεγάλῳ δομεστίκῳ.

Ἁγιέ μου . . . . . B
ἐπελήσθη τῆς ἐμῆς ταπεινότητος καὶ οὐδὲ μαθεῖν . . . . . .
καὶ μὲν ἀληθῶς οἱ τὸν ὅλον πολεμησείοντες οὐρανὸν, τὴν Ὄσσαν τῷ Πηλίῳ ἐπέστησαν· εἰ δὲ βούλει, τῷ πύργῳ τῆς Χαλάνης τὴν στεφάνην, οἱ γίγαντες· εἰ δὲ καὶ διὰ μνήμης ἔχεις ἥχεις [*f.* ἡμᾶς] καὶ παπταίνῃ περὶ τῶν καθ' ἡμᾶς, μικρόν τί μοι χρῆσον τὰς ἀκοὰς, καὶ βραχέα μάθε, καὶ τὰ σιγηθέντα συλλόγισαι· Ποιοῦσιν οἱ μῦθοι τὸν Ἡρακλέα, δόξαν αὐτῷ Διὶ καὶ μοίραις, τῇ Ὀμφάλῃ δουλεύοντα· ἡ δ' Ὀμφάλη, Λυδῶν βασίλισσα, γυνὴ τρυφερὸς καὶ πολύχρυσος, καὶ δοκεῖν βουλομένη καλλίστη, καὶ ὑβριοπαθοῦσα μὲν, εἰ ῥόδῳ συγκρίνοιτο· ἀπαξιοῦσα δὲ καὶ τὰς ὠλένας τῆς Ἥρας, καὶ τὴν τῆς Λητοῦς κόμην, καὶ τὰς σφυρὰς [*f.* τὰ σφυρὰ] τῆς Ἥβης, C καὶ τὰς πέζας τῆς Θέτιδος, μιᾶς εἶναι διὰ πάντων εἰκὼν Ἀφροδίτης ἐθέλουσα. Ταύτῃ λατρεύων ὁ καλλίνικος ἥρως, καὶ πορφύραν ἔξαινεν ἀναβάδην τοῖς [*f.* ταῖς] Λυδαῖς συγκαθήμενος, καὶ περὶ τὸ ταμιεῖον ἔσχετο ἔσθ' ὅτε καὶ τὰς καρύκας ἐσκέδαζε. Καὶ ἄλλοτε τὴν κύλικα ἐπεδίδου ἣν ἐπ' ὤχει [*f.* ἐπώχει] τοῖς ἁδροῖς καὶ γενναίοις δακτύλοις, ὑποτρόμοις τότε διὰ τὴν πρὸς τὸ οἰνοχοεῖν ἀγροικίαν, δι' ἣν καὶ ἐτυπώθη χρυσῷ δακτυλίῳ, καὶ ἐπιστάτῃ παραδοθεὶς εὐνούχῳ δούλῳ Λυδῷ πράγματα εἶχε τὴν οἰνοχοΐαν ἐκδιδασκόμενος. Οἱ δάκτυλοι γὰρ ἐπόθουν τὸ ῥόπαλον· ὁ δὲ εὐνοῦχος καὶ τὸν πώγωνα τοῦ μαθητοῦ ἔτιλλεν· εὐνοῦχος γὰρ ὢν ταῖς θριξὶν ἐπήγετο. Ἐνταῦθα ἡ λύπη συνεργοῦντι [*f.* συνήργει τι] τῷ Ἡρακλεῖ πρὸς τὴν τοῦ ἔργου κατόρθωσιν. D Ταύτῃ γὰρ ἐτάκησάν τε καὶ οἱ δάκτυλοι, καὶ λεπτοτέροις ἐπέτρεπεν ἡ τῆς κύλικος ὄχησις. Οὐ ταῦτα δὲ μόνα τῷ Τριεσπέρας [*f.* Τριεσπέρῳ], ἀλλὰ καὶ ταῖς ἀλετρίσι τὰς περὶ τὴν ἀλφιτοποιίαν ἐργασίας συνετέλει· καὶ ᾠδούσαις συνεμινύριζε, καὶ ὀξὺ καὶ κλασμίον ἁρμοζομέναις ἀντεπῇδε τραχὺ καὶ ὀρθότονον. Αἱ δὲ ἐξεκάγχασαν καὶ τὰς χεῖρας συνεκροτάλισαν, καὶ τοῦ ἔργου ἀφέμεναι, ἐκεῖνον μόνον ἔλιπον περιστρέφειν τὴν μύλην ὡς ὄνον ἀρρύθμον. Ἔπασχε ταῦτα ὁ τοῦ Διὸς, καὶ τὴν ὕβριν ταύτην

EPIST. II.

Magno domestico.

Sancte mi . . . . . .
oblitus est humilitatis meæ, et neque intelligere . . . . . .
et hi quidem bellum toti cœlo inferentes, Ossam Pelio gigantes imposuerunt, si autem vis, turri pinnaculi coronam. Verum si et in memoria nos habes, et nostra circumspicis, aures mihi paulisper commoda, et pauca intellige, et silentio præterita conjicito. Herculem Omphalæ servientem fabulæ faciunt, gloriam Jovi ipsi ac fatis. Erat autem Omphale regina Lydiæ, mulier luxuriosa atque auro affluens, quæ et videri pulcherrima cupiebat, et injuriam quidem patiebatur, si conferretur cum rosa. Nihil vero faciens et brachia Junonis et Latonæ comam et malleolos Hebes et pedes Thetidis, volebat in omnibus unius esse Veneris imago. Illi inserviens victoriis insignis heros, et purpuram carminabat pedibus in altum extensis inter Lydios sedens, et penu detinebatur, si quando dispergebat caryeas. Interdum etiam calicem ministrabat, quem magnis ferebat et generosis digitis, tunc subtremulis propter administrandi potus imperitiam, propter quam inustus fuit aureo annulo, et præfecto eunucho traditus, servo Lydio, negotia habuit pincernæ munus edoceri. Nam digiti expetebant clavam. Eunuchus vero discipuli etiam barbam evellebat; quod enim erat eunuchus, pilis invehebatur. Inde tristitia Herculi collaboranti ad felicem operis successum. Hoc enim et molles facti sunt digiti, et graciliores reddidit ipsa calicis administratio. Neque vero hæc sola Trivesperi illi, sed cum molitricibus etiam ad farinæ confectionem operam impendebat, et canentibus concinebat, et acutum et flebile componentibus, aspero rectoque tono consonabat. Illæ autem effuse riserunt, et manus pulsaverunt simul, ac cessantes ab opere eum solum deseruerunt volventem molam, velut asinum dissonantem. Ea patiebatur Jovis filius, eamque sustinuit contumeliam, donec decreta fatis tempora ipsum servitute absolverunt. Sed iste iterum suscepit labores,

[57] Cant. v, 15.

Variæ lectiones et notæ.

(2) Hæc usque ad epistolæ finem idem Sirmundus.

Digitized by Google

verumtamen Jove dignos, atque itineris tempore.
712 In mundo enim erant dedecoris expiationes. Memetipsum descripsi tibi, in quibus versor.

(3) Ego vero non servio diviti reginæ mundæque et pulchræ, atque adeo Veneri aureæ, sed servis barbaris, impuris, fœtidas pelles olentibus, et vita omni egentioribus, quam qui nequitia divites sint, imo et vitæ egestate et nequitia omnium pariter regnum tenent. Solvite me hac turpi servitute, si id potestis, aut vobis per Christum irascar ante tempus filius nil faciens dignum patre. Id autem mihi quidem inglorium, sustinentibus vero forsitan infame.

Sed homo non magis mutat sententiam suam; ita Achridam adveni, ac vos habentem urbem exoptavi miser. Etenim me procul invasit graveolentia quædam lethifera, quales re quidem vera exhalant Charonia. Empedocli igitur contentio caput quidem effecit sine cervice. In hac vero inconsiderantia consideratio decies mille supra decies mille cervices edidit sine capite. Nam quis Achridiota cervix non est sine capite, neque Deum neque hominem sciens venerari? Cum his versari monstris damnatus sum, et, quod gravissimum, nulla mihi spes est cervices ejusmodi melioribus quibusdam virtutibus fieri posse aliquando capita, quemadmodum Agrigentini sapientis amicitia imperfecta capita perduxit ad perfectionem. Sed mihi ... omnis omnino spes excidit, et aquila Jovis sceptrifera terram heu! obambulat et cœno volutatur, clamoremque inter ranas perfert, quæ malam existimantes, et commodorum illorum fortuna minime dignam, ne omnia in deliciis apud ipsas contingerent Jovis aliti, et conscendunt illius humeros, luto et malo odore plenæ, et ubi conscenderint dissonum coaxant et incompositum. Etenim quid aliud cœnosa anima dignum? Videntur pæana canere ob victoriam. Illi vero nec rostrum, nec unguium ipsorum acies adhuc hebetes factæ sunt, sed habent cadavera divellenda ac dilaceranda, majorique sibi ducens injuriæ sese convertere, ac talem ulcisci contumeliam, solis radios ipsa tantummodo intuetur defixis atque intentis oculis, atque id potest; ita enim a natura comparatum est. Æquum plane est, illum, si tamen est hic sol, testem fieri passionis, atque idipsum facere, ipsi est visum perstringere pudore, et reprehendendum ostendere, talem talibus colludere. At per puros hujusce solis radios, quibus ipse illustraris quotidie, et quos aquilæ generas pullos illustras, hominum sapientissime et jucundissime, hujusmodi contumeliis affecta aquila frustra cupiebat vobiscum beatis vivere: isthic aer valde serenus expanditur, ac sine nubibus, non luto cœnoque conspersus. Nonne, ut arbitror, dixeris

A διήθλει, ἕως εἱμαρμένοι χρόνοι τῆς δουλείας αὐτὸν ἀπέλυσαν. Ὁ δὲ πάλιν ἦθλει, ἀλλ' ἄξιά γε καὶ τοῦ Διὸς, καὶ τοῦ χρόνου τῆς πορείας· κόσμῳ γὰρ ἦσαν ἀκοσμίας καθάρσια. Ἐμαυτὸν ἔγραψά σοι ἐν οἷοις εἰμί· πλὴν ὅσον οὐ βασιλίδι δουλεύω πλουσίᾳ, καθαρίῳ τε καὶ καλῇ, καὶ συνόλως Ἀφροδίτῃ χρυσῇ, ἀλλὰ δούλοις βαρβάροις ἀκαθάρτοις κιναύρας κωδίων ἀπόζουσιν, καὶ πενητέροις τὸν βίον, ἢ ὅσον τὴν κακοήθειαν πλούσιοι· μᾶλλον δὲ καὶ τῇ τοῦ βίου πενίᾳ, καὶ τῇ κακοηθείᾳ συμπάντων ὁμοῦ βασιλεῦσι. Λύσατέ με τῆς αἰσχρᾶς ταύτης δουλείας, εἰ [*f.* οἱ] τοῦτο δυνάμενοι, ἢ ἐχθήσομαι [*f.* ἀχθεσθήσ.] ὑμῖν προώρας μὰ διὰ τὸν Χριστὸν, υἱὸς μηδὲν δράσας τοῦ πατρὸς ἄξιον. Τοῦτο δὲ ἐμοὶ μὲν ἀκλεὲς, τοῖς δ' ἀνασχομένοις τυχὸν δυσκλεές.

B Ὁ δὲ ἀνὴρ οὐκ ἔτ' αὐτὸς ἐκνεύει πάλιν· οὕτω τῆς Ἀχρίδος ἐπέβην, καὶ τὴν ὑμᾶς ἔχουσαν πόλιν ὁ δύσερως ἐπεπόθησα· μακρόθεν γάρ μοι προσέβαλλεν ἀποφορά τις θανάσιμος, οἵας ἀτεχνῶς ἀποπνέουσι τὰ Χαρώνεια. Τῷ μὲν οὖν Ἐμπεδοκλεῖ τὸ νεῖκος κόρσας ἐκφύει ἀναύχενας· ἡ δ' ἐνταῦθα τῆς ἀνεπιστασίας ἐπιστασία αὐχένας ἀκορσώτους μυρίους ἐπὶ μυρίοις ἐξέφυσε. Τίς γὰρ Ἀχριδιώτης οὐκ ἔστιν αὐχὴν ἀκέφαλος, οὔτε Θεὸν οὔτ' ἄνερα τίειν εἰδώς; Τοιούτοις συνεῖναι κατακέκριμμαι τέρασι, καὶ τὸ δεινότατον, ὅτι μηδ' ἐλπίς ἐστι τοὺς αὐχένας τούτους κεφαλαιωθῆναί ποτέ τισι δυνάμεσι κρείττοσιν, ὥσπερ ἡ τοῦ Ἀκραγαντίνου σοφοῦ φιλία ἀτελεῖς κόρσας συναγαγοῦσα πρὸς τὴν ἐντέλειαν· ἀλλά μοι . . . .

C . . . . . ἐλπίδων ἀπερρύη παντάπασι· καὶ ὁ ἐπὶ τῷ σκήπτρῳ τοῦ Διὸς ἀετὸς πεζεύει, φεῦ! καὶ τῇ ἰλύϊ ἐνίσχεται, καὶ τῆς μετὰ βατράχων βοῆς ἀνέχεται. Οἵ γε καὶ δεινὸν οἰόμενοι, καὶ τῶν καιρῶν τῆς αὐτῶν τύχης ἀνάξιον, εἰ μὴ πάντα ἐν τρυφῷ [*f.* ἐντρυφῶεν] ἐπὶ τῆς σφετέρας τῷ Διὸς ὄρνιθι, ἐπιβαίνουσί τε ἐπὶ τὰ τούτου νῶτα πηλοῦ καὶ δυσωδίας ἀνάμεστοι· καὶ ἐπιβάντες βοῶσι δύσηχον μέν τι καὶ ἀναρμόδιον. Καὶ τί γὰρ ἢ τελματώδους ψυχῆς ἐπάξιον; Ἔοικασι γοῦν ᾄδειν παιᾶνά τινα ἐπινίκιον· τῷ δὲ οὔπω μὲν οὔτε τὸ ῥάμφος, οὔτ' αὐτῶν ὀνύχων ἀκωκαὶ ἠμβλύνοντο, ἀλλ' ἔτι σπαράττειν καὶ ἀποκνίζειν σάρκας ἔχουσι, μείζω δὲ ὕβριν τιθεὶς ἑαυτῷ τὴν ἐπιστροφὴν καὶ ἄμυναν τῆς ἐκείνης ὕβρεως, πρὸς τὰς τοῦ ἡλίου μόνον ἀκτῖνας ὁρᾷ

D ἀτενέστερον, καὶ ἔντρανον, καὶ οἷον αὐτοῦ τοῖς ὀφθαλμοῖς ὥσπερ ἡ φύσις ἡρμόσατο· καὶ ἔοικέ γε, εἴ τίς ποτε οὗτος ὁ ἥλιος, τὸν μάρτυρα ποιεῖσθαι τοῦ πάθους, καὶ τὸ αὐτὸ ποιεῖν, τοῦτό ἐστιν αὐτῷ δυσωπεῖν, καὶ νεμεσητὸν δεικνύναι τὸν τοιοῦτον τοιούτοις παίζεσθαι. Εἶτα, ὦ πρὸς τοῦ ἡλίου τούτου καθαρῶν ἀκτίνων, αἷς αὐτός γε ὁσημέραι φωτίζῃ, καὶ φωτίζεις οὓς ἀετιδεῖς ἀπογεννᾷς, φιλοσοφώτατε ἀνθρώπων καὶ χαριέστατε, ὁ ταῦτα ὑβριζόμενος ἀετὸς μάτην ποθεῖ τὸ μεθ' ὑμῶν διάγειν τῶν μακαρίων, ἔνθα μάλ' αἴθρη πέπταται, καὶ ἀνέφελος ἐκπασθεῖσα τοῦ πηλοῦ καὶ τοῦ τέλματος. Οὐκ, ἔγωγε

Variæ lectiones et notæ.

(3) Ita laudatus Sirmundus.

Digitized by Google

οἶμαι, ἐρεῖς· ἢ τὴν ἐνταῦθα τῶν κακῶν λίμνην καὶ τοὺς ταύτης ἐγγόνους κατακριθείης βατράχους· Οὐδὲ γὰρ ἔχω τί ἂν σοι ἐπαρασαίμην ἄλλο καὶ τῆς συνήθους ποδάγρας ἄλγιον τρυφᾶν. Σοὶ δοκῶ παίζων οὕτω· καὶ ναὶ μὰ τοὺς λόγους, τοσούτων μοι γέμουσι χαρίτων, καὶ οὕτω διαχέει με καὶ μνημονευόμενον, ὡς καὶ τοῖς πρὸς σὲ γράμμασιν αὐτὸ τοῦτο ἐπισημαίνεσθαι· καὶ πάσης τηνικαῦτα λύπης με λύεσθαι, καὶ ἄνετον πρὸς τὰς σὰς χάριτας φέρεσθαι, ἄλλαις δή τισι χάρισιν. Ἀλλὰ δοίη ποτὲ ὁ τῷ ὄντι χαριτοδότης Θεὸς κἀμοὶ παντελῆ τῶν ἐνταῦθα λύσιν κακῶν, ἢ παράκλησιν, καὶ σοὶ τῆς ἀμειλίκτου θηρὸς ἀπαλλαγὴν τελείαν ἢ ἄνεσιν Οὐ γὰρ δὴ ἢ μόνοι τῆς κατ' αὐτὸν ὁδοῦ ἀπεσφάλημεν, ἢ μόνοις ἡμῖν ἀπένειμεν ἄκρατον τὸ κόνδυ τῆς πόσεως.

hanc malorum paludem, atque ejus indigenas judicaveri it ranas ? Neque enim habeo aliud, quod tibi imprecer, nisi ut in deliciis cum dolore consuetæ podagræ vivas. Videor ita tibi jocari. Et certe per hos sermones adeo mihi gratiarum plenos sic me diffundit in memoriam recordantem, ut datis **713** ad te litteris id significem, atque ab omni interea liberer tristitia ; patetque me tuis gratiis alias referre gratias. Det autem vere gratiarum dator Deus, et mihi ab hisce omnino malis absolutionem aut consolationem, et tibi ab aspera bellua liberationem perfectam aut relaxationem ; non enim soli ab ejus via aberravimus, aut nobis tantum præbuit non dilutum potionis calicem.

ΕΠΙΣΤ. Γ'.

Τῷ διδασκάλῳ τῆς μεγάλης ἐκκλησίας κυρῷ Νικήτᾳ τῷ τῶν Σερρῶν.

Ἐβουλήθην μὲν καὶ πρὸς τὴν σὴν ἁγιότητα μακροῖς ἐνευκαιρεῖν λόγοις, καὶ προδεικνύναι σου τοῖς ἐμπαθέσιν ὀφθαλμοῖς πλατυτέραν τὴν ἐμὴν σκηνὴν τῶν τραγῳδιῶν. Ἀλλ' ἐπειδὴ καὶ τοῦτο δυστυχοῦμεν, πύθου τοῦ πρὸς τὸν κοινὸν ἡμῶν αὐτὸν τὸν μέγαν δομέστικον γραμματίου, ἡλίκα καὶ οἷα πάσχομεν· κἂν μὲν αὐτάρκης ἡ παρ' ἐκείνου διδασκαλία τῇ σῇ συνέσει, γενοῦ καὶ τῶν ἡμετέρων διδάσκαλος ἄλλοις. Οὐδέ σοι διεξοδικωτέρων δεῖ λόγων ἧς τήσας τὴν πρὸς τὸν ἐπὶ τῶν δεήσεων ἐπιστολὴν ἡμῶν, ἣν πάντως (*a*) ὁ σὸς μαθητὴς καὶ ἀδελφὸς ἐμὸς ἐπιδώσει σοι, πλέον τι μαθήσῃ τυχὸν καὶ γυμνότερον. Πλὴν ἀλλ' ὁποτέρως ἂν ἐπιγνοίης τὰ ἐν οἷοις εἰμί, ἀλλοιῶσαι ταῦτα ταῖς εὐχαῖς σπούδασον πάντως, ὃς μακροὺς ἐπ' ἐκκλησίας κηρύττεις λόγους. Φιλάνθρωπον μᾶλλον ἢ δίκαιον οὕτως ὑπὲρ δούλου μακρὰ πεπονηκότος. Καὶ βραχέων σου ῥημάτων ἀκούσεται.

EPIST. III.

Domno Nicetæ, magnæ ecclesiæ magistro, Serrarum episcopo.

Volui equidem et ad sanctitatem tuam plurimis opportune scribere sermonibus, et compatientibus tuis oculis ampliorem exhibere meam tragœdiarum scenam. Quoniam vero et in hoc miseri sumus, ex epistola, quam ad communem nostrum amicum dedi domesticum magnum, accipito quanta et qualia patimur : satis erit intelligentiæ tuæ ex illa hoc audire. Esto et nostrarum rerum magister aliis. Quod si profusioribus opus est sermonibus epistolam nostram quærens ad eum qui a supplicibus est libellis datam, quam Pantas tibi tradet sanctus discipulus ac frater meus, majus quidquam fortasse intelliges ac magis sincerum. Verumtamen utrovis modo poteris cognoscere, in quibus versor. Cura hæc tuis omnino mutare precibus, qui longis in ecclesia sermonibus concionaris. Humanum magis quam justum facies pro famulo diu laborante. Et brevia tua dicta audiet.

ΕΠΙΣΤ. Δ'.

Τοῦ αὐτοῦ ἐπιστολὴ, τῷ σεβαστῷ Ἰωάννῃ τῷ γυναικαδέλφῳ τοῦ βασιλέως.

Τίς ἂν μοι σχολὴν ἔδωκε πρὸς λόγους, πανσέβαστέ μου ἀντιλῆπτορ, ὅση μοι βούλησις, ἵνα σοι πρὸς τὴν τοῦ κατορθώματος δόξαν, τὴν γλῶτταν ἥρμοσα ; Τίς δ' ἂν μοι ῥητόρων χορὸν συνεκρότησεν, ἵνα τούτου κορυφαῖος γενόμενος, ὅπερ ἦν ποτε, εἶτα δοὺς αὐτοῖς τὸ ἐνδόσιμον, κοινῇ τὴν λογικὴν χορείαν ἐπλήρωσα ; Σὺ γὰρ βοηθὸς ἐν θλίψεσι ταῖς εὐρούσαις ἡμᾶς σφόδρα παρὰ τοῦ βοηθειαν ἐξαποστείλαντός σοι ἐξ ἁγίου καὶ ὑπερασπίσαντος ἀναδέδειξαι· σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος· σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος, κἂν νῦν σπαίρῃ τῷ οὐραίῳ καὶ δοκῇ ζῆν, οὕτως παρὰ τοῖς ὀρθῶς κρίνουσιν, ὡς ἡμεῖς γε παρὰ σοῦ τοῦ λαβόντος δύναμιν πατεῖν ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ

EPIST. IV.

Ejusdem epistola Sebasto Joanni Augusti conjugis fratri.

Ecquis mihi dederit otium ad dicendum, omnino venerande mi susceptor, quanta mihi voluntas, ut ad rei feliciter gestæ gloriam tibi linguam accommodem? Quis mihi rhetorum chorum congregaverit, ut princeps hujus factus, quod dicebam modo carmen præbens ipsis canendum, facundam simul impleam choream? Tu enim ab illo qui mittit tibi auxilium de sancto, et tuetur te, constitutus es adjutor in tribulationibus quæ invenerunt nos nimis [68]. Tu contrivisti capita draconum in aqua [69]. Tu contribulasti caput **714** draconis [69], et quamvis cauda nunc palpitet et videatur vivere, de eo tamen ita non recte judicant, ut nos quidem a te, qui virtutem accepisti

[68] Psal. XLV, 3. [69] Psal. LXXIII, 13. [69] ibid. 14.

Variæ lectiones et notæ.

(*a*) Interpres *Pantas* fecit proprium ; utraque lectio stare potest et non habemus unde alii potius quam alteri adhæreamus. EDIT. PATR.

Digitized by Google

calcandi omnem inimici potestatem, accipientes vitam, irrideamus gloriantem in immensum et dicentem : Manu mea et orbem terrarum comprehendam, et delebo mare, et quasi ova derelicta tollam universos. Verum enimvero non dereliquisti quærentes te, Domine [61]. Respexisti autem de cœlo [62], et vidisti filios interemptorum [63], et misertus es nostri, et super filium hominis quem confirmasti tibi, et super virum dexteræ tuæ emisisti lucem et veritatem tuam [64]; multiplicasti super sebastum magnificentiam tuam [65], et docuisti manus ejus ad prælium et digitos ad bellum [66]; contrivisti brachia peccatoris [67], et vectes ferreos confregisti [68], vinctos eduxisti, et dixisti iniqua agentibus, Nolite inique agere, et exacerbantibus Nolite exaltare cornu [69]. Sed vides quemadmodum divina erga te munera divinis, ut potui, verbis exornaverim, quoniam et opus est, ne humana lingua, quæ supra homines sunt, deterat. Custodi igitur mihi in bonitate Dei imitationem, et nemini unquam quidquam velis malum; atque in omnes demonstrans bonitatem, præsertim in illos, quorum ab initio misertus es, quales nos sumus, quibus rem facies maximam et gratissimam, si nostros in Euripo cognatos misericordia digneris, atque incolis Græciæ ostendas, apud te qui maxime venerandus omnium susceptor es, majore archiepiscopum esse dignum ratione. Fac igitur mihi opem ferens, ut gaudium meum sit plenum in meis omnibus, et te Deus exaltet magis glorificans te, qui tua quoque bonitate ipsum quotidie glorificas. Et inimici tui terram lingent [70].

A τὸ ζῆν ἀπειληφότες, ἐγγελῶμεν τὸν καυχησάμενον εἰς τὰ ἄμετρα, καὶ εἰπόντα· Τῇ χειρί μου καταλήψομαι τὴν οἰκουμένην, καὶ ἐξαλείψω τὴν θάλασσαν, καὶ ὡς καταλελειμμένα ὠὰ τοὺς σύμπαντας ἐξαρῶ. Ἀλλὰ γὰρ οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, Κύριε· ἐπέβλεψας δὲ ἐξ οὐρανοῦ καὶ εἶδες τοὺς υἱοὺς τῶν τεθανατωμένων, καὶ ᾠκτείρησας ἡμᾶς, καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίωσας ἑαυτῷ, καὶ ἐπὶ ἄνδρα δεξιᾶς σου ἐξαποστείλας τὸ φῶς σου καὶ τὴν ἀλήθειαν, ἐπλεόνασας ἐπὶ τὸν σεβαστὸν τὴν μεγαλωσύνην σου, καὶ διδάξας τὰς χεῖρας αὐτοῦ εἰς παράταξιν, καὶ τοὺς δακτύλους εἰς πόλεμον, συνέτριψας ἀμαρτωλοῦ βραχίονας, καὶ μοχλοὺς σιδηροῦς συνέθλασας. Ἐξῆξας πεπεδημένους, καὶ εἶπας τοῖς παρανομοῦσι· Μὴ παρανομεῖτε, καὶ τοῖς παραπικραίνουσι· Μὴ ὑψοῦτε κέρας. Ἀλλ' ὁρᾷς, ὦ πανσέβαστε, ὅπως τὰ Θεοῦ περὶ σὲ δωρήματα τοῖς τοῦ Θεοῦ λογίοις ὡς δυνατὸν ὕμνησα, ἐπεὶ καὶ δεῖ μὴ ἀνθρωπίνῃ γλώσσῃ [τὰ] ὑπὲρ ἀνθρώπους κατασμικρύναντα ᾄσται. Φύλαττέ μοι τοίνυν τὴν ἐπὶ ἀγαθότητι θεομιμησίαν, καὶ μηδέποτε μηδενὶ μηδὲν θελήσῃς κακόν· καὶ πρὸς πάντας ἀγαθοσύνην ἐπιδεικνύμενος, μάλιστα δὲ πρὸς τοὺς ἐξ ἀρχῆς ἐλεηθέντας σοι, ὁποῖοί ἐσμεν ἡμεῖς, οἷς μάλιστα ἂν χαρίσαιο καὶ τὰ μέγιστα, εἰ τούτους ἐν τῷ Εὐρίπῳ συγγενεῖς ἡμῶν ἐλέους ἀξιοῖς, καὶ δείξοις τοῖς ἐν τῇ Ἑλλάδι ὡς παρὰ σοὶ τῷ πανσεβάστῳ πάντων ἀντιλήπτορι πλείονος ὁ ἀρχιεπίσκοπος λόγου ἄξιος. Πλήρωσον οὖν μοι τὴν χαρὰν ἐν τοῖς ἐμοῖς ἐν πᾶσιν αὐτῶν ἀντιλαβόμενος. Καί σε Θεὸς ἔτι ὑψώσειε δοξάζων σε τὸν διὰ τῆς ἀγαθότητος αὐτὸν ὁσημέραι ἀντιδοξάζοντα, καὶ οἱ ἐχθροί σου χοῦν λείξουσιν.

B

C

EPIST. V.

Cæsari.

Domine mi sancte. Ad priora imperii tui in me beneficia sæpenumero perpendi linguam, conatusque eam rebus parem invenire, multam esse post periculum sensi meam levitatem. Illa enim magna quidem pondusque excedentia, lingua vero mihi exigua, et nihil ponderis habens. Verum quoniam et edictum de canonica additum est his, illud ipsum portentum, quod in mentem venisse gigantibus fingitur, Ossam Pelio superposui, nisi forte nobis est magis familiare dicere, Qui multiplicasti super me magnificentiam tuam, ubi me abscondam? Quali ego utar sermone, qui ejusmodi quodammodo benefactis respondeat? Vides, ut me **715** vincis acrem aliquando rhetorem, imperator munificentissime atque optime? Vides ut nobis imperas et dominaris in omnibus? Et merito. Si enim Dei quidem imago omnis rex, tu vero hujusce divinissimi particeps es et operis et nominis, velut archetypum aliis omnino omnibus antecellens; ita omnes certe superabit effigies. Ea igitur sic et intende et prospere procede, et in bonorum effusione regna [71]. At videor audire vi-

ΕΠΙΣΤ. Ε'.

Τῷ Καίσαρι.

Δέσποτά μου ἅγιε, τοῖς πρότερον περὶ [*f.* παρὰ] τῆς βασιλείας σου γενομένοις πρὸς ἐμὲ ἀγαθοῖς πολλάκις ἀντιταλαντεύσας τὴν γλῶσσαν, καὶ πειρασάμενος ἴσην ἐξευρεῖσθαι [*f.* ῥέσ.] γλῶσσαν τοῖς πράγμασι, πολλὴν ἐμαυτοῦ κουφότητα μετὰ τὴν πεῖραν κατέγνωκα. Τὰ μὲν γὰρ μεγάλα τε καὶ ὑπερβριθῆ, ἡ γλῶσσα δέ μοι μικρὰ καὶ οὐδὲν ἐμβριθὲς ἔχουσα. Ἐπεὶ δὲ καὶ τὸ ἐπὶ τῷ κανονικῷ πρόσταγμα προσετέθη τούτοις νῦν, τοῦτο ἐκεῖνο Ὄσσαν ἐπὶ Πηλίῳ πατεῖλον, τὸ τοῖς γίγασιν ἐννοηθῆναι τερατευόμενον, ἢ τό γε ἡμῖν οἰκειότερον εἰπεῖν, Ὁ πλεονάσας ἐπ' ἐμὲ τὴν μεγαλωσύνην σου. Ὁ γοῦν καὶ τούτου μὴ προστεθέντος οὕτω τῶν προτέρων ἡττώμενος, ποῦ νῦν καταδύσομαι; τίς δέ μοι λόγος ἔσται κιχρῶν τοσούτοις ἀγαθοῖς ἀμωσγέπως ἀντιζυγούμενος; Ὁρᾷς ὅπως με νικᾷς τὸν ἦν ὅτε δριμὺν ῥήτορα, βασιλεῦ φιλοδωρότατε καὶ χρηστότατε; ὁρᾷς ὅπως βασιλεύεις καὶ κρατιστεύεις ἡμῶν ἐν ἅπασι; Καὶ εἰκότως. Εἰ γὰρ Θεοῦ μὲν εἰκὼν ἅπας βασιλεύς, σὺ δὲ τούτου τοῦ θειοτάτου μετέσχηκας καὶ πράγματος καὶ ὀνόματος· πάντως ὥσπερ ἁπάντων ὑπέρτερον τὸ ἀρχέτυπον, οὕτω δὴ πάντως ὑπερέξει καὶ τὸ ἐκτύπωμα. Βάλλε τοίνυν οὕτω,

[61] Psal. IX, 11. [62] Psal. XXXII, 13. [63] Psal. CI, 21. [64] Psal. LXXIX, 18. [65] Psal. LXV, 21. [66] Psal. CXLIII, 1. [67] Psal. X, 15. [68] Psal. CVI, 16. [69] Psal. LXXIV, 5. [70] Psal. L XI, 9. [71] Psal. XLIV, 5.

Digitized by Google

καὶ ἐντεινε, καὶ κατευοδοῦ, καὶ τῇ ἀγαθοχυσίᾳ βασίλευε. Ἀλλὰ δοκῶ σου ἀνταχούειν τῆς γλυκείας φωνῆς· Τί δ' ἂν εἴποις, ἀρχιεπίσκοπε, εἰ καὶ τὰ λοιπὰ χωρία, τὰ δεσποτικὰ φημι κτήματα, συντελεῖν σοι τὸ ἐπὶ τῷ κανονικῷ νενομισμένον προστάξομεν; Τί δὲ ἄλλο, ἢ ὅτι ὁ ἐμὸς δεσπότης, οὐ τὴν ἐμὴν μόνον γλῶσσαν νικῆσαι φιλονεικεῖ, ἀλλὰ καὶ παντὸς τοῦ ταύτην φημιζομένην ἀκούσαντος τὴν χρηστότητα, καὶ ὡς ἥλιός ἐστι πρὸς ἡμᾶς τὸ μεσημβρινὸν ἐπιλάμπων ἀεὶ θερμότερον καὶ λαμπροτέρον; Τί τούτου κρεῖττον, ἄγιε δέσποτα, τοῦ νικᾷν οὐ τὴν μόνον ἡμετέραν γλῶσσαν, ἀλλὰ καὶ παντὸς ῥητορικὸν πνέοντος; Εἶπω τι τούτου μεῖζον; Εὗρον γὰρ Θεὸν μείζω ἕξειν τὴν τῶν ἐκκλησιαστικῶν ἀνάθεσιν, καὶ πᾶσι τὴν ὑποταγὴν ἑαυτῶν ὧν τελέσαι τὸ δίδραχμον ἐντελλόμενον, καὶ τῆς ἀγαθότητος τὰς ἀμοιβὰς κάνταῦθα κἀκεῖ παρέχοντα· ὃν μόνον οὐχ ἕξεις νικῆσαι, κἂν ἅπαντα μηχανήσαις· ἀλλ' ὅσον ἡμᾶς νικᾷς, τοσοῦτον ὑπ' ἐκείνου νικηθήσῃ, μᾶλλον δὲ ἀπειροπλάσιον τοῖς φιλοτιμήμασι.

cissim dulcem tuam vocem. Quid dicas, archiepiscope, si reliquas etiam facultates, propria, inquam, bona, jubeamus tibi id perficere, quod de canonica existimatum est? Quid vero aliud, nisi quod dominus meus non meam solum linguam, sed uniuscujusque etiam, qui eam loquentem audit, bonitatem contendit superare, tanquam sol in meridie nobis ferventius semper affulgens ac splendidius? Quid hoc melius, domine sancte, cum vincas non meam modo linguam, sed omnis etiam quicunque rhetorice sonat, quid hoc, inquam, majus? Etenim inveni, Deum maximam habiturum ecclesiasticorum dedicationem, atque omnibus subjectionem suimetipsius, ut didrachmum solvant mandatum, et bonitatis retributiones eodem tempore exhibentem, quem modo non vinces, etsi omnia moliris, sed quantum nos vincis, tantum ab illo, imo vero in infinitum, liberalibus vinceris operibus.

ΕΠΙΣΤ. Ϛ'.

Τῷ υἱῷ τοῦ σεβαστοκράτορος.

Εὐλογητὸς ὁ Θεὸς ὁ δοὺς ἡμῖν τά τε ἄλλα τῆς αὐτοῦ ἀγαθοχυσίας φιλοτιμήματα, καὶ δὴ καὶ τὰ γράμματα, δι' ὧν καὶ φίλοι φίλους προσαγορεύομεν, καὶ δοῦλοι δεσπόταις διὰ μακροῦ προσφθεγγόμεθα. Ἀμέλει καὶ νῦν ὁ δοῦλος τῆς ὑμῶν ἀγαθότητος ἐγὼ στόματι τῷ γράμματι κέχρημαι, καὶ διὰ τούτου τὴν ὀφειλομένην προσάγω φωνήν. Ἡ δέ ἐστι πρῶτον μὲν ὑπὲρ τῆς σῆς ὑγείας εὐχή, πανσέβαστέ μοι ἀντιλῆπτορ, καὶ μετὰ τοὺς ἐκ τοῦ πρώτου προτέρους, βοηθέ μου καὶ τεῖχος ὁμοῦ καὶ περίτειχος (δεῖ γάρ σε τοῖς τῆς Γραφῆς καλεῖν ῥήμασι)· εἶτα καὶ παράκλησις πρὸς τὸ ἀγαθόν. Μὴ γάρ μοι ἐπιλάθοιο μήτε τῆς σῆς φύσεως, ἐξ ἧς ἀγαθῶν σοι ῥύακες, μήτε τῶν πατρικῶν παραινέσεων, ὧν οὐδέν ἐστιν ἀγχινούστερον ἅμα καὶ σταθηρότερον· ἀλλ' εἰδὼς, ὡς τὸ μὲν ἀγαθοποιεῖν Θεοῦ, τὸ δὲ κακοποιεῖν ἐριννυῶδες, ὑπὲρ τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ τοῦ στεναγμοῦ τῶν πενήτων, καὶ τῶν ταῦτα προξενούντων αὐτοῖς ἐξανίστασο· καὶ μὴ κάμνοις, μηδὲ ἄλλο τι προτιμότερον ἡγοῖο τῆς θεομιμησίας, καί σε Θεοῦ οἱ πένητες, μᾶλλον δὲ ὁ, οὗ πένητες, τηροίη σε πάσης κακίας ἀνώτερον καὶ κακώσεως ἐν πᾶσι, καὶ τῆς ἡμετέρας ἀσθενείας καὶ ταπεινότητος τῇ δυνάμει καὶ τῷ ὕψει σου ἀντιλαμβανόμενον.

EPIST. VI.

Sebastocratoris filio.

Benedictus Deus, qui inter cætera suæ bonorum effusionis beneficia has quoque dat nobis epistolas, quibus amici amicos alloquimur, servi dominos absentes compellamus, non aliter atque ego vestræ bonitatis servus epistola in præsens utor pro ore, debitorumque per eam emitto vocem. Primum quidem oratio est pro salute tua, maxime venerande susceptor, qui ab initio inter primos adjutor meus es, et murus simul et antemurale [72]. Oportet enim te Scripturæ verbis vocare. Deinde vero adhortatio ad bonum. Etenim ne oblitus fueris, neque tuæ ipsius naturæ, ex qua omnium tibi bonorum rivi, neque paternorum consiliorum quibus nihil est sane solertius simul et magis firmum. Verum intelligens bonum facere Dei esse, malum autem facere furiosum, exsurge ad miseriam inopum, et ad gemitus pauperum [73], atque eorum, qui hæc sibi conciliant. Et ne deficias. Nihil enim aliud in terra præstantius divina imitatione. Et te Dei pauperes, imo vero ille, cujus sunt pauperes, **716** defendat ab omni malitia et malo in omnibus, dum virtute et celsitudine tua nostram suscipis infirmitatem atque humilitatem.

ΕΠΙΣΤ. Ζ'.

Τῷ σεβαστῷ κυρῷ Ἰωάννῃ τῷ υἱῷ τοῦ σεβαστοκράτορος.

Ἐπειδὴ Θεὸς τοῖς πτωχοῖς τοῖς μέλεσι Θεοῦ ἐπαπέστειλε τὴν σὴν ἀντίληψιν, πανσέβαστέ μου αὐθέντα καὶ ἀντιλῆπτορ, μὴ παύσαιο ποιῶν τοῦτο δι' ὃ ἐξῆλθες. Κατὰ γὰρ τὸν θεσπέσιον Ἀρσένιόν σοι τῷ τὴν φύσιν θειοτάτῳ καὶ παίδευσιν, φθέγγομαι. Τά τε οὖν ἄλλα τοῖς πένησιν ἐπικούρει κατὰ τῶν αἰχμαλωτιζόντων (οὕτω γὰρ εἰπεῖν οἰκειότερον), καὶ δὴ

EPIST. VII.

Sebasto domno Joanni imperatoris filio.

Quandoquidem Deus pauperibus Dei membris immisit auxilium tuum, omnino venerande mi domine et susceptor, ne desinas illud facere propter quod venisti. Te enim juxta divinum Arsenium alloquor, qui divinissimus es natura ac disciplina. Interea igitur pauperibus auxiliare adversus eos qui captivos abducunt; ita enim dicere familiarius,

[72] Isa. xxvi, 11. [73] Psal. xi, 6.

Digitized by Google

et malum hoc fatum ab ipsis averte. Nam monachus quidam meus et sacerdos ex iis qui mali sunt, Deum quidem contemnens, humanumque probrum per impudentiam nihili faciens, cum juxta illud propheticum induerit meretricis vultum, abjecit sanctum habitum, et helluo pro abstinente viro, et incontinens pro continente, imo vero continens factus et consuetudinem habet cum muliere, et omni deposito pudore triumphat lascivia. Id autem multis dignum lacrymis. Verumtamen magis ferendum quam quod dicendum superest. Illud igitur, quod maxime Deum provocat ad iracundiam ac nobis affert dolorem, audito qui solus potes in melius vertere. Ex quo enim divinum excussit timorem et dixit Deo : Vias tuas nolo cognoscere; cupit et contendit potens esse in iniquitate, auctorque iniquarum et injustarum propositionum fit hominibus Iasepi. Illi autem ipsum honoribus prosequuntur, ecquid non futurum est ut faciant ? et solum ferunt in capite. Sed pauperes abeunt præcipites, et pereunt dolosis consiliis. Cum igitur nullus sit redemptor ac servator, misi, atque hominem exsecrabilem ad me duxerunt, qui ad Dominicos usque Carnisprivii dies me tutum fecit, neminem inventum esse consilii participem, neque de aliqua re insimulatum. Itaque dimisi, atque ei Christifideles homines Iasepi obsequium præstant, et venatorem existimant; hoc enim sibi ipse nomen imposuit, suaves illis donans capturas. Exsurge ad hæc, domine mi, et dic verbo, et dæmonium ejicietur, quod Dei populo damnum infert. Nemo autem te seducat officiosis sermonibus tibi suadens, futurum alienando esse, ut latro pœnitentiam agat. Quot enim obtuli pœnitentiæ remedia, et superiore anno, et hoc tempore, et per epistolam, et coram ipse secum loquens? Verum surdis aquis verba feci, et panthera iterum adversum stigma. Miserere igitur pauperum, ac primum animæ ejus, quæ antequam ipse pereat cum damnis suis corrumpitur malitia; tollaturque ex hisce membris tanquam pestis, et morbus popularis. **717** Quod si et ipse in eum potero manus injicere, in turri morietur, velut malum publicum et commune. Deus autem sit, qui te dominum meum servet ab omni malitia et malo.

EPIST. VIII.

Eidem.

Divinorum hominum dona, omnino venerande mi domine et susceptor, oportet esse sine pœnitentia, tanquam dona Dei. Quoniam igitur tua nobis cura elargita est principatus divinitatem (quod antea per regem a Deo coronatum et fortem, deumque, ut ita dicam, mundanum, Ecclesiæ concessum fuerat, perfectam, inquam, sacerdotum prope urbem versantium potestatem, cui quidem dignitas tantum supereminet illius qui populos subjectos habet, cætera vero omnia subjacent ministeria), quid talem potest mutare gratiam, domine mi sancte et susceptor ? Si quid enim perturbavimus

A καὶ τήνδε τὴν κακὴν μοῖραν αὐτῶν ἀποσόβησον. Τῶν τις γὰρ μοναχῶν καὶ ἱερέων ὁ ἐκ τῶν ἐμῶν κακῶν, καταφρονήσας μὲν Θεοῦ, ἀπαναισχυντήσας δὲ καὶ πρὸς ἀνθρώπινον ὄνειδος · καὶ τοῦτο δὴ τὸ προφητικὸν, ὄψιν πόρνης ἑαυτῷ σχηματίσας, ἀπεβάλετο μὲν τὸ σχῆμα τὸ ἅγιον, καὶ ὁ βόρος δὲ ἀντὶ νηστευτοῦ, καὶ ἀσελγὴς ἀντὶ σωφρονικοῦ, μᾶλλον δὲ σωφρονικὸς τελεσθεὶς γυναικί τε σύνεστι καὶ ἀπηρυθριασμένως ἐμπομπεύει τῇ ἀσελγείᾳ . Καὶ τοῦτο μὲν καὶ δακρύων πολλῶν ἄξιον· ἀλλ' οὖν ἀνεκτότερον πρὸς τὸ ῥηθησόμενον. Ὃ δ' οὖν καὶ Θεὸν μάλιστα παροργίζει, καὶ ἡμᾶς λυπεῖ, ἄκουσον, ὁ μόνος τοῦτο δυνάμενος διορθώσασθαι. Ὡς γὰρ τὸν θεῖον φόβον ἀπετινάξατο, καὶ πρὸς τὸν Θεὸν εἶπεν · Ὁδούς σου εἰδέναι οὐ βούλομαι, ἐκ κακίας δυνατὸς εἶναι ἱμείρεται, καὶ ἐπείγεται, καὶ τοῖς B ἀνθρώποις τοῦ Ἰασήπου τῶν ἀδίκων καὶ ἀθέσμων λημμάτων πρόξενος γίνεται. Οἱ δὲ περιέπουσι τοῦτον· τί δὲ οὐ μέλλουσι ; καὶ μόνον ἐπὶ κεφαλῇ φέρουσιν· οἱ δὲ πένητες κατὰ κεφαλῆς φέρονται καὶ ἀπόλλυνται ταῖς συκοφαντίαις μὴ ὄντος λυτρουμένου μηδὲ σώζοντος. Ἔστειλα, καὶ ἤγαγον τὸν ἐπικαίρατον πρός με, καὶ ἠσφαλίσατό μοι ἄχρι τῶν Κυριακῶν τῆς ἀπόκρεω, μὴ εὑρεθῆναι μηδένα τῶν τῆς βουλήσεως μερῶν μήτε κατά τινος ἐγκαλέσαι. Ἀπέλυσα τοῦτον, καὶ οἱ Χριστιανοὶ οἱ τοῦ Ἰασήπου ἄνθρωποι περιέπουσιν αὐτὸν, καὶ κυνηγὸν ἔχουσιν· οὕτω γὰρ ἑαυτὸς ἑαυτὸν ὀνομάζει, τὰ φίλα τούτοις θηράματα χαριζόμενος. Ἐπὶ τούτοις διανάστηθι, ὦ αὐθέντη μου, καὶ εἰπὲ λόγῳ, καὶ τὸ δαιμόνιον, ὃ τῷ τοῦ Θεοῦ λαῷ ἐπηρεάζει, ἀπελαθήσεται. Μηδείς δέ σε ἀπατήσῃ διακένοις λέγοις, ὅτι μετανοήσει ὁ κλέπτης · C πόσα γὰρ αὐτῷ προσήγαγον μετανοίας φάρμακα καὶ πέρυσι, καὶ νῦν, καὶ δι' ἐπιστολῆς, καὶ αὐτοπροσώπως ἐντυγχάνων; Ἀλλὰ κωφῷ προσελάλουν κύματι, καὶ ἡ πάρδαλις αὖθις κατὰ στίγματος. Ἐλέησον οὖν τοὺς πένητας καὶ πρὸ τούτων τὴν ἐκείνου ψυχὴν, ἣ πρὸ τοῦ τοῦτον φθείρειν ταῖς ζημίαις, τῇ κακίᾳ προφθείρεται · καὶ ἀπελαθήτω τῶν μελῶν τούτων λοιμὸς καὶ νόσημα ἐπιδήμιον. Εἰ δὲ καὶ αὐτὸς ἰσχύσω συλλαβεῖν τοῦτον, τῷ πύργῳ ἀποθανεῖται ὡς κακὸν κοινὸν καὶ δημόσιον. Θεὸς δὲ εἴη σε σώζων τὸν ἅγιόν μου αὐθέντην πάσης κακίας ἀνώτερον καὶ κακώσεως.

D

ΕΠΙΣΤ. Η'.

Τῷ αὐτῷ.

Τῶν θείων ἀνδρῶν, πανσέβαστέ μου αὐθέντη καὶ ἀντιλῆπτορ, ἀμεταμέλητα εἶναι δεῖ, ὥσπερ καὶ τοῦ Θεοῦ, τὰ χαρίσματα. Ἐπεὶ οὖν θεότητα μὲν ἡ σὴ περιωπὴ τῆς ἀρχῆς ἐχαρίσατο ἡμῖν (ὃ προηγουμένως ἐκ τοῦ θεοστεφοῦς καὶ νραταιοῦ βασιλέως, καὶ Θεοῦ ἐγκοσμίου, ἵνα οὕτως εἴπω, τῇ Ἐκκλησίᾳ κεχάριστο, φημὶ δὲ τὴν τῶν πολιγειτόνων ἱερέων παντελῶς ἐξουσίαν μόνῳ καταβαρυνομένην τῷ τοῦ ζευγόλεω τέλει, τῶν ἄλλων δὲ πασῶν ὑπερκειμένην ἐπηρειῶν), τί τοσαύτην παρ-λλάξῃ τὴν χάριν, ἁγιέ μου αὐθέντη καὶ ἀντιλῆπτορ ; Εἰ μὲν γοῦν ἐκινήσαμέν τι πρὸς τὴν σὴν δόξαν ἡμεῖς, καὶ τὸ νενοὸς

Digitized by Google

ἀγαθὸν δι' ἀγνωμοσύνην κατεμολύναμεν, οὐδ' οὕτως δεῖ τὴν πρὸς τὸν τοῦ Θεοῦ οἶκον γενομένην χάριν ἀνατρέπειν· Θεοῦ γὰρ οἶκος ἡ Ἐκκλησία καὶ λέγεται καὶ πιστεύεται. Εἰ δ' ἡμεῖς αὐθέντην καὶ εὐεργέτην ἐπιγραφόμεθα, μηδὲ γὰρ οὕτως ἐμάνημεν ὡς ἀχάριστοι καὶ σκαιῶς τῇ ὑμετέρᾳ χρηστότητι ἀντενδείξασθαι. Ὁρᾷς ὅπως οὕτω ῥᾳδίως ἀνατέτραπται τὸ σιγίλλιον τοῦ πανσεβάστου Κομνηνοῦ παρ' αὐτοῦ τοῦ Κομνηνοῦ· ὀνειδείας γὰρ μικρόν τι καὶ τόλμης ἔχεται· ἀλλὰ μὲν οὖν, οὐκ ἔστιν ἐπιθεῖναι τῇ πληγῇ μάλαγμα. Ἔτι καὶ μάλα ῥᾷον ἦ πλήξαντι οὐράνιον τὸ μάλαγμα, στίξαντι ὑπογεγραμμένον, τῇ σεβαστῇ σου χειρὶ διοριζόμενον τῷ ἐκ προσώπου ὄντι, πάσης ἐπηρείας καὶ δουλείας, τῷ πραιτωρίῳ ἀνηκούσης, περὶ τοῦ τῶν λαϊκῶν ἀφεῖναι τοὺς ἱερεῖς, ἀντιστρέψαι δὲ καὶ εἴτι ἀπὸ ἱερέων ἦ... κληρικοὺς ἢ ἑτέρους τινὰς ἀφείλετο. Δεῖ γάρ με παθεῖν τὴν καλὴν ἀντιστροφήν, μᾶλλον δὲ προσταχθεῖσαν ἐκ προσώπου διὰ τῆς μεγάλης ἀντιλήψεως τοῦ αὐθέντου μου, ἵνα εἴ τινες τῶν λεγομένων μεσάζειν ἱερεῖς ἔχουσιν εἰς οἰκείας ὑπηρεσίας καταχρώμενοι, μηκέτι ταύτην τὴν τυραννίδα κατὰ τῶν ἀρχιεπισκόπων ὑποκειμένων ἔχωσιν. Οὗτοι γὰρ δὴ καὶ τὸν κοινὸν λαὸν ἀπεσόβησαν, ἐγκαλέσαι τῷ αὐθέντῃ μου, διὰ τοὺς ἱερεῖς, οἷα δὲ [*f.* δὴ] θέλοντες τούτους αὐτοὶ καρπίζεσθαι, καὶ τὸ τῆς Ἐκκλησίας προνόμιον διὰ τὰ σφῶν αὐτῶν κέρδη θραύοντες. Ὁ δὲ πρῶτος ἡμῶν ἀρχιερεὺς Ἰησοῦς ὁ Χριστὸς τηροίη τὸν πανσέβαστόν μου αὐθέντην ἐν πάσῃ εὐεξίᾳ, ὅση σώματος, ὅση πνεύματος, οὗ καὶ μικρὰν εὐλογίαν τὴν αὐτὴν καὶ τελείαν ἀριθμῷ μὴ ἀπαξιώσῃς δέξασθαι, ἰχθύας ταρίχους ἑκατόν.

A quod ad tuam pertinet gloriam, et quod bonum natum est, per ignorantiam polluimus, neque ita decet gratiam domui Dei collatam evertere. Nam Ecclesia et dicitur et creditur domus Dei. Quod si nos inscribimus dominum et beneficum, neque ideo insani ita sumus, ut quidquam vestræ bonitati contrarium ingrato animo ac rustice demonstremus. Vide quomodo tam facile sigillum omnino venerandi Comneni subversum est ab ipso Comneno. Inest autem aliquid contumeliæ et audaciæ. Verumtamen exspectato, tempus adhuc non est, ut imponatur vulneri medicaminis lenimen. Adhuc etiam multum facile, vel ei qui percussit, cœleste malagma, ab eo qui signavit subscriptum, augusta tua manu definitum ei qui coram adstat, omnis doloris et B servitutis prætorio convenientis, ut a laicis dimittas sacerdotes, convertat vero vice versa si et ab sacerdotibus vel . . . . . clericos, vel aliquos alios abstulit. Oportet enim me pulchram pati vicissitudinem, imo vero jussam ex persona propter magnum subsidium domini mei, ut si qui sunt sacerdotes ex eorum numero qui dicuntur mediatores pacisque factores esse, qui contra domos et familias ministerio ipso abutuntur, non hanc in posterum tyrannidem adversus subjectos archiepiscopos exerceant. Illi enim et populum universum excitarunt, ut dominum meum propter sacerdotes in jus vocaret, ita volentes ipsi ex illis fructum accipere, et Ecclesiæ tributum privatis lucris confringentes. Primus autem Pontifex noster Jesus Christus ser- C vet maxime venerandum dominum meum in omni bona tum corporis, tum spiritus affectione, cujus etiam et parvam hanc, et numero perfectum benedictionem, **718** centum sale conditos pisces, ne dedigneris accipere.

bona tum corporis, tum spiritus affectione, cujus dictionem, **718** centum sale conditos pisces, ne

ΕΠΙΣΤ. Θ'.

Τῷ Καίσαρι τῷ Μελισσηνῷ.

Δέσποτά μου ἅγιε, τῇ βαρβάρῳ καὶ καθ' ἡμᾶς οἰκουμένῃ θεὸς ἐπιπεμφθεὶς ἐλευθέριος, καὶ πᾶσι μὲν εἰ παράκλησις καὶ παραψυχὴ τοῖς τῷ θεοστεφεῖ σου κράτει προσπαρέχουσι, μάλιστα δὲ τῇ τῆς ἐμῆς ταπεινότητος ἀσθενείᾳ ῥάβδος δυνάμεως καὶ πύργος ἰσχύος, ἀπὸ προσώπου ἐχθροῦ, ὄντινα νοητέον τόνδε τὸν ἐχθρὸν εἶναι εἴτε πειραστὴν ἀδικώτερον, εἴτε λύπην τὴν ἐντὸς τὰ βέλη ἐναπερείδουσαν· εἴ τι κἀμοὶ τούτων καὶ ὁπωσοῦν ἐνοχλήσειεν, εὐθὺς ἐγγύθεν ὁ σύμμαχος, καὶ ὁ [*f.* οὐ] πόῤῥω τὸ λυσίπονον φάρμακον. Ἅμα τε γὰρ τῆς βασιλείας σου μιμνήσκομαι, καὶ εὐφραίνομαι· ἁμέλει καὶ νῦν γράφων τῷ ἐνθέῳ σου κράτει, πάντων τῶν λυπηρῶν ἐξ αὐτῆς δὴ τῆς γραφῆς ἐλπίζομαι λύσιν ἔσεσθαι. Ἀλλὰ ταῦτα μὲν ἤδη καὶ λέλεκται. Δεινὸν γὰρ τὰ τοιαῦτα διασκεδάζειν τὸ τοῦ κραταιοῦ μου δεσπότου ὄνομα, ὡς πάχνην ἑωθινὴν ἥλιος. Τίς γὰρ ἀκούων ὅτι τὸν ἀρχιεπίσκοπον ὁ θεοστεφὴς δεσπότης ἤδέως δέχεται γράφοντα, καὶ τοῖς ὑπ' αὐτοῦ ἐλεουμένοις συντάττει, ἄχαρί τι κατ' ἐμοῦ καὶ τῶν ἐμῶν ἐπιδείξεται; Ἐπεὶ δὲ νηστείας καιρὸς καὶ ἰχθυοφαγίας, ἡ φρουρός μου Θεοτόκος στέλλει τῇ βασιλείᾳ σου εὐλογίαν ἰχθύδια τεταριχευ-

EPIST. IX.

Cæsari Melisseno.

Domine mi sancte, barbaræ terræ atque huic nostræ deus missus liberali præditus ingenio, et consolatio quidem, et levamen omnibus es, qui a Deo coronatum verentur imperium tuum, maxime vero infirmæ humilitati meæ virga virtutis es turrisque fortitudinis a facie inimici [74], quicunque debeat intelligi iste inimicus, sive tentator injustissimus, sive dolor interior sagittas infigens. Si quid horum molestiam mihi quomodocunque exhibuerit, paratus adest pugnæ auxiliator, et quamvis D longe dissitus medicinam habeo curas solventem; nam et imperium tuum in memoriam revoco simul, et lætor. Itaque omnes modo dolores imperio tuo significans per litteras, ex ipsa hac scriptura spero futuram liberationem. Verum hæc superius dicta sunt. Nomen enim potentis domini mei ea valet dissipare, veluti sol matutinam tollit caliginem. Quis enim audiens archiepiscopum a te, qui a Deo coronatus es, domine mi, blande excipi scribentem, atque illorum numero ascribi, quorum te miseret, injucundum aliquid adversum me, resque meas demonstraverit? Quoniam vero tempus jejunii est,

[74] Psal. LX, 4.

Digitized by Google

adeoque comedendi pisces, præsidium meum Deipara mittit imperio tuo benedictionem ducentos sale servatos pisciculos, qui quidem pauperibus sunt veluti pisces propter passerum privationem, divitibus autem auxilium, quo semper ipsa dignetur Imperium tuum. Sed et numerum ipsum reputaveris signum mihi divini moniti et instructionis. Docet enim, perfectum sensum quinternionem cum quaternione virtutum, velut servum indignum uni omnium Reginæ multiplici ratione offerre cibum et potum.

A μένα διακόσια, πέντησι μὲν οὖσα τὰ ἐπ' ἰχθῦσι διὰ τὴν τῶν στρουθίων ἀποστέρησιν, πλουσίοις δὲ τὴν ἀντίληψιν, ἧς ἀεὶ τὴν βασιλείαν σου ἀξιοῖ. Ἀλλ' ὅπως μοι καὶ τὸν ἀριθμὸν σύμβολον οἰήσῃ θειοτέρας νουθεσίας καὶ παραινέσεως· παιδεύει γὰρ τὴν τελειοτέραν πεντάδα τῶν αἰσθήσεων τῇ τετράδι τῶν ἀρετῶν, πολλαχῶς ἐνουμένῃ τῇ Βασιλῇ τῶν ὅλων πόμα καὶ βρῶμα προσφέρεσθαι ὡς δοῦλον ἀνάξιον.

EPIST. X.

Diabologyræ.

Euge gregi Christi accessio facta est, euge ampliores tibi divinorum agrorum fines, et populus qui tibi creatus est, laudat Dominum. Non mediocriter exsultavit etiam spiritus meus in Armeniorum conversione. Eorum enim ecclesias non decet claudere, sed officium, quod in templi dedicatione peragimus, muros unguento crucis in modum linientes, orthodoxis tradere sacerdotibus, atque Armeniis conversis, ut ita faciant singulis annis. Si vero eorum sacerdotes ad orthodoxam venere fidem, satius quidem puto **719** laicorum ordini eos ascribere. Quod si dediti sacerdotio fuerint ac cæteroquin irreprehensibiles, sacris illos ordinibus tute initiaveris. Oportet autem ad trutinam diligentissime revocare ipsorum liturgiam, quæ quidem, si Chrysostomi vere fuerit, neque ullo pacto immutata, neque dissimilis, debet omnino servari; si vero fuerit corrupta, immutetur, aliaque excogitetur psalmodia. Novimus præterea adventum meum abs te desiderari. Verum dominus meus sebastus, ut suspicor, adventante vere ad nos veniet post Pascha. Ita nosmetipsi consuevimus, neque isthic in præsens opus est adventu nostro. De hac igitur re nobis scribito. Consilium autem tuum veniendi ad nos omni ex parte laudantes, et omnes certiores facimus, et magis laudabimus hoc tempore, quod videlicet ab amicis captivus factus es. Equum etiam, qui solus tibi supererat, Ecclesiæ misisti idoneum. Etsi enim usui non est omnino idoneus, eo tamen utimur : summa est tua in Ecclesiam benevolentia, et pro te precor, quod eam novisti dare tibi quæ possides, nam multi sunt ei detrimento. Cura ut intelligam, an totum habeas officium, quod facimus in Armenios qui convertuntur. Si non habes, illud transcribemus, ac tibi vel feremus, vel mittemus. Ne desinas curare, frater, Ecclesiæ psalmodiam, et maxime domus Dei decorem, ac te Deus ab omni custodiat inimico.

ΕΠΙΣΤ. Ι'.

Τῷ Διαβολογύρῃ.

Εὖγε ὅτι προσθήκη τῷ ποιμνίῳ τοῦ Χριστοῦ γέγονεν· εὖγε ὅτι πλατύνεταί σοι τὰ θεῖα σχοινίσματα, καὶ λαός σοι κτιζόμενος αἰνεῖ τὸν Κύριον οὐ μικρῶς, καὶ ἠγαλλίασέ μου τὸ πνεῦμα ἐπὶ τῇ τῶν Ἀρμενίων ἐπιστροφῇ. Τὰς γὰρ ἐκκλησίας αὐτῶν οὐ δεῖ κλεῖσαι, ἀλλὰ τὴν ἀκολουθίαν, ἣν ποιοῦμεν εἰς ἐγκαίνια ναοῦ ποιήσαντά τε καὶ χρίσαντα σταυροειδῶς μύρῳ τοὺς τοίχους, ὀρθοδόξοις ἱερεῦσι παραδοῦναι, καὶ οὕτως ἐνέτους πάντας ποιῆσαι τοῖς ἐξ Ἀρμενίων ἐπιστρέψασιν. Εἰ δὲ καὶ ἱερεῖς αὐτῶν τῇ ὀρθοδόξῳ πίστει προσῆλθον, κρεῖττον μὲν ἐπιτάττεσθαι αὐτοὺς εἰς λαϊκούς· εἰ δ' ἄρα τῆς ἱερωσύνης ἀντέχοντες καὶ ἄλλως ἀνεπίληπτοί εἰσι, χειροτόνησον τούτους αὐτός. Πρὶν [*f.* πλὴν] δεῖ ἀκριβολογηθῆναι τὴν λειτουργίαν αὐτῶν· καὶ εἰ μέν ἐστι τοῦ Χρυσοστόμου ἀπαράλλακτος καὶ ἀδιάφορος, δεῖ λειτουργεῖσθαι ταύτην· εἰ δέ ἐστι διεφθαρμένη, χρὴ ἀλλαγῆναι· καὶ τὴν ἄλλην δὴ [*f.* δὲ] ψαλμῳδίαν σκοπηθῆναι. Καὶ πρὸς ταῦτα οἴδαμεν, ὅτι τὴν ἐμὴν παρουσίαν ἐπικαλέσῃ· πλὴν ἀλλ' ὑποπτεύω ὅτι μετὰ τὸ Πάσχα, ὁ αὐθέντης ἡμῶν ὁ σεβαστὸς πρὸς τὰ πλησιάζοντα ἡμῖν ἔαρα, ἢ πρὸς ἡμᾶς ἐλεύσεται. Οὕτως δὲ αὐτὸς [*f.* αὐτοὶ] ἡμεῖς συνηθίσαμεν. οὐδεμία χρεία τῆς ἐμῆς παρουσίας αὐτόθι. Τὸ μὲν νῦν γράψον οὖν ἡμῖν περὶ τούτου τοῦ αὐτοῦ· τὴν δὲ παροῦσάν σου πρὸς ἡμᾶς διάθεσιν πάντοτε ἀποδεχόμενοι, καὶ πρὸς πάντας ἀνακηρύττοντες, πλέον ἀποδεξόμεθα νῦν, ὅτι παρὰ τῶν δῆθεν φίλων ἠχμαλωτίσθης· καίτοι δν μόνον εἶχες ὑπολειφθέντα σοι ἵππον, τῇ Ἐκκλησίᾳ ἀπέστειλας ἐπιτήδειον. Εἰ γὰρ καὶ μὴ πάνυ ἐπιτήδειός ἐστιν εἰς τὴν [*f.* ἣν] χρείαν αὐτοῦ χρῄζομεν, ὅμως πολλὴ ἡ πρὸς τὴν Ἐκκλησίαν εὐγνωμοσύνη σου· καί σου ὑπερεύχομαι, ὅτι οἶδας τὴν δοῦσάν σοι ἃ ἔχεις. Οἱ γὰρ πολλοὶ καὶ τῇ [*f.* καί τι] προσβλάπτουσι. Δήλωσον δέ μοι εἰ καὶ πᾶσαν τὴν ἀκολουθίαν ἔχεις, ἣν τελοῦμεν ἐπὶ τοῖς ἐξ Ἀρμενίων ἐπιστρέφουσιν· εἰ δὲ οὐκ ἔχεις, μεταγράψομεν ταύτην. Καὶ ἣ ἐνέγκωμεν, ἢ ἀποστείλωμεν, καὶ μὴ παῦσον, ἀδελφὲ, τῆς ἐν τῇ Ἐκκλησίᾳ ψαλμῳδίας, καὶ ὅλως τῆς τοῦ οἴκου τοῦ Θεοῦ εὐπρεπείας προνοούμενος· καὶ σκεπάσῃ σε ὁ Θεὸς ἀπὸ παντὸς ἐχθροῦ.

EPIST. XI.

Tarchanito.

Vere mentis imago sermo est, ac juxta id quod Dominus dicit, bonus homo de bono thesauro cordis sui profert bonum numisma [18], quale etiam tu

[18] Luc. vi, 45.

ΕΠΙΣΤ. ΙΑ'.

Τῷ Ταρχανείτῃ.

Ὄντως εἰκὼν ὁ λόγος τοῦ νοῦ, καὶ κατὰ τὸν Κύριον εἰπεῖν, ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας τὸ ἀγαθὸν προβάλλεται νόμι-

Digitized by Google

σμα. Ὁποῖον δὲ [*f.* δὴ] καὶ σὺ, ὁ μεγαλεπιφανέστατος ἡμῶν αὐθέντης, περὶ τὴν ἡμετέραν ἐπεδείξω οὐδαμινότητα τιμήσας γράμματα, ἀξιώσας νουθετεῖσθαι γράμματι, καὶ ἁπλῶς λαλήσας ἐκ τοῦ τῆς καρδίας σου περισσεύματος. Καίτοι τίνες ἡμεῖς νουθετεῖν τὸν ὑπὲρ πάντας τοὺς διδάσκοντας συνιέντα, καὶ ὑπὲρ τοὺς πρεσβυτέρους σοφισθέντα τῇ τῶν ἐντολῶν ἐκζητήσει; Τί σε τοσοῦτον ὁ ἡμέτερος λόγος διδάξει, ὅσον ἡ μεγάλη σου φύσις ἐχώρησε, προσλαβοῦσα καὶ τὴν ἐκ τῶν στροφῶν τοῦ βίου πεῖραν ἐπίκουρον; Πάντως γὰρ οἶδας τὴν τοῦ μάλιστα πάντων πειρασθέντος τῶν βιωτικῶν ἀγαθῶν ἀπόφασιν, τοῦ μεγάλου, φημὶ, Ἐκκλησιαστοῦ. Θεὸς, ὃς ματαιότητα ματαιοτήτων τὰ πάντα εἶναι ὡρίσατο, τὴν ὑπεροχὴν ἐν τούτῳ δηλώσας τῆς κοσμικῆς οὐδενότητος. Εἶτα χάριν τῆς τῶν ματαιοτήτων ματαιότητος, τῷ ὄντως ὄντι προσαροῦμεν, καὶ ὑπὲρ σκότους τῷ ἡλίῳ ἀντιστησόμεθα. Ἐμβλέψατε, φησὶν, εἰς ἀρχαίας γενεὰς, τίς ἤλπισεν ἐπὶ Κύριον καὶ κατῃσχύνθη; Καὶ οὖν οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, καὶ τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται. Σωτηρία δὲ τῶν δικαίων παρὰ Κυρίου. Τίς οὕτως ἐξαπάτητος καὶ πεπαχυμένος καὶ βοσκηματώδης τὸ νῦν, ὥστε ἐπ' ἀδικίαν ἐλπίζειν, καὶ ἐπιπωθεῖν ἐπὶ ἅρπαγμα, καὶ ταῦτα ἀκηκοὼς τοῦ Ἰὼβ, οὗ πλουσιώτερος οὐκ ἄν ποτε γένοιτο, ἀλλ' οὐδ' ἀληθέστερος; Ὁ πλοῦτος ἀδίκως συναγόμενος ἐξεμεθήσεται. Ταῦτα γοῦν εἰδότα σε, πανευγενέστατε, οὐδενὸς ἧττον ὡς ἀκηκόαμέν τε καὶ πεπιστεύκαμεν, τί πλέον ὁ ἡμέτερος λόγος νουθετῆσαι δυνήσεται; Πάντως οὐδὲν, εἰ μὴ βουλοίμεθα μάτην φορτικεύεσθαι. Ὅμως ἐπεὶ οὖν πάντα δυνατὰ τῷ πιστεύοντι, ἀπονοοῦ μου τῶν πραγμάτων, καθάπερ πεπίστευκας. Οἶδα γὰρ καὶ ἄλλως τοῖς δρομεῦσι πτερὰ γινόμενα τὰ τῶν φίλων ὑποφωνοῦντα. Θεὸς δὲ ὁ πάντοθεν ἡμᾶς ὠφελῶν (ἐποίησε γὰρ πάντα καλὰ λίαν), δῴη σοι ὠφελεῖσθαί γε ζωωφελίαν, ... τὸ ἔργον μόνον, ἀλλὰ καὶ τὴν ἀπειλὴν, ὡς ὁ μέγας Ἀπόστολος ἐνετείλατο.

A maximus omnium susceptor in me ostendisti, dum meas honorasti litteras, patiens litteris admoneri, ac loquens plane ex abundantia cordis [76]. Ecquis poterit eum commonefacere, qui omnibus magistris excellit intellectu, atque omnium seniorum sapientissimus est in mandatorum exquisitione? Quid enim sermo noster docebit te, qui ex ipsis vitæ conversionibus in auxilium vocas experientiam? Novisti enim ejus sententiam, qui præ cæteris omnibus bona hujus vitæ expertus est, magni, inquam, Ecclesiastæ. Deus vanitatem vanitatum omnia esse definivit, excellentiam in eo demonstrans hujus mundi vanitatis [77]. Deinde propter vanitatem vanitatum ad Deum vere exsistentem attollemur, et pro tenebris stabimus contra solem. B Respicite, inquit, antiquas generationes, quis speravit in Domino, et confusus est [78]? Etenim non vidi justum derelictum, et reliquiæ impiorum interibunt [79]; salus autem **720** justorum a Domino [80]. Quis adeo facile deceptus et incrassatus et pecuarius in præsens, ut speret in iniquitate, et rapinas concupiscat, cum ea præsertim Jobi audierit, quo quidem nemo unquam exstitit ditior, sed neque magis sincerus. Divitiæ inique congregatæ evomentur. Hæc igitur cum scias, vir nobilissime, nihilominus, ut audivimus et credimus, quid amplius sermo noster admonere te poterit? Nihil omnino, nisi velimus onus frustra portare. Verumtamen quoniam omnia credenti possibilia, nullam mearum litterarum habeto rationem, sicut credidisti. C Cæteroquin vidi currentibus alas fieri voces amicorum. Deus autem nos in omnibus adjuvans, fecit enim omnia pulchra nimis, det tibi adjuvari, ... opus solum, sed et minas, ut magnus Apostolus mandavit.

ΕΠΙΣΤ. ΙΒ'.

Τῷ γυναικαδέλφῳ τοῦ βασιλέως κυρῷ Ἰωάννῃ.

Νῦν ἔγνων μὲν οἷον ἥλιον ἔχοντες, κατεκύομεν· νῦν ἡμῖν γλυκεῖαι αἱ τοῦ ἔαρος χάριτες· ἔστρεψας γάρ σου τὸ πρόσωπον καὶ τεταραγμένοι σύμπαντες ἐγενήθημεν. Ποθοῦμέν σου τὴν πραότητα, ζητοῦμέν σου τὸ μέτριον τοῦ φρονήματος, τὸ πρὸς πάντας ὁμιλητικόν τε καὶ εὔχαρι. Βαβαὶ, πόσον ἀνακλειόμεθα [*f.*—κλαιόμ.]! Τὸ δὲ τῆς χειρὸς εὐεργετικόν τε καὶ μεγαλόδωρον, τὸ δὲ τιμητικὸν καὶ φιλάνθρωπον, τὴν δὲ πρὸς τοὺς τῷ Θεῷ ἀνακειμένους αἰδώ τε καὶ ὑποχώρησιν, ταῦτα μικροὺς μετὰ τῶν μεγάλων ἀνακηρύττοντας γίνωσκε. Ἀλλ' ἡμῖν μὲν προφανῶς δοθεὶς ἐκ Θεοῦ διὰ τὰς αὐτοῦ ἀρετὰς, εἶτα διὰ τὰς ἁμαρτίας ἡμῶν ἀποδημήσας, ἄλλοις φυλάττῃ παρὰ Θεοῦ σωτὴρ πάσης χρηστότητος χορηγὸς, καὶ μεγίστοις πράγμασιν ὁ Θεὸς ἐμβιβάζων οἷά τις ἀρχιτέκτων εὐφυῆ μαθητὴν, ὕλην ταῦτά σοι δίδωσιν, ἵν' ἐν τούτοις ἐπιδείξῃ τὴν δεξιότητα. Καὶ θαῤῥῶ σου

EPIST. XII.

Domno Joanni Augustæ fratri.

Nunc scio equidem qualem habentes solem fecundi eramus, nunc dulces nobis veris gratiæ. Avertisti enim faciem tuam [81], et commoti sumus universi. Exoptamus tuam lenitatem, moderatam tuam erga omnes et affabilem et blandam quærimus comitatem. D Papæ, quam magnificis iterum atque iterum laudibus celebramus! Nunc manus beneficentiam et munificentiam, honorem atque humanitatem; nunc obsequium et venerationem, qua quidem viros prosequeris Deo addictos: de his omnibus scias parvos una cum magnis plurima prædicare. Verum ob tui ipsius virtutes nobis manifeste datus a Deo, ob nostra crimina deinde decedens, ad bonum aliorum custodiris a Deo servator omnisque utilitatis subministrator. In magnis autem operibus Deus veluti architectus ingenioso discipulo facem tibi præferens ea quasi materiem

[76] Matth. XII, 24. [77] Eccle. I, 2. [78] Eccli. II, 11. [79] Psal. XXXVI, 26, 28. [80] Ibid. 39. [81] Psal. XXIX, 8.

Digitized by Google

præbet, ut in istis tuam ostendas dexteritatem. Etenim tuis virtutibus tuam ætatem vincere contendentibus illud fore confido, ut in omnibus laudaris omnium solertissimus ac spectatissimus, resque Bulgariæ iterum geras benefaciendo, quemadmodum tua administrantur. Neque enim nos adhuc dereliquisti omnino. Nam etsi sol, e boreæ regionibus, propior sit austro, tamen aliqua ratione ea omnia et fovet et generat, quæ quidem vicina non exstant, sicut videlicet et nos in Pelagoniæ parte tuis fruimur radiis. Fruemur autem magis, si et agellus Hemongila, ubi vetus nostra constituitur aula, præsidio tuo Deiparæ datus fuerit per adoratum a me et veneratum sigillum tuum. Et Romanus Ostracorhomus, qui ex bonis Ecclesiæ pinguefactus **721** contra eam recalcitrat, reprimatur minis domini mei, præcepto dato etiam exercitui de illo et aliis amentibus, ut nemini detur regio adversus nos, qui pro tui nominis gloria preces quotidie fundimus, et res tuas gestas semper prædicamus, et linguam habemus ad gratiarum actionem nullius lingua pejorem, ne dicam Romani aliorumque lingua longe meliorem. Tu vero qui beati Ducarum generis præclara quæque in te ipso complecteris, mihi maneas in tua bonitate, imo vero ascensiones in ea progressusque facias, si quis tamen est modus in iis rebus quas præclare gessisti. Neque a loco velis desciscere, quem dedit Deus, ænatura, inquam, ad bene faciendum ac recte agendum comparata, atque a tua in omnibus moderatione, quæ quidem te exaltavit, et exaltabit quidem, magna tua manu, nobis opitulantem.

ταῖς ἀπαραμίλλοις τὴν σὴν γενεὰν ἀρεταῖς, ὡς ἐν πᾶσι πάντων ἀνακηρυχθήσῃ δεξιώτερός τε καὶ δοκιμώτερος. Καὶ πάλιν τὰ τῆς Βουλγαρίας εὐεργετήσαις οἰκονομίαις θείαις, οἷς τὰ σὰ διεξάγηται. Καί τι [*f.* καίτοι] καὶ νῦν οὐκ ἀπολέλοιπας ἡμᾶς πάντη. Κἂν γὰρ ἐκ τῶν βορείων ὁ ἥλιος νοτιώτερος γένηται, ὅμως ἀναλόγως καὶ θάλπει καὶ ζωογονεῖ καὶ τὰ πάντα μὴ πλησιάζοντα· ὥσπερ ἀμέλει καὶ ἡμεῖς τῷ τῆς Πελαγονίας μέρει, τῶν ἀκτίνων σου ἀπολαύομεν. Ἀπολαύσαιμεν δὲ πλέον, εἰ καὶ τὸ χωρίδιον Ἡμόγγιλα, ἐν ᾧ καὶ ἀρχαία ἡμῶν αὐλὴ συνίσταται, δοθείη τῇ φρουρῷ σου Θεοτόκῳ διὰ προσκυνητοῦ καὶ σεβαστοῦ μοι σιγιλλίου σου, καὶ ὁ ἐν ταύτῃ Ῥωμανὸς Ὀστρακορωμὸς, ὃς ἐκ τῆς Ἐκκλησίας παχυνθεὶς κατ' αὐτῆς λυττᾷ, ἀνασταλείη δι' ἀπειλῶν τοῦ αὐθέντου μου, παραγγελλομένου καὶ τοῦ στρατοῦ περὶ αὐτοῦ, καὶ τῶν ἄλλων ἀνθρώπων, ὡσὰν μηδενὶ χώρα διδοίη καθ' ἡμῶν τῶν ἀεὶ εὐχομένων ὑπὲρ τῇ σῇ εὐδοκιμήσει· τῶν ἀεὶ ἀνακηρυττόντων τὰ σὰ, καὶ γλῶτταν ἐχόντων πρὸς εὐχαριστίαν οὐδενὸς χείρονα, ἵνα μὴ λέγω ὅτι καὶ Ῥωμανοῦ, καὶ ἄλλων πολλῶν, βελτίονα. Ἀλλ', ὦ τοῦ μακαρίου Δουκῶν γένους τὰ καλὰ ἐν ἑαυτῷ συλλαβών, μένε μοι ἐπὶ τῆς αὐτοῦ ἀγαθότητος, μᾶλλον δὲ ἀναβάσεις καὶ προκοπὰς ἐν ταύτῃ τίθεσον, εἴπερ ἐστί τι μέτρον ἐπ' ἐκεῖνα κατώρθωσας· καὶ μὴ ἐκστήσῃς τοῦ θεοδότου τόπου, τῆς εὐεργετικῆς φημι καὶ ἀγαθοποιοῦ διαθέσεως, τῆς τε ἐπὶ πᾶσι μετριοφροσύνης, ᾗ σε καὶ ὕψωσε καὶ ὑψώσει μὲν, ἡμῶν τῶν ταπεινῶν κἂν αἰτῶμεν τῶν συγγενῶν ἡμῶν τῶν..... ἐν τούτῳ τῇ μεγάλῃ σου χειρὶ ἀντιλαμβανόμενον. miseris et si petamus etiam cognatis nostris.....

EPIST. XIII.

Tornosopulo Dociscopiorum episcopo.

Si quidem desipientem atque insanabili laborantem furore archiepiscopum audivisti, sanctissime mi domine, illud oportebat tibi suasisse, eum noluisse illa quæ scripseras, audire; nec quidquam (heu! qui id possum dicere?) dignatum esse ad te rescribere. Cæterum si vere dementati sumus, ac quasi pecudes facti passionibus, et corrupti, et a divinæ imitationis studio abhorrentes, in hoc adhuc sapimus videndo prudentiam vestram, qua præstatis, et propter quam præestis omnibus. Nolito tam faciles iis aures præbere, qui blaterant contra nos. Sed muta fiant labia calumniantium nos apud tuam bonitatem. Ostendant cui dederint tabellam, quæ de episcopatu tractaret, quis eam nobis attulerit, et tunc sancient quæ dicunt, nos scilicet contemnentes nihil ad ea rescripsisse. Certe per sanctæ matris tuæ preces inquirito, cuinam tabella data fuerit. Et si compertum erit, me eam quidem accepisse, nihil vero rescripsisse, arguar tanquam contemptor. Quoniam vero ex eo quod non accepta est scriptura domini mei de episcopo agens, jam defensus sum, ecce et de ipso scribo episcopatu. Neque enim decet ut teipsum talibus immisceas, domine mi: magna enim et formi-

ΕΠΙΣΤ. ΙΓ'.

Τῷ Τορνωσοπούλῳ τῷ Δοκισκοπιῶν.

Εἰ μὲν παραφρονήσαντα τὸν ἀρχιεπίσκοπον ἤκουσας, πανάγιέ μου αὐθέντη, καὶ μανίαν νοσήσαντα δυσθεράπευτον, τὸ τὸν [*f.* τοῦτο] ἔδει σε πεισθῆναι, ὅτι καὶ σῆς γραφῆς παρήκουσε, καὶ οὐδ' ἀντιγράψας (φεῦ! πῶς εἴπω;) ἠξίωσεν. Εἰ δὲ τῶν ἄλλα [*f.* τὰ ἄλλα] μὲν ἄφρονές ἐσμεν, οἷα δὲ [*f.* δὴ] κτηνώδεις γεγονότες τοῖς πάθεσι καὶ διαφθαρέντες, καὶ βδελυχθέντες τοῖς θεομιμήσουσιν ἐπιτηδεύμασιν· ἐν δὲ τούτῳ τέως φρονοῦμεν, τῷ εἰδέναι τὴν ὑμετέραν περιωπὴν ἐφ' ἧς ἵστασθε, καὶ δι' ἣν πάντων ὑπέρκεισθε. Μὴ οὕτω ῥᾳδίως πείθου τοῖς καθ' ἡμῶν λέγουσιν, ἀλλ' ἄλαλα γενηθήτω τὰ χείλη τῶν ἐνδιαβαλλόντων ἡμᾶς πρὸς τὴν σὴν ἀγαθότητα. Ἐπιδειξάτωσαν τίνι δεδώκασι τὸ πιττάκιον τὸ περὶ τῆς ἐπισκοπῆς διαλαμβάνον, τίς ἡμῖν τοῦτο διεκόμισε· καὶ τότε κυρώσουσιν ἅπερ λέγουσιν, ὅτι ὡς καταφρονοῦντες οὐκ ἀντεγράψαμεν, καὶ πρὸς τῆς εὐχῆς τῆς ἁγίας σου μητέρος, ἐρεύνησον περὶ τοῦ πιττακίου τίνι ἐδόθη· καὶ εἰ εὑρεθείην ἐγὼ δεξάμενος μὲν τοῦτο, μὴ ἀντιγράψας δὲ, ὡς καταφρονητὴς εὐθυνθήσομαι. Ἀλλ' ἐπειδὴ περὶ τοῦ μὴ δέξασθαι γραφὴν τοῦ αὐθέντου μου περὶ ἐπισκόπου διαλαμβάνουσαν ἀπ' ἐμοῦ λογησάμην [*f.* ἀπελογ.], ἰδοὺ καὶ περὶ αὐτῆς τῆς ἐπισκοπῆς γράφω· οὔτε σὲ τὸν αὐ-

Digitized by Google

θέντην μου δεῖ εἰς τὰ τοιαῦτα παρεμβάλλειν αὐτὸν (μεγάλα γὰρ καὶ φρικτὰ), οὔθ' ἡμᾶς οὕτως ἁπλῶς τὰ θεῖα καταχαρίζεσθαι. Τῶν γὰρ εἰς ἐπισκοπὰς προσαχθέντων παρ' ἡμῶν, οἱ μὲν, ἐν ταύτῃ τῇ Ἐκκλησίᾳ δουλεύσαντες καὶ ἐπ' εὐλαβείᾳ καὶ σεμνότητι μαρτυρούμενοι, τῆς ἐπισκοπῆς ἐπέσχον, οἷος ὁ Μορίβου, ὁ Πριζδιάνης· οἱ δὲ, ἐν Κωνσταντινουπόλει λόγῳ καὶ διδασκαλίᾳ λάμψαντες, οἷος ὁ Καστορίας, ὁ Βελεγάρδης· οἱ ἐν μοναστηρίῳ τῷ μοναδικῷ βίῳ ἐμπρέψαντες, οἷος ὁ Τριαδίτζης· τῆς ἀρχιερατικῆς ἀξίας ἐπέτυχον. Εἰ μὲν οὖν τοιοῦτος εἴη καὶ ὁ παρὰ τοῦ αὐθέντου μου συνιστάμενος, οὐ σὺ χάριν ἡμῖν ἔξεις, ἀλλ' ἡμεῖς σοί· εἰ δὲ μήτε τῇ ἡμετέρᾳ Ἐκκλησίᾳ γνωστὸς, μήτε τοῖς ἐν Κωνσταντινουπόλει ἐπὶ λόγῳ, ἢ βίῳ μαρτυρουμένοις περιφανὴς, μηδὲ θελήσῃς μάτην καὶ εἰκῇ προσκροῦσαι Θεῷ, μηδὲ ἡμᾶς τοῦτο κέλευε, οἳ πειθαρχεῖν μᾶλλον Θεῷ, ἢ ἀνθρώποις διατετάγμεθα. Ἔπειτα καὶ τοῦτό φαμεν, ὡς οὐδὲ λείπει νῦν ἡμῖν ἐπισκοπὴ, ἐκτὸς εἰ μὴ τὴν Βυδίνην λέγοι τις, ἧς τὸν ἄξιον καὶ πάνυ ποθοῦντες εὑρεῖν οὐ δυνάμεθα. Δεῖ γὰρ ἀνδρὸς ταύτῃ συγκεχροτημένου, καὶ θοροῦ τὰ πνευματικὰ καὶ τὰ κοσμικά. Πῶς δὲ παρήκουσα τῷ αὐθέντῃ μου, καὶ εἰς τὴν τοῦ κληρικοῦ μὲν ἀποστολὴν οὐκ ἔγραψα τῷ Προξίμῳ; Οὐκ ἔστειλα ἐκεῖνον καὶ πρότερον, κἂν ἀπὸ τοῦ Αἰγυπτίου ἀπατηθεὶς ὑπεστράφη· καὶ πάλιν ἐκ δευτέρου τοῖς ταξεώταις συναπέστειλα. Τίς ἐστιν, ὃς τὸν καθαρόν σου λογισμὸν καθ' ἡμῶν ἐπιτελεῖ; Δολιός τις, ὡς ἔοικεν, ἄνθρωπος, καὶ μὴν γὰρ ἡ διάβολος. Ἀλλ' ἐκεῖνον μὲν, ὅς τις ἂν εἴη, θραύσαι Κύριος, τὴν κακίαν αὐτοῦ συντρίβων· αὐτὸν δὲ ἰώμενος, σὲ διαφυλάττοι ἡμῖν ποταμὸν ὡς ὑδάριον εἰπεῖν ἀδόλωτον. Οἱ δ' ἐν τῷ πολιχνίῳ ἱερεῖς, οὐδεμιᾶς ἀδείας ἢ, ἀνέσεως ἔτυχον, κἂν σὺ, ὁ αὐθέντης μου, γράψας ἡμῖν διὰ σεβαστοῦ σου πιττακίου πρὸς τὸν ἐκ προσώπου γενομένου, ἄνεσιν αὐτοῖς δέδωκας. Καὶ εἰς παραμονὰς γὰρ ἕλκονται, καὶ εἰς ψωμοζήμιον· καὶ ταῦτα τοῦ χρυσοβούλου κελεύσαντος ὑπερτέρους εἶναι καὶ ῥυπαριῶν λειτουργούς τε καὶ ψωμοζημιῶν. Ἐγὼ μὲν ὅπερ δίκαιον εἶχον καὶ ἔχω ἐνήνεγκα τῷ αὐθέντῃ μου· εἰ δέ τινες τῇ σῇ χρηστότητι ἐμποδίζουσι, γνῶθι τούτους ἐχθροὺς εἶναι τοῦ ἀγαθοῦ, κωλύοντας καὶ τὴν καθαράν σου ψυχὴν ἀποδιδόναι τὰ τοῦ Θεοῦ τῷ Θεῷ, ὃν ἐν πᾶσι σύμμαχον ἔχων, μὴ οὕτως τοὺς αὐτῷ ἱερωμένους ἐάσῃς τῷ κοινῷ λαῷ συνάγεσθαι· καί γε αὐτὸν φυλάττοι ἐν πολεμικοῖς καιροῖς καὶ εἰρηνικοῖς, πρὸς αὐτὸν εἰρηνεύοντα.

danda, nec nos ita facile circa divina gratificemur. A Nam ex iis qui per nos ad episcopatum assumpti fuerunt, alii hujusce Ecclesiæ servitio addicti, et religione et morum integritate probati, episcopatum obtinuerunt, qualis episcopus Morobi, episcopus Prisdianæ. Alii vero, qui Constantinopoli fulsere sermone et doctrina, qualis episcopus Castoriæ, episcopus Belgradi; **722** alii, qui in monasterio monachorum vita celeberrimi evaserunt, qualis Triuditzes, episcopalem assecuti sunt dignitatem. Itaque, cum talis sit, quem dominus meus commendat, non tu nobis, tibi nos gratias habebimus. Verumtamen si neque notus in Ecclesia hac nostra, neque iis qui Constantinopoli probati sunt, manifestus, doctrina et vita, nolito Deum frustra ac temere ad iram provocare; neque id nobis jubeas, B qui statuimus potius Deo quam hominibus obtemperare. Deinde id etiam dicimus perinde ac si non desit nobis nunc episcopatus, nisi quis Vydinam dicat, qua quidem dignum etiam optantes possumus invenire neminem. Opus enim est viro ad illam parato, qui et spiritualia et mundana intelligat. Quomodo autem neglexi dominum meum audire, et mittens clericum meum nullam ad Proximum dedi epistolam? Haud ego illum misi, et primum ab Ægyptio etiam deceptus pedem referre coactus est; secundo vero illum misi cum apparitoribus. Ecquis est qui tam elegans adversum nos perficit argumentum? Dolosus, ut videtur homo; etenim calumniator est. At illum, quicunque C sit, evertat Dominus conterens malitiam ejus, ipsum autem sanans, te nobis flumen, ut suavissime dicam, limpidum servet. Urbis autem sacerdotes nullam habent fiduciam aut remissionem; etsi tu, domine mi, cum nobis scripsisses, per venerabile tuum rescriptum ad eum, qui ἐκ προσώπου est, factum remissionem eis dedisti. Et paramonarii fiunt, et deliciosis cibis nutriuntur, et hæc, cum jusserit aurea bulla, excellentes eos esse sordium ministros, atque delicatarum epularum. Ego enim, quod habebam et habeo justum, obtuli domino: quod si qui sunt tuam bonitatem impedientes, scias istos esse boni inimicos, prohibentes puram tuam animam, quominus Deo reddat quæ Dei sunt, quem quidem in omnibus habens auxiliatorem ne sinas ejus cultui addictos viros subjici populo universo; ipse autem tempore belli et pacis tueatur te, erga ipsum pace fruentem.

ΕΠΙΣΤ. ΙΔ'.

Τῷ Ταρχανείτῃ.

Καὶ τίς ἡμῶν, μακαριώτατε καὶ μεγαλεπιφανέστατέ μου αὐθέντη, εἴ γε τηλικαύτην ψυχὴν ὠφελοίημεν; Εἰ γὰρ ὅταν καὶ τοῖς ἐλαχίστοις ποιήσωμεν, Θεῷ ποιεῖν πεπιστεύκαμεν, ὡς ὁ μέγας Θεὸς καὶ Σωτὴρ ἡμῶν ἐδίδαξεν· ὅταν μεγίστῃ ψυχῇ, ἡλίκῃ πάντως ἡ σὴ, θησαυρὸν ὠφέλῃ καταβαλλώμεθα, πόσον ἡμᾶς δεῖ ἀγαλλιᾶσθαι, καὶ τὸ τῆς πνευματικῆς εὐφροσύνης ἱμάτιον ἀναδύεσθαι [*f.* ἐνδ.]· ὡς μόνον οὐκ ἐν χερσὶν ἔχοντας βαρεῖς τε καὶ ἀδροὺς τοὺς ὑπὲρ τούτου μι-

EPIST. XIV.

Turchanito.

Ecquis nostrum, beatissime et præclarissime domine, si tam amplum animum consequitur fructum, si quod et minimis fecerimus Deo facere credidimus, quemadmodum magnus Deus et Servator noster educet, maxima animi alacritate, quanta quidem tu præditus es, thesaurum tam utilem comparaverit? Quantum oportet nos exsultare? Spiritualis etiam lætitiæ vestem debemus induere, **723** utpote qui solum non habemus in manu magnas et

Digitized by Google

opulentas pro eo mercedes ab illo qui verbum dat evangelizantibus, et reddit unicuique mercedem juxta laborem ejus, constituens supra tot et tot civitates eos, qui minas multiplicant. Nam scis omnino Evangelii parabolam, quæ bonos servos beatos et divites factos mihi ob oculos posuit, et servum iniquitatis probrum recipientem et mendacium factum, quod minam in sudario mortificationis et pigritiæ reposuerat, nec nummulariis commiserat. Omnis autem homo est nummularius, qui donum sermonis recipit, quasi regiæ imaginis characterem. Nos igitur, qui in sermonis ministerium assumpti sumus, debemus ad mensam omni homini sermonem pretiosum, dominicum numisma dare, igne examinatum argentum, casta Dei eloquia, ut quod nostrum est sine damnatione sit, omne autem pondus accumulet reliquum nummulariorum abundantiæ. Ego igitur minutum æs tibi committo, tu vero illud mihi multiplicato, et thesaurum obtinebis in cœlis ab eo qui thesauros absconditos et invisibiles promittit dare juxta id, quod sanctus dixit Isaias : *Quid autem est mihi tenue illud lucrum? Noli æmulari in malignantibus* [82]. *Hoc fac et vives* [83], et, gratia Domini Jesu cum spiritu tuo.

EPIST. XV.

Episcopo Pelagoniæ.

Accepi, frater in primis observande, nostris modo negotiis aliquem addi stimulum, quod et militiæ præfectus paulo ante repressus est, et dominus Eumallus dimissus, hujusce actuum scriptor, atque e contrario Michael domni Polyeucti filius dux exercitus renuntiatus est, et animo quidem et paterna gloria nobilis. Itaque quoniam ea sic contigerunt, et hi sunt mei judices, ad sacerdotium tuum do litteras, ut illis quantum potes opem feras, præsertim vero Demetrio, qui et plures habet inimicos, siquidem cum operatus fuerit in medio, nec omnibus placere potuerit, contra quemdam exoticorum sapientium sententiam tulit, ne dicam contra ipsum Dominum, quod melius est, quam si pro nobis. *Væ vobis*, inquit, *cum de vobis homines bene dixerint* [84]. Præsta igitur auxilium, si quid adversum illis continget. Omnia enim quæ præclarissimi domini Eumathii sunt, tua sunt, et tua illius ; si quidem salva illa est charitas, et inspectores abs te in omnibus adjuti sunt. Cæterum et aliunde hujus vitæ fluxum novisti, imo, ut cum Scriptura loquar, vanitatem, atque ut quidam e nostris sapientibus ait, *Ne perturbes animam conturbatam*. Deus autem det tibi in omnibus intellectum, atque **724** id efficiat, ut timor et desiderium ejus in anima tua mittat radices. Quare te veram vitem omnem in Domino ferentem fructum inveniens, ut ait Jeremias [85], inserat in suo paradiso, ac de sancto protegat semper episcopatum.

σθοὺς, παρὰ τοῦ καὶ διδόντος ῥῆμα τοῖς εὐαγγελιζομένοις, καὶ ἀποδιδόντος ἑκάστῳ τὸν μισθὸν κατὰ τὸν ἴδιον κόπον, καὶ ἐπάνω πόλεων τόσων καὶ τόσων, τοὺς τὰς μνᾶς πολυπλασιάζοντας τάσσοντος. Οἶσθα γὰρ πάντως τὴν τοῦ Εὐαγγελίου παραβολὴν ἣ μοι καὶ τοὺς εὐγνώμονας δούλους μακαριζομένους καὶ πλουτιζομένους ὑπέγραφε, καὶ τὸν τῆς ἀγνωμοσύνης τῷ ὄντι δοῦλον ὀνειδιζόμενόν τε καὶ προσχιζόμενον, ὅτι τὴν μνᾶν τῷ τῆς νεκρώσεως καὶ ἀργίας σουδαρίῳ ἐγκατεδήσατο, καὶ μὴ τοῖς τραπεζίταις κατέθετο. Πᾶς δὲ ἄνθρωπος τραπεζίτης, τὸ τοῦ λόγου λαβὼν χάρισμα, ὡς εἰκόνος βασιλικῆς χάραγμα. Δεῖ οὖν ἡμᾶς μάλιστα τοὺς εἰς λόγου διακονίαν τεθέντας πρὸς πάντα τὸν λόγον τετιμημένον τὸ Δεσποτικὸν καταβάλλεσθαι νόμισμα, τὸ ἀργύριον τὸ ἐκκυζωμένον, τὰ ἁγνὰ τοῦ Θεοῦ λόγια, ἵνα τὸ γοῦν ἡμέτερον ἐκτὸς εὐθύνης εἴη· τὸ δὲ πᾶν βάρος, ἐπικλῷ τὸ λοιπὸν τῷ τῶν τραπεζιτῶν ἐμπορεύματι. Ἐγὼ μὲν οὖν καταβάλλω σοι λεπτόν τι κερμάτιον· σὺ δέ μοι τοῦτο πολυπλασίαζε, καὶ θησαυρὸν ἕξεις ἐν οὐρανοῖς παρὰ τοῦ θησαυροὺς ἀποκρύφους ἀοράτους ἐπαγγελλομένου διδόναι, κατὰ τὸν ἅγιον εἰπεῖν Ἡσαΐαν· *Τί δὲ τὸ λεπτόν μοι κερμάτιον; Μὴ παραζήλου ἐν πονηρευομένοις. Τοῦτο ποίει καὶ ζήσῃ*, καὶ ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ μετὰ τοῦ πνεύματός σου.

ΕΠΙΣΤ. ΙΕ'.

Τῷ Πελαγονίας.

Ἐπυθόμην, τιμιώτατε ἀδελφὲ, τοῖς καθ' ἡμᾶς πράγμασι νυγμόν τινα γενέσθαι τανῦν, καὶ τὸν μὲν πρώην στρατηγοῦντα παρασταλῆναι, καὶ ἀναγραφέα τῆς τούτου πράξεως ἀποσταλῆναι τὸν κῦριν Εὐμάλλον καὶ καταστῆναι νῦν στρατηγὸν τὸν εὐγενῆ καὶ ψυχῇ καὶ πατρῴᾳ δόξῃ Μιχαὴλ τὸν τοῦ κυροῦ Πολυεύκτου υἱόν. Ἐπεὶ οὖν ταῦτα οὕτως συνέβη, οἱ δὲ κριταὶ ἐμοί· γράφω τῇ ἱερότητί σου, ἵνα χειραγωγήτωσαν [*f.* — γηθῶσι] παρὰ σοῦ ὅση δύναμις· καὶ μάλιστα ὁ Δημήτριος, ὃς καὶ πλείους ἔχει ἐχθροὺς, ἅτε καὶ ἐν τῷ μέσῳ διενεργήσας, καὶ μὴ πᾶσιν ἀρέσαι δυνηθεὶς, κατά τινος [*f.* καθά τις] ἐκ τῶν ἔξω σοφῶν ἀπεφήνατο, ἵνα μὴ λέγω τοῦ αὐτοῦ Κυρίου, ὡς κρεῖττον ἢ καθ' ἡμᾶς· *Οὐαὶ ὑμῖν*, φησὶν, *ὅταν καλῶς ὑμᾶς οἱ ἄνθρωποι εἴπωσι*. Συνέργησον οὖν, εἴ τι καὶ πρόσαντες αὐτοῖς συναντήσει. Πάντα γὰρ τὰ τοῦ μεγαλεπιφανεστάτου κυροῦ Εὐμαθίου σά· καὶ τὰ σὰ ἐκείνου· εἴπερ ἡ ἀγάπη σώζεται. Καὶ οἱ ἐπισκεπτῖται δὲ παρὰ σοῦ ἐν πᾶσι χειραγωγείσθωσαν. Οἶδας γὰρ καὶ ἄλλως τὴν τοῦ βίου τρύτον παλίρροιαν, ἢ μᾶλλον τὸ τῆς Γραφῆς εἰπεῖν, ματαιότητα, καὶ ὡς εἰπέ τις τῶν ἡμετέρων σοφῶν· *Ψυχὴν τεταραγμένην μὴ παράξῃς*. Δῴη δέ σοι Κύριος σύνεσιν ἐν πᾶσι, καὶ τὸν φόβον αὐτοῦ καὶ τὸν πόθον τῇ σῇ ψυχῇ ἐρριζωθῆναι ποιήσειεν· ἵνα σε, καὶ ἄμπελον καρποφόρον πᾶσαν ἀληθινὴν εὑρὼν ἐν Κυρίῳ, ὡς Ἱερεμίας φησὶ, τῷ παραδείσῳ αὐτοῦ ἐμφυτεύσειε, καὶ ἀεὶ τῇ ἐξ ἁγίου ἐπισκοπῇ ἐπισκέψιτο.

[82] Psal. xxxvi. 1. [83] Luc. x, 28. [84] Luc. vi, 26. [85] Jerem. viii, 13.

Digitized by Google

ΕΠΙΣΤ. ΙϚ'. A EPIST. XVI.

Τῷ υἱῷ τοῦ σεβαστοκράτορος.

Παμμέγιστέ μου αὐθέντη καὶ ἀντιλῆπτορ, πολλὰ μὲν ἀγαθὰ εἰργάσω ἐν μέσῳ τῆς γῆς ἡμῶν, καὶ Πρέπαν ἅμα καὶ Διάβολιν ἀναψύξας τῆς εὐθύτητος καὶ τῆς δικαιοκρισίας τῷ πνεύματι, ἣν ἐνεδείξω κατὰ τῶν ἀδικησάντων αὐτάς· οὐδενὸς δὲ ἧττον, εἰ μὴ καὶ μᾶλλον, ἡ μεγάλη σου χεὶρ ἐξεργάσεται, εἰ τὴν ἐπισκοπὴν διαβολαῖς οἰκτειρήσῃς μεγάλως μὲν κινδυνεύουσαν, διὰ μικρᾶς δὲ χειραγωγίας ἐκφυγεῖν δυνάμενος [*f.* — ναμένην] τὸν κίνδυνον. Τίς ὁ κίνδυνος; Ἄψαλτα μικροῦ γεγένηται καὶ ἀφωταγώγητα, ὅτι δὴ καὶ ἀνεπισκόπητα. Πάροδος γὰρ κειμένη, κατὰ τὴν παρὰ τῷ Δαβὶδ ἄμπελον ἐκείνην τὴν εὐκληματοῦσάν ποτε, καὶ διαρπαζομέ- B νην πᾶσι τοῖς παροδεύουσιν, οὔτε τὸν ἐπίσκοπον ἔχει προσμένοντα· οὐδὲ γὰρ ὑπομένει διδόναι τὸν νῶτον εἰς μάστιγας, καὶ τὰς σιαγόνας εἰς ῥαπίσματα, οὔτε τοῦ ἐπισκόπου φεύγοντος διὰ τοὺς δεινοὺς ἐπηρεαστὰς, προσμένειν εἰκὸς τῇ Ἐκκλησίᾳ ἄλλον τινά. Τῇ κεφαλῇ γὰρ τὸ λοιπὸν σῶμα συνάπτεται· ὁμέλει καὶ οἱ δοθέντες αὐτῷ παρὰ τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως σιγιλλίου, οἵ τε [*f.* οἵ γε] τὴν Ἐκκλησίαν κύκλῳ περικαθήμενοι, πρότερον διὰ τὴν αὐτὴν ταύτην αἰτίαν, τῶν πατρῴων ἐξέστησαν, τῷ τῆς ὕλης δὲ δάσει πιστεύσαντες ἑαυτοὺς ἐμφωλεύουσι. Διὰ ταῦτα οὔτε διάκονος, οὔτε πρεσβύτερος (φεῦ τῶν ἡμῶν κακῶν!) τῇ περικαλλεστάτῃ τῶν Βουλγαρικῶν ἐκκλησιῶν ἐνατο- C μεμένηκεν. Ἐξῆλθον οὖν ἐπισκεψάμενος [*f.* — ψόμ.] ταύτην, καὶ ἰδών, ἐπένθησα· καὶ πενθήσας, ἐπυθόμην τὸ αἴτιον· καὶ πυθόμενος, ἔμαθον· καὶ μαθών, διδάσκω, διὰ τῆς εὐτελοῦς μου ταύτης γραφῆς ἀναφέρων τῷ κρατίστῳ αὐθέντῃ μου. Ἀλλ' ὁ μὲν κίνδυνος οὗτος· ἡ δὲ χειραγωγία τίς; Ἐλαφρά τε καὶ ἀβαρής· καὶ αὐτὸ τοῦτο, μόνης χειρὸς ἔκτασις. Εἰ γὰρ εὐδοκήσεις, ὁ μέγας ἡμῶν αὐθέντης καὶ ἀντιλήπτωρ, τοῖς τῷ ἐπισκόπῳ δοθεῖσι παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, καὶ τῇ Ἐκκλησίᾳ πρὶν προσκαθημένοις, εἶτα διὰ τὰς ἐπηρίας ἀποφυγοῦσι, προσκλίνων τὸν σὸν ἐπιβραβευθῆναι σιγίλλιον, ᾧ θαῤῥήσαντες, τῆς λόχμης ἐκδύσονται· ἀναθηλήσει δὲ πάλιν ἡ Ἐκκλησία, καὶ φωταγωγηθήσεται καὶ ψαλήσεται. Ὁρᾷς τὸν κίνδυνον, ὅτι D μέγιστος; ὁρᾷς τὴν χειραγωγίαν, ὅτι ῥᾳδία, καὶ μόνοις τρισὶ δακτύλοις κατορθουμένη; Δέομαι οὖν καὶ προσπίπτω διὰ τοῦ παρόντος γράμματος ὥσπερ σώματος, ὡς ἂν ἐλεήσῃς τὴν ἣν ὅτε ὀλβιωτάτην ἐκκλησιῶν, ἣν ὁ Χριστιανικώτατος ἐκεῖνος Βορίσης ὁ Βουλγαρίας βασιλεὺς, μίαν καὶ αὐτὴν τῶν ἑπτὰ καθολικῶν, ἐδομήσατο. Ἐκεῖνος ἔκτισε· σὺ δὲ ἐγκαίνισον, ἵνα σοι καὶ πνεῦμα εὐθὲς ἐν τοῖς ἐγκάτοις σου ἐγκαινισθείη παρὰ Θεοῦ, τοῦ τὴν πεπτωκυῖαν ἡμῶν σκηνὴν καὶ φύσιν ἀναστήσαντος καὶ καινίσαντος. Ὃς καὶ τὴν ἐν πᾶσιν ἔργοις, στρατιωτικοῖς τε καὶ πολιτικοῖς, τῇ δεξιᾷ

Sebastocratoris filio

τὸ τῆς προφητείας; ἐμπολιτεύεσθαι χάρισμα, ὑπερανέχον καὶ στηρίζον ἐκείνην. Ἐὰν γάρ τις ἄπιστος, φησί, εἰσέλθῃ εἰς ἐκκλησίαν, ὑπὸ τῶν προφητευόντων ἐλεγχόμενος, πεσὼν προσκυνεῖ τῷ Θεῷ, καὶ ὁμολογεῖ, ὅτι ὄντως ὁ Θεὸς ἐν ὑμῖν ἐστι. Ἤδη δὲ στερεωθέντι τῷ λόγῳ, οὐκ ἔτι χρεία τοῦ ὑπερείδοντος· καὶ πλείονες δὲ οἱ στέφανοι νῦν, ὅτε καὶ μηδὲν τοιοῦτον ὁρῶντες, οἷον οἱ πάλαι, ὅμως οὐκ ἐξιστάμεθα τοῦ ἐν τῇ πίστει στερεώματος. Τάχα δέ τις καὶ τόδε προσεννοήσει, ὡς οἱ μὲν πάλαι χρόνοι ἐδέοντο προφητῶν, τά τε ἄλλα εἰσηγουμένων τῷ λαῷ, καὶ τὴν τοῦ Χριστοῦ παρουσίαν προμηνυόντων· ἀλλὰ μὴν καὶ τὰ περὶ συντελείας, καὶ τοῦ τῆς ἀνομίας υἱοῦ, καὶ τῆς μετὰ ταῦτα λήξεως, ὑπότε τοῦ Κυρίου, καὶ τῶν ἀποστόλων προείρητο· ὅσα τε εἰς βίον σπουδαῖον καὶ οὐράνιον συντελεῖ. Οὐδενὸς οὖν ἔτι λειπομένου, καὶ οὕτως ἀναγκαίου, ὥστε προφητείαν λαλεῖσθαι, εἰκότως ἂν ἐστάλη τὸ δῶρον. Ἴσως δ' ἂν καὶ εἰς τῦφον ἐπῆρε τοὺς κουφοτέρους, καὶ διὰ τοῦ ἀγαθοῦ κατειργάσθη θάνατος. Περὶ μὲν οὖν τούτων ἀρκούντως.

A Ut enim qui fornices construunt, eos recens compactos fulciunt atque communiunt, fulcra quædam supponendo, quæ fulcra statim illi subtrahunt, cum fornices firmi facti sunt : ita et in Ecclesiis, cum nuper in eis compacta esset fides, opus erat prophetiæ dono, quo fides ipsa valide muniri sustentarique 7 posset. *Si quis infidelis, dicit, intret in Ecclesiam, a prophetantibus convictus, cadens adoret Deum, et confiteatur, quod vere Deus in vobis est.* Ea vero solidiore verbo firmata, nullo amplius opus est istiusmodi dono, quo sustentetur. Plures idcirco nunc, quam priscis temporibus propositæ sunt coronæ, propterea quod, cum nihil eorum videamus, quæ veteres, minime tamen a fidei firmitate recedimus. Ad hæc priscis B temporibus opus erat divinis vatibus, qui cum alia populo traderent, tum maxime Christi adventum prænuntiarent. Prædicta dein ab ipso Domino sunt et apostolis, quæ ad sæculi consummationem, quæ ad filium iniquitatis, atque futuram subinde quietem atque tranquillitatem pertinebant, quæque ad bonam, honestam, planeque cœlestem vitam conferrent. Cum ergo reliqui nihil sit, quod necessario prophetarum postulet vocem, merito subductum hoc donum est. Quo forte dono leviores homines superbia efferebantur, atque ita ex bono mors oriebatur. Hac itaque de re satis.

Ἐπεὶ δὲ τῶν δώδεκα προφητῶν Ὡσηὲ προτέτακται, τῶν μὲν ἄλλων ὡς καὶ τῷ χρόνῳ πολὺ πρωτεύων, τοῦ Ἀμμὼς δὲ καὶ τοῦ Ἰωὴλ, εἰ καὶ ὁμόχρονος (ἐπὶ τῶν αὐτῶν γὰρ βασιλέων καὶ οὗτοι προεφήτευσαν), ἀλλ' ὅμως ὡς πρὸ αὐτῶν τοῦ προφητεύειν ἀρξάμενος, αὐτὸν πρῶτον ἡμῖν μεταχειριστέον, ἐπικαλεσαμένοις τὴν τοῦ Πνεύματος ἀγαθότητα, ὡς ἂν ἃ ἐκείνῳ ἐνέπνευσε, δῆλα ἡμῖν, ὡς ἔνι, ἐξεργάσαιτο. Ἑρμηνεύεται μὲν οὖν Ὡσηὲ, *Σωζόμενος*· ἐγχειρίζεται δὲ τὴν προφητείαν εἰς διόρθωσιν παντὸς τοῦ λαοῦ. Ἐπειδὴ γὰρ Ἱεροβοὰμ, ὁ ἐκ τῆς τοῦ Ἐφραὶμ φυλῆς, ἀποστήσας τὰς δέκα φυλὰς τῶν λοιπῶν δύο, τῆς τε Ἰούδα, καὶ τῆς Βενιαμὶν, ἰδίαν βασιλείαν ἐν Σαμαρείᾳ συνεστήσατο, καὶ τὸν ὑπ' αὐτὸν λαὸν τῶν δέκα φυλῶν, αἳ Ἰσραὴλ ὠνομάζοντο, καὶ Ἐφραὶμ εἰδωλολατρεῖν ἀνέπεισεν, ὠργίσθη Κύριος. Καὶ ἐπειδὴ κολάσεως καὶ παιδείας ἐδέοντο, καὶ ἄξιοι ἦσαν παραδοθῆναι τοῖς ἐχθροῖς, στέλλει τὸν προφήτην προκηρύσσοντα αὐτοῖς ἃ πείσονται, εἰ μὴ ἐπιστραφῶσι πρὸς αὐτόν. Ἀπειλεῖ γὰρ τὰς τιμωρίας ὁ Θεὸς, οὐχ ἵνα ταύτας ἐπάγῃ, ἀλλ' ἵνα τῷ φόβῳ καταπτοήσῃ τοὺς ἀκούοντας, καὶ οὕτω διορθωθέντες τὰς τιμωρίας ἐκφύγωσιν· ἀλλὰ καὶ ταῖς δύο φυλαῖς, αἳ τὴν βασιλείαν ἐν Ἱεροσολύμοις εἶχον (ἐλέγοντο δὲ ὡς ἐπίπαν Ἰούδας, διὰ τὸ ἐπικρατεστέραν εἶναι τὴν τοῦ Ἰούδα φυλήν· ἔστι δ' ὅτε καὶ Βενιαμὶν ἐκαλοῦντο), στέλλεται ὁ προφήτης, τήν τε ἐπὶ Σεναχηρεὶμ ἐσομένην αὐτοῖς ἐκ Θεοῦ εὐεργεσίαν προμηνύων, καὶ τὰ μετὰ ταῦτα ἐσόμενα κακὰ προαγγέλλων· δι' ἀμφοῖν δὲ εἰς διόρθωσιν ἄγων. Ἀλλ' οὔτε αἱ δέκα ἐπείσθησαν (ὅθ' καὶ πανωλεθρίᾳ παρεδόθησαν· πρῶτον μὲν Ἀζαὴλ τοῦ Σύρου καταπολεμήσαντος αὐτάς· εἶτα Φούα τοῦ Ἀσσυρίου, καὶ φόρον ἐπιτεθεικότος· μετὰ

Quoniam autem duodecim prophetis præmissus est Oseas, eo quod alios tempore præcesserit, aliis, Amos nempe atque Joele, licet eodem, quo illi, tempore vixerit (sub iisdem enim et hi regibus vaticinati sunt) prior vaticinari cœperit : cum omnium C primum interpretari aggredimur, sanctum invocantes Spiritum, ut pro sua bonitate quæ illi dictarit, perspicua nobis, quantum fieri potest, reddere dignetur. Ipsum itaque nomen Oseas idem sonat ac *Qui salvatur* ; atque is prophetiæ donum accepit ad populi totius correctionem. Cum enim Jeroboam, ex tribu Ephraim, segregans decem tribus ab reliquis duabus, Judæ nimirum et Benjamin, proprium regnum in Samaria constituerit, atque subditum sibi populum tribuum illarum decem, quæ Israel appellabantur, et Ephraim, idola colere persuasisset, iratus est Dominus. Et quoniam punitione opus erat, et disciplina, atque hostium potestati tradi merebantur, mittit ad eos prophetam qui D prænuntiaret quæ passuri erant, nisi ad ipsum converterentur. Supplicia namque minitatur Deus, non ut hæc infligat, sed ut auditores perterreat, quo emendati supplicia ipsa effugiant. Ad reliquas item duas tribus quæ regnum Hierosolymis habebant, et quæ Judas universim appellabantur eo quod Judæ tribus potentior esset (et interdum appellabantur etiam Benjamin), mittitur propheta, qui divina eis beneficia prænuntiaret, et quæ subinde futura erant mala prædiceret : ut duplici ista ratione ad bonam frugem eos redigeret. Verum neque denæ illæ tribus paruerunt ; propterea penitus deletæ sunt. Primus enim eas expugnavit Azael Syrus, deinde Phua, qui et vectigalia eis imposuit ; atque post 8 eum Theglan Phassar multas eorum urbes

Digitized by Google

evertit · et demum Salmanasser Babylonem eos translatit. Neque reliquæ duæ tribus emendatæ sunt. Deus itaque suam ostendit humanitatem ; ut et nos doceat illud ipsum demonstrare. Talis igitur, secundum litteram, est Oseæ scopus. Spiritus autem retegat oculos nostros, quo et alia longe mirabiliora, ab hac tradita, percipere, atque per litteram ipsam, veluti speculum, quod ad Christum pertinet mysterium inseri possimus, et perspicere virtutis pulchritudinem, quæ in eodem propheta emicat ; nosque ad rectam provocat morum disciplinam.

A τοῦτον δὲ Θεγλὰν Φασσὰρ πολλὰς τῶν πόλεων ἀνεστάτους πεποιηκότος · τελευταῖον δὲ Σαλμανασὰρ εἰς Βαβυλῶνα πάντας ἀποικίσαντος), οὔτε αἱ δύο φυλαὶ διωρθώθησαν. Ὁ μέντοι Θεὸς τὴν οἰκίαν φιλανθρωπίαν ἔδειξεν, ἵνα καὶ ἡμᾶς παιδεύσῃ τὸ αὐτὸ ἐπιδείκνυσθαι. Κατὰ μὲν οὖν τὸ γράμμα τοιοῦτος ὁ τῆς Ὡσηὲ προφητείας σκοπός · τὸ δὲ Πνεῦμα ἀποκαλύψειε τοὺς ὀφθαλμοὺς ἡμῶν, πρὸς τὸ καὶ τὰ θαυμάσια ἐκ τούτου κατανοῆσαι, καὶ ἐνοπτρίσασθαι μὲν καὶ τὸ κατὰ Χριστὸν μυστήριον διὰ τοῦ ἐσόπτρου τοῦ γράμματος, ἰδεῖν δὲ καὶ τὸ τῆς ἀρετῆς κάλλος αὐτῷ ἐμφαινόμενον, καὶ εἰς τὴν τῶν ἠθῶν κατακόσμησιν ἡμᾶς ἐκκαλούμενον.

ΕΞΗΓΗΣΙΣ ΕΙΣ ΤΟΝ ΩΣΗΕ.

COMMENTARIUS IN OSEAM.

9 CAPUT PRIMUM.

VERS. 1. *Verbum Domini, quod factum est ad Oseam filium Beeri.* Isaias quidem videt [1], quo magis magisque terreat auditores, quasi ob oculos ipsa versentur : ad Oseam autem verbum fit, atque Deus, humanior uti magister, affatur inobedientes homines, eosque per ea quæ dicit et facit, permovet. Verbum quoque Dei et Deus Sapientia Patris, accedere videtur ad Oseam, perque prophetam hunc verba facere. Ad omnes præterea, qui ea peragunt quæ ad salutem pertinent, fit Verbum, quod quidem in eis dominatur, atque rationis expertem animæ partem regit moderaturque.

In diebus Oziæ, et Joathan, et Achaz, et Ezechiæ, regum Juda, et in diebus Jeroboam, filii Joas, regis Israel. Clare ostendit ad utrumque se regnum, docendi gratia, missum, tum ad illud quod erat duarum tribuum, tum ad illud alterum, quod erat aliarum tribuum decem, quibus tum temporis imperitabat Jeroboam, non ille qui populum olim transversum egerat ; ille namque, filius erat Nabat, hic, Joas : ob id enim patris ipsius nomen apponitur, quod communi uterque denominatione gauderet. Docetque præterea se diu multumque prædicando laborasse, duabus de causis, altera, ut intelligeremus, idem et nos facere oportere, non semel, bisve tantummodo delinquentes corripiendo, sed crebroque diuque ; altera, planum uti fieret, neminem incusare Deum debere, quod ingentem adeo populum penitus deleverit. Æquum enim justumque supplicium eis irrogatum fuisse, ex eo vel maxime apparet, quod cum eos tandiu tolerasset Deus, monuisseque, nunquam ad bonam frugem sunt redacti.

[1] Isa. I, 1.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

B *Λόγος Κυρίου, ὃς ἐγενήθη πρὸς Ὡσηὲ, τὸν τοῦ Βεηρεί.* Ἡσαΐας μὲν οὖν ὁρᾷ, ἵνα πλέον πτοήσῃ τοὺς ἀκροατὰς, ὡς ἤδη ἐν ὀφθαλμοῖς ὄντων τῶν κακῶν · πρὸς Ὡσηὲ δὲ λόγος γίνεται, οἱονεὶ διδασκάλου τινὸς πραότερον διαλεγομένου τοῦ Θεοῦ τοῖς ἀπειθέσι, καὶ ἐντρέποντος αὐτοὺς δι' ὧν λέγει, καὶ δι' ὧν ποιεῖ. Ἔοικε δὲ καὶ ὁ Λόγος τοῦ Θεοῦ, καὶ Θεὸς ἡ σοφία τοῦ Πατρὸς, παραγενέσθαι πρὸς τὸν Ὡσηὲ, καὶ αὐτὸς λέγειν διὰ τοῦ προφήτου. Καὶ πρὸς πάντα δὲ, τὸν τὰ πρὸς σωτηρίαν μετιόντα, ὁ Λόγος γίνεται, καὶ οὗτος ἐν αὐτῷ κατακρατεῖ, τὸ ἄλογον τῆς ψυχῆς κατατάττων.

C *Ἐν ἡμέραις Ὀζίου, καὶ Ἰωάθαμ, καὶ Ἄχαζ, καὶ Ἐζεκίου, βασιλέων Ἰούδα, καὶ ἐν ἡμέραις Ἱεροβοὰμ, υἱοῦ Ἰωᾶς, βασιλέως Ἰσραήλ.* Σαφῶς δείκνυσιν, ὅτι ἀμφοτέραις ταῖς βασιλείαις ἐστάλη παιδευτὴς ὁ προφήτης, τῇ τε τῶν δύο φυλῶν, καὶ τῇ τῶν δέκα, ὧν τηνικαῦτα ἦρχεν Ἱεροβοὰμ, οὐχ ὁ πάλαι ἀποστήσας τὸν λαὸν (ἐκεῖνος γὰρ υἱὸς ἦν τοῦ Ναβὰτ, οὗτος δὲ τοῦ Ἰωᾶς) · διὰ γὰρ τὴν ὁμωνυμίαν πρόσκειται καὶ τὸ τοῦ πατρὸς αὐτοῦ ὄνομα · δείκνυσι δὲ καὶ ὅτι ἐπὶ πολὺν χρόνον παρέτεινε κηρύττων, ἵνα δύο ταῦτα μάθωμεν · ἓν μὲν, ὅτι καὶ ἡμᾶς οὕτω δεῖ ποιεῖν, καὶ τοῖς πταίουσιν οὐχ ἅπαξ, ἢ δὶς εἰπόντας, ἀπαλλάττεσθαι, ἀλλὰ πολλάκις, καὶ ἐπὶ μακρόν · ἕτερον δὲ, ἵνα μή τις κατηγορῇ τοῦ Θεοῦ, πῶς ἄρδην ἀπώλεσε τοσοῦτον λαόν. Φαίνεται γὰρ ἐν τούτοις δικαία ἡ ἐπ' αὐτοῖς κρίσις, οἵ γε τοσοῦτον καιρὸν ἀνασχομένου αὐτῶν τοῦ Θεοῦ, καὶ νουθετοῦντος, οὐ διωρθώθησαν.

D Deus, monuisseque, nunquam ad bonam frugem

Digitized by Google

Ἀρχὴ λόγου Κυρίου πρὸς Ὡσηέ (1). Οὐδὲν ἄλλο, φησὶ, πρὸ τούτου προσέταξεν· ἀλλ' ἅμα τε ἤρξατο λαλεῖν μοι, καὶ ἐκέλευσε πόρνην λαβεῖν. Τινὲς δὲ ἐντεῦθεν ᾠήθησαν, τοῦτον πρῶτον ἄρξασθαι τοῦ ἐγγράφως προφητεῦσαι. Ἐν μὲν οὖν τοῖς ἀπὸ κηλίας φωνοῦσιν (2), οὐκ ἔστιν ἀρχὴ τοῦ Λόγου, ἀλλ' ἔρχουσιν ἐν αὐτοῖς ἢ ἀνθρώπινοι λογισμοὶ, ἢ δαιμονικοί· ἐν δὲ τῷ ἀληθινῷ τούτῳ προφήτῃ ἡ ἀρχὴ τοῦ Λόγου τοῦ Θεοῦ ἦν, ἃ παρ' ἐκείνου ἐνεπνέετο, ταῦτα ἀπαγορεύοντι. Ἀλλὰ καὶ ἐν παντὶ σωζομένῳ πᾶσα ἡ ἀρχὴ τοῦ Λόγου ἐστὶν, ὥσπερ τινὸς βασιλέως, ἢ στρατηγοῦ, πᾶσιν ἐπιστατοῦντος.

Βάδιζε, λάβε σεαυτῷ γυναῖκα πορνείας, καὶ τέκνα πορνείας. Πρὸς ἀνθρώπους σκληροὺς ἀποστέλλων ὁ Θεὸς τοὺς προφήτας, τοιαῦτα ποιεῖν ἐκέλευεν, ἃ ἐκείνους ἐντρέψαι ἔμελλεν· οὕτω γὰρ καὶ τὸν Ἡσαΐαν γυμνὸν καὶ ἀνυπόδετον τρέχοντα, πωϊεῖσθαι τὴν προφητείαν προσέταξε, καὶ τὸν Ἱερεμίαν κλοιοὺς περιθέσθαι, καὶ τὸν Ἰεζεκιὴλ διορύξαι τὸν τοῖχον, καὶ ἐξελθεῖν, ὡς ἂν οἱ ὁρῶντες ταῦτα, παρὰ τοιούτων ἀνθρώπων γινόμενα, μὴ καταφρονῶσιν, ἀλλ' ἐρευνῶσι τὰς αἰτίας, δι' ἃς γίνονται, καὶ μανθάνοντες, σωφρονίζωνται. Οὕτω κάνταῦθα, εἰ καὶ τοῖς διδασκάλοις τῶν Ἑβραίων οὐ δοκεῖ τοῦτο, Ὡσηὲ λαμβάνει τὴν πόρνην, ἵνα μάθωσιν (3), ὅτι αὐτοί εἰσιν ἡ πόρνη, καὶ ἀνέχεται αὐτῶν ὁ Θεὸς, νυμφίος ὤν, τοῖς εἰδώλοις συμφυρομένων· καὶ εἰ αἰσχρόν ἐστιν ἡ πόρνη, καὶ αὐτοί εἰσιν αἰσχροὶ, καὶ δεῖ αὐτοὺς μεταβαλέσθαι. Θαυμαστοὶ δὲ οἱ προφῆται, ὅπως καὶ εἰς τὰ οὕτως ἀλλόκοτα, καὶ ἐπίψογα, ὑπήκουον τῷ Θεῷ· ὅπου γὰρ (4) Θεοῦ πρόσταγμα, οὐδὲν ἐκεῖ ῥυπαρόν. Ἐπεὶ καὶ ἄλλως ἀπὸ τοῦ σκοποῦ τὰ πράγματα κρίνεται, καὶ διὰ τὸν σκοπὸν τὰ αὐτὰ πολλάκις, οὐ τὰ αὐτὰ δοκεῖ· οἷον γάμου καὶ μοιχείας τὸ αὐτὸ ἔργον, καὶ ἡ μίξις· ἀλλ' ἐν μὲν τῷ γάμῳ οὐ ψεκτὸν, ἐν δὲ τῇ μοιχείᾳ καὶ καταστέον. Καὶ Κάϊν μὲν φονεύσας, κατάκριτος, ὡς διὰ φθόνον· Φινεὲς δὲ, δίκαιος, ὡς διὰ ζῆλον· τὸ κλέπτειν οὐκ ἔννομον, ἀλλ' Ἰακὼβ ἔκλεψε τὴν εὐλογίαν· ἐνήστευσαν Ἠλίας, ὡ: ἐγκρατής· ἐνήστευσαν καὶ οἱ τοῦ Ναβουθαὶ καταμαρτυρήσαντες, ὡς συκοφάνται (5)· ἠλέησεν ὁ Σαοὺλ τὸν Ἀγαγ, ὃν προσέταξεν ὁ Θεὸς ἀνελεῖν, καὶ κατεκρίθη (6)· ἀνεῖλε τοῦτον ὁ Σαμουὴλ, καὶ εὐηρέστησε. Καὶ ἐνταῦθα οὖν ὁ προφήτης οὐκ ἐπιθυμίᾳ εἶξας, ἀλλὰ Θεοῦ προστάγματι, τὴν πόρνην ἔλαβε, καὶ οὐκ ἐμι-

A

B

C

D

Vers. 2. *Principium verbi Domini ad Oseam.* Nihil profecto aliud, inquit, ante hoc mihi Deus imperavit, sed simul ac loqui mihi cœpit, jussit, ut meretricem mihi adjungerem. Quidam autem hinc existimarunt, vatem hunc primum fuisse qui scriptis oracula mandare cœperit. In iis ergo qui ex ventre loquuntur, principium non est a Verbo, sed ab humanis, vel diabolicis cogitationibus: in hoc autem vero propheta, principium est a Dei Verbo; quippe, quæ divino ejus numine afflatus norat, ea denuntiabat. In iis item, quotquot salvantur, omne principium est a Verbo, quod, regis atque ducis instar, omnibus præest atque dominatur.

Vade, accipe tibi ipsi uxorem fornicationis, et filios fornicationis. Ad rudes agrestesque homines Deus prophetas cum mitteret, hæc hos facere jubet, quibus ii maxime permoverentur. Ita enim et Isaiæ **10** præcipit, nudus pergeret, et sine calceis, suaque ita vaticinia funderet [5], et Jeremiæ, catenas sibi circumponeret [6], et Ezechieli, murum perfoderet [7] egredereturque: ut, cum hæc talibus ab hominibus fieri illi cernerent, haud omnino contemnerent, sed causam quærerent, cur ea fierent, qua cognita, ad bonam ipsi frugem redigerentur. Ita et hoc loco [quidquid in contrarium sentiant Hebræorum magistri] meretricem Oseas uxorem ducit, ut intelligerent, se meretricem gentem esse, cum idolis sese dederent, Deumque, Synagogæ sponsum, tolerare. Quod si turpe scortum est, ipsi quoque turpes sunt, seque vitamque suam emendare debent. Mirum autem est, prophetas vel in iis quæ adeo absurda videbantur atque vituperanda, morem Deo gerere: verumenimvero ubi est Dei mandatum, ibi fœdi nihil est, nihilque sordidi. Nam et alias a fine res judicantur, quo fit, ut eadem sæpe, non amplius eadem videantur: ut nuptiarum et adulterii eadem est conjunctio, sed in nuptiis minime vituperanda, in adulterio contra, vel maxime punienda. Cain quidem ob fratris necem condemnatus est, quod per invidiam eum occidit [8]; Phinees contra justus est habitus, propterea quia zelo ductus similem cædem fecit [9]. Furtum haud lege permittitur; attamen Jacob benedictionem surripuit [10]. Cibo abstinuit Elias, uti temperans; idem fecerunt et ii qui contra Naboth testimonium protulerunt, uti calumniatores [11]. Misertus est Saul Agag, quem ut occi-

[5] Isa. xx, 2. [6] Jerem. xxxiv, 1. [7] Ezech. viii, 8. [8] Gen. iv, 8. [9] Num. xxv, 7. [10] Gen. xxvii, 27. [11] II Reg. xxi, 13.

Variæ lectiones et notæ.

(1) Hæc et pleraque alia deprompsit interpres ex Theodoreto, ut in præfatione quoque monuimus.

(2) Innuit ἐγγαστριμύθους, vatum genus omnibus notum.

(3) Ad quam pertinet dictum illud Ezech. xxxviii, 2: *Et tu, meretrix, audi verbum: fractæ enim sunt in Ægypto mammæ ejus*, ut notat D. Hieron. ad hunc locum.

(4) Particula γὰρ aut adversandi vim habet, ut interdum apud Latinos *enim;* aut legendum, οὐ θαυμαστοὶ δὲ οἱ προφῆται, εἴπως, κ. τ. λ. Ut enim inferius ad init. cap. II in cod. Ven. ponitur particula negativa, ubi plane redundat, ita omitti facile potuit, ubi postuletur.

(5) Τὴν συκοφαντίαν τυρεύοντες, *struentes insidias*, ut habet Theod.

(6) Rationem affert Theodoretus. Παράνομος γὰρ ἦν ἐκεῖνος ὁ ἔλεος, *lex enim repugnans erat illa misericordia.*

Digitized by Google

deret jusserat Deus, eaque de causa condemnatus est [12] ; eum ipsum postea interemit Samuel, Deoque propterea placuit. Simili ratione propheta non libidine captus, sed supremo Dei jussu ductus, meretricem uxorem ducit, neque propterea se corpusque suum polluit. Quemadmodum neque pollutus Deus est, cum sese impudicæ Israelitarum Synagogæ permiscuit. Ita si adsit ratio, exornat quæ geruntur, etiamsi minus honesta sint. Seduli quoque viri animus cupidinem meretricem [quæ pridem ita effrenatæ corporis voluptati se dedidit, ut ei stulte ita dedita, unum atque idem cum ille esse videretur], talis, inquam, hominis animus, cupidinem meretricem uxorem sibi ducit, eique persuadet, ut suam dignitatem contempletur, sibique conjungi velit. Monetque præterea, ne fallaci bonorum sensibilium specie se ipsa decipi patiatur; sed animadvertat bona hæc natura sua vieta esse atque caduca, ut et meretricii amplexus infidi sunt, instabilesque : propterea ne jucundis in rebus efferatur, neve in adversis dolore frangatur, cum utraque cito dilabantur.

A αἴνετο ἐκ ταύτης, ὅτι μηδὲ Θεὸς, συνὼν τῇ ἀκολάστῳ τῶν Ἰσραηλιτῶν Συναγωγῇ. Οὕτως ἔνθα ἂν παρῇ ὁ λόγος τοῖς γινομένοις, κοσμεῖ ταῦτα, κἂν ἄλλως ἄκοσμα εἶεν. Καὶ ὁ νοῦς δὲ τοῦ σπουδαίου, τὴν πόρνην αἴσθησιν, ἀνοήτως πρότερον ἐγκεχυμένην [*f.* ἐκκεχ.] ἐπὶ πᾶν αἰσθητὸν ἡδὺ, καὶ τούτῳ συμπλεκομένην, καὶ ἓν πρὸς αὐτὸ γινομένην, λαμβάνει ἑαυτῷ γυναῖκα, πείθων νοεῖν τὸ αὐτοῦ ἀξίωμα, καὶ αὐτῷ συμπλέκεσθαι, καὶ μὴ ἀπατᾶσθαι τῷ φαινομένῳ σχήματι τῶν αἰσθητῶν, ἀλλὰ κατανοεῖν τὴν αὐτῶν φύσιν, ὅτι παροδική ἐστι, καὶ ἄστατος, ὥσπερ καὶ αἱ πορνικαὶ περικοπαὶ (7), ἄπιστοι, καὶ ἀβέβαιοι · κἀντεῦθεν διδάσκων, μήτε τοῖς ἡδέσι χαυνοῦσθαι, μήτε τοῖς λυπηροῖς καταπίπτειν, διὰ τὸ ἐν ἀμφοτέροις ὀλιγοχρόνιον.

Eo quod fornicans fornicabitur terra Domini, relicto eo. Verbum Ἐκπορνεύσειε pro Ἐξεπόρνευσεν usurpatur. Scortata est, ait, **11** universa Israeliticarum tribuum regio ; Domini scilicet ductum detrectans, idolis sese dedidit. Eadem forte vox ad futurum tempus declinatur. Per hoc autem innuere nobis voluit Judæorum in Dominum nostrum Jesum Christum perfidiam, qui terra merito dici possent, cum neque sublime quidquam, neque cœleste cogitare velint. Tantum autem aberat, ut ii Christum sequerentur, ut alios potius, eum sequentes, cum viderent, ægre ferentes, alius ad alium indignatus diceret : En, mundus eum consectantur. Cum ergo, qui nobis inest, humus, seu humile corpus nostrum, veri Domini, qui natura sua talis est, ductum sequitur, tollitque crucem ejus, tum de ipso merito dici potest : *Domini est terra et plenitudo ejus* [13] * [corporis autem plenitudo sive perfectio sita est in membris quæ ipsum perficiunt], cum contra Dominum Verbum sequi detrectat, alienigenarum dæmonum terra dici merito potest.

B *Διότι ἐκπορνεύουσα ἐκπορνεύσειεν ἡ γῆ ἀπὸ ὄπισθεν Κυρίου.* Τὸ, *Ἐκπορνεύσειεν*, ἀντὶ τοῦ, Ἐξεπόρνευσε πᾶσα ἡ γῆ τῶν Ἰσραηλιτικῶν φυλῶν· τουτέστιν, ἐξετράπη ἀπὸ τοῦ ἀκολουθεῖν τῷ Κυρίῳ, καὶ εἰδώλοις ἠκολούθησε. Μήποτε δὲ καὶ εἰς τὸ μέλλον ἐγκέκλιται ἡ λέξις. Δίδωσιν ἡμῖν ὁ λόγος νοεῖν τὴν πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀσυνθεσίαν τῶν Ἰουδαίων, οἳ γῆ λεχθεῖεν ἄν, ὡς μηδὲν ὑψηλὸν καὶ οὐράνιον ἐννοεῖν ἐθελήσαντες. Οὕτοι τοίνυν τοσούτου ἐδεήθησαν ἀκολουθῆσαι ὀπίσω Χριστοῦ, ὥστε καὶ ἄλλους ἀκολουθοῦντας ὁρῶντες ἔλεγον, μανιωδῶς σχετλιάζοντες · Ἰδοὺ, ὁ κόσμος ὀπίσω αὐτοῦ ὑπάγει. Ὅταν μὲν οὖν ἡ ἐν ἡμῖν γῆ, ἤτοι τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, ἀκολουθῇ τῷ ἀληθινῷ Δεσπότῃ, καὶ φύσει Κυρίῳ, καὶ αἴρῃ C τὸν σταυρὸν αὐτοῦ, λεχθείη ἂν ἐπ' αὐτῇ · *Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς* · πλήρωμα δὲ τοῦ σώματος, τὰ μέλη, τὰ συμπληροῦντα αὐτό · ὅταν δὲ οὐκ ἀκολουθῇ τῷ φύσει Δεσπότῃ Λόγῳ (8), γῆ ἂν λεχθείη τῶν ἀλλοφύλων δαιμόνων.

Vers. 3, 4. *Et abiit, et accepit Gomer, filiam Decilaim, et concepit, et peperit ei filium, dixitque Dominus ad ipsum : Voca nomen ejus Jezrael.* Hæc reipsa vates egit, etiamsi, ut supra dictum est, Hebræi talia vere prophetam egisse negent, vere ipsi stulti : cum enim propheta manifeste dicat, *Abii et accepi*, quomodo, vel si cætera omnia falsa forent, id factum ipsi negent ? Per ea vero innuere nobis voluit Deus Judæorum Synagogam, quæ plures deos impensius coleret, ex qua, quod ad carnem attinet, genitus est Christus, qui Jezrael merito dicitur, cum idem ac *Satio Dei*, nomen hoc sonet, Christumque Spiritus sancti virtute genitum fuisse constat. Ad hæc si hominis animus assumpta sibi

Καὶ ἐπορεύθη, καὶ ἔλαβε τὴν Γομὲρ, θυγατέρα Δεκιλαείμ, καὶ συνέλαβε, καὶ ἔτεκεν αὐτῷ υἱόν, καὶ εἶπε Κύριος πρὸς αὐτόν · Κάλεσον τὸ ὄνομα αὐτοῦ Ἰεζραέλ. Ὁ μὲν προφήτης ἐποίει ταῦτα αἰσθητῶς, κἂν, ὡς καὶ ἀνωτέρω εἴρηται, οἱ Ἑβραῖοι οὐ δέχωνται ὅλως τὸ τοιαῦτα διαπράξασθαι τὸν προφήτην, ἀνόητοι ὄντως [*f.* ὄντες] · τοῦ γὰρ προφήτου σαφῶς λέγοντος, *Ἐπορεύθην, καὶ ἔλαβον*, πῶς D φασιν αὐτοὶ μὴ γενέσθαι τὸ πρᾶγμα ; Ἢ καὶ τὰ ἄλλα πάντα ψευδῆ. Ἠνίττετο δὲ τὴν τῶν Ἰουδαίων Συναγωγὴν, τὴν εἰς πολυθεΐαν ἐγχυθεῖσαν [*f.* ἐκχ.]· ἐξ ἧς ἐγεννήθη Χριστὸς, τὸ κατὰ σάρκα, ὃς *Ἰεζραὲλ* ἑρμηνεύεται. Ἐξ ἁγίου δὲ Πνεύματος ὁ Χριστὸς γεγέννηται. Ἀλλὰ καὶ εἴ τι ὁ νοῦς γεννήσει, τὴν

[12] I Reg. VIII, 22. [13] Psal. XXIII, 1.

Variæ lectiones et notæ.

(7) Sic codex ; ego tamen scribendum puto περιπλοκαί, adeoque reddidi *amplexus*.

(8) Si hæc de naturali ratione intelligenda quis putet, non repugno.

Digitized by Google

τέως πόρνην αἰσθησιν πρὸς ἑαυτὸν λαβὼν, καὶ ἑνώσας ἑαυτῷ, σπορὰ ἔσται Θεοῦ, ὡς ἀπὸ Θεοῦ καταβαλλόμενον, ὃ πάντως τῆς ἡμετέρας ἐπιμελείας δεῖται εἰς τὸ αὐξηθῆναι καὶ τελεσφορηθῆναι. Οὕτως ὁ ἀπὸ μεγέθους καὶ καλλονῆς κτισμάτων, τὸν γενεσιουργὸν κατιδὼν, καὶ τὰ ἀόρατα αὐτοῦ, τοῖς ποιήμασι νοούμενα, κατασκεψάμενος, σπορὰν τίκτει Θεοῦ.

A cupidine, quæ dudum meretrix erat, eaque sibi consociata, procreet aliquid : hoc Deo satum erit, utpote a Deo, quasi semen, jactum. Quod nostra maxime cura eget, ut adolescere perficique possit. Ita qui ex magnitudine pulchritudineque creatarum rerum Creatorem ipsum dignoscit, quique invisibilia ejus opera per ea quæ sensibus objiciuntur, contemplatur, is quoque Dei satum quoddam facit.

Διότι ἔτι μικρὸν, καὶ ἐκδικήσω τὸ αἷμα τοῦ Ἰεζραὲλ ἐπὶ τὸν οἶκον Ἰηού. Εἰ καί τινα τῶν ἀντιγράφων, *Ἐπὶ τὸν οἶκον Ἰούδα*, ἔχει, ἀλλ' οὖν, *Ἐπὶ τὸν οἶκον Ἰηοὺ*, ὀφείλει γράφεσθαι, ὥσπερ καὶ ὁ νοῦς ἀπαιτεῖ· τὸ γὰρ, *Ἰούδα*, ἀνόητον. Πολλαὶ μὲν οὖν ἐξηγήσεις εἰς τοῦτο φέρονται, οὐκ εὔστοχοι δέ. Ἡ δὲ ἀνεπίληπτος, αὕτη· Ἰεζραὲλ ἐκαλεῖτο μὲν καὶ ὁ Ναβουθαὶ, ἐκαλεῖτο καὶ ὁ Ἀχαάβ· συγγενεῖς γὰρ ὄντες ἄμφω, οἷόν τι προγονικὸν εἶχον τοῦτο. Φησὶ τοίνυν ὁ Θεὸς, ὅτι Ὥσπερ εἰδωλολατροῦντος τοῦ Ἀχαάβ, καὶ μυρίας ἄλλας ἀδικίας ἐργαζομένου, ἔστειλα τὸν Ἰηοὺ, κολαστὴν αὐτοῦ, καὶ ὑπεσχόμην αὐτῷ ἐπὶ τετάρτην γενεὰν τὴν βασιλείαν τῶν δέκα φυλῶν, εἴπερ ἐξολοθρεύσει τὸ γένος τοῦ Ἀχαάβ· οὕτως νῦν τὸν οἶκον τοῦ Ἰηοὺ, τουτέστι τοὺς ἀπογόνους αὐτοῦ, βασιλεύοντας, καὶ αὐτοὺς ἔτι δεκαφυλεῖς, καὶ ποιοῦντας τὰ αὐτὰ τῷ Ἀχαάβ, τιμωρήσομαι, καὶ ἐκδικήσω τὸ αἷμα Ἰεζραὲλ, τουτέστι τοῦ Ἀχαάβ· οὐχ ὅτι ἀδίκως τῇ ἀληθείᾳ ἐφονεύθη, ἀλλ' ὅτι ὁ οἶκος τοῦ φονεύσαντος ἐκεῖνον, τοῖς αὐτοῖς εἰσιν ἔνοχοι, καὶ δοκοῦσιν ἐξ ἀποτελέσματος, καὶ ἐκ τοῦ τὰ αὐτὰ μετιέναι ἐκείνῳ, ἀξίκως αὐτοὶ ζῆν, ἐκείνου ἀποθανόντος παρ' αὐτῶν, τῶν ὁμοιοτρόπων ἐκείνου· οὐ γὰρ ἐχρῆν παρ' αὐτῶν ἐκεῖνον φονευθῆναι, ἀλλὰ παρ' ἄλλων δικαίων. Τοῦτο καὶ ὁ Ἀπόστολος λέγει· *Ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων· ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις. Ἢ λογίζῃ ὅτι σὺ ἐκφεύξῃ τὸ κρῖμα τοῦ Θεοῦ ;*

B

C

Paulo post enim ulciscar sanguinem Jezrael super domum Jehu. Etiamsi quædam exemplaria *super domum Juda* præ se ferant, scribendum tamen est, *super domum Jehu*, ut et sensus postulat. Nam hoc de Juda intelligere absurdum est. Multæ porro in locum hunc afferuntur interpretationes, sed parum accommodate. Scite vero hæc. Jezrael appellabatur cum Naboth, tum Achabus. Cum enim consanguinei essent, eodem uterque nomine, quasi avito, gaudebant. Quemadmodum ergo, ait Deus, cum idola coleret Achabus, aliaque innumera facinora patraret, mittendum censui Jehu [13], qui supplicium de illo sumeret, pollicitusque sum, si 12 Achabi stirpem ipse deleret, ad quartam ætatem ei decem tribuum regnum me traditurum; ita nunc ego supplicium sumam de domo ipsiusmet Jehu, posteris scilicet ejus, qui imperio potiebantur, deque cæterarum tribuum decem populis, qui eadem, quæ Achabus, facinora patrabant; ulciscarque sanguinem Jezrael, Achabi scilicet, non quod injuste fuerit interfectus, sed quia domus ejus, qui eum interfecit, eisdem, quibus ipsemet Achabus, culpis est obnoxia. Qui propterea, quod ejusdem nequitiæ sunt participes, injuste ipsi vivere videntur, postquam Achabus interemptus ab his ipsis fuit, qui eisdem ac ille, imbuti moribus ætatem agunt. Par enim erat eum interfici, non ab istis hominibus nequam, sed ab aliis plane bonis et honestis. Idipsum habet et Apostolus: *Propter quod inexcusabilis es, o homo omnis, qui judicas. In quo enim judicas alterum, teipsum condemnas. An putas, te judicium Dei declinaturum* [14]?

Καὶ καταπαύσω βασιλείαν οἴκου Ἰσραὴλ, καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, συντρίψω τὸ τόξον τοῦ Ἰσραὴλ ἐν τῇ κοιλάδι τοῦ Ἰεζραέλ. Ἐπειδὴ οἱ τοῦ Ἰηοὺ ἀπόγονοι βασιλεύοντες, ὡς εἴπομεν, ἐν τῷ Ἰσραὴλ, ἀσεβεῖς καὶ παράνομοι ἐγένοντο, καὶ τὸν λαὸν εἰς τὰ αὐτὰ ἐξέκλιναν· φησὶν, ὅτι *Καταπαύσω τὴν βασιλείαν Ἰσραὴλ*· ὃ καὶ γέγονε· τοῦ τε Ἀζαὴλ ἐπελθόντος αὐτοῖς, καὶ ἄλλων βασιλέων, καὶ τελευταῖον τοῦ Σαλμανασὰρ, ὅτε δὴ καὶ πανωλεθρίαν ὑπέστη ἡ τῶν δέκα φυλῶν, ἤτοι τοῦ Ἰσραὴλ βασιλεία. *Ἐν τῇ ἡμέρᾳ* δὲ *ἐκείνῃ*, τῆς ἐκδικήσεως δηλαδὴ, *συντρίψω καὶ τὸ τόξον τοῦ Ἰσραὴλ*, ἤτοι τὴν δύναμιν· ἐμφαντικῶς δὲ εἶπε, *Τὸ τόξον*, ἵνα δείξῃ, ὅτι ἐπὶ τῷ τόξῳ ἐθάρρουν, καὶ οὐκ ἐπὶ τῷ Θεῷ. Τετηρήκαμεν δὲ παρὰ τῇ Γραφῇ ὑπὲρ τὰ ἄλλα ὅπλα τὸ τόξον ἀποβαλλόμενον, διότι τῷ δόλῳ μεγάλα συμβάλλεται. Διὸ

D

Vers. 4. 5. *Et cessare faciam regnum domus Israel. Eritque in die illa, conteram arcum in valle Jezrael.* Quoniam Jehu posteri, qui imperio potiebantur, pravi in Israelitico cœtu facti sunt, et impii, ut supra diximus, totumque populum in eamdem nequitiam pertraxerunt; idcirco *Subvertam*, ait, *regnum Israel* [15], quod et revera contigit. Cum scilicet irruerunt in eos Hazael, et alii reges, et postremo Salmanassar, qua sane tempestate funditus eversum est decem tribuum, Israelis videlicet regnum. *In die* autem *illa*, ultionis scilicet, *conteram et arcum Israel*, potentiam nimirum Israelis. Quod eo dixit, ut emphatica ratione quadam ostenderet, eos in *arcu*, non in Deo, fiduciam locatam habuisse. Ex armis autem, arcum omnium maxime sacris in Litteris rejici comperimus, quod is dolo plurimum conferat. Quamobrem eo celebriores

[13] III Reg. XVI, 1. [14] Rom. II, 1 3. [15] IV Reg. XIII, 2.

Digitized by Google

Hebræi non utebantur, præter impurum Esau et filios Ephræm, qui et arcus tendere, et jacula vibrare consueverant [16]. *In valle* autem *Jesrael* confracturum se arcum istum dixit, quo auditores commonefaceret Achabi necis, qua ob idololatriam, aliasque iniquitates affectus est, simulque deterreret ab istiusmodi flagitiis ejus asseclas æmulatoresque. Vindicatus item est sanguis Christi, qui vere Jezrael est, ut diximus, paulo post ejus mortem, siquidem penitus deleti sunt, qui clamarunt: *Sanguis ejus super nos, et super filios nostros* [17]. Vallem autem Jezrael intellige Christi abjectionem, humiliationemque, tum hujus ipsius tumulationem. Postquam enim se ipse demisit, humiliavitque usque ad crucem, sepultusque fuit, tum confregit arcum Israel, stultam scilicet in legis littera jactantiam, eorumque calumnias, quibus eum, uti Dei adversarium, tanquam arcubus, confoderunt. Grave profecto scelus est per insidias configere virum **13** innocentem. Prorsus autem innocens erat, qui *peccatum non habebat, neque dolus inventus est in ore ejus* [18], ut et ipse de se testatur: *Quis ex vobis arguet me de peccato* [19]? In nobis item extinguunt Dei semina humanæ cogitationes, quæ quidem plurimum pollere videntur, et quodammodo regnare dominarique, et, quosdam velut arcus, contorta sophismata gerere; sed in valle, divini scilicet Verbi humiliatione, conterantur. Infirma enim quæque Dei, humana cuncta consilio sapientiaque superant [19a].

VERS. 6. *Concepitque adhuc, et peperit filiam, et dixit ipsi: Voca nomen ejus, Non misericordiam consecutam: propterea quod non amplius addam, ut miserear domus Israel, sed adversans adversabor illis.* Dictum hoc perspicuum est. Futurum enim docet vates, ut adversus Israelem Deus non amplius solita benignitate utatur; sed in eum potius, uti rebellem et inimicum animadvertat; idque non leviter, sed acerrime, ut ostendant ea, et *Adversans adversabor eis.* Filiam vero *Non misericordiam consecutam* intelligere commode poteris et Judæorum stirpem, quæ post Christi peregrinationem superstes fuit, quam haud amplius misertus Pater, acriter persecutus est, quod ejus Filium per injuriam perdidisset. In mentis quoque nostræ commotionibus, si qua feminea sit, appetitui plane similis, multaque prædita imbecillitate, ut non omnia per suos confirmantem discipulos Christum possit, haud ipsius miseretur Deus noster Verbum, sed ei maxime reluctatur adversaturque.

VERS. 7. *Filiorum autem Juda miserebor, et conservabo ipsos in Domino Deo suo. Nec servabo eos in arcu, neque gladio, neque bello, neque curribus, neque in equis, neque in equitibus.* Clare per hæc ostendit, quæ in Senacherim clade contigerunt; ea quippe tempestate victi sunt Assyrii, non prælio ullo, neque ullo conflictu, sed angelica tan-

A καὶ οἱ εὐδοκιμώτεροι Ἑβραῖοι, οὐκ ἐχρῶντο τούτῳ, εἰ μὴ ἄρα ὁ Ἡσαῦ, ὁ βέβηλος, καὶ υἱοὶ Ἐφραὶμ, ἐντείνοντες, καὶ βάλλοντες τοῖς τόξοις. Ἐν τῇ *κοιλάδι* δὲ τοῦ *Ἰεζραὲλ* εἶπε συντρίψειν τὸ τόξον, ἵνα τοῦ φόνου τοῦ Ἀχαὰβ ἀναμνήσῃ, τοῦ διὰ τὴν εἰδωλολατρείαν καὶ τὰς ἄλλας ἀδικίας ἐπανελθόντος αὐτῷ, καὶ πείσῃ τῶν ἴσων ἔργων ἀποστῆναι τοὺς ἐκείνου ζηλωτάς. Ἐξεδικήθη δὲ καὶ τὸ αἷμα Χριστοῦ, τοῦ τῷ ὄντι Ἰεζραὲλ, ὡς εἴρηται, μετ' ὀλίγον καιρὸν τοῦ θανάτου αὐτοῦ πανωλεθρίᾳ παραδοθέντων τῶν εἰπόντων· *Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.* Κοιλάδα δὲ Ἰεζραὲλ, τὴν συγκατάβασιν Χριστοῦ καὶ ταπείνωσιν νόει, καὶ τὴν ἐν τῷ μνημείῳ κατάθεσιν. Συγκαταβὰς γὰρ, καὶ ταπεινωθεὶς ἄχρι σταυροῦ, καὶ ταφεὶς, τὸ τόξον τοῦ B Ἰσραὴλ συνέτριψε, τουτέστι τὴν σκολιὰν αὐτῶν ἐν τῷ γράμματι τοῦ νόμου καύχησιν, καὶ τὰς συκοφαντίας, ἃς ἐσυκοφάντουν αὐτὸν, ὡς ἀντίθεον, ἐντείνοντες τόξον αὐτῶν. Πρᾶγμα πικρὸν τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον· πάντως δὲ ἄμωμος ἦν, ὃς *Ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ* · καθὼς καὶ αὐτὸς λέγει· *Τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας;* Ἀποκτιννύουσι δὲ καὶ τὰ ἐν ἡμῖν τοῦ Θεοῦ σπέρματα ἀνθρώπινοι λογισμοὶ, δυνατοὶ δοκοῦντες εἶναι, καὶ οἱονεὶ βασιλεύειν, καὶ κρατεῖν, καὶ ὥς τινα τόξα ἔχειν τὰ καμπύλα σοφίσματα· ἀλλὰ τῇ κοιλάδι, καὶ τῇ ταπεινώσει τοῦ θείου Λόγου συντρίβονται. Τὸ γὰρ μωρὸν τοῦ Θεοῦ, σοφώτερον τῶν ἀνθρωπί- C νων ἐστί.

Καὶ συνέλαβεν ἔτι, καὶ ἔτεκε θυγατέρα, καὶ εἶπεν αὐτῷ· Κάλεσον τὸ ὄνομα αὐτῆς, Οὐκ ἠλεημένη, διότι οὐ μὴ προσθήσω ἔτι τοῦ ἐλεῆσαι τὸν οἶκον Ἰσραὴλ, ἀλλ' ἀντιτασσόμενος, ἀντιτάσσομαι αὐτοῖς. Τὸ μὲν ῥητὸν σαφές· διδάσκει γὰρ, ὅτι οὐκέτι τὸν Ἰσραὴλ ἀξιώσει φιλανθρωπίας, ἀλλὰ μᾶλλον ὡς ἀποστάτην καὶ ἐχθρὸν ἀμυνεῖται, καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετὰ ἐπιτάσεως· τοῦτο γὰρ δηλοῖ τὸ, *Ἀντιτασσόμενος ἀντιτάσσομαι.* Θυγατέρα δὲ *Οὐκ ἠλεημένην* νοήσεις καὶ τὴν τῶν Ἰουδαίων γενεὰν, τὴν μετὰ τὴν ἐπιδημίαν Χριστοῦ, ἣν οὐκέτι ἠλέησεν ὁ Πατὴρ, ἀλλ' αὐτὸς ἀντετάξατο αὐτοῖς· ἐπειδὴ εἰς τὸν Υἱὸν αὐτοῦ ὕβρισαν. Καὶ ἐν τοῖς D τοῦ νοῦ δὲ κινήμασιν, εἴ τι θῆλύ ἐστι, καὶ τῇ αἰσθήσει ἐοικὸς, καὶ ἀσθένειαν πολλὴν περικείμενον, καὶ μὴ πάντα ἰσχύον ἐν τῷ ἐνδυναμοῦντι τοὺς αὐτοῦ μαθητὰς Χριστῷ, οὐκ ἐλεεῖ αὐτὸ ὁ Θεὸς ἡμῶν Λόγος, ἀλλ' ἀντιτάσσεται αὐτῷ.

Τοὺς δὲ υἱοὺς Ἰούδα ἐλεήσω καὶ σώσω αὐτοὺς ἐν Κυρίῳ Θεῷ αὐτῶν, καὶ οὐ σώσω αὐτοὺς ἐν τόξῳ οὐδὲ ἐν ῥομφαίᾳ, οὐδὲ ἐν πολέμῳ, οὐδὲ ἐν ἅρμασιν, οὐδὲ ἐν ἵπποις, οὐδὲ ἐν ἱππεῦσι. Σαφῶς διὰ τούτων ἐδήλωσε τὰ κατὰ τὸν Σεναχηρεὶμ γενόμενα· τότε γὰρ ἡττήθησαν οἱ Ἀσσύριοι, οὐ παρατάξεως γενομένης, ἢ συμπλοκῆς, ἀλλ' ἀγγελικῆς

[16] Psal. LXXVII, 7. [17] Matth. XXVII, 25. [18] I Petr. II, 22. [19] Joan. I, 46. [19a] I Cor. I, 25.

Digitized by Google

δυνάμεως, ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας διαφθειράσης. Ταῦτα δὲ προλέγει, καὶ τοὺς υἱοὺς Ἰούδα πρὸς τὴν θείαν ἀγάπην προθυμοτέρους ποιῶν (εἰ γὰρ καὶ ἐν αὐτοῖς ἦσάν τινες ἀσεβεῖς καὶ ἁμαρτωλοί, ἀλλ' ὅμως ἦσαν καὶ οἱ τῷ Κυρίῳ δουλεύοντες), καὶ τοὺς υἱοὺς Ἰσραὴλ ἐπιστρέφων ἀπὸ τῆς πονηρίας, καὶ πείθων μιμεῖσθαι ἐκείνους, καὶ τὴν ἀρετὴν μετιέναι, καὶ διὰ ταύτην ἀπολαύειν τοῦ παρ' αὐτοῦ ἐλέους. Σώζονται δὲ καὶ ἐκ τῆς γενεᾶς τῶν Ἑβραίων, ὅσοι εἰσὶ τοῦ Ἰούδα, τουτέστι τῆς ἐξομολογήσεως καὶ τῆς μετανοίας, πρὸς οὓς καὶ Πέτρος ἐν ταῖς Πράξεσιν ἔλεγε· *Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ.* Καὶ μέντοι καὶ ὑπακούσαντες αὐτοῦ, ἐσώθησαν ὡσεὶ ψυχαὶ τρισχίλιαι. Σώζονται δὲ οὐκ ἐν σοφίᾳ Ἑλληνικῇ, οὐδὲ ἐν συλλογισμοῖς, οὐδὲ εὐπειθοῖς [*f.* ἐν π.] ἀνθρωπίνης σοφίας λόγοις, ἐξ ὧν ἔρις, καὶ ζητήσεις, καὶ πόλεμοι· ἀλλ' ἐν τῇ πίστει τοῦ Χριστοῦ, ὃς ἐστιν ἡ εἰρήνη ἡμῶν. Καὶ ἐν ἡμῖν δὲ ἡ ἐξομολόγησις, τῆς σωτηρίας πρόξενος· ἀλλὰ καὶ αὕτη ἡ ἐν Κυρίῳ Θεῷ γινομένη, ὅπερ ἐστὶ μετὰ συντριβῆς καὶ ταπεινοφροσύνης. Ἔστι γὰρ καὶ λέγοντά τινα ἑαυτὸν ἁμαρτωλὸν μετὰ εἰρήσεως λέγειν, ὅπερ ἐστὶ ταπεινολογία, οὐ ταπεινοφροσύνη. Οὐκ ἐπὶ τοῖς ἔργοις, φησὶ, δεῖ θαρρεῖν, ἀλλ' ἐν Κυρίῳ Θεῷ, κατὰ τὸν λέγοντα· *Ἐγὼ δὲ ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα·* καὶ κατὰ τὸν Παῦλον· *Ἀλλὰ ἠλεήθην· ἐξ ἔργων γὰρ οὐ δικαιοῦται πᾶσα σάρξ.* Τίς γὰρ καυχήσεται καθαρὸς εἶναι ἀπὸ ῥύπου, ἢ παῤῥησιάσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; Πολλάκις γὰρ οὐδὲ αὐτὸ, ὃ δοκεῖ ποιεῖν καλῶς, ἀνεπίληπτόν ἐστι παρὰ Θεῷ. *Ἐν πολλοῖς γὰρ, φησὶν, ἁπαντες ἁμαρτάνομεν·* καὶ, *Οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι.*

A tummodo vi, qua centum octoginta quinque hominum millia cæsa sunt penitusque sublata [20]. Hæc vero prænuntiat vates [21], cum ut filios Juda magis magisque ad Dei dilectionem concitet (quanquam enim in ipsis essent quidam impii peccatoresque, aderant tamen alii, qui Deum pie colerent eique obsequerentur) tum ut filios Israel a nequitia deterreat, ut eos eorumque virtutem imitari velint, quo misericordiam ab ipso consequantur. Salutem vero consequuntur et ex Hebræorum stirpe, quotquot filii Juda, confessionis scilicet, atque pœnitentiæ facti sunt. Quos Paulus in Actibus sic affatur: *Pœnitentiam agite, et baptizetur unusquisque vestrum in nomine Jesu Christi* [22], qui cum ei sint obsecuti, salva facta sunt animarum circiter tria millia. Qui quidem salutem adipiscuntur non per Græcam sapientiam, neque per ratiocinia, neque per humanæ sapientiæ flexanimos sermones, ex quibus contentio, quæstiones et controversiæ profluunt; sed per Christi fidem, 14 qui est pax nostra [23]. Confessio præterea, quæ in nobis fit, salutis origo est, dummodo tamen hæc in Domino Deo fiat, animo scilicet contrito, atque demisso. Accidit enim interdum, ut peccatorem se quis appellet, magnifice simul de se sentiens; sed hæc humilitatis ostentatio potius quam humilitas est. Non in operibus, ait, confidere nos oportet, sed in Domino Deo, quemadmodum testatur cum Psalmista: *Ego autem speravi in misericordia Dei in æternum* [24]; tum Paulus, *Sed misericordiam sum consecutus; ex operibus enim non justificatur omnis caro* [25]. Quis enim gloriari potest, se mundum a sordibus esse? vel confidenter dicere, se mundum cor habere? Sæpenumero enim ne illud quidem, quod recte se agere videtur, tale omnino est, ut a Deo reprehendi minime possit. *In multis enim*, ait, *offendimus omnes* [26]; et, *Nihil mihi conscius sum, sed non in hoc justificatus sum* [27].

B

C

Καὶ ἀπεγαλάκτισε τὴν Οὐκ ἠλεημένην. Εὐεργεσία μεγάλη τῇ οὐκ ἠλεημένῃ γενεᾷ τῶν Ἑβραίων, τὸ ἀποστῆναι τοῦ νομικοῦ γάλακτος, τοῦ τοὺς νηπίους τρέφοντος, καὶ δεηθῆναι στερεᾶς τροφῆς, ἧς δέονται οἱ διὰ τὴν ἕξιν γεγυμνασμένην (9) τὰ αἰσθητήρια, πρὸς διάκρισιν καλοῦ, καὶ κακοῦ, καὶ τρέφεσθαι τῷ ἐξ οὐρανοῦ καταβάντι ἄρτῳ. Ἀλλὰ καὶ ἡμεῖς, ἕως μὲν νήπιοί ἐσμεν, τῷ κόσμῳ τούτῳ προσέχομεν, καὶ τούτῳ ἐντρυφῶμεν, ὡς γάλακτι, τό τε ἡδὺ ἔχοντι, καὶ ῥέοντι· ἐπεὶ δὲν δὲ τὰ τελειότερα φρονήσωμεν, τότε ἀπογαλακτίζεσθαι λεγόμεθα, καὶ τοῖς τοῦ παραδείσου καρποῖς τρέφεσθαι ζητοῦμεν.

D

Vers. 8. *Ablactavitque Non misericordiam consecutam.* Magnum profecto beneficium in Hebræorum stirpem, quæ misericordiam non consecuta dicitur, ex eo redundavit, quod a legali lacte quo nutriuntur infantes, fuerit abducta, egeatque solidiore nutrimento quo egent, qui se, boni malique dignoscendi causa, circa sensus instrumenta per habitum exercuerunt, nutriaturque pane qui e cœlo descendit. Nos item, quoad infantes sumus, adhæremus huic mundo, eoque, tanquam lacte, jucunditate multa scatente, oblectamur. Ubi autem adolevimus, perfectiora spectantes, tum ablactari dicimur, paradisique fructibus ali sustentarique avemus.

Συνέλαβεν ἔτι, καὶ ἔτεκεν υἱὸν καὶ εἶπε· Κάλεσον τὸ ὄνομα αὐτοῦ, Οὐ λαός μου, διότι ὑμεῖς οὐ λαός μου, καὶ ἐγὼ οὐκ εἰμὶ ὑμῶν. Ὅρα, ὅτι

Vers. 8, 9. *Et concepit adhuc, et peperit filium, dixitque: Appella nomen ejus, Non populus meus: nam et vos non populus meus, et ego non sum*

[20] II Paralip. xxxii, 21. [21] Isa. xxxvii, 36. [22] Act. xi, 38. [23] Ephes. ii, 14. [24] Psal. li, 10. [25] Rom. iii, 20. [26] Jac. iii, 2. [27] I Cor. iv, 4.

Variæ lectiones et notæ.

(9) Sic; legendum tamen γεγυμνασμένοι, *exercitati.*

Digitized by Google

vester. Animadverte, homines primum deserere Deum, ejusque propterea populum esse desinere, atque tum demum Deum eos derelinquere, nec amplius esse ipsorum Deum. Cum enim id agitur, ut in ipsius amicitiam recipiamur, ipse nos permovet ac persequitur, ut ait cum David: *Misericordia tua persequetur me* [28], tum Paulus, *Comprehensus sum a Christo* [29]; cum contra de nostra a Deo defectione agitur, non ita se res habet. Scilicet nos primum ab eo recedimus, atque tum et ipse, quodammodo coactus, a nobis ægre recedit. Paulus autem *Non populum* intelligit Gentilium cœtus, qui postea per fidem facti sunt Dei populus, vocanturque Synagogæ filii, propterea quod ab Judæis prognati, ipsos per Evangelium genuerunt. Cum item suscipit aliquis laborem, et parit iniquitatem [30] (nam ne turpia quidem facinora labore carent et ærumnis), is profecto dignus non est, qui Dei esse dicatur. Nam ne ita quidem est affectus, uti Joseph, qui ait, *Dei sum ego*. Propterea ne Deus quidem ejus esse dicitur, uti dicebatur *Deus Abraham* [31], et ut appellat eum David, *Deus meus*, et, *Deus cordis mei* [32].

πρότερον οἱ ἄνθρωποι ἀφίστανται τοῦ Θεοῦ, καὶ γίνονται οὐ λαὸς αὐτοῦ, καὶ τότε ὁ Θεὸς ἀφίσταται αὐτῶν, καὶ γίνεται οὐκ αὐτῶν. Ἔνθα μὲν γὰρ δεῖ οἰκειοῦσθαι αὐτῷ, αὐτὸς καταδιώκει ἡμᾶς, ὡς καὶ Δαβὶδ λέγει· *Τὸ ἔλεός σου καταδιώξει με*· καὶ Παῦλος, *Κατελήφθην ὑπὸ Χριστοῦ*· ἐπὶ δὲ τῆς ἀλλοτριώσεως, οὐχ οὕτως· ἀλλ' ἡμεῖς πρότερον ἀφιστάμεθα αὐτοῦ, καὶ οὕτω μόγις ἐκβιαζόμενος ἐκεῖνος, ἀφίσταται ἡμῶν. Παῦλος δὲ τὰ ἔθνη νοεῖ *Οὐ λαόν*, οἳ ὕστερον διὰ τῆς πίστεως ἐγένοντο λαός. Υἱοὶ δὲ λέγονται τῆς Συναγωγῆς, διότι οἱ ἐξ Ἰουδαίων τούτους διὰ τοῦ Εὐαγγελίου ἐγέννησαν. Καὶ ὅταν δέ τις συλλάβῃ πόνον, καὶ τέκῃ ἀνομίαν (οὐδὲ γὰρ τὰ ἔργα τῆς αἰσχύνης ἄνευ πόνων καὶ κόπων εἰσὶν), οὐκ ἔστιν ἄξιος κληθῆναι τοῦ Θεοῦ. Οὐδὲ γάρ ἐστι κατὰ τὸν Ἰωσὴφ, τὸν λέγοντα· *Τοῦ Θεοῦ εἰμι ἐγώ*. Διὸ οὐδὲ Θεὸς αὐτοῦ λέγεται, ὡς ἐλέγετο, *Θεὸς Ἀβραάμ*, καὶ ὡς ὁ Δαβὶδ ἔλεγε· *Κύριος ὁ Θεός μου* καὶ, *Ὁ Θεὸς τῆς καρδίας μου*.

15 VERS. 10. *Eritque numerus filiorum Israel, velut arena maris, quæ non mensurabitur, neque numero comprehendetur.* Ne putes, ait, Deum Hebræos ideo rejicere, quod pauci sint, exiguoque numero comprehensi; tot enim ii sunt, quot Deus ipse futuros Abrahamo promisit [33]. Verum haud ingenti multitudine gaudet Deus; siquidem *ubi sunt duo, vel tres, congregati in nomine* ejus, *ibi est in medio eorum* [34]. Ita Nohemum omnibus hominibus anteposuit; ita Abrahamum, ita Moysem. Horum contra descendentes, licet omni numero superiores, eos tamen, *Non populum* ejus appellat. Arenæ vero maris comparat Judæorum Synagogam quæ Dominum occidit, cum quod hærent mari, bonisque turbulenti mundi hujus, nihilque cœleste cogitant [Qui fiat enim, ait, ut credatis vos, qui gloriam ab hominibus quæritis?] tum etiam quia nullo fœderis jure, neque fidei vinculo tenentur, uti sese habent et maris arenæ. Hæ quippe aliæ ab aliis secernuntur. Quod utinam ab hocce mundo non patiatur anima a Christo electa, quæ cœleste regimen obire jubetur, ut ne dicatur et de ipsa, *Non mensurabitur, neque numero comprehendetur.* Virtus enim medium tenet, ideoque neque ad dexteram declinans, neque ad sinistram, media regiaque veluti via incedit. Vitio contra multi sunt obliqui tramites et anfractus. Et astra quidem numerat Dominus, claros videlicet homines, cosque jam perspectos habet, qui, fulgida veluti lumina, in hoc mundo vitæ rationem habent. Et alias, qui salvantur, pauci sunt, numeratuque faciles; multi contra obscuriores homines, qui præcipites ad perditionem feruntur.

Καὶ ἦν ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ, ὡς ἡ ἄμμος τῆς θαλάσσης, ἡ οὐκ ἐκμετρηθήσεται, οὐδὲ ἐξαριθμηθήσεται. Μὴ νομίσῃς, φησὶν, ὁ ἀκούων, ὅτι διὰ τοῦτο ἀποβάλλεται τοὺς Ἑβραίους ὁ Θεὸς, ὡς εὐαριθμήτους ὄντας, καὶ ὀλίγους· καὶ γὰρ τοσοῦτοι ἦσαν, ὅσους ἐπηγγείλατο ἔσεσθαι τῷ Ἀβραάμ. Ἀλλ' οὐ πλήθει χαίρει Θεός. *Ὅπου γάρ εἰσι δύο, ἢ τρεῖς, συνηγμένοι εἰς τὸ αὐτοῦ ὄνομα, ἐκεῖ ἐστιν ἐν μέσῳ αὐτῶν.* Οὕτω καὶ τὸν Νῶε πάντων ἀνθρώπων προὐτίμησεν, οὕτω τὸν Ἀβραὰμ, οὕτω τὸν Μωϋσέα. Τοὺς δὲ ἐκείνων ἀπογόνους, καίτοι ἀριθμὸν νικῶντας, *Οὐ λαὸν* αὐτοῦ καλεῖ. Εἰκέζει δὲ ἄμμῳ τὴν τὸν Κύριον ἀποκτείνασαν Συναγωγὴν, διά τε τὸ οἰκείους αὐτοὺς εἶναι τῆς θαλάσσης, καὶ τῶν ἀγαθῶν τοῦ ταραχώδους κόσμου τούτου, καὶ μηδὲν οὐράνιον φρονεῖν (Πῶς γάρ, φησὶ, δύνασθε πιστεύειν, δόξαν παρὰ ἀνθρώπων ζητοῦντες;), καὶ ἔτι διὰ τὸ πρὸς ἀλλήλους ἀσύνθετον καὶ ἄσπονδον· ἐπεὶ καὶ αἱ ψάμμοι, τοιοῦτον· ἀπ' ἀλλήλων γὰρ διορίζονται. Ὃ μὴ πάθοι ψυχὴ ἐκ τοῦ κόσμου τούτου ἐκλεχθεῖσα ὑπὸ Χριστοῦ, καὶ τὸ πολίτευμα ἐν οὐρανοῖς ἔχειν προσταχθεῖσα, ἵνα μὴ λεχθῇ καὶ περὶ αὐτῆς, ὅτι *Οὐκ ἐκμετρηθήσεται, οὐδὲ ἀριθμηθήσεται.* Ἡ μὲν γὰρ ἀρετὴ μέτρον ἔχει τὴν μεσότητα, καὶ οὔτε εἰς δεξιὰ, οὔτε εἰς ἀριστερὰ κλίνουσα, ὁδῷ μέσῃ καὶ βασιλικῇ πορεύεται· τῇ δὲ κακίᾳ αἱ ἀποκλίσεις, καὶ ἐκτροπαὶ, πολλαί. Καὶ τὰ μὲν ἄστρα ὁ Κύριος ἀριθμεῖ, τουτέστι τοὺς φωτοειδεῖς ἀνθρώπους, καὶ γνωστοὺς αὐτοὺς ἔχει, οἵ εἰσιν, ὡς φωστῆρες, ἐν κόσμῳ λόγον ζωῆς ἐπέχοντες. Ἐπεὶ καὶ ἄλλως οἱ σωζόμενοι, ὀλίγοι καὶ ἀριθμητοί· οἱ δὲ χυδαῖοι καὶ ἀπολλύμενοι, πολλοί.

Eritque in loco, ubi dictum est ipsis: Non populus meus vos, vocabuntur et ipsi filii Dei viventis. Beni-

Καὶ ἔσται ἐν τῷ τόπῳ, οὗ ἐλέχθη αὐτοῖς, Οὐ λαός μου ὑμεῖς, κληθήσονται καὶ αὐτοὶ υἱοὶ θεοῦ

[28] Psal. XXII, 6. [29] Philipp. III, 12. [30] Psal. VII, 15. [31] Gen. XXXI, 53. [32] Psal. LXXII, 26. [33] Gen. XV, 5. [34] Matth. XVIII, 20.

Digitized by Google

ζῶντος. Φιλάνθρωπος ὢν ὁ Θεὸς, τὴν ἱλαρωτέραν ἀπόφασιν τῇ αὐστηρᾷ ἐπιφέρει, καὶ τοὺς ἀπορριφέντας οἰκειοῦται. Καὶ ὅρα χρηστότητα, ὅτι οὓς οὐδὲ τῆς τοῦ λαοῦ προσηγορίας ἀξίους ἔκρινε, τούτους υἱοὺς Θεοῦ ζῶντος ὀνομάζει νῦν. Τί δέ ἐστι τὸ, *Ἐν τῷ τόπῳ, οὗ ἐλέχθη αὐτοῖς;* Μάθε· Ἐν τῇ πατρίδι ὄντες, εἰδωλολάτρουν· διὸ καὶ ἐκεῖ ἐλέχθη αὐτοῖς· *Οὐ λαός μου*· ἐν τῷ μέσῳ δὲ εἰς Βαβυλῶνα ἀπαχθέντες αἰχμάλωτοι, οὔτε ἔθυον, οὔτε ᾖδον τὰς ᾠδὰς Κυρίου. *Πῶς* γὰρ, φησὶν, *ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;* Ἐπεὶ οὖν ἀπαναστάντες ἐκ Βαβυλῶνος, πάλιν τῷ νόμῳ ἐχρῶντο, καὶ πάντα ἔπραττον, ὡς ἐκλεκτοὶ καὶ υἱοὶ Θεοῦ, φησὶν ὅτι Εἰς τὰς πατρίδας ὑμῶν ἀνασωθήσεσθε, καὶ εὐαρεστήσετε ἐκεῖ τῷ Θεῷ, ἔνθα πρότερον ὄντες, *Οὐ λαός* αὐτοῦ ἐκλήθητε. Ἐπειδὴ δὲ ὁ νόμος, κατὰ μὲν τὸ γράμμα νοούμενος, ἀποκτείνει, κατὰ δὲ τὸ πνεῦμα, ζωοποιεῖ· εἰκότως ἐν τῷ ἑνὶ καὶ τῷ αὐτῷ τόπῳ, ποτὲ μὲν καλοῦντσι οἱ Ἑβραῖοι *Οὐ λαός*, ὅταν τῷ γράμματι δουλεύωσι· ποτὲ δὲ *Υἱοὶ Θεοῦ ζῶντος*, ὅταν πνευματικῶς αὐτὸν νοήσαντες, καὶ πιστεύσαντες Χριστῷ, τὴν διὰ τοῦ Πνεύματος υἱοθεσίαν δέξωνται. Καὶ ψυχὴ δὲ ἁμαρτάνουσα, ἢ διὰ τῶν λογισμῶν, ἢ διὰ τῶν σωματικῶν ὀργάνων, *Οὐ λαὸς* καλεῖται Θεοῦ· διὰ δὲ τῶν αὐτῶν τούτων διορθωθέντων, υἱὸς γίνεται τοῦ Θεοῦ, ὅταν ὁ αὐτὸς καὶ τῷ νοῒ δουλεύῃ νόμῳ Θεοῦ, καὶ τὰ μέλη παριστάνῃ ὅπλα δικαιοσύνης τῷ Θεῷ· καὶ συνόλως εἰπεῖν, καθαρίσας ἑαυτὸν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, δοξάζῃ τὸν Θεὸν ἐν τῷ σώματι αὐτοῦ καὶ ἐν τῷ πνεύματι αὐτοῦ.

A gnus Deus cum sit, asperioribus dictis blandiora verba adjungit, eosque suam in amicitiam recipit, quos dudum rejecerat. Qua in re animadverte ejus clementiam benignitatemque. Quos enim ne dignos quidem censebat, qui populus ejus appellarentur, eos in præsentia filios Dei viventis appellat. Quid vero sibi vult, *In loco ubi dictum est ipsis?* Sic habeto : In patria cum ii versarentur, idola colere, ibique propterea sibi dictum illud audire : *Non populus meus :* captivi postea Babylonem adducti, neque sacrificia offerre, neque Dei laudes canere : *Quomodo* enim, ait, *cantabimus canticum Domini in terra aliena* [35] ? Babylone vero reduces, lege rursus uti : omnia legis ipsius imperata facere, tanquam electi Deique filii : propterea ad eos ibidem B dictum : In patriam quisque vestram incolumes evadetis, ibique Deo placebitis, ubi antea cum essetis, *Non populus meus* appellati estis. Quoniam autem lex secundum litteram occidit, secundum vero spiritum, vitam affert, jure quidem ac merito Hebræi in uno eodemque loco appellantur modo *Non populus*, **16** cum legis litteræ mordicus hærent, interdum *Filii Dei viventis*, cum legis ipsius spiritum penitius introspicientes, fidentesque Christo, adoptionem, quæ per Spiritum fit, consequuntur. Quisquis item peccat, vel per cogitationes, vel per corporea instrumenta, *Non populus* Dei vocatur; idemque per eadem hæc, si corrigantur, filius Dei fit, cum scilicet et mente divinæ legi obtemperat, et membra, tanquam justitiæ C arma, Deo gerit; cum ad summam semetipsum ab omni tum carnis, tum spiritus contagione ac sorde purgans, in corpore suo, atque spiritu Deum honore prosequitur.

Καὶ συναχθήσονται οἱ υἱοὶ Ἰούδα καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐπὶ τὸ αὐτὸ, καὶ θήσονται ἑαυτοῖς μίαν ἀρχὴν, καὶ ἀναβήσονται ἐκ τῆς γῆς. Τὴν ἀπὸ Βαβυλῶνος ἀνάβασιν προαγορεύει, καὶ ὅτι ἐκεῖθεν ἐπανελθόντες, οὐκέτι διῃρημένους ἕξουσι βασιλεῖς, ὥστε τὸν μὲν Ἰούδαν, τὸν δὲ Ἰσραὴλ ὀνομάζεσθαι· ἀλλ' ἑνωθέντες, ἕνα ἕξουσιν ἄρχοντα, ὃ γέγονεν ἐπὶ Ζοροβάβελ, ἀναβάντος τοῦ αἰχμαλωτισθέντος παντὸς λαοῦ ἐκ τῆς γῆς τῶν Βαβυλωνίων. Ἔθεντο μὲν οὖν καὶ οἱ ἐξ Ἑβραίων πιστεύσαντες ἑαυτοῖς ἀρχὴν μίαν, τὸν σταυρὸν, φημὶ, τοῦ Κυρίου, περὶ οὗ εἴρηται· *Οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ*· οἳ συνῆχθησαν εἰς Χριστὸν ὑπὸ τοῦ νόμου· ὁ γὰρ νόμος παιδαγωγός ἐστιν, εἰς Χριστὸν συνάγων ἡμᾶς. Ἀλλὰ καὶ ὅτε συνάξει τις τοὺς ἑαυτοῦ λογισμοὺς ἀπὸ τῆς περὶ τὰ ἔξω περιπλανήσεως, καὶ εἰς συναίσθησιν τῶν οἰκείων κακῶν συνελαθεὶς, υἱὸς Ἰούδα γένηται, διὰ τῆς ἐξομολογήσεως, καὶ καθαρισθεὶς δι' αὐτῆς, υἱὸς Ἰσραὴλ ἀποδειχθῇ, ἤτοι Θεοῦ θεωρός· τότε τίθησιν ἑαυτῷ ἀρχὴν μίαν, τὸν Θεὸν, καὶ ὑπ' ἐκείνου ἄγεται, λέγων ἀληθῶς αὐτῷ· *Γενηθήτω τὸ*

Vers. 11. *Congregabunturque filii Juda, et filii Israel, in idem, ac constituent inter se imperium unum, et ascendent de terra.* Judæorum e Babylonis urbe regressum vates prænuntiat, simulque futurum denotat, ut illinc reduces, non amplius alii alios distinctos reges habeant, quorum alter rex Juda dicatur, alter rex Israel, sed in unum coeuntes, unius omnes imperio regantur, quod imperante Zorobabele evenit, cum scilicet universus ille captivus populus, e Babyloniorum regione, domum revertit [36]. Unum porro sibi constituerunt imperium [crucem scilicet Domini, de quo, *Cujus imperium super humerum ejus* [37]] et Hebræi, quot- D quot Christo crediderunt, quique per legem ad Christum ipsum perducti sunt : Pædagogus enim lex est, nos ad Christum perducens. Cum item suas quis cogitationes avertit a fallaci rerum externarum illecebra, suorumque scelerum intimo dolore correptus, fit per confessionem filius Juda (10), atque ita purgatus, filius Israel declaratur, Dei scilicet contemplator : tum ille sibi constituit im-

[35] Psal. CXXXVI, 4. [36] I Esdr. XI, 2. [37] Isa. IX, 6.

Variæ lectiones et notæ.

(10) Hebraica enim vox Juda, teste D. Hieronymo, *confessionem* significat; et Israel idem sonat ac *Deum videns*.

Digitized by Google

perium unum, Deum scilicet, cujus nutu regatur, eique ex animo dicat : *Fiat voluntas tua* [38] ; et, *Jumento similis factus sum apud te : et ego semper tecum* [39], ut sit ei Deus omnia in omnibus, ita jam affecto, ut nihil humani præ se ferat, sed semetipsum penitus abneget, qualis fuit is qui dicit : *Vivo ego, jam non amplius ego : vivit autem in me Christus* [40]. Tum enim et a terra, terrenisque rebus omnibus vere ascendit, virtute continuo proficiens, oblivisciturque eorum, quæ post terga relinquit, ad ea contendens, quæ suum ante conspectum sita cernit [41].

A *θέλημά σου· καὶ, Κτηνώδης ἐγενόμην παρὰ σοὶ, κἀγὼ διαπαντὸς μετὰ σοῦ· ἵνα ᾖ ὁ Θεὸς αὐτῷ τὰ πάντα ἐν πᾶσι, μηδὲν ἀνθρώπινον ἔχοντι, ἀλλ' ἀπαρνησαμένῳ ἑαυτὸν, οἷος ἦν ὁ λέγων· Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός.* Τότε γὰρ καὶ ἀναβαίνει ὄντως ἐκ τῆς γῆς καὶ τῶν γηΐνων πραγμάτων, ἀεὶ προκόπτων, καὶ *τῶν μὲν ὀπίσθεν ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος.*

Quoniam magna dies Jezrael. Quoniam, ait, magnum vobis irrogavi supplicium, eo die quo vindicata est cædes Jezrael ; magno etiam vos salutari beneficio afficiam, vosque a servitute in libertatem vindicans, in patriam quemque vestram reducam. Magna itaque facta est dies crucis, resurrectionisque Christi, qui Jezrael dicitur. Pariterque magna fit ei, qui sese terrenis a rebus extollit, virtute proficiens ; magna, inquam, fit ei dies per lumen cognitionis Christi, ut vere dicere queat : *Hæc dies Domini est* [non mea, neque meo parta labore, sed ejus ope atque beneficio] ; *exsultemus et lætemur in ea* [42].

B *Ὅτι μεγάλη ἡ ἡμέρα τοῦ Ἰεζραέλ.* Ἐπειδὴ μεγάλην ὑμῖν ἐπήγαγον τιμωρίαν, ἐν τῇ ἡμέρᾳ τῆς ἐκδικήσεως τοῦ Ἰεζραὲλ, μεγάλης ὑμᾶς ἀξιῶσαι καὶ σωτηρίας, καὶ τῆς δουλείας ἀπαλλάξας, εἰς τὴν πατρίδα ἐπανάξω. Ἐγένετο μὲν οὖν μεγάλη ἡ ἡμέρα τοῦ σταυροῦ, καὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ἧς ἐλέχθη Ἰεζραέλ. Γίνεται δὲ καὶ τῷ ἀναβαίνοντι ἀπὸ τῶν γηΐνων, καὶ προκόπτοντι, μεγάλη ἡ ἡμέρα, διὰ τὸν φωτισμὸν τῆς γνώσεως τοῦ Χριστοῦ· ὥστε λέγειν αὐτόν· *Αὕτη ἡ ἡμέρα Κυρίου*, οὐκ ἐμὴ, οὐδὲ δι' ἐμῶν κόπων, ἀλλὰ τῆς ἐκείνου χάριτος· *ἀγαλλιασώμεθα καὶ εὐφραν θῶμεν ἐν αὐτῇ.*

17 CAPUT II.

VERS. 1, 2. *Dicite fratri vestro, Populus meus ; et sorori vestræ, Misericordiam consecuta ; judicate matrem vestram, judicate.* Vos, ait, qui Babylone domum rediistis, judices estote mei, et matris vestræ, progenitorum scilicet vestrorum, qui me meaque jura violarunt. Iis similia reperiuntur et apud Isaiam : *Et nunc, domus Juda, judicate inter me, et vineam meam* [43].

C

ΚΕΦΑΛ. Β'.

Εἴπατε τῷ ἀδελφῷ ὑμῶν, Λαός μου, καὶ τῇ ἀδελφῇ ὑμῶν, Ἠλεημένη· κρίθητε πρὸς τὴν μητέρα ὑμῶν, κρίθητε. Ὑμεῖς, φησὶν, ἐκ Βαβυλῶνος ἐπανελθόντες, γίνεσθε κριταὶ τῆς μητρὸς ὑμῶν, καὶ ἐμοῦ, τουτέστι, τῶν προγόνων ὑμῶν, τῶν εἰς ἐμὲ παρανομησάντων (11). Τοιοῦτόν τι καὶ παρὰ τῷ Ἡσαΐᾳ εὑρίσκεται· *Καὶ νῦν, οἶκος Ἰούδα, κρίνατε ἀναμέσον ἐμοῦ, καὶ ἀναμέσον τοῦ ἀμπελῶνός μου.*

Quia ipsa non uxor mea, et ego non vir ejus. Divortium factum est inter me et ipsam, postquam tot a me beneficiis cumulata fuerat ; cujus quidem divortii causam attulit ipsa, non ego ; quippe prior ipsa uxor mea esse desiit, proindeque et ego vir ejus esse destiti. Hæc eadem dici possunt et ad apostolos qui Christum secuti sunt, qui sedebunt super sedes duodecim, judicantes duodecim tribus Israel [44], condemnantes videlicet quotquot e Synagoga [quæ sane mater istorum judicum erat] non crediderunt. Prisca item Hebræorum natio, cum ex Ægypto discessit, nondum legem habebat, neque tot tantisque Dei præceptis et sacrificiis gaudebat ; propterea que non vir ejus Dominus esse dicitur. Cum appetitus item a mente desciscit, neque mundo oblectatur ad Opificis gloriam, tum a veris mentis conceptibus, qui a mente ac sensu

D *Ὅτι αὐτὴ οὐ γυνή μου, καὶ ἐγὼ οὐκ ἀνὴρ αὐτῆς.* Διαζύγιον, φησὶν, ἐγένετο μεταξὺ ἐμοῦ, καὶ αὐτῆς. τῆς τοσαῦτα ἀγαθὰ παρ' ἐμοῦ δεξαμένης, καὶ οὐκ ἐγὼ τὴν αἰτίαν τοῦ διαζυγίου δέδωκα, ἀλλ' ἐκείνη· αὐτὴ γὰρ γέγονεν οὐ γυνή μου πρότερον, εἶθ' οὕτως ἐγὼ οὐκ ἀνὴρ αὐτῆς. Λέγοιτο δ' ἂν ταῦτα καὶ πρὸς τοὺς τῷ Χριστῷ ἀκολουθήσαντας ἀποστόλους, (12) οἱ καθίσονται ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ, ὅ ἐστι, κατακρίνοντες τοὺς μὴ πιστεύσαντας ἐκ τῆς τῶν Ἰουδαίων Συναγωγῆς, ἣ πάντως μήτηρ ἦν ἐκείνων τῶν κριτῶν. Καὶ ἡ ἀρχαιοτέρα δὲ γενεὰ, ὅτε ἐξ Αἰγύπτου ἐξῆλθεν, οὔπω νόμον εἶχεν (13), οὐδὲ τοσούτων ἀπήλαυσε (14) τῶν τοῦ Θεοῦ δικαιωμάτων (15), καὶ θυσιῶν (16)· διὸ λέγεται οὐκ αὐτῆς ἀνὴρ εἶναι ὁ Κύριος. Καὶ ὅτ ν δὲ ἡ αἴσθησις ἀποστῇ τοῦ νοῦ, καὶ οὐκ ἀπολαύῃ τοῦ κόσμου πρὸς δόξαν τοῦ Δημιουργοῦ,

[38] Matth. VI, 10. [39] Psal. LXXII, 22. [40] Galat. II 20. [41] Philipp. III, 13. [42] Psal. CXVII, 24. [43] Isa. V, 3 [44] Matth. XIX, 28.

Variæ lectiones et notæ.

(11) Παρονομαζομένων. Cod. Arg.

(12) Verba hæc οἱ καθίσονται ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ, restituimus ex cod. Ven. et Bav. cum in Cod. Arg. deessent.

(13) Nondum scilicet promulgatam.

(14) Ἀπόλαυσιν, *perceptionem* Cod. Arg.

(15) Quot postea promulgata sunt Exod. XIX, 20, 21.

(16) Νουθεσιῶν, *monitis*. Cod. Arg.

Digitized by Google

κατακρίνεται ὑπὸ τῶν ἀληθινῶν τοῦ νοῦ γεννημάτων, A τῶν ὑπὸ τοῦ νοῦ καὶ τῆς αἰσθήσεως γεννηθέντων πρὸς γνῶσιν Θεοῦ. Οἷόν τι φημί· Οἶδέ τις τὴν κτίσιν, ὅτι καλή, καὶ μετὰ νοῦ ἰδὼν αὐτὴν ἐθαύμασε τὸν Ποιητήν (17)· εἶδεν ἄλλος ταύτην, καὶ ἐθεοποίησε (18), διότι μόνῃ τῇ αἰσθήσει μητρὶ ἐχρήσατο· ἀποστατησάσῃ τοῦ νοῦ. Ὁ τοιοῦτος κατακρίνεται ὑπὸ τοῦ προτέρου. Εἰδέ τις κάλλος σώματος, καὶ ἐθαύμασε τὸν τεχνίτην, πῶς ἐν πηλῷ (19), καὶ σαπρᾷ, τοιαύτην λαμπρότητα ἐτεχνήσατο· ἄλλος ἰδὼν, ἐμπαθῶς πρὸς αὐτὸ διετέθη, διότι τῇ αἰσθήσει (20) ἠκολούθησε, χωρὶς τοῦ νοῦ. Ἆρ' οὖν οὐκ εἰς κατάκρισιν τούτου ἐκεῖνος ἔσται;

Καὶ ἐξαρῶ τὴν πορνείαν αὐτῆς ἐκ προσώπου μου, καὶ τὴν πορνείαν αὐτῆς ἐκ μέσου μαστῶν αὐτῆς. Δείκνυσιν, ὅτι Τὸ διαζύγιον, ὃ ἐποίησα πρὸς B αὐτὴν, εἰς ὠφέλειαν αὐτῆς ἐποίησα, πρὸς τὸ ἐλευθερῶσαι ταύτην τῆς πορνείας, ἤτοι τῆς εἰδωλολατρείας· καὶ γὰρ ἀποικισθεῖσα εἰς Βαβυλῶνα, οὐκέτι θύσει (21) ταῖς χρυσαῖς δαμάλεσιν, αἷς ἔθυε πρότερον, ἀφ' οὗ ταύτας Ἱεροβοὰμ ἐκεῖνος ἔστησεν, οὐδὲ δόξεται αὐτὴν τὸ πρόσωπόν μου, λατρεύουσαν τοιούτοις βδελύγμασιν· ἀλλὰ *πρόβριζον τὴν πορνείαν αὐτῆς ἀναστήσω, ἐκ μέσου μαστῶν* (22) *αὐτῆς*, τουτέστι τῆς καρδίας ἐξ ἧς ἐξέρχονται διαλογισμοὶ πονηροὶ, φθόνοι, φόνοι, μοιχεῖαι, πορνεῖαι. Ἡ τὴν ἀναισχυντίαν δείκνυσιν διὰ τῶν μαστῶν, ἣν εἶχον, γυμνῇ τῇ κεφαλῇ χωροῦντες πρὸς πᾶν (23) κακόν. Γυμνοὺς γάρ, φησὶν, ἐδείκνυ τοὺς μαστούς, καὶ οὕτω κατάδηλον καὶ ἀπερικάλυπτον ἐπεδείκνυτο τὴν C πονηρίαν (24). Πᾶσα οὖν παιδεία Κυρίου, καὶ ἡ δοκοῦσα ἀποστροφὴ, εἰς ὠφέλειαν ἡμῶν ἐστι, τῆς κακίας ἐλευθεροῦσα, κατὰ τὸ εἰρημένον· *Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου.* Πορνεία ἦν καὶ ἡ φωνὴ τῶν εἰπόντων, *Οὐκ ἔχομεν βασιλέα, ἢ μὴ Καίσαρα*, καὶ ἀποστάντων ἀπὸ τοῦ ὄντως Βασιλέως, οἳ καὶ ἤρθησαν ἀπὸ προσώπου Κυρίου, παραδοθέντες αὐτοῖς ἐκείνοις, οὓς εἵλοντο βασιλεῖς εἶναι. Τάχα δὲ καὶ μαστοὶ, ὁ νόμος καὶ οἱ προφῆται, ἐξ ὧν τοῖς Ἑβραίοις τὸ στοιχειῶδες γάλα τοῦ γράμματος. Ἐξήρθη οὖν ἡ πορνεία αὐτῶν ἐκ μέσου τῶν τοιούτων μαστῶν. Οὐκέτι γὰρ αὐτοὺς ἐπιγινώσκουσιν οὔτε νόμος, οὔτε προφῆται, οὐδὲ τρέφουσιν αὐτούς. Τίς δὲ οὐκ ἂν εὔξαιτο ἐξαρθῆναι καὶ ἐξαλειφθῆναι τὴν πορνείαν τῆς D ἀνοήτου αἰσθήσεως, ὥστε μὴ ἐμφανίζεσθαι τῷ προσώπῳ τοῦ Θεοῦ; Ὁ ἀνακλαιόμενος ὁ προφήτης, φησίν· *Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου*· καὶ πάλιν ἀλλαχοῦ εὐχόμενος, *Ἀπόστρεψον τὸ πρόσωπόν σου*, φησὶν, *ἀπὸ τῶν ἁμαρτιῶν μου.*

gnuntur ad Dei cognitionem, condemnatur. Videt quis, exempli gratia, venustam aliquam creaturam, eamque contemplatus, Conditorem admiratur. Hanc ipsam videt alius, eamque, veluti numen, colit, propterea quod solo sensu, qui a mente deficiat, utitur. Hic a priore illo condemnatur. Simili ratione videt quis corporis alicujus pulchritudinem, miraturque opificis potentiam, qui in luto atque putredine tantam condere potuerit claritatem : eam ipsam conspicatus alius, amore capitur, propterea quod appetitui soli, sine ullo mentis ductu, obsequitur. Nonne igitur hunc ille condemnat.

Et auferam fornicationem ejus a facie mea, et adulterium ejus de medio uberum ejus. Divortium scilicet, quod cum ipsa feci, ad ejus utilitatem feci, quo ipsam a fornicatione, idololatria scilicet, averterem. Babylonem enim adducta, non amplius, ut antea, sacra faciet aureis juvencis quas erexerat Jeroboam [48], nec ego amplius aspiciam ipsam, exsecranda istiusmodi idola colentem : **18** sed *auferam fornicationem e medio uberum ejus*, corde videlicet, ex quo pravi prodeunt affectus, invidia, cædes, adulteria, fornicationes. Vel impudentiam per ubera demonstrat, qua ad flagitium omne perfricta fronte ferebatur. Nuda enim, ait, ubera præ se ferebat, atque ita in propatulo, nullo obductam velamine, suam profitebatur nequitiam. Omnis itaque Domini correctio et aversio, qua sese a nobis avertere videtur, nostram respicit utilitatem, nos ab improbitate atque nequitia deterrens, juxta dictum illud : *Bonum mihi, quia humiliasti me, ut discerem justificationes tuas* [49]. Fornicatio item erat eorum vox, qui dixerunt : *Non habemus alium regem, nisi Cæsarem* [47], quique a vero Rege desciverunt, qui propterea a Domini conspectu ejecti sunt, eorumque ditioni et imperio subjecti, quos sibi reges concupierant. Fortasse etiam ubera sunt lex et prophetæ ; quibus ex uberibus elementare litteræ lac Hebræi sugebant. Sublata igitur est eorum fornicatio e medio talium uberum, non amplius enim eos norunt lex aut prophetæ, neque nutriunt. Quis vero non exoptet, e medio tolli, penitusque deleri fornicationem adeo bruti appetitus, ne amplius in conspectu Dei apparcat ? Ii quod magnopere lugens Propheta : *Posuisti*, ait, *iniquitates nostras ante te* [48]. Et alibi rursus ita precatur : *Averte faciem tuam a peccatis meis* [49]. Pecuniæ quidem adultera cupiditas alitur opulentia, gloriæ aviditas multarum urbium imperio at-

[47] III Reg. xii, 28. [48] Psal. cxviii, 71. [47] Joan. xix, 15. [48] Psal. xc, 9. [49] Psal. l, 11.

Variæ lectiones et notæ.

(17) Καὶ ἰδὼν αὐτὴν, ἐθαυμάσθη τὸν Ποιητήν, *eamque conspicatus, Conditorem miratur.* Cod. Arg.

(18) Αἰσχροποίησε, *turpiter egit.* Cod. Arg.

(19) Ἐν μικρῷ, *in parvo.* Cod. Arg.

(20) Codex Ven. addit οὐκ, *non*, sed male.

(21) Θύσει, *offeres*, et paulo post ἔθυες, *offerebas.* Cod. Arg.

(22) Ἐκ μαστῶν, *ex uberibus*, cod. Arg. Theodoretus addit, παραδηλοῖ δὲ τὴν καρδίαν, τὴν ὑπὸ τοῖς μαστοῖς κειμένην, *ostendit autem cor, sub uberibus situm.*

(23) Πᾶν, *omne*, deest in cod. Arg.

(24) Πορνείαν, *fornicationem.* Cod. Ven.

Digitized by Google

que regimine, corporis appetitus pulchritudine, et alia demum cupiditas alitur rebus aliis. Hæc sunt cuilibet affectui ubera. Maxime vero prodest homini, cum e medio tollitur improbitas atque nequitia, nec amplius istiusmodi materia, qua ali solet, sustentatur.

VERS. 3. *Et expoliem eam nudam.* Mea, inquit, ope eam spoliabo, efficiamque, ut ab hostibus victa, deformis evadat; ut eam contra, cum nuper defenderem, invictamque redderem, non speciosam modo, sed etiam maxime claram efficiebam.

Ut statuam eam juxta diem nativitatis suæ. Quemadmodum scilicet Ægyptiis paruit, ita et Assyriis serviet. Diem vero nativitatis vocat Hebræorum in Ægypto commorationem, quoniam ibi creverunt. Cum enim septuaginta quinque duntaxat eo descendissent, sexaginta millia evaserunt, consideratis iis duntaxat, qui arma ferre **19** poterant. Eos item, qui Christo fidem non habuerunt, nudavit Pater, omnem eis legis gloriam adimens, redigensque ad eum statum in quo erant, antequam legem acciperent; ii quippe neque templum habent, neque sacrificia offerunt, nec aliud quidquam lege præscriptum faciunt. Cum item per corpoream quis voluptatem Christum exuit, quem per sacrum fontis lavacrum induerat, exuit eum Deus gratia sua et adoptione, efficitque, ut carnalis, prorsusque corporeæ nativitatis proprietatibus, quasi signis, notetur, carnalem scilicet vitam degat, hominemque sese gerat. Ubi enim sunt contentiones, simultates atque dissidia, ibi carnalis vita vivitur, et homo apparet.

Et ponam eam quasi desertam, et statuam eam, sicuti terram sine aqua, et conficiam eam siti. Desertam, inquit, eam faciam, mea scilicet ope destitutam, neque meæ providentiæ aquam ei præbebo, sed eam siti conficiam, hostium scilicet potestati tradam, meam sitientem opem, meoque prorsus auxilio destitutam. Deserta quoque facta est Hebræorum, qui in præsentia sunt, Synagoga, omni videlicet bono destituta; bonum enim omne, et bonitas ipsa Dominus erat, quem cum interfecerint, qui fiat, ut alicujus unquam boni participes sint? Quibus profecto neque suppetit ea, quam Christus exhibere consuevit, aqua, *saliens in vitam æternam* [50]; quod intelligi debet de Spiritu quem accepturi erant, qui in ipsum crederent. Quot-

'Αλλὰ καὶ τρέφεται ἡ μὲν τῆς φυλαργυρίας πορνεία διὰ τῆς πολυκτημοσύνης· ἡ δὲ τῆς φιλοδοξίας, διὰ τοῦ ἄρχειν ἐν βασιλείοις (25), καὶ πόλεσιν· ἡ δὲ σωματικὴ πορνεία, διὰ τοῦ θεᾶσθαι τὰ κάλλη, καὶ ἄλλη δι' ἄλλων. Ταῦτά εἰσιν ἑκάστῳ πάθει μαστοὶ, καὶ ἀγαθὸν τῷ ἀνθρώπῳ, ὅταν ἐξαίρηται ἡ κακία, μὴ τρεφομένη ὑπὸ τῶν ταύτην τρεφουσῶν ὑλῶν.

Ὅπως ἂν ἐκδύσω αὐτὴν γυμνήν. Τῆς ἐμῆς, φησὶ, σκέπης ἀπογυμνώσω αὐτὴν, καὶ ποιήσω ἀσχήμονεῖν, νικωμένην ὑπὸ τῶν ἐχθρῶν· ὥσπερ τοὐναντίον πρώην σκέπων αὐτὴν, καὶ διατηρῶν ἀήττητον (26), οὐ μόνον εὐσχήμονα, ἀλλὰ καὶ ἐνδοξοτάτην ἐποίουν.

Καὶ ἀποκαταστήσω αὐτὴν, καθὼς ἡμέρα γεννήσεως αὐτῆς. Τουτέστιν, ὥσπερ τοῖς Αἰγυπτίοις ἐδούλευσεν, οὕτω καὶ τοῖς Ἀσσυρίοις δουλεύσει. Ἡμέραν δὲ γεννήσεως καλεῖ τὴν ἐν Αἰγύπτῳ καταγωγὴν, διότι ἐκεῖ ἐπληθύνθησαν. Ἑβδομήκοντα γὰρ καὶ πέντε ψυχαὶ (27) καταβάντες, ἑξακόσιαι χιλιάδες ἐγένοντο οἱ πολεμικοὶ μόνοι. Ἐγύμνωσε καὶ τοὺς ἀπιστήσαντας (28) τῷ Χριστῷ ὁ (29) Πατὴρ, περιελὼν αὐτῶν τὴν πᾶσαν τοῦ νόμου δόξαν, καὶ ἀποκαταστήσας αὐτοὺς, ὥσπερ ἦσαν πρὸ τοῦ τὸν νόμον λαβεῖν. Οὔτε γὰρ ναὸν ἔχουσιν, οὔτε θύουσιν, οὔτ' ἄλλο τι τῶν ἐν τῷ νόμῳ δρῶσι. Καὶ ὅταν δέ τις Χριστὸν ἐνδυσάμενος διὰ τοῦ βαπτίσματος, ἐκδυθῇ αὐτὸν διά τῆς κατ' αἴσθησιν ἡδονῆς (30), ἀπογυμνοῖ μὲν ὁ Θεὸς αὐτὸν τῆς αὐτοῦ χάριτος καὶ τῆς υἱοθεσίας, ποιεῖ δὲ αὐτὸν τοῖς τῆς σαρκικῆς καὶ ἐμπαθοῦς γεννήσεως ἰδιώμασι χαρακτηρίζεσθαι, ὅπερ ἐστὶ κατὰ σάρκα ζῆν, καὶ κατ' ἄνθρωπον περιπατεῖν· ὅπου γάρ εἰσιν ἔριδες, καὶ ζῆλοι, καὶ διχοστασίαι, ἐκεῖ ἐστι τὸ σαρκικῶς ζῆν, καὶ κατ' ἄνθρωπον (31) περιπατεῖν.

Καὶ θήσω αὐτὴν ὡς ἔρημον, καὶ τάξω αὐτὴν, ὡς γῆν ἄνυδρον, καὶ ἀποκτενῶ αὐτὴν ἐν δίψει. Ἔρημον αὐτὴν, φησὶ, ποιήσω (32) τῆς ἐμῆς βοηθείας, καὶ τὸ ὕδωρ τῆς ἐμῆς προνοίας οὐκ ἐπιχορηγήσω αὐτῇ, ἀλλ' ἀποκτενῶ αὐτὴν, τουτέστιν, εἰς θάνατον παραδώσω τοῖς ἐχθροῖς, διψῶσαν βοηθείας, καὶ στερουμένην τῆς παρ' ἐμοῦ συμμαχίας. Ἔρημος γέγονε καὶ ἡ τῶν Ἑβραίων Συναγωγὴ, παντὸς ἀγαθοῦ στερηθεῖσα· τὸ πᾶν γὰρ ἀγαθὸν, καὶ ἡ αὐταγαθότης (33) ὁ Κύριος ἦν, ὃν ἀποκτείναντες, πῶς ἔσονται μέτοχοί τινος ἀγαθοῦ; Οὐδὲ ἔστιν ἐν αὐτοῖς τὸ ὕδωρ, ὃ δίδωσι Χριστὸς, *ἅλλόμενον εἰς ζωὴν αἰώνιον.* Τοῦτο δὲ ἔλεγε, φησὶ, περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. Οἱ οὖν τὸ ἀποκτένον γράμμα τοῦ νόμου κατέχον-

[50] Joan. IV, 10.

Variæ lectiones et notæ.

(25) 'Αλλὰ τρέφεται μὲν τῆς φιλαργυρίας ἡ πορνεία διὰ τοῦ ἔχειν κτήματα πολλὰ, καὶ ἡ φιλοδοξίας πορνεία διὰ τοῦ ἄρχειν ἐν βασιλείαις, *alitur autem avaritiæ fornicatio habendo multas opes, et ambitionis fornicatio imperando in regnis.* Cod. Arg.

(26) Ἄκτητον, *a nemine possessam.* Cod. Arg.

(27) Circa numerum hunc sequitur Theophylactus Septuaginta Interpretes, a quibus plurimum discrepare Vulgatam eruditi norunt. Nodum præclare solvit D. Hieron. in *Trad. Hebr.* et S. Aug. *quæst. ultima in Genesim.*

(28) Ἀποστήσαντας, *qui defecerunt.* Cod. Ven.

(29) Ὥσπερ. Cod. Arg.

(30) ζωῆς, *vitam.* Cod. Ven.

(31) Κατὰ σάρκα, *secundum carnem.* Cod. Arg.

(32) Τίθημι, *pono.* Cod. Bav.

(33) Τὸ πᾶν γὰρ ἡ αὐταγαθότης, *omne enim ipsa bonitas.* Cod. Arg. et Bav.

Digitized by Google

τες (34), καὶ τὸ πνεῦμα μὴ δεχόμενοι, εἰκότως γῆ A quot præterea legis litteræ quæ animas perdit, μέν εἰσιν, ὡς κάτω κείμενοι, καὶ πάντα σωματικῶς νοοῦντες· ἄνυδρος (35) δὲ, ὡς τὸ Πνεῦμα μὴ ἔχοντες, ὅπερ ἀπεδόθη εἶναι τὸ ὕδωρ. Καὶ ὁ ἁμαρτάνων δὲ, ἔρημος μὲν οὐ τίθεται, ὡς ἔρημος δὲ, ἵνα μὴ ἀπογνῷ, καὶ τάσσεται, ὡς γῆ ἄνυδρος διὰ τὴν αὐτὴν αἰτίαν. Θεὸς γὰρ εἰ καὶ οἶδε (36) τὸ τέλος ἑκάστου, ὅμως οὐ φαίνεται ἀπαγινώσκων. Ὁ οὖν ἄκαρπον ἑαυτὸν ποιήσας, καὶ ἐκεῖνα ἐργαζόμενος, ἃ καὶ ὁ πλούσιος ἐκεῖνος, ὁ αἰτούμενος τὸν Ἀβραὰμ, ἵνα πέμψῃ Λάζαρον, καὶ βάψας τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος καταψύξῃ αὐτὸν, ὡς γῆ ἔρημός ἐστι καὶ ἄνυδρος.

mordicus hærent, nec attendunt intimum legis ipsius spiritum : ii terra merito sunt, tanquam humi repentes, omniaque materiali quadam ratione capientes; eademque arida, tanquam Spiritu destituti, quem aquam esse superius diximus. Quisquis item peccat, relinquitur, non desertus quidem, sed quasi desertus, ut ne desperet; idemque, eamdem ob causam, efficitur velut aqua destitutus. Quamvis enim Deus cujusque finem prospiciat: haud propterea tamen reprobare quempiam videtur. Qui ita sterilem semetipsum constituit, similiaque facit illi diviti, qui Abrahamum rogavit, ut Lazarum mitteret, qui summos digitos intingeret in aquam, ipsumque refocillaret [51]; is veluti terra deserta est atque arida

Καὶ τὰ τέκνα αὐτῆς οὐ μὴ ἐλεήσω, ὅτι τέκνα B *πορνείας ἐστί.* Τουτέστιν ἐξ εἰδωλολατρῶν πατέρων γεννηθέντες (37), τὴν ἐκείνων ἐζήλωσαν βδελυρίαν· πορνείαν γὰρ δῆλον, ὡς τὴν εἰδωλολατρείαν καλεῖ.

VERS. 4. *Neque filiorum ejus miserebor, quia filii fornicationis sunt.* Ex idololatris videlicet parentibus prognati, eos, eorumque impietatem sectati sunt, perspicuum enim est, eum fornicationem appellare idololatriam.

Ὅτι ἐξεπόρνευσεν ἡ μήτηρ αὐτῶν. Οὐχ ἁπλῶς ἐπόρνευσεν, ἀλλ' ἐξεπόρνευσεν ὑπερβολικῶς, τὴν εἰδωλολατρείαν καὶ κτισματολατρείαν ἀσπασαμένη· καὶ τῶν δένδρων γὰρ, ὅσα μήκιστα, καὶ εὔσκια, καὶ τούτοις ἐθυμίουν [*f.* — μίων].

VERS. 5. *Quia perdite scortata est eorum mater.* Non scortata simpliciter est, sed perdite, summum scilicet per flagitium; quippe quæ idola creaturasque impense colebat atque consectabatur. Vel ipsis enim arboribus, quæ maxime sublimes essent et umbrosæ, thura adolebant.

Κατῃσχύνθη ἡ τεκοῦσα αὐτά. Τουτέστι, πᾶν αἰσχρὸν ἐπετήδευσεν· ἢ τὰ τέκνα αὐτῆς κατῃσχυνεν, ἀπαρρησίαστα ταῦτα ποιήσασα, διὰ τοῦ καὶ γεννῆσαι αὐτὰ, καὶ παιδεῦσαι ἐν εἰδωλολατρείᾳ.

Confusa est, quæ peperit eos. Omne scilicet turpe facinus patravit: vel, liberos suos impudentes atque nefarios effecit, eos in idololatria procreando instituendoque.

C

Ὅτι εἶπε, Πορεύσομαι ὀπίσω τῶν ἐραστῶν, τῶν διδόντων μοι ἄρτους μου, καὶ τὸ ὕδωρ μου, καὶ τὰ ἱμάτιά μου, τὸν οἶνόν μου, καὶ τὸ ἔλαιόν μου, καὶ πάντα ὅσα μοι καθήκει. Ἐνόμισε, φησὶν, ὅτι παρὰ τῶν ἐραστῶν αὐτῆς, ἤτοι τῶν εἰδώλων, ἔχει πάντα πρὸς ζωὴν αὐτῆς ἀναγκαῖά τε καὶ χρειώδη, καὶ οὐ παρ' ἐμοῦ τοῦ ἀληθινοῦ Θεοῦ· διὸ τὰ τέκνα αὐτῆς ἀνάξια τοῦ ἐμοῦ ἐλέους ἐποίησε. Καὶ οἱ νῦν δὲ Ἑβραῖοι ὀπίσω τοιούτων ἐραστῶν πορεύονται, δαιμόνων, καὶ διδασκάλων, οἳ πλανῶσιν αὐτοὺς, ὅτι λήψονται τοὺς ἄρτους τῆς προθέσεως, καὶ τὸ ὕδωρ τοῦ ῥαντισμοῦ, καὶ τὰ ἱμάτια τὰ ἱερατικὰ, καὶ τὸν οἶνον, τόν τε εἰς σπονδὰς, καὶ τὸν κατὰ νόμον τῷ ἱερατικῷ γένει, ὡς ἀπαρχὴν καὶ δεκάτην D διδόμενον, καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ πάντα τἄλλα, ὅσα τῇ κατὰ νόμον λατρείᾳ προσήκει (38)· Εἰ δὲ ἡ ἀδικία καὶ ἡ πλεονεξία (39) δαιμόνων εἰσὶν ἐφευρέματα, ὁ μὴ ἄλλως οἰόμενος ζῆσαι, ἢ πλεονάσαι τὸν αὐτοῦ βίον, εἰ μὴ δι' ἀδικίας, ὁράτω, ὅτι καὶ αὐτὸς ὀπίσω τούτων πορεύεται, ὡς διδόντων αὐτῷ τοὺς ἄρτους, καὶ τὰ ἱμάτια, καὶ πάντα, ὅσα καθήκει. Σκόπει δὲ, οὐκ εἶπε, Τοὺς

Quia dixit, Vadam post amatores meos, qui dant panes meos, et aquam meam, et vestimenta mea, et linteamina mea, et oleum meum, et omnia quæ mihi necessaria sunt. Existimavit, ait, se suis ab amatoribus, idolis videlicet, non a me, vero Deo, cuncta ad vivendum necessaria et utilia accipere; proptereaque suos ipsius natos misericordia mea prorsus indignos effecit. Hebræi quoque nostrorum temporum, amatores istiusmodi consectantur, dæmones nimirum, atque doctores qui eos decipiunt. Hi quippe capiunt propositionis panes, et lustralem aquam, et sacerdotales vestes, et vinum, cum quod libationibus effunditur, tum quod ex legis præscripto sacerdotibus, primitiarum, atque decimæ nomine, tribui debet : unctionis item oleum abripiunt, et cætera omnia quæ ad legalem cultum pertinent. Porro si injustitia et rapina inventa dæmonum sunt, cum qui non alia ratione se vivere, victumque abunde sibi suppetere posse putat, nisi per injustitiam atque rapinam : animadvertat, se tum pravos istos spiritus consectari, qui panem ei præbeant, et indumenta et

[51] Luc xvi, 24.

Variæ lectiones et notæ.

(34) Ἔχοντες, *habentes.* Cod. Arg. et Ven.

(35) Ἄνυδροι, *aqua destituti.* Cod. Arg. et Bav.

(36) Θεὸς γὰρ ᾔδει καὶ οἶδε, *noverat novitque Deus.* Cod. Arg.

(37) Γεννηθέντα, et paulo post ἐζήλωσε, ut ad neutrum τέκνα utrumque referatur.

(38) Πρόσκειται Cod. Bav. προκείμενα Cod. Arg.

(39) Πλεονεξία προσέλκει, *avaritia ad se trahit,* Cod. Arg.

Digitized by Google

quæcunque sint ei necessaria. Animadvertas autem oportet, eum non dicere Panes, sed *Panes meos*, idemque de cæteris. Qui enim ita, ut Deo placet, opibus utitur, nihil habet proprii : qui contra, dæmonum ductum hac in re sequitur, omnia sua facit. Ita et in Evangelio, qui thesauros sibi colligebat, non Deo, *Bona mea* dixit, *et horrea mea*[51]. Et alias enim victis bonis atque caducis maxime deditus erat is, qui et corruptionis expertem ipsius animam, quantum in eo est, corruptioni obnoxiam efficere studuit, carnalem eam constituendo.

VERS. 6, 7. *Propterea ecce ego obstruam viam ejus spinis, et reædificabo vias ejus, et semitam suam non inveniet. Et persequetur amatores suos, et non apprehendet illos, et quæret eos, et non inveniet.* Ipsum quoque Dei supplicium bonum et misericors est, quo finis impietati denuntiatur. Spinas enim, ait, ponam in via ejus, acerba scilicet ac sæva mala multa inferam, bellum, captivitatem, servitutem atque famem quibus afflicti, non amplius aureas juvencas colere poterunt. Quomodo enim id faciant, qui vel ipsa libertate destituentur, nec amplius consueta faciendi libertate gaudebunt, vel **21** si maxime velint ? Tum itaque et dæmonum imbecillitatem cognoscent, cum eos in calamitatibus invocantes, nil inde solatii capient.

Et dicet : Vadam, et revertar ad virum meum priorem : quia melius mihi erat tunc, quam nunc. Calamitatibus, ait, afflicta, ubi dæmonum imbecillitatem intelliget, qui pridem ab ea cum colerentur, a miseriis eam eripere non potuerint, Dei reminiscetur, seque ad eum recipiet, qui natura licet Dominus sit, vir tamen ejus appellatur, propterea quod cum major sit mulieris erga virum amor, quam servorum in dominum, ita erga se homines affectos esse Deus vult, ut mulier erga virum, quod et Apostolus innuere per ea videtur, *Qui adhæret Domino, unus Spiritus est*[53]. Et rursus : *Erunt duo in carne una. Sacramentum hoc magnum est ; ego autem dico, in Christo, et in Ecclesia*[54]. Præclusi præterea sunt et deicidis Judæis aditus ad legalem cultum, cum hic penitus fuerit abrogatus ; eisque spinæ fuerunt Romani qui templum diruerunt, vel etiam Christi crux, quam una cum aliis duabus humi fixerunt, quæ crux exitio eis fuit. Quærunt itaque hi suos amatores, sacerdotes atque pontifices et nuspiam eos inveniunt. Nec enim omnino sunt. Quare plerique de Synagoga sese recipient ad Christum, quem virum ejus jure dixeris, quatenus ex ea homo natus est ;

A ἄρτους, ἀλλὰ, *Τοὺς ἄρτους μου*, καὶ ἐπὶ πάντων ὁμοίως · ὁ μὲν γὰρ θεαρέστως τοῖς προσοῦσι χρώμενος, οὐδὲν ἴδιον ἔχει · ὁ δὲ ὀπίσω τῶν δαιμόνων πορευόμενος, πάντα ἰδιοποιεῖται. Οὕτω καὶ ὁ ἐν τῷ Εὐαγγελίῳ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς Θεὸν πλουτῶν, *Τὰ ἀγαθά μου*, ἔλεγε, *καὶ τὰς ἀποθήκας μου* · καὶ ἄλλως γὰρ τοῖς φθαρτοῖς οἰκειότατος ; (40) ἦν ὁ τοιοῦτος, ὃς γε καὶ τὸ ἐν αὐτῷ ἄφθαρτον τὴν ψυχὴν, ὅσον τῷ [*f.* τὸ] ἐπ' αὐτῷ, φθαρτὸν ἐφιλονείκησε ποιῆσαι, κατασαρκώσας αὐτό.

Διὰ τοῦτο ἰδοὺ ἐγὼ φράσσω τὴν ὁδὸν αὐτῆς ἐν σκόλοψι, καὶ ἀνοικοδομήσω τὰς ὁδοὺς αὐτῆς, καὶ τὴν τρίβον αὐτῆς οὐ μὴ εὕρῃ· καὶ διώξεται τοὺς ἐραστὰς, καὶ οὐ μὴ καταλάβῃ αὐτούς · καὶ B *ζητήσει αὐτοὺς, καὶ οὐ μὴ εὕρῃ αὐτούς.* Καὶ αὐτὴ ἡ τιμωρία φιλανθρωπίας μεστή · προξενεῖ γὰρ αὐτῇ λῆξιν τῆς δυσσεβείας. Καὶ γὰρ, φησὶ, σκόλοπας τίθημι ἐν τῇ ὁδῷ αὐτῆς, τουτέστι, Δυσχερῆ, καὶ πληκτικὰ (41) πολλὰ ἐπάγω αὐτοῖς, πολέμους φημὶ, καὶ αἰχμαλωσίαν, καὶ δουλείας, καὶ λιμόν · ὑφ' ὧν συνεχόμενοι, οὐκέτι δουλεύειν δυνήσονται ταῖς χρυσαῖς δαμάλεσιν. Πῶς γὰρ, οἵ γε καὶ τῆς ἐλευθερίας αὐτῆς (42) ἐστεροῦντο, καὶ ἄδειαν οὐκ εἶχον τὰ συνήθη τελεῖν, εἰ καὶ πάνυ (43) ἤθελον ; Μᾶλλον μὲν οὖν καὶ τὴν ἀσθένειαν τῶν δαιμόνων ἐπιγνώσονται, ὅτε ἐπικαλούμενοι αὐτοὺς ἐν ταῖς συμφοραῖς, οὐδὲν ἐξ αὐτῶν ὠφεληθήσονται.

Καὶ ἐρεῖ · Πορεύσομαι, καὶ ἐπιστρέψω πρὸς τὸν ἄνδρα μου, τὸν πρότερον, ὅτι καλῶς μοι ἦν C *τότε, ἢ νῦν.* Συμφοραῖς, φησὶ, προσπαλαίσασα, καὶ γνοῦσα τὴν ἀσθένειαν τῶν δαιμόνων, οἳ πρώην θεραπευόμενοι ὑπ' αὐτῆς, τότε οὐκ ἠδυνήθησαν αὐτὴν ἐξελέσθαι τῶν συμφορῶν, ἀναμνησθήσεται τοῦ Θεοῦ, καὶ ἐπιστρέψει πρὸς αὐτὸν, ὃς φύσει μέν ἐστι Δεσπότης · ἄνδρα δὲ αὐτῆς ἀποκαλεῖ ἑαυτὸν, διότι πλείων ἡ τῆς γυναικὸς πρὸς τὸν ἄνδρα φιλοστοργία, ἢ ἡ τῶν δούλων πρὸς τὸν δεσπότην διάθεσις, καὶ βούλεται ὁ Θεὸς τοιαύτην ἐνεῖναι τοῖς ἀνθρώποις πρὸς αὐτὸν σχέσιν, οἵαν ἔχει (44) γυνὴ πρὸς τὸν ἄνδρα · ὃ καὶ ὁ Ἀπόστολος ἔοικε λέγειν · *Ὁ κολλώμενος τῷ Κυρίῳ, ἓν Πνεῦμά ἐστι* · καὶ πάλιν, *Ἔσονται οἱ δύο εἰς σάρκα μίαν · τὸ μυστήριον τοῦτο μέγα ἐστὶν, ἐγὼ δὲ λέγω εἰς Χριστὸν, καὶ* D *τὴν Ἐκκλησίαν.* Ἐφράγησαν καὶ τοῖς Θεοκτόνοις Ἑβραίοις (45) αἱ πρὸς τὴν νομικὴν (46) λατρείαν πάροδοι, καταργηθεῖσαν (47) ἤδη. Σκόλοπες δὲ αὐτοῖς, οἱ τὸν ναὸν καταλύσαντες Ῥωμαῖοι · ἢ καὶ τάχα ὁ σταυρὸς τοῦ Χριστοῦ, ὃν σὺν ἄλλοις δύο ἔπηξαν, κατάλυσις αὐτοῖς γεγονώς. Διώκουσι τοίνυν τοὺς ἐραστὰς αὐτῶν ἱερεῖς, καὶ ἀρχιερεῖς, καὶ οὐδαμοῦ εὑρίσκουσιν · οὐδὲ γάρ εἰσιν ὅλως. Διὸ καὶ

[51] Luc. xi, 18 [52] I Cor. vi, 17. [53] Ephes. vi, 31, 32

Variæ lectiones et notæ.

(40) Οἰκεῖος, *addictus*. Cod. Bav. et Arg.
(41) Πληκτιστικά. Cod. Arg. cum Bav.
(42) Αὐτῶν, *ipsorum*. Cod. Rav.
(43) Deest τὸ πάνυ in Cod. Arg
(44) Οἵαν ἔχειν δεῖ, *qualem* (affectum) *habere oportet*. Cod. Ven.
(45) Ἰουδαίοις, *Judæis*. Cod. Bav. et Arg.
(46) Νόμου, *legis*. Cod. Arg. νομικήν, *legalem* Cod. Ven.
(47) Καταργηθεῖσαι, *abrogatæ* (viæ scilicet) Cod. Bav. et Arg.

Digitized by Google

πολλοὶ τῆς Συναγωγῆς ἐπιστρέφουσιν εἰς Χριστόν, A
ὃν *ἄνδρα* μὲν αὐτῆς ἐρεῖς, καὶ ἐξ αὐτῆς ἄνθρωπος ἐγένετο· *τὸν πρότερον* δὲ, καὶ πρὶν γενέσθαι ἄνθρωπος, ἦν, ὡς Θεός. Στίξον οὖν, εἰς, *Τὸν ἄνδρα*· εἶτα εἰπὲ, *Τὸν πρότερον*, τουτέστι τὸν προόντα, τὸν πρὸ πάντων, τὸν ἀπ' ἀρχῆς. Πλὴν ἀλλὰ καὶ τῆς τῶν Ἑβραίων Συναγωγῆς ὁ Χριστὸς ἦν ἀνὴρ πρότερος· αὐτὸς γὰρ ἦν ὁ διεξάγων αὐτοὺς ἀρχιστράτηγος Κυρίου τῶν δυνάμεων, καὶ ἡ πνευματικὴ ἀκολουθοῦσα πέτρα. Καὶ τὰ σημεῖα δὲ ἐν δυνάμει Θεοῦ ἐγίνοντο· Χριστὸς δὲ, Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία. Ἀλλὰ καὶ πᾶς ὁ διὰ τοῦ εὐσωματεῖν, καὶ ἐμπλατύνεσθαι τοῖς αἰσθητοῖς, καταφρονῶν τοῦ Θεοῦ, καὶ δουλεύων τοῖς πάθεσιν, ἐπειδὰν σκόλοψι καὶ δυσχερείαις βιωτικαῖς ἐμπαγῇ, ἢ νοσήσας, ἢ ἀπορήσας, οὐκέτι τοῖς αὐτοῖς δύναται B
προσέχειν· ἀλλ' ἐμφράττονται αὐτῷ αἱ πρὸς τὰ πάθη ἐκεῖναι ὁδοὶ, κἂν αὐτὸς διάθεσιν ἔχῃ πρὸς ταῦτα, καὶ διώκῃ αὐτὰ, καὶ ζητῇ, καὶ οὐκ ἐᾶται ἀπολαῦσαι τούτων, πιεζόμενος ὑπὸ δυσχερῶν

eumdemque *priorem*, quod, antequam homo fieret, uti Deus exsistebat. Orationem itaque interpunge post verba *Ad virum*, adde postea *Priorem*, qui scilicet jam exsistebat, qui ante omnia, qui a principio erat. Alia quoque ratione Hebræorum Synagogæ Christus erat vir prior, ipse namque erat qui eos regebat, Omnipotentis dux, atque spiritalis, quæ eos consequebatur, petra [43]. Prodigia quoque multa patrabantur per Dei potestatem: Christus autem est Dei tum potestas, tum sapientia. Quisquis item corporis viribus præfidens, temporalibusque bonis elatus, Deum despicit, pravisque sese dedit cupiditatibus; cum is in spinas, temporales videlicet ærumnas, incidit, aut morbos, aut egestatem: haud amplius ad ea potest attendere, sed ei præcluduntur ad pravos affectus istos aditus, quantumvis impenso in ea studio feratur, eademque avide quærat atque consectetur; ærumnisque præpeditur, quominus hisce perfruatur.

Καὶ αὐτὴ οὐκ ἔγνω, ὅτι ἐγὼ ἔδωκα αὐτῇ τὸν σῖτον, καὶ τὸν οἶνον, καὶ τὸ ἔλαιον, καὶ ἀργύριον ἐπλήθυνα αὐτῇ· αὐτὴ δὲ ἀργυρᾶ καὶ χρυσᾶ ἐποίησε τῇ Βάαλ. Ἔτι ἐπαναλαμβάνει, καὶ κατηγορεῖ τῆς ἀγνωμοσύνης τῶν Ἰσραηλιτῶν, οἳ οὐ τῷ Θεῷ ἀνετίθεσαν τὴν εὐπορίαν τῶν κεχορηγημένων αὐτοῖς ἀγαθῶν, ἀλλὰ τῇ Βάαλ, τουτέστι τῷ Θεῷ τῶν Βαβυλωνίων, ὃν οἱ Ἕλληνες Βῆλον ὠνόμαζον, τὸν αὐτὸν λέγοντες εἶναι τῷ Διΐ. Τοῦτον τοίνυν τιμῶντες, φησὶν, ἀναθήματα χρυσᾶ καὶ ἀργυρᾶ ἐποίουν αὐτῷ. Ἔδωκε τοίνυν τοῖς Ἑβραίοις καὶ τὰς σπονδὰς, καὶ τὰς ἀπαρχὰς, καὶ τὸ ἀργύριον, τουτέστι τὰ λόγια τοῦ νόμου, καὶ τῶν προφητῶν. Ὅταν οὖν ἴδῃς τοὺς Ἑβραίους τοῖς τῆς Γραφῆς μὴ καλῶς χρωμένους, μηδὲ εἰς ἐπίγνωσιν τοῦ Χριστοῦ ἐλθόντας, μηδὲ αὐτῷ ἀνατιθέντας τὰ χρυσᾶ, καὶ τὰ ἀργυρᾶ (τὰ μὲν χρυσᾶ, ὡς τῆς Θεότητος, τὰ δὲ ἀργυρᾶ, ὡς τῆς ἀνθρωπότητος ἐνδεικτικὰ, ἣν ἐλάμπρυνεν ἐν ἑαυτῷ, πάντα τὸν ἰὸν τῆς ἁμαρτίας ἀποξύσας· ἢ τὰ μὲν χρυσᾶ, ὡς βίον καθαρὸν εἰσηγησαμένῳ, τὰ δὲ ἀργυρᾶ, ὡς διδασκαλίαν λαμπρὰν, καὶ δόγματα, ἐν οἷς τὸν νόμον τῶν ἐντολῶν κατήργησεν)· ἀλλὰ πάντα ἐκδεχομένους εἰς τὸν μέλλοντα, καὶ προσδοκώμενον αὐτοῖς ἄνθρωπον τῆς ἀνομίας, καὶ τούτῳ ἀνατιθέντας ταῦτα· τούτους νόμιζε εἶναι τοὺς ἐνταῦθα κατηγορουμένους. Ἀλλὰ καὶ οἱ Ἕλληνες, καὶ οἱ ἐκ τῶν αἱρέσεων, τὸν νοῦν μὲν ὡς χρυσίον, τὴν δὲ εὐγλωττίαν ὡς ἀργύριον παρὰ Θεοῦ λαβόντες, καὶ τούτοις εἰς βλάβην πολλῶν ψυχῶν ἀποχρησάμενοι, καὶ ἀναθέντες ταῦτα, τουτέστι δόντες φυσικοῖς λόγοις, καὶ διαλεκτικοῖς, καὶ σοφιστικοῖς, καὶ ἐξαρτήσαντες τὰ ἡμέτερα τῆς φύσεως, καὶ τῆς τῶν οὐρανίων κινήσεως, τοῖς ἐνταῦθα διαβαλλομένοις ἐοίκασι. Καὶ ὁ πλούσιος δὲ, ὅταν τῷ πλούτῳ οὐκ εἰς ἀντίληψιν ἐνδεῶν χρῆται, ἀλλ' εἰς τὸ καταδυναστεύειν μᾶλλον αὐτῶν, ἢ καὶ εἰς ἀσελγείας, καὶ

VERS. 8. *Et ipsa nescivit, quod ego dederim ei frumentum, et vinum, et oleum, et argentum multiplicavi ei: ipsa autem argentea et aurea fecit ipsi Baal.* Eadem repetit, reprehenditque Israelitarum ingrati animi vitium, **22** quod acceptorum bonorum copias haud ipsimet Deo dicarant, sed Babyloniorum numini Baal, quem Græci Belum nominarunt, eumdemque Jovem esse docebant. Hunc igitur, ait, cum in honore haberent, aurea ei et C
argentea donaria appendebant. Hebræis ergo dedit et victimas, et libationes, et primitias; eisdemque et argentum, legis videlicet atque prophetarum oracula tradidit. Cum itaque cernis Hebræos haud recte Scripturarum oraculis uti, neque ad Christi cognitionem per ea pervenire, nec ad eum referre quotquot ex hisce sunt aurea et argentea [quæ quidem aurea dicuntur, quod Christi divinitatem ostendant, argentea vero, quod naturam ipsius humanam declarent, quam in semetipso clariorem effecit omne peccati virus ab ea depellendo: vel aurea ideo appellantur, quod puram is vitam invexit, et argentea, quod claram tradidit doctrinam, eaque dogmata per quæ mandatorum legem abrogavit;] cum, inquam, Hebræos cernis haud recte oracula D
ista capere, sed omnia ad futurum quem exspectant, impietatis hominem referre eique dicare, hos puta illos ipsos esse, qui hoc loci reprehendantur. Græci quoque et hæretici [qui mentem, tanquam aurum et eloquentiam, tanquam argentum a Deo acceperunt, hisque ad multarum animarum perniciem abutuntur, ea dicando, addicendo nimirum, naturalibus disceptationibus, fallacibusque controversiis, nos resque nostras a natura motuque corporum cœlestium pendere docendo] isti, inquam, esse videntur hi, qui hoc eodem loco reprehenduntur. Dives item, cum

[43] I Cor. x, 4.

Digitized by Google

opibus utitur, non ad pauperum levandam inopiam, sed ad eorum oppressionem potius, vel ad luxuriam et flagitia et injurias, tum Dei munera ipsimet Baal appendere videtur.

A ἀκαθαρσίας, καὶ ὕβρεις, τὰ τοῦ Θεοῦ τῇ Βάαλ ἀνατιθέναι δοκεῖ.

Vers. 9. *Propterea convertar, et tollam triticum meum, in opportunitate sua, et vinum meum in tempore suo, et auferam vestimenta mea, et linteamina mea, ne operiant turpitudinem ejus. Convertar*, ait : Alia scilicet asperiore via incedam, nec amplius muneribus eos meis donabo; sed et frumentum, et vinum eis adimam, quodque gravius est, faciam in opportuno tempore, cum scilicet temperstivi planeque maturi fructus erunt, tum eos hisce privabo, quo magis magisque doleant atque crucientur. Vestimenta vero atque linteamina dicit, cum hæc, quæ sensibus subjiciuntur : in captivitatem enim abducti, nudi, omnique decore spoliati incedebant : tum [quæ mente percipiuntur] Dei protectionem et opem quam cum haberent, longe omnium gloriosissimi erant aliisque imperabant, neque eo, quo in præsentia, per servitutem dedecore afficiebantur. Judæorum quoque Synagogæ ademit opportuno tempore, cum scilicet plenitudo temporis advenit, frugum primitias atque decimas quæ per frumentum **23** atque vinum significantur; hæc, inquam, eis abstulit opportuno tempore : tum enim carnem assumpsit, cum idoneum tempus exstitit. Cum nimirum expletum jam esset omne nequitiæ genus, ut ad ipsius cumulum nihil omnino deesset, sed suam omnem exeruisset pravitatem; tum advenit medicus, qui magnum Incarnationis suæ medicamentum morbo adhibuit. Quandoquidem autem Ecclesiæ quoque mysteria perficiuntur ex pane et vino quæ per benedictionem in corpus et sanguinem Christi convertuntur : secum ipsi reputent Hebræi, quemadmodum oraculum hoc vera de ipsis prædicet. Recte vero additur *In opportunitate sua*, et *in tempore suo;* nunc enim opportunum tempus est, quo mysteria hæc per panem, atque vinum perficiantur. In cœlesti autem Regno perficientur alia ratione quadam arcana magis, magisque miranda. Sacro autem fontis lavacro destituti, destituentur et Christi vestibus : *Quicunque* enim *baptizati sunt in Christo, Christum induerunt* [56]. Ab iis item qui in Ecclesiæ fide sunt, cum peccant, aufertur frumentum et vinum, sacrorum scilicet mysteriorum communio. Quoniam autem id fit pro peccatorum ratione, propterea dixit : *In opportunitate sua*, et, *In tempore suo*. Non omnibus enim peccatis, neque delictis quibusve supplicium hoc statutum est, quo delinquentes mysteriorum communione priventur, nec omnibus qui tali supplicio plectuntur, idem omnino tempus assignatur; sed aliis id produci, aliis contrahi constat. Tales

Διὰ τοῦτο ἐπιστρέψω, καὶ κομιοῦμαι τὸν σῖτόν μου καθ' ὥραν αὐτοῦ, καὶ τὸν οἶνόν μου ἐν καιρῷ αὐτοῦ, καὶ ἀφελοῦμαι τὰ ἱμάτιά μου καὶ τὰ ὀθόνιά μου, τοῦ μὴ καλύπτειν τὴν ἀσχημοσύνην αὐτῆς. — *Ἐπιστρέψω*, φησί· τουτέστιν, Ἄλλην βαδιοῦμαι ὁδόν, τὴν τῆς σκληρότητος, καὶ οὐκέτι τῶν ἀγαθῶν μου ἀξιώσω αὐτούς. Ἀλλὰ καὶ τὸν σῖτον, καὶ τὸν οἶνον ἀφελῶ ἀπ' αὐτῶν, καὶ τὸ λυπηρότερον, ὅτι *ἐν καιρῷ*· τουτέστιν, ὅταν ὥριμοι γένωνται οἱ καρποὶ καὶ πέπειροι, τότε στερήσω αὐτοὺς τούτων, ἵνα καὶ μᾶλλον ἀνιαθῶσιν. Ἱμάτια δὲ B καὶ ὀθόνια, τάχα μὲν καὶ τὰ αἰσθητὰ ταῦτά φησι· καὶ γὰρ αἰχμαλωτισθέντες, γυμνοὶ καὶ ἀσχήμονες περιῄεσαν· τάχα δὲ καὶ τὴν σκέπην αὐτοῦ καὶ βοήθειαν, ἣν ἔχοντες, ἐνδοξότατοι ἦσαν, καὶ ἐκράτουν τῶν ἄλλων, τὴν ἐκ τῆς δουλείας ἀσχημοσύνην οὐκ ἔχοντες, ἣν νῦν ἔξουσιν. Ἀφείλετο δὲ καὶ ἀπὸ τῆς Συναγωγῆς τῶν Ἰουδαίων ἐν καιρῷ τῷ δέοντι, καὶ ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, τὰς ἀπαρχὰς τῶν καρπῶν, καὶ τὰς δεκάτας, αἳ δηλοῦνται διά τε τοῦ σίτου καὶ τοῦ οἴνου. Τότε γὰρ ἐσαρκώθη, ὅτε καὶ ἐπιτήδειος καιρὸς ἦν, ὅτε πᾶσα κακία συνετελέσθη, καὶ οὐδὲν ἔτι ὑπελείπετο εἶδος αὐτῆς, ἀλλὰ καὶ τὴν οἰκείαν μοχθηρίαν ἐξέῤῥηξε. Τότε δὲ ἦλθεν ὁ Ἰατρὸς, τὸ μέγα φάρμακον τῆς αὐτοῦ σαρκώσεως ἐπάγων τῷ νοσήματι. Εἰ δὲ καὶ τὰ τῆς C Ἐκκλησίας μυστήρια, ἐκ σίτου καὶ οἴνου τελοῦνται, τῶν εἰς σῶμα καὶ αἷμα τοῦ Χριστοῦ μεταποιουμένων διὰ τῆς εὐλογίας· σκοπησάτωσαν οἱ ἀπιστοῦντες Ἑβραῖοι, ὅπως ἐπ' αὐτοῖς ἀληθεύει ἡ προφητεία. Καλῶς δὲ πρόσκειται τὸ, *Καθ' ὥραν αὐτοῦ*, καὶ, *Ἐν καιρῷ αὐτοῦ*. Νῦν γὰρ καιρὸν ἔχουσι, καὶ ὥραν, τὰ μυστήρια ταῦτα, τοῦ τελεῖσθαι διὰ σίτου καὶ οἴνου· ἐν δὲ τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἄλλον τινὰ τρόπον καινότερον καὶ μυστικώτερον τελευτήσονται [*f.* τελεσθ.]. Στερούμενοι δὲ τοῦ βαπτίσματος, στεροῦνται καὶ τῶν ἱματίων τοῦ Χριστοῦ. *Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσαντο, Χριστὸν ἐνεδύσαντο.* Ἀλλὰ καὶ ἀπὸ τῶν ἐν τῇ Ἐκκλησίᾳ πιστῶν ἀφαιρεῖται ἁμαρτανόντων ὁ σῖτος, καὶ οἶνος, ἤτοι ἡ τῶν D μυστηρίων κοινωνία. Ἐπεὶ δὲ ἀναλόγως τοῖς ἁμαρτήμασι γίνεται τοῦτο, διὰ τοῦτο εἶπεν· *Ἐν καιρῷ*, καὶ, *Καθ' ὥραν*. Οὔτε γὰρ πᾶσιν ἁπλῶς τοῖς ἁμαρτήμασι (48), καὶ τοῖς τυχοῦσιν, ἐπιτίμιον τέθειται ἡ τῆς κοινωνίας στέρησις, οὔτε τοῖς ταύτην κατακρινομένοις ἁπλῶς πᾶσιν ὁ αὐτὸς καιρὸς ὑφήπλωται· ἀλλὰ τοῖς μὲν ἐπιτέταται, τοῖς δὲ συνέσταλται. Οἱ δὲ τοιοῦτοι ἀπογυμνοῦνται καὶ τῆς θείας χάριτος, καὶ βοηθείας, ἥτις ἕως μὲν ἡμῖν πάρεστι, ποιεῖ ἡμᾶς εὐσχημόνως περιπατεῖν, τὴν ἀσθένειαν ἡμῶν περιστέλλουσα καὶ ἀκέπουσα·

[56] Galat. III, 17.

Variæ lectiones et notæ.

(48) Ea de re vide, si placet, Basilium in *ep. can. ad Amphilochium*, et Greg. Nyss. in *Ep. ad Letoium*.

Digitized by Google

ἀφθεῖσα δὲ ἀφ' ἡμῶν, καὶ ἐγκαταλιποῦσα ἡμᾶς, ἐᾷ τὰ ἔργα τῆς αἰσχύνης ποιεῖν. Τάχα δὲ καὶ ἀπὸ τῶν ἐν τῇ ἱερατείᾳ ἁμαρτανόντων, καὶ καθαιρουμένων, ἀφαιρεῖ ὁ Θεὸς τὰ ἱμάτια αὐτοῦ, καὶ τὰ ὀθόνια, τὴν ἱερατικὴν λέγω στολήν· ὥστε μὴ ὑπὸ τούτων καλύπτεσθαι τὴν ἀσχημοσύνην αὐτῶν, φαινομένων ἀναμαρτήτων διὰ τοῦ ἱερουργεῖν. A autem homines destituuntur etiam divina gratia et ope, quæ quoad in nobis reperitur, nostram tegens occultansque imbecillitatem, efficit, ut composite incedamus; cum contra nobis adimitur, ea nos deserens, sinit, ut turpia facinora patremus. Iis item, qui in sacerdotio delinquunt, suoque de gradu propterea dejiciuntur, adimit Deus vestimenta sua et linteamina sacerdotalia, ut ne amplius eorum deformitas tegatur, qui pridem eo, quod sacra facerent, insontes omnino videbantur.

Καὶ νῦν ἀποκαλύψω τὴν ἀκαθαρσίαν αὐτῆς ἔναντι τῶν ἐραστῶν αὐτῆς. Ἤ τοῦτο λέγει, ὅτι Ὥσπερ ἐμὲ ἐγκατέλιπεν, οὕτω καὶ ἐκείνους ἐγκαταλείψει, γνοῦσα τὴν ἀσθένειαν αὐτῶν, καὶ φανήσεται καὶ πρὸς ἐκείνους ἄπιστος, κατὰ τὸ, *Ἕως πότε* B *χωλανεῖτε ἐπ' ἀμφοτέρυις ταῖς ἰγνύαις; ἢ τῷ Θεῷ Θεῷ, ἢ τῷ Βάαλ Βάαλ*· ἤ, Ὅτε δείξω αὐτὴν οὕτως ἀσχημονοῦσαν, οὐχ ἕξουσι βοηθῆσαι αὐτῇ, ὡς ἀδύνατοι. Ἄκουε δὲ καὶ τῶν ἑξῆς·

VERS. 10. *Et nunc revelabo immunditiam ejus, in conspectu amatorum ejus.* Aut hoc dicit: Quemadmodum ea me deserit, ita et illos derelinquet, eorum imbecillitatem perspectam habens, ideoque et adversus eos infidelis apparebit, juxta illud, *Quousque claudicatis utroque poplite? aut Deo Deo, aut Baal Baal* [57]: aut sensus est: Cum ipsam decore ita destitutam ostendam, ei suam ob imbecillitatem succurrere non poterunt. Audi quæ sequuntur.

Καὶ οὐδεὶς οὐ μὴ ἐξέληται αὐτοὺς ἐκ τῆς χειρός μου. Χεῖρα, τιμωρικὴν [*f.* τιμωρητικ.] δύναμιν ὀνομάζει, ἧς ἐπειράθησαν καὶ οἱ Θεοκτόνοι, παραδοθέντες τοῖς Ῥωμαίοις· καὶ οἱ ἁμαρτάνοντες δὲ, καὶ παραδιδόμενοι τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ, κατὰ τὸν ἐν Κορίνθῳ πεπορνευκότα, τῆς χειρὸς Κυρίου πειρῶνται. Τὴν γὰρ σωφρονίζουσαν τούτους (49) δύναμιν, κατ' οἰκονομίαν θείαν, ἢ ἐκχώρησιν Θεοῦ, χεῖρα καλέσεις. (50) Οὕτω καὶ Ἰὼβ, *Χεὶρ Κυρίου*, φησὶν, *ἔστιν ἡ ἁψαμένη μου*· καὶ βέλη Κυρίου ἐν τῷ σώματι αὐτοῦ ἐλέγοντο εἶναι αἱ παρὰ τοῦ ἐχθροῦ κατὰ συγχώρησιν θείαν ἐπαχθεῖσαι αὐτῷ πληγαί. C

VERS. 10. *Et nemo eripiet ipsam ex manu mea.* (51) Manum, divinam potentiam, supplicia inferentem, nominat: quam etiam experti sunt Domini occisores, traditi Romanis. Peccantes etiam traditi Satanæ ad interitum carnis, ut spiritus servetur, juxta eum qui Corinthi fornicatus erat, manum Domini experiuntur. Castigantem etenim eos vim, 24 secundum divinam dispensationem, vel permissionem Dei, manum vocabis. Sic et plagæ in corpore Job, divino permissu inflictæ, dicebantur manus Domini.

Καὶ ἀποστρέψω πάσας τὰς εὐφροσύνας αὐτῆς, ἑορτὰς αὐτῆς, καὶ τὰς νουμηνίας αὐτῆς, καὶ τὰ Σάββατα, καὶ πάσας τὰς πανηγύρεις αὐτῆς. Ἀλχμαλωτισθέντες γὰρ εἰς Βαβυλῶνα, οὔτε ἄλλως εὐφραίνεσθαι, οὔτε ἑορτάζειν εἶχον καιρόν. *Πῶς γὰρ ᾄσομεν*, φησὶ, *τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας*, Ἐπειδὴ οὔτε τῷ Θεῷ καθαρῶς ἐλάτρευον, οὔτε τοῖς εἰδώλοις, ἀλλ' ἐπαμφοτερίζοντες ἦσαν, φησὶν, ὅτι τοῖς Βαβυλωνίοις παραδοθέντες, οὔτε τῷ Θεῷ τελέσουσι τὰς ἑορτὰς, ἤτοι τὰ Σάββατα, καὶ τὰς νουμηνίας, οὔτε τῷ Βάαλ τὰς ἄλλας πανηγύρεις. Ἰστέον μέντοι, ὅτι οὐκ ἔστι ταυτὸ πανήγυρις, καὶ ἑορτή. Ἔστι γὰρ εἶναι πανηγήριν, καὶ μὴ ἐπὶ ἑορτῇ· ἑορτὴ μέντοι χωρὶς πανηγύρεως, ἤτοι συνελεύσεως, οὐκ ἔστιν εἶναι. Κοινότερον οὖν τὸ τῆς πανηγύρεως. Ταῦτα πεπόνθασιν οἱ Χριστοκτόνοι νῦν· οὐ γὰρ ἔστι χαίρειν τοῖς ἀσεβέσι. Ποῦ δὲ αὐτοῖς ἑορτὴ, ἢ νουμηνία, ἢ Σάββατον κατὰ τὸν νόμον; Ἀλλὰ καὶ οἱ ἁμαρτάνοντες, πενθεῖν καὶ σκυθρωπάζειν ὀφείλοντες, καὶ λούειν ἐν δάκρυσι τὴν στρωμνὴν, τῆς D

VERS. 11. *Avertam quoque omnia gaudia ejus, festivitates ejus, et neomenias ejus, et Sabbata, et omnes conventus ejus.* Nam ducti captivi Babylonem, neque in cæteris rebus exhilarandi sese, neque festa sua celebrandi opportunitatem habebant. *Quomodo* enim *canemus*, inquiunt, *canticum* Domino *in terra aliena* [58]? Quandoquidem neque Deo pure serviebant, neque idolis, sed utroque versum inclinabantur. Nam Babyloniis traditi, neque peragent festivitates suas, sive Sabbata, et neomenias, neque alias etiam ipsi Baal solemnitates celebrabunt. Est autem hic animadvertendum, festivitates et conventus, Græce ἑορτὰς et πανηγύρεις, non esse idem. Siquidem panegyris esse potest, sive conventus, citra etiam ferias. Ἑορταὶ autem, sive festivitates, sine panegyri, vel conventu non sunt. Communior itaque vox panegyris est. Hæc patiuntur etiamnum Christi Domini interfectores. Nec enim impiis gaudere licebit. Ubi enim hodie ipsis sunt feriæ, vel neomeniæ, vel

[57] III Reg. VIII, 21. [58] Psal. CXXXVI, 4.

Variæ lectiones et notæ.

(49) Οὕτως (*sic*) Cod. Ven.

(50) Οὕτω καὶ Ἰὼβ, Χεὶρ Κυρίου, φησὶν, ἔστιν ἡ ἁψαμένη μου· καὶ βέλη, κ. τ. λ. *Ita et Job, Manus Domini, ait, tetigit me; et sagittæ* etc. Hæc restituimus ex cod. Ven. cum et in Bav. et in eo quo usus est Lonicerus decessent.

(51) Incipit hinc interpretatio Joannis Lonicceri.

Digitized by Google

Sabbatum secundum legem ? Præterea peccantes, qui lugere debebant et contristari, ac lavare in lacrymis stratum, spirituali lætitia orbantur, neque neomenias habentes, hoc est principium quoddam, et generationem illustrationis spiritualis : neque Sabbata, sive divinas ferias. Conscientia enim non sinit, eos bonam futuris de rebus habere spem.

A πνευματικῆς εὐφροσύνης στεροῦνται, οὔτε νουμηνίας ἔχοντες, τουτέστιν ἀρχήν τινα καὶ γένεσιν φωτισμοῦ πνευματικοῦ, οὔτε Σάββατα, ἤτοι ἀναπαύσεις θείας · τὸ γὰρ συνειδὸς οὐκ ἐᾷ αὐτοὺς χρηστὰς περὶ τῶν μελλόντων ἔχειν ἐλπίδας.

Vers. 12. *Et exterminabo vineam ejus et ficus ejus, de quibus dicit : Mercedes hæ meæ sunt, quas dederunt mihi amatores mei.* Dixit, inquit, Ab idolis accepi vitæ meæ commodantia, ut quæ præmium dederunt mihi cultus et adorationis, ut delicias percipiam ex bonis hisce. Perdam ergo, ait Dominus, ista : quandoquidem ea non mihi, sed idolis suis accepta referunt.

Καὶ ἀφανιῶ ἄμπελον αὐτῆς, καὶ τὰς συκᾶς αὐτῆς, ὅσα εἶπε · Μισθώματά μου ταῦτά ἐστιν, ἃ ἔδωκάν μοι οἱ ἐρασταί μου. Εἶπε, φησὶν, ὅτι Ἐκ τῶν εἰδώλων ἔλαβον τὰ πρὸς ζωὴν συντελοῦντα, μισθὸν διδόντων μοι τῆς προσκυνήσεως, τὸ ἐντρυφᾶν τοῖς ἀγαθοῖς τούτοις. Ἀφανιῶ τοίνυν ταῦτα, ἐπειδὴ οὐκ ἐμοὶ, ἀλλὰ τοῖς εἰδώλοις ἀνατίθησιν αὐτά.

Ponamque ea in testimonium, devorabunt ea bestiæ agri, volucresque cœli et reptilia terræ. A volucribus, bestiis et serpentibus devorata bona hæc, eo quod sit solitudo hominum, testimonium dicent contra ipsos quod non digni fuerint horum fructu. Ac propterea quidam illic interempti a Babyloniis, alii vero captivi abducti, reliquerunt ea bestiis. Vel bestias Babylonios appellat, qui exedebant in agris bona, Israelitis propter obsidionem in urbibus conclusis, et fame laborantibus. Poterint etiam per vineam et ficum lex et prophetæ intelligi. Vitem enim, veluti vinum, lætificans cor hominis [59], edunt, propter evangelicam administrationem, in qua operosi mandati causa etiam compressio **25** est, nihilominus tamen etiam læta continet, propter cœlestium rerum promissiones. Nec enim dignæ sunt hujus temporis passiones ad futuram in nobis revelandam gloriam [60]. Omnino autem lex, secundum spiritum intellecta, Evangelii cum gratiam tum conditionem in sese exhilarat. Hoc igitur pacto, lex et prophetæ sunt vitis et vinea. Ficus identidem fuerunt, quoniam infanti Israeli dulces fructus proferebant, terrestrium nempe bonorum promissionem. Si enim, inquit, *audiveritis me, bona terræ comedetis* [61]. Asperitatem quoque in foliis habebant ficus, hoc est transitoriis et facile marcessibilibus rebus : non enim gehennam interminabantur eis ac tenebras exteriores, vel quod ex cœlesti regno excidere deberent, sed captivitatem, servitutem et mortem temporalem, talesque id genus pœnas. Hæ igitur, nempe vitis et ficus, ablatæ sunt quidem ab Jerusalem, traditæque sunt gentibus, quæ volucribus cœli assimilabantur, ob mentis suæ levitatem atque dementiam, eamque ob causam, quod principi potestatis aeris subjectæ fuerint : bestiis vero et reptilibus, propter efferos mores æquiparabantur. Hæ itaque gentes Christum secutæ, qui factus est nobis sa-

B *Καὶ θήσομαι αὐτὰ εἰς μαρτύριον, καὶ καταφάγεται αὐτὰ τὰ θηρία τοῦ ἀγροῦ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τὰ ἑρπετὰ τῆς γῆς.* Ἀπὸ πετεινῶν, καὶ θηρίων, καὶ ἑρπετῶν κατεσθιόμενα τὰ ἀγαθὰ ταῦτα, διὰ τὸ εἶναι ἐρημίαν ἀνθρώπων, καταμαρτυρήσει αὐτῶν, ὅτι οὐκ ἦσαν ἄξιοι αὐτοὶ τούτων ἀπολαύειν. Καὶ διὰ τοῦτο οἱ μὲν αὐτοῦ που θανατωθέντες ὑπὸ τῶν Βαβυλωνίων, οἱ δὲ αἰχμαλωτισθέντες, κατέλειψαν ταῦτα τοῖς θηρίοις. Τὰ θηρία τοὺς Βαβυλωνίους λέγει, οἳ ἤσθιον τὰ ἐν τοῖς ἀγροῖς ἀγαθὰ τῶν Ἰσραηλιτῶν, διὰ τὸ πολιορκεῖσθαι ἐν ταῖς πόλεσιν ἀποκεκλεισμένων καὶ λιμωττόντων. Νοοῖτο δ' ἂν ἄμπελος καὶ συκῆ ὁ νόμος, καὶ οἱ προφῆται· ἄμπελος μὲν, ὡς τὸν οἶνον ἐκδιδόντες τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου, φημὶ δὴ τὴν κατὰ τὸ Εὐαγγέλιον πολιτείαν, ἥτις τὸ στύφον ἔχουσα, διὰ τὸ ἐργῶδες τῆς ἐντολῆς, οὐδὲν ἧττον ἔχει καὶ τὸ εὐφραῖνον, διὰ τὰς ἐν οὐρανοῖς ἐπαγγελίας. *Οὐκ ἄξια γὰρ τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.* Πάντως δὲ ὁ νόμος πνευματικῶς νοούμενος, τὴν τοῦ Εὐαγγελίου καὶ χάριν, καὶ πολιτείαν εὐφραίνει (52) ἐν ἑαυτῷ. Οὕτω μὲν οὖν ἄμπελος ὁ νόμος, καὶ οἱ προφῆται· συκῆ δὲ, ὅτι τῷ νηπίῳ Ἰσραὴλ γλυκεῖς τοὺς καρποὺς προέφερον τῶν τῆς γῆς ἀγαθῶν τὴν ἐπαγγελίαν. *Ἐὰν* γὰρ, φησὶν, *ἀκούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε* · καὶ τὰ τραχέα δὲ ἐν φύλλοις εἶχον, παροδικοῖς δή, λέγω, καὶ εὐμαράντοις πράγμασι· οὐ γὰρ (53) γέεννα αὐτοῖς ἠπειλεῖτο, καὶ D σκότος ἐξώτερον, ἢ ἀπόπτωσις οὐρανῶν βασιλείας, ἀλλὰ καὶ αἰχμαλωσία, καὶ δουλεία (54), καὶ θάνατος πρόσκαιρος, καὶ τοιαῦται πᾶσαι κολάσεις. Ταῦτα τοίνυν, ἥ τε ἄμπελος, καὶ ἡ συκῆ, ἀφῃρέθη μὲν ἀπὸ τοῦ Ἰσραὴλ, ἐδόθη δὲ τοῖς ἔθνεσιν, οἳ πετεινοῖς μὲν τοῦ οὐρανοῦ εἰκάζοντο, διὰ τὸ τῆς γνώμης κοῦφον καὶ ἀνόητον, καὶ διὰ τὸ τῷ ἄρχοντι τῆς ἐξουσίας τοῦ ἀέρος συντετάχθαι· θηρίοις δὲ καὶ ἑρπετοῖς, διὰ τὸ ἀνήμερον τοῦ τρόπου. Ταῦτα μέντοι τὰ ἔθνη

[59] Psal. cm, 15. [60] Rom. viii, 18. [61] Levit. xxv, 22.

Variæ lectiones et notæ.

(52) Sic legit in suo cod. Lonicerus ; cod. vero Bav. habet ἐμφαίνει.

(53) Καὶ γὰρ, *etenim*. Cod. Bav., sed male.

(54) Ἀλλ' αἰχμαλωσίας δουλεία, *sed captivitatis servitus.*

Digitized by Google

Χριστῷ ἀκολουθήσαντα, ὃς ἐγεννήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, τὸ ἀνόητον (55) ἀπεβάλοντο, καὶ τὰ ἄνω φρονεῖν, οὗ αὐτός ἐστιν ὁ Χριστὸς, μετεπαιδεύθησαν· μαθόντα δὲ ἀπ' αὐτοῦ καὶ ὅτι ἔστι πρᾶος καὶ ταπεινὸς τῇ καρδίᾳ, τὴν πικρίαν τῶν ἠθῶν διωρθώσαντο. Ὅτι δὲ τοῖς ἔθνεσιν ἐδόθη ἡ τοῦ νόμου ἄμπελος, φησὶν καὶ ὁ Κύριος ἐν Εὐαγγελίῳ· Τὸν ἀμπελῶνα δώσεται (56) ἄλλοις γεωργοῖς, ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτοῦ. Ἄμπελός ἐστι καὶ ὁ Κύριος, ὁ εἰπών· *Ἐγώ εἰμι ἡ ἄμπελος*· καὶ συκῆ δὲ, ὡς γλυκασμὸς, καὶ ὅλος ἐπιθυμία. Ἐν ὅσῳ μὲν οὖν μὴ ἐκπορνεύομεν ἀπὸ Θεοῦ, ἐντρυφῶμεν τῷ Κυρίῳ· ὅτε δὲ ἁμαρτάνομεν, ἢ πετεινὰ τοῦ οὐρανοῦ γινόμενοι διὰ τῆς ὑψηλοφροσύνης, ἢ θηρία τοῦ ἀγροῦ, ἤτοι κτήνη, διὰ τῆς ἐπιθυμίας, ἢ ἑρπετὰ τῆς γῆς διὰ τοῦ θυμοῦ (θυμὸς γὰρ, φησὶν, αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως), τότε τὸν ἐν ἡμῖν θεῖον λόγον τοῖς πάθεσιν ἐξεδώκαμεν, ὑφ' ὧν καταδαπανώμενος ἡμᾶς ἀτρόφους περιορᾷ.

Καὶ ἐκδικήσω ἐπ' αὐτὴν τὰς ἡμέρας τῶν Βααλείμ (57), *ἐν αἷς ἐπέθηκεν αὐτοῖς, καὶ περιετίθετο τὰ ἐνώτια αὐτῆς, καὶ τὰ καθόρμια αὐτῆς, καὶ ἐπορεύετο ὀπίσω τῶν ἐραστῶν αὐτῆς, ἐμοῦ δὲ ἐπελάθετο, λέγει Κύριος.* Ταῦτα ποιήσω αὐτῇ, διὰ τὰς ἡμέρας ἐκείνας, ἐν αἷς ἔθυε τοῖς Βααλείμ, τουτέστι τοῖς εἰδώλοις τοῦ (58) Βάαλ, καὶ τὰς ἐκείνων ἑορτὰς ἐπετέλει, κόσμῳ παντοδαπεῖ κεχρημένη. Ἐνώτια μὲν οὖν τὰ τοῖς ὠτίοις ἐντιθέμενα κοσμήματα· καθόρμια δὲ, τὰ ἀπὸ τοῦ περιτραχήλου κόσμου ἐκκρεμάμενα· ὅρμος γὰρ ὁ περιτραχήλιος κόσμος. Μετὰ τοιοῦτου, φησὶ, κόσμου τοῖς μὲν εἰδώλοις ἔδρτασεν, ἐμοῦ δὲ ἐπελάθετο. Τάχα τοίνυν τοιαῦτα ἐνώτια καὶ καθόρμια φοροῦσιν οἱ νῦν Ἑβραῖοι, τὰ ψευδῆ διδάγματα τῶν Φαρισαίων ἐν τοῖς ὠσὶν αὐτῶν δεχόμενοι, ἃ καὶ ὡς ἐπὶ τὴν καρδίαν αὐτῶν καταβαίνοντα, καθόρμια λέγοιτ' ἄν, δι' ὧν πείθονται, ὅτι πάλιν τὴν νομικὴν λατρείαν ἀπολήψονται, καὶ ἑορτάζουσι τοῖς εἰδώλοις, ἤτοι τοῖς ἀναπλασμοῖς τῆς φαντασίας αὐτῶν, καθ' ἣν εἰδωλοποιοῦσι τὸν ναὸν, καὶ τὰς θυσίας, καὶ τἄλλα τὰ τοιαῦτα. Καὶ ὅταν δὲ ἴδῃς νέον ἀτελείας ῥήμασι προσέχοντα τὸν νοῦν, καὶ ἐνωτιζόμενον ταῦτα, καὶ ἐπὶ καρδίαν καθιέντα μᾶλλον, ἢ τοὺς περὶ σωφροσύνης καὶ ἐγκρατείας λόγους, καὶ τοῖς εἰδώλοις ἑορτάζοντα, φημὶ δὴ ταῖς ἡζοναῖς, αἳ οὐχ ἡδοναί εἰσιν ὄντως, ἀλλ' εἴδωλα ἡδονῆς, διὰ τὸ πρόσκαιρον μὲν ἔχειν τὴν ἀπόλαυσιν καὶ ψευδομένην, αἰωνίζουσαν δὲ καὶ ἀληθῆ τὴν ὀδύνην, εἰπὲ τὰ προφητικὰ (59) ἐπ' αὐτῷ.

Διὰ τοῦτο ἐγὼ (60) *πλανῶ αὐτὴν, καὶ τάξω αὐτὴν ὡς ἔρημον.* Διχῶς τοῦτο νοήσεις, ἢ ὅτι Παρασκευάσω αὐτὴν πλανᾶσθαι, καὶ ἀπὸ τόπου εἰς

pientia a Deo [62], ignorantiam suam, orbationemque intellectus rejecerunt, ac sapiendo quæ superna sunt, ubi ipse Christus est, secus quam antea institutæ, discentes ab ipso, quod mansuetus sit, et humilis corde [63], morum suorum amaritiem correxerunt. Nam gentibus data est legis vitis, unde et Dominus in Evangelio: Vitem suam, inquit, elocabit aliis agricolis, genti videlicet facienti fructus ejus [64]. Vitis est etiam Dominus, qui dixit: *Ego sum vitis vera* [65]. Ficus item, ceu dulcedo, ac totus desiderium. Sic reptilia gentes sumus, dum a Deo non excidimus per fornicationem, sed in Domino voluptatem quærimus. Quando vero peccatis coinquinamur, volucres cœli facti, ob mentis ad alta spirantis affectionem, bestiæve agri, vel jumenta propter cum rationis nostræ, tum animi feritatem [animus enim, inquit, ipsis est juxta similitudinem serpentis], tum divinum in nobis verbum, passionibus, motibusve subdidimus, a quibus absumptum impastos nos relinquit.

Vers. 13. *Et ultionem sumam in ipsa, de diebus Baalim, in quibus sacra fecit ipsis, Apponebatque enotia sua, et cathormia sua, et sequebatur amatores suos, mei vero obliviscebatur, dicit Dominus.* Hæc, inquit, faciam ipsi, propter dies illas, in quibus sacra fecit ipsis Baalim, hoc est idolis Baal, illorumque festivitates celebrabat, omnigeno ornatu usa. Enotia igitur auribus imposita **26** sunt ornamenta; cathormia vero ex collum ambiente ornatu dependent. Hormus enim colli, cervicisque mundus est. Itaque ergo tali, ait, ornatu idolis feras peragebat, mei vero obliviscebatur. Fortasse hujusmodi enotia et cathormia Hebræi gestant etiamnum, vanas Pharisæorum doctrinas auribus suis excipientes: quæ dum in corda illorum descenderint, cathormia etiam dici queant: quibus persuadentur, ut relicta denuo legali observantia, idolis festos dies instituant, sive figmentis opinionis suæ, secundum quam templum, sacrificia, idque genus cætera imaginantur. Proinde cum juvenem conspexeris, lasciviæ libidinisque verbis advertentem animum, auribusque talia excipientem, inque cor demittentem potius quam temperantiæ, continentiæque sermonibus auscultantem ac idolis facientem sacrum [voluptatibus dico, quæ voluptates vere non sunt, sed imagines potius voluptatis, quod fructus, delectatioque eorum temporaria tantummodo sit et vana, durantem vero interim et æternantem, ut ita loquar, et verum dolorem habeant], hæc prophetica ipsi recita.

Vers. 14. *Propterea errare facium ipsam, constituamque ipsam veluti desertam.* Bifariam hoc intelliges, sive quod Præparabo ipsam ut erret,

[62] I Cor. I, 30. [63] Matth. XI, 29. [64] Matth. XXI, 43. [65] Joan. XV, 1.

Variæ lectiones et notæ.

(55) Τὸν ἀνόητον, *stultum*. Cod. Ven.
(56) Ἐκδώσεται, *tradet*. Cod. Ven.
(57) Βαλαείμ, *Balaim*, sic et alibi. Cod. Ven.
(58) Τῆς Cod. Ven.
(59) Ταῦτα, *hæc*. Cod. Ven.
(60) Ἰδοὺ ἐγὼ, *ecce ego*. Cod. Ven.

Digitized by Google

deque loco in locum transmigret, partim quidem quod fugiat, partim quod captiva ducatur, omnibusque bonis supra commemoratis ipsam privabo: sive quod Probe currentem in malitia, et ad simulacra abductam, ipsam declinare faciam, hoc est eam transferam ab tali itinere, quod maximum sane est beneficium. Aberrans enim a via prava, hoc est conversus, ad bonum omnino iter traducitur. Faciam et ipsam desertam, sive aridam et inutilem plane idolis. Antea quidem uvida ipsis videbatur, et inhabitabant in ea tanquam requiescentes ac omnino quieti dæmones: nunc vero desertam eam reddam, nihil retinentem, quod idolis sit in deliciis, ac eam ob rem ipsis evitabilem. Sic et in Evangeliis immundus spiritus transiens per aquis vacantia loca, non invenit requiem [66]. Sunt enim sanctæ Dei amantes animæ, loca dæmonibus arida, aquave carentia, ut quæ vitam ducant non placentem illis. Errare etiam fecit, passimque vagari, Domini interfectricem Synagogam Deus, dispersis in universum terrarum orbem Judæis, neque certam tenentibus patriam, unde tanquam desertos eos posuit. Hujusmodi et gentium antea multitudo erat, quæ deserta siccaque dicebatur, de qua memoratum est, quod *Plures sint filii desertæ, quam ejus cui erat maritus* [67]. Utinam autem unicuivis ad vitia probe currenti contingat a tali itinere deflectere, vel transferri, et ab inordinatione sejungi, sive ordinatiorem vitam accipere, ut non porro **27** cupiditas et libido, rationi dominetur, quin potius hæc sceptra super illas teneat. Hoc enim ordinis est, estque desertam et aridam fieri concupiscentiam, si non habeat udam eam aquam, de qua David precatur: *Ne demergat me tempestas aquæ* [68], et alio loco: *Nisi Dominus esset in nobis, aqua utique demersisset nos* [69]. Talis aqua tentationes Satanæ esse poterint et insultus, in quibus non erigere sese, neque natare valentes animæ suffocantur.

A τόπον μετοικίζεσθαι, τοῦτο μὲν, ὅτε φεύγει, τοῦτο δὲ, ὅτε αἰχμαλωτίζεται, καὶ πάντων τῶν ἀγαθῶν μου, ὧν [ὡς ?] ἀνωτέρω εἴρηται, ἔρημον καταστήσω· ἢ ὅτι Εὐδρομοῦσαν ἐν κακίᾳ, καὶ φερομένην ἐπὶ τὰ εἴδωλα, ἀποπλανήσω αὐτὴν, τουτέστι μεταστήσω αὐτὴν ἀπὸ τῆς τοιαύτης ὁδοῦ, ὅπερ εὐεργεσία μεγίστη· ὁ γὰρ ἀπὸ τῆς κακῆς ὁδοῦ πλανώμενος, τουτέστι μεταστρεφόμενος, πρὸς τὴν ἀγαθὴν πάντως μετάγεται. Ποιήσω δὲ αὐτὴν καὶ ἔρημον, ἤτοι ξηρὰν, καὶ ἄχρηστον τοῖς εἰδώλοις. Πρώην μὲν (61) ἔὐυδρος αὐτοῖς ἐδόκει, καὶ κατῴκουν αὐτὴν ὡς ἀναπαυόμενοι (62)· νῦν δὲ ἔρημον αὐτὴν ποιήσω, μηδὲν ἔχουσαν τῶν ἀγαπωμένων ἐκείνοις, καὶ διὰ τοῦτο φευκτὴν οὖσαν αὐτοῖς. Οὕτω καὶ τὸ ἐν Εὐαγγελίοις ἀκάθαρτον πνεῦμα, πορευόμενον δι' ἀνύδρων τόπων,
B οὐχ εὑρίσκει ἀνάπαυσιν. Αἱ γὰρ ὅσιαι καὶ θεοφιλεῖς ψυχαὶ, ἄνυδροι τόποι τοῖς δαίμοσι, μὴ ἔχουσαι τὸν ὑγρὸν βίον (63), τὸν φίλον ἐκείνοις. Ἐποίησε πλανᾶσθαι καὶ τὴν τῶν Θεοκτόνων Συναγωγὴν ὁ Θεὸς, διασκορπίσας αὐτοὺς ἐν πάσαις ταῖς χώραις, μὴ ἔχοντας πατρίδα, καὶ ὡς ἔρημον ἔταξεν αὐτοὺς, τουτέστιν, ὡς ἦν πρώην ἡ τῶν ἐθνῶν πληθὺς, ἤτις ἔρημος ἐλέγετο, περὶ ἧς εἴρηται, ὅτι *Πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα.* Εἴθε δὲ καὶ παντὶ τῷ πρὸς κακίαν εὐδρομοῦντι γένοιτο ἀπὸ ταύτης τῆς ὁδοῦ πλανηθῆναι, ἤτοι μεταστραφῆναι, καὶ ἀπὸ ἀταξίας ταχθῆναι, ἤτοι τάξιν λαβεῖν, ἵνα μηκέτι τοῦ λογισμοῦ ἡ ἐπιθυμία, καὶ ὁ θυμὸς ἐν αὐτῷ ἄρχῃ, ἀλλ' ἐκεῖνος
C μᾶλλον αὐτῶν· τοῦτο γὰρ τάξεως καὶ ἔρημον γενέσθαι, καὶ ἄνυδρον, μὴ ἔχουσαν (64) ἐκεῖνο τὸ (65) ἔνυδρον ὕδωρ, περὶ οὗ εὔχεται Δαβίδ· *Μή με καταποντισάτω καταιγὶς ὕδατος*· καὶ, *Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς.* Εἶεν δ' ἂν τὸ τοιοῦτον ὕδωρ αἱ πεῖραι τοῦ Πονηροῦ καὶ προσβολαὶ, ἐν αἷς αἱ μὴ ἀνακύπτειν καὶ διανήχεσθαι δυνάμεναι ψυχαὶ, ἀποκνίζονται.

Vers. 14, 15. *Loquar etiam in cor ejus, daboque ipsi facultates suas inde.* Hoc est, Efficiam ut ipsa sensum percipiat gloriæ necnon potentiæ meæ, propriorumque suorum delictorum. Daboque ipsi inde reversæ, a captivitate videlicet, possessiones suas, id est regiones ac terras quas antea possedit, ejectis Chananæis: eorum enim terram hæreditario inter se diviserant Israelitæ. Apte etiam hic gratiam per Christum communicandam promittit, quando loquitur in cor eorum quos antea rejecerat Deus, perinde ac alio in loco ait [70]: *Dans leges meas in cor ipsorum, et in corda ipsorum inscribam eas. Erunt autem omnes docibiles*

Καὶ λαλήσω ἐπὶ τὴν καρδίαν αὐτῆς, καὶ δώσω αὐτῇ τὰ κτήματα αὐτῆς ἐκεῖθεν. Τουτέστι, Ποιήσω αὐτὴν αἴσθησιν λαβεῖν τῆς τε ἐμῆς δόξης καὶ δυνάμεως, καὶ τῶν οἰκείων πλημμελημάτων, καὶ δώσω αὐτῇ ἐπαναστραφείσῃ ἐκεῖθεν, ἀπὸ τῆς
D αἰχμαλωσίας δηλαδὴ, τὰ κτήματα αὐτῆς, ὅ ἐστι τὰς χώρας, ἃς ἐκτήσατο πρότερον, ὅτε τοὺς Χαναναίους ἐκβαλοῦσα, τὴν γῆν αὐτῶν κατεκληρονόμησε Σαφῶς δὲ ἐνταῦθα καὶ τὴν διὰ Χριστοῦ χάριν καθυπισχνεῖται, ὅτε λαλεῖ μὲν ἐπὶ τὴν καρδίαν τῶν πρώην ἀποβλήτων ὁ Θεὸς, ὡς καὶ ἀλλαχοῦ λέγει· *Διδοὺς νόμους μου εἰς τὴν καρδίαν αὐτῶν* (66), *καὶ ἐπὶ τῶν καρδιῶν αὐτῆς* (67) *ἐπιγράψω αὐτούς.*

[66] Luc. XI, 24. [67] Isa. LIV, 1. [68] Psal. LXVIII, 3. [69] Psal. CXXIII, 1, 4. [70] Isa. LI, 7.

Variæ lectiones et notæ.

(61) Μὲν γὰρ, *enim.* Cod. Ven.
(62) Ἐπαναπαυόμενοι, *requiescentes.* Cod. Ven.
(63) Deest in cod. Ven.
(64) Ἔχουσα, *habens.* Cod. Ven.
(65) Deest in Cod. Ven.
(66) Διάνοιαν, *mentem.* Cod. Ven.
(67) Ἐπὶ τὴν καρδίαν αὐτῶν, *in cor eorum.* Cod. Bav.

Digitized by Google

Ἔσονται δὲ πάντες διδακτοὶ Θεοῦ, τὸ Πνεῦμα τοῦ Θεοῦ ἔχοντες, διδάσκον αὐτοὺς πάντα, καὶ τὸν Χριστὸν κατοικοῦντα ἐν ταῖς καρδίαις αὐτῶν. Δίδωσι δὲ αὐτοῖς καὶ τὰ κτήματα αὐτων, τὴν υἱοθεσίαν, τὴν χάριν, τὴν δόξαν, τὸ συμβασιλεῦσαι (68) αὐτῷ τῷ Χριστῷ. Τί δέ ἐστι τὸ, Ἐκεῖθεν; Τουτέστιν, ἀπὸ τοῦ λαλῆσαι ἐπὶ τὴν καρδίαν αὐτῶν· ἐκ τούτου γὰρ πεπλουτήκαμεν τὰ τοιαῦτα κτήματα. Καὶ παντὸς δὲ τοῦ εἰς Χριστὸν βαπτισθέντος κτήματα ἡ ἄφεσις τῶν ἁμαρτιῶν, καὶ αἱ ἄνω μοναὶ, ἃς κατακτᾶταί τις αὐτῷ, ἑκάστην διὰ τῆς πρὸς αὐτὴν φερούσης ὁδοῦ· (69) ὥσπερ γὰρ πολλαὶ καὶ διάφοροι μοναὶ, οὕτω καὶ ὁδοί. Ταῦτα δὲ τὰ κτήματα ὁ ἁμαρτάνων ἀποκτᾶται, καὶ στερεῖται αὐτῶν, ἐν ὅσῳ σιγᾷ ἐν αὐτῷ ὁ θεῖος λόγος. Ὅταν μέντοι ἀψάμενος τῆς καρδίας αὐτοῦ, λαλήσῃ ἐν αὐτῇ, τότε δίδοται αὐτῷ τὰ κτήματα ταῦτα ἐκεῖθεν, τουτέστιν ἐκ τῆς καρδίας· ἡ γὰρ βασιλεία τῶν οὐρανῶν ἐντὸς ἡμῶν ἐστι, καὶ ἡ καρδία ἡμῶν ἢ ἀφαιρεῖται ταῦτα ἀφ' ἡμῶν, ἢ ἀποδίδωσι (70).

A Dei : Spiritum nempe Dei habentes, docentem eos omnia, Christumque habitantem in cordibus ipsorum. Impertit autem eis facultates seu bona ipsorum, filiorum adoptionem, gratiam et gloriam, utque una cum Christo regnent. Quid vero sibi vult, quod ait, *Inde?* Hoc est, ab eo quod loquitur in cor ipsorum. Inde enim talibus tantisque bonis ditati sumus. Porro cujuslibet in Christum baptizati facultates sunt, ipsa peccatorum remissio, supernæque in cœlis mansiones quas sibi quispiam obtinet et acquirit, qualibet via per hanc ad illam ducente. Quocunque enim statu fuerit homo, quodcunque iter vitæ ingrediatur, si servari cupiat, necessum est, quod per viam baptismatis et dimissionis noxæ, ad illud iter tandem perve- B niat, ad cœlestes habitationes ducens. Jam ut variæ sunt illæ mansiones, sic diversæ ad eas viæ: quæ tamen omnes per unum Christum eo tendunt. Hujusmodi bonis qui peccat orbatur, privaturque, quando verbum Dei in eo conticuerit. At quando contacto corde ejus, ad id loquetur, tum has illi facultates largitur inde, id est ex corde. Regnum namque cœlorum intra nos est [71], adeoque cor nostrum. Proinde vel aufert hæc a nobis bona Deus, vel donat nobis.

Καὶ τὴν κοιλάδα Ἀχὼρ, διανοῖξαι σύνεσιν αὐτῆς. Ἰησοῦς ὁ τοῦ Ναυῆ, πολεμῶν τὴν Ἰεριχῶ, ἐκήρυξε, μηδένα τῶν στρατιωτῶν ἐξ αὐτῆς ἁλούσης λάφυρον κτήσασθαι, ὡς ἀναθεματισθείσης, τουτέστι τῷ Θεῷ ἀνατεθείσης, τῷ δὲ κτησαμένῳ, θάνατον εἶναι τὴν ζημίαν, ὡς Ἱεροσύλῳ. Τὸν τοίνυν Ἀχὼρ, κεκλοφότα ἐκ τῶν λαφύρων, καὶ φωραθέντα, ἐλιθοβόλησε πᾶς ὁ λαὸς, προστάξαντος Ἰησοῦ, ἐν τῇ φάραγγι, ἥτις ἐκ τούτου ἐπεκλήθη κοιλὰς Ἀχὼρ, ὅ ἐστιν Ἄχαρ. Φησὶν οὖν ἐνταῦθα, ὅτι Τὴν κοιλάδα Ἀχὼρ δώσω αὐτοῖς· ἀπὸ κοινοῦ γὰρ τὸ, Δώσω· ὥστε ἐννοηθέντας τί πέπονθεν ὁ Ἀχὼρ ἐν ταύτῃ, λαβεῖν καὶ αὐτοὺς σύνεσιν, διανοιχθείσης αὐτοῖς τῆς διανοίας πρὸς τὸ μὴ παρανομεῖν, μηδὲ προσκρούειν τοῖς προστάγμασι τοῦ Θεοῦ. Καὶ ἄλλως· Ἐπεὶ διὰ μὲν τὴν τοῦ Ἀχὼρ κλοπὴν ἡττᾶτο ὁ λαὸς, μετὰ δὲ τὴν ἐκείνου τελευτὴν, κλαίοντες καὶ ὀλοφυρόμενοι, τὸν Θεὸν ἱλεώσαντο, φησὶ καὶ ἐνταῦθα, ὅτι καθάπερ οἱ παλαιοὶ ἐκεῖνοι διὰ τῆς τοῦ Ἀχὼρ τιμωρίας ἔμαθον, ὅσον κακὸν ἡ παρανομία, οὕτω καὶ οὗτοι διὰ τῆς αἰχμαλωσίας αἴσθησιν λήψονται τῶν οἰκείων πλημμελημάτων. Ἀλλὰ καὶ ὁ Κύριος Ἰησοῦς τοὺς ἀπειθήσαντας ταῖς αὐτοῦ ἐντολαῖς, καὶ τὰ λάφυρα τοῦ κόσμου τούτου οἰκεῖα ποιουμένους, καὶ μὴ ἀποδιδόντας τὰ Καίσαρος τῷ Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ, ἐν τῇ φάραγγι ἀπόλλυσιν. Φάραγξ δὲ καὶ κοιλὰς ἡ ἁμαρτία· κοιλὰς μὲν, ὡς ταπεινοποιός· φάραγξ δὲ, ὡς διιστῶσα ἡμᾶς ἀπὸ τοῦ Θεοῦ· (71) καὶ Ἀχὼρ δὲ, διαστροφή· ἐπεὶ καὶ οὕτως ἑρμηνεύεται.

Et vallem Achor, ut aperiat intellectum suum. Jesu filius Nave bellum faciens adversus Jericho, per præconem edixit, ne quisquam militum quidquam obtineret ex capta urbe spolii, ut quæ devota et exsecrata esset: ei vero qui aliquid retinuisset, mortem pœnam esse, tanquam sacrilego. Achor itaque ex spoliis sufluratum aliquid ac deprehen- C sum, lapidibus obruit universus populus, imperante Jesu in valle, quæ **28** propterea cognominata est vallis Achor. Dicit igitur hic: Vallem Achor dabo eis. *Dabo* enim hic repetendum est, ut simulac intellexerint quod isthic Achor perpessus sit, et ipsi intellectum accipiant, aperta ipsis mente, ne amplius transgrediantur, vel renitantur mandatis Dei, præsertim cum, propter furtum Achor populus vinceretur. Post illius ergo mortem plorantes ac lugentes Deum sibi reconciliarunt. Proinde hic est prophetæ sensus : Quemadmodum veteres illi propter ipsius Achor supplicium didicerunt, quantum malum esset transgressio: consimiliter et illi captivitatis nomine, sensum propriorum delictorum capient. Sic et Dominus Jesus, D non morem gerentes mandatis suis, ac spolia hujus mundi ad sese pertrahentes, nec reddentes quæ sunt Cæsaris Cæsari, quæ Dei Deo [72], in valle perdidit. Est autem depressus locus sive vallis, ipsum peccatum : vallis quidem ceu humiles faciens et ad infera præcipitans: declivis autem locus vel imus, eo quod nos a Deo dissociet. Achor

[71] Luc. xvii, 21. [72] Matth. xxii, 21.

Bonifacii Finetti notæ.

(68) Βασιλεῦσαι, *regnare*. Cod. Ven.

(69) Plura legisse videtur in suo Cod. Lonicerus.

(70) Græca verba ita sonant, *Et cor nostrum aut auferri hæc a nobis, aut attribuit.*

(71) Cod. Ven. addit, καὶ χάσμα μέγα γινομένη μεταξὺ ἡμῶν καὶ αὐτοῦ· νέει δέ μοι καὶ κοιλὰδα τὴν συγκατάβασιν, Ἀχὼρ δὲ διαστροφήν. *Et hiatus magnus factus inter nos, et ipsum. Fac item intel - quas vallem descensum, Achor autem perversionem.*

Digitized by Google

vero perversio est : tantum enim, si interpreteris, valet. Christus itaque Hebræis per interrogationem ipsum tentantibus, ad eos una ceu in vallem descendebat, eosque sustinebat, interrogationes ipsorum difficiliuribus solutu quæstionibus pervertens : non ut eos suspensos teneret, verum ut intellectum ipsorum aperiret, et ad veritatis agnitionem perduceret. Quare cum sic eum interrogassent, *Qualinam potestate facis hæc omnia* [73] ? ex ipsis itidem percontatus est : *Baptisma Joannis ex cœlo erat, vel ex hominibus* [74] ? Perversio peccatum est, a naturali nos rectitudine subvertens. Nam Deus hominem rectum fecit, ipse vero quæsivit cogitationes conditionesque et obliquas et multas. Quando igitur peccatum in nobis vallem habuerit, vel humiliationem vel dejectionem, sive quando peccatum, verbo Dei tangente conscientiam nostram, depressum fuerit, aperit nobis cum intellectum tum divinarum rerum cognitionem. Dum enim penitus perdideris peccatores, in te cogitationes videbis, hoc est, divina cernes.

A Ὁ γοῦν Χριστὸς τοῖς Ἑβραίοις πειράζουσιν αὐτὸν ἐν ἐρωτήσει, ἠνείχετο αὐτῶν (72), διέστρεφε δὲ τὰς ἐρωτήσεις αὐτοῖς, ἀντερωτῶν δυσλυτότερα, οὐχ ἵνα ἀπορήσῃ αὐτοὺς, ἀλλ' ἵνα διανοίξῃ αὐτῶν τὴν σύνεσιν, καὶ ἐμβιβάσῃ εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν. Οὕτως ἐρωτηθέντων αὐτὸν, *Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς ; ἀντηρώτησε· Τὸ βάπτισμα Ἰωάννου, ἐξ οὐρανοῦ ἦν ἢ ἐξ ἀνθρώπων ;* Διαστροφὴ δέ ἐστιν ἡ ἁμαρτία, ἀπὸ τῆς φυσικῆς εὐθύτητος ἡμᾶς διαστρέφουσα. Ὁ γὰρ Θεὸς ἐποίησε τὸν ἄνθρωπον εὐθῆ, καὶ αὐτὸς ἐζήτησε (73) λογισμοὺς πολλούς. Ὅταν τοίνυν ἡ ἐν ἡμῖν ἁμαρτία κοιλάδα σχῇ, ἤτοι ταπείνωσιν καὶ κατάπτωσιν, διανοίγει ἡμῖν τὴν σύνεσιν, καὶ ἐπίγνωσιν τῶν θείων. Ἐν τῷ ἐξολοθρεύεσθαι γὰρ, φησὶ, τοὺς ἁμαρτωλοὺς ἐν σοὶ B λογισμοὺς, τότε ὄψει, ὅ ἐστι, θεωρήσεις, τὰ θεῖα.

Humiliabitur illic, juxta dies infantiæ suæ juxtaque dies ascensus sui ex Ægypti terra. Quemadmodum, inquit, inservierunt Ægyptiis, postque egressum ex Ægypto, ascendentes ad Palæstinam in deserto afflicti sunt, sic illic, hoc est apud Assyrios servientes humiliabuntur. Infantiam enim demorationem in Ægypto vocat, quod isthic populus multiplicari augerique primum cœperit, quodque nondum lex illa sancita esset, sed liber esset. Legibus enim sancitis gubernari, virorum est. Atqui beneficium est arroganti Hebræorum Synagogæ humiliari, Christoque subdi : perinde ac C primum Mosi obtemperarunt, evocanti illos e terra Ægypti, ad libertatem. **29** Deinde post egressum rursum ascendentes obedierunt legem ferenti, Omnia, inquientes, faciemus, quæcunque locutus est Deus, et morem geremus [75]. Ut vero ascendentes ex Ægypto, per mare transierunt, eoque tandem pacto hæreditatem adierunt terræ : eamdem ad rationem hodieque ex ipsis credentes Christo, per baptisma in mortem ejus transeundo, cœlorum regnum hæreditario accipiunt. Humilietur etiam quisquis jam renatus ex aqua et Spiritu, in Christo infans est, nec elevetur super dono remissionis peccatorum, at dicat : Gratia sumus servati, non ex operibus justitiæ nostræ, quæ fecimus [76]. Quod si ascenderit ex terra Ægypti, eoque usque perrexerit, in operatione virtutum laborans, ac pervenerit illo, ut dicere possit, *Abundantius ipsis omnibus laboravi* [77] : adjiciat ille : *At non ego, sed gratia Dei.*

Καὶ ταπεινωθήσεται ἐκεῖ κατὰ τὰς ἡμέρας νηπιότητος αὐτῆς, καὶ κατὰ τὰς ἡμέρας ἀναβάσεως αὐτῆς ἐκ γῆς Αἰγύπτου. Ὃν τρόπον, φησὶν, ἐδούλευσαν Αἰγυπτίοις, καὶ μετὰ τὸ ἐξελθεῖν ἐξ Αἰγύπτου ἀναβαίνοντες πρὸς Παλαιστίνην ἐν τῇ ἐρήμῳ ἐκακοπάθησαν· οὕτως ἐκεῖ, τουτέστιν ἐν Ἀσσυρίοις δουλεύοντες, ταπεινωθήσονται. Νηπιότητα γὰρ τὴν ἐν Αἰγύπτῳ διαγωγὴν καλεῖ, διά τε τὸ ἐκεῖ ἄρξασθαι τὸν λαὸν τῆς αὐξήσεως, καὶ διὰ τὸ μήπω νομοθετηθῆναι, ἀλλ' ἄνετον εἶναι· τὸ γὰρ νομοθετεῖσθαι, ἤδη ἀνδρῶν. Εὐεργεσία δὲ τῇ ἀλαζόνι τῶν Ἑβραίων Συναγωγῇ τὸ ταπεινωθῆναι, καὶ ὑποταγῆναι Χριστῷ· ὥσπερ καὶ ἐν ἀρχαῖς τῷ Μωσεῖ ὑπήκουσε, καλοῦντι αὐτοὺς ἐπὶ τὴν ἐκ τῆς Αἰγύπτου ἐλευθερίαν· καὶ μετὰ τὸ ἐξελθεῖν πάλιν ἀναβαίνοντες, ὑπήκουσαν νομοθετοῦντι, εἰπόντες· Πάντα, ὅσα εἶπεν ὁ Θεὸς, ποιήσομεν, καὶ ἀκουσόμεθα. Ὥσπερ δὲ ἀναβαίνοντες ἐκ τῆς Αἰγύπτου, διὰ τῆς θαλάσσης διέβησαν, καὶ οὕτω κατεκληρονόμησαν τὴν γῆν· τὸν αὐτὸν τρόπον καὶ οἱ νῦν πιστεύοντες ἐξ αὐτῶν τῷ Χριστῷ, διὰ τοῦ εἰς τὸν θάνατον τοῦ βαπτίσματος (74) διαβῆναι (75), τὸν οὐρανὸν κληρονομοῦσι. Ταπεινούσθω καὶ ὅστις ἄρτι γεννηθεὶς ἐξ ὕδατος καὶ Πνεύματος, ἐν Χριστῷ νήπιός ἐστι, καὶ μὴ ἐπαιρέσθω ἐπὶ τῷ δώρῳ τῆς τῶν ἁμαρτιῶν ἀφέσεως, ἀλλὰ λεγέτω· *Χάριτί ἐσμεν σεσωσμένοι*, καὶ οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν. Κἂν ἀναβαίνῃ δὲ ἐκ γῆς Αἰγύπτου, καὶ προκόπτῃ ἐν τῇ ἐργασίᾳ τῶν ἀρετῶν κοπιῶν, καὶ φθάσῃ εἰς τὸ δύνασθαι λέγειν, *Περισσότερον αὐτῶν πάντων ἐκοπίασα, προστιθέτω· Οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις.*

D

Vers. 16, 17. *Accidet etiam in die illa, dicit Dominus, vocabit me Vir meus, et nequaquam appel-*

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος, καλέσει με Ὁ ἀνήρ μου, καὶ οὐ καλέσει με Οὐκ-

[73] Luc. xx, 2. [74] Marc. xi, 30. [75] Exod. xxiv, 3. [76] Tit. iii, 5. [77] I Cor. xv, 10.

Variæ lectiones et notæ.

(72) Ἐρωτήσεσι συγκατέβαινε, *interrogationibus occurrit*. Cod. Ven.

(73) Καὶ αὐτοὶ ἐζήτησαν, *et ipsi quæsierunt*. Cod. Ven.

(74) Τοῦ Χριστοῦ βαπτίσματος, *per Christi baptisma*. Cod. Ven.

(75) Διαβάντες, *transeuntes*. Cod. Ven.

Digitized by Google

ετι Βααλειμ, καὶ ἐξαρῶ τὰ ὀνόματα τῶν Βααλειμ ἐκ τοῦ στόματος αὐτῆς, καὶ οὐ μὴ μνησθῶσιν οὐκέτι τῶν ὀνομάτων αὐτῶν. Οὐκέτι, φησὶ, τὴν ὀνομασίαν τὴν ἐμὴν, ἤτοι τὸ, Θεὸς, ἐπιθήσουσι τοῖς εἰδώλοις, οὐδὲ τὸν Θεὸν ἐροῦσιν εἶναι Βάαλ « ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, » τουτέστιν ἐν τῇ τῆς κακώσεως καὶ αἰχμαλωσίας, ἀλλ' ἐμὲ ἐπιγνώσονται Θεὸν, καὶ νυμφίον, πάλαι ἁρμοσθέντα αὐτοῖς· καὶ τοῦ λοιποῦ, οὐδὲ ὀνόματος τῶν Βααλειμ, φημὶ δὴ, τῶν εἰδώλων τοῦ Βάαλ, μνησθήσονται. Εἰπὼν δὲ, ὅτι *Ἐξαρῶ τὰ ὀνόματα τῶν Βααλειμ*, δείκνυσιν, ὅτι αὐτοῦ ἦν ἔργον τοῦτο. Πῶς δὲ ἐξῆρε ταῦτα; Διὰ τοῦ ἐμβαλεῖν αὐτοὺς εἰς κακώσεις καὶ θλίψεις. Καὶ ὅτε δὲ ἔλαμψεν ὁ Ἥλιος τῆς δικαιοσύνης Χριστὸς, καὶ ἐποίησεν ἡμέραν τῆς ἐν γῇ παρουσίας αὐτοῦ, δηλαδὴ καιρὸν, πᾶσα εἰδωλολατρεία (76) ἐξήρθη καὶ ἀπὸ τῶν Ἰουδαίων, καὶ ἀπὸ τῶν ἐθνῶν, καὶ ἡ τοῦ ἀληθινοῦ Θεοῦ γνῶσις πᾶσιν ἐμπολιτεύεται. Ἀλλὰ καὶ ἐν τοῖς (77) μετανοοῦσιν, ὅτε τὸ φῶς τοῦ Λόγου λάμψαν ἡμέραν ποιήσει, πάντα τὰ εἴδωλα, καὶ αἱ ἐμπαθεῖς φαντασίαι τῶν ἁμαρτημάτων ἐξαίρονται, καὶ οὐκέτι οὔτε ἡ κοιλία θεοποιεῖται, οὔτε ἡ πλεονεξία, ἥτις ἐστὶν εἰδωλολατρεία, σὺν τοῖς ἄλλοις παθήμασι καὶ ταῖς ἐπιθυμίαις χώραν ἔχει ἐκεῖ (78).

Καὶ διαθήσομαι αὐτοῖς διαθήκην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, μετὰ τῶν θηρίων τοῦ ἀγροῦ, καὶ μετὰ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν ἑρπετῶν τῆς γῆς. Ἢ τοῦτο λέγει, ὅτι Ὥσπερ ὅταν ὠργιζόμην αὐτοῖς, παρέδωκα τοὺς καρποὺς τῆς γῆς τοῖς θηρίοις, καὶ τοῖς πετεινοῖς καὶ τοῖς ἑρπετοῖς, οὕτω καταλλαγέντος μου αὐτοῖς, οἱονεὶ σπεισάμενος πρὸς αὐτοὺς, κἀκεῖνα παύσονται τοῦ κατεσθίειν τοὺς καρποὺς· ἢ θηρία καὶ ἑρπετὰ τοὺς ἐπιτιθέντας [-τεθ.?] πρότερον αὐτοῖς ἐχθροὺς λέγων φησὶν, ὅτι Παρασκευάσω αὐτοὺς εἰρήνην θέσθαι πρὸς τοὺς Ἰσραηλίτας, καὶ ἡμερώτατα αὐτοῖς χρήσασθαι. Διὸ καὶ ἐπάγει·

Καὶ τόξον, καὶ ῥομφαίαν, καὶ πόλεμον συντρίψω ἐπὶ τῆς γῆς. Τουτέστι, τῆς Ἰουδαίας· ἢ καὶ τὰ ὕστερον ἐπὶ πάσης τῆς γῆς γεγονότα μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν ὁ λόγος προμηνύει. Καὶ αἰσθητῶς ὑπὸ μίαν ἀρχὴν, τὴν τῶν Ῥωμαίων, πάντων γενομένων, οἱ πολλοὶ πόλεμοι ἐπαύσαντο. Ἀλλὰ καὶ μετὰ τῶν ἐθνικῶν διέθετο ὁ Θεὸς τὴν διαθήκην τῇ τῶν Ἑβραίων Συναγωγῇ (79), μίαν αὐτοὺς ποίμνην τελέσας, καὶ ποιήσας ἀμφότερα ἕν, καὶ λίθος ἀκρογωνιαῖος γενόμενος, ἵνα τοὺς δύο κτίσῃ εἰς ἕνα καινὸν ἄνθρωπον, καὶ διὰ τοῦ εὐαγγελικοῦ νόμου τὴν εἰρήνην εἰσηγησάμενος, καὶ πείσας πάντων καταφρονεῖν, καὶ αὐτοῦ τοῦ σώματος, δι' ἃ οἱ πόλεμοι. Ὁ γὰρ εἰπὼν, Ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει, καὶ τὰ τοιουτότροπα, εἰρήνην ἔχειν ἡμᾶς ἠβούλετο, ἣν καὶ ἀφῆκεν ἡμῖν. Ταύτης τῆς εἰρήνης ἀπολαύει καὶ ὁ ὑποτάξας τῷ λόγῳ τὰ πάθη. Πότε

labit me porro Baalim, auferamque nomina Baalim ex ore suo, nec mentionem ultra facient ejusmodi nominum. Non amplius, inquit, nomen meum, vel vocem illam, *Deus*, idolis suis apponent, neque Deum dicent esse Baal, in die illa, hoc est, in tempore afflictionis, adeoque captivitatis, sed enim me agnoscent Deum, et sponsum suum, jam olim ipsis aptatum, ac in posterum ne nominis quidem Baalim per idola Baal meminerint. Ad hæc cum ait, *Eruam nomina Baalim*, indicat quod hoc opus suum fuerit. Quomodo vero ea exemit abstulitve? Nimirum dum injecit eos in calamitates ac tribulationes. Et cum Sol justitiæ Christus effulsit fecitque diem, tempus videlicet adventus sui, universa idololatria sublata est cum a Judæis tum a gentibus, verique Dei cognitio omnibus communicatur. Præterea in pœnitentibus, animive sententiam in melius permutantibus, quando lumen Verbi Dei refulgens diem fecerit, omnes imagines, simulacra, affligentes ipsæ peccatorum visiones, vel spectra sane auferuntur, nec ulterius venter deus fit, neque avaritia, quæ est idolorum cultus, una cum aliis affectibus pravis et cupiditatibus locum isthic retinent.

Vers. 18 *Et feriam ipsis fœdus in die illa cum bestiis agri, cumque volucribus cœli, et reptilibus terræ.* Vel hoc dicit, quod Sicuti cum indignarer ipsis, tradidi fructus terræ bestiis et volucribus et reptilibus, ita reconciliatis mihi ipsis, desistent feræ istæ, tanquam et ipsæ persuasæ, ut parcant absumere fruges; vel bestias et reptilia, excitatos insurgentesque adversum ipsos hostes intelligens, ait: Efficiam ut ipsi pacis fœdera sanciant cum Israelitis, ipsisque familiarissime **30** et amicissime utantur. Eam ob rem subdit:

Arcum etiam et rhomphæam, et bellum conteram super terram. Vel in Judæa, vel super universam terram gestum. Pacem enim post Christi adventum in terra factam, hic sermo prænuntiat. Atqui revera, cunctis fere mortalibus sub unum Romanorum imperium redactis, plerique motus quieverunt. Præterea cum gentibus et Hebræorum Synagoga Deus fœdus pepigit, uno ex ipsis ovili facto, ac utrisque in unum coadunatis. Siquidem lapis angularis factus est, ut duos conderet extrueretve in unum novum hominem, et per evangelicam legem inducta pace, et omnibus persuasis per ipsum, ut vel res corporis ipsius posthabeant, quæ propter bella non pauca oriuntur. Qui enim dixit, Ab auferente tibi rem tuam, ne repete, idque genus talia, pacem habere nos voluit, quam et nobis reliquit. Hac pace fruitur, qui affectus sues

Variæ lectiones et notæ.

(76) Πᾶς εἰδωλολάτρης, *omnis idololatra*. Cod. Ven.

(77) Καὶ αὐτοῖς, *et ipsis*. Cod. Bav.

(78) Ἔξει ἔτι, *habebit amplius*. Cod. Ven.

(79) Τὴν τῶν Ἑβραίων Συναγωγήν, *Hebræorum Synagogam*. Cod. Bav.

Digitized by Google

pravos verbo Dei subliderit. At quando hoc fit? Cum interimens quispiam membra super terram testamentum fecerit. Testamentum autem in mortuis firmum est.

Ὅτε δὲ τοῦτο γίνεται; Ὅτε (80) τις νεκρώσας τὰ μέλη, τὰ ἐπὶ τῆς γῆς, διαθήκην διατίθεται· διαθήκη δὲ ἐπὶ νεκροῖς βεβαία.

Et habitare te faciam in spe. Non solum ab duritie captivitatis te transferam, verumetiam in patriam te collocabo, ac bonas tibi spes suggeram, persuadens tibi, ut cum de præsentibus tum de futuris bene speres. Hæc ad Ecclesiam quoque ex gentibus et Judæis collectam dici puta, quam et nunc in domum suam transtulit, ut illic commoretur, donans illi scelerum remissionem, simul sperare dedit cœlestia bona, cui et insequentia pulchre conveniunt, quæ audi.

Καὶ κατοικιῶ σε ἐπ' ἐλπίδι. Οὐ μόνον ἀπὸ τῶν δυσχερῶν τῆς αἰχμαλωσίας ἐλευθερώσω σε, ἀλλὰ καὶ ἐν τῇ πατρίδι σε κατοικιῶ, καὶ ἐλπίδας ἀγαθὰς ἐνθήσω σοι, ἀπὸ τῶν παρόντων πείθων ἐλπίζειν καὶ περὶ τῶν μελλόντων. Ταῦτα δὲ ἦδη καὶ πρὸς τὴν ἐξ Ἰουδαίων καὶ ἐθνῶν Ἐκκλησίαν λέγεσθαι νόμιζε, ἣν καὶ νῦν κατῴκισεν ἐν τῷ οἴκῳ αὐτοῦ, ἄφεσιν ἁμαρτιῶν χαρισάμενος, δέδωκε δὲ ἐλπίζειν καὶ τὰ ἐν οὐρανῷ ἀγαθά· ταύτῃ δὲ ἁρμόζει καὶ τὰ ἑπαγόμενα, καὶ ἄκουε·

Vers. 19. *Ac desponsabo te mihi ipsi in æternum.* Quid est *Mihi ipsi?* Vel, Quoniam non per angelum neque magnum natu aliquem, sed per se ipse Dominus nos servarit. Patribus enim locutus est Dominus per prophetas, nobis autem per Filium [78]. Vel quia veterem illam Synagogam Moysi desponderit, unde et ad ipsum : Populus, inquit, tuus inique egit [79]. Credentem autem incarnato Filii adventui, Ecclesiam sibi ipse despondit, quemadmodum et Paulus testatur: *Dico autem in Christo et in Ecclesia* [80]. Nec in æternum sibi Synagogam desponderat, nam temporaria erat legis servitus: nunc vero sibi in æterna sæcula despondet credentes. Ad animam pœnitentia quidem purgatam dicere etiam queat sponsus ejus Verbum, Habitare te faciam in spe [81]; quando propter peccata ab Ecclesia, quæ est domus Dei viventis, illam segregans, rursus eam conversam recipit, inque ea denuo commoratur, nec eam repellit ob impuram ejus priorem vitam atque superbiam: tum et melioribus eam spebus imbuit, quod cœlesti etiam sede recipienda sit, quando Sponsus jam ipsi quoque æternus obtingit, per verbum quod ait: Quæcunque ligaveris super terram, erunt ligata in cœlis: et quæcunque solveris super terram, erunt soluta pariter in cœlo [82].

Καὶ μνηστεύσομαί σε ἐμαυτῷ εἰς τὸν αἰῶνα. Τί ἐστι τὸ, *Ἐμαυτῷ*; Ἢ, ὅτι Δι' ἐμαυτοῦ· οὐκ ἄγγελος γάρ, οὐ πρέσβυς, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς· τοῖς μὲν γὰρ πατράσιν ἐλάλησεν ἐν προφήταις, ἡμῖν δὲ ἐν Υἱῷ. Ἢ ὅτι τὴν μὲν παλαιὰν ἐκείνην Συναγωγὴν τῷ Μωσεῖ ἐμνηστεύσατο, διὸ καὶ πρὸς αὐτὸν ἔλεγεν· Ἠνόμησεν ὁ λαός σου· τὴν δὲ πιστεύσασαν τῇ ἐνσάρκῳ τοῦ Υἱοῦ (81) παρουσίᾳ ἑαυτῷ ἐμνηστεύσατο, ὡς καὶ Παῦλος μαρτυρεῖ· *Ἐγὼ δὲ λέγω εἰς Χριστὸν, καὶ εἰς τὴν Ἐκκλησίαν.* Ἀλλ' οὐδὲ εἰς τὸν αἰῶνα ἐμνηστεύσατο ἐκείνην τὴν Συναγωγήν· πρόσκαιρος γὰρ ἦν ἡ τοῦ νόμου λατρεία· νῦν δὲ εἰς τὸν αἰῶνα μνηστεύεται ἑαυτῷ τοὺς πιστεύοντας. Λέγοι δ' ἂν καὶ πρὸς τὴν ἐκ μετανοίας καθαιρομένην ψυχὴν ὁ νυμφίος αὐτῆς Λόγος, ὅτι *Κατοικιῶ σε ἐπ' ἐλπίδι*, ὅταν (82) διὰ τὰς ἁμαρτίας ἀφορίσας τῆς Ἐκκλησίας, ἥτις ἐστὶν οἶκος Θεοῦ ζῶντος, αὖθις ἐπιστρεφεῖσαν κατοικιεῖ αὐτὴν δεξάμενος, καὶ οὐκ ἀπώσηται κατὰ τὴν τοῦ Ναυάτου ἀκάθαρτον ὑψηλοφροσύνην (83). Τηνικαῦτα δίδωσιν αὐτῇ καὶ τὰς κρείττους ἐλπίδας, ὅτι καὶ ἐν τῇ οὐρανίῳ οἰκίᾳ δέξεται, ὅτε καὶ ὁ νυμφίος αἰώνιος αὐτῇ γίνεται. Ὅσα γάρ, φησὶ, δήσεις ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς, καὶ ὅσα λύσεις ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ.

Desponsabo etiam te mihi ipsi in justitia et judicio, et in misericordia et miserationibus. In justitia quidem, quod proinde atque per hominem mors, sic et per hominem resurrectio mortuorum [83]: homo enim factus ipse, resurrectionem auspicatus est; in judicio vero, quod condemnaverit principem mundi hujus. Cum enim in Christo non invenisset princeps iste peccatum, occidit eum Christus, hoc est, potentia spoliavit. Misericordiam vero et miserationes erga omnes homines commonstravit, quos non e suis operibus servavit, verum per suam ipsius misericordiam, per lavacrum regenerationis et innovationis Spiritus sancti [84].

Καὶ μνηστεύσομαί σε ἐμαυτῷ ἐν δικαιοσύνῃ, καὶ κρίματι, καὶ ἐν ἐλέει, καὶ οἰκτιρμοῖς. — *Ἐν δικαιοσύνῃ* μὲν, καθὸ ὥσπερ δι' ἀνθρώπου ὁ θάνατος, οὕτως καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν· ἄνθρωπος γὰρ γενόμενος αὐτὸς, τῆς ἀναστάσεως κατῆρξεν· *ἐν κρίματι* δὲ, καθὸ κατέκρινε τὸν ἄρχοντα τοῦ κόσμου, διότι μὴ εὑρὼν ἐν αὐτῷ ἁμαρτίαν, ἐθανάτωσεν. Ἔλεον δὲ, καὶ οἰκτιρμοὺς ἐπεδείξατο εἰς πάντας, οὓς οὐκ ἐξ ἔργων ἔσωσεν, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου.

[78] Hebr. i, 1, 2. [79] Baruch. ii, 12. [80] Ephes. v, 32. [81] Psal. iv, 10; Jerem. xxxii, 37. [82] Matth. xvi, 19. [83] 1 Cor. xv, 21. [84] Tit. iii, 5.

Variæ lectiones et notæ.

(80) Τότε δὲ τοῦτο γίνεται, ὅτε. *tum autem hoc fit, cum*, etc. Cod. Bav.

(81) Χριστοῦ, *Christi*. Cod. Bav.

(82) Ὅταν γάρ, *cum enim*. Cod. Ven.

(83) Κατὰ τὴν τοῦ Ναυάτου ἀκάθαρτον ὑψηλοφροσύνην, *secundum Novati impuram arrogantiam*. Hæc exhibet uterque codex, cum Venetus, tum Bavaricus.

Digitized by Google

Καὶ μνηστεύσομαί σε ἐμαυτῷ ἐν πίστει, καὶ ἐπιγνώσῃ τὸν Κύριον. Ἐπειδὴ ἔδει καὶ ἡμᾶς τοὺς ἐλεηθέντας μὴ πάντη ἀργοὺς καὶ ἀσυντελεῖς εἶναι, ἀλλά τι καὶ αὐτοὺς συνεισφέρειν, φησὶν, ὅτι *Μνηστεύσομαί σε ἐν πίστει* πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ. Ἐκ δὲ τῆς πίστεως ἡ ἐπίγνωσις τοῦ Θεοῦ. Ἐὰν γὰρ μὴ πιστεύσητε, φησὶν, οὐδ' οὐ μὴ συνῆτε. Ὅρα δὲ, ὅτι οὐκ ἐν θυσίαις, οὐδὲ ἐν τῇ νομικῇ λατρείᾳ, ἀλλὰ ἐν τῇ πίστει μνηστεύεται Κύριος, οὓς μνηστεύεται· καὶ παυσάσθωσαν οἱ ἐπὶ τῷ νόμῳ μεγαλαυχοῦντες.

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος, ἐπακούσομαι τῷ οὐρανῷ, καὶ οὐρανὸς ἐπακούσεται τῇ γῇ, καὶ ἡ γῆ ἐπακούσεται τὸν σῖτον, καὶ τὸν οἶνον, καὶ τὸ ἔλεον, καὶ ταῦτα ἐπακούσεται τῷ Ἰεζραήλ. Μετὰ τὴν περὶ τῶν οὐρανίων ἀγαθῶν πρόῤῥησιν, καὶ τὰς σωματικὰς αὐτοῖς δωρεὰς ὑπισχνεῖται. Ἐπίγειοι γὰρ ὄντες καὶ χαμαίζηλοι, τούτοις μᾶλλον, ἢ ἐκείνοις προσήγοντο. Ὑπισχνεῖται τοίνυν, ὅτι *Ἐπακούσομαι τῷ οὐρανῷ*· τουτέστιν, Ἐπινεύσω τῷ οὐρανῷ, καὶ παραχωρήσω αὐτῷ, ὥστε ὗειν, ἔχοντι μὲν φύσιν τοῦτο ποιεῖν, διὰ δὲ τὴν ἐμὴν ὀργὴν συστελλομένῳ. Ὥσπερ γὰρ ἀδοξίαν ἔχων ὁ οὐρανὸς τῷ μὴ τὰ συνήθη ποιεῖν, οἷόν τινα ἱκετηρίαν προὐβάλλετο αὐτὸ τοῦτο. Ἐπακούσομαι τοίνυν αὐτῷ, καὶ λύσω τὴν ἀδοξίαν ταύτην. *Ὁ δὲ οὐρανὸς ἐπακούσεται τῇ γῇ*· ἀντὶ τοῦ, Τὴν ἐπιθυμίαν αὐτῆς πληρώσει, διψώσης καὶ χρῃζούσης ὑετοῦ, καὶ οἱονεὶ διὰ τῆς ξηρότητος βοώσης, ὅτι δεῖ λυθῆναι τὸν αὐχμόν. Ἡ δὲ γῆ σπονδὰς ποιήσεται πρὸς τοὺς καρποὺς, ** (85) καὶ ἀπολύσει τούτους δαψιλεῖς, καὶ οἱ καρποὶ, οἱ πρὶν ἀποκρυπτόμενοι, καὶ μὴ ἐμφανιζόμενοι τῷ Ἰεζραὲλ, τουτέστι τῷ ἐκ τῆς πόρνης γεννηθέντι υἱῷ, ἤτοι τῷ λαῷ πρὶν εἰδωλολατρήσαντι, ἐπακούσονται, καὶ ἐμφανισθήσονται ἀνακαλουμένῳ τούτους. Ὅτε μὲν οὖν ὁ ἀμπελὼν Κυρίου, ἤτοι ὁ Ἰσραηλιτικὸς λαὸς, ἐποίησεν ἀκάνθας, τότε ἐνετείλατο ὁ Κύριος ταῖς νεφέλαις, ταῖς ἀγγελικαῖς δυνάμεσι, καὶ τοῖς προφήταις, τοῦ μὴ βρέχειν ἐπ' αὐτούς, ὅθεν καὶ ἄλογοι, καὶ ἀνουθέτητοι κατελείποντο. Ὅτε δὲ περιεπλάκησαν τῇ ἀληθινῇ ἀμπέλῳ Χριστῷ, τότε καὶ ταῖς δι' ἀγγελικῶν ** δυνάμεων τῆς σοφίας καὶ γνώσεως ἐπιῤῥοαῖς, καὶ ταῖς τῶν προφητικῶν λογίων ἀρδείαις πιαίνει αὐτούς. Ἐκεῖνοι γὰρ ἔχουσιν ὄντως τοὺς προφήτας, καὶ ἀπολαύουσιν αὐτῶν, οἱ τῶν παρ' αὐτοῖς προφητευομένων δεχόμενοι. Καὶ ἔχουσιν οἱ πρώην ὄντες ἐν γῇ, καὶ τὰ γήϊνα φρονοῦντες, τὸν σῖτον καὶ τὸν οἶνον, τὴν τῶν μυστηρίων δηλαδὴ μετάληψιν καὶ τὸ ἔλαιον, ᾧ πρὸς τοὺς ἀγῶνας, καὶ τὴν πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας πάλην ἀλείφονται. Τότε δὲ ταῦτα λαμβάνουσιν, ὅτε Ἰεζραὲλ γένωνται, καὶ σπορὰ τοῦ Θεοῦ, υἱοὶ Θεοῦ τελεσθέντες, διὰ τῆς ἐν Πνεύματι

[88] Matth. xv. 10.

A VERS. 20. *Desponsaboque te mihi ipsi in fide, et agnosces Dominum.* Quoniam oportebat nos misericordia donatos, non segnes neque desides ac inutiles esse, sed aliquid etiam afferre, dicit : *Desponsabo te mihi in fide.* Accedentem enim ad Deum credere necessum est. Nam illic in fide est agnitio Dei : Nisi enim credideritis, inquit, nihil quidquam intelligetis [88]. Vide hic, quod non in sacrificiis, nec in legali cultu, sed fide desponsat Dominus, quos sibi desponsat; quare cessent etiamnum in lege valde gloriantes.

B VERS. 21, 22. *Eritque in die illa, dicit Dominus : Audiam cœlo, et cœlum audiet terra, et terra exaudiet frumentum et vinum et oleum, et hæc exaudient Jezraelem.* Post cœlestium prædictionem bonorum, corporalia etiam illis dona pollicetur : (84) Obaudiam, dicens, cœlo, id est, annuam cœlo, atque permittam ipsi, ut pluat. Quod etiamsi naturam habeat, ut isthuc faciat, per iram tamen meam prohibetur, contrahitur. Tanquam enim ignominia afficeretur cœlum, quod consueta non faciat, ideoque jam supplices ad Deum, ut facere illa possit, manus extendat, *Exaudiam*, inquit, *cœlum*, ac tollam ignominiam hanc. *Cœlum* vero *obaudiet terræ*, pro, implebit desiderium ipsius sitibundæ ac pluviæ indigentis, veluti ipsa clamet propter siccitatem sui, quod conveniat solvi squalorem suum ** (85). Terra vero placabitur, uberesque fructus proferet. Atque fructus ipsi, qui pridem occultabantur, neque sese patefaciebant Jezraeli [filio scilicet ex meretrice prognato, seu populo pridem idolis addicto] exaudient, qui ipsos invocabunt eisque se visendos præbebunt. Cum itaque vinea Domini, Israelis videlicet populus, spinas protulit, tum imperavit Dominus nubibus, angelicis nimirum potestatibus atque **32** prophetis, ut ne pluerent super ipsos; proindeque sine divinis eloquiis monitisque manserunt. Ubi autem veræ viti Christo adhærent, tum eos per angelicas potestates ** sapientiæ et cognitionis affluxibus ac propheticorum oraculorum irrigationibus ipsos impinguat. Illi namque vere prophetas habent ipsisque fruuntur, qui apud sese vaticinantes suscipiunt. Ad hæc, qui antea in terra egerunt ac terrena spirarunt, habent frumentum et vinum, mysteriorum videlicet acceptionem (86). Tum vero demum ista capiunt, quando Jezrael sunt et semen Dei, filii Dei facti, per regenerationem baptismatis in Spiritu. Anima etiam usque dum peccat, nulla cœlestis super eam cogitatio cadit, sed enim terra facta, et quasi in carnem mutata, arida est. Quando vero desponsata fuerit Verbo, tum supernos affluxus recipit atque cœlestia fluenta, ac producit frumentum, solidam

C

D

Variæ lectiones et notæ.

(84) *Cum enim humi reperent, terrenaque consectarentur, hisce potius, quam illis alliciebantur.* Hæc ex cod Ven.

(85) Quæ duobus his asteriscis continentur, restituimus ex cod. Ven. et Bav., quæ quidem in Loniceri interpretatione desiderantur.

(86) *Et oleum, quo ad certamina subeunda, sustinendamque luctam cum principatibus potestatibusque unguntur.* Hæc ex cod. Ven. et Bav.

Digitized by Google

nempe alimoniam et vivificantem, ac vinum, divinam nimirum lætitiam, et oleum, hilaritatem dico et mansuetudinem, ac erga infirmos tolerantiam patientiamve, animadvertens Paulum dicentem : Si quis præoccupatus fuerit in peccato, vos spiritales corrigite hunc in spiritu mansuetudinis, infirmum autem in fide suscipite [86].

A γεννήσεως τοῦ βαπτίσματος. Καὶ ψυχὴ δέ, ἕως μὲν ἁμαρτάνει, οὐδὲν οὐράνιον ἐπ' αὐτῇ πίπτει νόημα, ἀλλὰ γῇ γενομένη, ἤτοι ἀποσαρκωθεῖσα σχεδόν, ξηρά ἐστιν· ἐπειδὰν δὲ νυμφευθῇ τῷ Λόγῳ, τότε τὰς ἄνωθεν ἐπιῤῥοὰς δέχεται, καὶ καρποτογονεῖ σῖτον, τὴν στερεὰν τροφὴν καὶ ζωοποιόν· καὶ οἶνον, τὴν θείαν εὐφροσύνην, καὶ ἔλαιον, τὴν ἱλαρότητα, καὶ πραότητα· καὶ πρὸς τοὺς ἀσθενεῖς συγκατάβασιν, κατακούουσα Παύλου, λέγοντος· Ἐάν τις προληφθῇ ἐν ἁμαρτήματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος· καὶ πάλιν, Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε.

Vers. 23, 24. *Et seminabo eam mihi ipsi super terram, et miserebor non consecutæ misericordiam : et dicam populo meo : Populus meus es tu : ipseque dicet, Dominus Deus meus es tu.* Hoc est, Ipsam demonstrabo esse meam agricultúram, unde justitiæ ac divinæ cognitionis ac scientiæ semina in ipsam dejiciam. Hæc autem typice tempore Zorobabelis contigerunt post reditum a captivitate, secundum veritatem autem post incarnationem Filii Dei. Tum enim qui crediderunt in ipsum, populus ejus vere appellati sunt ; ipse vero illorum Deus est dictus vere ac pure, ac veluti fecundam sibi ipsi seminavit terram Filius Dei, animas videlicet ad fidem accommodatas, quas et fructum proferentes jam cernens, quarum de numero animæ Samaritarum erant, dicebat discipulis : Attollite oculos vestros, et contemplamini regiones, quoniam flavescunt jam ad messem [87] ; et rursum alibi, *Messis quidem multa*, hoc est, ad fidem parati multi : *operarii autem pauci* [88], apostoli videlicet, ipsos ad docendum assumpturi, ac messem doctrina Evangelii collecturi. Nemo deinde, cui mammona et venter deus est, dicere potest vero Domino et Deo : Deus meus es tu.

Καὶ σπερῶ αὐτὴν ἐμαυτῷ ἐπὶ τῆς γῆς καὶ ἐλεήσω τὴν οὐκ ἠλεημένην, καὶ ἐρῶ τῷ λαῷ μου· Λαός μου εἶ σύ· καὶ αὐτὸς ἐρεῖ, Κύριος ὁ Θεός μου εἶ σύ. Τουτέστι, Γεώργιον αὐτὴν ἐμαυτοῦ ἀποφανῶ, καὶ τὰ τῆς δικαιοσύνης σπέρματα, καὶ τῆς θεογνωσίας ἐν αὐτῇ καταβαλῶ. Ταῦτα δὲ τυπικῶς μὲν ἐπὶ τοῦ B Ζοροβάβελ συνέβη, μετὰ τὴν ἐπάνοδον τὴν ἀπὸ Βαβυλῶνος· κατὰ ἀλήθειαν δὲ, μετὰ τὴν ἐνανθρώπησιν τοῦ Υἱοῦ. Τότε γὰρ οἱ πεπιστευκότες πρὸς αὐτὸν, λαὸς αὐτοῦ ἀληθῶς ἐχρημάτισαν, καὶ αὐτὸς ἐκείνων Θεὸς, ἀληθινῶς καὶ καθαρῶς, καὶ οἷόν τινα γῆν εὔκαρπον ἔσπειρεν ἑαυτῷ ὁ Υἱὸς τὰς ψυχὰς τῶν εἰς πίστιν ἐπιτηδείων, ἃς καὶ καρποφορούσας ἤδη ὁρῶν, ὥσπερ τὰς τῶν Σαμαρειτῶν, ἔλεγε τοῖς μαθηταῖς· *Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη·* καὶ αὖθις ἀλλαχοῦ, *Ὁ μὲν θερισμὸς πολύς*, τουτέστιν, οἱ πρὸς τὴν πίστιν ἕτοιμοι πολλοί· *οἱ δὲ ἐργάται ὀλίγοι*, οἱ ἀπόστολοι δηλαδὴ, οἱ μέλλοντες αὐτοὺς παραλαβεῖν εἰς τὸ διδάσκειν (87). C Οὐδεὶς δὲ κύριον ἔχων τὸν μαμωνᾶν, καὶ θεὸν τὴν κοιλίαν, δύναται εἰπεῖν τῷ ἀληθινῷ Δεσπότῃ Θεῷ· Κύριος ὁ Θεός μου εἶ σύ.

CAPUT III.

(*Joanne Lonicéro interprete.*)

Vers. 1-4. *Dixitque Dominus ad me : Vade, dilige uxorem amantem prava et adulteram,* **33** *quemadmodum Deus diligit filios Israel. Nam et ipsi respiciunt ad deos alienos, amantque bellaria cum uvis passis. Et conduxi mihi eam quinque ac decem argenteis, et modio hordei, et lagena vini. Dixique ad ipsam : Dies multos sedebis apud me, nec fornicaberis amplius, nec alteri viro jungeris, et ego tecum ero ; eo quod dies multos sedebunt filii Israel sine rege, sine principe, sine sacrificio et ara, carentes denique sacerdotio et perspicuis.* Prior uxor, quam accepit propheta, figura fuit generationis prioris Judæorum, fornicantis ac desciscentis ad idolorum cultúram. Posterior hæc, quam nunc accipere vates jubetur, figura est captivitate pressorum. Ut enim ipsa antea ab amatoribus sejuncta prophetæ cohabitare voluit, neque tamen ei admistus sit prophe-

ΚΕΦΑΛ. Γ'.

Καὶ εἶπε Κύριος πρός με ἔτι· Πορεύθητι, καὶ ἀγάπησον γυναῖκα ἀγαπῶσαν πονηρούς, καὶ μοιχαλίν, καθὼς ἀγαπᾷ ὁ Θεὸς τοὺς υἱοὺς Ἰσραὴλ (88), *καὶ αὐτοὶ ἀποβλέπουσιν ἐπὶ θεοὺς ἀλλοτρίους, καὶ φιλοῦσι πέμματα μετὰ σταφίδων. Καὶ ἐμισθωσάμην ἐμαυτῷ πεντεκαίδεκα ἀργυρίων, καὶ γομὸρ κριθῶν, καὶ νέβελ οἴνου· καὶ εἶπα πρὸς αὐτήν· Ἡμέρας πολλὰς καθίσῃ ἐπ' ἐμοί, οὐ μὴ πορνεύσῃς, οὐδ' οὐ μὴ γένῃ ἀνδρὶ ἑτέρῳ, καὶ ἐγὼ ἐπὶ σοί, διότι ἡμέρας πολλὰς καθίσονται οἱ υἱοὶ* D *Ἰσραὴλ, οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὐκ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὐδὲ ἱερατείας, οὐδὲ δήλων.* Ἡ μὲν πρότερα γυνὴ, ἣν ἔλαβεν ὁ προφήτης, τύπος ἦν τῆς γενεᾶς, τῆς πρὸ τῆς αἰχμαλωσίας ἐκπορνευσάσης εἰς εἰδωλολατρείαν (89)· ἡ δὲ δευτέρα αὕτη, ἣν νῦν προσλαβέσθαι κελεύεται, τύπος τῶν αἰχμαλωτισθέντων. Ὥσπερ (90) γὰρ αὕτη τοῖς πρότερον (91) ἐρα-

[86] Galat. VI, 1. [87] Joan. IV, 35. [88] Luc. X, 2.

Variæ lectiones et notæ.

(87) Πρὸς τὸ δικάζειν, *ad judicandum*. Cod. Ven.
(88) Τὸν Ἰσραήλ, *Israel*. Cod. Ven.
(89) Εἰδωλολατρείαν, sed scribendum fortasse εἰδωλολατρεῖν, *ad idola colenda*. Cod. Bav.
(90) Ὄντως, *vero*. Cod. Ven.
(91) Προτέροις, *prioribus*. Cod. Ven.

Digitized by Google

σταῖς ἀποταξαμένη, τῷ προφήτῃ συνοικεῖν εἵλετο, οὐ μέντοι ἐμίγη αὐτῇ ὁ προφήτης(92) · οὕτω καὶ οὗτοι, πρώην ὄντες μοιχαλίς, ἅτε πρὸς εἰδωλολατρείαν ἐκχυόμενοι [*f.* -χεόμ. *vel* -χυνόμ.], καὶ προσφέροντες τοῖς δαίμοσι πέμματα, τουτέστιν ἄρτους σεμιδαλίτας μετὰ σταφίδων (ἦν γὰρ καὶ τοιοῦτον εἶδος προσαγωγῆς τοῖς δαίμοσι φίλον, δεικνυόντων τῶν προσαγόντων, ὅτι αὐτοὺς ἔχουσι καὶ τοῦ σίτου καὶ τοῦ οἴνου δοτῆρας), ἐν τῇ αἰχμαλωσίᾳ ἀπαχθέντες, παύσονται μὲν τῆς εἰδωλολατρείας · οὐ μὴν οὐδὲ τὰ θεῖα ἐνεργήσουσιν, ἀλλὰ καθίσονται ἀργοί, ὡς μὴ θυσιάζειν, ἢ ἱερατεύειν δυνάμενοι, διὰ τὸ μὴ εἶναι θυσιαστήρια · ἱερατείας δὲ μὴ οὔσης, οὐδὲ οὐ [*f.* οἱ] δῆλοι ἔσονται. Τί δέ ἐστι τοῦτο, μάθε · Τῷ ἀρχιερεῖ παρήρτητο ἐν τῷ στήθει τετράγωνόν τι σπιθαμιαῖον ὑφασμάτιον, λογεῖον καλούμενον, λίθους ἔχον δώδεκα, δι' ὧν ἐδηλοῦτο τὰ μέλλοντα τῷ ἀρχιερεῖ, σημείων τινῶν θείων ἐν τούτοις γινομένων · ὅθεν τὸ λογεῖον τοῦτο ἔχειν τὴν δήλωσιν ἐλέγετο καὶ τὴν ἀλήθειαν. Φησὶν οὖν, ὅτι οὐδὲ οἱ δῆλοι ἔσονται, τουτέστι (93) τὰ θεῖα σημεῖα, δι' ὧν ἐδηλοῦτο τὰ μέλλοντα. Ταῦτα μὲν οὖν τὰ τοῦ ῥητοῦ. Νοήσεις δὲ τὴν μὲν προτέραν πόρνην τῆς πρὸ Χριστοῦ Συναγωγῆς εἶναι τύπον, ἥτις καὶ εἰδωλολατροῦσα ἦν (94) · τὴν δὲ νῦν λαμβανομένην τῆς μετὰ Χριστόν, ἥτις προσλαμβάνεται μὲν καὶ αὕτη τῷ Θεῷ, διὰ τοὺς μέλλοντας κατὰ ἐκλογὴν χάριτος ἐξ αὐτῆς κατὰ καιροὺς πιστεύειν · μοιχαλὶς μέντοι ἐστὶ, τοῖς Φαρισαίοις καὶ Γραμματεῦσιν ἐκδοῦσα ἑαυτὴν, τοῖς διδάσκουσι διδασκαλίας ἐντάλματα ἀνθρώπων, καὶ μὴ τῷ λόγῳ Χριστοῦ τελεώτατα νυμφευομένη. Μισθοῦται δὲ αὐτὴν ὁ προφήτης δεκαπέντε ἀργυρίων, τουτέστι τῶν πέντε νομικῶν τευχῶν, καὶ τῶν δέκα ἐντολῶν · τῷ γράμματι γὰρ ὑπάγονται, καὶ ὑπὸ τούτου ἕλκονται · ὥστε δοκεῖν Θεὸν γοῦν ἐπιγινώσκειν, εἰ καὶ κακῶς. *Ὁ γὰρ μὴ τιμῶν τὸν Υἱὸν, οὐ τιμᾷ* (95) *τὸν Πατέρα* · καὶ, *Οὔτε ἐμὲ οἴδατε*, φησὶν, *οὔτε τὸν Πατέρα μου*. Καὶ αἱ κριθαὶ τὴν ἄλογον τροφὴν αἰνίττονται, ἣν σιτοῦνται, μηδὲν πνευματικὸν ἐννοοῦντες (96), καὶ ἄξιον λογικῶν ψυχῶν. Καὶ τὸ νέβελ δὲ τοῦ οἴνου, τὴν μέθην αὐτῶν καὶ παραφορὰν δηλοῖ · βλέποντες γὰρ οὐ βλέπουσι, καὶ ἀκούοντες οὐ συνιοῦσιν, ὃ τοῖς μεθύουσιν οἰκεῖον. Κάθηνται τοίνυν οἱ μὴ πιστεύοντες Χριστῷ, ἀκίνητοι μένοντες ἐν τῇ ἀπιστίᾳ, καὶ οὔτε ἔχοντες (97) βασιλέα αἰσθητῶς, ἢ ἄρχοντα, οὔτε νοητῶς · οὐ γάρ ἐστιν ἐν αὐτοῖς νοῦς βασιλεύων, ἢ ἄρχων (98), ὅτι μηδὲ τῆς ἐλευθέρας Σάρρας εἰσὶν υἱοὶ, ἥτις ἑρμηνεύεται *ἄρχουσα*, ἀλλὰ τῆς παιδίσκης εἰσὶ γεννήματα, τῆς εἰς δουλείαν γεννώσης. Οὐδὲ δήλωσίς ἐστιν ἐν αὐτοῖς, ἡ ἀλήθεια, ἀλλὰ τυφλοὶ ὄντως, ἐν

ta : sic illi primum quidem exsistentes adulteri, tanquam ad idololatriam effusi, offerentes dæmonibus pemmata, hoc est, panes ex simila pistos, una cum uvis passis [erat autem talis species oblationis dæmonibus grata, indicantibus offerentibus, quod ipsos habeant et frumenti et vini datores], abducti per captivitatem, cessabunt quidem ab idololatria, et interim tamen neque divina vero sacra facient, sed otiosi sedebunt et segnes, ut qui neque sacrificare neque sacerdotio fungi queant, quandoquidem neque altaria illis sint. Ablata autem sacerdotii functione, neque perspicua erunt. Quid vero hoc sit, jam disce. Sacerdotum principi dependebat in pectore quadrangula spithamæ longitudine texturula, sive textus panniculus, λογεῖον, id est, oraculi domus, vel locus appellatus, duodecim lapides continens, per quos futura denuntiabantur summo pontifici, signis quibusdam divinis in hisce factis : unde λογεῖον hoc, seu panniculus ille, manifestationem et veritatem habere dicebatur. Proinde nec perspicua fore dicit, id est, divina signa quibus futura cognoscant. Hæc quidem ad contextus explicationem pertinent. Intelliges autem hic prius scortum typum esse Synagogæ ante Christi adventum, quæ et idolis dedita erat : at eam quæ nunc accipitur, esse figuram Synagogæ post Christi in carnem adventum, quæ et ipsa quidem a Deo assumitur, propter eos qui ex ipsa secundum electionem gratiæ crediturі sunt. Hæc ipsa etiam adultera est, Pharisæis et Scribis doctrinas et mandata hominum docentibus, se exhibens atque prostituens, nec verbo Christi perfecte desponsata est. Conducit hanc vates quindecim argenteis, hoc est, quinque legalibus libris ac decem præceptis : litteræ enim subjiciuntur perque eam trahuntur, ut adeo Deum quidem agnoscere videantur, etsi perperam. Nam *Qui Filium non honorat, Patrem ignominia simul afficit* [89] ; et, *Neque* 34 *menostis*, inquit, *neque Patrem meum* [90]. Præterea hordeum irrationalem ipsorum alimoniam adumbrat, qua vescuntur, nihil spirituale neque dignum intelligentes animabus rationalibus. Nebel vel lagena vini, temulentiam ipsorum ac cæculentiam significat. Siquidem videntes non vident, et audientes non intelligunt, quod est ebriis ac temeti plenis peculiare. Sedent igitur, qui Christo non adhibuerunt fidem, immobiles permanentes in sua incredulitate ; neque regem habentes cujus præsentiam ac administrationem sentiant, neque principem. Quinetiam ne juxta animi considerationem

[89] Joan. v, 35. [90] Joan. xiv. 9.

Variæ lectiones et notæ.

(92) Verba hæc οὐ μέν τοι ἐμίγη αὐτῇ ὁ προφήτης, *neque tamen ei admistus est propheta*, desunt in cod. Ven.

(93) Οὔτε, *neque*, Cod. Bav.

(94) Ἦν ἀδεῶς, *erat sine timore*. Cod. Ven.

(95) Lonicerus in cod. suo legisse videtur ἀτιμᾷ, ut ex ipsius interpretatione liquet.

(96) Νοοῦντες, *cogitantes*. Cod. Ven.

(97) Ἔχουσι, *habent*. Cod. Ven.

(98) Οὐ γάρ ἐστιν ἐν αὐτοῖς νῦν βασιλεύων ἢ ἄρχων, *non enim in ipsis est, qui imperet, aut dominetur*. Cod. Bav.

Digitized by Google

quidem vel spiritualiter regem habent. In ipsis enim mens non sceptra tenet, neque dominatu fungitur, quandoquidem non sint filii liberæ Saræ, quæ valet dominantem quampiam, sed ancillæ ad servitutem generantis soboles. Neque perspicuitas vel manifestatio in ipsis est, seu veritas, verum cæci vere in tenebris sedent, neque ipsi veritatem intelligentes, neque aliis ipsam manifestare valentes. Quomodo enim hoc ipsum possent, cum interemerint Dominum crucifixeruntque eum, qui dixit: *Ego sum vita et veritas* [91]? qui etiam nobis quæ a Patre accepit, aperuit: Quæ enim audivi, inquit, a Patre meo, dixi vobis [92]. Isti sunt, quorum hic fit mentio, diligentes pemmata cum uvis passis, non recipientes panes qui animam alere videntur, quod illis et oblectatio et voluptas non inesset. Tales sunt omnino doctorum enarrationes, uvarum passarum dulcedinem habentes, sensibilia bona promittentes, quæ prorsus sunt marcida facileque labuntur. Similis est hujus mulierculæ, qui Deo mercedis gratia inservit temporariorumque bonorum: divitiis quidem per argenteos significatis, quorum numerus decadem et quinarium constituit, uti discas, quod talis mercenarii totum corpus, et animam et spiritum, sensus ipse sibi adunarit conjunxeritque: necessariis autem ad vitæ sustentationem per liquida et sicca indicatis, vini nempe et hordei, quod et quamdam vitæ talis proportionem præ se fert. At enim qui mercedis causa inservit, celeriter ad alium dominum transfertur, quando merces desinit. De hujusmodi David eximius vates et propheta ait: *Confitebitur tibi, quando ei beneferis* [93]. Hoc est, Gratias aget tibi, Domine, quando beneficium illi exhibueris: at si ea defluxerint, te e diverso vituperabit. Consimili ingenio divum Jobum Satanas fore sperans, eum impetiit; quocirca dicebat quoque: *Non frustra Job colit Dominum. Nonne tu circumcirca quæ ipsius sunt, intus et foris sæpivisti* [94]? Idem de Jobo sensit, qui eum ad maledicentiam compellens, *Die*, inquit, *verbum aliquod ad Dominum, et morere* [95]. **35** Porro qui Deo talia propter bona servit, et non propter ipsum honestum, pemmata cum uvis passis diligit, non novam et evangelicam legem eligens, quæ etiam cruda esse apparet, ob vivendi rationis duritiem, sed pistam quæ facile confici seu perfici possit, ac suavem. Quandoquidem vero, juxta Parœmiasten, *Suavitatis sectator ac labore, doloreque vacans, in penuria morietur* [96], non injuria vel is otiosus sedet, neque sacrum faciens, neque dicere valens: *Secreta et abdita sapientiæ tuæ manifestasti mihi* [97].

A τῷ σκότει τοῦ ψεύδους κάθηνται, οὔτε αὐτοὶ νοοῦντες τὴν ἀλήθειαν, οὔτε τοῖς ἄλλοις δηλοῦν ἔχοντες· πῶς γὰρ, οἵ γε ἀπέκτειναν τὸν Λόγον σταυρώσαντες, (99) τὸν εἰπόντα· *Ἐγώ εἰμι ἡ ἀλήθεια*, καὶ δηλώσαντα ἡμῖν τὰ παρὰ τοῦ Πατρός; *Ἃ γὰρ ἤκουσα*, φησὶ, παρὰ τοῦ Πατρός μου, ταῦτα εἶπον ὑμῖν. Οὗτοί εἰσιν οἱ ἐνταῦθα μνημονευόμενοι, οἳ καὶ τὰ πέμματα μετὰ σταφίδων ἀγαπῶσι, μὴ δεχόμενοι τοὺς τὴν ψυχὴν τρέφειν δοκοῦντας ἄρτους, ἄνευ τοῦ πρὸς χάριν καὶ πρὸς ἡδονήν. Τοιαῦται δὲ πάντως αἱ τῶν διδασκάλων ἐξηγήσεις, τὸν τῶν σταφίδων γλυκασμὸν ἔχουσαι, καὶ ἀγαθὰ αἰσθητὰ ἐπαγγελλόμενα, ἃ εὐμάραντα πάντως εἰσί. Τῇ γυναικὶ ταύτῃ ἔοικεν ὁ δουλεύειν δοκῶν τῷ Θεῷ ἐπὶ μισθῷ, καὶ παροχῇ αἰσθητῶν ἀγαθῶν, τοῦ μὲν πλούτου δηλουμένου διὰ
B τῶν ἀργυρίων, ὧν ὁ ἀριθμὸς πεντεκαίδεκά ἐστιν, ἵνα μάθῃς, ὅτι τοῦ τοιούτου ὁλόκληρον τὸ σῶμα καὶ τὴν ψυχὴν καὶ τὸ πνεῦμα ἡ αἴσθησις ἑαυτῇ ἤνωσε καὶ συνέταξε, τῶν δὲ πρὸς τὸ ζῆν ἀναγκαίων ὑγρῶν τε καὶ ξηρῶν, διὰ τοῦ οἴνου καὶ τῆς κριθῆς δηλουμένων, ἥ καὶ τὴν ἀναλογίαν τῆς τοιαύτης ζωῆς ἐμφαίνει. Πλὴν ὁ ἐπὶ μισθῷ τοιούτῳ δοκῶν δουλεύειν, ταχέως μετατεθήσεται ἐπ' ἄλλον δεσπότην, ὁπηνίκα λείψει ὁ μισθός. Οὕτως καὶ Δαβὶδ περὶ τοῦ τοιούτου λέγει· *Ἐξομολογήσεταί σοι, ὅταν ἀγαθύνῃς αὐτῷ*· τουτέστιν, Εὐχαριστήσει σοι, Κύριε, ὅταν ἀγαθὰ δώσῃς αὐτῷ· ἅμα δὲ τῷ ἀπορρυῆναι ταῦτα, βλασφημήσει σε· ὥσπερ οὖν καὶ τὸν Ἰὼβ ὁ ἐχθρὸς τοιοῦτόν τινα εἶναι ἐλπίζων, ἐξητήσατο· διὸ
C καὶ ἔλεγε· *Μὴ δωρεὰν σέβεται Ἰὼβ τὸν Κύριον; οὐ σὺ περιέσφαξας* [*f.* -*ἔφραξ.*] *αὐτοῦ τὰ ἔσω καὶ τὰ ἔξω*; Καὶ ὕστερον πάλιν εἰς βλασφημίαν συνωθῶν, *Εἶπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα*, ἔλεγεν. Ὁ ἐπὶ τοιούτοις (1) ἀγαθοῖς δουλεύων τῷ Θεῷ, καὶ μὴ δι' αὐτὸ τὸ καλὸν, καὶ πέμματα μετὰ σταφίδων ἀγαπῶν (2), μὴ τὸν νέον καὶ εὐαγγελικὸν νόμον αἱρούμενος, ὃς καὶ ὡμὸς δοκεῖ εἶναι, διὰ τὸ τῆς ἀγωγῆς σκληρὸν, ἀλλὰ τὸν πεπεμμένον, καὶ εὐκατέργαστον, καὶ ἡδύν (3). Ἐπεὶ δὲ, κατὰ τὸν Παροιμιαστὴν· *Ὁ ἡδὺς καὶ ἀνάλγητος, ἐν ἐνδείᾳ τελευτήσει*, εἰκότως καὶ οὗτος ἀργὸς κάθηται, μηδὲν ἱερὸν ἐνεργῶν, μηδὲ δυνάμενος λέγειν· *Τὰ ἀδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.*

VERS. 5. *Ac post hæc revertentur filii Israel, et quærent Dominum Deum ipsorum, et David regem ipsorum, constituenturque apud Dominum, et bona*

D *Καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν οἱ υἱοὶ Ἰσραὴλ, καὶ ζητήσουσι Κύριον τὸν Θεὸν αὐτῶν, καὶ Δαβὶδ τὸν βασιλέα αὐτῶν, καὶ ἐκστήσονται ἐπὶ τῷ*

[91] Joan. XIV, 6. [92] Joan. XV, 15. [93] Psal. XLVIII, 19. [94] Job I, 9 10. [95] Job II, 9. [96] Prov. XXVIII, 19. [97] Psal. L, 8.

Variæ lectiones et notæ.

(99) Τὸν Λόγον ἀπέκτειναν· ἔμαθεν, ὅτι τῷ λογείῳ ἐπέκειτο ἡ ἀλήθεια, καὶ ἡ δήλωσις. Οἱ οὖν τὸν Λόγον σταυρώσαντες κ. τ. λ. *Verbum interfecerunt (norat rationali inesse veritatem, et manifestatio nem). Qui igitur Verbum crucifixerunt* Cod. Ven.

(1) Τούτοις, *his.* Cod. Ven.

(2) Ἀγαπᾷ, *diligit.* Cod. Ven.

(3) Ἡδύνειν. Cod. Ven.

Digitized by Google

Καὶ μετὰ τῶν τετελεσμένων ἔθυον. Τετελεσμένους καλεῖ τοὺς τοῦ τοιούτου εἰδώλου ἱερομύστας, τοὺς τῶν ἀπορρήτων παρ' ἐκείνοις τελετῶν ἀξιωθέντας, ὡς ἤδη τελειοτέρους· οἵτινες ἄνδρες δοκοῦντες εἶναι, θηλυδρίαι ἦσαν, καὶ κυμβάλοις χρώμενοι [*f.* -νοι] καὶ γυναικείαις ὀλολυγαῖς, περιήρχοντο τὰς τριόδους, τὰ τοῦ Βεελφεγὼρ μυστήρια τελοῦντες. Ἔθυον τοίνυν, φησὶν, τῷ αἰσχρῷ τούτῳ εἰδώλῳ, διδασκάλοις χρώμενοι τοῖς ῥηθεῖσι τετελεσμένοις. Ἕως μὲν οὖν λογίζεταί τις τὴν ἁμαρτίαν, οὔπω θύει μετὰ τῶν τετελεσμένων· ὅταν δὲ τελέσῃ (35) ταύτην διὰ τῆς πράξεως, τότε θύειν λέγεται μετὰ τῶν (36) τελεσθέντων αὐτῷ. Ἔθυον τὸν Κύριον ἐν τῷ σταυρῷ οἱ ἀποκτείνοντες αὐτὸν στρατιῶται μετὰ τῶν τετελεσμένων, τουτέστι, τῶν τὰ τελειότερα φρονεῖν δοκούντων, καὶ τὰς θείας τελετὰς εἰδότων ἱερέων καὶ ἀρχιερέων.

Populusque intelligens complicabatur cum scorto. Hactenus commemorata, de decem tribubus dixit, quæ et Israel nominabantur : hoc vero jam nunc de duabus proferre, nempe regni Juda : quandoquidem et ipsi existimati habere Dei cognitionem, ut qui in Hiero solymis urbe Dei regnarent, Astartes idolo sacrificabant, seu Veneris. Hanc enim scortum nominaverunt. Etenim imago ejus nuda stabat, ipso suo spectaculo vel intuitu, fornicationem et abominationem spirans. Excitavit autem Astartæ simulacrum Solomon, uxori suæ gratum faciens. Meretrix enim erat cohors quoque, ceu idolis serviens, quam populus intelligens, Annæ et Caiphæ deditus, amarunt, associantes sibi aut comprehenderent **45** Dominum. Dein quæ in nobis intellectu ornata mens est, quando, dissoluto regno suo, turbulentum pravorum motuum imperium suscitaverit, populus fit : tum enim complicatur scorto, sensibilitati, eam non ad sese accipiens, verum ab ea accepta.

Καὶ ὁ λαὸς ὁ συνιῶν, συνεπλέκετο μετὰ πόρνης. Τὰ μὲν ἤδη ῥηθέντα, περὶ τῶν δέκα φυλῶν εἶπεν, αἳ καὶ Ἰσραὴλ ὠνομάζοντο· τοῦτο δὲ νῦν λέγει περὶ τῶν δύο, φημὶ δὴ, τῆς τοῦ Ἰούδα βασιλείας, ὅτι καὶ οὗτοι δοκοῦντες ἔχειν θεογνωσίαν, ὡς ἐν Ἱεροσολύμοις, τῇ τοῦ Θεοῦ πόλει βασιλεύοντες, ἔθυον τῷ τῆς Ἀστάρτης εἰδώλῳ, ἤτοι τῆς Ἀφροδίτης. Ταύτην γὰρ ὠνόμασε πόρνην. Καὶ γὰρ τὸ ἄγαλμα αὐτῆς γυμνὸν ἵστατο, καὶ ἀπὸ τῆς θέας αὐτῆς πορνικὸν καὶ βδελυκτὸν ὄν. Ἔστησε δὲ τῇ Ἀστάρτῃ εἴδωλον Σολομὼν, χαριζόμενος τῇ γυναικὶ αὐτοῦ. Πόρνη ἦν ὡς εἰδωλολατροῦσα ἡ σπεῖρα, ἣν ὁ λαὸς ὁ συνιῶν, τουτέστιν, οἱ περὶ Ἄνναν καὶ Καϊάφαν, προσηταιρίσαντο, εἰς τὸ συλλαβεῖν τὸν Κύριον. Καὶ ὁ ἐν ἡμῖν δὲ συνιῶν, τουτέστιν ὁ νοῦς, ὅταν τὴν ἑαυτοῦ βασιλείαν καταλύσας, ὀχλοκρατίαν παθῶν καταστήσῃ, λαὸς γίνεται· τότε δὴ συμπλέκεται τῇ πόρνῃ αἰσθήσει, οὐ πρὸς ἑαυτὴν ταύτην λαμβάνων, ἀλλ' (37) ὑπ' ἐκείνης λαμβανόμενος.

VERS. 15. *Tu vero, Israel, ne ignora; et Juda, ne ingredimini ad Galgala.* Duodecim hoc tribubus communiter disserit. Quia vero Israel, sive decem tribus dementia laborabant, ut quæ semel idolis essent appositæ, dicit ad eum, *Ne ignora :* pro eo quod est Intellectum, scientiam cape, ignorantia deposita. Enimvero ad Juda hujusmodi quippiam non dixit. Etenim ipsi quidem Dei cognitionem habere videbantur, et interim tamen

Σὺ δὲ Ἰσραὴλ, μὴ ἀγνόει· καὶ Ἰούδα, μὴ εἰσπορεύεσθε εἰς Γάλγαλα. Ταῖς δώδεκα φυλαῖς ἐνταῦθα διαλέγεται κοινῇ· καὶ ἐπειδὴ ὁ μὲν Ἰσραὴλ, ἤτοι αἱ δέκα φυλαὶ, ἀνοησίαν ἐνόσουν, εἰδώλοις καθάπαξ προσκείμεναι, λέγει πρὸς αὐτόν· *Μὴ ἀγνόει*· ἀντὶ τοῦ, Γνῶσιν λάβε, ἀπόθου τὴν ἀνοησίαν. Πρὸς δὲ τὸν Ἰούδαν οὐκ εἶπέ τι τοιοῦτον. Καὶ γὰρ αὐτοὶ ἐδόκουν μὲν θεογνωσίαν ἔχειν, πλὴν καὶ τοῖς μὴ οὖσι θεοῖς λαθραίως ἐθυσίαζον. Φησὶν

[17] Psal. LXXXVIII, 33, 34. [18] Hebr. XII, 6.

Variæ lectiones et notæ.

(34) Συνεφέροντο. Cod. Ven.
(35) Ἐπιτελέσῃ. Cod. Ven.
(36) Τῶν ἔργων. Cod. Ven.
(37) Ἀλλ' αὐτός, *sed ipsa* (mens) Cod. Ven.

Digitized by Google

οὖν πρὸς τοῦτον· *Μὴ εἰσπορεύεσθε εἰς Γάλγαλα.* Πόλις δὲ αὕτη ἦν, ἐξαιρέτως εἰδωλολατροῦσα, ἐν ᾗ Ἰησοῦς περιέτεμε πετρίναις μαχαίραις τοὺς ἀπεριτμήτους, καὶ τοὺς δώδεκα λίθους, τοὺς ἐκ τοῦ Ἰορδάνου ληφθέντας, ἐνταῦθα ἀπέθετο, ἵνα ὦσι μνημόσυνον τῆς θαυμαστῆς ἐκείνης εὐεργεσίας. Λίαν οὖν ἄτοπον ἦν, τὸ τὴν πόλιν ἐκείνην, ἐν ᾗ τοσαῦτα σύμβολα τῆς θείας εὐεργεσίας ἀπέκειντο, ἀσεβείας ἀποφῆναι μητρόπολιν, ἀναβαίνοντας εἰς αὐτὴν, καὶ εἰδώλοις θύοντας. Ταῦτα καὶ τοῖς Θεοκτόνοις ἐγκελεύεται· Μὴ ἀγνόει τὸν ἐπὶ εὐεργεσίᾳ τῆς ἀνθρωπίνης φύσεως ἐλθόντα ἐν σαρκὶ Σωτῆρα (38), σὺ ὁ λεγόμενος Ἰσραήλ. Θεοῦ γὰρ θεωρὸς ὀνομάζῃ· ἄξιος τοῦ ὀνόματος φρόνει. Καὶ σὺ δὲ, ὦ Ἰούδα, ὁ τῆς ἐξομολογήσεως ἐπώνυμος, μὴ εἰς τὸ κύλισμα πορεύου τὸ πατρῷον (39) καὶ εἰς τὸν κρημνὸν, καθ' οὗ ἠνέχθησαν οἱ πατέρες σου, ἀποκτείναντες τοὺς προφήτας, καὶ λιθοβολοῦντες τοὺς ἀπεσταλμένους· ἀλλ' εἰ καί τι ἥμαρτες, ἐπιβουλεύσας τῷ Σωτῆρι, διὰ μετανοίας καὶ ἐξομολογήσεως ἴασαι τοῦτο· τὸ γὰρ Γάλγαλα, *κύλισμα* ἑρμηνεύεται. Καὶ ὁ φωτισθεὶς, καὶ τὰ θεῖα μυστήρια ἰδὼν, νουθετεῖται μὴ ἀγνοεῖν τὴν χάριν, ἧς ἔτυχεν, ἀλλὰ σπεύδειν διὰ τοῦ ἀγαθοῦ βίου ταύτην συντηρεῖν· καὶ ὁ διὰ τῆς ἐξομολογήσεως ἄφεσιν λαβὼν τῶν προτέρων, μὴ αὖθις εἰς τὴν κατωφερῆ ἁμαρτίαν καὶ κρημνώδη εἰσπορεύεσθαι, εἰς τὰ ἐσώτατα ταύτης καὶ κινδυνωδέστατα ἑκουσίως τρέχων.

clanculum iis qui non essent dii, faciebant sacrum, proinde ad hunc, *Ne proficiscimini*, inquit, *ad Galgala*. Civitas hæc erat vehementer idolis studens, in quo Jesus filius Nun circumcidit lapideis cultris incircumcisos, ac duodecim lapides, ex Jordane acceptos, huc reposuit [19], ut essent mnemosynon tam admirandi illius beneficii. Valde igitur absurdum erat, civitatem illam, in qua tot divini beneficii signa reposita erant, impietatis metropolin demonstrari per ascendentes eo, idolisque sacrificantes. Hæc et Domini occisoribus præcipiuntur: Ne ignora eum, qui propter beneficium humanæ naturæ impertiendum in carne venit Servatorem, tu qui appellaris Israel. Dei enim contemplator nominaris: quæ tuo sint nomine digna sapias. Tuque, o Juda, cui idem cum confessione nomen est, ne proficiscere ad voluntatem majorum neque ad præcipitium, quo perducti sunt patres tui, interimentes prophetas, lapidibusque obruentes ad se missos. Atenim etiamsi deliquisti, insidias tendens Servatori, per animi correctionem et confessionem hoc sanato. Galgala enim *volutionem* sonat, si reddatur alia lingua. Ad hæc, qui illustratus divina arcana conspexerit, admonetur, ne ignoret gratiam, quam est consecutus, cæterum festinet per bonam vitam illam ipsam conservare: et qui per confessionem dimissionem priorum peccatorum accepit, ne rursus ad peccatum ad ima rapiens, ac præcipitans ingrediatur, ad intima ipsius periculosissimaque sponte currens.

Καὶ μὴ ἀνάβαινε εἰς τὸν οἶκον τῆς ἀδικίας, καὶ μὴ ὀμνύετε ζῶντα Κύριον. Οἶκον ἀδικίας φησὶ τὴν Βαιθὴλ, ἐν ᾗ ἔστησεν Ἱεροβοὰμ τὴν μίαν δάμαλιν, στήσας τὴν ἑτέραν ἐν Δάν. Εἴδωλα δὲ ἦσαν αὗται Ἄπιδος, τοῦ Αἰγυπτίου βοός· τὴν δὲ τοιαύτην εἰδωλολατρείαν Ἱεροβοὰμ ἐξ Αἰγύπτου ἔμαθεν. Ἡ δὲ Βαιθὴλ ἑρμηνεύεται *οἶκος Θεοῦ*. Ἄδικοι οὖν καὶ ἀγώμονες περὶ τὸν εὐεργέτην ἐγένοντο οἱ τὸν αὐτοῦ οἶκον τῷ εἰδώλῳ ἀναθέντες. Τὸ δὲ, *Μὴ ὀμνύετε ζῶντα Κύριον*, οἱ μὲν ἐνόησαν, ὅτι Οὐ δεῖ ἡμᾶς τὸν ἀληθινὸν Θεὸν ὅρκον ποιουμένους, εἰς τὸν οἶκον τοῦ εἰδώλου ἀναβαίνειν, ὃ καὶ Παῦλος λέγει· *Οὐ δύνασθε ποτήριον Κυρίου πίνειν καὶ ποτήριον δαιμονίων*. Οἱ δὲ αὐτὸ (40) τὸ εἴδωλον ζῶντα Κύριον ὤμνυον. Οἶκος Θεοῦ ἦν καὶ ἡ Ἰσραηλιτικὴ φυλὴ, κατὰ τὸ, *Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεός*· ἀλλὰ γέγονεν οἶκος τῆς αὐτοαδικίας, τοῦ διαβόλου, φημὶ, ἐπειδὴ ἀπώσατο τὸν Χριστὸν, ὃς ἐγεννήθη [*f.* ἐγενήθη] ἡμῖν δικαιοσύνη (41) ἀπὸ Θεοῦ, καὶ ἠδίκησε καὶ ἑαυτὴν, καὶ τὴν ἀλήθειαν, ἣν ἀπέκτεινε, μὴ ὁμολογήσασα τὴν δόξαν αὐτῆς (42). Οὗτοι γὰρ ὀμνύουσι ζῶντα Κύριον, δοκοῦντες τιμᾷν τὸν Πατέρα. Πλανῶνται· τὸν γὰρ Κύριον, νεκρὸν αὐτοὶ

Et ne ascendite in domum injustitiæ, et ne jurate Dominum viventem. Domum injustitiæ Bæthel vocat, in qua Jeroboam vaccam unam constituit, alteram in Dan. Fuerunt autem idola Apidis Ægyptii bovis: atque hanc idololatriam Jeroboam ex Ægypto didicit. Bæthel autem domus Dei valet, si reddatur. Injusti igitur fuerunt, et consilii expertes erga Dominum benefactorem suum, qui domum ipsius idolo dicarunt. Porro quod ait, *Ne juretis* **46** *Dominum viventem*, alii quidem intellexerunt, quod non oporteat vos, per verum Deum jurantes, in domum idolorum ascendere, quod et Paulus ait: *Non potestis calicem Domini bibere, et calicem dæmoniorum* [20]. Alii vero ipsum idolum viventem Dominum jurabant. Domus Dei tribus etiam Israelitica erat, secundum illud: *Inhabitabo inter ipsos, et ambulabo inter eos, eroque ipsorum Deus* [21]. At facta est domus injustitiæ, diaboli videlicet, postquam Dominum repulit, qui factus est nobis justitia a Deo: et injuria fuit qua erga sese, qua veritatem ipsam, quam occidit, non confessa ejus gloriam. Illi enim jurant viventem Dominum, putantes venerari se Patrem: errant cum Dominum ipsi mortuum ostenderint: qui tamen [quod ipsi non credunt]

[19] Jos. v, 2. [20] I Cor. x, 20. [21] Levit. xxvi, 12.

Variæ lectiones et notæ.

(38) Deest Σωτῆρα, *Salvatorem*, in cod. Ven.
(39) Πρῶτον, *priorem*, Cod. Bav.
(40) Ὅτι αὐτὸ Cod. Ven.
(41) Σοφία, *Sapientia*, Cod. Bav.
(42) Καὶ τὴν ἀλήθειαν ἀπέκτεινε, καὶ ὁμολογήσασα τὴν δόξαν αὐτῆς, *et veritatem occidit, vel ipsius gloriam confitendo*, Cod. Bav.

Digitized by Google

ex potentia Dei vivat. Ac quando aliquis mandata servarit Filii, ipse et Pater ad eum veniunt, mansionem apud ipsum facientes [22]. Non oportet ergo talem domum, sive talem animam injuriæ domum fieri, quæ propter avaritiam inferiores dejiciat atque supprimat. Faciet etiam hic locus ad ædificationem nostri, sic acceptus simpliciter, *Ne juretis vivente Dominum : verum sermo vester sit, est est, non non* [23].

A ἔδειξαν, εἰ καὶ ζῇ ἐκ δυνάμεως Θεοῦ. Καὶ ὅταν δέ τις τὰς ἐντολὰς τηρῇ τοῦ Υἱοῦ, αὐτὸς καὶ ὁ Πατὴρ ἔρχονται πρὸς αὐτὸν, καὶ μονὴν παρ' αὐτῷ ποιοῦσιν. Οὐ τοίνυν δεῖ τὸν τοιοῦτον οἶκον, ἤτοι τὴν τοιαύτην ψυχὴν, οἶκον ἀδικίας γενέσθαι, διὰ φιλοπλουτίαν καταδυναστεύοντα τοὺς ταπεινοτέρους. Οἰκοδομείτω δὲ ἡμᾶς καὶ ἁπλῶς οὕτως λαμβανόμενον τὸ, *Μὴ ὀμνύετε ζῶντα Κύριον*, ἀπάγον ἡμᾶς ἀπὸ τοῦ ὅρκου, καὶ μονονουχὶ ἐκεῖνο λέγον· *Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως, ἤτω δὲ ὑμῶν τὸ, ναὶ ναὶ, καὶ τὸ οὒ οὔ.*

Vers. 16. *Quoniam ceu vitula concitatus est œstro Israel. Nunc pascet eos Dominus, tanquam agnum in spatioso loco.* Œstrum parvæ cujusdam muscæ species est, quæ simulatque vitulam vel bovem momorderit, adeo eam in rabiem adigit, ut sursum ac deorsum cursitans, interdum per præcipitium feratur. Dicit igitur ad Juda : quoniam Ephraim, sive decem tribus, vitulæ devianti et in præceps ductæ, similes sunt, eo quod œstro idololatriæ sint morsæ : atenim Dominus tradens eum in captivitatem, pascet ipsum sive reget, non amplius veluti inobœdientem, sed tanquam agnum mansuetissimum. Namque captivitas humiliabit ipsum. Spatiosam autem Persarum et Medorum regionem nominat, in qua captivi erraverunt, alias alium Dominum permutantes. Idem hodieque in sua illa dispersione Hebræi perpessi sunt, subinde in alium atque alium translati locum, quod contra Christum insanierunt, instar buculæ nondum expertæ jugum. Non enim Evangelii jugum exceperunt, invidiæ œstro ad Deicidii præcipitium sane perducti. Anima quoque ubi inordinate a quadam affectione, ceu œstro, ad peccati præcipitium delata fuerit, lapsa precetur, ut se Dominus regat, veluti agnum, qui non deliteget neque vociferetur, nec propriam voluntatem habeat, juxta illud : *Factus sum ut jumentum penes te, egoque semper tecum* [24] : sed quæ vivat secundum illius mandata. Sic enim in spatioso loco erit, juxta eum, qui ait : *Latum mandatum* 47 *tuum valde* [25]. Siquidem vere ille latitudinem habet et requiem, qui secundum mandata vixerit. *Discite enim*, inquit, *a me, quoniam mitis sum et humilis corde, et invenietis requiem animabus vestris* [26].

B *Ὅτι ὡς δάμαλις παροιστρῶσα παροίστρησεν Ἰσραὴλ· νῦν νεμήσει αὐτοὺς Κύριος, ὡς ἀμνὸν ἐν εὐρυχώρῳ.* Οἶστρός ἐστι μυῖά τις μικρὰ, ἥτις ἐπειδὰν δάμαλιν δάκῃ, οὕτως αὐτὴν ἐκμαίνει, ὥστε ἄνω καὶ κάτω θέειν, καὶ κατὰ κρημνοῦ ἔσθ' ὅτε φέρεσθαι. Φησὶν οὖν πρὸς τὸν Ἰούδαν, ὅτι ὁ Ἐφραὶμ, ἤτοι αἱ δέκα φυλαὶ, δαμάλει ἐοίκασιν ἀποπλανηθείσῃ, καὶ κατὰ κρημνοῦ ἐνεχθείσῃ, διὰ τὸ τὸν οἶστρον τῆς εἰδωλολατρείας δέξασθαι· ἀλλ' ὁ Κύριος παραδοὺς αὐτὸν εἰς αἰχμαλωσίαν, νεμήσει αὐτὸν, ἤτοι ποιμανεῖ, οὐκέτι ὡς ἀνυπότακτον, ἀλλ' ὡς ἀμνὸν πραότατον· ἡ γὰρ αἰχμαλωσία ταπεινώσει αὐτόν. Εὐρύχωρον δὲ τὴν τῶν Περσῶν καὶ Μήδων ὀνομάζει χώραν, ἐν ᾗ πλανώμενοι ἦσαν αἰχμάλωτοι, ἄλλοτε ἄλλον δεσπότην ἀμείβοντες. Ἔπαθον τοῦτο καὶ οἱ Ἑβραῖοι ἐν τῇ νῦν διασπορᾷ, ἄλλοτε ἀλλαχοῦ μετανιστάμενοι, διότι ἐμάνησαν κατὰ Χριστοῦ, οἷόν τις δάμαλις ἀπειρόζυγος· οὐ γὰρ τὸν τοῦ Εὐαγγελίου ζυγὸν ἐδέξαντο, τῷ οἴστρῳ τοῦ φθόνου πρὸς τὸν τῆς θεοκτονίας (43) κρημνὸν παρενεχθέντες. Καὶ ψυχὴ δὲ, εἴποτε ἄτακτα φερομένη ὑπό τινος πάθους, ὥσπερ οἴστρου, εἰς κρημνὸν ἁμαρτίας ὀλισθήσει, εὐχέσθω, ἵνα ποιμάνῃ αὐτὴν ὁ Κύριος, ὡς ἀμνὸν μὴ ἐρίζουσαν, μηδὲ κραυγάζουσαν (44), μηδὲ ἴδιον θέλημα ἔχουσαν, κατὰ τὸ, *Κτηνώδης ἐγενήθην παρὰ σοὶ, κἀγὼ διὰ παντὸς μετὰ σοῦ*· ἀλλὰ κατὰ τὰς ἐκείνου ἐντολὰς ζῶσαν. Οὕτω γὰρ καὶ ἐν εὐρυχώρῳ ἔσται, κατὰ τὸν λέγοντα· *Πλατεῖα ἡ ἐντολή σου σφόδρα.* Τῷ ὄντι γὰρ ἐκεῖνος ἔχει πλάτος καὶ ἀνάπαυσιν, ὁ κατὰ τὰς ἐντολὰς ζῶν. *Μάθετε γὰρ ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν.*

C

D

Vers. 17, 18. *Particeps idolorum Ephraim, posuit sibiipsi scandala. Elegit Chananæos, fornicantes fornicati sunt, dilexerunt ignominiam ex fremitu suo.* Ad Juda hæc adhuc videtur dicere : quoniam particeps est factus idolorum, vaccas adorans, quæ offendicula ipsi fuerunt animorumque retia. Præterea Chananæos æmulatus est, idolo ipsorum Beelphegor inserviens, (46) præque me ipsum devene-

Μέτοχος εἰδώλων Ἐφραὶμ ἔθηκεν ἑαυτῷ σκάνδαλα, ἠρέτισε Χαναναίους· πορευόντες ἐξεπόρνευσαν, ἠγάπησαν ἀτιμίαν ἐκ φρυάγματος αὐτῶν. Ἔτι πρὸς τὸν Ἰούδαν δοκεῖ λέγειν (45), ὅτι ὁ Ἐφραὶμ μέτοχος γέγονε τῶν εἰδώλων, τὰς δαμάλεις προσκυνήσας, αἳ ἐγένοντο αὐτῷ σκάνδαλα καὶ παγίδες ψυχικαί. Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τοὺς Χαναναίους ἐζήλωσε, τῷ εἰδώλῳ αὐτῶν, τῷ

[22] Joan. xiv, 23. [23] Jac. v, 12. [24] Psal. lxxii, 23. [25] Psal. cxviii, 96. [26] Matth. xi, 29.

Variæ lectiones et notæ.

(43) Θεογνωσίας, *Dei cognitionis*, Cod. Ven.

(44) Verba μηδὲ κραυγάζουσαν, *neque vociferantem*, desiderantur in cod. Bav.

(45) Δοκῶ λέγειν, *Videor dicere*. Cod. Bav.

(46) *Mihique anteposuit ignominiam hanc : vere enim ignominia est, ratione præditos homines talia* (idola) *venerari*. Sic uterque cod. Ven. et Bav.

Digitized by Google

Βεελφεγὼρ, λατρεύσας, καὶ προετίμησεν ἐμοῦ τὴν ἀτιμίαν ταύτην· ἀτιμία γὰρ τῷ ὄντι τὸ τοιούτοις λατρεύειν τοὺς λογικοὺς ἀνθρώπους. Ταύτην δὲ τὴν ἀτιμίαν ἔσχεν ἀπὸ τοῦ καταφρονῆσαι ἐμοῦ, καὶ καταφρυάξασθαι τῆς ἐμῆς τιμῆς. Ἆρα οὐ τοιοῦτοι ἦσαν καὶ οἱ τοῖς ἐθνικοῖς καὶ εἰδωλολάτραις στρατιώταις πρὸς τὸ ἀποκτεῖναι Χριστὸν συνεργοῖς χρησάμενοι, καὶ μετόχοις τοῦ ἀσεβήματος; οἳ καὶ ἔθηκαν αὐτῷ, τῷ Χριστῷ δηλαδὴ, σκάνδαλα, καὶ ἠγάπησαν τὴν ἀτιμίαν αὐτοῦ, σταυρώσαντες αὐτὸν, ὡς παράνομον. Ταῦτα δὲ ἐκ τοῦ φρυάγματος ἐποίησαν, ὡς καὶ Δαβὶδ λέγει· *Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;* Οὕτω καὶ ἐν πᾶσιν ἀνθρώποις οἱ φρυαττόμενοι ἀτιμίαν κερδαίνουσιν. Εἴρηται γάρ, *Ἀκάθαρτος παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος*· καὶ, *Πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται.* Καὶ ὁ ἀγαπῶν δὲ τὸ ἀτιμάζειν καὶ βδελύττεσθαι τοὺς πλησίον, καὶ ἐκ φρυάγματος τοῦτο πάσχων, ὁράτω, πίσι συντέτακται, τοῖς μετόχοις τῶν εἰδώλων, καὶ τἆλλα, ὅσα ἐντεῦθα μαρτυροῦνται.

Συστροφὴ πνεύματος συριεῖ ἐν ταῖς πτερύξεσιν αὐτῆς, καὶ καταισχυνθήσονται ἐκ τῶν θυσιῶν αὐτῶν. Ὥσπερ, φησὶ, τὰ ὄρνεα τῇ κινήσει τῶν πτερῶν, σὺν πνεύματί τινι καὶ ἤχῳ τὸν ἀέρα διατέμνει· οὕτω καὶ αὕτη, ἡ Συναγωγὴ δηλαδὴ τῶν ὑπὸ τὴν τοῦ Ἐφραὶμ βασιλείαν δέκα φυλῶν, καθάπερ ὑπόπτερος, εἰς τὴν ἀλλοτρίαν αἰχμάλωτος ἀπαχθήσεται, τῆς ἐμῆς ὀργῆς συνωθούσης αὐτὴν ἐκεῖ, καὶ ἑλκούσης ὥσπερ τινὸς συστροφῆς πνεύματος. Ὑπομενεῖ δὲ ταύτην τὴν αἰσχύνην τῆς αἰχμαλωσίας ἐκ τοῦ θύειν τοῖς εἰδώλοις. Εἰ δὲ καὶ οὕτως ἔχει ἡ γραφή· *Συστροφὴ πνεύματος, σὺ εἶ ἐν ταῖς πτερύξεσιν αὐτῆς*· οὕτως νοητέον, πρὸς τὸν Ἰούδαν λέγειν τὸν Θεὸν, ὅτι Σὺ, ὦ Ἰούδα, ἐγένου αἰτιος τῇ τῶν δέκα φυλῶν βασιλείᾳ τοῦ εἰδωλολατρεῖν. Σὲ γὰρ εἰδοῦσα εἰδωλολατροῦντα, τὸν οὕτω νομοµαθῆ, τὸν τῷ ναῷ προσεδρεύοντα, ὀξυτέρα καὶ αὕτη πρὸς εἰδωλολατρείαν ὥδραμεν. Εἶχε μὲν γὰρ αὕτη πτέρυγας πρὸς τὰ εἴδωλα κινουμένας· ἀλλὰ καὶ σὺ, ὥσπερ τις πνεύματος συστροφὴ ἐνέπνευσας ταῖς πτέρυξι, καὶ εὐκινητοτέρας ἐποίησας. Οὕτω καὶ τῶν Ἰουδαίων οἱ διδάσκαλοι τοὺς πρὸς αὐτοὺς ἀποβλέποντας προσηλύτους ἐποίουν υἱοὺς γεέννης· ὃ δεῖ φυλάττεσθαι· ἐπεὶ κατὰ τὸν τοῦ Κυρίου λόγον· *Ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, συμφέρει ἵνα μύλος ὀνικὸς κρεμασθῇ παρὰ* [*f.* περὶ] *τὸν τράχηλον αὐτοῦ.* Εἶχε καὶ ἡ πᾶσα Συναγωγὴ πτέρυγας, τὸν νόμον καὶ τοὺς προφήτας, δι' ὧν εἰς ὕψος οὐράνιον γνώσεως καὶ βίου ὀρθοῦ ἀνεκουφίζετο. Ἐν ταύταις δὴ ταῖς πράξεσι (47) συριεῖ, τουτέστιν ἠχήσει, καὶ ἐξάκουστα φθέγξεται, τὸ πνεῦμα, συστρέφον τὸ γράμμα καὶ πεῖθον πνευματικῶς νοεῖσθαι. Ὅθεν αὐτοὶ μὴ δεχόμενοι τοῦτο τὸ πνεῦμα, αἰσχυνθήσονται, ἀποπεσόντες καὶ τῶν θυσιῶν αὐτῶν. Ἔχει καὶ ἡ ψυχὴ πτέρυγας

A ratus est, hinc ignominiam habuit, propterea quod me aspernaretur, insurgeretque adversus honorem meum. Nonne tales etiam fuerunt, qui ex gentibus idolorum cultoribus militibus ad Domini necem sunt usi? qui et scelerosi acti, et impietatis fuerunt consortes, posueruntque ipsi, videlicet Christo, scandala, diligentes ignominiam ipsius, cruci affigentes eum tanquam iniquum. Hæc autem ex fremitu fecerunt, perinde atque David ait: *Cur fremuerunt gentes, et populi meditati sunt vana* [27]? Sic apud universos mortales, frementes ac gloriantes ignominiam lucrantur. Dictum est enim: *Immundus est apud Dominum, quisquis alto corde fuerit* [28]. Et, *Quisquis exaltans semetipsum humiliabitur* [29]. Jam qui diligit ignominiam et exsecrationem proximi, B idque ex fremitu patiatur, videat quibusnam idolorum participibus conjunctus sit, aliaque id genus, quæ hic in medium promit.

Vers. 19. *Turbo spiritus sibilabit in alis ejus, pudefientque in sacrificiis suis.* Perinde atque aves, inquit, motu alarum, spiritu quodam et sonitu aera dissecant: sic ipsa Synagoga decem sub regno Ephræm tribuum ceu elata in alienam terram captiva abducetur, mea ira ipsam impellente ac trahente, veluti quodam venti turbine. Sustinet autem hanc captivitatem et ignominiam, quod idolis sacra faciat. Quod si hic textus ita legatur: *Turbo spiritus, tu es in alis ejus:* hunc ad modum C intelligendus erit ad Judam verba facere: O Juda, tu causa es decem tribuum regno, cur ad idolorum cultum deflexerit. Nam ubi te conspexisset idola colentem, qui adeo tenebas legem, temploque assidebas, celerior et ipsa ad idololatriam cucurrit. Etenim et ipsa habebat alas ad idola concitatas. Enimvero tu veluti turbo venti, inflasti alas et mobiliores reddidisti. Hac ratione Judæorum doctores, ad eos respicientes proselytos faciebant filios gehennæ: quod necessum est observare: postquam juxta verbum Domini [30], *Qui offenderit unum ex hisce minimis, prodest ei, ut ex ejus collo mola asinaria suspendatur*, etc. Erant etiam alæ ipsi universæ **48** Synagogæ, lex et prophetæ, per D quas ad altitudinem cœlestis cognitionis rectæque vitæ sufferebatur. In his jam operationibus sibilabit, hoc est sonabit, et sonorum fremitum edet spiritus convertens litteram et persuadens, ut spiritaliter intelligantur. Unde ipsi non accipientes hunc spiritum, pudore suffundentur, excidentes a sacrificiis suis. Habet anima duas alas, et naturalem legem et doctrinalem: per quas mota ad honestum, sursum ad cœlum fertur. At Spiritus operæ est pretium adesse adminiculationem convertentem sese semper in anima, ita ut nunquam eam deserat, si

[27] Psal. II, 1. [28] Isa. LXV, 5. [29] Matth. XXIII, 12. [30] Matth. XVIII, 6.

Variæ lectiones et notæ.

(47) Πτέρυξι, *alii*, Cod. Ven.

Digitized by Google

celerior futura sit. Hujusmodi anima, etiamsi olim sacrificarit affectibus suis, eosque adorarit, nunc propter eos pudefiet, deflens imprudentiam suam.

δύο, τόν τε φυσικὸν νόμον καὶ τὸν διδακτικὸν, ὑφ' ὧν κινουμένη πρὸς τὸ καλὸν, ἀνάγεται πρὸς τὸν οὐρανόν (48). Ἀλλὰ δεῖ καὶ τὴν τοῦ Πνεύματος παρεῖναι βοήθειαν, συστρεφομένην ἀεὶ ἐν τῇ ψυχῇ, καὶ μηδέποτε αὐτῆς ἀπολειπομένην, εἰ μέλλοι εὐκινητοτέρα ἔσεσθαι. Ἡ δὲ τοιαύτη ψυχὴ, εἰ καί ποτε ἔθυε καὶ προσεκύνει τοῖς πάθεσι, νῦν ἐπ' ἐκείνοις αἰσχυνθήσεται, μετακλαιομένη τὴν ἀβουλίαν.

CAPUT V.

Vers. 1. *Audite hæc, sacerdotes; attendite, domus Israel, et domus regis, aures advertite.* Quia in superioribus accusavit populum et vanos sacerdotes illos, regiamque tribum per Ephraim, nunc iterum omnes veluti sopitos excitat et expergefacit ad audiendum. Quoniam autem sacerdotes intelligentiores aliis reputantur esse, ad illos satis est dicere : *Audite* tantum. Domui vero Israel, hoc est populo, necessarium erat, Attendite diligenter. Nisi enim plerique omnes ex vulgo dictis advertant animum, nihil eorum quæ dicuntur, intelligent. Porro domui regis, hoc est, regibus et optimatibus ipsorum, demandatur auribus percipere, quod plus quippiam, quam audire significat.

Quoniam ad vos est judicium. Nam sagena est speculæ, ac veluti rete expansum super Itabyrium, quod venantes venationem infixerunt. Ad vos omnes, inquit, est judicium : hoc est, ad vos pertinet hæc increpatio et reprehensio quam facio. Quale autem hoc judicium est? Quod prophetis meis omnes vos facti estis laqueus, quippe quibus dolum meditabamini. Speculam, prophetarum excubias et ordinationem, seu aciem appellavit. Ipsæ enim veluti quidam speculatores fuerunt, annuntiantes ventura populo, ut in Ezechiele legitur [31]. Et quemadmodum venatores retia expandunt super Itabyrium [mons est Galilææ cum arduus tum sylvosus, unde et omnis generis feras venatoribus præstat], sic et vos insidias vestras contra prophetas statuentes mactatis eos. Potest etiam hanc ad rationem 49 accipi : Quoniam vos sacerdotes, et reges, et primores populi, in specula constituti a me, et in alto gradu collocati, ut populo quid opus sit facto denuntietis, rete potius facti estis ad corruptionem ipsorum : etenim sacerdotibus idola fuerunt curæ. Quinetiam reges et principes magnifice et abunde immolabant abominationibus per quas populus corrumpebatur. Hæc et Christi interfectoribus, pontificibus, pharisæis et scribis, et regi Herodi convenient, qui rete facti sunt speculæ, hoc est, sublimi Christo, super quo qui steterit, plura et præstantiora cæteris videt. Nonne et in sermonibus ipsum conabantur irretire, ac tandem crucis sagenam ipsi fixerunt, variasque sycophantias, ca-

ΚΕΦΑΛ. Ε'.

Ἀκούσατε ταῦτα, οἱ ἱερεῖς· καὶ προσέχετε, οἶκος τοῦ Ἰσραήλ· καὶ οἶκος τοῦ βασιλέως, ἐνωτίζεσθε. Ἐπειδὴ προφθάσας κατητιάσατο καὶ τὸν λαὸν καὶ τοὺς ψευδιερεῖς ἐκείνους, καὶ τὴν βασιλικὴν φυλὴν διὰ τοῦ Ἐφραίμ (49)· νῦν πάλιν πάντας οἱονεὶ κοιμωμένους διυπνίζει καὶ διεγείρει πρὸς τὸ ἀκοῦσαι. Ἐπεὶ δὲ οἱ ἱερεῖς συνετώτεροι τῶν ἄλλων ἀπαιτοῦνται εἶναι, πρὸς μὲν τούτους αὐταρκὲς τὸ, Ἀκούσατε, μόνον· τῷ δὲ οἴκῳ Ἰσραὴλ, τουτέστι τῷ λαῷ, προσέχειν ἀναγκαῖον. Εἰ γὰρ μὴ πάνυ πρὸς τοῖς λεγομένοις ἔχει τὸν νοῦν ὁ πολὺς ἄνθρωπος, οὐδὲν συνήσει τῶν λεγομένων. Καὶ τῷ οἴκῳ δὲ τοῦ βασιλέως, φημὶ δὴ τοῖς βασιλεῦσι καὶ τοῖς περὶ αὐτοὺς, τὸ ἐνωτίζεσθαι ἐντέλλεται, ὃ πλέον τι δηλοῖ τοῦ ἀκούειν.

Διότι πρὸς ὑμᾶς ἐστι τὸ κρῖμα, ὅτι παγὶς ἐγενήθη[τε] τῇ σκοπιᾷ, καὶ ὡς δίκτυον ἐκτεταμένον ἐπὶ τὸ Ἰταβύριον, ὃ οἱ θηρεύοντες τὴν θήραν κατέπηξαν. — Πρὸς ὑμᾶς, φησὶ, πάντας ἐστὶ τὸ κρῖμα· τουτέστιν, Ἡ κρίσις αὕτη, καὶ ὁ ἔλεγχος, ὃν νῦν ποιοῦμαι. Τίς δὲ ἡ κρίσις; Ὅτι τοῖς προφήταις μου πάντες ὑμεῖς παγὶς ἐγένεσθε, καὶ ἐπιβουλεύετε (50) αὐτούς. Σκοπιὰν γὰρ, τὴν τῶν προφητῶν φυλακὴν καὶ τάξιν ἐκάλεσεν. Αὐτοὶ γὰρ ἦσαν ὥσπερ τινὲς σκοποὶ, διαγγέλλοντες τῷ λαῷ τὰ ἐπερχόμενα, ὡς καὶ πρὸς Ἰεζεκιήλ (51). Καὶ ὥσπερ θηρεύεται τὰ δίκτυα ἱστῶσιν ἐπὶ τὸ Ἰταβύριον (ὄρος δὲ τοῦτο τῆς Γαλιλαίας, ὑψηλὸν καὶ δασὺ, καὶ διὰ τοῦτο θήραν παντοδαπῆ παρέχον τοῖς θηρευταῖς), οὕτω καὶ ὑμεῖς τὰς ἐπιβουλὰς ὑμῶν κατὰ τῶν προφητῶν ἱστάντες, ἀποσφάττετε (52) αὐτούς. Δύναται δὲ καὶ οὕτως νοηθῆναι, ὅτι Ὑμεῖς οἱ ἱερεῖς καὶ βασιλεῖς καὶ οἱ προὔχοντες (53) τοῦ λαοῦ, ἐν σκοπιᾷ καταστάντες ὑπ' ἐμοῦ, καὶ ἐν ὑψηλῷ βαθμῷ ταχθέντες, ὥστε τῷ λαῷ διαγγέλλειν, ἃ δεῖ πράττειν, παγὶς μᾶλλον ἐγενήθητε εἰς διαφθορὰν αὐτῶν τελοῦντες. Οἵτε γὰρ ἱερεῖς, εἰδώλων ἦσαν θεραπευταὶ, καὶ οἱ βασιλεῖς καὶ οἱ ἄρχοντες μεγαλοπρεπῶς τοῖς βδελύγμασιν ἐπέθυον καὶ πλουσίως, ἐξ ὧν ὁ λαὸς διεφθείροντο. Ταῦτα καὶ τοῖς τὸν Χριστὸν ἀποκτείνασιν ἀρχιερεῦσι, φαρισαίοις τε καὶ γραμματεῦσι, καὶ τῷ βασιλεῖ Ἡρῴδῃ ἁρμόσει· οἱ παγὶς ἐγενήθησαν τῇ σκοπιᾷ, τουτέστι τῷ ὑψηλῷ Χριστῷ, ἐφ' οὗ ὁ ἱστάμενος, καὶ πλείω καὶ κρείττω τῶν ἄλλων βλέπει. Ἢ οὐχὶ καὶ ἐν λόγοις αὐτὸν ἐπεχείρουν παγιδεύειν, καὶ τελευ-

[31] Ezech. III, 4.

Variæ lectiones et notæ.

(48) Τὸν οὐράνιον, *ad cœlestem* (subaudi *locum*), Cod. Bav.

(49) Φυλὴν τοῦ Ἐφραίμ, *tribum Ephræm*, Cod. Bav.

(50) Scribendum puto ἐπεβουλεύετε, ut et Lonicerus in codice suo legisse videtur.

(51) Πρὸς Ἰεζεκιὴλ ὁ Κυριὸς εἶπε· Σκοπὸν τεθήκατε τῷ οἴκῳ Ἰσραὴλ, *ad Ezechielem Dominus dixit : Speculam posuistis domui Israel*, Cod. Ven.

(52) Ἀποφράττετε, Cod. Bav.

(53) Βασιλεῖς, οἱ προὔχοντες, *et reges qui excellitis*, Cod. Bav.

Digitized by Google

εἶον τὴν τοῦ σταυροῦ παγίδα αὐτῷ ἔπηξαν, καὶ τὰς πολυπλόκους συκοφαντίας, καὶ ψευδομαρτυρίας, ὡς δίκτυα ἐξεπέτασαν ; Καὶ διδάσκαλος δέ τις ταχθεὶς εἶναι, καὶ ἐφ' ὑψηλοῦ βαθμοῦ ὤν, ἐὰν ἢ βίον ἐπίμωμον ἔχῃ, ἢ δόγματα στρεβλὰ, παγὶς γίνεται τοῖς πρὸς αὐτὸν βλέπουσιν, ἐν τῇ σκοπιᾷ ἱστάμενος, καὶ δίκτυον, οὐχ οἷον οἱ Χριστοῦ μαθηταὶ καὶ (54) ἁλιεῖς εἶχον, δηλαδὴ (55) τοῖς θαύμασι συμπεπλεγμένον, ἀλλ' ὃ οἱ θηρεύοντες ἀεὶ τὴν ψυχικὴν θήραν δαίμονες κατέπηξαν (56). Ἀκούσομεν οἱ ἀπολλύντες ψυχὰς, τίνος ἐσμὲν δίκτυον, καὶ ὅτι οὐχὶ Θεοῦ, κἂν ἐν τῇ σκοπιᾷ ἱστάμεθα.

lumnias et falsa testimonia, ceu retia expanderunt? Præterea, qui constitutus est, ut doctorem agat, ac super excelsum gradum doceat, si vel reprehensibilem vitam duxerit, vel adulterinam pravamque doctrinam evulgaverit, rete fit iis qui in eum modum defigunt oculos, ipse, inquam, in specula collocatus. Rete autem fit, non quale Christi discipuli piscatores habuerunt, verbum nempe, miraculis connexum, sed enim quale venantes semper venationem animorum dæmones infixerunt. Audiemus autem, qui animas perdimus, cujus rete simus. Nec enim Dei, etiamsi in specula stemus.

Ἐγὼ δὲ παιδευτὴς ὑμῶν, ἐγὼ ἔγνων τὸν Ἐφραὶμ, καὶ τὸν Ἰσραὴλ οὐκ ἀπέστησα ἀπ' ἐμοῦ. Διότι νῦν ἐξεπόρνευσεν Ἐφραὶμ, ἐμιάνθη Ἰσραήλ. Ἐπειδὴ, φησὶ, τοιοῦτοι ἐγένεσθε, παιδείαν ὑμῖν ἐπάξω, τὴν τῆς αἰχμαλωσίας, καὶ παντὶ τῷ λαῷ, οὓς διὰ τοῦ Ἰσραὴλ ἐδήλωσεν. Ἔγνων γὰρ τὰ ἔργα αὐτῶν, διότι οὐδὲ ἀπέστησα αὐτοὺς ἀπ' ἐμοῦ, ὥστε μακρὰν εἶναι ἀπ' αὐτῶν, καὶ μὴ βλέπειν αὐτοὺς, ἀλλὰ Θεὸς ἐγγίζων ἐγώ εἰμι. Μή ποτε δὲ, ἐπειδὴ πᾶσα παιδεία Κυρίου ἐξ ἀγάπης γίνεται, κατὰ τὸν Σολομῶντα, τὸ, *Ἔγνων*, ἀντὶ τοῦ, ἠγάπησα, ἐνταῦθα κεῖται, ὥστε λέγειν τὸν Θεόν· Ἐγὼ παιδεύω αὐτοὺς, διότι ἠγάπησα τὸν Ἐφραὶμ, καὶ τὸν Ἰσραὴλ οὐκ ἀπέστησα ἀπ' ἐμοῦ. Κἂν γὰρ πορνεύῃ εἰς εἰδωλολατρείαν, ἀλλ' οὐδὲ οὕτως ἀπωσάμην αὐτὸν, ἀλλὰ σύνειμι τούτῳ. Ταῦτα δὲ καὶ τοῖς ἐν ἀρχῇ πρὸς τὸν προφήτην εἰρημένοις συνᾴδει, ὅτε τὴν πόρνην προσετάχθη λαβεῖν. Τίς οὐκ ἀγαπήσει τοιοῦτον ἐπιστάτην, οὐ θυμῷ παιδεύοντα, ἀλλὰ τῇ ἀγάπῃ ; Ταῦτα καὶ διδασκαλία παντὶ ἄρχοντι, ὥστε μὴ πρὸς ὀργὴν κολάζειν, ἀλλὰ πρὸς παίδευσιν καὶ ὠφέλειαν.

B

C

Vers. 2, 3. *Ego vero castigator vester, ego novi Ephraim, et Israelem non dimovi a me. Quoniam etiamnum fornicatus est Ephraim, et Israel coinquinatus est.* Quia, inquit, tales fuistis, castigationem vobis inducam, captivitatem nimirum, cum eximiis vestris, quos per Ephraim intellexit, tum omni populo, quos per Israelem signavit. Novi enim opera ipsorum, eo quod eos non ita a me constituerim, ut longe ab illis absim, nec in eos intuear, verum enim Deus appropinquans ego sum. Forsan, quod omnis castigatio Dei ex dilectione fiat, juxta Salomonem, *Novi*, pro dilexi, hoc loci positum est : perinde ac si dicat Deus : Ego castigo eos, eo quod dilexerim Ephraim, nec Israelem longe a me transtulerim. Etsi enim fornicetur, et idola sequatur, nec sic tamen ipsum repuli. Hæc etiam iis quæ in principio a propheta dicta sunt, conveniunt, quando demandaretur ei, ut scortum in uxorem duceret. Quis ergo non amore prosequatur talem præceptorem, non indignatione quadam et furore erudientem castigantemve, cæterum charitate? Hæc doctrinæ loco esse debent cuique principium, ut suos non ad iracundiam puniat, verum ad castigationem et commoditatem.

Οὐκ ἔδωκαν τὰ διαβούλια αὐτῶν, τοῦ ἐπιστρέψαι πρὸς τὸν Θεὸν αὐτῶν· ὅτι πνεῦμα πορνείας ἐν αὐτοῖς ἐστι. Τὸν δὲ Κύριον οὐκ ἐπέγνωσαν. Προαιρετικὴ δείκνυται διὰ τούτων καὶ ἐθελούσιος ἡ κακία αὐτῶν· Οὐ γὰρ ἔδωκαν, φησὶ, τοὺς λογισμοὺς αὐτῶν ὅλως εἰς τὴν ἀληθῆ θεογνωσίαν, διότι τὸ τῆς πορνείας πνεῦμα ἐν ἑαυτοῖς ἐδέξαντο καὶ τῆς εἰδωλολατρικῆς καὶ τῆς σωματικῆς, καὶ διὰ τοῦτο τὸν Κύριον οὐκ ἐπέγνωσαν. *Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος ;* πῶς δύναταί τις δυσὶ κυρίοις δουλεύειν ; Οὕτω καὶ ἐν ψυχαῖς οὐκ ἔστιν ἐλεημοσύνην συνεῖναι (57) καὶ φιλοπλουτίαν, ἢ τρυφὴν καὶ σωφροσύνην, ἢ θυμὸν καὶ ταπεινοφροσύνην, ἢ ἀλήθειαν καὶ ἀνθρωπαρέσκειαν.

Vers. 4. *Non dederunt consilia sua, ut converterentur ad Deum suum, quoniam spiritus fornicationis* **50** *in ipsis est, Dominum autem non agnoverunt.* Deliberatoria per hæc, adeoque voluntaria ipsorum demonstratur vitiositas. Non enim dederunt, inquit, cogitationes suas omnino ad veram Dei cognitionem, quandoquidem spiritum fornicationis cum idololatricæ, tum corporalis in sese receperint, eamque ob causam Dominum non agnoverint. *Quæ* enim *communicatio lumini ad tenebras* [33]? Quomodo duobus quispiam dominis inservire potest [34]? Ita et in rebus animarum fit. Non potest illic adesse affectus miserans, pauperibus impertiens aliquid, et divitiarum amor seu voluptas et temperantia, seu animus fastuosus et humilia respiciens spiritus, seu veritas et studium quo hominibus placeamus.

D

[33] II Cor. VI, 14. [34] Matth. VI, 24.

Variæ lectiones et notæ.

(54) Deest καὶ, et in cod. Ven.
(55) Λέγω, *dico*, Cod. Ven.
(56) Κατέπτηξαν, Cod. Ven.
(57) Εἶναι, *esse*, Cod. Ven.

Digitized by Google

VERS. 5. *Humiliabiturque injuria Israel, in conspectu ipsius.* Injuriam, Dei contemptum appellat, et ab ipso defectionem quæ captivis quadantenus obtigit, vel arrogantiam qua laborabant, rerum abundantia luxuriantes. Aperte itaque videbunt, qualisnam sit impietatis fructus et superbiæ : hoc enim indicat, quod ait, *In faciem ejus.* Injuria est alias nec minima contumelia Israeli idolorum servitus. Quid enim vanius, hominem, ratione præditum, ligna vel lapides Dei loco colere? Humiliata est quoque deicidarum in Christum injuria. Quoniam vero vultus ipse potissimum solet esse signum et indicium, in rem manifestissimam respexit ipsis humiliatio, in legem dico et circumcisionem. Certissimus enim ipsis character evidentissimumque signum lex. *Manifestavit* enim, inquit, *justificationes et judicia sua Israeli, non peræque omni genti fecit*[35]. Deinde circumcisio sigillum ipsis erat et insigne. Porro animæ divinis bonis cum injuria intenti, dejectio prodest, maxime si in faciem ejus fiat, hoc est, si humiliationis suæ causam simul cernat, ac sensu quodam eam percipiat.

A Καὶ ταπεινωθήσεται ἡ ὕβρις τοῦ Ἰσραὴλ, εἰς πρόσωπον αὐτοῦ. Ὕβριν τὴν τοῦ Θεοῦ καταφρόνησίν φησι καὶ τὴν ἀπ' αὐτοῦ ἀποστασίαν, ἥτις αἰχμαλωτισθεῖσι (58) μετριωτέρα γέγονεν· ἢ τὴν ἀλαζονείαν, ἣν εἶχον τοῖς ἀγαθοῖς εὐθηνούμενοι. Προφανῶς οὖν, φησὶν, ὄψονται ὁποῖός ὁ τῆς ἀσεβείας καρπὸς καὶ τῆς ἀλαζονείας. Τοῦτο γὰρ δηλοῖ τὸ, *Εἰς πρόσωπον αὐτοῦ.* Ὕβρις τοῦ Ἰσραὴλ καὶ ἄλλως ἡ εἰδωλολατρεία· αὐτοῦ γὰρ ἐκείνου, λογικοῦ ὄντος ὕβρις καὶ ἀδοξία μεγίστη τὸ τοῖς ξύλοις λατρεύειν. Ἐταπεινώθη καὶ τῶν Θεοκτόνων ἡ εἰς τὸν Χριστὸν ὕβρις. Ἐπεὶ δὲ μάλιστα χαρακτὴρ καὶ γνώρισμα γίνεται τὸ πρόσωπον, εἰς τὸ γνωριμώτατον αὐτοῖς ἀπέσκηψεν (59) ἡ ταπείνωσις, εἰς τὸν νόμον, φημὶ, καὶ τὴν περιτομήν. Ἰδιαίτατος γὰρ χαρακτὴρ αὐτοῖς ὁ νόμος. Ἐγνώρισε γὰρ, φησὶ, *δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ. Οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει.* Καὶ ἡ περιτομὴ δὲ σφραγὶς ἦν αὐτοῖς καὶ ἐπίσημον. Καὶ ψυχὴ δὲ, ὑβριστικῶς χρωμένη τοῖς θείοις ἀγαθοῖς, λυσιτελὴς (60) ἡ ταπείνωσις, καὶ μάλιστα ἐὰν εἰς πρόσωπον αὐτῆς γένηται. τουτέστιν, ἐὰν συνορᾷ τὴν αἰτίαν τῆς ταπεινώσεως, καὶ αἴσθησιν λαμβάνουσα, ἐπιγινώσκῃ αὐτήν.

B

Israel et Ephraim debilitabuntur in injustitiis suis, et languebit Judas una cum ipsis. In bello debilitati vincentur, captivitatisque tempore ceu debiles servi erunt. Præterea Juda regnum infirmabitur cum ipsis, quandoquidem et Syriæ reges et Babylonii plerasque ipsius civitates diruerint, præterquam quod decem in Samaria tribus ceperint, et in servitutem suam secum abduxerint : hanc ob rem et posteriore loco Juda recordatus est. Quæ de re vero hæc utrique patientur? Propter injustitias suas, quibus se mutuo confecerunt, et injuriis in Deum exstiterunt, honorem, natura ipsi convenientem, in alios transferentes : proinde qui Dominum non habet, infirmus est. Ait enim David : *Robur meum et laudatio mea Dominus*[36] : ac divus Paulus : *Omnia possum in eo,* **51** *qui me confortat, Christo*[37]. Etenim Christus Dei est potentia, citraque ipsum nihil quidquam facere valemus. Qui igitur vel Græcus vel Hebræus perficiet virtutem?

C Καὶ Ἰσραὴλ καὶ Ἐφραὶμ ἀσθενήσουσιν ἐν ταῖς ἀδικίαις αὐτῶν, καὶ ἀσθενήσει Ἰούδας μετ' αὐτῶν. Καὶ ἐν τῷ πολέμῳ ἀσθενήσαντες ἡττηθήσονται, καὶ κατὰ τὸν τῆς αἰχμαλωσίας καιρὸν, ὡς δοῦλοι ἀσθενεῖς ἔσονται. Ἀλλὰ καὶ ἡ τοῦ Ἰούδα βασιλεία ἀσθενήσει σὺν αὐτοῖς. Καὶ γὰρ αὐτῶν πολλὰς πόλεις οἵ τε τῆς Συρίας βασιλεῖς καὶ οἱ Βαβυλώνιοι καθεῖλον· μετὰ τὸ ἀνδραποδισθῆναι τὰς ἐν Σαμαρείᾳ δέκα φυλάς· διὸ καὶ ὕστερον τοῦ Ἰούδα ἐμνήσθη. Διὰ τί δὲ ταῦτα πείσονται ἀμφότεροι; Διὰ τὰς ἀδικίας αὐτῶν, ἃς τε ἀλλήλους ἠδίκουν καὶ ἃς τὸν Θεὸν ἠδίκησαν, τὴν αὐτῷ φύσει προσήκουσαν τιμὴν ἄλλοις προστιθέντες. Ὁ οὖν τὸν Κύριον μὴ ἔχων, ἀσθενεῖ· φησὶ γὰρ ὁ Δαβίδ· *Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος*· καὶ ὁ Παῦλος, *Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ.* Χριστὸς γὰρ, Θεοῦ δύναμις, καὶ χωρὶς αὐτοῦ οὐ δυνάμεθα ποιεῖν οὐδέν. Πῶς οὖν ἢ Ἕλλην ἢ Ἑβραῖος τελειώσει ἀρετήν;

VERS 6. *Cum pecudibus et vitulis proficiscentur exquirere Dominum, et nequaquam invenient eum. Declinavit ab ipsis, quoniam Dominum dereliquerunt.* In periculis et calamitatibus constituti, conabuntur victimis me placare sibi, at non invenient me : deflexi enim ab ipsis, ob eam nimirum rationem, quod priores ipsi me deseruerint. Cur vero sacrificantibus ipsis non apparuit Dominus? An propterea, (63) quod non ex toto hoc animo facie-

D Μετὰ προβάτων καὶ μόσχων πορεύσονται τοῦ ἐκζητῆσαι τὸν Κύριον, καὶ οὐ μὴ εὕρωσιν αὐτόν· ἐκκέκλικεν ἀπ' αὐτῶν, ὅτι τὸν Κύριον ἐγκατέλιπον. Ἐν τοῖς δεινοῖς γενομένοις, φησὶν, ἐπιχειρήσουσι διὰ θυσιῶν ἐξιλεώσασθαί με, ἀλλ' οὐχ εὑρήσουσί με· ἐξέκλινα γὰρ ἀπ' αὐτῶν· καὶ ἡ αἰτία, ὅτι αὐτοὶ πρῶτοί με ἐγκατέλιπον (61). Διὰ τί δὲ θυσιάζουσιν αὐτοῖς οὐκ ἐνεφανίζετο (62) ὁ Κύριος; Ἢ διότι οὐκ ἐξ ὅλης ψυχῆς τοῦτο ἐποίουν, ἀλλὰ ψυχρῶς καὶ πρὸς

[35] Psal. CXLVII, 20. [36] Psal. XVII, 2. [37] Philipp. IV, 13.

Variæ lectiones et notæ.

(58) Αἰχμαλωτισθέντων, *captivi cum essent*, Cod. Ven.
(59) Ἐπέσκηψεν, Cod. Bav.
(60) Scribendum fortasse λυσιτελεῖ.
(61) Ὅτι τὸν Κύριον ἐγκατέλιπον, *quia Dominum dereliquerunt*, Cod. Bav.
(62) Ἐνεφανίζητο, Cod. Ven.
(63) Sequentia citra interrogationem in utroque codice, cum Bav. tum Ven., efferuntur, sic : *Vel quia ex tota anima hoc non faciebant : vel quia*, etc.

Digitized by Google

καιρόν· ὁ δὲ νόμος, ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας ἀγαπᾶν τὸν Θεὸν διακελεύεται· ἢ ὅτι ἐξεπορεύοντο πρὸς τοὺς ψευδεῖς θεούς, ὡς εἰς Κύριον· οὐχ εὑρίσκετο δὲ αὐτοῖς ὁ ὄντως Κύριος, ὥσπερ καὶ τὸ εἴδωλον ζῶντα Κύριον ἔλεγον. Σημείωσαι δὲ δύο προσώπων ἔμφασιν. *Ἐκκέκλικε* γὰρ *ἀπ' αὐτῶν*, φησὶν, ὁ Κύριος, *ὅτι τὸν Κύριον κατέλιπον* (64). Εἰ δὲ καὶ τὸ Πνεῦμα ταῦτα λέγει ἐν τῷ προφήτῃ, ἰδοὺ καὶ τὸ τρίτον πρόσωπον. Ὅρα δὲ, ὅτι τὰς νομικὰς θυσίας κατέπαυσεν ἤδη· ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας. Μόνῃ γὰρ καὶ πίστει καὶ βαπτίσματι ὁ Κύριος εὑρίσκεται, ὁ τὰς ἁμαρτίας ἀφιείς. Ἀλλὰ καὶ τῇ ζητούσῃ τὸν Κύριον ψυχῇ μετὰ ἠλιθιότητος, ἣν παρεμφαίνει τὰ *πρόβατα*, οὐχ εὑρίσκεται (65). *Γίνεσθε* γὰρ, φησὶ, *φρόνιμοι, ὡς οἱ ὄφεις* (66)· καὶ, *Ἐν σοφίᾳ περιπατεῖτε*. Ἀλλ' οὐδὲ μετὰ δυνάμεως σωματικῆς, ἣν ὑποδηλοῖ τὸ τῶν βοῶν γένος. *Ἡ γὰρ δύναμις τοῦ Θεοῦ, ἐν ἀσθενείᾳ τελειοῦται*· καὶ, *Ὅσον ὁ ἔξω ἄνθρωπος φθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται.*

Ὅτι τέκνα ἀλλότρια ἐγεννήθησαν αὐτοῖς, καὶ νῦν καταφάγεται αὐτοὺς ἡ ἐρυσίβη, καὶ τοὺς κλήρους αὐτῶν. Ὁ μὲν νόμος ἐκώλυεν ἀλλόφυλον γυναῖκα λαμβάνειν, *Μήποτε*, φησὶν, *ἀποστήσῃ τὸν υἱόν σου ἀπ' ἐμοῦ, καὶ πορευθεὶς λατρεύσῃ θεοῖς ἑτέροις*· ὃ καὶ Σολομὼν] πέπονθεν. Αὐτοὶ δὲ ἀλλοφύλους γυναῖκας λαμβάνοντες, ἐπαιδοποίουν ἐξ αὐτῶν. Ἡ *ἀλλότριά* φησι *τέκνα*, τὰ ἐξ αὐτῶν τῶν Ἰσραηλιτίδων γυναικῶν γεννηθέντα. Οὐκ ἐμά γάρ, φησὶ, ταῦτά ἐστιν, οὐδὲ ἐμοὶ ἀνετέθησαν, ἀλλὰ τοῖς εἰδώλοις. Ἀλλότρια οὖν εἰσιν. Ἐρυσίβην δὲ λέγει, τάχα μὲν καὶ αὐτὴν τὴν ἐπισυμβαίνουσαν βλάβην τοῖς καρποῖς ἐκ τῆς τοῦ ἀέρος δρόσου· τάχα δὲ καὶ τὴν τῶν πολεμίων (67) πληθύν, ἥτις ἐρυσίβης δίκην, αὐτούς τε τοὺς ἄνδρας διέφθειρε καὶ τοὺς κλήρους αὐτῶν, τουτέστι τὰς κληρονομίας ἐδῄωσε (68) καὶ ἠφάνισεν. Εἰκότως δὲ τέκνων μνησθείς, καὶ κλήρων ἐπεμνήσθη, μονονουχὶ τοῦτο λέγων· Ἔτι [*f.* ὅτι] Ἐπειδὴ ἀλλότριά εἰσι τὰ τέκνα, εἰκότως οὐδὲ κλήρων εἰσὶν ἄξια. Εἶπε δὲ τὸ, *Νῦν*, ἵνα δηλώσῃ, ὅτι οὐκ εἰς μακρὰν ἔσται ταῦτα. Καὶ οἱ Χριστοκτόνοι τέκνα ἀλλότρια ἦσαν. *Εἰ τέκνα* γὰρ, φησὶ, *τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν*· διὰ τοῦτο καὶ ἡ τῶν Ῥωμαίων στρατιὰ ἐπαφείθη αὐτοῖς ἄνωθεν καὶ ἐξ οὐρανοῦ, ὡς ἡ ἐρυσίβη, καὶ διέφθειρεν αὐτούς τε καὶ κλήρους αὐτῶν, τουτέστι, πάσας τὰς χώρας, ἃς κατεκληροδότησεν αὐτοῖς ὁ τοῦ Ναυῆ Ἰησοῦς· ἢ καὶ τὰς ἱερατικὰς καὶ ἀρχιερατικὰς (68*) αὐτῶν ἀξίας. Ὅταν δὲ καὶ ἐν τῇ ψυχῇ γεννηθῶσι

bant, sed frigide et ad tempus? Lex vere ex toto corde, ex tota anima, et ex tota mente diligere Deum præcipit. Vel ideo, quod proficiscebantur ad vanos deos tanquam ad Dominum, non inveniebatur autem ipsis, qui vere est Dominus. Jam quanta impietate idolum viventem Deum dicebant? Observa autem duarum personarum indicium. *Declinavit*, inquit, *ab ipsis* Dominus, *quoniam Dominum dereliquerunt*. Quod si Spiritus hæc in prophetam dicat, ecce tertiam personam. Expende porro, quod legalia sacrificia desierunt jam. Nam impossibile erat, sanguinem taurorum et hircorum auferre peccata[38]. Sola namque fide et baptismate invenitur Dominus, peccata dimittens. Præterea quærenti Dominum animæ cum stoliditate, quam præ se pecudes ferunt, non invenitur : *Estote enim*, inquit, *prudentes, sicut serpentes*[39], et : *In sapientia circumambulate*[40]. Nec potentia etiam corporali [quam boum genus significat] invenitur Deus. Nam *Potentia Dei in infirmitate perficitur*, et : *Quantum exterior homo corrumpitur, tanto interior innovatur*[41].

Vers. 7. *Quoniam filii alieni nati sunt ipsis, et nunc devorabit eos ærugo et sortes eorum.* Lex quidem vetuit non accipere uxorem ex alienigenis, *Ne*, inquit, *faciat deficere filium tuum a me, et profectus serviat aliis diis*[42] : quod et Solomoni contigit. At ipsi alienigenas ducentes in uxores, pueros ex ipsis gignebant. Vel alienos sibi appellat natos etiam ex Israelitidibus. Non enim, inquit, mei sunt liberi, neque mihi sunt dicati, cæterum idolis : alieni igitur sunt. Æruginem vocat partim ipsam frugibus accidentem noxam, ex aeris rore : partim etiam hostium multitudinem, quæ æruginis instar, ipsos homines corrupit, et sortes, hoc est hæreditates ipsorum vastavit delevitque. Merito autem filiorum mentione facta, meminit juxta sortium, tantum non hoc dicens : Quoniam alieni sunt liberi, indigni sunt merito hæreditate. Dicit autem, *Nunc*, peculiariter **52** ideo, ut significet hæc non diu absutura. Christi occisores, alieni etiam filii fuerunt : *Nam si filii*, inquit, *Abrahæ essetis, opera quoque Abrahæ faceretis*[43]. Hinc et Romanorum expeditio desuper ipsis et ex cœlo veluti ærugo admissa est, quæ cum ipsos, tum sortes eorum corrupit, hoc est, omnes regiones quas ipsis hæreditatis vice distribuit Nave filius Jesus : vel sacerdotales, adeoque pontificias ipsorum dignitates. Quando vero in anima nati fuerint filii, abalienati a Deo et remoti a testamentis ejus, ad quos dicere queat Deus : *Filii alieni mentiti sunt mihi*[44] [sunt

[38] Hebr. x, 4. [39] Matth. x, 16. [40] Coloss. iv, 5. [41] II Cor. iv, 16. [42] Exod. xxxiv, 16. [43] Joan. viii, 39. [44] Psal. xvii, 46.

Variæ lectiones et notæ.

(64) Ἐγκατέλιπον Cod. Ven.
(65) Εὑρίσκεται Κύριος Cod. Ven.
(66) Verba *ut serpentes* desunt in cod. Ven.
(67) Πολέμων, *bellorum* Cod. Bav.
(68) Ἔδησε Cod. Bav.
(68*) Ἀρχικὰς Cod. Ven.

Digitized by Google

autem hæc vel impia dogmata, vel prava opera], tum talium matrem animam ærugo corrumpit, in ipsa facta affectio, ex principe potestatis aeris, efficaciter operantis in filiis inobedientiæ, nec ipsam tantummodo, verum etiam sortes ipsius; privatur enim cœlestibus mansionibus quas per quamlibet virtutem hæreditario acceptura erat, ad quamlibet perducta, quas manus Domini Jesu Christi distribuunt. De quibus et David ait : *In manibus tuis sortes meæ* [46].

A τέκνα ἀπηλλοτριωμένα τοῦ Θεοῦ, καὶ ξένα τῶν διαθηκῶν, πρὸς οὓς ἂν εἴποι ὁ Θεός· *Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι*· ταῦτα δέ εἰσιν ἢ δόγματα ἄθεα, ἢ ἔργα παράνομα· τότε τὴν τῶν τοιούτων μητέρα ψυχὴν, ἡ ἐρυσίβη καταφθείρει, ἡ ἐγγινομένη αὐτῇ διάθεσις ἐκ τοῦ ἄρχοντος τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας· οὐκ αὐτὴν δὲ μόνην, ἀλλὰ καὶ τοὺς κλήρους (69) αὐτῆς. Στερεῖται γὰρ τῶν ἐν οὐρανοῖς μονῶν, ἃς ἔμελλε κληρονομεῖν δι' ἑκάστης ἀρετῆς πρὸς ἑκάστην φερομένη, ἃς αἱ χεῖρες τοῦ Ἰησοῦ Χριστοῦ διανέμουσι, πρὸς ὃν (70) καὶ Δαβὶδ λέγει· *Ἐν ταῖς χερσί σου οἱ κλῆροί μου.*

VERS. 8. *Canite tuba super colles, strepitum et sonitum facite super alta, prædicate in domo On.* Cum supra dixisset : quoniam *Nunc ærugo devoravit ipsas* [47], indicans per *nunc*, citra cunctationem superventura eis dura, proscindit jam idolorum imbecillitatem dicens : Quia super colles et montium juga immolabatis, atque adeo in domo Bæthel, quam nominavit domum On, hoc est inutilis. Quem enim On septuaginta dixerunt, hunc reliqui interpretes inutilem reddiderunt. Erat autem idolum, vel imago vaccæ in Bæthel. Implorate ergo jam opem deorum, in hisce locis cultorum : præterea bellicis turbis et hostilibus vociferationibus utimini, adversum hostes impetum et irritationem facientes, ipsosque locos in quibus litabatis, et auxilium deorum sacrificia recipientium, vobiscum habentes.

Σαλπίσατε σάλπιγγι ἐπὶ τοὺς βουνοὺς, ἠχήσατε ἐπὶ τῶν ὑψηλῶν, κηρύξατε ἐν τῷ οἴκῳ Ὼν. Εἰπὼν ἀνωτέρω, ὅτι *Νῦν ἡ ἐρυσίβη καταφάγεται*, καὶ δηλώσας διὰ τοῦ, *Νῦν*, ὅτι ταχέως αὐτοῖς ἐπιστήσεται τὰ δεινὰ, κωμῳδεῖ νῦν τὴν τῶν εἰδώλων ἀσθένειαν, λέγων, ὅτι Ἐπειδὴ ὑμεῖς ἐπὶ τῶν βουνῶν καὶ ἐπὶ τῶν ὑψηλῶν ἐθύετε ἐν τῇ Βαιθὴλ (71) (ἣν ὠνόμασεν οἶκον τοῦ Ὼν, τουτέστι τοῦ ἀνωφελοῦς. Ὃν γὰρ εἶπον οἱ Ἑβδομήκοντα Ὼν, τοῦτον οἱ ἄλλοι ἑρμηνευταὶ, *ἀνωφελῆ*, ἐκδεδώκασιν. Εἴδωλον δὲ δαμάλεως ἦν ἐν Βαιθὴλ [72]), ἐπικαλέσασθε τὴν βοήθειαν τῶν ἐν τοῖς τόποις τούτοις θεραπευομένων θεῶν, καὶ ταῖς πολεμικαῖς σάλπιγξι καὶ τοῖς ἀλαλαγμοῖς ἀπὸ τῶν ὑψηλῶν χρήσασθε, ὁρμητήρια ποιούμενοι κατὰ τῶν ἐχθρῶν, αὐτοὺς τοὺς τόπους, ἐν οἷς ἐθύετε, καὶ τὴν βοήθειαν τῶν τὰς θυσίας δεχομένων θεῶν μεθ' ἑαυτῶν ἔχοντες.

VERS. 8, 9. *Sublatus est Benjamin, Ephraim in exstinctionem factus est.* Benjamin appellat duarum tribuum regnum, quod multis in locis Judam vocat : interdum quidem ab Juda, interdum vero a Benjamin, totum synecdochice nominat. Ait ergo quod Hierosolymitani defecerunt, hoc est, e medio sublati sunt, perierunt, ut qui ipsi impie egerint. Etenim Astartæ deæ sacrificabant in excelsis, et solem adorabant, ut Ezechiel testatur (74).

Ἐξέστη Βενιαμὶν, Ἐφραὶμ εἰς ἀφανισμὸν ἐγένετο. Βενιαμὶν λέγει τὴν τῶν δύο φυλῶν βασιλείαν, ἣν πολλαχοῦ (73) Ἰούδαν καλεῖ· ποτὲ μὲν γὰρ ἀπὸ τοῦ Ἰούδα, ποτὲ δὲ ἀπὸ τοῦ Βενιαμὶν τὸ ὅλον καλεῖ συνεκδοχικῶς. Φησὶν οὖν, ὅτι καὶ οἱ ἐν Ἱεροσολύμοις ἐνέστησαν [*f.* ἐξέστ.], τουτέστιν, ἐκ μέσου ἐγένοντο, ἀπώλοντο, ὡς καὶ αὐτοὶ ἀσεβήσαντες. Καὶ γὰρ τῇ τε Ἀστάρτῃ ἔθυον ἐν τοῖς ὑψηλοῖς, καὶ τῷ ἡλίῳ προσεκύνουν, ὡς καὶ Ἰεζεκιὴλ φησιν· ὅθεν καὶ τινες αὐτοὺς ἐνόησαν οἶκον Ὼν λέγεσθαι, τουτέστι τοῦ ἡλίου· ὥσπερ οἶκος Θεοῦ, οἱ εὐσεβεῖς.

53 *In die redargutionis, in tribubus tuis, Israel, monstravi fidelia.* Quæ, inquit, dixi ipsis per prophetas, in quibus mihi nulla est adhibita fides, hæc nunc per ipsa opera cunctis tribubus fidelia monstrabo, in quibus diebus arguam iniquitates ipsorum, puniens eos. Nam *monstrari*, est pro monstrabo, veluti illud : *Foderunt manus meas et pedes meos* [47], pro fodient. Utitur autem Scriptura talibus verbis præteritis pro futuris, ut ostendat Deo nihil futurum esse, verum omnia ipsum præoccupare præscientia et prædefinitione. Simul autem ut certiores nos reddat, quod omnia sic contingent.

Ἐν ἡμέρᾳ ἐλέγχου ἐν ταῖς φυλαῖς σου, Ἰσραὴλ, ἔδειξα πιστά. Ἅ, φησὶν, ἔλεγον αὐτοῖς διὰ τῶν προφητῶν τῶν ἔργων, πάσαις ταῖς φυλαῖς δείξω πιστὰ, ἐν αἷς ἡμέραις ἐλέγχω τὰς παρανομίας αὐτῶν, κολάζων αὐτούς· τὸ γὰρ, *Ἔδειξα*, ἀντὶ τοῦ, δείξω, ὡς τό, *Ὤρυξαν χεῖράς μου καὶ πόδας μου*, ἀντὶ τοῦ, ὀρύξουσι. Χρῆται δὲ τοῖς ῥήμασιν ἡ Γραφὴ οὕτως, ἵνα (75) δείξῃ, ὅτι Θεῷ οὐδὲν μέλλον, πάντα δὲ προλαμβάνει τῇ προγνώσει καὶ τῷ προορισμῷ· ἅμα δὲ, ἵνα πληροφορήσῃ ἡμᾶς, ὅτι πάντως ἐκβήσεται τὰ λεγόμενα. Καὶ ὥσπερ ἀδύνατόν ἐστι τὰ ἤδη γεγενημένα μὴ γεγενῆσθαι, οὕτως ἀδύνατόν ἐστι καὶ ταῦτα

[46] Psal. xxx, 16. [47] Isa. li, 8. [47] Psal. xxi, 17.

Variæ lectiones et notæ.

(69) Κληρονόμους, *hæredes*, Cod. Bav.
(70) Ἧν, *quam*, Cod. Bav.
(71) Ἐσθίετε καὶ ἐν τῷ Θαιβὴλ, *comeditis etiam in Thæbel*, Cod. Ven.
(72) Θαιβὴλ, *Thæbel*, Cod. Ven.
(73) Πανταχοῦ, *ubique*, Cod. Bav.
(74) Codex Venetus addit : *ut et Ezechiel testatur. Quare nonnulli existimarunt eos domum On, solis videlicet, appellari.* Ita et Cod. Bav.
(75) Ἅμα μὲν, ἵνα, *partim ut*, Cod. Bav.

Digitized by Google

μὴ ἔσεσθαι, ἃ ὡς γεγενημένα λέγονται. Ἔδειξε δὲ πιστὰ καὶ ἐν ταῖς ἡμέραις τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως, σαλεύσας τὴν κτίσιν, καὶ ἐκ τούτου ἐλέγχων μὲν ἐκείνους, πιστούμενος δὲ τὴν οἰκείαν θεότητα. Βενιαμὶν *υἱὸς ὀδύνης*, λέγεται· καὶ γὰρ ἡ Ῥαχὴλ, ἐν τῷ τίκτειν αὐτὸν, δυστοκήσασα, καὶ ἀποθνήσκουσα, *Υἱὸς ὀδύνης μου*, αὐτὸν ἐκάλεσεν· ὁ δὲ πατὴρ Βενιαμὶν αὐτὸν ὠνόμασε. Πᾶς δὲ ἁμαρτωλὸς, υἱὸς ὀδύνης· εἰ μὲν πρὸς μετάνοιαν ἀπίδοι, ἐνταῦθα ὀδυνώμενος, καὶ πενθῶν· εἰ δὲ ἀμετανόητος ἀπέλθοι, ταῖς αἰωνιζούσαις ὀδύναις ὑπόδικος ὤν. Ὁ δὲ τοιοῦτος, καὶ ὅτε ἁμαρτάνει, ἐξίστασθαι λέγεται· ἡ γὰρ ἁμαρτία ἔκστασίς ἐστι τοῦ κατὰ φύσιν, καὶ ἄλλως ἀπὸ τῆς ἀφροσύνης γίνεται. Ὅθεν καὶ Δαβὶδ ποτὲ μὲν ἀπὸ προσώπου τῆς ἀφροσύνης λέγει προσοζέσαι αὐτῷ τοὺς μώλωπας, ποτὲ δέ· *Ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει μου· Ἀπέῤῥιμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου.* Καὶ ὅτε δὲ μετανοεῖ, ἐξίσταται πάντως τῆς συνηθείας. Εἰ δὲ καὶ Ἐφραὶμ, *αὔξησις*, λέγεται, ὁράτω ὁ αὐξανόμενος ἐν κακίᾳ (76), μήπως εἰς ἀφανισμὸν γένηται. Πότε (77); Ὅτε ἐν ἡμέραις ἐλέγχου, τουτέστι τῆς τελευταίας κρίσεως, καθίσει μετὰ τῶν δώδεκα μαθητῶν αὐτοῦ, κρινόντων τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ, δεικνὺς πιστὴν τὴν θεότητα αὐτοῦ. Τότε γὰρ *ὄψονται, εἰς ὃν ἐξεκέντησαν*, καὶ γνώσονται, ὅτι οὐ ψιλὸς ἄνθρωπος ἦν.

A Et perinde ac impossibile est, quæ jam facta sunt, facta non esse : sic impossibile est hæc etiam non fore, quæ dicuntur. Monstravit autem fidelia et in diebus crucis et resurrectionis, concusso mundo, per hoc arguens quidem illos, suam vero deitatem certam exhibens. Benjamin *filius doloris* dicitur. Etenim Rachel dum pareret ipsum, in partu periclitans et moriens, ipsum *filium doloris* appellavit : pater autem Benjamin illum vocavit. Ad hæc omnis peccator est doloris filius, si modo ad pœnitentiam respexerit hic dolens et lugens : sin citra resipiscentiam abierit ex hoc mundo, perpetuo durantibus doloribus obnoxius erit. Hujusmodi quando peccat, excedere dicitur : peccatum enim excessus est a natura, et alias ab insipientia fit. Unde et B David quandoque ait : a facie insipientiæ olfieri ipsi vibices [48] : quandoque vero : *Ego dixi in excessu meo : Projectus sum a facie oculorum tuorum* [49]. Sin resipiscat peccator, excedit omnino a consuetudine. Quod si Ephraim *augmentum* dicitur, videat qui crescit in malitia, nequando ad excidium perveniat. Olim autem cum in diebus redargutionis, hoc est postremi judicii, sedebit Dominus cum duodecim discipulis suis, judicantibus duodecim tribus Israelis [50], monstrans fidelem et veram deitatem suam. Tunc *videbunt in quem pupugerunt* [51], et agnoscent quod non vilis, nec exiguus homo sit Jesus.

Ἐγένοντο οἱ ἄρχοντες Ἰούδα ὡς μετατιθέντες ὅρια· ἐπ' αὐτοὺς ἐκχεῶ ὡς ὕδωρ τὸ ὁρμημά μου. Τουτέστι, Τοὺς ἐμοὺς νόμους οὕτως μετετίθουν, ὡς οἱ μετατιθέντες τὰ ἐν ταῖς ἀρούραις ὁροθέσια, δι' ὧν τὸ λάχος ἑκάστου γνωρίζεται, καὶ τὴν ἐμοὶ ὀφειλομένην τιμὴν οὕτω μετέφερον ἐπὶ τὰ εἴδωλα· ἢ καὶ ὡς πλεονέκτας αὐτοὺς διαβάλλει. Διό φησιν· Οὕτως ὁρμήσω κατ' αὐτῶν, ὡς ὕδωρ ῥαγδαῖον, καὶ οἷόν τις χειμάῤῥους, ὑπὸ πολλῶν ὄμβρων καὶ χιόνος ἐκτραχυνθεὶς, καὶ μετὰ ὁρμῆς ἀνυποστάτου φερόμενος. Μετατιθέασιν ὅρια καὶ τῶν Ἑβραίων οἱ τὸν νόμον παρερμηνεύοντες, καὶ ἔτι κατέχειν αὐτὸν φιλονεικοῦντες. Ἄχρι γὰρ Ἰωάννου περιωρίσθη ἡ τούτου φυλακή. Διὸ ἡ ὀργὴ τοῦ Θεοῦ ἐπ' αὐτοὺς ἐγχυθεῖσα [*f.* ἐκχ.], ὡς ὕδωρ διεσκόρπισεν αὐτούς. Καὶ ὅταν δέ τις ἀρχων ὢν Ἰούδα, καὶ ἐξομολογησάμενος, καὶ ὑποσχόμενος, καὶ ὁρίσας μηκέτι τοῖς αὐτοῖς προσχεῖν, μεταθήσει τοὺς τοιούτους ὅρους, καὶ ἐπιστρέψει, ὡς κύων, ἐπὶ τὸ ἴδιον ἔξέραμα, ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τὸν τοιοῦτον ἐγχεῖται [*f.* ἐκχ.] ἀθρόα, ὥσπερ τὸ τῆς Ἐρυθρᾶς ὕδωρ ἐπὶ τὸν Φαραὼ, πολλάκις ψευσάμενον, καὶ κατὰ τὴν ἀμετανόητον αὐτοῦ καρδίαν τηρηθέντα εἰς ἔνδειξιν τῆς τοῦ Θεοῦ δυνάμεως· Θεὸς γὰρ οὐ μυκτηρίζεται.

C Vers. 10. *Facti sunt principes Juda ut transponentes terminos ; super ipsos effundam tanquam aquam indignationem meam.* Hoc est, leges meas sic transponebant, æque atque in arvis terminos transponentes facere solent, per quos sua cuique sors cognoscitur, sicque debitum meum honorem transferebant ad idola. Vel ipsos etiam cupiditate plura habendi laborantes reprehendit hoc pacto : Propterea, inquit, sic irruam super ipsos, velut aqua impetuosa, et veluti torrens aliquis multis imbribus et nive exasperatus, cumque vehementi impetu sese volutans. Transponunt etiam terminos, Hebræorum legem perperam interpretantes, ipsamque observare contendentes **54** [nam usque ad Joannem definita fuit legis custodia] eo quod ira Dei super ipsos effusa tanquam aqua, eos dispersit [52]. D Quando vero quisquam princeps Juda exsistens, confessus fuerit, ac promiserit se non iisdem pravis studiis admoturum mentem, idque secum decreverit, et interim transmoverit tales fines, atque decretum suum fecerit irritum, ac reversus fuerit instar canis ad proprium vomitum, ira Dei super talem prorsum effunditur : perinde ac Rubri maris aqua super Pharaonem, qui sæpius mentitus erat, juxtaque cor suum permutationis in melius expers servatus erat, ad ostensionem virtutis Dei. Deus enim non subsannatur.

[48] Psal. xxxvii, 6. [49] Psal. xxx, 23. [50] Matth. xix, 28. [51] Joan. xix, 37. [52] Psal. lxxvii, 31.

Variæ lectiones et notæ.

(76) Καιρίᾳ, Cod. Bav.

(77) Πότε ; *quandonam ?* Cod. Ven. πότε δέ ; ὅτε ἐν ἡμέραις κ. τ. λ. *Quandonam vero ? cum scilicet in diebus*, etc., Cod. Bav.

Digitized by Google

Vers. 11. *Oppressit Ephraim adversarium suum, conculcavit judicium, quoniam cœpit proficisci post vana.* Cum de principibus Juda dixisset, quod transposuissent terminos, eosque accusasset, quod cum impii tum avari essent, in iisdem pariter Ephraim reprehendit. Ipsum enim ceu injurium carpit, ac talem, qui præ potentia sua conculcet judicium, sive justum, neque ipse opportune et commode sententiam ferat, neque alios judicantes sequatur. Causa vero hujus ad idola est affectio et sectatio. Vana enim ipsa idola vocat. Quod si me coluissent, inquit, dilexissent leges meas, quibus justitia sancitur. Potuerint etiam hæc alia ratione intelligi. Judas non omnino a lege aversus est. Fuerunt enim inter ipsos qui conquererentur de idolorum cultoribus, ingemiscerentque ob legis transgressores, quemadmodum Ezechiel testatur. Ephraim vero plane malam victoriam retulit : etenim vi, veluti hostem quempiam, devicit legem meam quam odit. Quod apertius interpretans dixit : *Conculcavit judicium*, hoc est, legalem justitiam non curavit. Quadrabunt hæc in eos qui contra Christum insanierunt, adversarium illum habentes, ut qui contraria ipsis et dixerit et fecerit, contra quem potentes fuerunt, conculcantes judicium, ferente Pilato sententiam, ut dimitteretur : secuti sunt enim vanos suos doctores. Quod si omnia sint *vanitas vanitatum* [88], ut Ecclesiastes dixit : principium pravi quæstus et injustitiæ fuerit, iter facere pro hujus mundi bonis conquirendis, eaque veluti mediam maceriem habere, quam propter, quæ ante nos sint, atque ipsa adeo futura, non liceat intueri.

Vers. 12. *Ego vero tanquam turbatio Ephraim, ac veluti aculeus domui Juda.* Quia ipsius Ephraim regnum primum periit ab Syris et Babyloniis, Juda vero postea occidit : Ephraim, inquit, turbabo, conturbatum jam veluti instante bello ; Juda vero, stimulus ero. Cum enim is Ephraim interire cernit, se quoque non dissimilia passurum formidat. Porro Christus neque turbatio, neque stimulus est, cæterum **55** tanquam turbatio, et tanquam aculeus. Pacem enim, inquit, prædico, morbosque curo. Isti autem invidia stimulantur, turbanturque, dicentes : Ecce mundus post ipsum vadit. Deinde quando peccantes fortunati erimus, dicentes : Pax est atque securitas : vel cogitationibus de peracto malo nos consolamur, Deus, inquientes, benigne humaniterque nos curat : tum vel secundiorem istum in pravitate cursum turbat, vel cogitationes discutit, injiciens stimulum memoriæ mortis, suppliciorumque post mortem consequentium.

Vers. 13. *Viditque Ephraim languorem suum, et Judas dolorem suum.* Ipsa, inquit, experientia didicit Ephraim imbecillitatem suam, et quomodo ro-

[88] Eccle. I, 2.

A *Κατεδυνάστευσεν Ἐφραὶμ τὸν ἀντίδικον αὐτοῦ, καὶ κατεπάτησε κρῖμα, ὅτι ἤρξατο πορεύεσθαι ἐπίσω τῶν ματαίων.* Εἰπὼν περὶ τῶν ἀρχόντων τοῦ Ἰούδα, ὅτι μετέθηκαν ὅρια, καὶ διαβαλὼν αὐτοὺς ἅμα μὲν ὡς ἀσεβεῖς, ἅμα δὲ καὶ ὡς πλεονέκτας, ἐπεγκαλεῖ καὶ τῷ Ἐφραὶμ τὰ αὐτά. Καὶ ὡς ἄδικον γὰρ διαβάλλει αὐτὸν, καὶ ἀπὸ δυναστείας καταπατοῦντα τὸ κρῖμα, ἤτοι τὸ δίκαιον, καὶ μήτε αὐτὸν τὸ δέον κρίνοντα, μήτε ἄλλοις κρίνουσιν ἑπόμενον. Αἰτία δὲ τούτου, ἡ περὶς τὰ εἴδωλα σχέσις καὶ ἀκολούθησις. Μάταια γὰρ τὰ εἴδωλα, φησίν· ὡς εἴ γε ἐμὲ, φησὶν, ἐσέβετο, ἔστεργεν ἂν τοὺς ἐμοὺς νόμους, ἐν οἷς τὸ δίκαιον νομοθετεῖται. Νοηθείεν δ' ἂν ἑτέρως ταῦτα· Ὁ μὲν Ἰούδας, φησὶν, οὐχ ἅπαξ ἐξετράπη τοῦ νόμου. Ἦσαν B γὰρ ἐν αὐτοῖς οἱ μεμφόμενοι τοὺς εἰδωλολατροῦντας, καὶ στενάζοντες ἐπὶ τοῖς παρανομουμένοις, ὡς Ἰεζεκιὴλ μαρτυρεῖ· ὁ δὲ Ἐφραὶμ τὴν τελειοτάτην, φησὶν, ἤρατο τὴν κακὴν νίκην· κατεδυνάστευσε γὰρ ὥσπερ τινὰ ἐχθρὸν, τὸν νόμον τὸν ἐμὸν, ὃν ἐμίσησεν. Ἑρμηνεύων δὲ σαφέστερον, τοῦτο εἶπε· *Κατεπάτησε κρῖμα*· τουτέστι, Τῆς ἐννόμου δικαιοσύνης οὐκ ἐφρόντισε, διότι ἠγάπησε τὰ εἴδωλα. Ταῦτα καὶ τοῖς κατὰ Χριστοῦ λυττήσασιν ἁρμόσει, οἳ ἀντίδικον αὐτὸν ἔχοντες, ὡς τὰ ἐναντία αὐτοῖς καὶ λέγοντα καὶ ποιοῦντα, κατεδυνάστευσαν καταπατήσαντες τὸ ἐπ' αὐτῷ κρῖμα, Πιλάτου κρίναντος αὐτὸν ἀπολύειν· ἠκολούθησαν γὰρ τοῖς ματαίοις αὐτῶν διδασκάλοις. Εἰ δὲ καὶ *τὰ πάντα ματαιότης ματαιοτήτων*, ὡς εἶπεν ὁ Ἐκκλησιαστὴς, ἀρχὴ C πλεονεξίας καὶ ἀδικίας τὸ ὀπίσω τῶν τοῦ κόσμου ἀγαθῶν πορεύεσθαι, καὶ ἔχειν αὐτὰ μεσότοιχον, καὶ μὴ ἐῶντα βλέπειν τὰ ἔμπροσθεν καὶ τὰ μέλλοντα.

Καὶ ἐγὼ ὡς ταραχὴ τῷ Ἐφραὶμ, καὶ ὡς κέντρον τῷ οἴκῳ Ἰούδα. Ἐπειδὴ ἡ μὲν τοῦ Ἐφραὶμ βασιλεία πρότερον ἀπώλετο, ὑπό τε τῶν Σύρων καὶ τῶν Βαβυλωνίων, ἡ δὲ τοῦ Ἰούδα, ὕστερον· Τὸν μὲν Ἐφραὶμ, φησὶ, ταράξω, θορυβούμενον δηλαδὴ, ὡς ἤδη τοῦ πολέμου ἐφεστηκότος· τῷ δὲ Ἰούδα, κέντρον ἔσομαι. Ὁρῶν γὰρ ἐκείνους ἀπολλυμένους, καὶ αὐτὸς οὐ μικρὸν ἠγωνία, καὶ κέντροις φροντίδων ἐβάλλετο, τὰ αὐτὰ ἐλπίζων καὶ αὐτὸς πείσεσθαι. Καὶ ὁ Χριστὸς δὲ, οὔτε ταραχὴ, οὔτε κέντρον, ἀλλ' ὡς ταραχὴ, καὶ ὡς κέντρον. Εἰρήνην γὰρ, φησὶ, D κηρύσσω, καὶ νόσους παύω. Οἱ δὲ τῷ φθόνῳ κεντοῦνται καὶ ταράσσονται, λέγοντες· Ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ὑπάγει. Καὶ ὅταν δὲ ἁμαρτάνοντες, εὐδρομῶμεν καὶ λέγωμεν· Εἰρήνη καὶ ἀσφάλεια· ἢ καὶ διὰ τῶν λογισμῶν συνηγοροῦντες τῷ πραττομένῳ κακῷ· ὁ Θεὸς φιλανθρώπως κηδόμενος ἡμῶν, ἢ τὴν ἐν τοῖς πονηροῖς ἡμῶν εὐδρομίαν ταράσσει, ἢ τοὺς λογισμοὺς διασαλεύει, ἐμβάλλων τὸ κέντρον τῆς τοῦ θανάτου μνήμης καὶ τῶν μετὰ θάνατον κολάσεων.

Καὶ εἶδεν Ἐφραὶμ τὴν νόσον αὐτοῦ, καὶ Ἰούδας τὴν ὀδύνην αὐτοῦ. Ἀπ' αὐτῆς, φησὶ, τῆς πείρας ἔμαθεν Ἐφραὶμ τὴν ἀσθένειαν αὐτοῦ, καὶ

Digitized by Google

ὅπως ἐνόσησεν ἡ ἰσχὺς αὐτοῦ, καὶ Ἰούδας τὸ πλῆθος τῶν ὀδυνῶν αὐτοῦ. A

Καὶ ἐπορεύθη Ἐφραὶμ πρὸς τοὺς Ἀσσυρίους. Ὅτε γὰρ ἀνέβη Φουὰ βασιλεὺς Ἀσσυρίων (78) κατὰ τῶν δέκα φυλῶν, προσῆλθον αὐτῷ, καὶ διὰ χρημάτων, καὶ διὰ πρεσβείας ἐνσπονδον ἐποιήσαντο.

Καὶ ἀπέστειλε πρέσβεις πρὸς τὸν βασιλέα Ἰαρείμ. Τῶν Ἀσσυρίων αὖθις ἐπελθόντων (παρέβαινον γὰρ τὰς σπονδάς), ἀπέστειλαν πρὸς τὸν βασιλέα τῶν Αἰγυπτίων, ὃν Ἰαρεὶμ λέγει, οὐχ ὡς καλούμενον οὕτω, ἀλλ' ἐπειδὴ Ἰαρεὶμ *ἐκδικητὴν* σημαίνει· ἐπεκαλέσαντο γὰρ αὐτὸν, ὡς ἐκδικήσοντα. Ὅτι δὲ περὶ τοῦ Αἰγυπτίων βασιλέως λέγει, κατιὼν δηλώσει.

Καὶ αὐτὸς οὐκ ἠδυνήθη ῥύσασθαι ὑμᾶς, καὶ οὐ μὴ διαπαύσῃ ἐξ ὑμῶν ὀδύνη. Ὑμεῖς μὲν ὡς B ἐκδικητὴν ἐπεκαλέσασθε τὸν Αἰγύπτιον· ἀλλ' αὐτὸς ἀσθενὴς διηλέγχθη, καὶ ἐκ τότε πλείους ὀδύναι ἐπῆλθον ὑμῖν, ὡς ἀπεγνωκόσι παντελῶς τὴν σωτηρίαν. Καὶ πᾶς δὲ προσκεκρουκὼς τῷ Θεῷ, μίαν συμμαχίαν ἔχει τὸ καταλλαγῆναι ἐκείνῳ, ὡς (79) τά γε ἄλλα πάντα ἀνόνητα αὐτῷ, κἂν ἀναλίσκῃ δῶρα δίδοὺς ἀνθρώποις βοηθοῖς, κἂν ὑποτρέχῃ καὶ κολακεύῃ· καὶ οὐ διαπαύσει (80) ἐξ αὐτοῦ ὀδύνη· τοῦτο μὲν, ἐφ' οἷς πάσχει ὀδυνωμένου· τοῦτο δὲ καὶ ἐπὶ τοῖς ἀναλώμασιν, ἃ μάτην ἐκένωσεν. Εὐστοχώτατα δὲ φήσεις καὶ περὶ τῶν Θεοκτόνων εἰρῆσθαι, οἳ ἐπεκαλέσαντο Ἰουλιανὸν, ὡς ἐκδικητήν· ὁ δὲ αὐτὸς ἦν καὶ ὁ νοῦς ὁ μέγας τῶν Ἀσσυρίων, ἵνα τὴν πόλιν αὐτῶν ἀναστήσῃ, ἀλλ' οὔτε ἠδυνήθη ὠφελῆσαι αὐτοὺς, καὶ ὀδύνη οὐ διέλειψεν ἐξ αὐτῶν· καὶ τότε μὲν μυρίοις κακοῖς περιπεσόντων ἐν τῷ τοὺς θεμελίους ὀρύττειν, καὶ μετὰ ταῦτα ὑπὸ τῶν πιστῶν βασιλέων ἐλαυνομένων. C

Διότι ἐγὼ εἰμὶ ὡς πάνθηρ τῷ Ἐφραὶμ, καὶ ὡς λέων ἐν τῷ Ἰούδᾳ. Διὰ μὲν τοῦ πάνθηρος δείκνυσιν, ὅτι ταχέως καὶ ὀξέως ἐπιστήσονται αὐτοῖς τὰ δεινά· ταχὺ γὰρ καὶ κοῦφον ὁ πάνθηρ. Διὰ δὲ τοῦ λέοντος, ὅτι μεγάλα καὶ φοβερά· τοιοῦτον γὰρ ὁ λέων. Οὕτω καὶ τοὺς Ῥωμαίους τοῖς Ἰουδαίοις καὶ τάξεις [*f.* ταχεῖς *vel* ταχέως] ἐπέστησαν [*f.* ἐπέστησεν] (μετ' ὀλίγον γὰρ καιρὸν τῆς σταυρώσεως) καὶ φοβερούς· πάντα γὰρ ἠφάνισαν. Καὶ τῇ ψυχῇ δὲ αὐξανομένῃ ἐν κακίᾳ, πάνθηρ ὁ λόγος γίνεται ὀξέως προνομεύων αὐτὴν, καθὸ εἴρηται· *Κάλεσον* D *τὸ δρομα αὐτοῦ, Ὀξέως προνόμευσον.* Γίνεται δὲ τοῦτο, ὅταν τοὺς ἐν ἡμῖν τῆς ἁμαρτίας συνηγόρους λογισμοὺς καθαιρῇ, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ· τῷ δὲ Ἰούδᾳ, ἤτοι τῷ ἐξομολογουμένῳ, λέων γίνεται διὰ τὸ βασιλικὸν, νομοθετῶν ἤδη αὐτῷ κατὰ τὸ παρὰ τῷ Δαβὶδ λεγό-

bur ipsius elanguerit. Judas item percepit multitudinem dolorum suorum.

Et abiit Ephraim ad Assyrios. Quando ascendit rex Assyriorum adversum decem tribus, adierunt ipsum, et pecuniis et legatione sibi concillantes confœderantesque.

Misitque legatos ad regem Jarim. Assyriis denuo advenientibus (trangressi enim erant fœdera), destinarunt legationem ad regem Ægyptiorum, quem Jarim appellat, non quod hoc ejus nomen fuerit, verum quia Jarim *ultorem* significat : accersiverunt enim ipsum, tanquam futurum vindicem. Quod autem de Ægyptiorum rege verba faciat, posthac planum fiet.

Et ipse non potuit liberare vos, nec ex vobis dolorem cessare faciet. Vos quidem tanquam vindicem accersistis Ægyptium ; enimvero ipse ceu imbecillis inventus est, unde majores vos impetiverunt cruciatus, adeo ut plane de salute desperaretis. Jam quisquis Deum offenderit, unicam opem reliquam sibi tenet, ut reconcilietur denuo ei. Sic qui innumera aliis dona elargitus fuerit, ut eos sibi in socios et confœderatos asciscat, propterea non sistet in sese dolorem, quem sustinet, turbatus primum ob ea quæ in animo suo perpetitur acerba, deinde impensarum nomine quas frustra fecisse animadvertit. Aptissime hoc etiam de Domini interfectoribus dictum asseverabis, qui accersiverunt Vespasianum (81), ceu ultorem. Eadem etiam ingens Assyriorum mens erat, ut urbem eorum erigeret : at nihil eis commodare potuit, nec cessavit ex ipsis cruciatus, ut qui tum quidem in immensa mala conjicerentur, dum fundamenta eorum diruerentur, ac postea a fidelibus regum abducerentur.

Vers. 14. *Quoniam ego sum sicuti panther Ephraim, et velut leo in Juda.* Per pantherem ostendit celeriter et quamprimum ipsis excitanda **56** mala : celer enim et levis est fera panther. Per leonem, quod ingentia terribiliaque sint pericula futura. Terribile enim quippiam leo. Hanc ad rationem, in Judæos Romanos celeriter suscitavit Deus, nempe non post adeo multum temporis crucifixionis, qui horrendi et atroces fuerunt, quippe qui cuncta dirnerint. Animæ in malitia crescenti, verbum etiam panther fit, velociter eam depræ-dans, depascensve, perinde ac dictum est : *Voca nomen ipsius, Cito depascere* [84]. Fit autem hoc, quando peccato in nobis patrocinantes cogitationes abstulerit, omnemque altitudinem attollentem sese adversus cognitionem Dei. Judæ porro se confitenti, leo fit verbum, propter regiam naturam, legem ei

[84] Isa. VIII, 3.

Variæ lectiones et notæ.

(78) Cod. Ven. *Phua, rex Assyriorum :* Cod. vero Bav. habet Φονὰ, *Phona.*

(79) Græca verba ita sonant : *ut alia omnia sunt ipsi prorsus inutilia. Sive substantias suas eroget, munera præbens auxiliariis hominibus, sive blandiatur aduleturque : minime tamen cessare faciet dolorem, quo vexabitur cum ob ea, quæ patietur, tum ob sumptus, quos frustra fecerit.* Fortasse Lonicerus usus est codice minus emendato.

(80) Διασπάσῃ Cod. Ven.

(81) Uterque codex, cum Ven. tum Bav. habet Ἰουλιανὸν, *Julianum.*

Digitized by Google

ferens, juxta id quod apud Davidem dictum est : *Legem ei feret in itinere quod elegit* [55]. Et : *Legem sancito mihi, Domine, viam justificationum tuarum, et exquiram eam semper* [56]. Vel ceu confortans eum, ut a malo deflectens, bonum posthac persequatur.

Egoque rapiam et proficiscar ut panther. Levis enim exsistens, rapit et fugit.

Accipiam, et non erit qui eripiat. Hoc veluti leo faciet, ob unguium robur ac indefessam vim:

Vers. 15. *Ibo et convertam ad locum donec exterminentur.* Quemadmodum, inquit, feræ post venationem revertuntur ad sua latibula, sedantes dolorem ex venatione partum : sic et ego, inquit, apud memet ibo quietem habens, nec in principio detegens providentiam, quæ mihi est erga vos, sed veluti in otio agens, usquedum exstinguamini per nos. Nam dignis adest Deus, ut et ad Jesum Nave dicit : *Uti cum Mose eram, sic tecum etiam commorabor* [57]. Et : *Ecce ego vobiscum sum omnibus diebus* [58]. Et : *Nobiscum Deus* [59]. Abest autem ab indignis Deus, secundum illud : *Cur destitisti a nobis a longe* [60] ? Et : *Veni ut adjuves nos* [61], idque genus alia. Deinde, *Qui fortem ligavit, rapit nos ab illo detentos* [62]. Ac nemo potuit nos eruere ex sancta ejus potentique manu, æque atque in Evangelio ait : *Oves meas nemo diripit ex manu mea* [63]. Accepitque primitias naturæ nostræ, et profectus ad superna in locum suum, ubi prius erat, in sinum Patris, tum statim omnia deleta sunt, quæ ad legis administrationem attinent. Anne vides Deum etiam in nobis haud raro materiem peccatorum auferre? Sunt alicui divitiæ, quibus adversum tenuiores extollitur, diripit eas Deus. Sic fortitudine, aut pulchritudine perperam utens, elanguit, ac deformis est redditus. Qui per honorem ad insipientiam usque effertur levaturque, ad ignominiam decidit. Proinde sic agens Deus proficiscitur, et recte movetur, antea quidem nullum transitum in tali anima obtinens, ac revertitur **57** in locum suum. Locus autem Dei est, mens rationalis hominis, eo quod purgetur a circumstantibus delictis, digna facta divina successione, interea usque dum prorsum excidium fiat humanarum cogitationum.

CAPUT VI.

Vers. 1. *Quærent faciem meam in afflictione sua, et mane venient ad me dicentes : Eamus et revertamur ad Dominum Deum nostrum.* Ut in corporalibus afflictionibus quæ per molles medelas curari nequeunt, opus est austerioribus pharmacis:

μενον· *Νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ᾑρετίσατο·* καὶ, *Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διαπαντός·* ἢ καὶ ὡς ἐνισχύων αὐτὸν, ὥστε ἐκκλίναντα ἀπὸ κακοῦ, ἔτι ποιῆσαι ἀγαθόν.

Καὶ ἐγὼ ἁρπῶμαι, καὶ πορεύσομαι ὡς (82) *πάνθηρ.* Κοῦφος γὰρ ὤν, ἁρπάζει καὶ φεύγει.

Καὶ λήψομαι, καὶ οὐκ ἔστιν ὁ ἐξαιρούμενος. Τοῦτο δὲ λέων διὰ τὴν τῶν ὀνύχων ἀλκὴν, καὶ τὴν ἀκαταπόνητον δύναμιν.

Καὶ πορεύσομαι, καὶ ἐπιστρέψω εἰς τόπον, ἕως οὗ ἀφανισθῶσιν. Ὥσπερ, φησὶ, τὰ θηρία μετὰ τὸ θηρᾶσαί τι ἐπιστρέφουσιν εἰς τοὺς ἰδίους φωλεοὺς, διαναπαύοντα τὸν ἐκ τῆς ἄγρας πόνον· οὕτω κἀγὼ, φησὶ, πορεύσομαι κατ' ἐμαυτὸν ἡσυχάζων, καὶ μὴ ἐν ἀρχῇ ἐκφαίνων τὴν περὶ ὑμᾶς πρόνοιαν, ἀλλ' οἱονεὶ σχολάζων, ἕως οὗ ἀφανισθῆτε ἀφ' ἡμῶν [*f.* ὑμ.]. Πάρεστι μὲν γὰρ ὁ Θεὸς τοῖς ἀξίοις, ὡς καὶ πρὸς τὸν Ναυῆ Ἰησοῦν λέγει· *Ὡς ἤμην μετὰ Μωσῆ, οὕτως ἔσομαι καὶ μετὰ σοῦ·* καὶ, *Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας·* καὶ, *Μεθ' ἡμῶν ὁ Θεός.* Ἄπεστι δὲ τῶν ἀναξίων· ὡς τὸ, *Ἵνα τί, Κύριε, ἀφέστηκας μακρόθεν ;* καὶ, *Ἐλθὲ εἰς τὸ βοηθῆσαι ἡμῖν·* καὶ τὰ τοιαῦτα. Καὶ, *Ὁ δεσμεύσας τὸν ἰσχυρὸν, ἥρπασεν ἡμᾶς ὑπ' ἐκείνου κατεχομένους.* Καὶ οὐδεὶς ἠδυνήθη ἡμᾶς ἐξελέσθαι ἐκ τῆς ἁγίας αὐτοῦ καὶ κραταιᾶς χειρός· ὡς καὶ ἐν τῷ Εὐαγγελίῳ λέγει, ὅτι *Τὰ προβατά μου οὐδεὶς ἁρπάζει ἐκ τῆς χειρός μου.* Ἔλαβέ τε τὴν ἀπαρχὴν τῆς ἡμετέρας φύσεως, καὶ ἐπορεύθη ἄνω εἰς τὸν τόπον αὐτοῦ, ἔνθα ἦν πρότερον εἰς τὸν κόλπον τοῦ Πατρὸς, καὶ ἠφανίσθησαν εὐθὺς πάντα τὰ τῆς νομικῆς πολιτείας. Οὐκ εἶδες καὶ ἐν ἡμῖν πολλάκις τὸν Θεὸν ἁρπάζοντα τὰς ὕλας τῶν ἁμαρτημάτων, Ἔχων τις πλοῦτον, καὶ τούτῳ κατὰ πενεστέρων ἐπαιρόμενος, ἀπέλαβε (83) τοῦτον· ἰσχύϊ καὶ μέλλει [*f.* κάλλει] κακῶς χρώμενος, ἐνόσησε καὶ ἀπεμαράνθη· τῇ τιμῇ εἰς ἀπόνοιαν κυφιζόμενος, ἀτιμίᾳ περιέπεσεν. Οὕτω τοίνυν ποιήσας ὁ Θεὸς, πορεύεται καὶ κινεῖ καλῶς, πρώην μὲν μηδεμίαν πάροδον ἔχων ἐν τῇ τοιαύτῃ ψυχῇ, καὶ ἐπιστρέφει εἰς τὸν τόπον αὐτοῦ. Τόπος δὲ τοῦ Θεοῦ, ὁ νοῦς τοῦ λογικοῦ, διὰ τοῦ καθαίρεσθαι (84) ὑπὸ τῶν περιστατικῶν, ἄξιος γενόμενος θείας ὑποδοχῆς, ἕως οὗ παντελὴς ἀφανισμὸς τῶν ἀνθρωπίνων λογισμῶν γένηται.

ΚΕΦΑΛ. ϛ'.

Καὶ ζητήσουσι τὸ πρόσωπόν μου ἐν θλίψει αὐτῶν, καὶ ὀρθριοῦσι πρός με, λέγοντες· Πορευθῶμεν, καὶ ἐπιστρέψωμεν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν. Ὥσπερ ἐπὶ τῶν σωματικῶν παθῶν, τοῖς μὴ διὰ τῶν μαλακῶν θεραπευομένοις φαρμάκων, χρεία

[55] Psal. xxiv, 9. [56] Psal. cxvi, 33. [57] Jos. i, 5. [58] Matth. xxviii, 20. [59] Matth. i, 23. [60] Psal. ix, 22. [61] Psal. xix, 4. [62] Joan. xviii, 12. [63] Joan. x, 28.

Variæ lectiones et notæ.

(82) Eadem, ordine parum immutato, habet Cod. Bav.

(83) Ἀπέβαλε, *amisit*, Cod. Ven.

(84) Καθαιρεῖσθαι, Cod. Bav.

Digitized by Google

τῶν αὐστηροτέρων· οὕτω καὶ τῶν ἀνθρώπων, ὅσοι διὰ χρηστότητος τοῦ Θεοῦ εἰς μετάνοιαν οὐκ ἄγονται, διὰ τῶν αὐστηροτέρων παιδευόμενοι, τὸ δέον ἐπιγινώσκουσιν· ὥσπερ οὖν καὶ οὗτοι ἐν τῇ τῶν ἀγαθῶν ἀπολαύσει μὴ ἐκζητοῦντες τὸ πρόσωπον τοῦ Θεοῦ, ἤτοι τὴν ἐπιστασίαν αὐτοῦ, καὶ τὸ ἐπισκέπτεσθαι, καὶ ἐφοράσθαι παρ' αὐτοῦ, ἐν τῇ στερήσει τῶν ἀγαθῶν καὶ ἐν ταῖς θλίψεσι ζητοῦσιν (85) αὐτὸν κηδεμόνα καὶ ἐπιστάτην, καὶ ὀρθριοῦσι πρὸς αὐτὸν, ἀντὶ τοῦ, ταχυνοῦσιν· ἢ, ὅτι ὥσπερ ἀπό τινος νυκτὸς τοῦ σκότους τῆς προτέρας ἀγνωσίας ἐγερθέντες, πρός με.

A sic inter homines, quotquot per clementiam Dei ad pœnitentiam non ducuntur, per severiora castigati, sæpenumero hoc agnoscunt. Æque igitur ac illi, in bonorum fructu non exquirentes faciem Dei, sive præsulatum ejus, atque visitationem et providentiam ipsius, dum bonis viduantur, eum curatorem et præceptorem quærunt, et matutino ad ipsum tempore veniunt, pro, accelerant: sive quod veluti a nocte tenebrarum prioris ignorantiæ excitati sese mutuo adhortentur, ut revertantur ad me.

παρακελεύσονται (86) ἀλλήλοις, ὥστε ἐπιστραφῆναι

Ὅτι αὐτὸς πέπαικε καὶ ἰάσεται ἡμᾶς. Τινὰ τῶν βιβλίων, *Ἥρπακεν*, ἔχει, καὶ ἴσως οὐ κακῶς· εἶπε γὰρ ἀνωτέρω, ὅτι *Ἁρπῶμαι*. Αὐτὸς, φησὶν, ἥρπακεν, αὐτὸς πέπαικεν, αὐτὸς καὶ ἰάσεται· Θεοῦ γὰρ ἁρπάζοντος (87), ἢ παίοντος, οὐδεὶς ἄλλος ἰατρός· οὕτως ἐν θλίψει ἐμνήσθησαν τοῦ Θεοῦ. Ταῦτα δὲ νόει καὶ περὶ τῶν ὕστερον ἐξ Ἑβραίων μελλόντων πιστεύειν εἰς Χριστόν. Οὗτοι γὰρ ἐν τῇ δίψῃ (88) ταύτῃ, καὶ τῇ αἰχμαλωσίᾳ τῇ μακρᾷ, ἐκζητήσουσι, φησὶ, τὸ πρόσωπον (89), ἤτοι τὸν Υἱόν. Χαρακτὴρ γάρ ἐστι τῆς ὑποστάσεως τοῦ Πατρός· οἷς καὶ ἐπιστρέφουσι πρὸς Κύριον περιαιρεῖται τὸ κάλυμμα, ὃ κεῖται ἐπὶ τὴν καρδίαν αὐτῶν. Καὶ ἐπὶ τοῦ καθ' ἕκαστον δὲ τοῦτο εὑρήσεις, τὸ ἐπιστρέφειν μᾶλλον ἐν θλίψεσι πρὸς Κύριον, ὃς παίει τὰ αἰσθητὰ ἡμῶν καὶ σωματικὰ, καὶ ἰᾶται τὰς ψυχάς (90).

Vers. 2. *Quoniam ipse percussit, et medebitur nobis.* Quidam librorum hic, *Rapuit*, habent, et fortasse non male. Dixit enim supra, *Diripiam.* B Ipse, inquit, rapuit, ipse percussit, ipse quoque medebitur nobis. Deo enim rapiente vel percutiente, nemo alius est medicus uspiam. Itaque in calamitate meminerunt Dei. Hæc peræque intelligas licet de iis qui ex Hebræis deinceps in Christum creditari sunt. Illi enim, in siti hac et captivitate longa, exquirent (inquit) faciem sive Filium. Nam is est figura substantiæ Patris, quibus et ad Dominum revertentibus aufertur velum quod super cor ipsorum est positum. Reperias autem hoc vel in singulis, quod in tribulatione magis ad Dominum revertantur, qui sensibilia nobis ferit et corporalia, sanatque animas.

Πατάξει καὶ μοτώσει ἡμᾶς· ἀγιάσει [vulg. ὑγ.] *ἡμᾶς μετὰ δύο ἡμέρας· ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστησόμεθα, καὶ ζησόμεθα* (91) *ἐναντίον αὐτοῦ, καὶ γνωσόμεθα.* Κατὰ μὲν τὸ πρόχειρον τοῦτό φησιν, ὅτι οὐ δεῖται χρονικῆς περιόδου Θεὸς εἰς θεραπείαν, ἀλλ' ἀθρόαν παρέξει τὴν ὑγίειαν. Αἰνίττεται μέντοι καὶ τὸ κατὰ τὴν φύσιν ἡμῶν μυστήριον. (92) Ἐπάταξε μὲν γὰρ τὴν φύσιν τῷ θανάτῳ· ἁμαρτάνοντας γὰρ θανάτῳ παρέδωκε· παρενέβαλε δὲ τῇ [πα]ταχθείσῃ φύσει τὸν ἑαυτοῦ Υἱὸν, οἷόν τι μοτάριον, ὃς ἐν τῷ τραύματι τοῦ θανάτου γενόμενος, ὑγίασεν ἡμᾶς, καὶ ἀνέστησε τῇ τρίτῃ ἡμέρᾳ. Τὸ γὰρ πρόσλημμα, ὃ ἐξ ἡμῶν προσελάβετο ἀναστήσας, καὶ ἡμῖν πᾶσι τὴν ἀνάστασιν ἐδωρήσατο, ἣν ἔξομεν ἐν καιροῖς ἰδίοις, καὶ ζησόμεθα. Ἐπειδὴ γὰρ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ὁ αὐτὸς εἷς καὶ ἀνέστη ὑπὲρ πάντων, καὶ ζησόμεθα οὐ πόρρω ὄντες αὐτοῦ, ἀλλὰ τῷ προσώπῳ αὐτοῦ ὀπτανόμενοι (93), καὶ τὴν τελεωτέραν γνῶσιν τότε ἕξομεν. *Νῦν* μὲν γὰρ *ἐν ἐσόπτρῳ*, φησὶ, *βλέπω, καὶ ἐν αἰνίγματι· τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην.* Πατάσσεται καὶ ὁ ψεκτὸς

Vers. 3. *Feriet, et curabit vulnera nostra. Sanabit nos post biduum. Tertia die surgemus, et quæremus coram ipso, et cognoscemus.* Propter facilitatem C hoc dicit: quoniam non indiget diutina circuitione Deus ad curam, verum accumulatam statim exhibebit sanitatem. Juxta adumbrat mysterium secundum naturam. Nam percussæ naturæ injecit Filium suum ceu pretium quoddam et curationem, qui in vulnere mortis constitutus, sanavit nos, resuscitavitque tertia die. Id enim quod a nobis assumpsit, **58** excitans, nobis peræque omnibus resurrectionem donavit, quam habebimus temporibus suis, et vivemus. Postquam enim unus pro cunctis diem obiit, is ille unus et pro cunctis resurrexit: vitamque ducemus non longe ab ipso remoti, sed facie ipsum intuentes, tumque perfectiorem cognitionem ejus consequemur. *Nunc enim* D *in speculo*, inquit divus Paulus, *video, et ænigmate: tum autem cognoscam, perinde ac cognitus sum*[a]. Cæditur etiam vituperabilis ardor et impetus in anima, vituperandaque concupiscentia, ut ne in

[a] I Cor. XIII, 12.

Variæ lectiones et notæ.

(85) Ζητήσουσι, *quærent*, Cod. Ven.
(86) Παρακαλέσονται, *solabuntur*, Cod. Ven.
(87) Ἢ ἁρπάζοντος, *vel rapiente*, Cod. Ven.
(88) Θλίψει, *afflictione*, Cod. Ven.
(89) Πρόσωπόν μου, *faciem meam*, Cod. Ven.
(90) Σωματικὰ πάθη, *corporeos affectus*, Cod. Ven.
(91) Lonicerus forte legit ζητησόμεθα *vel* αἰτησ. adeoque reddidit *quæremus*. Venet. Cod. et Bav. habent ζησόμεθα, *vivemus*.
(92) Aliquid hic in Loniceri versione desiderari videtur.
(93) Verba hæc, καὶ ζησόμεθα, οὐ πόρρω ὄντες αὐτοῦ, ἀλλὰ τῷ προσώπῳ αὐτοῦ ὀπτανόμενοι, *et vivemus, non longe ab ipso remoti, sed facie ipsum intuentes*, desunt in Cod. Bav.

Digitized by Google

vanum in rabiem adigantur, verum Verbum habeant, veluti emplastrum et obligationem replentem vacuitatem ipsorum. Sanamur etiam juxta vitam in actione consistentem, quando duæ affectiones hæ, ira et cupiditas, non ad tenebrarum opera accesserint, sed enim luminis et diei, ut et de nobis dici possit : *Proinde non sumus noctis, sed diei* [65]. Surgimus etiam tertia die, quando tertia in nobis animæ pars rationalis videlicet et speculativa, illustrata fuerit : tum enim vivemus coram ipso Deo, intuentes in ipsum facie ad faciem. Quare subinfert, *Et cognoscemus.*

A θυμὸς ἐν τῇ ψυχῇ, καὶ ἡ ψεκτὴ ἐπιθυμία, ἵνα μὴ διακενῆς λυττωσιν, ἀλλ' ἔχωσι τὸν λόγον, οἷόν τινα μοτὸν (94), ἀναπληροῦντα τὸ κένωμα αὐτῶν. Ἀγιαζόμεθα οὖν κατὰ τὴν πρακτικὴν, ὅταν τὰ δύο ταῦτα πάθη μὴ τοῖς του σκότους ἔργοις προσήκωσιν, ἀλλὰ τοῖς τοῦ φωτὸς καὶ ἡμέρας · (95) ὥστε λέγεσθαι καὶ περὶ ἡμῶν · *Ἄρα οὖν οὐκ ἐσμὲν νυκτὸς, ἀλλ' ἡμέρας.* Ἀνιστάμεθα δὲ ἐν τῇ τρίτῃ ἡμέρᾳ, ὅτε δηλαδὴ φωτισθῇ τὸ τρίτον τῆς ψυχῆς μέρος, τὸ λογιστικὸν διὰ θεωρίας · τότε γὰρ καὶ ζησόμεθα ἐναντίον αὐτοῦ τοῦ Θεοῦ, ὅ ἐστι, θεωροῦντες αὐτὸν πρόσωπον πρὸς πρόσωπον. Ἐπάγει οὖν · *Καὶ γνωσόμεθα.*

Festinabimus cognoscere Dominum, tanquam diluculum paratum inveniemus ipsum. Studiose cum festinatione et ingenti desiderio quæremus eum. Ut enim diluculum noctis caliginem dissipat, sic et ipse prompte celeriterque providentiæ suæ radios exhibebit, et ab noctis afflictionibus liberabit.

Διώξομεν τοῦ γνῶναι τὸν Κύριον, ὡς ὄρθρον ἕτοιμον εὑρήσομεν αὐτόν. Σπουδαίως, φησὶ, καὶ B προθυμότερον αὐτὸν ἐπιζητήσομεν. Καθάπερ γὰρ ὄρθρος λύει τῆς νυκτὸς τὸ ζοφῶδες, οὕτως καὶ αὐτὸς ἑτοίμως καὶ ταχέως τῆς ἑαυτοῦ προνοίας τὰς ἀκτῖνας παρέξει, καὶ τῆς νυκτὸς τῶν θλίψεων ἀπαλλάξει.

Venietque nobis ceu pluvia matutina et serotina terræ. Matutinæ etiam pluviæ indiget terra, ut proferens ipsa commissam sibi sementem, pinguedinem habeat qua eam nutriat. Serotinæ vero potissimum, ne adulta sata exarescant : plurimo enim humore ad educationem sui opus habent, ut fructum tandem ferant, quem humiditate fovent. Itaque et nobis Deus veniet matutinus imber, quando incipiet liberare nos a captivitate. Serotinus vero, quando nos restituens patriæ, nos defendit, nostrique curam gerit. Hunc ad modum Christus post resurrectionem, mane quidem mulierculis sese, sero vero, januis occlusis, discipulis suis ostendit [66]. Obtingit et cuilibet animæ, matutinus imber, quando revelat Veteris Testamenti cognitionem Deus, quod in primordiis divinæ cognitionis ortum est. Serotinus vero, quando Evangelii intellectum eidem impertit : quod sero quidem, adeoque novissimis temporibus illuxit. Ac tum animam in terram divinitus impulsam alterat, de qua Propheta : *Visitasti*, inquit, *terram, et inebriasti eam* [67].

Καὶ ἥξει ἡμῖν ὡς ὑετὸς πρώϊμος καὶ ὄψιμος τῇ γῇ. Ἡ γῆ καὶ πρωΐμου ὑετοῦ χρῄζει, ὡς ἂν ἐκφύσασα τὰ σπαρέντα, ἔχῃ καὶ πιότητα, ὥστε ἀνατρέφειν αὐτά · καὶ ὀψίμου δὲ μάλιστα, ἵνα μὴ ἀποξηρανθῶσιν ἀδρυνθέντα, ὅτε πλείονος ἰκμάδος πρὸς τροφὴν δέονται, ἅτε καὶ τοὺς καρποὺς τηνικαῦτα προβάλλοντα. Καὶ ἡμῖν οὖν, φησὶν, ὁ Θεὸς, καὶ *πρώϊμος ὑετὸς ἥξει*, ὅτε ἄρξεται τῆς αἰχμαλωσίας ἐλευθεροῦν · *καὶ ὄψιμος*, ὅτε ἀποκαταστήσας ἐν τῇ πατρίδι περιέπει ἡμᾶς, καὶ κήδεται ἡμῶν. Καὶ ὁ C Χριστὸς δὲ μετὰ τὴν ἀνάστασιν, πρωῒ μὲν ταῖς γυναιξὶν ἑαυτὸν, ὀψὲ δὲ τῶν θυρῶν κεκλεισμένων τοῖς μαθηταῖς, ἐνεφάνισε. Γίνεται καὶ ἑκάστῃ ψυχῇ *πρώϊμος* μὲν *ὑετὸς*, ὅτε ἀποκαλύπτει τῆς Παλαιᾶς τὴν γνῶσιν, ἥτις ἐν ἀρχῇ τῆς θεογνωσίας ἀνέτειλεν · *ὄψιμος* δὲ, ὅτε τὴν σύνεσιν τοῦ Εὐαγγελίου δίδωσι, τοῦ ὀψὲ καὶ ἐπ' ἐσχάτων τῶν χρόνων ἐκλάμψαντος. Καὶ τότε ποιεῖ τὴν ψυχὴν γῆν θελητὴν (96), περὶ ἧς ὁ προφήτης λέγει · *Ἐπεσκέψω τὴν γῆν, καὶ ἐμέθυσας αὐτήν.*

59 Vers. 4. *Quid tibi faciam, Ephraim? Quid tibi faciam, Juda? Misericordia vestra velut nebula matutina, ac veluti ros diluculo proficiscens.* Postquam denuntiarat eis Deus, se eos suscepturos denuo : erant autem ob scelera sua in multas casuri, post susceptionem hanc, calamitates : ne ergo existimarent, mentitum sibi eum, nec sufficientem gratiam impertisse, prædicit eis, quod ipsi sint futuri malorum suorum auctores. Miscet autem cum eis sermones, patris in morem liberos suos amantis, tantum non talia dicens : Ego quidem omnem vobis gratiam et veniam dare volo, ac

Τί σοι ποιήσω, Ἐφραὶμ; τί ποιήσω, Ἰούδα; Τὸ δὲ ἔλεος ὑμῶν, ὡς νεφέλη πρωϊνὴ, καὶ ὡς ὄρθριον δρόσος πορευομένη. Ἐπειδὴ κατεπηγγείλατο D αὐτοῖς, ὅτι ἀντιλήψεται αὐτῶν, ἔμελλον δὲ καὶ μετὰ ταύτην τὴν ἀντίληψιν πολλοῖς περιπεσεῖσθαι κακοῖς διὰ τὰς αὐτῶν μοχθηρίας · ἵνα μὴ νομίσωσιν, ὅτι ἐψεύσατο αὐτοῖς, καὶ οὐ διαρκῆ τὴν χάριν δέδωκε, προλέγει, ὅτι αὐτοὶ ἔσονται αἴτιοι · ὡς πατὴρ δὲ φιλόστοργος, τὴν πρὸς αὐτοὺς ποιεῖται διάλεξιν, μονονοχὶ τοιαῦτα λέγων · Ἐγὼ μὲν πάσης φείδοῦς ὑμᾶς ἀξιῶ, καὶ [*f. add.* ἀξιοῦν] θέλω, καὶ διαιωνίζοντος ἐλέους · ἡ δὲ ὑμετέρα διάνοια, πρόσκαιρος οὖσα, καὶ ἐοικυῖα νε-

[65] I Thess. III, 6. [66] Joan. XX, 26. [67] Psal. LXIV, 10.

Variæ lectiones et notæ.

(94) Κενὸν, *vacuum*, Cod. Ven.

(95) Hæc usque ad ἡμέρας desiderantur in Cod. Bav.

(96) Verba γῆν θελητὴν, *terram placitam* sonant; sed Lonicerus legisse videtur θεῆλατον, ut ex ejus interpretatione liquet.

Digitized by Google

φέλη, πρωΐ φαινομένη, καὶ ὑπὸ τοῦ ἡλίου σκεδαννυμένη, ἢ δρόσῳ ὀλίγῃ, ὑπὸ τῶν ἀκτίνων ἀπαναισθητουμένη, καὶ ἀφανιζομένη (τοῦτο γάρ ἐστι τὸ, *Πορευομένη*), ποιεῖ καὶ τὸ ἔλεός μου, ὃ ἐλεῶ ὑμᾶς, τοιοῦτον εἶναι πρόσκαιρον. Ἀκούσωμεν, ὅτι ἡμεῖς ἐσμεν μέτρον τοῦ θείου ἐλέους, ἢ παρατείνοντες αὐτὸ διὰ τῆς διαρκοῦς μετανοίας, ἢ κολοβοῦντες διὰ τοῦ τάχιον στραφῆναι εἰς τὰ ὀπίσω, καὶ (97) σπουδάσωμεν μακρότερα ἑαυτοὺς ἐλεεῖν. Οὕτως γὰρ ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ἡμῶν ἐστι, καὶ τῆς ἡμετέρας προαιρέσεως ἀκόλουθός ἐστιν ὁ Θεός. Φέρεται καὶ ἐν ἑτέρᾳ γραφῇ, *Τὸ δὲ ἔλεός μου*· καὶ νοήσεις οὕτως, ὅτι σχετλιάζων ἐνταῦθα ὁ Θεὸς, φησὶν, ὅτι Πάντα τρόπον (98) ἐπεδειξάμην εἰς ὑμετέραν διόρθωσιν· καὶ γὰρ τὸ ἔλεός μου ἐπαπέστειλα ὑμῖν, ἵνα πιάνῃ ὑμᾶς, ὡς δρόσος ἐωθινὴ πορευομένη, τουτέστιν ὑπὸ πνεύματος διαχεομένη ἐπὶ τὴν γῆν, καὶ ὡς νεφέλη πρωϊνὴ καταψύχουσα τοὺς καρπούς· ἀλλ' ὑμεῖς οὐκ ἐδέξασθε τοῦτο. Ἀλλ' οὐδὲ τὸν Υἱὸν οἱ Ἑβραῖοι ἐδέξαντο, ὃς ἔλεος ὢν τοῦ Πατρὸς (δι' αὐτοῦ γὰρ ἠλεήθημεν), ἀπεστάλη, ὡς νεφέλη, διὰ τὴν παχύτητα τοῦ σώματος· πρωΐ δὲ, διὰ τὸ τὴν νομικὴν σκιὰν ἐλθεῖν, καὶ τὸ μὴ καταληφθῆναι ὑπὸ τῆς σκοτίας τοῦ διαβόλου καὶ τῆς ἁμαρτίας, ἀλλὰ καὶ τοῖς ἄλλοις ἀρχὴ γενέσθαι φωτὸς, ὥσπερ τὸ πρωΐ, τῆς ἡμέρας. Ὁ δὲ αὐτὸς καὶ δρόσος ἦν, ἄνωθεν πεσοῦσα· πορευομένη δὲ, διὰ τὸ μὴ ἐν ἑνὶ τόπῳ περιορισθῆναι τὴν αὐτοῦ γνῶσιν, ἀλλ' εἰς πάντας ἐπιπορευθῆναι. Πρώην μὲν γὰρ ἐν τῇ Ἰουδαίᾳ γνωστὸς ἦν· νῦν δὲ εἰς πᾶσαν τὴν γῆν τοῦ τῶν ἀποστόλων ἐξελθόντος φθόγγου, ἐπλήσθη ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψον [*f.* κατακαλύψαν *vel* κατακαλύπτον] θαλάσσας. Καὶ *ἔφανεν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ, καὶ ἐδόσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ.*

cooperiente maria. *Illuxerunt* itaque *fulgura ejus Dei* [71].

Διὰ τοῦτο ἀπεθέρισα τοὺς προφήτας ὑμῶν, ἀπέκτεινα αὐτοὺς ἐν ῥήματι στόματός μου, καὶ τὸ κρῖμά μου ὡς φῶς ἐξελεύσεται. Ὑμεῖς μὲν, φησὶν, οὕτως ἔχετε, ὥστε ψυχράν τινα καὶ ὀλιγοχρόνιον τὴν μετάνοιαν ἐπιδείκνυσθαι, καὶ διὰ τοῦτο καὶ τὸ ἔλεός μου τοιοῦτον ἀποτελεῖν· ὅμως ἐγὼ οὐκ ἐνέλειψα τῆς προσηκούσης προνοίας ὑμᾶς ἀξιῶν, ὥστε καὶ τοῖς ἁγίοις προφήταις, οὓς ὑμῖν παρῃνέτας ἔστειλα (99), αἴτιοι [*f.* αἴτιος] θανάτου γενέσθαι (τοῦτο γὰρ δηλοῖ τὸ, *Ἀπέκτεινα*)· καὶ διότι τὸ ῥῆμα τοῦ στόματός μου δέδωκα αὐτοῖς πρὸς τὸ προφητεύειν, ἐγὼ δοκῶ αὐτοὺς ἀποκτεῖναι. Πλὴν κἂν πάντας ἀποκτείνητε, οὐ δύνασθε ψευδῆ ποιῆσαι τὰ περὶ ὑμῶν προφητευθέντα· ἀλλὰ τὸ κρῖμά μου, τουτέστιν ἡ ψῆφος, ἣν ἐψηφισάμην ὑμῖν, ὡς φῶς

A perpetuo durantem misericordiam. Vester autem animus et cogitatio temporaria, similisque nebulæ sub diluculo apparenti, et a sole dispulsæ, vel exiguo rori ab radiis solaribus absumpto et obscurato (hoc enim est, quod ait, *proficiscens*), efficit miserationem peræque meam, qua vos miseror, temporariam esse. Audiamus itaque, nos mensuram esse divinæ misericordiæ, sive eam extendentes sufficienter pœnitendo, vel celerius revertendo ad priorem pravitatem mutilantes. Demusque operam, ut diuturnius ille nostri misereatur, tum vere regnum Dei intra nos erit [68], nostrique instituti Deus comes erit. Legitur et in alia scriptura, *Misericordia mea* [69]. Quod sic intelliges, quod Deus hic ægre patiens dicat, Omnem vobis B rationem exhibui et demonstravi, ad vestram correctionem. Etenim misericordiam meam demisi vobis, ut fœcundaret, ac pingues vos redderet, veluti ros matutina hora iter faciens, hoc est, a flamine diffusus super terram, et sicuti nebula perinde mane infrigidans fruges. Verum enim vos illam ipsam non suscepistis. At neque Filium Dei Hebræi exceperunt, qui cum esset misericordia Patris (per ipsum enim misericordiam adepti sumus), demissus est veluti nebula, ob corporis sui pinguedinem. Matutina vero, eo quod umbra ipse legis veniret, quodque non deprehenderetur ab tenebris diaboli et peccati, sed aliis etiam principium lucis fuerit, itidem ut mane, vel diluculum est diei C initium. Idem quoque ros erat, superne decidens: iter ideo faciens, quod non uno in loco circumscripta sit ejus cognitio, sed ad omnes accesserit. Antea quidem et mane, in Judæa tantummodo cognitus erat Deus, nunc vero in universum terrarum orbem, egresso apostolorum sonitu, impleta est tellus cognitione Domini, velut aqua multa *orbi terræ* [70], *videruntque fines terræ salutare*

Vers. 5. *Propterea demessui prophetas vestros, interemi eos in verbo oris mei, et judicium meum ceu lumen egredietur.* Vos quidem, inquit, sic habetis, ut frigidam quamdam parvique temporis pœnitentiam **60** demonstretis, per hoc meam pariter misericordiam talem facientes. Attamen ego haud intermisi vos congruenti providentia dignari, adeo ut et prophetis meis quos vobis D adhortatores misi, causa mortis exstiterim: hoc enim denotat, *Occidi*. Et quoniam dedi ipsis verbum oris mei ut vaticinarentur, videor eos occidisse. Atqui etiamsi cunctos plane dederitis neci, non poteritis tamen irrita facere, quæ de vobis illi præcinuere, quominus judicium meum, hoc est, decretum quod super vos decrevi, ceu lumen efful-

[68] Luc. XVII, 23. [69] Psal. LVIII, 18. [70] Psal. XCVI, 4. [71] Psal. XLVII, 3.

Variæ lectiones et notæ.

(97) Græca verba ita sonant: *Operamque demus, ut ipsi nostrum diutius misereamur; regnum enim cœlorum vere in nobis est, electionisque comes Deus.*

(98) Πάντας τρόπους, *omnes modos*, Cod. Ven.

(99) Εἰς ὑμᾶς ἔπεμπον, *ad vos misi*, Cod. Ven.

Digitized by Google

geat, patiaminique omnia quæ illi dixerunt. Quidam per *prophetas* hic vanos vates intellexerunt. *Occidi* enim *ipsos in verbo oris mei*, hoc est, per imperium meum. Et judicium meum inter ipsos ut lumen splendidum haud occultabitur, sed lucebit, et ab omnibus per opera cognoscetur. Etenim et Elias leto dedit prophetas Baal, sacerdotesque lucorum [73]. Sic Jehu qui genus Achab delevit prætextu festivitatis in Baal gratia celebrandæ, collectos sacerdotes Baalitas ad unum omnes mactavit [74].

VERS. 6, 7. *Nam misericordiam volo et non sacrificium, agnitionemque Dei potius quam incensas victimas. At ipsi sunt tanquam homo prævaricans testamentum.* In superioribus objecit accusando injuriam quam proximis intulerunt, idolorumque culturam : nunc ait, Misericordiam ego potius erga proximum, quam injuriam et sacrificium recipio, ac Dei cognitionem magis quam holocautomata. Atque hæc duo legem perferens mandavit : *Diliges Dominum Deum tuum* [75], *et proximum tuum* [76] charitate prosequeris. Vos autem transgressi estis testamentum meum hoc, sanctamque legem. Erga proximum enim injurii estis, et misericordiæ expertes, ac præterea cognitionem mei repulistis. Dicat hic quisquam : Quia Judæi sacra perficientes, misericordiam vero non habentes, prævaricabantur testamentum : perspicuum est legem de sacrificiis verba facere. Sed secretiora quædam magisque spiritum redolentia fuerunt ea quæ hic memoravit, nempe misericordia et agnitio Dei. Per misericordiam itaque vita in actione consistens et opere, per cognitionem contemplatio innuitur. Egredietur quoque in futuro sæculo judicium Dei, veluti lumen, per Unigenitum. *Pater* enim *neminem judicat, sed judicium omne tradidit Filio* [76*], qui suo in mundum adventu, non per sacrificia, sed per suam misericordiam nos salvos fecit [76]. Neque per holocautomata perve incensa, verum per agnitionem et fidem nos justificavit. Misericordiamque nos docuit, cum diceret : *Beati misericordes* [77]. Et : *Quæ volueritis ut faciant vobis homines, eadem et illis præstate* [78]. Et cum hoc verbi, *Misericordiam volo* [79], etc., in testimonium protulit in medium, **61** innumerisque aliis modis cognitionem Dei præcepit, præsertim cum omnes sermones et opera sua Deo referret accepta, ipsique tantum ascriberet, cumque diceret Philippo : *Qui videt me, videt et Patrem meum* [80]. Hinc etiam dixit : *Manifestavi nomen tuum mortalibus* [81], non Judæis tantum, sed omnibus. Proinde qui ipsum non susceperunt, transgressi sunt omnino testamentum Patris, qui et

λάμψει, καὶ πείσεσθε πάντα, ὅσα ἐκεῖνοι εἶπον. Τινὲς δὲ, *Τοὺς προφήτας ὑμῶν*, τοὺς ψευδοπροφήτας ἐνόησαν. *Ἀπέκτεινα γὰρ αὐτοὺς ἐν ῥήματι στόματός μου* · τουτέστι, διὰ προστάγματός μου · καὶ ἡ κρίσις μου ἡ ἐν αὐτοῖς, ὡς φῶς λαμπρὸν οὐ κρυβήσεται, ἀλλὰ λάμψει, καὶ πᾶσι διὰ τῶν ἔργων γνωσθήσεται. Καὶ Ἠλίας γὰρ ἀπέκτεινε τοὺς τῆς Βάαλ προφήτας, καὶ τοὺς ἱερεῖς τῶν ἄλσεων· καὶ ὁ Ἰηοὺ, ὁ καὶ τὸ γένος τοῦ Ἀχαὰβ ἐξολοθρεύσας, προφασισάμενος ἑορτὴν τῷ Βάαλ τελεῖν, συναγαγὼν εἰς οἶκον ἕνα, πάντας ἀπέσφαξε.

Διότι ἔλεος θέλω, καὶ οὐ θυσίαν, καὶ ἐπίγνωσιν Θεοῦ, ἢ ὁλοκαυτώματα. Αὐτοὶ δέ εἰσιν ὡς ἄνθρωπος παραβαίνων διαθήκην. Ἀνωτέρω (1) δύο αὐτοῖς ἐνεκάλει, τήν τε πρὸς τοὺς πλησίον ἀδικίαν, καὶ τὴν τῶν εἰδώλων θεραπείαν· καὶ νῦν δέ φησιν, ὅτι Ἐγὼ ἔλεος μᾶλλον ἀποδέχομαι τὸ πρὸς τὸν πλησίον, ἢ τὰς θυσίας · καὶ τὴν τοῦ Θεοῦ ἐπίγνωσιν, ἢ τὰ ὁλοκαυτώματα. Καὶ νομοθετῶν γὰρ δύο ταῦτα προσέταξεν · *Ἀγαπήσεις Κύριον τὸν Θεόν σου* · καὶ, *Ἀγαπήσεις τὸν πλησίον*. Ὑμεῖς δὲ παρέβητε τὴν διαθήκην μου ταύτην καὶ τὴν νομοθεσίαν. Καὶ πρὸς τοὺς πλησίον γὰρ ἄδικοί ἐστε καὶ ἀνελεήμονες, καὶ πρός γε, τὴν ἐμὴν ἐπίγνωσιν ἀπώσασθε. Εἴποι δ' ἄν τις, ὅτι ἐπειδὴ Ἰουδαῖοι θυσίας ἐπιτελοῦντες, ἔλαιον [*f.* ἔλεον] δὲ μὴ ἔχοντες, παρέβαινον τὴν διαθήκην, δῆλον, ὅτι, ὅσα ὁ νόμος περὶ θυσιῶν ἐδόκει λέγειν, ἄλλα τινὰ μυστικώτερα καὶ πνευματικώτερα ἦσαν. Διὰ μὲν οὖν τοῦ ἐλέου ἡ πρακτικὴ δηλοῦται · διὰ δὲ τῆς ἐπιγνώσεως, ἡ θεωρία. Ἐξελεύσεται καὶ τὸ ἐν τῷ μέλλοντι αἰῶνι κρῖμα τοῦ Θεοῦ, ὡς φῶς, διὰ τοῦ Μονογενοῦς · *Ὁ γὰρ Πατὴρ οὐδένα κρίνει, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ* · ὃς ἐλθὼν εἰς τὸν κόσμον, οὐ διὰ θυσιῶν, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον, ἔσωσεν ἡμᾶς · καὶ οὐ δι' ὁλοκαυτωμάτων, ἀλλὰ διὰ τῆς ἐπιγνώσεως καὶ πίστεως ἡμᾶς ἐδικαίωσε, καὶ τὸν ἔλεόν τε ἐδίδαξεν (ἐν οἷς τε ἔλεγε · *Μακάριοι οἱ ἐλεήμονες* · καὶ, *Ἃ ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς* · καὶ ἐν οἷς ταύτην τὴν ῥῆσιν εἰς μαρτυρίαν προήνεγκε, καὶ μυρίοις ἄλλοις [2]) · τὴν δὲ ἐπίγνωσιν τοῦ Θεοῦ, ἐν οἷς τε ἀεὶ τῷ Πατρὶ τοὺς λόγους αὐτοῦ καὶ τὰ ἔργα ἀνετίθει, καὶ ἐν οἷς ἔλεγε τῷ Φιλίππῳ · *Ὁ ἑωρακώς ἐμὲ, ἑώρακε τὸν Πατέρα*. Ὅθεν καὶ ἔλεγεν · *Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις* · οὐκ Ἰουδαίοις μόνον, ἀλλὰ πᾶσιν. Οἱ οὖν μὴ δεξάμενοι αὐτὸν, παρέβησαν πάντως τὴν διαθήκην τοῦ Πατρὸς, ἥτις καὶ τὸν Υἱὸν κληρονόμον ἐποίει τοῦ ἀμπελῶνος. Ὁ δὲ ἀμπελὼν Κυρίου Σαβαὼθ, αὐτοὶ ἦσαν ὁ οἶκος τοῦ Ἰσραὴλ, καὶ ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον ἠγαπημένον· ἀλλ' ἐλθόντα τὸν Υἱὸν εἰς τὰ ἴδια

[73] III Reg. xviii, 40. [74] IV Reg. x, 25. [75] Deut. vi, 5. [76] Matth. xxii, 39. [76*] Joan. v, 22. [76] Tit. iii, 5. [77] Matth. v, 7. [78] Matth. vii, 12. [79] Matth. ix, 13. [80] Joan. xiv, 9. [81] Joan. xvii, 6.

Variæ lectiones et notæ.

(1) Ἐν ἑτέρῳ, *in alio* (scilicet loco), Cod. Bav.

(2) Verba et *aliis innumeris* ad præcedentia sunt referenda; quæ vero sequuntur, ita reddenda : *Cognitionem vero Dei* (*subaudi* ἐδίδαξε, *docuit*; verbum enim hoc utrumque periodi membrum regit).

Digitized by Google

οἱ ἴδιοι οὐ παρέλαβον, ἀλλ' εἶπον· *Οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτόν.* Ἡ αὐτὴ δὲ διαθήκη τοῦ Πατρὸς, αὐτοὺς κληρονόμους ἐποίει υἱοθεσίας, δόξης, οὐρανῶν βασιλείας· ἀλλ' οὐκ ἠθέλησαν ἀκολουθῆσαι τῇ διαθήκῃ οὐδὲ κατὰ τοῦτο, ἀλλὰ κατ' ἀμφοτέρους τοὺς τρόπους παρέβησαν αὐτήν, καὶ τὸν Υἱὸν μὴ θελήσαντες βασιλεῦσαι ἐπ' αὐτοὺς, καὶ ἑαυτοὺς ἀναξίους τῆς οὐρανίου δόξης ποιήσαντες. A

Filium hæredem faciebat vineæ. Porro vineæ Domini exercituum ipsi fuerunt, domus nimirum Israelis, et Juda ipse plantula novella dilecta. Enimvero Filium, cum in sua venisset, sui eum non susceperunt [83], quin potius dixerunt: *Hic est hæres, agite, occidamus eum* [84]. Idem testamentum Patris, faciebat eos hæredes adoptionis, gloriæ cœlorumque regni: sed noluerunt sequi testamentum. Nec secundum hoc solum, verum etiam juxta utrasque rationes transgressi sunt illud, cum Filium abnuentes regnare super sese, tum se indignos constituentes cœlesti gloria.

Ἐκεῖ κατεφρόνησέ μου Γαλαάδ, πόλις ἐργαζομένη μάταια, ταράσσουσα ὕδωρ. Οὐκ ἀκρίτως, φησὶν, ἐφόνευσα τοὺς ψευδοπροφήτας. Καὶ *ἐκεῖ* (3), τουτέστι, κατ' ἐκεῖνο καιροῦ, ὅτε ἐξετράπη ὁ Ἰσραὴλ, ἡ Γαλαὰδ κατεφρόνησέ μου, ὅτι (4) ἀπενεμήθη τοῖς ἱερεῦσι καὶ Λευίταις εἰς κλῆρον· καὶ οἱ ὀφείλοντες διδάσκειν τὸν λαὸν εἰς θεογνωσίαν, αὐτοὶ εἰργάζοντο τὰ μάταια, τουτέστι, τὰ εἴδωλα, αὐτοὶ τεχνουργοῦντες αὐτά. Ἐτάραττον καὶ τὸ ὕδωρ τῆς διδασκαλίας, μὴ καθαρὰν αὐτὴν προσφέροντες τῷ λαῷ. B

Vers. 8. *Illic me respuit Galaad civitas operans vana, turbans aquam.* Non sine judicio, inquit, occidi vanos prophetas: et illic, hoc est secundum illud temporis quando aversus est Israel, Galaad me est aspernata, quando sacerdotibus et levitis distributa est in hæreditatem: ac qui debebant populum docere cognitionem Dei, ipsi operabantur vana, hoc est idola ipsi eadem fabricantes. Turbabant quoque aquam doctrinæ, non puram eam populo afferentes.

Ἡ ἰσχύς σου, ὡς ἀνδρὸς πειρατοῦ· ἔκρυψαν οἱ ἱερεῖς ὁδὸν, ἐφόνευσαν Σίκιμα, ὅτι ἐκεῖ ἀνομίαν ἐποίησαν ἐν τῷ οἴκῳ Ἰσραήλ. Εἶδον ἐκεῖ φρικώδη πορνείαν τοῦ Ἐφραίμ. Σίκιμα πόλις ἐστὶ πλησίον τοῦ Γαλαάδ. Ἐκ τῶν Σικίμων οὖν τινες ἔννοιαν λαβόντες τοῦ τῶν πατέρων Θεοῦ, ἠβουλήθησαν ἀναβῆναι εἰς Ἱεροσόλυμα, ὡς προσκυνήσοντες τῷ Θεῷ· οἱ δὲ ἐν τῇ Γαλαὰδ Λευῖται καὶ ἱερεῖς, γνόντες τοῦτο, ληστάς τινας ἔκρυψαν ἐν τῇ ὁδῷ, καὶ ἀπέκτειναν τοὺς Σικιμίτας. Διὰ τοῦτό φησιν, ὅτι *Ἡ ἰσχύς σου, ὦ Γαλαάδ, ἀνδρός ἐστι πειρατοῦ,* τουτέστι, ληστοῦ. Ἔστι μὲν γὰρ κυρίως πειρατὴς, ὁ θαλάσσιος ληστής· λαμβάνεται δὲ παρὰ τῇ θείᾳ Γραφῇ ἐπὶ τοῦ κατὰ χέρσον ληστοῦ. Διὸ καὶ φρικωδεστέραν πορνείαν ταύτην ὀνομάζει, ὅτι οὐ μόνον αὐτοὶ τὸ καλὸν οὐκ ἐποίουν ἐν τῷ οἴκῳ Ἰσραὴλ, τουτέστιν, ἐν τοῖς Ἰσραηλίταις (5), ἀλλὰ καὶ τοὺς προτιθεμένους ποιεῖν ἐφόνευον. Ἢ καὶ οὕτως, ὅτι Ὥσπερ οἱ πειραταὶ κρύβδην τοῖς ναυτιλλομένοις ἐπιτίθενται, οὕτω καὶ ὑμεῖς οἱ ἐν τῇ Γαλαὰδ εἰδωλολάτραι, διά τινων κρυφίων μαγγανειῶν ποιεῖτε τὰ εἴδωλα κινεῖσθαι, ἵνα θείας δυνάμεως δείξητε αὐτὰ μετέχοντα· οἱ δὲ ἱερεῖς, δέον ταῦτα ἐλέγχειν, καὶ φανεροῦν τὴν ὁδὸν τοῦ Θεοῦ, οἱ δὲ κρύπτουσι. Καίτοι ἔδει αὐτοὺς ἐνθυμηθῆναι, ὅτι ὁ προπάτωρ αὐτῶν Λευΐ, τοὺς Σικιμίτας ἅπαντας ἀπέκτεινεν, ὅτε Ἐμμὼρ, ὁ υἱὸς Συχὲμ, ἐβιάσατο τὴν ἀδελφὴν αὐτοῦ Δίναν. Καὶ ἐκεῖνος μὲν ἐζήλωσεν ὑπὲρ τῆς παρθενίας τῆς ἀδελφῆς αὐτοῦ (6)· αὐτοὶ δὲ ὑπὲρ ἐμοῦ οὐ ζηλοῦσιν. Ἔκρυψαν οὖν, φησὶ, τὴν θείαν ὁδὸν οἱ ἱερεῖς, οἱ τὸ C D

Vers. 9, 10. *Fortitudo tua ceu hominis piratæ; occultaverunt sacerdotes viam, occiderunt Sicima. Quoniam illic fecerunt iniquitatem in domo Israel; viderunt isthic horrendam fornicationem Ephraim.* Sicima civitas est proxime urbem Galaad. E Sicimis ergo quidam, accepta Dei patrum memoria, voluerunt ascendere Hierosolyma usque, ceu Deum adoraturi. Levitæ vero et sacerdotes hoc compertum habentes, prædones quosdam occuluerunt in via, demittentes orco ea ratione Sicimitas. Ideo etiam dicit, *Robur tuum, o Galaad, hominis est piratæ*, hoc est prædonis. Est autem pirata proprie marinus prædator. Atqui in sacra Scriptura usurpatur etiam pro terrestri prædone: eam ob causam horribilem etiam istam fornicationem nominat, quoniam non ipsi tantum, quod bonum erat in domo Israelis non faciebant, hoc est inter Israelitas. Vel hunc ad modum æque intelligere licet: Ut piratæ occultis effascinationibus et insidiis adoriuntur prætereuntes, sic et vos in Galaad idolorum cultores, arcanis artibus idola moveri curatis, quo divinæ potentiæ ea ostendatis consortia. Jam sacerdotes quos talia **62** reprehendere oportuit, viam Dei populo manifestando, ea celant. Atqui in animo eos cogitare par erat, quod atavus eorum Levi, Sicimitas omnes demiserit orco, quando Emmar filius Sichem, vi stuprum sororis ejus Dinæ intulit [85], et ille quidem ultione pro virginitate sororis suæ armatus est, ipsi vero pro me non contendunt, non sumunt vindictam. Occulue-

[83] Joan. I, 11. [84] Matth. XXI, 38. [85] Gen. XXXIV, 26, 31.

Variæ lectiones et notæ.

(3) Καὶ γὰρ ἐκεῖ, *etenim ibi.* Cod. Ven.

(4) Ἢ τις, *quæ.* Cod. Ven. Codex vero Bav. ὅτι, *quia.* Lonicerus legisse videtur ὅτε, *quando.*

(5) Cod. Ven. addit: Ἀλλὰ καὶ τοὺς βουλομένους ποιεῖν ἀπέσφαττον, καὶ ἀνομίας ἐποίουν, ἐν τῷ οἴκῳ Ἰσραὴλ, τουτέστιν ἐν τοῖς Ἰσραηλίταις, *Sed etiam facere volentes, interficiebant, et iniquitates patrabant in domo Israelis, hoc est inter Israelitas.* Cod. vero Bav. post Israelitas, uti vides, habet: *Sed et sibi proponentes facere occiderunt.*

(6) Ὑπὲρ τῆς ἀδελφῆς καὶ τῆς παρθενίας αὐτῆς, *pro sorore et virginitate ejus.* Cod. Bav.

Digitized by Google

runt, inquit, divinam viam sacerdotes, qui olim interemerunt Sicima, æmulatione accensi. Quod enim atavus eorum Levi peregit, sacerdotali generi ascribitur. Hæ et Dominum occidentis Synagogæ accusationes sunt. Siquidem et illi operabantur vana, calumniam dico et crucem. Vanæ namque revera sunt cogitationes ipsorum. Magis enim illuxit, regnumque tenuit cruci affixus. Turbabant etiam aquam, confundentes Scripturarum cognitionem ac doctrinam Servatoris, quæ spiritus erat et vita, calumniantes. Et robur ipsorum, ceu hominis piratæ fuit, quando lapides tulerunt in Jesum [85]: cumque gladiis et sudibus exierunt adversus ipsum noctu [86], quando fallere licet festinantes. Sacerdotes porro ipsorum celaverunt iter, hoc est Dominum enecarunt, dicentem : *Ego sum via* [87]. Occiderunt etiam Sicima, quod est pudicitiæ et virginitatis fructum Jesum, postquam Sicima fuit eximius locus corporis pudici Joseph. Præterea in Ecclesia videbis quosdam perficientes vana, prava vita infectos. Hi aquam perinde spiritalis doctrinæ turbant, de resurrectione et postremo judicio vana dissertantes, seipsos ita ut intrepide in peccatis pergant, illicientes. Quorum robur non est hominis incolumem aliquem servantis, sed prædonis, quo de Dominus ait : *Fur non venit, nisi ut furtum committat, cædat, et perniciem struat* [88]. Celant etiam sacerdotes viam Domini, partim quando non reprehenderint peccantes, non audientes dicto præcipienti : *Peccantem coram omnibus argue* [89]; partim quod ipsi in ea non ambulantes, aliam sibi viam vitæ inquirant, occidentes ita Ecclesiam, quæ est segregata Josepho, qui valet, si interpreteris, appositionem. Talis est Dominus, legi adjectus, quæ jam defecerat : unde et, *Non veni*, inquit, *dissolvere legem, sed implere* [90]. Ejus enim legis, *Non committas adulterium* [91], hæc est appositio et completio, ut *Ne intuearis quidem mulierem*; sic ejus, *Non occides* [92], appendix et complementum est, *Non irascaris* [93]; et aliarum consimiliter.

Vers. 11. *Pollutus est Israel, Judas dimisit messem suam.* Omnium hoc est periculosissimum, horribilissimumque quod quando Judam oportebat divinarum promissionum fructus metere, imitatus sit Israelem, **63** qui idolorum cultura contaminatus erat, talem messem posthabendo.

Vers. 11. *Ordire vindemiam tibi ipsi, dum reduxero captivitatem populi mei, dumque sanavero Israelem.* Ad Judam hæc dicit : Ordire vindemiam,

παλαιὸν ἐφόνευσαν τὰ Σίκιμα ζηλώσαντες· ὃ γὰρ ἐποίησεν ὁ προπάτωρ αὐτῶν Λευΐ, τῷ ἱερατικῷ γένει ἀνατίθεται. Ταῦτα καὶ τῆς Θεοκτόνου Συναγωγῆς εἰσι κατηγορίαι. Εἰργάζοντο γὰρ οὗτοι μάταια, τὰς συκοφαντίας, καὶ τὸν σταυρόν· μάταιαι γὰρ τῷ ὄντι αἱ ἐπίνοιαι αὐτῶν, ὅτι μᾶλλον ἔλαμψε καὶ ἐβασίλευσεν ὁ σταυρωθείς. Ἐτάρασσον δὲ τὸ ὕδωρ, συγχέοντες καὶ τὴν τῶν Γραφῶν γνῶσιν, καὶ τὴν διδασκαλίαν τοῦ Σωτῆρος, ἥτις ἦν πνεῦμα καὶ ζωή, διαβάλλοντες. Καὶ ἡ ἰσχὺς αὐτῶν, ὡς ἀνδρὸς πειρατοῦ· ἦράν τε γὰρ λίθους ἐπὶ τὸν Ἰησοῦν, καὶ μετὰ μαχαιρῶν καὶ ξύλων ἐξῆλθον πρὸς αὐτὸν, καὶ νυκτὸς, ὅπερ ἐστὶ λανθάνειν σπευδόντων. Καὶ οἱ ἱερεῖς αὐτῶν ἔκρυψαν τὴν ὁδὸν, τουτέστι, τὸν Κύριον ἐθανάτωσαν, τὸν εἰπόντα· *Ἐγώ εἰμι ἡ ὁδός*. Ἐφόνευσαν δὲ καὶ Σίκιμα, ὅ ἐστι, τὸν τῆς σωφροσύνης καὶ παρθενίας καρπὸν Ἰησοῦν· ἐπειδὴ τὰ Σίκιμα ἦν ἐξαίρετον χωρίον τοῦ σώφρονος Ἰωσήφ. Καὶ ἐν τῇ Ἐκκλησίᾳ δὲ ὄψει τινὰς ἐργαζομένους μάταια, κακοῦ βίου ὄντας. Οὗτοι οὖν καὶ τὸ ὕδωρ τῆς πνευματικῆς διδασκαλίας ταράσσουσι, τὰ περὶ ἀναστάσεως καὶ κρίσεως διαβάλλοντες, καὶ ἑαυτοὺς ἐξαπατῶντες πρὸς τὸ ἀδεῶς ἁμαρτάνειν· ὧν ἡ ἰσχὺς οὐκ ἀνδρός ἐστι ζωοποιοῦντος, ἀλλὰ πειρατοῦ· περὶ οὗ εἶπεν ὁ Κύριος· *Ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ, καὶ θύσῃ, καὶ ἀπολέσῃ*. Κρύπτουσι δὲ καὶ οἱ ἱερεῖς ὁδὸν Κυρίου, τάχα μὲν καὶ ὅταν μὴ τοὺς ἁμαρτάνοντας ἐλέγχωσι, παρακούοντες τοῦ λέγοντος· *Τὸν ἁμαρτάνοντα, ἐνώπιον πάντων ἔλεγχε*· τάχα δὲ καὶ ὅταν αὐτοὶ οὐ περιπατῶσιν ἐν αὐτῇ, ἀλλ' ἄλλην ὁδὸν βίου ἐπιτηδεύουσι· διὸ καὶ φονεύουσι τὴν Ἐκκλησίαν, ἥτις ἀφωρίσθη τῷ Ἰωσὴφ, ὃς ἑρμηνεύεται *πρόθεσις*. (7) Τοιοῦτος δὲ καὶ ὁ Κύριος, προσθεὶς τῷ νόμῳ ὃ ἔλειπε· διὸ καὶ ἔλεγεν· *Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι*. Τοῦ γὰρ, *Μὴ μοιχεύσῃς* (8), πρόθεσις καὶ ἀναπλήρωσις τὸ, *Μηδὲ ἐμβλέψῃς γυναῖκα*[*f.* -κί]· καὶ τοῦ, *Μὴ φονεύσῃς*, τὸ, *Μὴ ὀργισθῇς*· καὶ τἆλλα ὁμοίως.

Ἐμιάνθη Ἰσραὴλ, καὶ Ἰούδας ἀφῆκε θερισμὸν αὐτοῦ. Τὸ πάντων δεινότατον, τοῦτό ἐστιν, ὅτι, ὅτε ἔδει τὸν Ἰούδαν θερίζειν τῶν θείων ἐπαγγελιῶν τοὺς καρποὺς, τότε ἐζήλωσε μὲν τὸν Ἰσραὴλ τὸν μιανθέντα τῇ εἰδωλολατρείᾳ· ἐγκατέλιπε δὲ τὸν τοιοῦτον θερισμόν.

Ἄρχου τρυγᾶν σεαυτῷ, ἐν τῷ ἐπιστρέψειν με τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου, ἐν τῷ ἰάσασθαί με τὸν Ἰσραήλ. (9) Πρὸς τὸν Ἰούδαν ταῦτά

[85] Joan. VIII, 59. [86] Matth. XXVI, 47. [87] Joan. XIV, 6. [88] Joan. X, 10. [89] I Tim. VI, 10. [90] Matth. V, 17. [91] Matth. XIX, 18. [92] Exod. XX, 13. [93] Eccli, XXVIII, 8.

Variæ lectiones et notæ.

(7) Græca verba ita sonant : *Talis autem et Dominus, qui legi adjecit, quod deerat.*

(8) Μοιχεῦσαι, et paulo post φονεῦσαι. Cod. Ven.

(9) *Ad Judam hæc ait* : *Quoniam ante malorum experientiam noluisti cognoscere, quod decebat, neque colligere justitiæ fructus, saltem post reditum a captivitate, fac ut legi consentanea vitam degas*, etc. Cod. Ven. et Bav.

Digitized by Google

φησιν, ὅτι Ἐπειδὴ πρὸ τῆς τῶν κακῶν πείρας οὐκ ἠθέλησας γνῶναι τὸ δέον, οὐδὲ τρυγῆσαι τοὺς τῆς δικαιοσύνης καρποὺς, κἂν μετὰ τὴν τῆς αἰχμαλωσίας ἐπάνοδον ἐν νόμῳ πολιτεύου, καὶ ἄρξαι δρέπεσθαι τοὺς ἐκ τῆς τοιαύτης πολιτείας φυομένους καρπούς. Δρέπου δὲ τοῦτο σεαυτῷ· οὐ γὰρ τῷ Θεῷ τι κέρδος φέρομεν, ἐννόμως βιοῦντες, ἀλλ' ἡμῖν αὐτοῖς. Τὸ δὲ, *Ἐν τῷ ἰάσασθαί με τὸν Ἰσραὴλ*, τοῦτο σημαίνει, ὅτι Ἐν τῷ παρηγορῆσαί με αὐτὸν ἐπὶ πᾶσι τοῖς ἄλγεσιν, οἷς εἶχεν ὢν ἐν τῇ αἰχμαλωσίᾳ, καὶ ἀναγαγεῖν αὐτὸν ἀπὸ Βαβυλῶνος, σύνες σὺ τὸ δέον, καὶ βίου ἀγαθοῦ γενοῦ.

A hoc est justitiæ fructus, et post reditum a captivitate, in lege persevera, incipeque tibi decerpere ex tali politia subnascentes fructus. Decerpe eos tibi ipse, nec enim Deo quidquam lucri afferimus viventes juxta legem, sed nobis ipsis. Quod subdit, *Dum sanavero Israelem*, significat, quod Dum ipsum consoler in omnibus doloribus quos in captivitate pertulit, eumque reducam a Babylone, intellige tu quid te deceat, bonamque conversationem auspicare.

ΚΕΦΑΛ. Ζ'.

Καὶ ἀποκαλυφθήσεται ἡ ἀδικία Ἐφραὶμ, καὶ ἡ κακία Σαμαρείας, ὅτι εἰργάσατο ψευδῆ, καὶ κλέπτης πρὸς αὐτοὺς εἰσελεύσεται, ἐκδιδά- B *σκων* (10) *λῃστὴς ἐν τῇ ὁδῷ αὐτοῦ.* Πάλιν διδάσκει, ὅτι δικαίως τιμωρεῖται τοὺς περὶ τὸν Ἐφραὶμ, καί φησιν, ὅτι Δήλη πᾶσιν ἡ παρανομία αὐτῶν γενήσεται, ὅτι εἰργάσαντο τὰ ψευδῆ, τουτέστι τὰ εἴδωλα. Καὶ λοιπὸν οἱ πολέμιοι, δίκην κλεπτῶν καὶ λῃστῶν αὐτοῖς ἐπελθόντες, ἐκδύσουσιν αὐτοὺς καὶ ἀπογυμνώσουσι πάντων ὧν ἔχουσιν ἀγαθῶν. Μονονουχὶ καὶ ὁ Χριστὸς πρὸς τὸν Ἰσραηλιτικὸν λαόν φησιν· Ἄρχου τὰ πρὸς σωτηρίαν τρυγᾶν καὶ καρποῦσθαι νῦν γοῦν, ὅτε ἦλθον ἐγὼ ἐπιστρέψαι τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ, καὶ ἰάσασθαι τοὺς συντετριμμένους. *Οὐ γὰρ οἱ ἰσχύοντες χρείαν ἔχουσιν ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες.* Τότε ἀπεκαλύφθη πᾶσα ἡ κακία τοῦ λαοῦ, ὅτε τοῦ Πιλάτου ἐρωτήσαντος, *Τίνα ἀπολύσω;* εἶπον· *Ἀπόλυσον* C *ἡμῖν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν σταύρωσον.* Καὶ τῶν στοιχείων καινοτομουμένων, αὐτοὶ ἐνέμενον τῇ κακίᾳ, ὅτε καὶ ὁ κλέπτης καὶ λῃστὴς, ὁ συσταυρωθεὶς, πρὸς αὐτὸν εἰσῆλθε, τουτέστιν ᾠκειώθη αὐτῷ διὰ τῆς πίστεως, καὶ σὺν αὐτῷ ἐγένετο ἐν τῷ παραδείσῳ. Ταῦτα καὶ πρὸς τὴν ψυχὴν παραίνεσίς ἐστιν, ἐπιστρεφομένην ἀπὸ τῆς αἰχμαλωσίας, ἣν ᾐχμαλωτίσθη τοῖς πάθεσι δουλεύουσα, καὶ ἰαθεῖσαν ἀπὸ τῶν πληγῶν τῆς ἁμαρτίας καὶ τῶν τραυμάτων, ἅπερ ἄλλως οὐ θεραπεύονται, εἰ μὴ δυσωδίαν καὶ ἀηδίαν αὐτῇ προβάλλωσι. Τότε γὰρ καὶ ἰατρὸν ἐπιζητεῖ, ὅτε ἀηδίζεται καὶ δυσχεραίνει πρὸς τὴν δυσωδίαν, καθὼς καὶ Δαβίδ· *Προσώζεσαν καὶ ἐσάπησαν οἱ* D *μώλωπές μου·* εἰπὼν δὲ λέγει· *Μὴ ἐγκαταλίπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.* Τότε τοίνυν ἀπαλλαγεῖσα, ὦ ψυχὴ, τῆς ἁμαρτίας, τρύγα τοὺς καρποὺς τῆς ἀρετῆς· ἀλλὰ σεαυτῇ τούτους τρύγα, μὴ πρὸς ἐπίδειξίν τι ποιοῦσα, ἀλλ' ἐν αὐτῇ τὸ καλὸν ἐργαζομένη. Ἀποκαλύπτεται δὲ αὐτῇ τότε καὶ τὸ ψεῦδος τῆς κακίας. Τότε γὰρ ὁρᾷ, ὅπως τὰ τῆς κακίας ἔργα ψευδῆ εἰσι καὶ ἀπατηλά· καὶ δι' αὐτῶν ὁ κλέπτης καὶ λῃστὴς διάβολος εἰσιὼν, ἐκδιδύσκει τὸν ἄνθρωπον, καὶ γυμνὸν πάσης θείας

CAPUT VII.

VERS. 1. *Et revelabitur injuria Ephraim, et vilitas Samariæ. Nam commisit vana, furque ad eos ingredietur, prædator exuens in via ejus.* Iterum docet quod haud injuria puniat Ephraimitas Deus, perspicuam cunctis eorum iniquitatem asseverans. Nam fecerunt, inquit, mendacia, hoc est, idola, ideoque in posterum hostes, furum et latronum instar, eos adorti, exuent ipsos, omnibusque bonis nudabunt. Propemodum et Christus ad Israeliticum populum dicit : Incipe quæ ad salutem tuam pertinent, ceu in vindemia colligere atque fructum decerpere, nunc saltem, quando veni ego reducere, servareque oves domus Israelis, quæ perierant, ac sanare contritos. *Nec enim bene valentes egent medici opera, sed male habentes* [95]. Tunc revelata est omnis injustitia populi, quando, interrogante Pilato, *Quem vobis dimittam?* responderunt : *Absolve nobis Barabbam, Jesum vero cruci affige* [96], Ad hæc elementis legis novatis perseverabant ipsi in malitia, quando et fur et prædo una cum eo cruci affixus ad eum introiit, hoc est per fidem ei assertus est, et vindicatus in libertatem, in paradiso cum eo agens. Hæc etiam animæ sunt exhortatio redeuntis a captivitate, qua detenta fuit pravis affectibus serviens, sanatæque a plagis peccati et vulneribus quæ alias non curantur nisi graviter olere et inamœna esse ipsi cœperint, tum enim demum inquirit medicum, quando tetrica fiunt vulnera, ipsaque ægre patitur graveolentiam, perinde ac David cum dixisset : *Graviter oluerunt et computruerunt vibices meæ* [97] : subdit : *Ne derelinquas me, Domine Deus meus, neque a me desistas* [97]. **64** Tunc igitur liberata anima a peccatis, virtutis fructus colligit (11). At eos, inquit, tibi ipsi decerpe, non faciens aliquid ad ostentationem, sed in te ipsa bonum operare. Tum quoque detegitur ei vanitas malitiæ : videt enim quam sint peccati opera tam mendacia quam noxia. Per hæc fur et prædo Satanas ingressus hominem spoliat, ac ab omni divina gratia nudum constituit, *in via ejus*, hoc est in quocunque vitæ genere fuerit, sive in sacerdo-

[95] Marc. II, 17. [96] Matth. XXVII, 17. [97] Psal. XXXVII, 6. [97] Psal. XXXIV, 22.

Variæ lectiones et notæ.

(10) Scribendum fortasse ἐκδιδύσκων, ut paulo post in commentario usurpatur.

(11) *Tunc igitur, o anima, a peccato liberata, virtutis fructus collige.* Ita Græca verba sonant.

Digitized by Google

tali, sive monastica vel populari. In omni namque via vitæ prædatorem et furem agens diabolus, clanculum eos adoritur, ipsisque imponit nocturno tempore, persuadens ut pejori ceu meliori adhibeant animum, nuptias, vinum, omnemque creaturam vituperans, ceu peccatorum fomitem, occasionemque. Alios vero ut prædo invadit, palam et impudenter eis persuadendo, ut plane desperata aggrediantur.

VERS. 2. *Ut concinant veluti cauentes in corde suo.* Hostes, inquit, invadent eos, ceu fures et latrones insueverunt : ipsi vero in lamentis et luctibus perseverabunt, non ausi aperta voce plorare, deflereque calamitates suas, cæterum cordibus suis et cogitatione threnos lamentave edunt. Hæc et latroni in cruce accommodari poterunt, cujus cor Christi supplicio condolebat, et peccatis suis angebatur. Ipse quidem Christum confitebatur, Christus vero omnium illi peccatorum gratiam faciebat.

Omnia scelera eorum recordatus sum; nunc circumdederunt eos adinventiones suæ, coram facie mea factæ sunt. Cum diu, inquit, connixissem, nec longanimitate mea judicatus sim cernere ab ipsis ausa, nunc tandem aperte palam ea contueor, ut qui in conspectu meo fuerint constituta. Siquidem omnia simul collecta sunt, et in circuitu eorum steterunt, nedum opera, sed et consultationes, hoc est, cogitationes quæ demonstrant eos esse dignos quibus irrogetur pœna. Fortasse autem, quia Deus peccata illa vehementius punit, quæcunque a præmeditatione et consultatione fiunt, propterea hic dixit : *Circumierunt eos consultationes ipsorum.* Non enim simpliciter, ait, operabantur mala, neque raptim vel forte fortuna, sed ex consilio et consideratione. Sic in extremo judicii die, præterquam opera, cogitationes etiam, secundum quas peracta sunt, judicantur ; in quibus tamen auctoritas potius remissionis quam condemnationis esse in hoc mundo solet (12). Occiderunt etiam prophetas Hebræi : toleransque malorum Deus est, dum illi Domini interfectores fuerunt, impleveruntque mensuram patrum suorum, recordatusque est Deus omnium iniquitatum eorum, ut veniat super eos omnis sanguis justus a sanguine Abel, usque ad sanguinem Zachariæ prophetæ [98].

65 VERS. 3. *In malitiis suis exhilararunt reges, et in mendaciis suis principes.* Per malitias suas ad interitum accurrentes, auctores lætitiæ fuerunt regibus et principibus ipsos debellantibus. Vel quod una cum regibus suis ad idololatriam cucurrerint, curaverintque eos et observaverint, eadem peragendo, et in mendaciis suis, sive idolis, sive adulationibus, vel vanis laudibus, hilares eos red-

A χάριτος καθιστᾷ, ἐν τῇ ὁδῷ αὐτοῦ, τουτέστιν ἐν οἵῳ ἂν εἴῃ βίῳ, εἴτε ἐν ἱερατικῷ, εἴτε ἐν μοναχικῷ, εἴτε ἐν λαϊκῷ· ἐν πάσῃ γὰρ ὁδῷ βίου λῃστεύει. Τοῖς μὲν οὖν ὡς κλέπτης ἔπεισιν ὁ διάβολος, λάθρα κλέπτων αὐτούς, καὶ ἐν νυκτὶ, ὅταν πείθῃ, ὡς καλῷ προσέχειν τῷ χείρονι· οἷον, τὸν γάμον διαβάλλων, τὸν οἶνον, τὴν κτίσιν πᾶσαν, ὡς ἁμαρτιῶν ἀφορμάς· τοῖς δὲ, ὡς λῃστὴς ἐπέρχεται, ἀναφανδὸν καὶ ἀναιδῶς πείθων, μετιέναι καὶ τὰ προδήλως κατεγνωσμένα.

Ὅπως συνῴδωσιν, ὡς ᾄδοντες ἐν τῇ καρδίᾳ αὐτῶν. Οἱ ἐχθροὶ αὐτοῦ, φησὶν, ἐπελεύσονται ὡς κλέπται καὶ λῃσταί· αὐτοὶ δὲ θρηνῳδοῦντες καὶ ὀλοφυρόμενοι διατελέσουσιν, οὐδὲ τολμῶντες ἐξάκουστα θρηνεῖν καὶ ᾄδειν τὰς οἰκείας συμφορὰς, ἀλλ' ἐν ταῖς καρδίαις καὶ κατὰ διάνοιαν τοὺς θρήνους ποιούμενοι. Ταῦτα καὶ περὶ τοῦ ἐν τῷ σταυρῷ λῃστοῦ λεχθήσεται. Ἡ γὰρ καρδία αὐτοῦ, πρὸς τὴν τοῦ Χριστοῦ συνᾴδουσα ἦν· ὁ μὲν γὰρ ἐξωμολογεῖτο, ὁ δὲ Χριστὸς ἐχαρίζετο αὐτῷ.

Πασῶν τῶν κακιῶν αὐτῶν ἐμνήσθην· νῦν [ἐκύκλωσαν αὐτοὺς τὰ διαβούλια αὐτῶν, ἀπέναντι τοῦ προσώπου μου ἐγένοντο.] Ἐπὶ πολὺ, φησὶ, μακροθυμήσας, καὶ ὥσπερ μηδὲ ὁρᾷν δοκῶν τὰ παρ' αὐτῶν τολμώμενα, νῦν σαφῶς αὐτὰ θεωρῶ, καὶ ἀπέναντι τοῦ προσώπου μου ἐγένοντο. Πάντα γὰρ συνήχθησαν ὁμοῦ, καὶ κύκλῳ αὐτοῦ ἔστησαν, οὐ μόνα τὰ ἔργα, ἀλλὰ καὶ τὰ διαβούλια, τουτέστιν, οἱ λογισμοὶ, δεικνύντα μοι αὐτοὺς τιμωρίας ἀξίους. Μήποτε δὲ, ἐπειδὴ ὁ Θεὸς ἐκεῖνα τῶν ἁμαρτημάτων σφοδρότερον κολάζει, ὅσα ἀπὸ μελετῶν καὶ διαβουλίων γίνεται, διὰ τοῦτο ἐνταῦθα εἶπεν, ὅτι *Ἐκύκλωσαν αὐτοὺς τὰ διαβούλια αὐτῶν.* Οὐ γὰρ ἁπλῶς, φησὶν, ἔπραττον τὰ κακὰ, οὐδὲ ἀπὸ συναρπαγῆς, ἀλλὰ μετὰ βουλῆς καὶ σκέψεως. Οὕτω καὶ ἐν τῇ τελευταίᾳ τῆς κρίσεως ἡμέρᾳ, οὐ μόνον ἔργα, ἀλλὰ καὶ λογισμοὶ, καθ' οὓς ἐπράχθησαν, κρίνονται· καὶ ἐν τούτοις μάλιστά ἐστι τὸ κῦρος ἢ τῆς ἀφέσεως, ἢ τῆς κατακρίσεως. Ἀπέκτενον καὶ τοὺς προφήτας οἱ Ἑβραῖοι, καὶ ἀνεξικακῶν ὁ Θεὸς, ἐπειδὴ Κυριοκτόνοι γεγόνασι, καὶ ἐπλήρωσαν τὸ μέτρον τῶν πατέρων αὐτῶν, ἐμνήσθη πασῶν τῶν ἀδικιῶν αὐτῶν, ὅπως ἂν ἔλθῃ ἐπ' αὐτοὺς πᾶν αἷμα δίκαιον, ἀπὸ τοῦ αἵματος Ἄβελ, ἕως τοῦ αἵματος Ζαχαρίου.

Ἐν ταῖς κακίαις αὐτῶν εὐφράναν βασιλεῖς, καὶ ἐν τοῖς ψεύδεσιν αὐτῶν ἄρχοντας. Διὰ τὰς κακίας αὐτῶν, φησὶν, εἰς ὄλεθρον παραδραμόντες (13), πρόξενοι εὐφροσύνης ἐγένοντο τοῖς καταπολεμήσασιν αὐτοὺς βασιλεῦσι καὶ ἄρχουσιν. Ἢ ὅτι τοῖς βασιλεῦσιν αὐτῶν συνέτρεχον εἰδωλολατροῦντι, καὶ ἐθεράπευον αὐτοὺς διὰ τοῦ τὰ αὐτὰ πράττειν, καὶ ἐν τοῖς ψεύδεσιν αὐτῶν, ἤτοι τοῖς εἰδώλοις, ἢ

[98] Luc. II, 51.

Variæ lectiones et notæ.

(12) *Atque in his maxime sita vis est aut remissionis, aut condemnationis.* Cod. Ven.
(13) Cod. Ven. παραδοθέντες.

Digitized by Google

ταῖς κολακείαις, καὶ τοῖς ψευδέσιν ἐπαίνοις εὔφραινον ἐκείνους, δι' οὓς καὶ Ἡσαΐας ἔλεγεν· *Οἱ μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς*· καὶ, (14) *Οὐαὶ οἱ λέγοντες τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν!* Καὶ οἱ Ἰουδαῖοι δὲ, τοὺς αὐτῶν βασιλεῖς δαίμονας, τοὺς ἄρχοντας τοῦ σκότους, χαίρειν ἐποίουν ἐν ταῖς κατὰ Χριστοῦ συκοφαντίαις καὶ τοῖς ψεύδεσιν αὐτῶν· (15) ἀλλὰ καὶ Ἡρῴδην καὶ Πιλάτον, οἳ ἐν τῇ κατακρίσει Χριστοῦ εἰρήνευσαν πρὸς ἀλλήλους.

Πάντες μοιχεύοντες, ὡς κλίβανος καιόμενος εἰς πέψιν, κατακαύματος ἀπὸ τῆς φλογός. Μοιχείαν νοήσεις μὲν καὶ τὴν σωματικὴν, λέγοντος τοῦ Θεοῦ, *Πάντες* ὅτι οἱ ἐν Ἰσραὴλ, *μοιχεύοντές* εἰσι· καὶ οὕτω καιόμενοι τῷ τῆς ἀσελγείας πυρὶ, ὥσπερ κλίβανος, κατακαύματος ἀπὸ τῆς φλογὸς γινομένου, ὃς καίεται εἰς πέψιν, τουτέστιν, εἰς ὄπτησιν ἄρτων. Τὸ τῆς ἀσελγείας δὲ πῦρ ἐπάξει αὐτοῖς τὴν τῆς αἰχμαλωσίας φλόγα, ὑφ' ἧς κατακαυθέντες, εὔχρηστοι γενήσονται εἰς πέψιν τῆς ὠμότητος, ἣν ἔχουσι νῦν. Νοήσεις δὲ μοιχείαν καὶ τὴν εἰδωλολατρείαν, εἰς ἣν ἐξεκαίοντο, ἐπακολουθήσαντες τῷ πρώτῳ ἐν αὐτοῖς εἰδωλολάτρῃ Ἱεροβοάμ.

Ἀπὸ ζυράσεως στέατος, ἕως τοῦ ζυμωθῆναι τὸ ὅλον, ἡμέραι τῶν βασιλέων ὑμῶν. Στέαρ ἤγουν σταῖς, ὅ ἐστιν ἄλευρον, τὸν λαὸν πάντα καλεῖ, καί φησιν· Ὥσπερ ἡ ζύμη τὰ συμφυρόμενα ἄλευρα μεταποιεῖ πρὸς ἑαυτὴν, οὕτω καὶ ἀφ' οὗ ἤρξατο ὁ λαὸς φύρεσθαι πρὸς τὴν ζύμην τῆς τοῦ Ἱεροβοὰμ ἀσεβείας, μέχρις οὗ ἐζυμώθη ὅλος, καὶ πρὸς αὐτὴν μετεποιήθη, ὁ σύμπας οὗτος χρόνος ἡμέραι εἰσὶ τῶν βασιλέων ὑμῶν. Δείκνυσι δὲ διὰ τούτου, ὅτι ἐπὶ πάντων τῶν ἀπὸ τοῦ Ἱεροβοὰμ καὶ ἐπὶ τὰ κάτω βασιλέων εἰδωλολατρεία ἐπολιτεύετο. Μοιχεύοντας νόει, καὶ τὴν μοιχαλίδα καὶ ἁμαρτωλὸν γενεὰν τῶν Θεοκτόνων, οἳ ἐκκαιόμενοι τῷ φθόνῳ, καὶ μελετήσαντες τὸν σταυρὸν εἰς πέψιν, ἤτοι ὕφεσιν τοῦ οὐρανίου ἄρτου Χριστοῦ, οὐκ ἔληξαν, ἕως οὗ ἐτέλεσαν τὸ ἔργον. Ταῦτα μέντοι ἡμέραι εἰσὶ τῶν ἀρχόντων καὶ προεχόντων ἐν αὐτοῖς, τουτέστι, συμφορῶν ἀρχαίων. Ἡμέραν γὰρ, ὡς ἔφημεν καὶ ἀνωτέρω, ἡ Γραφὴ καὶ τὴν συμφορὰν καλεῖ. Ὥσπερ δὲ ὁ μὴ πιστεύων, ἤδη κέκριται καὶ πρὸ τῆς κρίσεως· οὕτω καὶ ὁ μοιχεύων, ἤδη καίεται καὶ πρὸ τῆς καύσεως ἐκείνης, ἣν τότε καυθήσεται εἰς πέψιν καὶ ἀρχηγίαν [ἀργίαν?] τῆς κακίας. Οὐκέτι γὰρ ἐνεργηθήσεται ἡ κακία μετὰ τὴν τελευταίαν κρίσιν, οὐδέ τις πρὸς αὐτὴν φιλίως ἔξει· ἀλλ' αἰώνιον μῖσος πρὸς αὐτὴν ἔσται τοῖς νῦν ἀγαπῶσιν αὐτὴν, ὅτι διὰ ταύτην αἰωνίως κολάζονται. Νῦν μὲν γὰρ σαίνει τοὺς ἀνοήτους τῷ φαινομένῳ ἡδεῖ· τότε δὲ ἀποκαλυφθείσης τῆς ἀσχημοσύνης αὐτῆς, μετομέλεια

A didicerunt. De quibus et Isaias ait : *Qui beatos vos prædicant, illi vos seducunt* [99]; et, *Væ illis qui amarum dulce dicunt* [1]. Ad hæc Judæi reges suos dæmones, principes tenebrarum, gaudio imbuerunt suis contra Christum imposturis, calumniis et mendaciis. Præterea Herodes, Caiphas, Annas, eosdem exhilararunt, qui in condemnatione Christi in gratiam, cum antea hostilibus inter se animis essent, redierunt.

B

Vers. 4. *Omnes adulterium committentes, sunt veluti furnus ustus ad digestionem, ustura a flamma facta.* Corporale hic adulterium intelliges, dicente Deo, quod universi Hierosolymorum incolæ sint adulteri, sic usti libidinis igni, veluti clibanus, cujus incensio fit a flamma, qui uritur ad digestionem, hoc est ad tosturam coctionemve panum. Porro libidinis ignis, adducet super eos captivitatis flammam, a qua adusti inutiles erunt, ad digestionem eruditatis quam etiamnum habent. Accipies etiam per adulterium, idololatriam, qua exurebantur, secuti primum inter se idololatram Jeroboam.

C

Vers. 4, 5. *A mistura massæ, usque dum tota fermento subigatur, dies regum vestrorum.* Stear, vel stais (quæ vox hic per massam reddita est) farinam denotat. Cunctum per hanc farinam populum intelligit, dicitque : Ut fermentum commistas secum farinas in sese transformat, sic a quo tempore cœpit populus subigi fermento impietatis Jeroboam, non destitit donec totus ejus contagione inficeretur, inque illud ipsum transformaretur. Totum isthuc tempus, dies sunt regnorum vestrorum, per quæ innuit, quod in omnibus Jeroboam, secutis regnis et regibus, idololatria floruerit. Per adulteros, adulteram juxta ac peccatricem generationem Domini interfectorum intellige, qui et invidia usti ac meditati crucem ad digestionem sive submissionem cœlestis panis Christi, non desierunt, quousque perfecerunt opus istud suum. Atque hæ sunt dies principum et præeminentium inter ipsos, hoc est veterum calamitatum. Diem enim, ut supra quoque diximus, Scriptura etiam calamitatem appellat. Quemadmodum autem qui non credit, jam judicatus est [2], vel ante judicium illud : sic adulterium **66** committens, jam uritur, ante ustionem etiam illam, qua uretur ad digestionem ac malitiæ supplicium. Nec enim ultra post extremum judicium scelera patrabuntur, neque quisquam unus ad ea sese acclinaturus est, verum perpetuum adversus ea odium erit illis qui nunc ea deamant, quod eorum nomine sempiternis cruciatibus dedantur. Ho-

D

[99] Isa. III, 12. [1] Isa. V, 20. [2] Joan. III, 18.

Variæ lectiones et notæ.

(14) *Væ illis, qui amarum dulce dicunt, et dulce amarum.* Colb. Bav. et Ven.

(15) *Herodem quoque et Pilatum* (iidem Hebræi lætari fecerunt) *qui in Christi condemnatione pacem inter se inierant.* Cod. Ven. et Bav.

Digitized by Google

die quidem insipientibus, quæ videntur suavia blandiuntur, tum vero detecta ipsorum deformitate, gravis comitabitur pœnitentia eos, qui hac in vita ab ipsis decepti fuerint, plorabuntque tum omni vacantes consolatione, quod adeo deformia et turpia divinæ pulchritudini prætulerint. Itaque mœchus jam uritur, juxta illud : *Ambulatis in lumine ignis vestri, et in flamma quæ exusti estis*[3]. Jam perinde ex fermento et farina fit mistio, atque ex cogitationibus et operibus fit actio. Ait ergo, quod regnantes in mœcho cogitationes non videntur esse turbidæ neque tristes, sed tranquillam quamdam et hilarem constitutionem habere, ab mistione farinæ, donec fermento subigatur tota, hoc est a quo tempore cœperint malum cogitare, usquedum opere compleverint.

A δεινὴ ἐπιγενήσεται τοῖς ἐν τῷ βίῳ τούτῳ ὑπ' αὐτῆς ἀπατηθεῖσι, καὶ μετακλαύσονται ἀπαράκλητα, ὅτι τὴν οὕτως ἀκαλλῆ καὶ ἀσχήμονα προετίμων τοῦ Θείου κάλλους. Ὁ οὖν μοιχὸς ἤδη καίεται, κατὰ τὸ, *Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ, ᾗ ἐξεκαύσατε.* Ἐπεὶ δὲ ὥσπερ ἐκ ζύμης καὶ ἀλεύρου τὸ φύραμα, οὕτω καὶ ἐκ τῶν λογισμῶν καὶ ἐνεργείας ἡ πρᾶξις· φησὶν, ὅτι οἱ βασιλεύοντες ἐν τῷ μοιχῷ λογισμοὶ, οὐ δοκοῦσιν ἐν σκότει εἶναι, ἀλλ' ἡμερινήν τινα καὶ ἱλαρὰν κατάστασιν ἔχειν, ἀπὸ φυράσεως στέατος, ἕως τοῦ ζυμωθῆναι τὸ ὅλον, τουτέστιν, ἀφ' οὗ ἄρξονται τὸ κακὸν μελετᾷν, ἕως οὗ τελέσουσι.

Cœperunt principes furere ex vino. Accusatis communiter omnibus tanquam adulteris, nunc omnes accusat principes ceu temulentos, ac propterea ad iram concitatos.

B *Ἤρξαντο οἱ ἄρχοντες θυμοῦσθαι ἐξ οἴνου.* Κατηγορίᾳ (16) κοινῇ πάντων ὡς μοιχῶν, νῦν κατηγορεῖ πάντων ὡς μεθύσων τῶν ἀρχόντων, καὶ διὰ τοῦτο θυμουμένων.

Vers. 5, 6. *Extendit manum suam cum pestilentiis, nam succensa sunt corda eorum veluti clibanus, dum offendunt eos.* Quilibet, inquit, principum extendit manum suam, uti dona accipiat, conversaturque hominibus per contagia et perditiones quas diligit, eo quod in consultando et nocendo contribulibus, adeoque reliquis mortalibus sint ferventissimi. Ex temulentia invidiæ furebant etiam principes Israel adversus Christum. Sic discipulus Judas extendit manum, quando proditionis argenteos accepit, consentiens pestibus Pharisæorum et Scribarum, qui æstuabant plane insidiis, quibus lacerarent dejicerentque Dominum. Ita militum peræque corda inflammabantur, excubias agentium proxime Domini sepulcrum.

Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ μετὰ λοιμῶν, διότι ἀνεκαύθησαν αἱ καρδίαι αὐτῶν, ὡς κλίβανος ἐν τῷ καταράσσειν αὐτούς. Ἕκαστος, φησὶ, τῶν ἀρχόντων ἐκτείνει τὴν χεῖρα εἰς τὸ δῶρα λαμβάνειν, καὶ λοιμοῖς καὶ φθορεῦσιν ἀνθρώποις συναναστρέφεται, ἀγαπῶν αὐτοὺς, δ:ότι ἐν τῷ καταράσσειν, τουτέστιν, ἐπιβουλεύειν καὶ βλάπτειν τοὺς ὁμογενεῖς, θερμότατοί εἰσι. Ἐκ τῆς μέθης τοῦ φθόνου ἐθυμοῦντο καὶ κατὰ τοῦ Χριστοῦ οἱ ἄρχοντες τοῦ Ἰσραήλ· καὶ ὁ μαθητὴς Ἰούδας ἐξέτεινε τὴν χεῖρα, ὅτε τὰ ἀργύρια τῆς προδοσίας ἐλάμβανε, συμφωνῶν· μετὰ τῶν λοιμῶν Φαρισαίων καὶ Γραμματέων, θερμῶν ὄντων εἰς τὸ ἐνεδρεῦσαι, καταβράξαι τε καὶ καταβαλεῖν τὸν Κύριον· καὶ τῶν στρατιωτῶν δὲ αἱ καρδίαι ἀνεκαίοντο ἀγρυπνούντων, ὅτε τὸν τάφον ἐτήρουν.

C

Vers. 16, 7. *Totam noctem somno Ephraim impletus est, mane prodiit, succensus est veluti ignis fulgor. Omnes incaluerunt ut clibanus succensus, ignis devoravit judices eorum, omnes reges eorum ceciderunt, nec erat inter eos qui meam sibi opem deposceret.* Sequitur facile supra memoratos temeto perfusos, ut totam noctem somno indulgeant, quod haudquaquam minimo est dedecori populi principibus : per hoc namque indicatur, quod non perinde magnam subditorum curam gerunt. Mane porro facto, inquit, ardebant veluti ignis, inflammabanturque ad bibendum et ad indignandum **67** ad numera capienda, omniaque id genus alia flagitia. Nec soli principes, verum ex æquo cuncti, ceu furnus sunt incensi ad peccandum, ut pro se quisque potest. Recte vero ignis ille vitiorum effecit, ut principes et reges eorum, idola colentes, aliaque non optima facinora perficientes, caderent. Nemo enim quidquam delinquens, stare dicitur.

Ὅλην τὴν νύκτα ὕπνου Ἐφραὶμ ἐνεπλήσθη. Πρωῒ ἐγερθήσεται, ἀνεκαύθη, ὡς πυρὸς φλέγγος, πάντες ἐθερμάνθησαν (17) *ὡς κλίβανος πυρὸς καιόμενος, καὶ κατέφαγε τοὺς κριτὰς αὐτῶν. Πάντες οἱ βασιλεῖς αὐτῶν ἔπεσον, καὶ οὐκ ἦν ὁ ἐπικαλούμενος ἐν αὐτοῖς πρός με.* Καὶ κατὰ τὸ πρόχειρον μὲν, ἀκολουθεῖ τοῖς ἄνω ῥηθεῖσι μεθύσοις, τὸ ὑπνώττειν ὅλην τὴν νύκτα, ὃ μεγίστη αἰσχύνη, καὶ μάλιστα τοῖς λαοῦ ἄρχουσι· δείκνυσι γὰρ αὐτοὺς τοῦτο, μηδόλως τῶν ὑπηκόων φροντίζοντας. Πρωῒας δὲ, φησὶ, γενομένης, ἀνεκαίοντο, ὥσπερ πῦρ, καὶ πρὸς τὸ πίνειν, καὶ πρὸς τὸ θυμοῦσθαι, καὶ πρὸς τὸ δωροληπτεῖν, καὶ πάντα τὰ ἄλλα κακά· καὶ οὐ μόνοι οἱ ἄρχοντες, ἀλλὰ καὶ πάντες ὡς κλίβανός εἰσι, καιόμενοι πρὸς τὸ ἁμαρτάνειν, ὡς ἕκαστος δύναται. Ἐξαιρέτως δὲ τὸ πῦρ τοῦτο τῆς κακίας, τοὺς κριτὰς αὐτῶν, τουτέστι, τοὺς βασιλεῖς καὶ ἄρχοντας, κατέφαγεν, ὅσῳ καὶ ὕλην εἶχον τὴν ἐξουσίαν· καὶ πάντες οἱ βασιλεῖς αὐτῶν

D

[3] Isa. xxx, 11.

Variæ lectiones et notæ.

(16) Scribendum κατηγορήσας, ut et Lonicerus in suo cod. legisse videtur.

(17) Ἐξεθερμάνθησαν αἱ καρδίαι αὐτῶν, *incaluerunt corda ipsorum.* Cod. Bav.

Digitized by Google

ἔπεσον εἰδωλολατροῦντες καὶ τὰ ἄλλα ἁμαρτάνοντες. Οὐδεὶς γὰρ ἁμαρτάνων, ἵστασθαι λέγεται. Καὶ οὐκ ἦν τις ἐν αὐτοῖς, ὃς πρός με ἀπονεύων, ἐπεκαλεῖτό με· ἢ ὅτι οὐκ ἦν διδάσκαλος, ὃς ἐκάλει αὐτοὺς, καὶ ἐφίλει [ἐφεῖλκε? ἐφιλίου?] πρός με. Ἐκοιμῶντο δὲ οἱ Ἰουδαῖοι ἀμέριμνοι, ὅτε τὸν τάφον οἱ στρατιῶται ἐτήρουν· ἡνίκα δὲ πρωῒ ἐγένετο, ἀναστάντος τοῦ Κυρίου, ἀνεκαύθη ὁ φθόνος αὐτῶν, καὶ ἐγένοντο ὡς κλίβανος καιόμενοι τῷ θυμῷ. Καὶ ἡ ἐπὶ τῇ ἀναστάσει ζηλοτυπία, τοὺς κριτὰς αὐτῶν κατέφαγε· καὶ πάντες ἔπεσον πτῶσιν μεγάλην, διαψευσθέντες τῶν ἐλπίδων. Καὶ ὁ ἁμαρτάνων δὲ, ὅλην τὴν νύκτα τοῦ βίου ὑπνώττει ἀναισθητῶν. Διὸ Παῦλος τῷ γνησίῳ τέκνῳ, καὶ τῆς ἡμέρας υἱῷ Τιμοθέῳ παραινεῖ· *Νῆφε ἐν πᾶσιν.* Ὅταν μέντοι πρωῒ γένηται, ἡ μέλλουσα δηλαδὴ κατάστασις, τότε ἀνεκαύθη μὲν ἐν αὐτῷ καὶ ἀνέλαμψεν ἡ αἴσθησις τῶν πραχθέντων αὐτῷ, πλὴν ὡς πυρὸς φέγγος· καίει γὰρ αὐτὸν, καὶ τότε τοὺς πρώην κριτὰς αὐτοῦ λογισμοὺς, τοὺς κρίνοντας, ὅτι τότε δεῖ πρᾶξαι, καταφάγεται πῦρ. Πάντα γὰρ οὗτοι βασιλεύοντες, καὶ κρατοῦντες πρότερον, τοῦ πτώματος τῆς ἁμαρτίας ἦσαν αἴτιοι, καὶ πρὸς τὸν Θεὸν οὐδόλως προσεκαλοῦντο.

A Neque quisquam inter eos erat, qui ad me respiciens invocaret me : quod deerat illis institutor, qui eos dirigeret et ad me pertraheret. Sopiti etiam somno erant Judæi, omnis expertes sollicitudinis, quando monumentum milites servabant. Atenim mane, adeoque diluculo facto, excitatoque Domino, invidia etiam eorum, quod resurrexisset, accensa est, factique sunt veluti furnus furore inflammati. Deinde judices eorum livor ob resurrectionem devoravit, omnesque ceciderunt ruina magna, spebus suis fraudati, Qui peccat, totum pariter vitæ hujus noctem dormit, non sentiens peccatum. Eam ob causam divus Paulus genuinum suum dici filium adhortatur : *Vigila in omnibus*[a]. Porro, quando futura in extremo die condemnatio B exsuscitata fuerit et illuxerit, ut diluculum in peccatore, tum sensus ad se commissorum facinorum oritur, instar igneæ flammæ : urit enim ipsum peccati conscientia ; tum qui antea judices eorum fuerunt, non recte instituentes eos doctores, devorabit ignis ille, hoc est, agnoscentur fuisse vani. Siquidem isti antehac doctrinæ cathedram obtinentes, ruinæ in peccatum auctores exstiterunt, nec quidquam Deum auxiliatorem imploraruut, nec ut alii invocarent, docuerunt.

Ἐφραὶμ τοῖς λαοῖς αὐτοῦ συνεμίγνυτο. Δέον, φησὶ, τοὺς ἄλλους ὁδηγεῖν εἰς τὸ ἀγαθὸν, ὁ δὲ τοῖς πλήθεσιν εἰς τὴν κακίαν συνανεφύρετο (18)· καὶ ὁ βασιλεὺς παρηνόμει ἐπίσης τοῖς ἄλλοις. Ἡ γὰρ τοῦ Ἐφραὶμ φυλὴ ἐβασίλευσεν, ὡς πολλάκις εἴπομεν.

Vers. 8. *Ephraim populis suis commiscebatur.* Aliis Ephraim, vates asseverat, iter ad bonum ostendisse, ipsum vero multitudini ad malum accelinatæ conjunctum esse. Rex præterea æque prævaricabatur atque alii : nam tribus Ephraim regni C sceptra tenuit, ut diximus.

Ἐφραὶμ ἐγένετο ἐγκρυφίας οὐ μεταστρεφόμενος. Ὥσπερ γὰρ ὁ ἐγκρυφίας ἄρτος, κατὰ τὸ ἓν μέρος ὁμιλῶν τῷ πυρὶ, κατακαίεται, καὶ ἄχρηστος γίνεται· δεῖ γὰρ μεταστρέφεσθαι αὐτὸν ἵνα καὶ κατὰ θάτερον μέρος ὀπτηθῇ· οὕτω καὶ αὐτὸς ἐπέμεινε τῇ κακίᾳ, καὶ ὑπ' αὐτῆς κατεκάη.

Ephraim factus est encryphias non inversus. Ut encryphias panis ille, altera parte sui admotus igni comburitur, et inutilis fit : opus est namque, ut conversus altera quoque parte assetur : sic et ipse Ephraim in vitiis perseveravit, ab iis combustus.

Κατέφαγον ἀλλότριοι τὴν ἰσχὺν αὐτοῦ· αὐτὸς δὲ οὐκ ἔγνω. Ἐπεὶ ἄρτον (19) ὠνόμασεν, ἐπέμεινε τῇ τροπῇ, καί φησιν, ὅτι Οἱ ἀλλόφυλοι ἐπολέμησαν (20) αὐτόν· κατέφαγον πᾶσαν τὴν ἰσχὺν αὐτοῦ, καὶ τὴν ἐν ἀνδράσι, καὶ τὴν ἐν πλούτῳ. Αὐτὸς δὲ οὐδ' οὕτως ἐπέγνω τὸν παιδεύοντα Θεόν.

Vers. 9. *Comederunt alieni robur ejus, ipse vero nos cognovit.* Quia panem jam nominavit, in ea metaphora perdurans, Alieni, inquit, comederunt eum, hoc est debellarunt ipsum. Exederunt autem omnes vires ejus, et in fortitudine seu potentia et opibus sitas, et interim non agnovit sese castigan- D tem Deum.

Καὶ πολιαὶ ἐξήνθησαν αὐτῷ, καὶ αὐτὸς οὐκ ἔγνω. Πολὺν, φησὶ, καὶ μακρὸν χρόνον παιδεύεται, καὶ οἱονεὶ κατεγήρασε παιδευόμενος· ἀλλ' οὐδὲ ὑπὸ τοῦ χρόνου ἐδιδάχθη τὸ δέον. Καὶ οἱ ἀρχηγοὶ καὶ διδάσκαλοι τοῦ Ἰσραὴλ, τῷ χυδαίῳ ὄχλῳ συμφρονήσαντες, οὐκ ἠθέλησαν μεταστραφῆναι ἀπὸ τοῦ γράμματος ἐπὶ τὸ πνεῦμα. Διὸ τὰ ἔθνη, τὰ ἀλλότρια τῶν διαθηκῶν τοῦ Θεοῦ, ἔφαγον τὴν ἰσχὺν αὐτοῦ (ἰσχὺς δὲ τοῦ Ἰσραὴλ, ὁ νόμος)· αὐτοὶ δὲ πω-

Cani efflorruerunt ipsi, nec hoc tamen agnovit. Multo, inquit, ac longo plane tempore castigatur, ac veluti in ea **68** castigatione consenuit, nec vel sic tamen tanto tempore, quid se decuisset, didicerit. Principes porro ac doctores Israelis, idem cum indocto et confuso vulgo sapientes, noluerunt converti ab littera ad spiritum, propterea gentes alienæ ab testamentis Dei, comederunt robur eorum. Israelis autem robur est lex. Ipsi vero

[a] II Tim. IV, 5.

Variæ lectiones et notæ.

(18) Græca verba sic habent : *Cum par esset*, ait, *aliis ad bene agendum se ducem præbere, populo et ipse ad male agendum se adjungebat.*

(19) Ἄρτον αὐτόν, *panem ipsum.* Cod. Ven.

(20) Ἐκπολεμήσαντες, *cum expugnassent.* Cod. Ven.

Digitized by Google

obcæcati non agnoverunt, sed perstiterunt, consenueruntque in litteræ administratione. *Jam omne quod inveterascit et senio conficitur, proxime est oblitterationem exstinctionemque* [5]. Ad hæc quando quisquam malitiæ flamma exuritur, adeo ut seipsum tradat ei, adortus clandestina scelera quæ nefas est nominare, nec ab tali sua iniquitate revertitur, comedunt robur ejus, quod accepit a Deo [ut natura quadantenus ad bonum opus non sit idoneus] dæmones, qui alieni et hostes nostri facti sunt, invidentes Dei gloriæ; propterea et inveteratus in malitia omnem peccati ille ignorantiam habet.

A ρωθέντες οὐκ ἔγνωσαν, ἀλλ ἐπελαιώθησαν ἐν τῇ κατὰ τὸ γράμμα πολιτείᾳ. Πᾶν δὲ τὸ παλαιούμενον καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ· καὶ ὅταν δέ τις τῇ φλογὶ, ᾗ ἐκκαίει, δοὺς ἑαυτὸν ὁλοσχερῶς, καὶ τὸ κρυφῇ γινόμενα, ἃ αἰσχρόν ἐστιν καὶ λέγειν, μετιὼν, οὐ μεταστραφήσεται ἀπὸ τῆς τοιαύτης καταστάσεως, κατεσθίουσι τὴν ἰσχὺν αὐτοῦ, ἣν ἔλαβε παρὰ Θεοῦ φυσικῶς πρὸς τὰς ἀγαθὰς πράξεις, οἱ δαίμονες, οἵτινες ἀλλότριοι καὶ ἐχθροὶ ἡμῶν ἐγένοντο, φθονήσαντες τῇ τοῦ ἀνθρώπου δόξῃ. Διὸ καὶ παλαιούμενος ἐν τῇ ἁμαρτίᾳ, παντελῆ τοῦ κακοῦ [καλοῦ?] ἀγνωσίαν ἔχει.

VERS. 10. *Dejicieturque injuria Israelis in faciem ejus.* Id est oculis suis videbunt pericula. Sic qui in Dominum Christum injurii fuerunt Hebræi, una cum templo et urbe sunt dejecti.

Καὶ ταπεινωθήσεται ἡ ὕβρις τοῦ Ἰσραὴλ εἰς πρόσωπον αὐτοῦ. Τουτέστιν, Ἐν ὀφθαλμοῖς αὐτοῦ B ὄψεται τὰ δεινά· ὥσπερ καὶ οἱ τὸν Κύριον ὑβρίσαντες, καθαιρεθέντος αὐτοῖς τοῦ ναοῦ καὶ τῆς πόλεως, ἐταπεινώθησαν.

VERS. 10, 11. *Necsunt reversi ad Dominum Deum suum, nec exquisiverunt ipsum in omnibus hisce. Ephraim erat ut columba amens, corde vacans, Ægyptum invocabat et ad Assyrios proficiscebatur.* Ego, inquit, afflictiones ipsis afferebam, ut intelligentes ad me redirent, meumque auxilium implorarent, at ipsi ad humana adjutoria reciderunt: Ægyptiorum enim opem inquirebant. Dein ab Assyriis oppugnati, defatigatique eosdem invocabant, amentis insipientisve columbulæ mentem præ se ferentes. Etenim ut illa, pullis sublatis, non avolat, verum in iisdem locis remanet: non dissimilem ad modum isti ad hostes suos accurrebant: nam Assyrii ex confesso hostes eorum erant et Ægyptii. Columba lasciviæ et incontinentiæ hic typus est: quocirca ubi anima voluptatibus tenebrarum intemperanter dedita sui impotens facta fuerit, nec sibi mali quidpiam adesse putaverit, Ægyptum profecto et Assyrios amicitia sibi copulat, hanc quidem ob tenebrarum opera, illos vero propter sui fastum et opinionem. Hinc suo etiam illi tempore dicetur: *Vade in tenebras exteriores, diabolo et angelis ejus paratas* [6]. Porro angeli diaboli, mentales etiam Assyrii sunt. Quadrant hæc quoque Domini interlectrici Synagogæ. Non agnoverunt enim, neque intellexerunt, verum præ fastu et opinione sua in tenebris iter faciunt.

Καὶ οὐκ ἐπέστρεψαν πρὸς Κύριον τὸν θεὸν αὐτῶν, καὶ οὐκ ἐξεζήτησαν αὐτὸν ἐν πᾶσι τούτοις. Καὶ ἦν Ἐφραὶμ, ὡς περιστερὰ ἄνους, οὐκ ἔχουσα καρδίαν. Αἴγυπτον ἐπεκαλεῖτο, καὶ εἰς Ἀσσυρίους ἐπορεύετο. Ἐγὼ μὲν, φησὶ, τὰς κακώσεις αὐτοῖς ἐπέφερον, ὅπως συνέντες, ἐπιστρέψουσι πρός με, καὶ τὴν ἐμὴν βοήθειαν ἐπικαλέσονται· οἱ δὲ πρὸς ἀνθρωπίνας ἀπέβλεπον συμμαχίας. Τὴν Αἰγυπτίων μὲν γὰρ βοήθειαν ἐπεζήτουν, πολεμούμενοι ὑπὸ Ἀσσυρίων· ὑπὸ δὲ Σύρων κατα- C πονούμενοι, τοὺς Ἀσσυρίους ἐπεκαλοῦντο, τῆς περιστερᾶς τὴν ἄνοιαν δεικνύντες. Καθάπερ γὰρ ἐκείνη τῶν ἑαυτῆς νεοσσῶν ἀφαιρουμένων, οὐκ ἀφίπταται, ἀλλὰ τοῖς αὐτοῖς ἐπιμένει χωρίοις· οὕτω καὶ οὗτοι τοῖς ἐχθροῖς προσέτρεχον· καὶ γὰρ οἱ Ἀσσύριοι ὁμολογουμένως ἐχθροὶ αὐτῶν ἦσαν, καὶ οἱ Αἰγύπτιοι. Λάγνον δὲ ἡ περιστερὰ καὶ ἀκόλαστον. Ὅταν οὖν ψυχὴ πρὸς τὰς ἡδονὰς τοῦ σκότους ἀκρατῶς ἔχουσα ἀνοηταίνῃ, καὶ οἴηται μηδὲν αὐτῇ κακὸν εἶναι, τῇ Αἰγύπτῳ καὶ τοῖς Ἀσσυρίοις φιλιάζει· τῇ μὲν, διὰ τὰ τοῦ σκότους ἔργα, τοῖς δὲ διὰ τὴν οἴησιν· ὅθεν καὶ ἀκούσεται· *Πορεύου εἰς τὸ σκότος τὸ ἐξώτερον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ*· οἵτινές εἰσιν οἱ νοητοὶ Ἀσσύριοι. Ταῦτα καὶ τῇ Θεοκτόνῳ Συναγωγῇ ἁρμόζει· οὐκ ἔγνωσαν γὰρ, οὐδὲ συνῆκαν, ἀπὸ δὲ οἰήσεως D ἐν σκότει πορεύονται.

VERS. 12. *Ubi profecti fuerint, injiciam super eos rete meum, tanquam volucres cœli deducam eos, castigabo eos in auditione tribulationis ipsorum.* Ipsis, inquit, proficiscentibus, ut auxilia sibi accersant, ego **69** injiciam ipsi hostes, veluti rete, et deducam eos, hoc est superbiam ipsorum dejiciam et humillabo: primum tamen conabor eos erudire, prænuntiando imminentia, uti sciant, quæ sint eos excepturæ calamitates. Quod si ipsi non castigentur, nec sese emendent, tum inducam super ipsos tribulationes. Vel: Adeo terribiles erunt hostes, ut nedum præsentes, verum denuntiati tantum et

Καθὼς ἂν πορεύωνται, ἐπιβαλῶ ἐπ' αὐτοὺς τὸ δίκτυόν μου. Καθὼς τὰ πετεινὰ τοῦ οὐρανοῦ κατάξω αὐτούς· παιδεύσω αὐτοὺς ἐν τῇ ἀκοῇ τῆς θλίψεως αὐτῶν. Αὐτῶν πορευομένων, φησὶ, πρὸς τὸ ἐπικαλεῖσθαι συμμάχους καὶ βοηθοὺς, ἐγὼ τοὺς πολεμίους αὐτοῖς ἐπιβαλῶ, οἷόν τι δίκτυον, καὶ κατάξω αὐτοὺς, τουτέστι, τὴν ὑπερηφανίαν αὐτῶν κατασπάσω καὶ ταπεινώσω. Πρότερον μέντοι ἐπιχειρήσω παιδεῦσαι αὐτοὺς διὰ τοῦ προαγγεῖλαι, καὶ ἀκουστὰς ποιῆσαι αὐτοῖς τὰς ἐκδεχομένας αὐτοὺς θλίψεις· εἰ δὲ οὐ παιδευθῶσι, τότε καὶ αὐτὰς τὰς θλίψεις ἐπάξω. Ἤ, ὅτι Οὕτω φοβεροὶ ἔσονται

[5] Hebr. VIII, 13. [6] Matth. XXV, 30.

Digitized by Google

οἱ πολέμιοι, ὥστε καὶ μήπω ἐπιστάντες, ἀλλὰ φημιζόμενοι μόνον, καὶ ἀκουόμενοι, ἀρκεῖν αὐτοῖς εἰς παιδείαν. Δίκτυον τοῦ Θεοῦ, ἡ πολυποίκιλος αὐτοῦ σοφία, καθ' ἣν προνοούμενος ἡμῶν πολλάκις, ὅταν πρὸς τὸ πρᾶξαί τι κακὸν πορευώμεθα καὶ κινώμεθα, ἐμπόδια ἐπιβάλλει· καὶ ὑψηλοφρονοῦντας δὲ, κατὰ τοὺς ἐν τῷ ἀέρι δαίμονας, κατάγει καὶ ταπεινοῖ· καὶ προαγγέλλων γέενναν, καὶ σκώληκα μὴ τελευτῶντα, καὶ πῦρ μὴ σβεννύμενον, παιδεύει διὰ τῆς ἀκοῆς ὡς φιλάνθρωπος. Καὶ τοῖς Θεοκτόνοις πορευομένοις ἐν πλάνῃ, ἐπέβαλε τὸ δίκτυον αὐτοῖς, τὴν τῶν ἁλιέων διδαχήν, ὡς ἂν κατάξῃ αὐτοὺς εἰς τὴν ἐν Χριστῷ ταπείνωσιν, καὶ πείσῃ αὐτοὺς μαθεῖν, ὅτι πρᾶός ἐστι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ μὴ καυχᾶσθαι ἐν τοῖς τοῦ νόμου ἔργοις, ἀλλὰ δεῖσθαι τοῦ δικαιοῦντος δωρεὰν τῇ αὐτοῦ χάριτι· καὶ ἐπαίδευεν αὐτοὺς ἐν τῇ ἀκοῇ τῆς θλίψεως αὐτῶν λέγων, ὅτι Ἱερουσαλὴμ πατουμένη ὑπὸ ἐθνῶν· καὶ περὶ τοῦ ναοῦ, ὅτι οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον· καὶ, *Μακάριαι αἱ στεῖραι, αἳ οὐκ ὠδίνησαν*· καὶ ὅσα περὶ τῆς ἁλώσεως.

Οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ ! Δειλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ. Ἐπὶ τοῖς νοσοῦσιν ἕως μὲν ἔστιν ἐλπὶς σωτηρίας· πάντα καὶ λέγουσι, καὶ ποιοῦσιν οἱ αὐτῶν κηδόμενοι· ἐπειδὰν δὲ ἀπογνῶσιν αὐτῶν, θρηνοῦσι λοιπόν. Τοῦτο καὶ ὁ Θεὸς ἐπὶ τῷ λαῷ ποιεῖ, ἀπογνοὺς τῆς θεραπείας, καὶ θρηνεῖ αὐτοὺς, ὡς ἀποπηδήσαντας μὲν διὰ τῶν πονηρῶν πράξεων, ἀσεβήσαντας δὲ διὰ τῆς ἀθέου λατρείας.

Ἐγὼ ἐλυτρωσάμην αὐτούς. Τοὺς μὲν πρώην, ἐκ τῆς ἐν Αἰγύπτῳ δουλείας, τοὺς δὲ ὕστερον ὁ Χριστὸς ἀπὸ τῶν δαιμονίων, καὶ τῶν νόσων, καὶ τῶν πηρώσεων· καὶ τελευταῖον, διὰ τοῦ ἰδίου αἵματος, ἐν ᾧ εὑρομεν τὴν ἀπολύτρωσιν.

Αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ. Καὶ ὅτε περιστάντες τὸν μόσχον ἔλεγον· *Οὗτοι οἱ θεοί σου, Ἰσραήλ*· καὶ ὅτε ἔλεγον, *Ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, μὴ καὶ ἄρτον δύναται δοῦναι ;*

Καὶ οὐκ ἐβόησαν (21) *πρός με αἱ καρδίαι αὐτῶν.* Τοῖς χείλεσί με μόνον ἐτίμων· ἡ δὲ καρδία αὐτῶν, πόῤῥω ἀπεῖχεν ἀπ' ἐμοῦ· ἤ, ὅτι Οὐκ ἐμὲ ἐπεγράφοντο εὐεργέτην, ἀλλὰ τὰ εἴδωλα.

Ἀλλ' ἢ ὠλόλυζον ἐπὶ ταῖς κοίταις αὐτῶν· ἐπὶ σίτῳ καὶ οἴνῳ κατετέμνοντο. Τὴν ἐπηγγελμένην τοῖς πατράσιν αὐτῶν γῆν ἀπολαύοντες [*f.* — λαβόντες]. καὶ τοὺς κλήρους αὐτῶν διαλαχόντες (τούτους γὰρ κοίτας ὠνόμασε, διότι ἐν αὐτοῖς ἀνεπαύσαντο τῶν ἐκ τῆς ἐρήμου πόνων), οὐκ ἐμοὶ εὐχαρίστησαν, ἀλλὰ τὰς εἰδωλικὰς τελετὰς τελοῦντες ὠλόλυζον, ὡς παρ' ἐκείνοις μαινόμενοι· καὶ τὸν σῖτον καὶ τὸν οἶνον, τὰ ἐμὰ δῶρα ἔχοντες, καὶ τούτοις ἐντρυφῶντες, ἐντομίδας ἐποίουν εἰς τὴν τιμὴν τῶν δαιμόνων, τὰ στήθη καὶ τοὺς

auditi, sufficiant ad castigationem. Rete Dei multiplex, variaque ejus est sapientia, per quam cognitus a nobis, sæpenumero, quando ad mali quidpiam perficiendum eamus, moveamurque, impedimenta injicit, altaque affectantes, instar dæmonum qui in aere versantur, deducit nos et humiliat, prænuntians gehennam et vermem non morientem, ignemque inexstinguibilem : erudit nos per hujusmodi prædicationem, ut humanus et clemens Pater. Domini quoque occisoribus in errore facientibus iter, injecit rete suum, piscatorum nimirum doctrinam, uti ab eo deduceret eos ad Christi humiliationem et obedientiam, persuaderetque eis discere, quod mitis sit Christus et humilis corde [7], neu glorientur in lege per opera, sed precentur potius eum qui gratis justificat, per gratiam suam ; eruditque eos per prædicationem futuræ illorum afflictionis, dicens, quod Jerusalem ab gentibus sit conculcanda : deque templo, quod non maneat lapis super lapidem [8]; et : *Beatæ steriles quæ non pepererunt* [9] : et quæcunque illic de captione Hierosolymorum vaticinatus est.

Vers. 13. *Væ ipsis, quoniam desilierunt a me. Miseri sunt, quoniam impii fuerunt in me.* Apud infirmos donec spes est salutis, omnia et dicunt et faciunt qui eos curant. Simul ac vero de incolumitate ipsorum desperaverint, lugent eos in posterum. Idem Deus in populo suo facit, curam suam nihil valere animadvertens, eos deplorat, ut qui per mala opera ab se desilierint, impiique fuerint, colendo eos qui non sunt dii.

Ego redemi ipsos. Priores quidem ex Ægyptiaca servitute, posteriores autem Christus a dæmonibus, languoribus, cæcitatibus redemit, ac tandem proprio suo sanguine, in quo invenimus redemptionem.

Ipsi vero locuti sunt adversus me vana. Primum, quando vitulum circumstantes dixerunt : *Hi sunt dii tui, Israel* [10]. Deinde quando aiebant, *Quoniam percussit petram, et fluxerunt aquæ, numquid et panem dare poterit* [11] ?

Et non clamaverunt ad me corda ipsorum. Labiis me suis tantummodo venerabantur, cor vero eorum procul me aberat [12], sive quod me non agnoscebant benefactorem, sed idola potius.

Sed enim ululabant super cubilibus suis, super frumento et vino dissecabantur. **70** Terram patribus suis promissam accipientes, ac sortes suas adepti (eas enim cubilia nominavit, quod per ea requievissent a laboribus deserti) mihi non egerunt gratias, verum idolis sacra facientes, peragentesque festa, ululabant perinde ac insueverunt idolorum cultores furiis agitati ululare. Præterea a me dona habentes, nimirum fruges et vinum in quibus capiebant voluptatem, sectiones interim

[7] Matth. xi, 19. [8] Luc. xxi, 6. [9] Luc. xxiii, 29. [10] Exod. xxxi, 8. [11] Psal. lxxvii, 20. [12] Matth. xv 8.

Variæ lectiones et notæ.

(21) Καὶ ἐβόησαν, *et clamaverunt.* Cod. Bav.

Digitized by Google

faciebant, in gratiam dæmonum, pectora et brachia dispungentes. Vel hoc dicit, quod apud gentes Rheam matrem deum colentes factitabant. A tibiarum enim cantu ad insaniam acti, seipsos dissecabant, genitalia sibi membra auferentes, qui baceli et bacchæ dicebantur. Hæc itaque committebant Israelitæ, super cibo et vino, hoc est petentes ea ab idolis. Oblocuti sunt etiam Domini interemptores Christo dicentes ; *In Beelzebul ejicit dæmonia* [13]. Rursus aiebant : Magister bone, compertum habemus quod viam Dei denuntias, nec intuearis in personam hominum. Enimvero hoc non ex animo dicebant, sed privato quodam pravo consilio. Hoc enim indicat quod ait : *In cubilibus.* Etenim contra ipsum murmurantes gemebant, quod talia quidem agens adhuc viveret. Deinde asseverante ipso : *Caro mea vere est cibus, et sanguis meus vere est potus* [14], abscindebantur, deficiebantque ab ipso, orta inter eos factione ; dicebant enim : *Durus est sermo ille, ecquis eum audire potest* [15] ? Redemit etiam nos Dominus ab omni impuritate. At multi delinquentium loquuntur adversus eum mendacia : Quis novit, fabulantes, an ne futurum sit judicium, num sit venturus exploratum nostra ? *Edamus et bibamus, cras enim moriemur* [16]. Quin etiam Dominum suum Mammonam esse profitentes, super frumento et vino conciduntur, partim quidem dum temulentiæ, deliciisque student, inde ad lites, ad vulnera, ad cædes dilabentes : partim vero dum bella cient et propter frumentum et vinum, aliaque terræ bona ; propterea in nihilum etiam rediguntur. Omne namque tale studium, ad nullum bonum finem perducit.

βραχίονας καταστιζοντες. Ἢ ἐκεῖνο λέγει, ὁ ἐποίουν τὴν Ῥέαν θεραπεύοντες. Ὑπ' αὐτῶν γὰρ ἐκτεμνόμενοι [*f.* ὑπ' αὐλῶν γὰρ ἐκμαινόμ.] κατέτεμνον ἑαυτοὺς, καὶ τὰ παιδογόνα μόρια ἀφαιροῦντες, οἱ βάκηλοι (22) καὶ βάκχαι ἐλέγοντο. Ταῦτα δὲ ἐποίουν οἱ Ἰσραηλῖται ἐπὶ σίτῳ καὶ οἴνῳ · τουτέστιν, αἰτοῦντες ταῦτα παρὰ τῶν εἰδώλων. Κατελάλησαν καὶ οἱ θεοκτόνοι τοῦ Χριστοῦ (23), λέγοντες· *Ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια.* Πάλιν ἔλεγον · Διδάσκαλε ἀγαθέ · καὶ, Οἴδαμεν, ὅτι τὴν ὁδὸν τοῦ Θεοῦ καταγγέλλεις, καὶ οὐ βλέπεις εἰς πρόσωπον ἀνθρώπου. Οὐκ ἀπὸ καρδίας δὲ ταῦτα ἔλεγον, κατ' ἰδίαν δὲ (τοῦτο γὰρ δηλοῖ τὸ, *Ἐν κοίταις*) κατ' αὐτοῦ γογγύζοντες ἐστέναζον, ὅτι τοιαῦτα ποιῶν ἔτι ζῇ· καὶ λέγοντος αὐτοῦ · *Ἡ σάρξ μου ἀληθῶς ἐστι βρῶσις, καὶ τὸ αἷμά μου, ἀληθῶς ἐστι πόσις·* ἀπετέμνοντο ἀπ' αὐτοῦ καὶ ἀφίσταντο, καὶ πολλὰ μέρη ἐγίνοντο, λέγοντες· *Σκληρός ἐστιν ὁ λόγος οὗτος · τίς δύναται αὐτοῦ ἀκούειν ;* Ἐλυτρώσατο καὶ ἡμᾶς ὁ Κύριος ἀπὸ πάσης ἀκαθαρσίας. Ἀλλὰ πολλοὶ τῶν ἁμαρτανόντων λαλοῦσι κατ' αὐτοῦ ψευδῆ, Τίς οἶδε, λέγοντες, εἰ ἔσται κρίσις, εἰ ἥξει ἐξετάσων τὰ ἡμέτερα ; *Φάγωμεν, καὶ πίωμεν · αὔριον γὰρ ἀποθνήσκομεν* · καὶ καλοῦντες αὐτῶν κύριον τὸν Μαμμωνᾶν (24). Καὶ ἐπὶ σίτῳ καὶ οἴνῳ κατατέμνονται, τάχα μὲν καὶ οἱ μεθυσκόμενοι καὶ τρυφῶντες, εἶτα εἰς ἔριδας καὶ τραύματα καὶ φόνους προχωροῦντες· τάχα δὲ καὶ οἱ τοὺς πολέμους συνιστῶντες διὰ σῖτον, καὶ οἶνον, καὶ ἄλλα τῆς γῆς ἀγαθά. Διὸ καὶ στρέφονται εἰς οὐδέν. Πᾶσα γὰρ ἡ περὶ τὰ τοιαῦτα σπουδὴ, εἰς οὐδὲν τέλος εὐάρεστον καταστρέφει.

Vers. 15. *Castigati sunt in me, et ego confortavi brachia ipsorum, in me cogitaverunt mala.* Ego quidem, inquit, erudii eos, docuique ipsos justitiæ viam, omnemque decorem, adeo ut vel ipsi de sese cum gaudio sui dicere queant : Beati sumus Israelitæ, nam quæ Deo placent, sunt cognita nobis. Nec hoc tantummodo egi, cæterum strenuos eos bellatores constitui, brachia eorum confortando : at ipsi non cogitaverunt me suum esse Deum.

Ἐπαιδεύθησαν ἐν ἐμοὶ, καὶ ἐγὼ κατίσχυσα τοὺς βραχίονας αὐτῶν, εἰς ἐμὲ ἐλογίσαντο πονηρά. Ἐγὼ, φησὶν, ἐπαίδευσα αὐτοὺς, καὶ ἐδίδαξα τὴν τῆς δικαιοσύνης ὁδὸν, καὶ πᾶσαν εὐκοσμίαν, ὥστε καὶ αὐτοὺς λέγειν, χαίροντας ἐφ' ἑαυτοῖς· Μακάριοί ἐσμεν, Ἰσραὴλ, ὅτι τὰ ἀρεστὰ Κυρίῳ, ἡμῖν γνωστά ἐστι. Καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ πολεμιστὰς αὐτοὺς γενναίους ἀνέδειξα, καὶ ἐνίσχυσα τοὺς βραχίονας αὐτῶν· οἱ δὲ ἐλογίσαντο περὶ ἐμοῦ, ὅτι οὐκ ἐγώ εἰμι Θεός.

Vers. 16. *Conversi sunt ad nihil.* Hoc est, ad nusquam quidquam exsistentia. Hoc enim est miserabilius, quod pro me talia colucrunt, **71** id quod et alibi dicit : *Duo enim mala fecit populus meus : me dereliquerunt fontem aquæ vivæ ; foderunt sibi lacus contritos, qui non poterunt continere aquam* [17]. Erudiit etiam Israelitas Servator, nunquam non docens in synagogis ut ad ipsum convertantur et credant : verum ad nihilum con-

Ἀπεστράφησαν εἰς οὐδέν. Τουτέστιν, εἰς τὰ μηδαμῇ μηδαμῶς ὄντα. Τοῦτο γὰρ σχετλιώτερον, ὅτι ἀντ' ἐμοῦ τοιαῦτα ἐσεβάσθησαν, ὃ καὶ ἀλλαχοῦ λέγει · *Δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου · ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν.* Ἐπαίδευε καὶ τοὺς Ἰσραηλίτας ὁ Σωτὴρ, διδάσκων ἀεὶ ἐν ταῖς συναγωγαῖς στραφῆναι πρὸς αὐτὸν, καὶ πιστεῦσαι ·

[13] Matth. xii, 24. [14] Joan. vi, 56. [15] Joan. vi, 61. [16] Isa. xxii, 13. [17] Jerem. ii, 13.

Variæ lectiones et notæ.

(22) Καὶ φάλλοι. Cod. Ven.
(23) Κυρίου. Cod. Ven.
(24) Κύριον, ἄλλον ἔχουσι κύριον τὸν Μαμμωνᾶν, *Dominum alium habent dominum Mammonam.* Cod. Ven.

Digitized by Google

ἀλλ' εἰς οὐδὲν ἐπεστράφησαν (25), ὅ ἐστι πρὸς A
βραχύ. Πολλοὶ γὰρ, φησὶ, τῶν πιστευσάντων ἀπῆλθον ὀπίσω.

Ἐγένοντο ὡς τόξον ἐντεταμένον. Τουτέστιν, ἀκλινεῖς ἐγένοντο, καὶ μηδόλως χαλῶντες, ἢ ἐνδιδόντες τοῦ τόνου τοῦ πρὸς κακίαν. Τινὰ δὲ τῶν ἀντιγράφων, *Ὡς τόξον ἀντεστραμμένον*, ἔχει· καὶ δηλοῖ, ὅτι Ἐγὼ μὲν αὐτοὺς ἐνέτεινον ὡς τόξον ἐμὸν, ὡς ἂν δι' αὐτῶν καὶ τὴν ἐν τοῖς ἄλλοις εἰδωλολατρείαν βαλὼν καταπαύσω· αὐτοὶ δὲ ἀντεστράφησαν, καὶ πᾶν τοὐναντίον ἐποίησαν. Τὴν γὰρ ἐμὴν τιμὴν βάλλοντες καὶ καθαιροῦντες, ὑπὲρ τῶν εἰδώλων ἐπολέμησαν ἐμοί.

Πεσοῦνται ἐν ῥομφαίᾳ (26) *οἱ ἄρχοντες αὐτῶν, δι' ἀπαιδευσίαν γλώσσης αὐτῶν.* Ἄρχοντες, οἵ τε ἱερεῖς καὶ οἱ βασιλεῖς· οὗτοι γὰρ ἐδίδασκον τὸν B
λαὸν παράνομα. Ἀπαιδευσία δὲ μεγίστη τὸ λέγειν τῷ ξύλῳ· Θεός μου εἶ σύ· καὶ τῷ λίθῳ· Σύ με ἐγέννησας.

ΚΕΦΑΛ. Η'.

Οὗτος ὁ φαυλισμὸς αὐτῶν ἐν γῇ Αἰγύπτου, εἰς κόλπον αὐτῶν ὡς γῆ ἄβατος, ὡς ἀετὸς (27) *ἐπὶ οἶκον Κυρίου, ἀνθ' ὧν παρέβησαν τὴν διαθήκην μου, καὶ κατὰ τοῦ νόμου μου ἠσέβησαν.* Ὥσπερ, φησὶν, οἱ πατέρες αὐτῶν ἐν τῇ Αἰγύπτῳ ἐφαύλισαν τοὺς λόγους Μωσέως καὶ Ἀαρὼν, ἀποσταλέντων παρ' ἐμοῦ εἰς τὸ ἐλευθερῶσαι αὐτούς· οὕτω καὶ οὗτοι ἐφαύλισαν τοὺς ἐμοὺς νόμους. Ἀλλ' ὁ φαυλισμὸς οὗτος εἰς κόλπον αὐτῶν ἀποδοθήσεται, καὶ ὡς γῆ ἄβατος ἔσονται. Ἡ γὰρ σάλπιγξ ἡ πολεμικὴ ἠχήσει, καὶ ὁ βασιλεὺς τῶν Βαβυλωνίων C
ἥξει ἐπὶ τὸν οἶκον Κυρίου, μετὰ ῥοίζου καὶ τάχους, ὡς ἀετός. Καὶ γὰρ Ναβουχοδονόσορ στείλας, ἐνέπρησε τὸν ναὸν (28), περὶ οὗ καὶ Ἰεζεκιὴλ λέγει· *Ὁ ἀετὸς ὁ μέγας, ὁ μεγαλοπτέρυγος.* Καὶ ὁ φαυλισμὸς δὲ, ὃν ἐφαύλιζον τὸν Σωτῆρα οἱ Ἰουδαῖοι, ὅμοιος ἦν τῷ ἐν γῇ Αἰγύπτῳ· τῷ γὰρ Μωσεῖ ὁ Ἑβραῖος εἶπε· *Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς;* κἀκεῖνοι εἶπον περὶ Χριστοῦ, *Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα.* Οὗτος οὖν ὁ φαυλισμὸς, βαρὺς ἔσται αὐτοῖς, ὥσπερ γῆ ἄβατος καὶ χοῦς, εἰς κόλπον βαλλόμενος, βαρεῖ· καὶ ἐπιβούλους αὐτοὺς ποιήσει παρὰ πᾶσιν, ὥσπερ σάλπιγξ, τὴν παρανομίαν αὐτῶν καὶ τὰ δι' αὐτὴν πάθη κηρύττων, καὶ ὡς ἀετὸς ἁρπάσει τὴν τοῦ ἀρχαίου ναοῦ δόξαν, εἰς τὴν τῶν ἐθνῶν D
κλῆσιν μεταφέρων. Καὶ πᾶς δὲ ὁ τὸν πλησίον φαυλίζων ἐν τῇ Αἰγύπτῳ εἶναι (29), Φαραωνίτην[*f.* — νῖτιν] καὶ ὑπερήφανον γνώμην ἔχων, εἰς τὸν κόλπον

versi sunt. Nam pauci admodum audientes fuerunt dicto. Siquidem multi eorum qui crediderant, retrocesserunt.

Facti sunt veluti arcus intentus. Id est inflexiles facti sunt, neque prorsum demittentes, neque remittentes intensionem ad malitiam. Quædam exemplaria *Veluti arcus inversus* habent, perinde ac si dicat : Ego quidem ipsos intendi veluti arcum meum, ut per ipsos vel idololatriam in aliis gentibus trajectam cessare faciam ; atque ipsi contra inversi sunt, adeoque contrarium fecerunt, namque meum honorem jaculantes et auferentes, pro idolis adversus me fecerunt bellum.

Cadent in gladio principes ipsorum, propter imperitiam linguæ suæ. Principes, sacerdotes ipsi sunt et reges. Illi etenim docebant populum iniqua. Maxima profecto imperitia, ignorantiaque est, dicere ligno : Deus meus es tu ; et lapidi : Tu me genuisti.

CAPUT VIII.

VII. VERS. 16. — VIII. VERS. 1. *Illa vilipensio eorum in terra Ægypti, in sinum eorum, tanquam terra inaccessa et veluti aquila super domum Domini, eo quod transgressi sunt testamentum meum, et contra legem meam impii fuerunt.* Perinde, inquit, ac patres eorum in terra Ægypti vilipenderunt sermones Mosis et Aaronis ad me amandatorum, ut liberarent ipsos, sic et illi aspernati sunt leges meas : enimvero contemptus ille in sinum eorum reddetur, eruntque instar terræ inaccessæ. Tuba namque bellica insonabit, et rex Babyloniorum veniet supra domum Domini, cum impetu et celeritate, in modum aquilæ. Nam Nabuchodonosor, misso exercitu suo, incendit templum. Quo de Ezechiel : *Aquila*, inquit, *magna grandium alarum* [18]. Præterea vilipensio, qua Servatorem nostrum Judæi nauci æstimarunt, similis erat ei quæ in terra Ægypti contigit. Mosi enim Hebræus dixit : *Quis te constituit principem et judicem super nos* [19] : Hunc ad modum dixerunt illi ad Christum : *Regem non habemus nisi Cæsarem* [20]. Hæc igitur vilipensio gravis perinde ipsis erit, atque terra invia, adeoque pulvis, qui in sinum injectus gravat, ipsosque apud nullos non contumeliosos reddet, instar **72** tubæ iniquitates ipsorum, turpesque affectus prædicans ; ad hæc, talis Domini contemptus, prisçam veteris templi gloriam eripiens, ad gentium vocationem transferet. Consimilem ad rationem, quisquis proximum suum contempserit, ceu in

[18] Ezech. xvii, 3. [19] Exod. ii, 14. [20] Joan. xix, 15.

Variæ lectiones et notæ.

(25) Διδάσκων ἀεὶ ἐν ταῖς συναγωγαῖς, καὶ ἐνίσχυεν αὐτοὺς, τὰς ἀσθενείας ἰώμενος, αὐτοὶ ἐλογίζοντο πονηρὰ περὶ αὐτοῦ· κἂν τινες ἔδοξαν ἐπιστραφῆναι, *Semper in synagogis docens, et confirmabat ipsos, eorum infirmitates sanans, ipsi vero cogitabant de ipso mala, etiamsi quidam sese ad eum convertere videbantur.* Cod. Ven.

(26) Verba ἐν ῥομφαίᾳ, *in rhomphæa* desunt in Cod. Ven.

(27) Cod. Ven. addit ὡς σάλπιγξ, *ut tuba.*

(28) Λαόν, *populum*, Cod. Bav.

(29) Ἐν γῇ Αἰγύπτῳ λέγεται εἶναι, *in terra Ægypti dicitur esse.* Cod. Ven.

Digitized by Google

terra Ægypti agens, Pharaonicam et fastuosam mentem habet, cui in sinum suum revertetur fastus ille, hoc est, in intima ipsius, ita ut in sese ac suis pœnam det, eritque ceu terra inaccessibilis : nec enim hujusmodi animus a Deo acceditur. Quod enim coram hominibus sublime est, abominatio est apud Deum. Cur autem talia ei evenient? Eo quod tubæ instar seu buccinæ, seipsum magnificabat, prædicabatque. Quod genus Pharisæi fuerunt, tympano commonstrantes eleemosynam coram hominibus [21-16]. Talis erat in templo preces ad Deum offerens, virtutes, officiave sua prædicando, ac interim publicanum vilipendendo [17]. Domus vero Domini est omnis homo, qui ingentium divitiarum ejus, nempe verbi capax est. Jam qui attollitur quemvis mortalium contemnendo, aquilæ instar est, super domum Domini.

A αὐτοῦ ἥξει ὁ φαυλισμός, τουτέστιν, εἰς τὰ ἐσώτατα, εἰς τὰ οἰκειότατα τιμωρηθήσεται, καὶ ἔσται ὡς γῆ ἄβατος. Οὐ γὰρ ἡ τοιαύτη ψυχὴ ἔσται βάσιμος τῷ Θεῷ. Τὸ γὰρ ἐν ἀνθρώποις ὑψηλὸν, βδέλυγμα Κυρίῳ. Διὰ τί δὲ ταῦτα ἔσται αὐτῷ; Διότι ὡς σάλπιγξ ἦν, κηρύττων ἑαυτὸν, ἢ μεγαλύνων, οἷοι ἦσαν οἱ Φαρισαῖοι, οἱ σαλπίζοντες τὴν ἐλεημοσύνην ἔμπροσθεν τῶν ἀνθρώπων· οἷος ὁ ἐν τῷ ἱερῷ προσευχόμενος, καὶ τὰ ἑαυτοῦ κατορθώματα καταλέγων, καὶ τὸν τελώνην φαυλίζων. Οἶκος δὲ Κυρίου πᾶς ἄνθρωπος, ὃς τοῦ μεγάλου πλούτου αὐτοῦ χωρητικὸς τοῦ λόγου. Ὁ οὖν κατεπαιρόμενος καὶ ὑψηλοφρονῶν παντὸς ἀνθρώπου, ὡς ἀετός ἐστιν ἐπὶ τὸν οἶκον Κυρίου,

Vers. 2, 3. *Ad me vociferabuntur : Deus, cognovimus te : quoniam Israel aversatus est bona, inimicum persecuti sunt.* Qui talia impietatis opera, ut dictum est, peragunt sacra idolis facientes, illi in calamitatibus suis clamabunt ad me, confitebunturque agnoscere sese, quod tum inimicos suos vicerint, persecutique sint, quando meo auxilio fuissent adjuti. Vel sic etiam accipere poteris : Quia Israel aversatus est bona legalia, tantum non ipsos hostes insecuti sunt, hoc est, ad hostes accurrerunt, trahendo illos ad sese, veluti si quis ægrotum, ægre plane affectum cernens, dicat, Mortem persequitur homo ille. Ex circumcisione pariter credentes clamabunt ad Christum : *Deus, cognovimus te.* Quotquot autem aversati sunt bona doctrinæ ejus, illi per sese hosti spirituali Satanæ accesserunt : quod ipsum in quolibet nostrum deprehendes.

B *Ἐμὲ κεκράξονται· Ὁ Θεὸς, ἐγνώκαμέν σε· ὅτι Ἰσραὴλ ἀπεστρέψατο ἀγαθὰ, ἐχθρὸν κατεδίωξαν.* Οἱ τοιαῦτα ἔργα δυσσεβείας, ὡς εἴρηται, ποιήσαντες, καὶ τελετὰς τοῖς εἰδώλοις τελοῦντες, οὗτοι ἐν ταῖς συμφοραῖς κεκράξονται πρός με, καὶ ὁμολογήσουσιν, ὅτι ἐγνωσάν με. Πόθεν δέ με ἔγνωσαν (30); Διότι τῶν ἀγαθῶν ἐστερήθη ὁ Ἰσραὴλ, καὶ κακοῖς περιέπεσε· καίτοι πρότερον τοὺς ἐχθροὺς ἐνίκων καὶ ἐδίωκον, ἡνίκα τῆς ἐμῆς συμμαχίας ἠξιοῦντο. Ἢ καὶ οὕτως· Κεκράξονται, φησὶ, καὶ ἐξομολογοῦμενοι ἐροῦσιν, ὅτι Διότι Ἰσραὴλ ἀπεστράφη τὰ σὰ ἀγαθὰ νόμιμα, μονονουχὶ τοὺς ἐχθροὺς κατεδίωξαν, τουτέστιν, αὐτοὶ προσέδραμον τοῖς ἐχθροῖς, καὶ ἐφ ἑαυτοὺς τούτους εἵλκυσαν· ὥσπερ ἂν εἴ τις ὁρῶν τινα ἄῤῥωστον, μοχθηρῶς διαιτώμενον, εἴποι· Τὸν θάνατον καταδιώκει οὗτος ὁ ἄνθρωπος. Καὶ οἱ ἐν περιτομῇ δὲ πιστεύοντες, κράξουσι τῷ Χριστῷ· *Ὁ Θεὸς, ἐγνώκαμέν σε.* Ὅσοι δὲ ἀπεστράφησαν τὰ ἀγαθὰ τῆς τούτου διδασκαλίας, αὐτοὶ ἀφ' ἑαυτῶν τῷ νοητῷ ἐχθρῷ προσεχώρησαν· τοῦτο δὲ καὶ ἐπὶ τοῦ καθ' ἕκαστον ἡμῶν εὑρήσεις.

C

Vers. 4. *Per sese regnarunt, et non per me : functi sunt principatu, nec mihi fuerunt cogniti.* Hic decem tribubus objicit, quod Jeroboam et successores ei reges præter sententiam ejus constituerint, et principes elegerint, dominatique sint citra ejus consilium. Non enim interrogaverunt Deum, num se hoc oporteat facere. Ambigat hic quisquam unus, quomodo in historiis Regnorum memoriæ tradatur, quod Achia Silonites senex ille lacerarit pallium suum in duodecim sectiones, ac **73** decem quidem dederit Jeroboam, prædixeritque ipsi : *Rex decem eris tribuum* [18]; et rursus scriptum sit : *Quoniam a me factum est verbum isthuc* [19], hoc est, quod Jeroboam sceptris potiatur; hic vero dicat : Regnarunt quidem, sed non per me. Potest igitur dici, quod prophetam Achia Deus ad populum non legaverit, verum ad Jeroboam. Ac

D *Ἑαυτοῖς ἐβασίλευσαν, καὶ οὐ δι' ἐμοῦ· ἦρξαν, καὶ οὐκ ἐγνώρισάν μοι.* Ἐνταῦθα τὰς δέκα φυλὰς ὀνειδίζει, ὅτι τὸν Ἱεροβοὰμ καὶ τοὺς μετ' αὐτοῦ βασιλεῖς κατέστησαν παρὰ γνώμην σοῦτοῦ. Καὶ ἦρξαν, ἀντὶ τοῦ, ἄρχοντας ἐχειροτόνησαν. Οὐ γὰρ ἠρώτησαν τὸν Θεὸν, εἰ τοῦτο χρὴ ποιῆσαι. Ἀλλ ἀπορήσει τις, πῶς ἐν μὲν ταῖς Βασιλείαις ἱστόρηται, ὅτι Ἀχιὰ ὁ Σιλωνίτης (31) πρεσβύτης (32) διέῤῥηξε τὸ ἱμάτιον αὐτοῦ εἰς δώδεκα τμήματα, καὶ τὰ δέκα δέδωκε τῷ Ἱεροβοὰμ, καὶ προεῖπεν αὐτῷ, ὅτι βασιλεύσει τῶν δώδεκα φυλῶν· καὶ πάλιν γέγραπται, ὅτι *Παρ' ἐμοῦ τὸ ῥῆμα τοῦτο γέγονε*, τὸ βασιλεῦσαι τὸν Ἱεροβοὰμ· ἐνταῦθα δέ φησιν, ὅτι *Ἐβασίλευσαν, καὶ οὐ δι' ἐμοῦ.* Ἔστιν οὖν εἰπεῖν, ὅτι τὸν προφήτην Ἀχιὰ ὁ Θεὸς οὐ πρὸς τὸν λαὸν ἀπέστειλεν, ἀλλὰ πρὸς τὸν Ἱεροβοὰμ· καὶ ὁ μὲν Ἱεροβοὰμ ᾔδει, ὅτι ὁ Θεὸς αὐτὸν βούλεται βασιλέα γενέ-

[21-16] Matth. vi, 2. [17] Luc. xviii. 11. [18] III Reg. xi, 30. [19] Ibid. xii, 22.

Variæ lectiones et notæ.

(30) *Et confitebuntur se me novisse. Unde vero me norunt? quia videlicet bonis privatus est Israel, inque calamitates incidit. Quanquam antea hostes debellabant, atque persequebantur, cum scilicet ore mea gaudebant.* Cod. Ven. et Bav.

(31) Σελονίτης, Cod. Ven.

(32) Προφήτης, Cod. Ven.

Digitized by Google

σθαι· ὁ δὲ λαὸς, οὐχ ὡς Θεοῦ βουλὴν πληρῶν, ἐχειροτόνησεν αὐτόν. Οὐδὲ γὰρ προσῆλθον Θεῷ, οὐδὲ ἠρώτησαν αὐτὸν, ὃ καὶ ἐνταῦθα ὀνειδίζει αὐτοῖς. Ἔπειτα καὶ τοῦτο ἐνόησαν, ὅτι τῶν λεγομένων γίνεσται ὑπὸ Θεοῦ, τὰ μὲν προηγουμένως ὑπ' αὐτοῦ γίνονθαι, κατ' εὐδοκίαν δηλαδὴ, τὰ δὲ κατὰ παραχώρησιν. Ὅταν οὖν ἀκούσῃς λέγοντος τοῦ Θεοῦ, ὅτι *Παρ' ἐμοῦ ἐγένετο τὸ ῥῆμα τοῦτο*, τὸ βασιλεῦσαι τὸν Ἱεροβοὰμ, ὡς κατὰ συγχώρησιν γεγονὸς τοῦτο νόει. Ὅταν δὲ ἐνταῦθα λέγει, ὅτι *Οὐ δι' ἐμοῦ ἐβασίλευσαν*, νόει, ὅτι οὐ προηγούμενον Θεοῦ θέλημα τοῦτο ἦν. Ταῦτα καὶ τοῖς Θεοκτόνοις ἁρμόσει. Τὸν γὰρ Καίσαρα ἑαυτοῖς βασιλέα ἐπεγράψαντο· εἶχον δὲ καὶ τοὺς περὶ Ἄνναν, καὶ Καϊάφαν, ὠνητὰς ἔχοντας τὰς ἀρχάς. Καὶ ὅταν δὲ βασιλεύῃ ἡ ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν σώματι, οὐ διὰ τοῦ Θεοῦ ἡ τοιαύτη βασιλεία. Ἀλλὰ καὶ ὅταν ἄρχωσιν ἐν ἡμῖν ἡ σὰρξ σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, οὐ γνωρίζεται ἡ τοιαύτη ἀρχὴ τῷ Θεῷ. *Ἔγνω γὰρ Κύριος τοὺς ὄντας αὐτοῦ*. Τὰ δὲ πάθη, οὐκ εἰσὶν αὐτοῦ, ὡς μηδὲ ὅλως ὄντα.

A ipse sane Jeroboam norat Deum velle, regnare se: populus tamen ipsum, non ceu Dei consilio elegit, ut qui non accesserit propterea Deum, nec ex eo consilium sciscitatus sit, quod et hic ipsis exprobrat. Præterea hoc tecum reputa, quod eorum, quæ a Deo fieri dicuntur, quædam sane ab ipso recta, et præcedenti consilio fiunt, quædam vero ex permissu. Quocirca ubi audiveris dicentem Deum, *Quoniam ab me factum est verbum hoc*, nimirum quod Jeroboam regem agat, per concessionem hoc factum intellige. Quando vero hic ait, Non per me regnarunt: accipe hoc, quod non præcedenti illud voluntate Dei contigerit. Hæc et Dei interemptoribus quadrabunt. Nam etiamsi sibi Cæsarem pro rege scriberent, Annam tamen et B Caiphan habebant, quibus venales erant et emptitii dominatus. Porro quando peccatum in mortali nostro corpore regnaverit, non Dei voluntate tale imperium geritur. Deinde cum caro in nobis una cum affectibus suis et cupiditatibus tenuerit sceptra, non innotescit talis dominatus Deo. *Novit* enim *Dominus, qui sint sui* [20]. Pravi autem affectus ut ipsius non sunt, sic nec omnino quidem existunt quidquam.

Τὸ ἀργύριον αὐτῶν, καὶ τὸ χρυσίον αὐτῶν ἐποίησαν ἑαυτοῖς εἴδωλα, ὅπως ἂν ἐξολοθρευθῶσι. Παρ' ἐμοῦ, φησὶ, πλουτηθέντες [*f.*—τισθ.], καὶ τῶν ἐμῶν ἀγαθῶν ἀπολαύσαντες, εἰς τιμὴν τῶν εἰδώλων τούτοις ἐχρῶντο, πολυτελέστατα εἴδωλα ἐργαζόμενοι. Ταῦτα δὲ εἰς ἐξολόθρευσιν αὐτῶν ἐξ ἀποτελέσματος ἐγένοντο. Σημείωσαι δὲ τὸ, *Ὅπως*· συμβαλεῖται γάρ σοι εἰς τὸ, *Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου*. Οὔτε γὰρ ἐκεῖνοι ἐπὶ τοιούτῳ σκοπῷ ἐποίουν τὰ εἴδωλα, ὅπως ἂν ἐξολοθρευθῶσιν, C ἀλλ' ἐξ ἀποτελέσματος ἀπέβη τοῦτο· οὔτε ὁ Δαβὶδ διὰ τοῦτο ἥμαρτεν, ἵνα δικαιωθῇ ὁ Θεὸς, ἀλλ' ἐκ τῆς ἀποβάσεως τοῦτο γίνεται. Καὶ ὁ φιλοσοφῶν δὲ, καὶ λαβὼν δύναμιν ἐκ Θεοῦ, γινώσκειν τὴν φύσιν τῶν ὄντων χρυσοειδεῖ νοῒ καὶ καθαρῷ, καὶ ἑρμηνεύειν τὰ νοηθέντα λόγῳ λαμπρῷ καὶ ἀργυροειδεῖ· εἶτα εἴδωλα ἑαυτῷ ὑφιστὰς, εἴτε τὰς Πλατωνικὰς ἰδέας, εἴτε τὰ κατὰ τὴν Χαλδαϊκὴν καλούμενα φιλοσοφίαν πνευματικὰ εἴδωλα· καὶ ἁπλῶς εἰπεῖν, ἀναπλάττων φαντασίαν ἀνθρωπίνης σοφίας, καὶ κενῆς ἀπάτης, ἐξολοθρευθήσεται ἐκ τοῦ κατὰ τὸ Εὐαγγέλιον λαοῦ, ὡς κακῶς χρώμενος τοῖς τοῦ Θεοῦ δώροις. Οἷοί εἰσι καὶ οἱ νῦν Ἑβραῖοι, οἳ τοῖς νόμου νοήμασι, χρυσίῳ εἰκαζομένοις, καὶ τοῖς λόγοις ἀργυρίῳ, εἰς εἴδωλα καὶ κενὰς φαντασίας ἀποχρῶνται, εἰδωλοποιοῦντες ἐν D ἑαυτοῖς, τόν τε ναὸν, καὶ τἄλλα, ἐφ' οἷς ἐλπίζουσιν ἀποκαταστῆναι.

Argentum suum et aurum suum fecerunt sibi idola, ut exscindantur. Cum a me, inquit, ditati essent, meisque bonis imbuti, non modicum fructus inde accipiendo, utebantur opibus illis in honorem idolorum, pretiosissimas, sumptuosissimasve imagines facientes. Hæ autem ad excidium eorum factæ sunt ac perniciem, ab eventu. Observa hic particulam, *Ut*. proderit enim ad intellectum ejus quod vates David ait: *Ut justificeris in sermonibus tuis* [21]. Neque enim illi eo scopo faciebant imagines quas colerent numinum vice, ut exscinderentur, verum ex eventu hoc contigit. Neque David ideo peccavit, uti Deus justus judicaretur, sed enim ex eventu, reque gesta, hoc sequitur. Sic qui philosophiæ incumbit, accepta ex Deo potentia intelligendi res naturæ, aurea quadam puraque mente, intellectaque interpretandi sermone splendido argentumque referenti; deinde vero imagines sibi substituit atque proponit, sive Platonicas ideas, sive juxta Chaldaicam philosophiam, spiritualia simulacra, et ut semel dicam, humanæ sibi sapientiæ, vanæque deceptionis spectra effingit, exstirpabitur e populo secundum Evangelium 74 vivente, quippe cum male utatur donis Dei. Quales hodieque sunt Hebræi, qui legis intellectibus, auro æquiparatis et argento, ad idola et vanas imaginationes abutuntur, in seipsis imaginarium templum struentes, et alia, ob quæ restitui tandem sperant.

Ἀποστρέψετε [vulg. *ἀπόστρεψαι*] *τὸν μόσχον σου, Σαμάρεια. Παρωξύνθη ὁ θυμός σου ἐπ' αὐτούς. Ἕως τίνος οὐ μὴ δύνανται καθαρισθῆναι ἐν τῷ Ἰσραήλ; Καὶ αὐτὸ τέκτων ἐποίησε, καὶ οὐ Θεός ἐστι, διότι πλανῶν ἦν μόσχος σου, Σαμάρεια.* Μετὰ τὰ ὀνείδη παραίνεσιν προσάγει, νουθε-

VERS. 5-6. *Extere vitulum tuum, Samaria. Exacerbatus est animus meus super ipsos. Quousque purgari nequeunt in Israele? Ipsum faber effinxit, et non est Deus, eo quod seducebat vitulus tuus, Samaria.* Post opprobria admonitionem adducit, adhortans, ut vitulum exterant, ac auream omnino

[20] II Tim. II, 19. [21] Psal. L, 6.

Digitized by Google

vaccam rejiciant. Pulchre dixit exterere, veluti de macula et sordibus, quasi dicat : Quousque impuri facti per simulacrorum cultum, impermutabiles perseverabitis? Annon intelligitis, quod faber effinxerit eas imagines? Per fabrum hic simpliciter artificem intelligit, non lignarium : non enim auream jam buculam faber lignarius struxerat. Vel a vitule sermonem ad lignea simulacra transferens, fabri etiam meminit, ad majorem idololatrarum ignominiam. Aureus quidem vitulus, materiei suæ nomine honorem quemdam habet, quo decipiat spectatores. At quod a fabro factum est simulacrum, impuriores nos reddit, a nobis adoratum.

A τῶν ἀποτρίψασθαι τὸν μόσχον, ὅ ἐστιν ἀποβαλέσθαι τὴν χρυσῆν δάμαλιν. Καλῶς δὲ εἶπε τὸ, ἀπιτρίψασθαι, ὡς ἐπὶ κηλῖδος καὶ ῥύπου. Μέχρι γὰρ τίνος ἀκάθαρτοι γεγονότες διὰ τὴν εἰδωλολατρείαν, ἀναλοίωτοι μενεῖτε; Ἢ οὐ συνίετε, ὅτι ἄνθρωπος τέκτων ἐποίησε τὰ εἴδωλα; Τέκτονα δὲ λέγει ἐνταῦθα τὸν ἁπλῶς τεχνίτην, οὐχὶ τὸν ξυλουργόν· οὐ γὰρ δὴ τὴν χρυσῆν δάμαλιν ξυλουργὸς εἰργάσατο. Ἢ ἀπὸ τοῦ μόσχου εἰς τὸν περὶ τῶν ξυλίνων εἰδώλων λόγον μεταβὰς, καὶ τοῦ τέκτονος ἐμνήσθη, πρὸς ἐντροπὴν πλείω τῶν εἰδωλολατρῶν. Ὁ μὲν γὰρ χρυσοῦς μόσχος, φησὶ, διὰ γοῦν τὴν ὕλην ἔχει τινὰ τιμὴν, πάντων τοὺς θεωμένους· τὸ δὲ ἀπὸ τοῦ τέκτονος γεγονὸς, ἀκαθαρτοτέρους (33) ὑμᾶς ποιεῖ, προσκυνούμενον ὑφ' ὑμῶν.

Vers. 7. *Quoniam vento corrupta seminarunt, subversioque ipsorum accipiet ea.* Nullum, inquit, fructum ex idolorum cultura decerpitis. Nam similes sunt res illorum subventaneis, seu vento perditis spicis, quæ thecas quidem plenas forinsecus ostendunt, intrinsecus vero frŭctum non continent, et vacuas aristas habent. Non dissimili ratione simulacra foris quidem speciem habent, vel mulieris, vel viri, alteriusve cujusdam animalis : omnis vero roboris et operationis sunt expertia. Propterea et ipsa excipiet subversio eorum, scilicet adorantium ea : æque enim et ipsi et illa interibunt perdenturque.

B *Ὅτι ἀνεμόφθορα ἐποίησαν, καὶ ἡ καταστροφὴ αὐτῶν ἐκδέξεται αὐτά.* Οὐδένα, φησὶ, καρπὸν ἐκτῆς τῶν εἰδώλων θεραπείας δρέπεσθε, ἀλλ' ἐοίκασι τὰ ἐκείνων ἀνεμοφθόροις ἀστάχυσιν, οἳ τὰς μὲν θήκας πλήρεις δεικνύουσιν ἔξωθεν, ἔνδον δὲ σῖτον οὐκ ἔχουσιν. Οὕτω γὰρ καὶ τὰ εἴδωλα, ἔξωθεν μὲν ἔχουσί τι εἶδος, ἢ γυναικὸς, ἢ ἀνδρὸς, ἢ τινος ἑτέρου ζώου· πάσης δὲ ἰσχύος καὶ ἐνεργείας καθέστηκεν ἔρημα. Διὸ καὶ αὐτὰ ἐκδέξεται ἡ καταστροφὴ αὐτῶν, τουτέστι, τῶν προσκυνούντων αὐτά· ὁμοῦ γὰρ καὶ αὐτοὶ καὶ αὐτὰ διαφθαρήσονται.

Manipulus non habet robur, ut faciat farinam. Sin fecerit, alieni devorabunt eam. Vel de idolis hæc dicit, quod nullam habeant subsistentiam : nam etiamsi videantur habere, hostes tamen adventu suo ea capient aurea, et argentea exsistentia. Alias etiam ad opem ferendam eis nulla est fortitudo, verum robur habere videntur materiei suæ causa, ut hostes opulentiores reddant. Vel de Israel hæc loquitur, cui tanta sit obventura imbecillitas, ut similes æstimentur imbecillo manipulo qui eos alere non possit. Sin robur aliquod in opibus, aliisque id genus bonis possideant, alienigenæ comedent illud. Seminarunt quoque subventanea et levia Judæorum doctores, quod, ceu non habentes pondus, dispersi sint in totum terrarum orbem, subversaque sit **75** tota illorum prisca respublica, cum ipsis et dogmatibus eorum. Sunt itidem manipulus cui nullæ insunt vires. Non enim Christum, Dei potentiam habent, qui illorum farinas paulo ante alienis, nempe gentibus dedit, donans ipsis conficere quæ sunt in lege, per solidam mentem, veluti molam quamdam, subtiliter et spiritualiter : verum non crasse, nec secundum litteram ea sunt accipienda. Si ex lege facturus es farinam, subterpone lapidem Christum : fundamentum enim aliud nemo jacere potest [32], præter hoc, quoniam in ipso condita

[32] I Cor. III, 11.

Δράγμα οὐκ ἔσχον ἰσχὺν τοῦ ποιῆσαι ἄλευρον. Ἐὰν δὲ ποιήσῃ, ἀλλότριοι καταφάγονται αὐτό. Ἢ περὶ τῶν εἰδώλων φησὶν, ὅτι οὐκ ἔχουσί τινα ὑπόστασιν· εἰ δὲ δοκοῦσιν ἔχειν, οἱ ἐχθροὶ ἐπελθόντες λήψονται αὐτὰ, χρυσᾶ ὄντα καὶ ἀργυρᾶ. Καὶ εἰς μὲν τὸ ἄλλως βοηθῆσαι, οὐκ ἔχουσιν ἰσχύν· εἰς δὲ τοὺς πλουσιωτέρους ποιῆσαι τοὺς πολεμίους διὰ τῆς οἰκείας ὕλης, δείξουσιν ἔχειν ἰσχύν. Ἢ καὶ περὶ τοῦ Ἰσραὴλ φησιν, ὅτι τοσαύτην ἕξει ἀσθένειαν, ὥστε ἐοικέναι δράγματι ἀσθενεῖ, καὶ μὴ δυναμένῳ θρέψαι τινά. Εἰ δὲ ἔχει τινὰ ἰσχὺν ἐν πλούτῳ, καὶ ἄλλοις ἀγαθοῖς τοιούτοις, οἱ ἀλλόφυλοι (34) καταφάγονται αὐτά. Ἔσπειραν ἀνεμόφθορα καὶ κοῦφα οἱ τῶν Ἰουδαίων διδάσκαλοι. Διὸ καὶ ὡς μὴ ἔχοντες βάρος, ἐσκορπίσθησαν εἰς πᾶσαν τὴν οἰκουμένην, καὶ κατεστράφη πᾶσα ἡ ἀρχαία πολιτεία αὐτῶν σὺν αὐτοῖς, καὶ τοῖς δόγμασιν αὐτῶν. Καὶ δράγμα εἰσὶ, μὴ ἔχον ἰσχύν. Οὐ γὰρ ἔχουσι τὸν Χριστὸν, τοῦ Θεοῦ δύναμιν, ὃς τὰ ἐκείνων ἄλευρα τοῖς πρώην ἀλλοτρίοις ἔθνεσιν ἔδωκε, χαριτώσας τὰ ἐν τῷ νόμῳ κατεργάζεσθαι διὰ στιβαροῦ νοὸς, οἷά τινος μύλης, λεπτῶς καὶ πνευματικῶς, ἀλλὰ μὴ παχέως, καὶ κατὰ τὸ γράμμα ἐκδέχεσθαι ταῦτα. Εἰ μέλλῃς ἐκ τοῦ νόμου ποιῆσαι ἄλευρον, καὶ κάτω λίθον ὑπόθες, τὸν αὐτὸν Χριστόν· θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τοῦτον, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα. Καὶ ἄνω λίθον

Variæ lectiones et notæ.

(33) *Impuriores vos reddit :* et paulo post : *a vobis adoratum.* Lonicerus legit in suo cod. ἡμᾶς et ἡμῶν.

(34) Ἀλλόφυλοι ἐπελθόντες, *alienigenæ irruentes.* Cod. Ven.

Digitized by Google

ἐπίθες, τὸν αὐτὸν Χριστὸν, ὅς ἐστιν ἡ κεφαλὴ τῆς Ἐκκλησίας. Καὶ ὁ σπείρων εἰς τὴν σάρκα, καὶ ἐκ τῆς σαρκὸς θερίζων φθορὰν, ἀνεμόφθορα σπείρει, ὑπὸ τοῦ πνεύματος τῆς πονηρίας τὴν βλάβην ταύτην δεξάμενος, καὶ οὐκ ἔχων ἰσχὺν τοῦ ποιῆσαι ἔργον θρεπτικὸν ψυχῆς. Οὐ γὰρ δύναται λέγειν μετὰ Παύλου· *Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ.* Εἰ δὲ καί ποτε ποιήσει τι ἀγαθὸν, οὐ κατὰ θεῖον σκοπὸν τοῦτο ποιῶν, ἀλλὰ πρὸς δόξαν ἀνθρωπίνην, ἢ ἄλλον τινὰ τρόπον οὐκ ἐπαινετὸν, τοῖς δαίμοσι τοῦτο δίδωσι.

A sunt omnia [23] : ac desuper pone lapidem, eumdem Christum qui caput est Ecclesiæ [24]. Porro seminans in carnem, et ex carne corruptionem metens [25], ventis corrumpenda, levia et vacua seminat, a spiritu, seu flamine nequitiæ noxam hanc recipiens. Nec jam robore præstat, ut faciat opus animam alens. Nec enim dicere cum divo Paulo potest: *Omnia possum in eo qui me confortat Christo* [26]. Si unquam quidquam operetur boni, non juxta divinum hoc scopum faciens, sed ad humanam quamquam gloriam, vel aliam rationem non commendabilem, dæmonibus isthuc impertit.

Κατεπόθη Ἰσραὴλ, νῦν ἐγένετο τοῖς ἔθνεσιν, ὡς σκεῦος ἄχρηστον, ὅτι αὐτοὶ ἀνέβησαν εἰς Ἀσσυρίους. Ὡσανεὶ ναυαγήσας ὑπό τινος πελάγους τῶν οἰκείων ἁμαρτημάτων, κατεπόθη. Τὴν γὰρ τῶν Ἀσσυρίων βοήθειαν αἰτήσαντες, αὐτοῖς εἰς δουλείαν παραδοθήσονται, καὶ ἔσονται ἄχρηστοι ἐν μέσῳ τῶν αἰχμαλωτευσάντων αὐτοὺς ἐθνῶν, μηδεμίαν τῷ Θεῷ λειτουργίαν ἀποπληροῦντες, μηδὲ τὰς κατὰ νόμον πανηγύρεις τελοῦντες. Κατεπόθη καὶ ὁ Χριστοκτόνος λαὸς διὰ τῆς ὑπερηφανίας, τοῖς νοητοῖς Ἀσσυρίοις οἰκειωθέντες τοῖς δαίμοσι, καὶ ἀναβάντες διὰ τῆς ἐπάρσεως εἰς τὴν ἐκείνων ὑψηλοφροσύνην· διὸ καὶ σκεῦος γεγόνασιν ἄχρηστον τῷ Θεῷ. Εἰς οὐδὲν γὰρ αὐτῶν ἔτι χρῄζει, τῆς σωματικῆς λατρείας παυθείσης. Καὶ πᾶς δὲ ὑπερήφανος, ἢ τῶν ὑπὲρ αὐτὸν [*f.* ἑαυτὸν] ὀρεγόμενος, εἰ καὶ δοκεῖ ἀναβαίνειν, ἀλλὰ καταπίνεται γῆς χάσματι, ὡς οἱ περὶ Δαθὰν καὶ Ἀβειρών. (35) Καλῶς γάρ τις τὴν ὑπερηφανίαν ὡρίσατο, ἀνάβασιν ἐπὶ τὰ κάτω.

B *Resorptus est Israel, nunc factus est inter gentes, tanquam vas inutile, quoniam ipsi ascenderunt ad Assyrios.* Veluti naufragio facto, a quodam pelago propriorum peccatorum absorptus est. Assyriorum enim auxilium postulantes, ipsis in servitutem tradentur, eruntque inutiles in medio gentium, captivos ducentium eos, nullum plane officium, vel obsecrationem explentes, neque solemnes conventus, juxta legem, celebrantes. Devoratus est quoque Christi occisor populus, per arrogantiam, spiritualibus Assyriis, dæmonibus dico, addicti, ascendendo per fastum suum ad illorum sublimia affectantem animum : propterea vas sunt inutile Deo. Ad nihilum enim illis opus habet, corporali cessante cultu. Ad hæc omnis superbus, vel ea desiderans, quæ supra se sunt, etsi videatur ascendere, deglutitur tamen æque terræ hiatu, atque Dathan et Abiron. Pulchre enim quidam superbiam definierunt esse ascensum ad inferna.

C *Ἀνέθαλε καθ' ἑαυτὸν Ἐφραὶμ, δῶρα ἠγάπησεν.* Ἔτι ὀνειδίζει αὐτοῖς τὴν ἀβουλίαν. Ὡήθησαν γὰρ, φησὶ, καθ' ἑαυτοὺς, ὅτι χωρὶς ἐμοῦ ἀναθηλήσουσι, καὶ οἷόν τι δένδρον κινδυνεῦον μαρανθῆναι ὑπὸ τῶν πολέμων, ἀναβλαστήσουσιν, ἐὰν διὰ δώρων συμμάχους κτήσωνται τοὺς Ἀσσυρίους· ἠγάπησε γὰρ δῶρα, οὐχ ὥστε λαμβάνειν, ἀλλ' ὡς διδόναι. Ἀλλ' οὐδὲν αὐτοῖς ἐκ τούτων ὄφελος· τί γὰρ πείσονται, ἄκουε·

Refloruit per sese Ephraim, munera dilexit. Adhuc exprobrat ipsis incogitantiam. Putarunt enim, inquit, apud sese, quod citra me reflorescant, ac veluti arbor quæpiam, cui periculum a bellis ingruebat, ut marcesceret, repullulascent, ubi per munera auxilia sibi Assyriorum obtinuerint. Dilexerunt enim munera, non ut accipiant, verum ut aliis dent, sed nulla ipsis inde commoditas. Quid enim passuri sint, audi.

Παραδοθήσονται ἐν τοῖς ἔθνεσιν. Οὐκ εἶπε, Παραδοθήσονται τοῖς ἔθνεσιν, ἀλλ', *Ἐν τοῖς ἔθνεσιν.* Οὐ γὰρ τοῦτο τέλος αὐτοῖς ἔσται τῆς τιμωρίας, τὸ παραδοθῆναι τοῖς ἔθνεσι καὶ αἰχμαλωτισθῆναι· ἀλλ' ἐν τοῖς ἔθνεσιν ὄντες, καὶ αἰχμαλωτισθέντες, ἔτι παραδοθήσονται ἑτέραις τιμωρίαις καὶ ἑτέραις θλίψεσιν· ὥστε εἶναι τὸ, *Παραδοθήσονται*, ἀντὶ τοῦ, Ἐγκαταλειφθήσονται ὑπὸ Θεοῦ. Καὶ ὅταν δέ τις αὐξηθεὶς ὑπὸ Θεοῦ, καὶ ἀναθήλας, οὐκ ἐπιγνῷ τὸν εὐεργέτην, ἀλλὰ καθ' ἑαυτὸν ζῇ, τουτέστι, τὸ ἑαυτοῦ θέλημα ἱστῶν, τοὺς θείους νόμους παρωθεῖται, καὶ οὐκ ἀρκούμενος οἷς ἔχει θεόθεν, ἔτι δῶρα ἀγαπᾷ, παραδοθήσεται ὑπὸ τοῦ Θεοῦ, καὶ ἐγκαταλειφθήσεται, καὶ

D VERS. 10. *Tradentur in gentibus.* Non dixit, Tradentur gentibus, sed *In gentibus.* Non **76** enim hic finis erit supplicii, ut gentibus tradantur, abducanturque captivi: verum enim in gentibus agentes et capti, adhuc tradentur aliis suppliciis, aliisque afflictionibus: ut sit *Tradentur*, pro Derelinquentur a Deo. Quod si quando quisquam auctus fuerit a Deo beneficio, ut crescat et floreat, nec benefactorem suum agnoverit, sed per sese vixerit, hoc est suam voluntatem statuendo, divinas leges repulerit, non contentus dona, quæ divinitus accepit, diligere, tradetur is a Deo, desereturque. Versabitur deinceps inter gentes omnino

[23] Coloss. I, 16. [24] Ephes. V, 23. [25] Galat. VI, 8. [26] Philipp. IV, 18.

Variæ lectiones et notæ.

(35) Hæc posteriora verba desiderantur in cod. Ven.

Digitized by Google

quidem spirituales, qui sunt dæmones, horum enim partis seipse fecit; forsan et corporalibus hostibus subjugabitur. Reputarunt peræque Judæi apud sese, quod germinaturi essent, si Jesum crucifigerent: ideo placuit illis munera dare, primum quidem proditori, deinde sepulcrum observantibus militibus, ut celarent resurrectionem. Dispersi sunt igitur, cunctis gentibus traditi, ut nullum non malum patiantur.

Nunc accipiam eos. Antehac, inquit, permisi eis et non redargutos et indemnatos vivere, propter clementiam meam videlicet, et pœnitentiæ exspectationem: *Nunc* vero *accipiam eos*, ad judicandum scilicet, et in judicium eos vocabo, pœnasque exigam ab ipsis. *Nunc*, hoc est, non post multum ita temporis, vel in hostium regione *ipsos accipiam*, apprehendam. Quemadmodum enim patribus eorum præcedebam, accipiens ipsos in sortes, et attributas eis sorte regiones, sic his præconstituens captivitatis locos, veluti talibus dignis, accipiam eos in Babylonia.

Cessabuntque paululum ne inungant regem et principes. Postquam enim, inquit, noluisti a me regem petere, sed tuo consilio creasti tibi reges, privabo eos ipsis, et ab hostibus jugum passi cessabunt, vel desistent porro sibi reges et principes deligere. Nam quos eligebant, non ad meam constituebant gloriam, sed enim cum illis idola sectabantur. Hic inter minas pariter benignitatem intuere: Modicum, inquit, desistent inungere: atque per hoc juxta spem facit reditus a Babylone. Animadvertendum autem, quod post captivitatem, Ephraim, sive decem tribus Israel, non ultra habuerunt proprium regem in Samaria, sed Hierosolymis Zorobabel dux erat totius populi, atque huic duodecim tribus dicto audientes fuerunt. Suscipiam, ait etiam Deus Pater, tribus Israel ad Christum revertentes: idque tum fiet, cum desistent somniare regni et sacerdotii sui restitutionem. Imaginatione enim inungunt sibi reges et sacerdotes, legalis politiæ recuperationem exspectantes. Præterea filium iniquitatis **77** ipsi inungentes, ipsum Christum et regem faciunt. Sic quilibet nostrum, quando susceptus fuerit a Deo, et familiaris ac proprius factus fuerit, etiamsi antea alterius aulæ exstiterit, alios cessat habere cum reges, tum principes, dominatores tenebrarum dico, qui reges et principes non sunt, sed nos eos in reges inungimus constituimusque. Atqui Deum tantummodo regem habet, qui illi obtemperat, mandatisque ipsius ducitur, et qui vitæ suæ in singulos dies dispensationibus, etiamsi injucundæ fuerint, non turbatur, æquo eas animo patiens.

VERS. 11. *Quoniam Ephraim multiplicavit aras, in peccatum factæ sunt aræ ejus dilectæ.* Jure,

ἐν τοῖς ἔθνεσι γενήσεται, πάντως μὲν τοῖς νοητοῖς (τῆς γὰρ τούτων μερίδος ἑαυτὸν ἐποίησεν), ἴσως δὲ καὶ αἰσθητοῖς ἐχθροῖς ὑποχείριος ἔσται. Ἔδοξαν καὶ Ἰουδαῖοι καθ' ἑαυτούς, ὅτι ἀναθηλήσουσιν, εἰ τὸν Ἰησοῦν σταυρώσουσι· διὸ καὶ ἠγάπησαν δῶρα διδόναι τοῦτο μὲν, τῷ προδότῃ, τοῦτο δὲ, τοῖς τὸν τάφον τηροῦσι στρατιώταις, πρὸς τὸ συγκρύψαι τὴν ἀνάστασιν. Διεσπάρησαν οὖν ἐν πᾶσι τοῖς ἔθνεσι, παραδεδομένοι πρὸς τὸ πᾶν κακὸν πάσχειν.

Nῦν εἰσδέξομαι αὐτούς. Πρώην μὲν, φησὶ, παρῆκα αὐτοὺς ἀνελέγκτους καὶ ἀκρίτους διάγειν, διὰ φιλανθρωπίαν δηλαδὴ, καὶ μετανοίας ἀναμονήν· *Nῦν* δὲ *εἰσδέξομαι αὐτούς*, εἰς τὸ δικάσαι δηλονότι, καὶ εἰς κρίσιν αὐτοὺς καλέσω, καὶ δίκας ἀπαιτήσω. *Nῦν*, τουτέστι ταχέως, ἢ ἐν τῇ τῶν πολεμίων χώρᾳ. *εἰσδέξομαι αὐτούς.* Ὥσπερ γὰρ ἐν τοῖς πατράσιν αὐτῶν προηγούμην, καὶ εἰσεδεχόμην αὐτοὺς εἰς τοὺς κλήρους αὐτῶν, καὶ τὰς ἀπονεμηθείσας αὐτοῖς χώρας· οὕτως τούτοις προευτρεπίζων τοὺς τῆς αἰχμαλωσίας τόπους, ὡς ἀξίοις ταύτης, εἰσδέξομαι αὐτοὺς ἐν τῇ Βαβυλωνίᾳ.

Καὶ κοπάσουσι μικρὸν τοῦ χρίειν βασιλέα καὶ ἄρχοντας. Ἐπειδὴ γὰρ, φησὶν, οὐκ (36) ἠθέλησαν ὑπ' ἐμοῦ βασιλεύεσθαι, ἀλλὰ δι' αὐτῶν εἵλοντο βασιλεῖς, στερήσω τούτων αὐτούς, καὶ ὑπὸ τῶν ἐχθρῶν ἀρχόμενοι, κοπάσουσι, τουτέστι παύσονται τοῦ αὐτοὶ ἑαυτοῖς χειροτονεῖν βασιλεῖς καὶ ἄρχοντας. Καὶ γὰρ οὓς ἐχειροτόνουν, οὐκ εἰς ἐμὴν τιμὴν καθίστων, ἀλλὰ σὺν ἐκείνοις εἰδωλολάτρουν. Ὅρα δὲ ἐν τῇ ἀπειλῇ καὶ χρηστότητα· Πρὸς μικρὸν γὰρ παύσονται τοῦ χρίειν, φησί. Διὰ δὲ τούτου, ἐλπίδας δίδωσι τῆς ἀπὸ Βαβυλῶνος ἐπανόδου. Ἰστέον δὲ, ὅτι μετὰ τὴν αἰχμαλωσίαν ὁ Ἐφραὶμ, ἤτοι αἱ δέκα φυλαὶ, οὐκέτι ἔσχον ἴδιον βασιλέα ἐν Σαμαρείᾳ, ἀλλ' ἐν Ἱεροσολύμοις ὁ Ζοροβάβελ ἡγήσατο παντὸς τοῦ λαοῦ, καὶ τούτῳ ὑπήκουσαν αἱ δώδεκα φυλαί. Εἰσδέξομαι, φησὶν ὁ Πατὴρ, τοὺς ἐξ Ἰσραὴλ εἰς Χριστὸν ἐπιστραφέντας· ἀλλὰ πότε; Ὅτε παύσονται τοῦ ὀνειροπολεῖν· ἢ (37) ὅτι ἡ βασιλεία, καὶ ἡ ἱερωσύνη αὐτοῖς ἀποκαταστήσεται. Τῇ φαντασίᾳ γὰρ χρίουσιν ἑαυτοῖς βασιλεῖς, καὶ ἱερεῖς οἱ τὴν τῆς νομικῆς πολιτείας ἀποκατάστασιν ἐκδέχομενοι. Καὶ τὸν υἱὸν δὲ τῆς ἀνομίας αὐτοὶ χρίοντες, Χριστὸν αὐτὸν ποιοῦσι. Καὶ ἡμῶν δὲ ἕκαστος, ὅταν εἰσδεχθῇ ὑπὸ Θεοῦ, καὶ οἰκεῖος αὐτῷ γένηται, ἄλλης αὐλῆς ὢν πρότερον, παύεται τοῦ ἔχειν ἄλλους βασιλεῖς καὶ ἄρχοντας, τοὺς κοσμοκράτορας τοῦ σκότους λέγω, οἳ βασιλεῖς ἢ ἄρχοντες οὐκ εἰσὶν, ἀλλ' ἡμεῖς ἑαυτοῖς τούτους χρίομεν, καὶ βασιλεῖς ἐγκαθιστῶμεν. Μόνον δὲ ἔχει βασιλέα Θεὸν ὁ ὑποτασσόμενος αὐτῷ, καὶ ταῖς ἐντολαῖς αὐτοῦ ἀγόμενος, καὶ ταῖς καθ' ἑκάστην ἡμέραν οἰκονομίαις τῆς αὐτοῦ ζωῆς μὴ δυσαρεστούμενος, ἂν [*f.* κἂν] ὦσιν ἀηδεῖς.

Ὅτι ἐπλήθυνεν Ἐφραὶμ θυσιαστήρια· εἰς ἁμαρτίας ἐγένοντο αὐτῷ θυσιαστήρια ἠγαπη-

Variæ lectiones et notæ.

(36) Lonicerus legisse videtur ἠθέλησας, et paulo post εἵλου, ut ex ejus interpretatione apparet.

(37) Explodendam puto particulam ἢ, quamvis uterque codex eam præ se ferat.

Digitized by Google

μενα. Δικαίως, φησὶ, τὴν παράνομον αὐτῶν κατα- A
παύσω βασιλείαν· ἐπειδὴ γὰρ βασιλεύσας αὐτῶν
Ἱεροβοὰμ ἐξεπλάνησεν αὐτοὺς εἰς τὸ πληθῆναι
[*f.* -θῦν.] εἰδωλικὰ θυσιαστήρια, ἃ ἐγένοντο αὐτοῖς
πρόφασις ἁμαρτιῶν πολλῶν. Εἵς τε γὰρ τὴν ἐμὴν
τιμὴν ἥμαρτον, καὶ πᾶν ἄλλο εἶδος ἁμαρτιῶν ἐπ-
ετήδευσαν· τὰ δὲ τοιαῦτα θυσιαστήρια ἠγάπησαν,
καὶ θερμῶς περὶ αὐτὰ διετέθησαν, δέον πενθεῖν ἐπ'
αὐτοῖς διὰ βίου παντὸς καὶ ὀλοφύρεσθαι.

Καταγράψω αὐτῷ πλῆθος, καὶ τὰ νόμιμα αὐτῶν. Εἰς ἁμαρτίαν, φησὶ, καὶ ἔγκλημα αὐτοῖς καταγράψω καὶ λογίσομαι τὸ πλῆθος τῶν τοιούτων θυσιαστηρίων, καὶ τὰ νόμιμα αὐτῶν, τουτέστι τοὺς νόμους, καὶ τοὺς τρόπους, καθ' οὓς ἐτέλουν τὰς εἰδωλικὰς τελετάς. Ἤ, ὅτι Ἀνάγραπτον αὐτῶν τὴν μνήμην ποιήσομαι, εἰς ἔλεγχον τῆς πολλῆς αὐτῶν ἀσεβείας. B
Εἰς ἁμαρτίαν γέγονε καὶ τῷ ἀποκτείναντι αὐτὸν λαῷ τὰ νομικὰ θυσιαστήρια· καὶ ὅσα ἔλαβον παρὰ Θεοῦ νόμιμα, εἰς ἔγκλημα αὐτῷ ἐγράφησαν, παραβάντι ταῦτα. *Κρινεῖ* γὰρ, φησὶν, *ἡ ἐκ φύσεως ἀκροβυστία τὸν νόμον, πληροῦσά σε τὸν διὰ περιτομῆς παραβάτην νόμου·* καὶ, *ὯΙ παρέθεντο πολὺ, πολὺ καὶ ἀπαιτοῦσιν αὐτόν·* καὶ, *Ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιῶν, δαρήσεται πολλά.*

Εἰς ἀλλότρια ἐλογίσθησαν θυσιαστήρια (39). Τῶν μὲν εἰδωλικῶν, φησὶ, θυσιαστηρίων πολλὴν ἐποιήσαντο φροντίδα· τὰ δὲ ἐμὰ θυσιαστήρια (40) εἰς ἀλλότρια αὐτῷ ἐλογίσθησαν, καὶ ἀτημέλητα κατ-
ελείφθησαν. Δύο δὲ ἦσαν κατὰ νόμον θυσιαστήρια τῷ C
Θεῷ, τό τε τῶν καρπωμάτων ἔξω ἐν τῇ αὐλῇ, καὶ τοῦ θυμιάματος ἔσω ἐν τῇ δευτέρᾳ σκηνῇ. Δύο ἔχει καὶ ἕκαστος ἡμῶν θυσιαστήρια· τὸ μὲν ἔξω, ἐν ᾧ τὰς σωματικὰς ἐργασίας θύει τῷ Θεῷ· τὸ δὲ ἐσωτέρω καὶ κατὰ νοῦν, ἐν ᾧ τὸ θυμίαμα τῆς εὐχῆς καὶ τῶν θείων θεωρῶν [*f.*-ριῶν.] τὸ ἀνωφερὲς καὶ πνευματικὸν ἀναπέμπει. Ταῦτα καὶ εἰσὶν ἠγαπημένα τῷ ὄντι. Ἐὰν δέ τις ταῦτα παρωσάμενος, πληθυνεῖ [*f.*-θύνῃ] ἑαυτῷ θυσιαστήρια, εἰς τὰ πολύτροπα εἴδη τῆς κακίας ἀποφερόμενος, διά τε ἔργων καὶ λογισμῶν, καὶ διδαχαῖς ποικίλαις καὶ ξέναις περιφερόμενος, εἰς ἁμαρτίαν αὐτῷ γίνονται τὰ τοιαῦτα θυσιαστήρια. Καὶ οἱ τοῖς αἱρετικοῖς δὲ κοινωνοῦντες, εἰς ἁμαρτίαν αὐτοῖς γινόμενα ἔχουσι.

Διότι ἐὰν θύσωσι θυσίαν, καὶ φάγωσι κρέα, Κύριος οὐ προσδέξεται αὐτά. Νῦν μνησθήσεται τὰς [*f.* τῆς. *Vulg om.*] *ἀδικίας αὐτῶν, καὶ ἐκδικήσει τὰς ἁμαρτίας αὐτῶν.* Ἐπειδὴ γὰρ ἃ θύουσιν ἐπὶ τῶν θυσιαστηρίων ἐκείνων τῶν πολλῶν, εἰδώλοις θύουσιν, οὐ προσδέξεται αὐτὰ Κύριος· ἀλλὰ μᾶλλον δι' αὐτῶν ἀναμιμνήσκεται καὶ τὰς ἄλλας ἀδικίας αὐτῶν, καὶ εἰς ἐκδίκησιν παροξύνεται. Ὥσπερ γὰρ

inquit, iniquum ipsorum oblitterabo regnum, quandoquidem regnans super ipsos Hieroboam pervertit eos, ut multiplicarent idolicas aras quæ factæ sunt ipsis occasio plurimorum peccatorum. Nam adversus honorem meum deliquerunt, omnemque cæteram peccatorum speciem admiserunt· hujusmodi vero aras dilexerunt, planeque erga ea inflammati fuere, cum debuissent potius ideo per omnem ætatem suam plangere et lugere.

VERS. 12. *Conscribam ipsi multitudinem et legitima ipsorum.* In peccata, inquit, et reprehensionem ipsis conscribam, et supputabo copiam hujusmodi altarium, et legitima ipsorum (38), hoc est, memoriam faciam ad reprehensionem multæ ipsorum impietatis. In peccatum etiam factæ sunt interimenti Christum populo, legales aræ, et quæcunque a Deo acceperunt legitima, in reprehensionem et judicium ipsi scripta sunt, simul ac ea est transgressus. *Judicabit enim te,* ut Apostolus ait, *præputium natura legem implens, transgressorem legis per circumcisionem* [17]. Et: *Apud quem multum deposuerunt, multum etiam repetent* [18]. Et: *Sciens voluntatem domini, nec opere eam persequens, vapulabit multum* [19].

Pro alienis altaria reputata sunt. Idolicarum quidem ararum multa sunt tacti sollicitudine: meas vero aras et vilipensas et posthabitas pro alienis habuerunt, ideoque neglectæ per ipsas jacuerunt. Fuerunt autem duo secundum legem altaria Dei: alterum primitiarum foris in aula, alterum suffitus intus in tabernaculo. Porro et unusquivis nostrum duas aras possidet: alteram foris, super qua corporales operationes sacrificat Deo; alteram intus secundum mentem, super quæ thymiama, seu suffitum precationis, divinarumque contemplationum sublimitatem et spirituales facultates ad superna mittit. Hæ sunt revera dilectæ et pretiosæ aræ. Sin quisquam his depulsis, **78** multiplicaverit sibi aras, ad multiformes maligni-
tatis species delatus, per opera nimirum et cogitationes, variis et peregrinis doctrinis agitatus, ad peccatum illi tales aræ fiunt. Præterea hæreticis consortione juncti, habent quæ illis in peccatum D cedant.

VERS. 13. *Proinde si immolaverint victimam, et ederint carnes, Dominus non suscipiet eas. Nunc reminiscetur injustitiæ ipsorum, vindicabitque peccata eorum.* Quoniam enim quæ immolant super altaribus suis multis, idolis immolant, non suscipiet ea Dominus, quin potius per ea et alias ipsorum iniquitates recordabitur, et ad vindictam provocabitur. Perinde enim ut per sanctas hostias

[17] Rom. II, 25. [18] Luc. XII, 48. [19] Ibid.

Variæ lectiones et notæ.

(38) Græca verba sic habent: *hoc est, leges ac mores, secundum quos peragebant idolicas cæremonias. Vel: Scriptis, ait, tradam eorum memoriam in argumentum multæ ipsorum impietatis.*

(39) Θυσιαστήρια ἠγαπημένα. Cod. Ven.

(40) Θυσιαστήρια, τὰ ὄντως ἄξια ἀγάπης, *aræ dilectione vere dignæ.* Cod. Ven.

Digitized by Google

placatus et propitius factus, obliviscitur iniquitatum et injuriarum : sic animadvertens eos sacra idolis facere, ad reminiscentiam aliorum quoque vitiorum venit. At quid est quod ait : *Si ederint carnes*? Tenuerat consuetudo, nondum immolatis victimis, renes una cum adipe super ipsos, et summitatem hepatis offerre Deo : dextrum vero brachium et pectorale sacerdotibus segregare : cæteras carnes, ii qui victimam afferebant, pro suo nutu edebant. Quidam et hunc ad modum intellexere, quod non agitet sermones de idolicis sacrificiis, verum consilium eorum ex his judicet. Ubi enim dixisset, quod Aras meas dilectas alienas reputarunt, ne quis existimaret, quod sacrificiis egeat Deus, nunc ait : Ego non egeo victimis, sed enim voluntatem eorum ex his judico. Vide autem prædictam legalium cæremoniarum abrogationem, introductumque spiritualem in verbo cultum, juxta illud : *Immola Deo victimam laudis, et redde Altissimo vota tua* [30]. Laudat etiam Deum fidelis, lumen propriorum operum coram Deo lucere faciens, ut a videntibus ea glorificetur Deus, perinde ac diversum faciens, auctor est, ut vituperetur nomen ejus apud gentes.

Ipsi autem in Ægyptum aversi sunt. Et auxilia inde petiverunt, approperantibusque calamitatibus, illuc confugerunt. Vel buculas adorantes, bovem Apim, ut Ægyptii coluerunt.

VERS. 14. *Oblitusque est Israel factoris sui, et ædificarunt delubra : Judas exstruxit oppida mœnibus cincta. Demittam ignem in civitates ejus, qui devorabit fundamenta ejus.* Utrisque regnis interminatur. Decem tribuum imperium ideo increpat ac terret, quod, bello ingruente, quod interminatus sit eis propter scelera eorum, non dederunt operam, ut me curarent, sed idola potius ; hinc et plura sibi delubra et lucos excitarunt, placantes **79** ita sua numina, ut bellum amoveant atque fortunent. At Judas civitates suas muniebat, ut per eas servaretur, et non per meam protectionem. Proinde hostilis ignis exedet fundamenta civitatum ipsius. Exstruit delubra dæmonibus, corrumpens templum Dei, sive seipsum, per corporales impuritates nedum se perdens, verum etiam alios. Per impuritates enim habitant illi in eo qui antea fuit templum Dei. Jam qui per vanam sophistices scientiam, hæretica dogmata munit, exstruit urbes mœnibus cinctas : cæterum fundamenta, et subjecta, et principia talium urbium absumit ignis evangelici et apostolici sermonis quem venit Dominus jacere super terram ; Spiritus dein, quem in specie columbæ demisit Dominus. Præterea urbes Israelis secundum carnem, devoravit ignis

A διὰ τῶν ἁγίων θυσιῶν ἐξευμενιζόμενος καὶ ἐξιλεούμενος, ἐπιλανθάνεται τῶν ἀνομιῶν καὶ τῶν ἀδικιῶν· οὕτως ἰδὼν αὐτοὺς θύοντας τοῖς εἰδώλοις, εἰς ἀνάμνησιν καὶ τῶν ἄλλων κακιῶν ἔρχεται. Τί δέ ἐστι τὸ, *Ἐὰν φάγωσι κρέα* ; Εἰώθεισαν τῶν μὴ ὁλοκαυτουμένων θυμάτων τοὺς μὲν νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, καὶ τὸν λοβὸν τοῦ ἥπατος, προσφέρειν τῷ Θεῷ· τὸν δὲ δεξιὸν βραχίονα, καὶ τὸ στηθύνιον, τοῖς ἱερεῦσιν ἀφορίζειν· τὰ δὲ λοιπὰ κρέα αὐτοὶ, οἱ τὴν θυσίαν προσάγοντες, ἤσθιον, ὡς ἠβούλοντο. Τινὲς δὲ οὕτως ἐνόησαν, ὅτι οὐ περὶ τῶν εἰδωλικῶν θυσιῶν λέγει, (41) ἀλλὰ τὴν προαίρεσιν αὐτῶν κρίνει ἐκ τούτων. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι Τὰ θυσιαστήριά μου τὰ ἠγαπημένα, ἀλλότρια ἐλογίσαντο· ἵνα μή τις οἰηθείη, ὅτι θυσιῶν χρῄζει ὁ Θεὸς, νῦν φησιν, B ὅτι Ἐγὼ οὐ χρῄζω τῶν θυσιῶν, ἀλλὰ τὴν προαίρεσιν αὐτῶν κρίνω ἐκ τούτων. Ὅρα δὲ προαγορευομένην τῶν νομικῶν τὴν κατάλυσιν, καὶ εἰσαγομένην τὴν πνευματικὴν καὶ λογικὴν λατρείαν, κατὰ τὸ, *Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου.* Αἰνεῖ δὲ τὸν Θεὸν καὶ ὁ λάμπειν ποιῶν τὸ φῶς τῶν οἰκείων ἔργων ἔμπροσθεν τῶν ἀνθρώπων, ὥστε ὑπὸ τῶν ταῦτα ὁρώντων δοξάζεσθαι τὸν Θεόν· ὥσπερ καὶ ὁ τἀναντία πράττων, ποιεῖ τὸ ὄνομα αὐτοῦ βλασφημεῖσθαι ἐν τοῖς ἔθνεσιν.

Αὐτοὶ δὲ εἰς Αἴγυπτον ἀπέστρεψαν. Καὶ συμμαχίαν γὰρ ἐκεῖθεν ᾔτησαν, καὶ τῶν συμφορῶν ἐπελθουσῶν, ἐκεῖ κατέφυγον. Ἢ τὰς δαμάλεις προσκυνοῦντες, τὸν μόσχον τὸν Ἄπιν ἐσεβάσθησαν, ὥσπερ οἱ Αἰγύπτιοι. C

Καὶ ἐπελάθετο Ἰσραὴλ τοῦ ποιήσαντος αὐτὸν, καὶ ᾠκοδόμησαν τεμένη, καὶ Ἰούδας ἐποίησε πόλεις τετειχισμένας, καὶ ἐξαποστελῶ πῦρ εἰς τὰς πόλεις αὐτοῦ, καὶ καταφάγεται τὰ θεμέλια αὐτοῦ. Ἀμφοτέραις ταῖς βασιλείαις ἐπιπλήττει· τῇ μὲν τῶν δέκα φυλῶν, ὅτι Τοῦ πολέμου ἐπερχομένου αὐτοῖς, ὃν ἐγὼ ἠπείλησα διὰ τὰς ἀνομίας αὐτῶν, οὐκ ἐσπούδασαν ἐμὲ θεραπεύειν, ἀλλὰ τὰ εἴδωλα· διὸ καὶ πλείω τεμένη αὐτοῖς ἀνήγειρον, ἐξιλεούμενοι δῆθεν, ἵνα παράγωσι τὸν πόλεμον. Ὁ δὲ Ἰούδας, φησὶ, πόλεις ὀχυρὰς ἐποίει, ἵνα δι' αὐτῶν σωθῇ, καὶ οὐ διὰ τῆς ἐμῆς βοηθείας καὶ σκέπης. Τὸ οὖν τῶν πολεμίων πῦρ καταφάγεται τὰ θεμέλια τῶν πολεμίων αὐτοῦ. Οἰκοδομεῖ τεμένη D τοῖς δαίμοσιν ὁ φθείρων τὸν ναὸν τοῦ Θεοῦ, ἤτοι ἑαυτὸν, διὰ σωματικῶν ἀκαθαρσιῶν. Ἐνοικίζονται ἐκεῖνοι ἐν τῷ πρότερον ὄντι ναῷ Θεοῦ. Καὶ ὁ διὰ τῆς ψευδωνύμου δὲ γνώσεως τῆς σοφιστικῆς, τὰ αἱρετικὰ ἀσφαλούμενος [-λιζόμ. ?] δόγματα, κτίζει πόλεις τετειχισμένας· ἀλλὰ τὰ θεμέλια, καὶ τὰς ὑποθέσεις, καὶ ἀρχὰς τῶν τοιούτων πόλεων, κατεσθίει τὸ πῦρ τοῦ εὐαγγελικοῦ καὶ ἀποστολικοῦ λόγου, ὃ ἦλθε Κύριος βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τὸ Πνεῦμα, ὃ ἐν εἴδει περιστερᾶς ἀπέστειλεν ὁ Κύριος. Καὶ τοῦ κατὰ σάρκα Ἰσραὴλ τὰς πόλεις κατέφαγε

[30] Psal. XLIX, 14.

Variæ lectiones et notæ.

(41) Ἀλλὰ περὶ τῶν νομικῶν, *sed de legalibus.* Cod. Ven.

Digitized by Google

τὸ πῦρ τῶν Ῥωμαίων, διότι ᾠκοδόμησαν τὰς κατὰ Κυρίου ἐπιβουλὰς, ὡς δῆθεν τεμένη τινὰ τῷ Θεῷ χαριζόμενοι.

ΚΕΦΑΛ. Θ'.

Μὴ χαῖρε, Ἰσραὴλ, καὶ μὴ εὐφραίνου καθὼς οἱ λαοὶ, ὅτι ἐπόρνευσας ἀπὸ Κυρίου Θεοῦ σου. Καταψηφίζομαί σου, φησὶ, λύπας, καὶ προστάττω μηδεμίαν ἀφορμὴν εὐφροσύνης καὶ χαρᾶς ἐν σοὶ εἶναι, ἀλλὰ παρὰ πάντας τοὺς λαοὺς καὶ σὲ λυπεῖσθαι. Διὰ τί; Διότι ἐκεῖνοι μὲν, οὐδέποτε ἦσαν ἐμοί· οὔτε γὰρ νόμον ἐδέξαντο, οὔτε διὰ προφητῶν ἐδιδάχθησαν· σὺ δὲ ὢν ἐμὸς, ἐξεπόρνευσας. Οὐ τοίνυν δεῖ σε ἐν ἀγαθοῖς εἶναι, ἀλλ' ἐν κακοῖς, ἐξ οὗ σοι τὸ μὴ χαίρειν, μηδὲ εὐφραίνεσθαι περίεστηκε, καθὸ εἴρηται· *Οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσι·* παντὶ γὰρ ἁμαρτάνοντι τὸ πένθος ἁρμόζει. Οὕτω καὶ ὁ Παῦλος τοῖς Κορινθίοις ἐπιμέμφεται, ὅτι μὴ ἐπένθησαν ἐπὶ τῷ πεπορνευκότι.

Ἠγάπησας δόματα ἐπὶ πάντα ἅλωα σίτου. Τὰ ἐμὰ, φησὶν, ἀγαθὰ καρπούμενος, σὺ δόματα ἐδίδους τοῖς εἰδώλοις, ἀπαρχὰς ἅλωος αὐτοῖς ἀνατιθείς.

Ἅλων καὶ ληνὸς οὐκ ἔγνω αὐτούς, καὶ οἶνος ἐψεύσατο αὐτούς. Ἐπειδὴ, φησὶ, τοῖς εἰδώλοις τοὺς καρποὺς ἀνατίθετε, οὐκέτι οὐδὲν γεωργήσετε, οὔτε σῖτον, οὔτε οἶνον· ἀλλὰ καὶ ὄψεσθε μὲν εὐθηνούσας τὰς ἀμπέλους· ἐν τῷ καιρῷ δὲ τοῦ τρύγους, τῶν ἐλπίδων ψευσθήσεσθε.

Οὐ κατῴκησαν ἐν τῇ γῇ τοῦ Κυρίου, κατῴκησεν Ἐφραὶμ Αἴγυπτον. Οὐ γὰρ ὡς ἐν γῇ ἀφιερωμένῃ τῷ Θεῷ ἐννόμως ἔζων, ἀλλὰ πᾶσαν παρανομίαν ἐτέλουν, ὡς οἱ ἐν ταῖς ἐθνικαῖς χώραις κατοικοῦντες. Διὸ καὶ τὴν Αἰγυπτιακὴν ἀσέβειαν ζηλώσαντες, Αἴγυπτον κατοικῆσαι λέγονται. Πλὴν ἀλλὰ καὶ οὕτω κατῴκησαν τὴν Αἴγυπτον, ὡς ἀνωτέρω εἴρηται, τοῖς Αἰγυπτίοις ὡς φίλοις προσχωρήσαντες.

Καὶ ἐν Ἀσσυρίοις ἀκάθαρτα φάγονται. Ἢ ὅτι καὶ τοῖς Ἀσσυρίοις ὡς βοηθοῖς προσφυγόντες, ἀκάθαρτα μετ' αὐτῶν φάγονται, τραπέζης αὐτοῖς ὡς φίλοις φίλοις κοινωνοῦντες· ἢ ὅτι ὑπ' αὐτῶν αἰχμαλωτισθέντες, τῆς τῶν βρωμάτων ἀκαθαρσίας αὐτοῖς κοινωνοῦσιν, ἅτε δεσπόταις δοῦλοι. Ἀπὸ δὲ τῶν βρωμάτων καὶ τὰ λοιπὰ εἶδη τῆς ἀκαθαρσίας συνεκδέχου (42). Ἐπειδὴ γὰρ ἐν τῇ γῇ τῆς ἐπαγγελίας ἀκαθάρτως ἔζων, ἐν ἀκαθάρτῳ ἔστωσαν χώρᾳ, ζήτωσαν ἐν ἀκαθαρσίᾳ. Καὶ ὁ μηδὲ τῷ Θεῷ ἀνατιθεὶς τὰς ἀπαρχὰς τῶν καρπῶν, διὰ τοῦ κοινωνεῖν αὐτῶν τοῖς ἐνδεέσι, καὶ ποιεῖν ἐξ αὐτῶν ἐλεημοσύνην, τοῖς δαίμοσι ταῦτα δίδωσι, διὰ τοῦ συνέχειν καὶ ἀποτιθέναι. Διὸ ἡ ἐν οὐρανοῖς ἅλως καὶ ὁ ληνὸς, οὐ γνώσεται αὐτούς· οὐ γὰρ ἀπάξουσιν ἐκεῖ καρπόν. Ἀλλὰ καὶ ἡ εὐφροσύνη, ὁ οἶνος, τουτέστιν ἣν δοκοῦσιν ἔχειν ἐνταῦθα, ψεύσεται αὐτοὺς, οὐδὲ κατοικήσου-

Romanorum, et quod exstruxerunt adversus Dominum insidias, tanquam delubra hoc pacto Deo ædificantes.

CAPUT IX.

Vers. 1. *Ne lætare, Israel, neque exhilarare, veluti populi, quoniam fornicatus es a Domino Deo tuo.* Decerno adversus te mœrorem, ac demando nullam in re occasionem lætitiæ et gaudii esse, sed enim præ omnibus populis te turbari. Quam ob rem? Quia illi nunquam fuerunt mei, neque enim legem acceperunt, neque per prophetas docti sunt. Tu vero meus exsistens, fornicatus es. Non igitur oportet te in bonis agere, sed malis premi; ex quo tibi neque lætari, neque gaudere aderit: perinde ac dictum est: *Non est gaudium impiis*[31]. Nam omni peccanti luctus convenit. Divus Paulus eum in modum de Corinthiis conqueritur, quod non luxerint super eo qui fornicatus fuerat [32].

Dilexisti dona super omnem aream frumenti. Cum meis, inquit, bonis fruereris, tu dona dabas idolis, primitias frugum illis consecrans

Vers. 2. *Area et torcular non agnovit eos, et vinum ipsis mentitum est.* Postquam, inquit, idolis fructus dicastis, nihil quidquam posthac colligetis, neque frumentum, neque vinum: verum videbitis quidem exuberantes vites, tempore autem vindemiæ spebus vestris fraudabimini.

Vers. 3. *Non habitaverunt in terra Domini, incoluit Ephraim Ægyptum.* Non enim ceu in terra Deo consecrata legitime vivebant, sed nullam non iniquitatem perficiebant, ceu in alienis gentium terris uectentes moram. Propterea et Ægyptiacam impietatem sectantes, Ægyptum incolere dicuntur. Verum sic etiam inhabitarunt Ægyptum, quod, ut supra memoratum, ad Ægyptios, veluti amicos, concesserint.

Et in Assyriis immunda comedent. Sive quod ad Assyrios, ceu auxiliatores **80** confugientes, immunda comedent cum ipsis, communi cum illis mensa utentes: sive quod ab ipsis captivi ducti, epularum immunditiæ una cum ipsis participabunt, ut servi dominorum suorum cibo proposito vescuntur. Ab epulis autem reliquas etiam impuritatis species intellige. Postquam enim in immundo captivitatis loco egerunt, impure juxta vixerunt. Qui Deo primitias etiam frugum non dicaverit, ut fruantur eis indigentes, utque ex ipsis eleemosynam faciat, dæmonibus eas impertit, dum eas apud sese retinet atque reponit. Propterea area quæ in cœlis est et torcular non agnoscet ipsos: non enim abducent secum illo fructum. Præterea vinum, hoc est, lætitia quam hinc videntur habere, fraudabit eos. Neque habitabunt in terra Domini,

[31] Isa. XLVIII, 22. [32] I Cor. v, 11.

Variæ lectiones et notæ.

(42) *Postquam enim in terra promissionis impuram ætatem egerunt, in impuro degant loco, vivantque in impuritate.* Ita Græca sonant.

Digitized by Google

mansuetis dicata : verum Ægyptum et tenebras exteriores, quas paravit dæmonibus, in Ægypto potissimum cultis. Tum impura sua opera, sive operum fructum edent, in parte dæmonum, quos per Assyrios sæpe intelleximus, constituti habitatores. Necessum est igitur crederè panem nostrum, corda nostra fulcientem, Christum ex Deo esse, perinde ac ipse dixit : *Ego a Deo exivi, et veni* [33] : talemque suscipere operæ fuerit pretium, terramque Domini inhabitare, catholicam dico Ecclesiam : haudquaquam autem hæreticorum conventicula, quæ revera cum terra Assyriorum, tum Ægyptus sunt : ad quæ ingressus, impura illorum dogmata et arcana comedit.

A σιν ἐν τῇ γῇ τοῦ Κυρίου, τῇ τῶν πραέων · ἀλλὰ τὴν Αἴγυπτον, καὶ τὸ σκότος τὸ ἐξώτερον, ὃ ἡτοίμασε τοῖς ἐν Αἰγύπτῳ μάλιστα θεραπευομένοις πάλαι δαίμοσι, καὶ τὰ ἀκάθαρτα αὐτῶν ἔργα, ἤτοι τοὺς καρποὺς τῶν ἔργων φάγονται τότε, ἐν τῇ μοίρᾳ τῶν δαιμόνων κατοικισθέντες, οὓς Ἀσσυρίους πολλάκις ἐξεδεξάμεθα. Δεῖ οὖν τὸν ἄρτον, στηρίζοντα τὴν καρδίαν ἡμῶν, Χριστὸν ἐκ Θεοῦ εἶναι πιστεύειν, καθὰ κἀκεῖνος ἔλεγεν · *Ἐγὼ παρὰ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω* · καὶ τοῦτον δέχεσθαι, καὶ τὴν γῆν τοῦ Κυρίου κατοικεῖν, τὴν καθολικὴν Ἐκκλησίαν · ἀλλὰ μὴ τὰς τῶν αἱρετικῶν παρασυναγωγάς, αἳ γῇ Ἀσσυρίων καὶ Αἴγυπτος ὄντως εἰσίν, ἐν οἷς ὁ εἰσερχόμενος, τὰ ἀκάθαρτα αὐτῶν καὶ δόγματα καὶ μυστήρια φάγεται.

Vers. 4. *Non libarunt Domino vinum, nec suaves fuerunt oblationes ei.* Hoc est, Non obtulerunt ei hedysmata, vel suavia aromata, per suffitus, sed idolis.

B *Οὐκ ἔσπεισαν τῷ Κυρίῳ οἶνον, καὶ οὐχ ἥδυναν αὐτῷ.* Τουτέστιν, Οὐχ ἡδύσματά τινα προσέφερον διὰ θυμιαμάτων, ἀλλὰ τοῖς εἰδώλοις.

Sacrificia ipsorum veluti panis luctus. Lex erat, cum qui attigisset mortuum, immundum videri. Proinde quæcunque ederent, aut biberent, vel quæ simpliciter etiam attrectassent, lugentes mortuum, immunda reputabantur, eo quod contaminatio propter mortuum lege cauta esset. Oblationes itaque et sacrificia eorum immunda erunt, ceu panes mœroris. Subinfert igitur :

Αἱ θυσίαι αὐτῶν, ὡς ἄρτος πένθους. Νόμος ἦν, τὸν ἁπτόμενον νεκροῦ, ἀκάθαρτον δοκεῖν. Διὸ καὶ ὅσα ἤσθιον, ἢ ἔπινον, ἢ ἁπλῶς ὅσων ἥπτοντο οἱ πενθοῦντες νεκρῶν, ἀκάθαρτα ἐδόκει, διὰ τὸν ἐπὶ τὸν νεκρὸν νενομισμένον μολυσμόν. Καὶ αἱ θυσίαι τοίνυν αὐτῶν ἀκάθαρτοι ἔσονται, ὡς οἱ ἄρτοι τοῦ πένθους. Ἐπάγει οὖν ·

Omnes edentes ea coinquinabuntur. Nam panes eorum cum animabus suis non ingredientur domum Domini. Hoc est, ipsis erunt utiles, ipsique tantum vescentur eis, verum Deus non accipiet ea, quemadmodum neque sacrificia crucifigentium Dominum in eorum Paschate suscipiebat, vel panes propositionis eorum. Neque libationes vini eorum Domino offerebantur, neque hedysmata, seu thymiamata, quandoquidem non, ut ille voluit, offerebantur. Quod si ex inique partis facultatibus sacrum faciamus Deo, panis mœroris commodissime **81** dici poterit, tanquam circumventis lugentibus, quod sint injuriam passi ; sancit autem legem Deus, talia in domum suam non esse perferenda : impura enim esse, et qui ea manducarint pollui. Nec contaminantia exhibenda Deo, quod pollutis animis coinquinata sint peculiaria et propria.

Πάντες οἱ ἐσθίοντες αὐτὰ, μιανθήσονται, διότι οἱ ἄρτοι αὐτῶν ταῖς ψυχαῖς αὐτῶν οὐκ εἰσελεύσονται εἰς οἶκον Κυρίου. Τουτέστιν, αὐτοῖς ἔσονται C χρήσιμοι καὶ βρώσιμοι · οὐ γὰρ ὁ Θεὸς προσδέξεται ταύτας, ὥσπερ οὐδὲ τὰς τῶν σταυρούντων τὸν Κύριον θυσίας ἐν τῷ τότε Πάσχα προσεδέχετο, ἢ τοὺς ἄρτους αὐτῶν τῆς προθέσεως. Οὐδὲ αἱ σπονδαὶ αὐτῶν οἴνου τῷ Κυρίῳ προσήγοντο, ἢ τὰ τῶν θυμιαμάτων ἡδύσματα, διότι οὐ προσήγοντο, ὡς ἐκεῖνος ἠβούλετο. Εἰ δὲ καὶ τὰ ἐξ ἀδικίας προσφερόμενα τῷ Θεῷ, ἄρτος πένθους εὐστοχώτατα λεχθεῖεν, ἅτε τῶν πλεονεκτουμένων πενθούντων, ἐφ' οἷς ἀδικοῦνται, νομοθετεῖ ἡμῖν ὁ Κύριος, μὴ εἰσάγειν τοιαῦτα εἰς τὸν οἶκον αὐτοῦ · ἀκάθαρτα γάρ εἰσι · καὶ εἰ οἱ ἐσθίοντες αὐτὰ μιαίνοιντο, πῶς τὰ μιαίνοντα προσακτέον Θεῷ ; ἀλλ' ταῖς μιαραῖς ψυχαῖς τὰ μεμολυσμένα οἰκεῖα.

Vers. 5. *Quid facietis in die panegyreos, et in die festivitatis Domini ?* Servire enim coacti, ac secundum alias leges gubernari, non poteritis divinos conventus juxta Mosaicam traditionem celebrare. Quidam hic belli occasionem, et per id ultionis, diem panegyreos, festivitatisque Domini intellexerunt, quasi Dominus exhilaretur, et lætos conventus celebret, super ipsorum interitu. Possunt hæc et ad cruci Dominum affixuros referri, velut indignabundus propheta ita exclamet : O quale facinus admissuri estis in die Paschatis, quando panegyris quidem erit, universo populo congregato, et

D *Τί ποιήσετε ἐν ἡμέρᾳ πανηγύρεως, καὶ ἐν ἡμέρᾳ ἑορτῆς τοῦ Κυρίου ;* Δουλεύειν γὰρ ἀναγκαζόμενοι, καὶ κατὰ νόμους ἄλλους πολιτεύεσθαι, οὐ δυνήσεσθε τὰς θείας πανηγύρεις ἐπιτελεῖν, κατὰ τὴν Μωσαϊκὴν νομοθεσίαν. Τινὲς δὲ τὸν τοῦ πολέμου καιρὸν, καὶ τῆς κατ' αὐτὸν ἐκδικήσεως, ἡμέραν πανηγύρεως καὶ ἑορτῆς τοῦ Κυρίου ἐνόησαν, ὡς εὐφραινομένου τοῦ Κυρίου, καὶ πανηγυρίζοντος ἐπὶ τῇ αὐτῶν ἀπωλείᾳ. Λέγοιτο δ' ἂν καὶ πρὸς τοὺς σταυρῶσαι μέλλοντας τὸν Κύριον, οἱονεὶ σχετλιάζοντος τοῦ προφήτου · Ὢ οἷον ἔργον μέλλετε ποιήσειν ἐν ἡμέρᾳ τοῦ Πάσχα ! Ὁ δὲ τότε καιρὸς

[33] Joan. xvi, 28.

Digitized by Google

πανήγυρις μὲν ἦν, ὡς τοῦ λαοῦ παντὸς ἀθροισθέντος, ἑορτὴ δὲ Κυρίου τῷ ὄντι. Αὐτὸς γὰρ ταῦτα συνίστα, θυόμενος ὑπὲρ ἡμῶν· *Καὶ γὰρ τὸ Πάσχα ἡμῶν, ὑπὲρ ἡμῶν ἐτύθη Χριστός*. Λέγοιτο δ' ἂν καὶ πρὸς τοὺς καταμελοῦντας τῶν ἔργων τῆς ἀρετῆς ἐνταῦθα· *Τί ποιήσετε ἐν ἡμέρᾳ* τῆς τότε *πανηγύρεως*, ὅτε πάντες παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ; Πάντως οὐδέν· νῦν γὰρ δύνασθε ποιῆσαί τι, τότε δὲ οὐδέν. Ἡ δὲ τοιαύτη ἡμέρα καὶ ἑορτὴ, τοῦ Κυρίου ἐστὶν, ὅτε γίνεται ὁ Θεὸς τοῖς πᾶσι τὰ πάντα αὐτός (43).

Διὰ τοῦτο ἰδοὺ πορεύσονται ἐκ ταλαιπωρίας Αἰγύπτου, καὶ ἐκδέξεται αὐτοὺς Μέμφις, καὶ θάψει αὐτοὺς Μαχμάς. Καὶ ὅτε ἡ Σαμάρεια ἑάλω, οἱ περιλειφθέντες εἰς Αἴγυπτον ἀπέφυγον, καὶ ὕστερον, ὅτε τὰ Ἱεροσόλυμα ἐνεπρήσθη ὑπὸ Ναβουζαρδᾶν, ἔφυγον εἰς Αἴγυπτον οἱ τὸν Γοδολίαν ἀποκτείναντες, καὶ ταῦτα τοῦ Ἱερεμίου κωλύοντος αὐτούς. Οἱ τοίνυν Βαβυλώνιοι παροξυνθέντες, ὅτι τοῖς Αἰγυπτίοις ἐπιθαρροῦσιν, ἐτράποντο κατ' αὐτῶν, καὶ ἐπελθόντες αὐτοῖς καὶ τοῖς Αἰγυπτίοις, ἀπόνως κατεπολέμησαν. Τότε τοίνυν οἱ τὴν ἐν Αἰγύπτῳ ταύτην διαφυγόντες ταλαιπωρίαν καὶ ἦτταν, ἐπὶ τὴν Μέμφιν ἀνέδραμον, ὡς ὀχυρωτέραν οὖσαν, διὰ τὸ εἶναι ἐν αὐτῇ τὰ βασίλεια· ἀλλὰ καὶ ἐπὶ τὴν Μαχμὰς κατέφυγον, γείτονα οὖσαν τῇ Μέμφει, καὶ ἐκεῖ ἀπέθανον, (44) ὑποστρέψαντες εἰς τὴν Ἰουδαίαν.

Τὸ ἀργύριον αὐτῶν ὅλεθρος κληρονομήσει. Ὅτι παρὰ Θεοῦ λαβόντες αὐτὸ κατανάλισκον (45) εἰς εἰδώλων κατασκευάς. Ἢ ὅτι ὅσα δῶρα ἐδίδοσαν τοῖς Αἰγυπτίοις, πρὸς τὸ βοηθοὺς αὐτοὺς σχεῖν, ἀόνητα αὐτοῖς ἔσται.

Ἄκανθαι ἐν τοῖς σκηνώμασιν αὐτῶν. Τουτέστιν, ἄβατος ἡ χώρα αὐτῶν ἔσται καὶ κεχερσωμένη, ὥστε ἀκανθαι [*f.* ἀκάνθας] ἐκφύειν. Ἢ ὅτι δόξουσι μὲν κατασκηνώσαντες ἐν Αἰγύπτῳ ἀπολαῦσαι ἀναπαύσεως· τὸ δὲ οὐκ ἔσται· ἀλλ' ὥσπερ ἄκανθαι κεντοῦσαι αὐτοὺς, αἱ συμφοραὶ ἔσονται· καὶ πάντες δὲ οἱ εἰς τὴν Αἴγυπτον καταφεύγοντες, τὴν σκυθρωπὸν καὶ διώκτριαν ἁμαρτίαν, κἂν λόγον ἔχοιεν λαμπρὸν ὡς ἀργύριον, ὅλεθρος αὐτῶν κληρονομήσει. Εἰς πλεῖω γὰρ κατάκρισιν αὐτοῖς, καὶ εἰς πικρότερον ὅλεθρον ὁ λόγος ἔσται, καὶ τὰς τῆς συνειδήσεως ἀκάνθας ἕξουσιν ἐν τοῖς σκηνώμασιν αὐτῶν, τουτέστι τοῖς σώμασι. Πλήττει γὰρ τὸ συνειδὸς ἡμᾶς, οἷον ἄκανθα σύνοικος ἡμῖν. Καὶ πρὸς πλουσίους δὲ, τοὺς ἀργύριόν τε καὶ σκηνώματα, ἤτοι οἰκίας λαμπρὰς ἔχοντας, ἁρμόσει ταῦτα. Τὰς ἀκάνθας δὲ πάντως ὁ Κύριος μερίμνας ἠνίξατο εἶναι, αἳ πόσαι εἰσὶν ἐν τοῖς σκηνώμασι τῶν πλουσίων, οὐδεὶς ἀγνοεῖ.

re ipsa Domini festum! Ipse enim ea constituit, pro nobis oblatus. *Etenim Pascha nostrum pro nobis immolatus est Christus* [84]. Dici etiam hæc queant ad negligentes hic virtutis opera: *Quid facietis in die* futuri *conventus*, quando omnes sistemur ante tribunal Christi? Prorsum nihil. Nunc enim potestis facere quidquam, tunc vero plane nihil. Talis etiam dies, adeoque festivitas, Domini est, quando Deus fit omnia in omnibus.

Vers. 6. *Idcirco ecce proficiscentur ex afflictione Ægypti, excipietque eos Memphis, et sepeliet ipsos Machmas.* Quando Samaria capta est, reliqui in Ægyptum aufugerunt. Post, quando Hierosolyma incensa sunt a Nabuzardan, fugerunt in Ægyptum, occiso Godolia, Hieremia tamen eos prohibente. Babylonii itaque exacerbati, quod Ægyptiis confiderent, contra ipsos quoque armabantur, eosque una cum Ægyptiis adorti, citra laborem debellarunt. Quare tum istam in Ægypto calamitatem, et amissæ victoriæ pericula fugientes, ad Memphin se receperunt, ceu munitiorem urbem, ut in qua regia erat: deinde ad Machmas quoque accurrerunt, vicinam Memphi civitatem, illicque obierunt diem suum, in Judæam non reversi.

Argentum ipsorum pernicies hæreditabit. Quoniam a Deo acceptum illud impendebant in idolorum structuras. Sive quod quantumvis ingentia munera Ægyptiis dederint, ipsis tamen non potuerit commodare.

Spinæ in tabernaculis ipsorum. Hoc est, invia regio eorum et locus erit, **82** atque adeo solo æquata, ut jam spinas proferat. Vel, quod videbuntur quidem demorantes in Ægypto quiete frui, quæ tamen ipsis non obveniet, sed calamitates in eos spinarum instar infigent aculeos. Præterea omnes in Ægyptum fugientes, hoc est, ad torvum, triste, persequensque peccatum, etsi splendens instar argenti verbum habuerint, interitus hæreditabit, apprehendet: in majorem namque condemnationem, acerbioremque interitum, verbum Dei, cui non parent, cedet. Deinde conscientiæ spinas sustinebunt in tabernaculis, hoc est, corporibus suis. Ferit enim conscientia nos, ut spina nobis conjuncta. Convenient etiam hæc in opulentos, quibus argentum est ac tabernacula, seu ædes splendidæ. Spinas autem omnino Dominus sollicitudines esse subindicavit, quæ quantæ sint in ædibus divitum, nemini est clam.

[84] I Cor. v, 7.

Variæ lectiones et notæ.

(43) Ὅτε σαββατίζουσιν οἱ ἅγιοι τὸν τελευταῖον καὶ προσδοκώμενον σαββατισμὸν, ὅτε κατατρυφῶσιν αὐτοῦ τοῦ Κυρίου, ὅτε γίνεται ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν αὐτοῖς, *cum celebrant sancti postremum exspectatumque sabbatismum, cum ipsomet Domino perfruuntur, cum denique fit Deus omnia in omnibus ipsis.* Cod. Ven.

(44) Addenda particula negativa μὴ vel οὐχ, quæ in utroque cod. desideratur.

(45) Καταναλίσκων. Cod. Bav., sed legendum fortasse καταναλίσκουσι.

Digitized by Google

VERS. 7. *Venerunt dies ultionis, accesserunt dies retributionis tuæ.* Quoniam vani prophetæ accusabant divinos et veros vates, asseverantes populo, quod quæ dicant prophetæ, post longa demum tempora sint eventura, securos ita et pœnitentiæ vacuos plerosque facientes : Deus jam nunc ait : Venerunt jam dies afflictionis tuæ, nec in longum differentur calamitates tuæ. Propterea et divus Paulus : *Nunc*, inquit, *tempus est acceptabile* [35] ; et Dominus : *Vigilate, quandoquidem ignoratis qua hora fur venturus sit* [36] ; et : *Sint lumbi vestri circumcincti, et lucernæ ardentes ; et vos similes estote hominibus exspectantibus dominum suum* [37].

Affligeturque Israel, veluti prophetes attonitus, homo spiritifer. Tantus, inquit, mentium stupor apprehendet Israelem, in miserias et afflictiones incidentem, ut æquiparetur pseudoprophetæ, a malo spiritu ipsum inhabitante agitato, menteque capto, hincque inde correpto ac circumacto : sic et Israel defatigatus hinc inde fugiet. Nec solus Israel hæc patietur, verum pseudoprophetæ in haud dispares incurrent cruciatus et mala.

A multitudine injustitiarum tuarum multiplicata est insania tua. Insaniam appellat stuporem, defectionem animi, trepidationemque quam suis in calamitatibus pertulerunt. Hæc itaque insania vehemens et multa invasit te propter multas tuas injurias quas mihi intulisti, idolis immolans, et proximis tuis, violenter eo'sopprimens. Vel maniam, vanam prophetiam appellat, siquidem insanientibus similes erant pravorum spirituum subvates. Dicit itaque, quod Ut multos habendo deos, meo honori vim fecisti (etenim aureas vaccas, et Beelphegor, **83** et Chamos, abominationem Sidoniorum, et Bel, et Astartem, devenerati sunt), sic et pseudoprophetas furore agitatos multiplicasti. Nam alius quidem per aves, alius per victimas, alius per mortuos, alius vero alia quadam ratione vaticinabatur.

VERS. 8. *Speculator Ephraim, cum Deo propheta, laqueus intortus super omnes vias ejus.* Ego quidem, inquit, lege tibi perlata, datoque tibi intellectu, ut scires quomodo te oportet vivere, veluti quempiam speculatorem et prophetam cum Deo vaticinantem, demonstravi te cunctis gentibus, ut in Dei cognitione, Deoque placente vita, cæteris etiam ducatum præstares, ut ad mei cognitionem pervenirent. Reperi autem laqueum tortuosum super omnes vias vitæ tuæ undique enim læsæ sunt et illaqueatæ animæ respicientium in te, partim ab idololatria tua, partim a reliqua vitæ tuæ formula. Quidam

Ἦκασιν αἱ ἡμέραι τῆς ἐκδικήσεως, ἦκασιν αἱ ἡμέραι τῆς ἀνταποδόσεώς σου. Ἐπειδὴ οἱ ψευδοπροφῆται διέβαλλον τοὺς θείους προφήτας (46), διδάσκοντες τὸν λαὸν, ὅτι ἃ λέγουσιν οἱ προφῆται, μετὰ χρόνους μακροὺς ἐκβήσονται, καὶ ἐκ τούτου ἀφρόντιδας ἐποίουν τοὺς πολλοὺς καὶ ἀμετανοήτους · φησὶν ὁ Θεὸς, ὅτι Καὶ νῦν ἦκασιν αἱ ἡμέραι τῆς κακώσεώς σου, καὶ οὐκ εἰς μακρὰν ὑπερτεθήσονται αἱ συμφοραί σου. Διὰ τοῦτο ὁ Παῦλος, *Νῦν καιρὸς* φησὶν, *εὐπρόσδεκτος* · καὶ ὁ Κύριος, *Γρηγορεῖτε, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται* · καὶ, *Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι* · *καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον αὐτῶν.*

Καὶ κακωθήσεται Ἰσραὴλ, ὥσπερ ὁ προφήτης, ὁ παρεστηκὼς ἄνθρωπος ὁ πνευματοφόρος. Τοσαύτη, φησὶν, ἔκστασις τῶν φρενῶν λήψεται τὸν Ἰσραὴλ, συμφοραῖς καὶ κακώσεσι περιπεσόντα, ὥστε ψευδοπροφήτῃ ἐοικέναι ὑπὸ τοῦ ἐνοικοῦντος αὐτῷ πονηροῦ δαίμονος, ἐκστάντι τῶν φρενῶν, καὶ τῇδε κἀκεῖσε φερομένῳ. Οὕτω γὰρ καὶ ὁ Ἰσραὴλ ἐξαπορούμενος τῇδε κἀκεῖσε φεύξεται, ὅτι οὐ μόνος ὁ Ἰσραὴλ πείσεται τὰς κακώσεις, ἀλλὰ καὶ οἱ (47) ψευδοπροφῆται ταῖς ὁμοίαις περιπεσοῦνται θλίψεσιν.

Ὑπὸ τοῦ πλήθους τῶν ἀδικιῶν σου ἐπληθύνθη μανία σου. Μανίαν λέγει τὴν ἔκστασιν καὶ ἀπόρησιν, ἣν ἔσχον ἐν ταῖς συμφοραῖς. Αὕτη οὖν ἡ μανία, σφοδρὰ καὶ πολλὴ ἐπῆλθέ σοι (48) διὰ τὰς πολλάς σου ἀδικίας, ἃς καὶ ἐμὲ ἠδίκεις, τοῖς εἰδώλοις θύων, καὶ τοὺς πλησίον, ὡς καταδυναστεύων αὐτούς. Ἢ μανίαν, τὴν ψευδῆ προφητείαν λέγει · μαινομένοις γὰρ ἐῴκεσαν οἱ τῶν πονηρῶν πνευμάτων ὑποφῆται. Καί φησιν, ὅτι Ὥσπερ πολλοὺς εἶχες θεοὺς, ἀδικήσας τὴν ἐμὴν τιμὴν (καὶ γὰρ τὰς χρυσᾶς δαμάλεις, καὶ τὸν Βεελφεγὼρ, καὶ τὸ Χαμὼς βδελύγματα Σιδωνίων, καὶ τὸν Βὴλ, καὶ τὴν Ἀστάρτην)· οὕτως καὶ ψευδοπροφήτας μαινομένους ἐπλήθυνας. Καὶ ὁ μὲν διὰ ὀρνέων, ὁ δὲ διὰ θυσιῶν, ὁ δὲ διὰ νεκρῶν, καὶ ἄλλος ἄλλῳ τινὶ τρόπῳ προεφήτευον.

Σκοπὸς Ἐφραὶμ, μετὰ Θεοῦ προφήτης, παγὶς σκολιὰ ἐπὶ πάσας τὰς ὁδοὺς αὐτοῦ. Ἐγὼ μὲν, φησὶ, νόμον σοι δοὺς, καὶ συνέτισά σε (49) πῶς δεῖ βιοῦν, οἷόν τινα σκοπὸν καὶ προφήτην μετὰ Θεοῦ προφητεύοντα ἀνέδειξά σε πᾶσι τοῖς ἔθνεσιν, ὡς ἂν διὰ τῆς σῆς θεογνωσίας, καὶ τοῦ ἐναρέτου βίου, καὶ τοὺς ἄλλους ὁδηγήσῃς εἰς τὴν ἐμὴν γνῶσιν καὶ τὸν σπουδαῖον βίον. Εὗρον δὲ παγίδα σκολιὰν ἐπὶ πάσας τὰς ὁδοὺς τοῦ βίου σου · πανταχόθεν γὰρ ἐβλάβησαν, καὶ ἐπαγιδεύθησαν αἱ ψυχαὶ τῶν πρὸς σὲ ἀποβλεπόντων, καὶ ἀπὸ τῆς εἰδωλολατρείας σου, καὶ ἀπὸ τῆς τοῦ λοιποῦ βίου ἀγωγῆς. Τινὲς δὲ οὕτως ἐνόη-

[35] II Cor. VI, 2. [36] Matth. XXIV, 42. [37] Luc. XII, 35, 36.

Variæ lectiones et notæ.

(46) Διέβαλλον τὰ τῶν θείων προφητῶν, *accusabant divinorum vatum oracula.* Cod. Ven.
(47) Προφῆται, *prophetæ.* Cod. Ven.
(48) Deest σοι, *tibi*, in Cod. Ven.
(49) Scribendum puto συνετίσας σε.

Digitized by Google

σαν· Τῷ Ἐφραὶμ πολλοὺς ἔχοντι θεοὺς, σκοπὸς καὶ προφήτης μετὰ ἑκάστου θεοῦ καθίστατο· ἄλλοι γὰρ ἦσαν Ἀστάρτης, καὶ ἄλλοι τοῦ Χαμὼς, καὶ ἄλλοι ἄλλου εἰδώλου. Διὰ τοῦτο « παγὶς σκολιὰ ἐπὶ πάσας τὰς ὁδοὺς αὐτοῦ· » τουτέστι, διὰ τοῦτο ἐπλανήθη, καὶ ἀπώλεσε τὴν εὐθεῖαν τρίβον τῆς τε θεογνωσίας καὶ τῆς ἀρετῆς. Καὶ οἱ Φαρισαῖοι σκοποὶ ταχθέντες τῷ Ἰσραὴλ, εἶχον μὲν σχήματα Θεοῦ προφητῶν, τὸν δὲ λαὸν ἐπαγίδευον, σκολιοὶ ὄντες, καὶ ἄλλοτε ἄλλο γενόμενοι [*f.* -γιν.], οἳ καὶ τὸν Κύριον παγιδευειν ἐπεχείρουν ἐν λόγῳ σκολιῷ, καὶ οὐκ ἐπ' εὐθείας προσιόντες αὐτῷ. Εἰ δὲ καὶ πᾶσα ἐξουσία ὑπὸ Θεοῦ τεταγμένη ἐστὶ, σκοπείτω πᾶς ἄρχων, πῶς σκοπὸς ἔσται καὶ Θεοῦ προφήτης (50). Ἔσται δὲ, εἰ καὶ τοῖς ἄλλοις διαγγέλλῃ [*f.* λλει] τὸ δίκαιον ἐν ταῖς κρίσεσι, καὶ αὐτὸς τοῦτο τηρεῖ ἐν ταῖς πράξεσιν· εἰ δὲ μὴ, παγὶς ἔσται, καὶ αὕτη σκολιὰ, διὰ τὸ σχῆμα τῆς ὑπουλότητος.

A hunc locum sic accipere maluerunt : Ipsi Ephraim multos habenti deos speculator et propheta cum quolibet deo constitutus est. Alii enim cultores et vates fuerunt Astartes, alii ipsius Chamos, alii alius. Eapropter laqueus intricatus super omnes vias ejus : hoc est, propterea erravit, et rectam divinæ cognitionis et virtutis semitam amisit. Pharisæi quoque speculatores constituti Israeli, præ se quidem ferebant speciem prophetarum Dei, populum vero illaqueabant incurvum exsistentem. Subinde etiam alii facti sunt, qui Dominum sermone captioso irretire conabantur, non recta accedentes ipsum. Quod si omnis potestas a Deo ordinata est [38], consideret et videat quilibet princeps, quomodo sit speculator et propheta Dei. B Erit autem si et aliis justum in judiciis denuntiet, ac[] in operibus suis illud ipsum etiam servet : sin minus, laqueus est tortuosus (51).

Μανίαν ἐν οἴκῳ Κυρίου κατέπηξαν. Οὐ μόνον ἐν ταῖς ἄλλαις, φησὶ, πόλεσιν εἴδωλα ἔστησαν, ἀλλὰ καὶ εἰς τὸν ναὸν τοῦ Θεοῦ βδελύγματα κατέπηξαν· ταῦτα γὰρ ὠνόμασε μανίαν, ὡς ὑπὸ παραφροσύνης καὶ μανίας καὶ ἐκστάσεως γινόμενα. Ἡ μανίαν, ὡς ἀνωτέρω εἴρηται, τὴν ψευδῆ προφητείαν λέγει, ἣν ἐν τῷ οἴκῳ Κυρίου, τουτέστι τῷ λαῷ, κατέπηξαν, καὶ βεβαίαν καὶ μόνιμον ἔστησαν· οὐ γὰρ ἤθελξαν ψευδοπροφήτας ἔχοντες. Οἶκος τοῦ Κυρίου καὶ ἡ Θεοφόρος σὰρξ, ἐν ᾗ τὴν μανίαν αὐτῶν κατέπηξαν οἱ σταυρώσαντες αὐτὸν, παθόντα ὑπὲρ ἡμῶν σαρκί. Οἶκος Κυρίου καὶ ὁ νοῦς ἡμῶν, ἐν ᾧ μανίαν πηγνύομεν, ὅτε βλέπομεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς, περὶ τὸν μάταιον τοῦτον βίον λυττῶντες. Μανία ὁ ἔρως, μανία ὁ θυμὸς, μανία ἡ παρ' ἑκάστην ἡδονὴν ὁρμή.

Insaniam in domo Domini fixerunt. Nedum, inquit, in cæteris civitatibus idola statuerunt, verumetiam in templum Dei exsecrationes infixerunt : has enim nominavit insaniam, ceu a dementia, insania et stupore factas ; vel insaniam, ut supra memoratum, vanam prophetiam appellat quam in templo Domini, hoc est, populo collocarunt, et firmam et stabilem faciendo : non enim desierunt habere pseudoprophetas. Domus Dei caro etiam Deifera est, in qua insaniam suam infixerunt, cruci affigentes passum pro nobis in carne. Domus Domini est peræque mens nostra, in qua insaniam C infigimus, dum oculos nostros flectimus in vanitates et insanias falsas [39], circa vanam hanc vitam in rabiem adacti furentesve. Insania est amor, insania est ira, insania est ad qualemcunque voluptatem immundam impetus.

Διεφθάρησαν κατὰ τὰς ἡμέρας τοῦ βουνοῦ, μνησθήσεται ἀδικιῶν αὐτῶν, ἐκδικήσει ἁμαρτιῶν [f. τίας] αὐτῶν. Ἐξ οὗ δὴ τοῖς βουνοῖς προσέσχον, καὶ τὰς ἐκεῖσε γινομένας θυσίας ἠγάπησαν, διεφθάρησαν τὰς ψυχάς. Καὶ τέως μὲν ἀνεξικακῶν ἦν ὁ Θεός· νῦν δὲ τὴν ἐκδίκησιν ποιήσεται, πασῶν τῶν ἡμερῶν ἐκείνων τὰς δίκας ἀπαιτῶν. Ἢ καὶ ἱστορίας ἡμᾶς ἀναμιμνήσκει παλαιοτέρας. Γαβαὰ γὰρ πόλις ἦν Βενιαμὶν, ἥτις *βουνὸς* ἑρμηνεύεται. Ἐν ταύτῃ Λευΐτου τινὸς ὁδίτου καταλύσαντος, συνελθόντες οἱ τῆς πόλεως ἐκείνης παράνομοι, τὴν γυναῖκα τούτου λαβόντες, διὰ πάσης νυκτὸς ἐνύβριζον αὐτῇ. Τέλος ἡ μὲν ἐτεθνήκει αὐτοῦ, κατὰ τὴν νύκτα ἐκείνην· ὁ δὲ ταύτης ἀνὴρ καταδιελὼν τὸν νεκρὸν αὐτῆς εἰς μέλη, διέπεμψε ταῖς φυλαῖς, ὑποδεικνὺς αὐταῖς τὸ μῖσος [*f.* μῦσος]. Οἱ δὲ ζηλώσαντες, ἀνέβησαν κατὰ τῆς Βενιαμὶν φυλῆς ἐν τῇ Γαβαᾷ, τουτέστι τῷ βουνῷ· καὶ ἅπαξ μὲν καὶ δὶς συμβαλόντες, ἡττήθη-

Vers. 9. *Corrupti sunt juxta dies collis, recordabitur injustitias eorum, ulciscetur sese de peccatis ipsorum.* Quia collibus applicuerunt 84 se, illicque facta sacrificia dilexerunt, corrupti sunt animabus suis : et hactenus quidem toleravit ea mala Deus, nunc vero ultionem sumet de omnibus diebus iniquitatis illorum. Vel vetustioris historiæ mentionem nobis ad memoriam revocat. Nam Gabaa civitas erat Benjamin, quæ *Collis* valet, si quis traducat D in nostram linguam. In hac, cum Levita quispiam transiens, diversorio uteretur, ut fit, per noctem convenientes scelerosi urbis illius incolæ, uxore ejus rapta, per totam noctem impure abusi sunt, adeo ut illic tandem moreretur ea plane nocte. Hic maritus, corpus, seu cadaver conjugis suæ membratim dissectum, reliquis tribubus allegavit, commissum illis flagitium ostendens [40]. Quæ ardentes indignitate sceleris, ascenderunt contra Benja-

[38] Rom. XIII 2. [39] Psal. XXXIX, 5. [40] Judic. XIX, 29.

Variæ lectiones et notæ.

(50) Προφήτης, καὶ πῶς ἄρχων, *Propheta, et quomodo princeps.* Cod. Ven.

(51) *Sin minus, laqueus est tortuosus ob figuram simulationis*, vel ut habet cod. Ven. ὑποκρίσεως Cod. Bav.

Digitized by Google

min tribum, in Gabaa, hoc est, colle, ubi semel atque iterum collatis signis dimicando victi sunt et corrupti, (52) non ferente auxilium Domino contra Benjaminitas, qui tantum flagitii designaverant : juxta cæterarum tribuum populo indicando, quod et ipsi suppliciis digni sint, eoque in mortem traduntur, quod ipsi iniqui cum essent, iniquos punire volebant. At vero tandem clamantes ad Deum profusis lacrymis, confortati sunt, ac resumptis viribus Benjaminitas debellarunt. Proinde ait, quod quemadmodum in colle Gabaa perierunt et hi et illi, sic interibunt Juda duæ tribus et Ephraim decem, inter se mutuo intricatæ. Contigerunt hæc, quando Joas rex decem tribuum venit ad Amasiam regem Judæ, et abstulit partem de mœnibus Hierosolymorum.

A σαν, καὶ διεφθάρησαν, οὐ βοηθοῦντος τοῦ Θεοῦ τῷ Βενιαμὶν, ὡς καλῶς δράσαντι, ἄπαγε! ἀλλὰ τῷ λαῷ τῶν ἄλλων φυλῶν δεικνύοντος, ὅτι αὐτοὶ κολάσεώς εἰσιν ἄξιοι, καὶ διὰ τοῦτο θανάτῳ παραδίδονται, διότι παράνομοι ὄντες, ἐσχημάτιζον παρανομίας ἐκδικεῖν. Τέλος μέντοι κλαύσαντες πρὸς Θεὸν, ἐνίσχυσαν καὶ κατεπολέμησαν τοὺς ἐν Βενιαμίν. Φησὶν οὖν, ὅτι ὥσπερ ἐν τῷ βουνῷ τῇ Γαβαᾷ διεφθάρησαν καὶ οὗτοι κἀκεῖνοι, οὕτω διαφθαρήσονται αἵ τε τοῦ Ἰούδα δύο φυλαὶ, καὶ αἱ τοῦ Ἐφραΐμ δέκα, συμπλακεῖσαι ἀλλήλαις. Ἐγένετο δὲ ταῦτα, ὅτε Ἰωᾶς βασιλεὺς τῶν δέκα φυλῶν ἦλθεν ἐπὶ τὸν Ἀμασίαν (53) βασιλέα Ἰούδα, καὶ καθεῖλε μέρος τοῦ τείχους τῶν Ἱεροσολύμων.

B

Vers. 10. *Tanquam uvam in deserto inveni Israelem et veluti scopum in ficu præcocem, patres ipsorum vidi. Ingressi sunt ad Beelphegor, abalienatique sunt ad ignominiam. Et facti sunt dilecti, ceu exsecrati.* Ob oculos hic ponit, quod non injuria eos tradat in perniciem. Ego enim, inquit, veluti si quis in deserta terra, et prorsum vacante plantis, reperiat uvam, vel ficum in arbore ficu præcoquam, cum minime modica voluptate ea decerpit . sic ego, inquam, ipse aliis hominibus in impietate spiritum ducentibus, Abrahami et ab illo descendentium patriarcharum repertas virtutes collegi, eorumque mihi posteros assumpsi : atenim ex ipsis hi progeniti, haudquaquam eos imitati sunt, verum traditis oblivioni beneficiis meis, Beelphegoro servierunt, abalienatique sunt, hoc est, defecerunt a me ad contumeliam sui. Re namque vera pudor et ignominia eorum talis deus Beelphegor erat, quod jam olim dilecti mihi propter patres, facti sint per propriam suam impietatem veluti exsecrati Moabitæ ; illorum enim idolum coluerunt. Scopum autem, hoc est, metam et speculam, appellat præcocem ficum, quod omnes eam speculentur, ceu primo **85** prodeuntem. Ac Deicidæ, qui antea quidem dilecti fuerunt Deo propter patres, nunc exsecrabiles facti sunt, eoque abalienati sunt, non æmulantes patrum suorum virtutem, fabricantes crucem ad ignominiam Christi, unde introierunt ad principem abominationis, toti illius dominatui subditi, familiaritatem ejus consecuti : hoc enim est ingredi. Porro nusquam volens mortem peccatoris Dominus, in anima destituta ab omni bono fructu, invenit cogitationem aliquam Israeliticam ac cœlestia spirantem , adeoque divinis contemplationibus dignam, ceu uvam, veræ vitis propaginem, quæ per angustam viam expressa, vinum proferet compunctionis. Præterea in ficu, voluptaria dico vita,

Ὡς σταφυλὴν ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραὴλ, καὶ ὡς σῦκον (54) ἐν συκῇ πρώϊμον πατέρας αὐτῶν εἶδον. Αὐτοὶ εἰσῆλθον πρὸς τὸν Βεελφεγὼρ, καὶ ἀπηλλοτριώθησαν εἰς αἰσχύνην, καὶ ἐγένοντο οἱ ἠγαπημένοι ὡς ἐβδελυγμένοι. Δείκνυσιν, ὅτι δικαίως αὐτοὺς παραδίδωσι τῇ φθορᾷ. Ἐγὼ μὲν γὰρ, φησὶν, ὥσπερ εἴ τις ἐν ἐρήμῳ γῇ, καὶ παντελῶς ἐστερημένῃ φυτῶν, εὕροι σταφυλὴν, ἢ σῦκον πρώϊμον ἐν συκῇ, καὶ μετὰ πολλῆς αὐτὰ δρέπεται τῆς ἡδονῆς· οὕτω καὶ αὐτὸς, τῶν ἄλλων ἀνθρώπων δυσσεβείᾳ συζώντων, τὰς τοῦ Ἀβραὰμ καὶ τῶν ἀπ' ἐκείνου πατριαρχῶν ἀρετὰς εὑρὼν, ἐξελεξάμην αὐτούς· οὗτοι δὲ ἐξ ἐκείνων φύντες, οὐδαμῶς ἐκείνους ἐζήλωσαν, ἀλλὰ τῶν εὐεργεσιῶν μου ἀμνημονήσαντες, τῷ Βεελφεγὼρ ἐλάτρευσαν, καὶ ἀπηλλοτριώθησαν, τουτέστιν, ἀπέστησαν, ἀπ' ἐμοῦ, εἰς αἰσχύνην αὐτῶν. Αἰσχύνη γὰρ καὶ ὕβρις αὐτῶν ἦν τῷ ὄντι ὁ τοιοῦτος θεὸς Βεελφεγώρ. Διὸ οἱ πάλαι μοι ἠγαπημένοι διὰ τοὺς πατέρας, ἐγένοντο διὰ τὴν οἰκείαν ἀσέβειαν, ὡς οἱ ἐβδελυγμένοι Μωαβῖται· τῷ γὰρ τούτων εἰδώλῳ ἐλάτρευσαν. Σκοπὸν δὲ ὀνομάζει τὸ πρώϊμον σῦκον, ὃ πάντες ἀποσκοποῦσιν, ὡς πρῶτον φανέν (55). Καὶ οἱ θεοκτόνοι δὲ οἱ ἠγαπημένοι πρὶν τῷ Θεῷ διὰ τοὺς πατέρας, ἐγένοντο βδελυκτοὶ, διότι ἀπηλλοτριώθησαν καὶ τῶν πατέρων, μὴ ζηλώσαντες τὴν ἐκείνων ἀρετὴν, καὶ τοῦ Θεοῦ, καὶ ἐτέκτηναν τὸν σταυρὸν εἰς αἰσχύνην Χριστοῦ· διότι εἰσῆλθον πρὸς τὸν ἄρχοντα τῆς βδελυρίας, ὅλοι ἐκείνου γενόμενοι, καὶ οἰκείωσιν σχόντες πρὸς αὐτόν· τοιοῦτον γὰρ τὸ εἰσελθεῖν. Καὶ ἑκάστοτε δὲ ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ Κύριος, ἐν ψυχῇ ἐρήμῳ παντὸς ἀγαθοῦ καρποῦ, εὑρίσκει λογισμόν τινα Ἰσραηλίτην καὶ εὐγενῆ, καὶ τοῦ τὰ θεῖα θεωρῆσαι ἄξιον, ὡς σταφυλὴν τῆς ἀληθινῆς ἀμπέλου γέννημα, ὃς ἀποθλιβεὶς διὰ τῆς στενῆς ὁδοῦ, οἶνον γεννήσει τὸν τῆς κατανύξεως. Καὶ ἐν τῇ συκῇ δὲ, τῇ εὐηδόνῳ, φημὶ, ζωῇ, εὑρίσκεταί τις τῷ Θεῷ,

Variæ lectiones et notæ.

(52) *Non ferente Deo auxilium Benjamin, quasi hic bene egerit, absit, sed ostendente aliarum tribuum populo ipsos esse supplicio dignos, quod, etc.* Ita sonant Græca verba.

(53) Ἀμεσίαν Ἰούδαν, *Amesiam Judam.* Cod. Bav.

(54) Addendum σκοπόν, ut ex sequenti commentario et Lonicero interpretatione liquet.

(55) Φάναν. Cod. Bav.

Digitized by Google

ὃς πρώϊμος σκοπὸς γίνεται πρὸ τῆς τελευταίας ἡμέρας ἐκείνης, ἀποσκοπῶν τὰ μέλλοντα, καὶ πρὸς ἐκεῖνα παρασκευαζόμενος, καὶ πατὴρ ἑτέροις καὶ ἀρχηγὸς θειοτέρας ζωῆς καθιστάμενος. Ἀλλὰ προσακτέον [*f.* προσεκτ.] αὐτῷ, μήποτε τῷ Βεελφεγὼρ καὶ τῷ τῆς ἀκαθαρσίας δαίμονι τελεσθῇ, καὶ τὰ τῆς αἰσχύνης ἔργα μετιὼν ἀπαλλοτριωθῇ Θεοῦ, καὶ γένηται ὁ πρὶν ἠγαπημένος, ὡς οἱ ἐδδελυγμένοι, οἱ πορνεύσαντες δηλαδὴ τότε, ὅτε Φινεὲς τὸν Ἰσραηλίτην τῇ Μαδιανίτιδι συνεκέντησε. Κἀκεῖνοι γὰρ, ὥς φησιν ἡ Γραφὴ, τῷ Βεελφεγὼρ ἐτελέσθησαν.

Ἐφραὶμ ὡς ὄρνεον ἐξεπετάσθη. Ὀξέως, φησὶν, ἀπέπτη ἀπ' ἐμοῦ, μὴ ζηλώσας τοὺς πατέρας ἐκείνους. Ἢ ὅτι ταχέως εἰς αἰχμαλωσίαν ἀπαχθήσεται.

Αἱ δόξαι αὐτῶν ἐκ τόκων καὶ ὀδυνῶν καὶ συλλήψεων, διότι καὶ ἐὰν ἐκθρέψωσι τὰ τέκνα αὐτῶν, ἀτεκνωθήσονται (56) *ἐξ ἀνθρώπων, διότι καὶ οὐαὶ αὐτοῖς ἐστι.* Ἀτεκνωθήσονται (57), φησὶ, ταχέως, διότι οὐκ ἠθέλησαν δοξάζεσθαι ἐν ἐμοὶ, καὶ τῇ ἐμῇ βοηθείᾳ· ἀλλὰ δόξαν ἠγήσαντο τὴν πολυτεκνίαν, οἰόμενοι τάχα ἐκ πολυπληθείας ὑπερισχύειν. Ἀλλὰ μάτην τοιαῦτα ἤλπισαν· καὶ γὰρ ὅταν ἐκθρέψωσι τὰ τέκνα αὐτῶν, καὶ ἤδη εἰς ἡλικίαν αὐτὰ ἀδρύνωσιν, ὁ πόλεμος ἐπελθὼν, ἀτεκνώσει αὐτοὺς, καὶ εἰς (58) κενὸν ὑποστήσονται τοὺς ἐπὶ τῇ παιδοτροφίᾳ πόνους.

Διὰ τί δὲ ταῦτα αὐτοῖς ἔστι; Διότι αὐτοῖς ἐπέρριψα τὸ οὐαί. Τοῦτο δὲ γέγονε, διότι ἐγκατέλιπον αὐτοὺς, καὶ ἐγκαταλειφθέντες, ἄξια τοῦ οὐαὶ εἰργάσαντο. Ἐγὼ δὲ ὅταν ἐννοήσω, πῶς οἱ ἄνθρωποι πάντα συλλαμβάνομεν, καὶ πάντας πόνους καὶ ὠδῖνας φροντίδων ὑπομένομεν, διὰ τὴν καταργουμένην τοῦ κόσμου δόξαν, καὶ περὶ ἡμῶν ταῦτα λέγεσθαι δοκῶ. Διὸ καὶ ὅσα ἂν ἔργα ὡς τέκνα ἐκτρέφωμεν, πρὸς δόξαν ἀφορῶντες ἀνθρωπίνην, οὐκ ἀπολαύομεν αὐτῶν, ἀλλὰ διαφθείρομεν ταῦτα, ἐνταῦθα τὸν μισθὸν ἀπέχοντες. Τάχα δὲ καὶ τὸ οὐαὶ ἔχομεν, ὡς ὑπερόπται τῆς ἐντολῆς τῆς κελευούσης μηδὲν ποιεῖν πρὸς δόξαν ἀνθρωπίνην.

Σὰρξ μου ἐξ αὐτῶν. Ὡς ἀπὸ τοῦ Μονογενοῦς δοκεῖ ταῦτα λέγεσθαι. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι *Ἀτεκνωθήσονται*, φησὶν, ὅτι Οὐκ εἰς τὸ παντελὲς ἐξολοθρεύσω αὐτοὺς, διότι ἡ σάρξ μου, ἣν προσλήψομαι, ἐξ αὐτῶν ἔσται. Ὅθεν καὶ ὁ Παῦλος εἶπεν· *Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα.* Ἢ καὶ οὕτως νοήσεις· Ὁ προφήτης ἀκούσας τὰς ἀπειλὰς τοῦ Θεοῦ, τὰς κατὰ τοῦ Ἰσραὴλ, εὔχεται μήτε αὐτὸς, μήτε οἱ κατὰ σάρκα αὐτοῦ συγγενεῖς, κοινωνῆσαι αὐτοῖς τῆς ὀργῆς. Διὸ καί φησι· *Σὰρξ μου ἐξ αὐτῶν*, τουτέστιν, Ἔξω

A invenitur quispiam a Deo, qui præcox speculator sit, ante extremum illum diem futura prævidens, ad eaque sese præparans, pater aliis ac dux divinioris vitæ constitutus. Atqui hic animadvertendum ne fors Beelphegoro, impuritatis dæmoni initietur, operaque ignominiæ aggressus, abalienetur a Deo, fiatque antea dilectus, tanquam exsecrati, nimirum qui fornicati sunt tum, cum Phinees Israelitam cum Madianitide transfixit. Nam et illi, ut Scriptura testimonium dicit, Beelphegor initiati fuerunt [61].

Vers. 11. *Ephraim veluti avis evolavit.* Celeriter, inquit, defecit a me, non secutus patres illos suos. Vel quod celeriter ad captivitatem abducetur.

B Vers. 11, 12. *Gloriæ ipsorum ex partu, doloribus et conceptionibus. Propterea etiamsi educaverint liberos suos, orbabuntur illis confestim quia væ est illis.* Quoniam noluerunt glorificari per me et auxilium meum, sed enim gloriam suam æstimarunt numerosam sobolem, putantes forsan ex tali suorum copia sese robustiores futuros, nequicquam hujusmodi sperarunt. Etenim quando educaverint liberos suos, jamque virilis eos ætas firmaverit, bellum adventans talibus eos filiis spoliabit, ideoque nequicquam labores propter liberorum educationem sustinebunt.

Hinc ipsis dolor et calamitas eveniet. Quid ita? Quia relinquentes liberos suos, et ab ipsis relicti, C non parum ærumnarum sunt passi. Ego vero quando mecum expendo, quomodo mortales nos omnia occupamus, nullos non labores et sollicitudinum dolores sustinemus, propter perditam hujus mundi gloriam, de nobis hæc dici existimo, quod bonis operibus, quæcunque ceu liberos educamus proferimusque, ad gloriam respicientes humanam, non fruamur, sed perdamus potius, hic mercedem nostram auferentes [62]. Partim etiamve, adeoque ærumnam etiamnum sentimus, ceu negligentes mandati: **86** Nihil faciatis ad humanam gloriam.

Caro mea ex ipsis. De Unigenito hæc Dei Filio accipienda videntur. Cum enim dixisset, *Orbabuntur sobole sua*, jam adjicit, Non tamen omnino D eos exscindam perdamve: nam caro mea quam assumam, ex ipsis erit. Unde et Paulus ait: *Ex quibus Christus secundum carnem* [62]. Atqui hoc etiam pacto intelligere licet: Auditis propheta minis Dei adversus Israelem, precatur, ne vel ipse, vel sui contribules, et secundum carnem congeneres, sint participes futuræ istius iræ. Propterea inquit,

[61] Psal. cv, 28. [62] Matth. vi, 2. [62] Rom. ix, 5.

Variæ lectiones et notæ.

(56) *Orbabuntur illis ab hominibus, quoniam et væ ipsis est.* Sic habet cod. Bav. Codex vero Ven. διότι ἀφῆκαν αὐτούς, *quoniam dereliquerunt ipsos.* Commentarius vero sic incip. *Orbabuntur, ait, filiis statim, quoniam noluerunt*, etc.

(57) Αἰχμαλωτισθήσονται, *captivi fient.* Cod. Ven.

(58) *Nequidquam labores filiis educandis sustinebunt. Cur vero hæc illis evenient? Quoniam væ ipsis injeci; idque, propterea quod dereliquerunt eos, atque derelicti, talia facinora patrarunt, quæ væ illud meruerunt. Ego vero cum mecum ipse reputo* etc. Sic uterque cod. tum Bav., tum Ven.

Digitized by Google

Caro mea ex ipsis, hoc est, Extra ipsos : longe, quæso, ab ipsis removear, et ego et caro mea, sive cognati et contribules. Cognatos enim Apostolus carnem appellat, cum dicit : *Si quomodo provocem ad æmulandum carnem meam*, hoc est, secundum carnem cognatos mihi Hebræos, *servemque ex eis quosdam* [44]. Non dissimile quiddam David etiam : *Ne simul*, inquiens, *perdas cum impiis animam meam, et cum viris sanguinum vitam meam* [45].

A αὐτῶν, καὶ μακρὰν ἀπ' αὐτῶν γενοίμην κἀγὼ, καὶ ἡ σὰρξ ἡ ἐμὴ, ἤτοι οἱ συγγενεῖς. Σάρκα γὰρ καὶ ὁ Ἀπόστολος τοὺς συγγενεῖς οἶδεν, ὅταν λέγῃ· *Εἴπως παραζηλώσω μου τὴν σάρκα*, τουτέστι, τοὺς κατὰ σάρκα συγγενεῖς Ἑβραίους, *καὶ σώσω τινὰς ἐξ αὐτῶν*. Ὅμοιόν τι καὶ Δαβὶδ λέγει· *Μὴ συναχολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου.*

Vers. 13. *Ephraim quemadmodum vidi, ad venationem exhibuit filios suos. Ephraim præsto est, ut educat liberos suos ad trajectionem.* Hæc veluti ex prophetæ persona dicuntur. Video, inquit, Domine, quod Ephraim, ex quo iniquitates ac scelera commisit, tantum non ipse liberos suos protulerit ad venationem, hoc est, ad captivitatem et trajectionem, hoc est, mactationem seu jugulationem. Quidam enim captivi ducti sunt, alii vero ab hostibus jugulati sunt : itaque neminem alium accuset orbitatis, sed semetipsum. Ad iracundiam enim provocans Deum per impietates suas, ipse hostes adduxit : perinde ac qui Dominum occiderunt, Romanum vindicem accersiverunt. Vel, quia filios suos Ephraim idolis immolabat, et ad venationem et jugulationem destinabat, propterea non immerito sobole sua viduabitur : haud injuria privatus illis, quos idolis injuste ad mactationem, ad victimam, ceu feram quamdam et prædam prodebat, perinde atque ipse ego vidi : nec enim est mendacium hoc. Hisce astipulatur etiam David : *Effuderunt*, inquiens, *sanguinem filiorum suorum et filiarum, quos immolarunt sculptilibus Chanaan* [46]. Pravorum etiam dogmatum assertor quispiam factus, multos tales liberos, per verbum sectæ suæ, ad jugulationem, quam animabus suis patiuntur, tradit ; prius tamen ad venationem : nam si quando germani Ecclesiæ doctores conantur venari illos, nec voti compotes facti fuerint, tum demum mactant Ecclesiæ eos, anathematis hasta quidem auferentes.

Ἐφραὶμ, ὃν τρόπον εἶδον, εἰς θήραν παρέστη τὰ τέκνα αὐτῶν, καὶ Ἐφραὶμ τοῦ ἐξαγαγεῖν εἰς ἀποκέντησιν τὰ τέκνα αὐτοῦ. Καὶ ταῦτα ὡς ἐκ προσώπου τοῦ προφήτου λέγονται. Ὡς βλέπω γὰρ, φησὶν, ὦ Κύριε, ἐξ ὧν ἔπραξεν ἀδικημάτων καὶ ἀσεβημάτων ὁ Ἐφραὶμ, μονονουχὶ αὐτὸς παρέστησε B τὰ τέκνα αὐτοῦ εἰς θήραν, τουτέστιν αἰχμαλωσίαν, καὶ εἰς ἀποκέντησιν, ὅ ἐστιν εἰς σφαγήν. Οἱ μὲν γὰρ ᾐχμαλωτίσθησαν, οἱ δὲ ἀπεσφάγησαν ὑπὸ τῶν πολεμίων· ὥστε μηδένα ἄλλον αἰτιάσθω τῆς ἀτεκνίας, ἀλλ' ἑαυτόν. Παροξύνας γὰρ τὸν Θεὸν διὰ τῶν ἀσεβειῶν αὐτοῦ, αὐτὸς τοὺς πολεμίους ἐπηγάγετο, ὥσπερ καὶ οἱ τὸν Κύριον ἀποκτείναντες. Ἢ καὶ ὅτι τὰ τέκνα αὐτοῦ τοῖς εἰδώλοις ἔθυε, καὶ εἰς θήραν καὶ εἰς ἀποκέντησιν παρίστα· διὸ εὐλόγως ἀτεκνωθήσεται, τούτων στερούμενος ἐνδίκως, ἃ αὐτὸς τοῖς εἰδώλοις ἀδίκως εἰς σφαγὴν, ὥσπερ τινὰ θήραν καὶ ἄγραν, προῆτο, καθὰ δὴ καὶ αὐτὸς εἶδον· καὶ οὐκ ἔστι πάντως ψεῦδος τοῦτο. Τούτοις μαρτυρεῖ καὶ Δαβὶδ, *Ἐξέχεαν*, λέγων, *αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων, ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν.* C Καὶ ὁ πονηρῶν δογμάτων διδάσκαλος, γεννῶν πολλοὺς διὰ τοῦ λόγου, τὰς ψυχὰς τῶν τοιούτων τέκνων εἰς ἀποκέντησιν παριστᾷ· πρότερον μέντοι εἰς θήραν· οἱ γὰρ τῆς Ἐκκλησίας διδάσκαλοι ἐπιχειροῦντες θηράσαι τούτους, εἴπερ ἀποτύχωσι, τηνικαῦτα ἀποκεντοῦσι, τῆς Ἐκκλησίας αὐτοὺς ἀποδιαιροῦσιν τῷ τοῦ ἀναθέματος δόρατι.

Vers. 14. *Da ipsis, Domine. Quid dabis ipsis ? Matricem sterilem, siccasque mammas.* Quia, inquit, in prolis suæ exuberantia confidunt, tanquam per eam, propter multitudinem, adversus hostes prævaleant, ac ideirco auxilium tuum aspernentur, nihil **87** omnino pariant, sint plane infecundæ ipsorum uxores. Si vero pariant, non lactent, non educent, sed ante tempus absumantur proles : sic fiet, ut tollendorum liberorum spe orbati, te auxiliatorem suum invocabunt. Hæc propheta precatur ipsorum etiam cura tactus, veluti amans fratrum suorum, ut ne pariant impios liberos, neque educent : ac pro divina gloria æmulatur, ceu amans Dei. Præterea cuivis peccatorum matrix est, in qua concipitur in peccatis, secundum id, quod dictum est : *Abalienati sunt peccatores a ma-*

Δὸς αὐτοῖς, Κύριε. Τί δώσεις αὐτοῖς ; Μήτραν ἀτεκνοῦσαν, καὶ μαστοὺς ξηρούς. Ἐπειδὴ, φησὶν, ἐπὶ τῇ πολυτεκνίᾳ θαῤῥοῦσιν, ὡς ἐν τοῖς πολεμίοις ἀπὸ πλήθους κατισχύσοντες, καὶ διὰ τοῦτο τῆς σῆς ἐπικουρίας καταφρονοῦσι, μηδὲ τικτέτωσαν ὅλως D αἱ παρ' αὐτοῖς γυναῖκες. Κἂν τέκοιεν δὲ, μὴ θηλαζέτωσαν, ἀλλὰ πρὸ ὥρας δαπανάσθωσαν τὰ τέκνα· οὕτω γὰρ τῶν ἐπὶ τοῖς τέκνοις ἐλπίδων ἀποπεσόντες, σὲ βοηθὸν ἐπικαλέσονται. Ταῦτα δὲ ὁ προφήτης εὔχεται, καὶ αὐτῶν (59) κηδόμενος, ὡς φιλάδελφος, ἵνα μὴ τίκτωσιν ἀσεβεῖς παῖδας, μηδὲ τρέφωσι· καὶ ὑπὲρ τῆς θείας δόξης ζηλῶν, ὡς φιλόθεος. Ἔστι καὶ (60) παντὶ ἁμαρτωλῷ μήτρα, ἐν ᾗ συλλαμβάνεται ἐν ἀνομίαις, κατὰ τὸ εἰρημένον· *Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας.* Τίς δὲ αὕτη; Ἡ ἑκάστης ἁμαρτίας πρώτη ὑπόθεσις· τῆς πορ-

[44] Rom. xi, 14. [45] Psal. xxv, 9. [46] Psal. cv, 38.

Variæ lectiones et notæ.

(59) Αὐτὸς, *ipse*. Cod. Bav. (60) Ἔτι δὲ καὶ, *adhuc autem et* Cod. Bav.

Digitized by Google

νεία, τὸ ἐμβλέψαι· τοῦ φόνου, τὸ θυμωθῆναι. Μαστοὶ δὲ ἀνατρέφοντες τὸ κακὸν ἔγκονον [ἔκγον.?], οἱ συνηγοροῦντες τῇ ἁμαρτίᾳ λογισμοί τε καὶ λόγοι, δι' ὧν ἀδρύνεται. Εὐχὴ οὖν ἀξία προφητικῆς ψυχῆς τὸ μήτε τοιαύτας μήτρας τίκτειν, μήτε μαστοὺς τοιούτους πηγάζειν. Καὶ τοῖς Θεοκτόνοις δὲ καὶ ἡ μήτρα ἄτεκνος, ἡ νομοθεσία τοῦ γράμματος, καὶ οἱ προφητικοὶ λόγοι ξηροί.

Πᾶσαι αἱ κακίαι τῶν ἐν Γαλγάλ, ὅτι ἐκεῖ ἐμίσησα αὐτοὺς διὰ τὰς κακίας τῶν ἐπιτηδευμάτων αὐτῶν. Ἐκ τοῦ οἴκου μου ἐκβάλλω [*vulg.—βαλῶ*] *αὐτούς.* Ἐπειδὴ ἐν Γαλγάλοις μάλιστα ἐδυσσέβουν, τούτων μέμνηται, καί φησι· Διὰ τὰ ἐκεῖ πραττόμενα, ἐμίσησα αὐτούς. Διὸ καὶ τοῦ οἴκου μου ἐκβαλῶ αὐτούς, ἢ τῆς Παλαιστίνης, ἣν ἔσχον, ὡς οἶκον, παρ' ἐμοῦ δοθέντα αὐτοῖς, ἢ τοῦ ναοῦ μου· μετοικιῶ γὰρ αὐτούς.

Καὶ οὐμὴ προσθήσω τοῦ ἀγαπῆσαι αὐτούς. Οὐκ αὐτοὺς ἀνήγαγον, ἀλλὰ τοὺς ἐκγόνους αὐτῶν· ὥσπερ καὶ τὴν γῆν τῆς ἐπαγγελίας ὑπέσχετο μὲν τοῖς ἐν Αἰγύπτῳ δώσειν· ἐπεὶ δὲ ἐξελθόντες ἐγόγγυζον, αὐτοὶ μὲν ἀπώλοντο ἐν τῇ ἐρήμῳ, οἱ δὲ παῖδες αὐτῶν ἀπέλαβον ταύτην. Πλὴν εἰ καὶ αὐτοὺς τούτους ἠγάπησεν, οὐδὲν θαυμαστόν. Σκοπήσας γὰρ, εὑρήσεις τὴν προφητείαν μεστὴν ἀπειλῶν, καὶ οὐ ἀγαθῶν ἐπαγγελιῶν. Ὡς γὰρ ἐν προοιμίοις εἴρηται, διὰ τοῦτο ἀπειλεῖ Θεὸς, ἵνα βελτιωθῶσιν οἱ ἀκούοντες, καὶ βελτιωθέντων, οὐκ ἐπάγονται τὰ ἀπειλούμενα· μὴ βελτιωθέντων δὲ, πάντως ἐπάγονται. Ταῦτα προδήλως καὶ τοῖς Θεοκτόνοις οἰκεῖα· καὶ γὰρ αὐτοὶ ἐκβέβληνται τοῦ οἴκου· τοῦτο μὲν, ἐκ μέρους, ὅτι ἐξέβαλεν ὁ Κύριος ἔξω τοῦ ἱεροῦ τοὺς ἐμπόριον ποιοῦντας τὸν οἶκον τοῦ Πατρὸς αὐτοῦ· τοῦτο δὲ, καθόλου σύμπαντες ὕστερον, ὅτε τὸν ναὸν καθεῖλε, καὶ οὐκέτι προσέθετο ὁ Θεὸς ἀγαπῆσαι αὐτούς. Ἔφθασε γὰρ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς συνέκαμψεν, εἰς δουλείαν αὐτοὺς παραδοὺς, διότι πᾶσαι αἱ κακίαι αὐτῶν εἰς Χριστὸν ἐξεμετρήθησαν, ὃν ἀπὸ τῆς Γαλιλαίας ἔλεγον γεγενῆσθαι [*f.* γεγεννῆσθ.] ὑβρίζοντες. *Ἐρεύνησον* γὰρ, φησὶ, *καὶ ἴδε, ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται.* Ἐπὶ δὲ τὸ Γαλγὰλ *κατακυλισμὸς* (61) ἑρμηνεύεται, ὅρα, ὅτι ὅταν κατακυλιώμεθα ἐπὶ τὰ κάτω (62), μὴ τὰ ἄνω φρονοῦντες, οὗ ὁ Χριστὸς, τότε μισούμεθα, καὶ ἐκβαλλόμεθα ἐκ τοῦ οὐρανοῦ, ὅς ἐστιν οἶκος Θεοῦ, δικαίως τοῦτο πάσχοντες, διότι μηδὲ πρὸς οὐρανὸν ἐβλέπομεν (63).

trice [47]. Quæ vero illa est? Cujuslibet peccati prima occasio et objectio : fornicationis, videre : cædis, irasci. Mammæ educantes genitum malum, cogitationes sunt sceleri consentientes et sermones quibus augescit. Proinde precatio est prophetico spiritu digna, ne matrices hasce malignantes pariant, effœtæ factæ, neve ubera producta mala enutriant. Christi quoque occisoribus matrix est sterilis, legislatio nimirum litteræ, propheticique sermones sunt eis aridi.

Vers. 15. *Omnes malignitates ipsorum in Galgal, quoniam illic odi eos, propter malignitates studiorum suorum. E domo mea ejiciam eos.* Quoniam in Galgalis maxime fuerunt impii, horum meminit, et ait : Propter illic admissa facinora, odi ipsos, ac ejiciam eos ex domo mea, vel ex Palæstina, quam pro domo habuerunt a me sibi traditam, vel ex templo meo, alio enim ipsos transferam.

Nec posthac eos diligam. Non enim ipsos ex captivitate reduxit, sed illorum posteros : æque ac terram promissionis in Ægypto agentibus quidem Hebræis daturum se pollicitus est, quæ posteris eorum tandem obtigit. Nam cum egressi murmurarent, in deserto ipsi quidem interierunt, filios eorum promissione excipiente. Atqui etiamsi illos ipsos dilexisset, quos tamen nunquam sese dilecturum nunc ait, nihil mirum esset. Nam si recte intuearis rem, invenies prophetiam referiam minis, ac rursus bonis promissionibus, ut in præfatione dictum. Propterea interminatur, ut audientes emendentur, ac emendata vita sua non adducant, sed potius avertant minas, malave quæ interminatus est Dominus. Nam in eos qui mores et vitam suam non in melius alteraverint, omnino inducuntur mala. Hæc propalam Judæis quoque Christi interemptoribus conveniunt. Etenim et illi ejecti sunt ex domo : primum ex parte, quando ejecit e templo Dominus negotiatores, qui ex Patris sui æde emporium faciebant : deinde in universum omnes : posthac, quando templum diruit, nec amplius eos diligere perrexit : pervenit enim super ipsos ira in finem, et dorsum ipsorum semper inflexit, ad servitutem eos tradens, ut ita omnis ipsorum in Christum malignitas persolveretur, quem ab Galilæa dicebant natum, injuriam illi inferendo. *Scrutare* enim, inquit, *et vide, quoniam propheta ex Galilæa non est excitatus* [48]. Quia vero Galgal *revolutionem* significat, considera, quod quando ad ima terræ hujus devolvimur, cœlestia non spirantes, Scrutare, inquit, quod propheta non est ex Galilæa, sed ex cœlo, quæ est domus Dei: haud injuria hoc patientes quando neque ad cœlestia conspeximus.

[47] Psal. LVII. 4. [48] Joan. VII, 41.

Variæ lectiones et notæ.

(61) Κατακλυσμός. Cod. Ven.

(62) Cod. Ven. et Bav. sic habent : *cœlestia non spectantes ubi est Christus; tum odio habemur, detrudimurque cœlo, quod est domus Dei, merito hoc patientes*, etc. Aliter legisse videtur in suo cod. Lonicerus.

(63) Ἐμβλέπομεν. Cod. Ven.

Digitized by Google

Cuncti principes eorum inobedientes. Quasi dicat: Si subditi tantummodo impii fuissent, forsan pepercissem ipsis, propter principum virtutem, æque atque propter Mosen peperci rursum Israelitis: nunc vero et principes immorigeri sunt mihi. Nec unus modo, vel duo, sed universim omnes. Qui igitur noxam illis condonabo? qui parcam? ecquis mediator stabit?

A

Πάντες οἱ ἄρχοντες αὐτῶν ἀπειθοῦντες. Εἰ μὲν οἱ ὑπὸ χεῖρα μόνοι, φησὶν, ἠσέβουν, ἴσως ἂν ἐφεισάμην αὐτῶν, διὰ τὴν τῶν ἀρχόντων ἀρετήν. ὥσπερ διὰ Μωσῆν ἐφεισάμην πάλιν τῶν Ἰσραηλιτῶν. Νῦν δὲ καὶ οἱ ἄρχοντες ἀπειθοῦσι, καὶ οὐχ εἷς, ἢ δύο, ἀλλὰ πάντες. Πῶς οὖν φείσομαι αὐτῶν; τίς ὑπὲρ τοῦ λαοῦ μεσίτης στήσεται;

Vers. 16. *Laboravit Ephraim, radicibus suis exaruit, ne fructum porro proferat.* Radices regnum appellat. Primum enim vocatis in judicium principibus, nunc radicem et regnum elanguisse dicit, hoc est, marcidam factam et aridam, ut quæ exciderit a mea pinguedine et adjutorio, adeo ut fructum deinceps nunquam sit prolatura. Cum enim in servitutem decem tribus vindicasset Salmanasar, non ultra regnum Ephraim substituit. Vel radicem simpliciter decem tribuum robur accipit, quod arefactum est, quod succensuerit ipsis Deus, ut non ultra fortes liberos progenerarent.

B

Ἐπόνησεν Ἐφραὶμ τὰς ῥίζας αὐτοῦ, καὶ ἐξηράνθη. Καρπὸν οὐκέτι οὐ μὴ ἐνέγκῃ. Ῥίζας (64) τὴν βασιλείαν φησί· προκατηγορήσας γὰρ τῶν ἀρχόντων, νῦν λέγει, ὅτι Αὐτὴ ἡ ῥίζα, καὶ ἡ βασιλεία ἐπόνησε, τουτέστι σαθρὰ γέγονε, ξηρὰ, ἐκπεσοῦσα τῆς ἐμῆς πιότητος καὶ βοηθείας, καὶ καρπὸν οὐκέτι οὐ μὴ ἐνέγκῃ. Μετὰ γὰρ τὸ ἐξανδραποδισθῆναι τὰς δέκα φυλὰς ὑπὸ τοῦ Βαβυλωνίου Σαλμανασὰρ, οὐκέτι βασιλεὺς τοῦ Ἐφραὶμ κατέστη. Ἡ ῥίζαν ἁπλῶς τὴν ἰσχὺν τῶν δέκα φυλῶν φησιν, ἥτις ξηρανθεῖσα, διὰ τὸ ὀργισθῆναι αὐτοῖς τὸν Θεὸν, οὐκέτι παῖδας εὐσθενεῖς ἐξήνεγκε.

Quare si genuerint, interimam desiderabilia ventris eorum. Radix eorum, inquit, universa, adeoque robur ita plane exaruit, ut non amplius sint producturi liberos, qui pro ipsis contra hostem dimicent. Ac si quos genuerint, ego occidam, per prælium eos hostibus tradendo, etiamsi ipsis grati sunt ac delectabiles. Ipsi quidem per sese non sunt digni, ut desiderentur, diligantur ve; verum quatenus sunt ventris eorum propagines, sunt ipsis etiam chari.

Διότι ἐὰν γεννήσωσιν, ἀποκτενῶ τὰ ἐπιθυμητὰ τῆς κοιλίας αὐτῶν. Μάλιστα μὲν, φησὶν, ἡ πᾶσα ῥίζα αὐτῶν, καὶ ἡ ἰσχὺς ἐξηράνθη, καὶ οὐ καρποφορήσουσιν ἔτι τέκνα, δυνάμενα ὑπερμαχεῖν αὐτῶν. Καὶ οὓς δ' ἂν τέκωσιν, ἀποκτενῶ, πολέμῳ παραδοὺς αὐτοὺς τοῖς ἐχθροῖς, καίτοι ἐπιθυμητοὺς αὐτοῖς ὄντας καὶ ἀγαπητούς. Αὐτοὶ μὲν γὰρ καθ' αὑτοὺς, οὐκ εἰσὶν ἄξιοι ἐπιθυμεῖσθαι καὶ ἀγαπᾶσθαι· ὡς δὲ κοιλίας αὐτῶν ὄντες γεννήματα, ἐπιθυμητοί εἰσιν αὐτοῖς.

C

Vers. 17. *Repellet eos Deus, quoniam non audiverunt ipsum, eruntque errones in gentibus.* Repulsis ipsis Deus ex Palæstina, faciet errones captivos, quoniam prænuntiante ipso quæ passuri essent, et morum correctionem requirente non habuerunt fidem, non obtemperarunt. Ecquis non videt Judæorum Synagogam una cum doctoribus suis deflorescentem, non constitutam super patrum majorumve radice, sed effractam arefactamque, nec amplius vel fructum, vel prophetam, vel doctorem proferentem? Sed quæcunque genuerint, vel cogitaverint, ventris sunt desiderabilia. Ex ventre enim ea sonant, non ab ore et Domini Dei omnipotentis, et ea quidem occidentia secundum litteram intellecta, quæ est mortua, et non vivens. Præterea ipsos in gentibus errones constituet, non tantum **89** quod locum ex loco sint commutaturi, verum quod mente etiam sua sint erraturi, id quod inter gentes maxime demonstratur. Gentibus enim susceptis, ipsi non ingredientes, manifestissimi planetæ, seu errones deprehenduntur; quinetiam nos ab ipsis principes constituti: *Constitues* enim, inquit, *principes super universam terram* [69]; et quemadmodum Paulus ait: *Regno inconcusso*

[69] Psal. XLIV, 17.

Ἀπώσεται αὐτοὺς ὁ Θεὸς, ὅτι οὐκ εἰσήκουσαν αὐτοῦ. Ἔσονται πλανῆται ἐν τοῖς ἔθνεσιν. Ἀπωσάμενος, φησὶν, ὁ Θεὸς αὐτοὺς ἐκ τῆς Παλαιστίνης, ποιήσει πλανήτας αἰχμαλωτισθέντας, ὅτι προμηνύοντος αὐτοῖς ἃ πείσονται, καὶ τὴν διόρθωσιν ἐπιζητοῦντος, οὐκ εἰσήκουσαν. Τίς δὲ οὐχ ὁρᾷ καὶ τὴν τῶν Ἰουδαίων Συναγωγὴν, νῦν μετὰ διδασκάλων αὐτῆς ἀπανθοῦσαν, καὶ μὴ ἱσταμένην ἐπὶ τῆς τῶν πατέρων ῥίζης, ἀλλ' ἐκκλασθεῖσαν, καὶ ξηρανθεῖσαν, καὶ μηκέτι καρπὸν ἐνέγκασαν, ἢ προφήτην (65), ἢ διδάσκαλον (66), ἀλλὰ καὶ ὅσα ἂν γεννῶσι καὶ νοῶσι, κοιλίας ὄντα ἐπιθυμήματα; Τὰ γὰρ ἀπὸ κοιλίας φωνοῦσι, καὶ οὐχὶ τὰ ἀπὸ στόματος Κυρίου Θεοῦ παντοκράτορος. Καὶ ταῦτα μὲν ἀποκτεινύμενα, ὡς κατὰ τὸ γράμμα ἐννοούμενα, ὃ νεκρόν ἐστι, καὶ οὐ ζῶν. Καὶ αὐτοὺς δὲ πλανήτας ἐν τοῖς ἔθνεσιν, οὐ μόνον ὡς τόπον ἐκ τόπου ἀμείβοντας, ἀλλὰ καὶ ὡς τὴν κατὰ ψυχὴν πλάνην πλανωμένους, ἥτις ἐν τοῖς ἔθνεσι δείκνυται μάλιστα. Τῶν γὰρ ἐθνῶν εἰσδεχθέντων, αὐτοὶ μὴ εἰσερχόμενοι, ἐναργέστατα πλανῆται εὑρίσκονται. Ἀλλ' ἡμεῖς ἄρχοντες καταστάντες ὑπ' αὐτοῦ (67) (*Καταστήσεις* γὰρ, φησὶν, *αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν*), καὶ ὃ φησι Παῦ-

D

Variæ lectiones et notæ.

(64) Ῥίζαν. Cod. Ven.
(65) Προφήτου, *prophetæ*. Cod. Ven.
(66) Διδασκάλου, *magistri*. Cod. Ven.
(67) Lonicerus in suo cod. legit ὑπ' αὐτῶν, adeoque reddidit *ab ipsis*; sed legendum ὑπ' αὐτοῦ, *ab ipso*, scilicet Christo, ut habet uterque codex, et Bav. et Ven.

Digitized by Google

λος, *Βασιλείαν ἀσάλευτον παραλαβόντες, μὴ ἀπειθῶμεν αὐτῷ, λέγοντι· Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς·* μηδὲ ξηρανθῶσιν αἱ *ῥίζαι* ἡμῶν, ἃς διὰ τοῦ βαπτίσματος ἔσχομεν, Πνεῦμα λαβόντες τὸ ἅγιον, ὃ δίδωσιν ἡμῖν τὴν πρὸς τὸ καρποφορεῖν πιότητα· πᾶς γὰρ βαπτισθεὶς, χάρισμα ἅγιον ἔχει, ὑφ' οὗ ἐνισχύεται πρὸς τὸ τὰς ἐντολὰς κατορθοῦν. Μάλιστα οὖν καλὸν, μὴ ἔχειν ἐπιθυμήματα κοιλίας, ἢ περὶ βρώματα ἐπτοημένους, ἢ ἄλλο τι ἀνθρωπίνων λογισμῶν γέννημα. Εἰ δὲ σχοίημεν, εὐεργετεῖ ἡμᾶς ὁ Θεὸς, ἀποκτιννὺς τοῦτο διὰ τοῦ λόγου αὐτοῦ, ἐν ἡμῖν γινομένου, ὃς ἐστι ζῶν, ἐνεργὴς ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. Πλανᾶται δὲ ἐν τοῖς ἔθνεσι καὶ ὁ ταῖς τῶν ἐθνῶν συνηθείαις προσέχων, καὶ μαντείαις, καὶ ὀρνιθοσκοπίαις (68), καὶ τοῖς ἄλλοις ἔθεσιν αὐτῶν κατακολουθῶν.

ΚΕΦΑΛ. Ι'.

Ἄμπελος εὐκληματοῦσα Ἰσραὴλ, ὁ καρπὸς εὐθηνῶν αὐτῆς, κατὰ τὸ πλῆθος τῶν καρπῶν αὐτοῦ, ἐπλήθυνε θυσιαστήρια. Εἰπὼν, ὅτι *Τὰς ῥίζας αὐτοῦ ἐπόνησε*, καὶ ἄτεκνος ἔσται, φησὶ νῦν, ὅτι καὶ πρώην ἄμπελος ἦν εὐκληματοῦσα, καὶ εἰς πολὺ πλῆθος ἐκταθεῖσα, διὰ τῆς πολυγονίας, ὡς καὶ Δαβὶδ φησιν· *Ἀπὸ θαλάσσης βορείας ἕως θαλάσσης νοτείου ἐκράτει.* Ἀλλ' ὅμως οὐκ ἐχρήσατο τῇ πολυπληθείᾳ εἰς Θεοῦ τιμήν· ἀλλ' ὅσοι ἦσαν, τοσαῦτα καὶ θυσιαστήρια κατέστησαν· (69) ὃ καὶ ἀλλαχοῦ φησιν, ὅτι Κατὰ τὸν ἀριθμὸν τῶν πόλεών σου, Ἰσραὴλ, ἦσαν οἱ θεοί σου· καὶ δικαίως ἐλαττωθήσεται τὸ πλῆθος αὐτῶν.

Καὶ κατὰ τὰ ἀγαθὰ τῆς γῆς αὐτοῦ ᾠκοδόμησε στήλας. Τοῖς τοῦ Θεοῦ ἀγαθοῖς, φησὶν, ἐμπλατυνόμενοι, ἐξύβρισαν εἰς αὐτὸν, καὶ τοῖς εἰδώλοις ᾠκοδόμησαν στήλας οὐκ ἀφιλοτίμους, ἀλλὰ πολυτελεῖς. *Καὶ κατὰ τὰ ἀγαθὰ*, ἃ ἐδίδου αὐτοῖς ὁ Θεὸς, λέγω δὴ τὸ χρυσίον, καὶ τὸ ἀργύριον, καὶ τὴν ἄλλην ὕλην.

Ἐμέρισαν καρδίαν αὐτῶν. Ἀπέσχισαν, φησὶν, ἀπ' ἐμοῦ τὰς καρδίας αὐτῶν, ὥστε μηδεμίαν μοῖραν ἔχειν μετ' ἐμοῦ. Ἢ, ὅτι Ἄλλος ἄλλῳ θεῷ θυσιαστήριον ἀνήγειρον, μερισάμενοι τὰ εἴδωλα, καὶ ἄλλος ἄλλῳ εἰδώλῳ δόντες τὰς καρδίας αὐτῶν.

Νῦν ἀφανισθήσονται. Οὐ μετὰ πολὺν χρόνον, ἀλλὰ, *Νῦν.* Ἕως μὲν γὰρ οὔπω ἐδίδοσαν τὰς καρδίας αὐτῶν τοῖς εἰδώλοις, ἀλλ' ἐπιπολαιότερον ἠσέβουν, μακρὰν ἦν ἀπ' αὐτῶν ἡ ἀπώλεια. Νῦν δὲ ἐπειδὴ τοῦτο οὕτως γέγονε, καὶ ἀπὸ καρδίας ἀσεβεῖ ἕκαστος, ἔφθασεν ἡ ἀπώλεια αὐτῶν.

Αὐτὸς κατασκάψει θυσιαστήρια αὐτῶν, ταλαιπωρήσουσιν αἱ στῆλαι αὐτῶν. Αὐτὸς ὁ Θεὸς (70), ἀφ' οὗ ἀπέσχισαν τὰς καρδίας αὐτῶν, ἢ ὁ Βαβυλώνιος βασιλεύς· καὶ γὰρ αὐτὸς τοὺς βωμοὺς συγκατ-

accepto, ne simus inobedientes dicenti : Tollite jugum meum super vos [50] : neque arescant radices nostræ, quas per baptisma tenemus, accipientes Spiritum sanctum qui dat nobis, ut fructum feramus per ubertatem ; quilibet enim baptismate tinctus, donum sanctum possidet quo confortatur, ut ad mandata sese strenue gerat. Optimum itaque fuerit non habere desideria ventris, vel circa escas occupatos et hærentes, vel aliam quampiam humanarum cogitationum generationem. Sin tenuerimus, beneficium suum impertit nobis Deus, occidens eam per verbum suum in nos transfusum, quod vivax est et efficax, omnique ense penetrantius ancipiti. Errat etiam in gentibus, gentium consuetudinibus sese accommodans, divinitationibus, auspiciis, auguriis, idque genus aliis ipsarum superstitionibus sese dedens.

CAPUT X.

Vers. 1. *Vitis palmites proferens ac gemmas Israel, fructus ejus abundans. Juxta multitudinem fructuum suorum multiplicavit aras.* Dicto quod *Radix ejus elanguisset*, ac sterilis esset facta, nunc subdit, quod et antea vitis ac vinea gemmascens, ac in multam exuberantiam extensa fuerit, propter fecunditatem liberorumque exuberantiam, perinde ac David ait : *A mari septentrionali adusque mare australe imperium tenebat* [51]. Attamen hac partus effusa multitudine non est usus ad Dei gloriam, sed quotquot fuerunt, tot etiam altaria excitarunt, hinc et jure imminuetur ipsorum copia.

Juxta bona terræ suæ ædificavit columnas. Dei bonis, inquit, dilatati et opulenti redditi, injurii in ipsum fuerunt, idolis exstruentes aras haudquaquam viles, sed sumptuosas ac pretiosas, juxta bona quæ dabat eis Deus ; dico autem aurum et argentum aliamque materiem.

Vers. 2. *Partiti sunt corda sua.* Diffiderunt, inquit, a me corda sua, ut nullam mecum partem habeant, vel quod alius alii deo aram excitaverint, partientes idola, et alius alii dantes corda.

90 *Nunc excindentur.* Non post multum temporis, sed *Nunc*. Quandiu enim non dederunt corda sua idolis, et non adeo graviter impii exstiterunt, procul ipsis fuit internecio. At postquam jam quisque corde suo a Deo dissociatus est, irruet super ipsos pernicies.

Ipse suffodiet ac demolietur altaria ipsorum, columnæ eorum in miseriam incident. Ipse nimirum Deus, a quo dissepararunt corda sua, vel rex Babylonius. Nam et ipse altaria succendit in civitati-

[50] II Tim. IV, 3 ; Matth. XI, 29. [51] Psal. LXXI, 8.

Variæ lectiones et notæ.

(68) Ὀρνεοσκοπ.αις. Cod. Bav.

(69) *Quod et alicubi dicit : Juxta numerum civitatum tuarum, Israel, erant dii tui.* Hæc restituimus ex utroque Cod. Ven. et Bav.

(70) Αὐτὸς ἢ ὁ Θεός. Cod. Ven.

Digitized by Google

ius passim, pretiosas columnas diripuit. Vitis etiam palmites et gemmas proferens est, qui nullo in hoc vitæ cursu bono destituitur, sobole fecundus et aliis luxurians. At qui inservit affectibus, cuilibet forsan horum altare constituit, exhibens membra sua serva iniquitati ad iniquitatem, juxta bona terræ suæ, hoc est, quatenus terra ipsius, aut caro delectatur his, et bona ea judicat. Columnas etiam erigit, impermutabilem in quolibet affectu pravo habitum. Ejusmodi partitur etiam cor suum, duobus dominis inserviens. Beneficium vero a Deo accipit, quando altaria ejus demolitur Deus, vel tradens ipsum Satanæ in carnis perniciem, ut spiritus servetur, vel alias in camo et freno maxillas ejus cohibens [88], et contritionem et afflictionem in viis ejus faciens, ut dimoveatur ab habitudine, quam in malignitate est adeptus, cum per ademptionem fortasse liberorum, tum aliorum bonorum privationem. Hæc omnia et in Deicidis Hebræis invenies, etsi non intellexerint.

VERS. 3, 4. *Propterea nunc dicent : Non est rex nobis, quoniam non timuimus Deum. Rex vero quid nobis faciet ? Loquens verba, occasiones vanas, legabit testamentum.* Docet jam nunc eos, qualibus oporteat pœnitentia ductos verbis uti. Quando enim viderint regnum suum dissolutum, dicent : Hoc nobis contigit, quia Deum non timuimus, cui nos confidere par erat, non autem regi. Nam rex non potuit nobis opem ferre, sed potius nobis imposuit, vana promittens, alias alia subinde prætexens, nunc cum Assyrio quidem, nunc vero cum Ægyptio fœdera feriens, et contractum faciens, de auxiliis in bello mittendis. Hæc et propalam Judæi de Christo ad Pilatum dixerunt : *Ne scribe quod sit rex Judæorum* [89] : qui et Christi doctrinam mendacia verba calumnianter appellabant. Enimvero ipse legalit testamentum, credentibus in eum, novum, pacem faciens per sanguinem ejus, inter cœlestia ac terrestria [90]. Præterea omni non timenti Deum non est (72) regnum revera, sed irrationalitas in eo sceptris potitur, ac motuum turbulentia suam in ipso rempublicam administrat, a quibus rex Verbum Dei vituperatur, tanquam loquatur verba sola, ad spem futurorum ablegans. (73) Testamenti hujus **91** divus peræque Joannes meminit, ubi Christus dicit : *Si diligitis me, mandata mea servabitis* [91]. *Nec porro loquor vobis, ut servis, sed ut amicis* [92]. Et : *Proficiscor locum parare vobis* [93]. Et rursus : *Nisi quis abjunctus fuerit ab omnibus suis rebus ac bonis, non potest meus esse discipulus* [94]. Et : *Qui perdiderit animam suam, in vitam æternam inveniet ipsam* [95].

ἔπρησε ταῖς πόλεσι, καὶ διήρπασε τὰς στήλας, πολυτελεῖς οὔσας. Ἄμπελος εὐκληματοῦσά (71) ἐστι καὶ ὁ μηδενὸς τῶν ἐν βίῳ ἀγαθῶν λειπόμενος, εὔπαις τε ὢν καὶ τοῖς ἄλλοις εὐροῶν · ἀλλὰ δουλεύων ἴσως τοῖς πάθεσιν, ἑκάστῳ τούτων θυσιαστήριον ἵστησι, παριστάνων τὰ μέλη αὐτοῦ, δοῦλα τῇ ἀνομίᾳ, εἰς τὴν ἀνομίαν, κατὰ τὰ ἀγαθὰ τῆς γῆς αὐτοῦ, τουτέστι, καθὸ ἡ γῆ αὐτοῦ, ἤτοι ἡ σὰρξ, εὐηδύνεται [*f.* ἐνηδ. *vel* ἐφηδ.] τούτοις, καὶ ἀγαθὰ νομίζει αὐτά. Καὶ στήλας δὲ οἰκοδομεῖ, τὴν ἀμετανόητον ἐν ἑκάστῳ πᾶσαν ἕξιν. Ὁ δὲ τοιοῦτος καὶ μερίζει τὴν καρδίαν αὐτοῦ, δυσὶ κυρίοις δουλεύων. Εὐεργετεῖται δὲ, ὅτε κατασκάπτει Θεὸς τὰ θυσιαστήρια αὐτοῦ, ἢ παραδιδοὺς αὐτὸν τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ Πνεῦμα σωθῇ, ἢ ἄλλως ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτοῦ ἄγχων, καὶ σύντριμμα καὶ ταλαιπωρίαν ποιῶν ἐν ταῖς ὁδοῖς αὐτοῦ, ἵνα σαλευθῇ ἀπὸ τῆς ἕξεως τῆς ἐν τῷ κακῷ, διὰ τῆς ἀποβολῆς τῶν παίδων τυχὸν, καὶ τῆς στερήσεως τῶν ἄλλων ἀγαθῶν. Ταῦτα πάντα ἐπὶ τοῖς Θεοκτόνοις εὑρήσεις, εἰ καὶ μὴ οὐ συνῆκαν.

Διότι νῦν ἐροῦσιν · Οὐκ ἔστι βασιλεὺς ἡμῖν, ὅτι οὐκ ἐφοβήθημεν τὸν Θεόν. Ὁ δὲ βασιλεὺς τί ποιήσει ἡμῖν ; Λαλῶν ῥήματα, πρόφασεις ψευδεῖς, διαθήσεται διαθήκην. Διδάσκει αὐτοὺς, οἷοις δεῖ ῥήμασι χρήσασθαι μεταμελουμένους. Ὅταν γὰρ ἴδωσι τὴν βασιλείαν αὐτῶν καταλυθεῖσαν, ἐροῦσιν, ὅτι Συνέβη ἡμῖν διὰ τὸ μὴ φοβηθῆναι τὸν Θεὸν, ᾧ ἔδει θαῤῥεῖν, ἀλλὰ μὴ τῷ βασιλεῖ. Ὁ γὰρ βασιλεὺς οὐκ ἠδύνατό τι βοηθῆσαι ἡμῖν, ἀλλὰ μόνον ἐξηπάτα ἡμᾶς ψευδόμενος, καὶ προφασιζόμενος ἄλλοτε ἄλλα · καὶ νῦν μὲν πρὸς τὸν Ἀσσύριον, νῦν δὲ πρὸς τὸν Αἰγύπτιον διαθήκας καὶ συμφωνίας περὶ συμμαχίας διατιθέμενος. Ἀντικρυς ταῦτα εἶπον καὶ οἱ Ἰουδαῖοι περὶ Χριστοῦ πρὸς Πιλάτον· *Μὴ γράφε, ὅτι βασιλεὺς τῶν Ἰουδαίων ἐστί* · καὶ τὴν Χριστοῦ διδασκαλίαν ῥήματα ψευδῆ ἐκάλουν διασύροντες. Ἀλλ' αὐτὸς διαθήσεται διαθήκην τοῖς εἰς αὐτὸν πιστεύουσι, τὴν ὄντως καινὴν, τὴν εἰρηνοποιήσασαν διὰ τοῦ αἵματος αὐτοῦ τὰ ἐν οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς. Καὶ ἀληθῶς δὲ παντὶ τῷ μὴ φοβουμένῳ τὸν Θεὸν οὐκ ἔστι βασιλεύς · ἀλλὰ καὶ ἡ ἀλογία τυραννεῖ ἐν αὐτῷ, καὶ ἡ ὀχλοκρατία τῶν παθῶν ἐμπολιτεύεται, ὑφ' ὧν ὁ βασιλεὺς Λόγος διαβάλλεται, ὡς λαλῶν ῥήματα μόνα, καὶ πρὸς τὰς τῶν μελλόντων ἐλπίδας παραπέμπων, καὶ τῆς διαθήκης Ἰωάννου (74) ἀναμιμνήσκων, τῆς λεγούσης · *Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσατε* · καὶ, *Οὐκέτι καλῶ* (75) *ὑμᾶς δούλους, ἀλλὰ φίλους* · καὶ *Πορεύομαι ἑτοιμάσαι ὑμῖν τόπον* · καὶ αὖθις, *Ἐὰν μή τις ἀποτάξηται πᾶσι τοῖς οὖσιν αὐτοῦ, οὐ δύναταί μου εἶναι μαθητής* · καὶ, *Ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ, εἰς ζωὴν αἰώνιον εὑρήσει αὐτήν.*

[88] Psal. xxxi, 9. [89] Joan. xix, 21 [90] Ephes. i, 7. [91] Joan. xiv, 15. [92] Joan. xv, 14. [93] Joan. xiv, 2. [94] Luc. xiv, 26. [95] Marc. viii, 35.

Variæ lectiones et notæ.

(71) Ἐκληματοῦσα. Cod. Ven.

(72) Pro *regnum* Græce est βασιλεὺς, *Rex*.

(73) *Et testamenti Joannis mentionem faciens, dicentis : Si diligitis me*, etc. Ita Græca sonant.

(74) Τοῦ Κυρίου. *Domini*. Cod. Ven.

(75) Lonicerus legisse videtur λαλῶ, propterea-que vertit *loquor*, pro quo Ven. cod. et Bav. habet καλῶ, *voco*.

Digitized by Google

Ἀνατελεῖ ὡς ἄγρωστις κρῖμα ἐπὶ χέρσον ἀγροῦ. Καθάπερ, φησίν, ἡ ἄγρωστις πλατύνεται μᾶλλον καὶ πληθύνεται ἐν τοῖς χέρσοις τοῦ ἀγροῦ, ἔνθα οὔτε ἄροτρον ἐνοχλεῖ αὐτῇ, οὔτε σκαπάνη (76), διὰ τὸ μὴ τόπον ἐργάσιμον εἶναι· οὕτω καὶ τὸ ἐμὸν κρῖμα, καὶ ἡ καθ' ὑμῶν ψῆφος, ἡ δικαία, ἀνατελεῖ ἀκωλύτως.

Τῷ μόσχῳ τοῦ οἴκου Ὤρ παροικήσουσιν οἱ κατοικοῦντες Σαμάρειαν. Προσεδρεύσουσι, φησὶ, τῷ εἰδώλῳ τῆς χρυσῆς δαμάλεως, τῷ τιμωμένῳ ἐν τῇ Βεθήλ· ταύτην γὰρ λέγει οἶκον Ὤν, τουτέστιν, Ἀνωφελοῦς, ὅ ἐστιν εἰδώλου. Προσεδρεύσουσι δὲ, ὅταν ἐπέλθῃ αὐτοῖς τὰ δεινὰ, τὴν παρ' αὐτῶν ζητοῦντες βοήθειαν. Ταῦτα δέ φησι, διασύρων τὴν ἀνοησίαν αὐτῶν, ὡς τὸ τοῦ ἀλόγου ζώου εἴδωλον ἱκετευόντων βοηθῆσαι αὐτοῖς. Ἀνέτειλε τὸ κρῖμα τοῦ Θεοῦ καὶ ἐπὶ τὸν κεχερσωμένον λαὸν τῶν Ἰουδαίων, ὃν οὔτε προφήτης, οὔτε ἱερεύς τις λοιπὸν εἰργάζετο· ἀλλ' ἀνέβη ἐπ' αὐτὸν, ὡς εἰς χέρσον ἄκανθα, ἡ πληκτικὴ διάθεσις, ἐξ ἧς καὶ τὸν Κύριον ἀκάνθαις ἐστεφάνωσαν· κρίσει γὰρ δικαίᾳ παρεδόθησαν τοῖς Ῥωμαίοις. Καὶ ἐπὶ τὰ ἔθνη δὲ τὰ κεχερσωμένα τῷ ὄντι, τὸ κρῖμα τοῦ Θεοῦ, τουτέστιν ὁ νόμος, ἀνέτειλεν. *Οὗ γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις.* Ἡμεῖς γὰρ ἔχομεν τὸν νόμον, οἱ τὸ τέλος αὐτοῦ ἔχοντες· τέλος γὰρ νόμου Χριστός. Εὖ δὲ καὶ τὸ, *Ἀνέτειλεν*· ἀπὸ τῆς σκιᾶς γὰρ ἀνεφάνη τὸ Πνεῦμα. Οἱ δὲ κατοικοῦντες τὴν Σαμάρειαν, τουτέστιν, οἱ νῦν λεγόμενοι Ἰσραηλῖται, οἳ τοῖς Σαμαρείταις ἐοίκασιν. Ὥσπερ γὰρ ἐκεῖνοι ἐδόκουν μὲν τὸν νόμον τηρεῖν, οὐκ ἀφίσταντο δὲ ὅμως οὐδὲν τῶν πατρίων· οὕτω καὶ οὗτοι δοκοῦσι μὲν τὸν νόμον φυλάττειν, τὴν πατρῴαν δὲ ἀσέβειαν εἰς τὸν Χριστὸν στέργουσιν. Οὗτοι τοίνυν τῷ οἴκῳ τοῦ Ἀνωφελοῦς παροικοῦσιν· ἀνωφελὲς γὰρ τὸ γράμμα.

Ὅτι ἐπένθησεν ὁ λαὸς αὐτοῦ ἐπ' αὐτὸν, καὶ καθὼς παρεπίκραναν αὐτὸν, ἐπιχαροῦνται ἐπὶ τὴν δόξαν αὐτοῦ. Οὐ μόνον, φησὶν, οὐδὲν ὠφελήθησαν ἀπὸ τοῦ χρυσοῦ εἰδώλου, ἀλλὰ μᾶλλον καὶ ἐπένθησαν ἐπ' αὐτόν. Καὶ γὰρ παράδοσις Ἑβραϊκὴ, ὅτι ὅτε κατῆλθε κατὰ τῶν τῆς Σαμαρείας πόλεων Ἄδερ βασιλεὺς Συρίας, τηνικαῦτα Μαναεὶμ βασιλεὺς Σαμαρείας ἐπεκαλέσατο σύμμαχον Φουὰ τὸν Βαβυλώνιον· συμμαχήσαντι δὲ καὶ καθελόντι τὸν Ἄδερ, μὴ ἔχων ἀποδοῦναι τὸν μισθὸν, πολὺν ὄντα, τὴν χρυσῆν δάμαλιν δέδωκεν. Ἐπένθησεν οὖν ὁ λαὸς, φησὶ, τὸν Θεὸν αὐτῶν, οὕτως ἀτιμασθέντα. Πλὴν ὥφοντο ἀπὸ ἀνοησίας, ὅτι κἂν αὐτοὶ αὐτὸν παρεπίκραναν, οὕτως ἀτιμώσαντες, ἀλλ' οἵ γε Βαβυλώνιοι δοξάζουσιν [*f.*-σουσιν] αὐτὸν ὡς Θεὸν τιμῶντες. Καὶ αἱ ἐλπίδες αὗται, ποιήσουσιν αὐτοὺς χαίρειν.

Ὅτι μετῳκίσθη ἀπ' αὐτοῦ. Ἀπὸ τοῦ Ἐφραὶμ

A *Orietur ut gramen judicium super solum agri.* Quemadmodum, inquit, gramen diffunditur magis et multiplicatur in pratis, ubi neque aratrum ipsum interturbat, neque ligo, quod illic non colatur locus, sic meum judicium, et calculus noster justus citra ullum obstaculum prodibit.

B Vers. 5. *Vitulæ domus On accolæ erunt inhabitantes Samariam.* Sedebunt apud simulacrum aureæ vaccæ, cultum in Bethel: hanc enim dicit domum On, hoc est, Inutilis plane imaginis. Assidebunt autem tum, cum invaserint eos pericula, opem inde inquirendo. Hæc autem dicit illorum dementiam corripiens, ut qui bruti pecoris imaginem pro suppetiis ferendis implorent. Prodiit etiam judicium Dei super solo æquatum et excisum populum Judaicum, quem neque vates, neque sacerdos in posterum coluit, sed ascendit super ipsum, veluti super solum incultum, spina, pungens quæpiam affectio, ex qua Dominum etiam spinis coronarunt. Judicio enim justo traditi sunt Romanis. Super gentes etiam desolatas et in nihilum redactas, revera judicium Dei, hoc est, lex efloruit, prodiitque. *Ubi enim exuberavit peccatum, superabundavit et gratia* [60]. Nos enim habemus legem, qui finem ejus tenemus: finis autem legis Christus. Bene autem, *Prodiit*, dictum est: ab umbra enim apparuit Spiritus. Inhabitantes porro Samariam, sunt qui nunc Israelitæ dicuntur, qui Samaritanis æquiparantur. Ut enim illi videbantur legem servare, nec interim tamen a patriis traditionibus desistebant: sic et illi legem quidem observare apparent, a patribus tamen sibi suis traditam erga Christum impietatem diligunt. Proinde domum Incommodi incolunt, incommoda namque est littera.

C *Quoniam luxit populus super ipsum. Et quemadmodum exacerbaverunt ipsum, lætabuntur admodum super gloria ipsius.* Non solum, inquit, nihil commoditatis acceperunt ab aureo isto simulacro, sed majorem inde luctum adepti sunt. Etenim traditio est Hebraica, quod quando advenit cum copiis suis rex Syriæ Ader, contra Samariæ urbes, tum Manaim rex Samariæ accersivit pro auxiliis Phua re-

D gem **92** Babylonium. Cui opem ferenti depellentique Ader Syrum, cum non haberet mercedis tantum, quantum redderet, multum enim illi debebat pro eo beneficio, auream ei vitulam dedit. Luxit itaque populus, Deum suum tali contumelia affectum esse: verumtamen arbitrabantur, quæ eorum erat amentia, quod etiamsi eum ad amarulentiam ea ignominia provocassent, Babylonii ipsum glorificaturi essent, ceu Deum honorantes. Ac ejusmodi spes eos gaudere facient.

Quoniam translatus est ab ipso. Translatus est

[60] Rom. v, 15.

Variæ lectiones et notæ.

(76) Σκεπάνη. Cod. Ven.

Digitized by Google

ab Ephraim vitulus datus Babylonio Phua. Audito quæ deinceps sequuntur.

VERS. 6. *Ipsumque in Assyrios ligantes, abduxerunt munera regi Jarem.* Hoc est, vindici suo regi Phua. Jarem enim, ut præmemoratum est, significat, si transferatur, *ultorem*, seu *vindicatorem*. Pulcherrime autem dixit, Ligantes, tanquam super vitulo deridens illorum dementiam.

In domo Ephraim accipietur, pudefietque Israel in consilio suo. Phua, inquit, suscipiet aureum vitulum, ceu in domo Ephraim datum, hoc est, in domo regis : attamen populus contumelia afficietur, super suis consiliis de tali simulacro : non enim honoraverunt ipsum Chaldæi, sed comminuentes conflarunt. Sunt qui hæc de Christo pariter intellexerunt, quem populus quidem suus lugebat, videlicet discipuli et mulieres ad quas dixit : *Filiæ Hierusalem, ne flete super me* [61]. Alii deinde pectora sua tundebant, quando erat in cruce. Judæi vero maledicentes exacerbaverunt eum, et gavisi sunt, quando gloria ejus translata est ab ipso, dum in cruce dehonestaretur, nec habebat speciem, neque formam. Ac ligans eum Pilatus, remisit ad Herodem, qui per arrogantiam Assyrius etiam rex erat. Hunc ad modum Christum in nobis commorantem, quem per baptisma habemus in interiore nostro homine, transfert a nobis regnans in mortali nostro corpore peccatum : ac ligans ipsum, corpus dico, ut ne quippiam operetur, quod deceat virtutem, hosti et ultiori defert munus, hoc est, diabolo, qui hostis exsistens salutis ejus, qui Corinthi fornicatus erat [62], et vindex factus est, assumens ipsum in perniciem carnis, ut spiritus servetur. Haud dissimiliter Phygellum et Hermogenem a Paulo sibi traditos castigavit, ne blasphemarent [63]. Magnum enim donum est tali ultori, Christianos nos ligatos esse, ut nullum Christi mandatorum aganus, dicentis : *Si diligitis me, mandata mea servabitis* [64].

VERS. 7. *Abjecit Samaria regnum suum, tanquam* **93** *sarmentum super faciem aquæ.* Id est, adeo facile regnum a Samaria tolletur, exscindeturque, ut leve sarmentum ab aqua avellitur, diripiturque. Vel regnum (81) vitulum appellat, quem citra negotium legavit in Assyrios, ut memoratum est.

VERS. 8. *Diruenturque altaria On, peccata Israelis.* Diruentur altaria idoli, quæ causa peccati fuerunt populo Israelitico : per ea enim Deum ad iram suscitabant.

Spinæ ac tribuli ascendent super aras eorum.

A μετῳκίσθη ὁ μόσχος, δοθεὶς τῷ Βαβυλωνίῳ Φουᾶ. Ἄκουε καὶ τῶν ἑξῆς ·

Καὶ αὐτὸν εἰς Ἀσσυρίους δήσαντες, ἀπήγαγον ξένια τῷ βασιλεῖ Ἰαρείμ. Τουτέστι, τῷ ἐκδικητῇ αὐτῶν βασιλεῖ, τῷ Φουᾶ. Ἰαρείμ, ὡς προείρηται, *ἔκδικος*, ἢ ἐκδικητὴς ἑρμηνεύεται. Χαριέστατα δὲ εἶπε τὸ, *Δήσαντες*, ὡς ἐπὶ μόσχου διαγελῶν τὴν ἀνοησίαν αὐτῶν.

Ἐν δόματι Ἐφραὶμ δέξεται, καὶ αἰσχυνθήσεται Ἰσραὴλ ἐν τῇ βουλῇ αὐτῶν. Ὁ μὲν Φουὰ (77), φησὶ, δέξεται τὸν χρυσοῦν μόσχον, ὡς ἐν δόματι τοῦ Ἐφραὶμ δοθέντα, τουτέστι, τοῦ βασιλέως · πλὴν ὁ (78) λαὸς αἰσχυνθήσεται ἐπὶ ταῖς αὐτῶν βουλαῖς, ταῖς περὶ τοιούτου εἰδώλου · οὐ γὰρ ἐτίμησαν αὐτὸν οἱ Χαλδαῖοι, ἀλλὰ κατοκόψαντες ἐχώνευσαν. Ἐξεδέξαντό τινες ταῦτα καὶ εἰς τὸν Χριστὸν, ὃν ὁ μὲν λαὸς αὐτοῦ ἐπένθει, τουτέστιν, οἵ τε μαθηταὶ, καὶ αἱ γυναῖκες, πρὸς ἃς εἶπε · *Θυγατέρες Ἰερουσαλὴμ, μὴ κλαίετε ἐπ' ἐμέ* · καὶ ἄλλοι δὲ ἔτυπτον (79) τὰ στήθη αὐτῶν, ὅτε ἦν ἐπὶ τοῦ σταυροῦ. Ἰουδαῖοι δὲ, βλασφημοῦντες, παρεπίκραναν, καὶ ἐπεχάρησαν, ὅτε ἡ δόξα αὐτοῦ μετῳκίσθη ἀπ' αὐτοῦ, ἡνίκα σταυρούμενος ἠτιμάζετο, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος. Καὶ δήσας αὐτὸν ὁ Πιλάτος, ἀνέπεμψε πρὸς τὸν Ἡρῴδην, Ἀσσύριον βασιλέα διὰ τῆς ὑπερηφανίας ὄντα. Καὶ τὸν ἐν ἡμῖν δὲ Χριστὸν, ὃν διὰ τοῦ βαπτίσματος ἔχομεν κατοικοῦντα εἰς τὸν ἔσω ἡμῶν ἄνθρωπον, μετοικίζει ἀφ' ἡμῶν ἡ βασιλεύουσα ἐν τῷ θνητῷ ἡμῶν σώματι ἁμαρτία · καὶ δεσμήσασα αὐτὸν, ὥστε μὴ ἐργάζεσθαί τι τῇ πρακτικῇ ἀρετῇ ἀνηκόντων ἀρετῇ (80). τῷ ἐχθρῷ καὶ ἐκδικητῇ ἀποφέρει ξένιον, τουτέστι τῷ διαβόλῳ · ὃς ἐχθρὸς ὢν τῆς σωτηρίας τοῦ ἐν Κορίνθῳ πεπορνευκότος, καὶ ἐκδικητὴς γέγονε, παραλαβὼν αὐτὸν εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ Πνεῦμα σωθῇ. Καὶ τοὺς περὶ Φύγελλον καὶ Ἑρμογένην παραδοθέντας αὐτῷ ὑπὸ τοῦ Παύλου, ἐπαίδευσε μὴ βλασφημεῖν. Μέγα οὖν δῶρον τῷ τοιούτῳ ἐκδικητῇ τὸ, Χριστιανοὺς ὄντας ἡμᾶς δεδέσθαι, μηδεμίαν ἐργαζομένους τῶν Χριστοῦ ἐντολῶν, τοῦ εἰπόντος · *Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσετε.*

Ἀπέρριψε Σαμάρεια βασιλέα αὐτῆς, ὡς φρύγανον ἐπὶ προσώπου ὕδατος. Τουτέστιν, οὕτω ῥᾳδίως ἡ βασιλεία ἀπὸ τῆς Σαμαρείας ἀρθήσεται, ὥσπερ φρύγανον κοῦφον, ὑπὸ ὕδατος παρασυρόμενον. Ἡ βασιλέα τὸν μόσχον φησὶν, ὃν εὐκόλως ἀπεπέμψατο εἰς Ἀσσυρίους, ὡς εἴρηται.

Καὶ ἐξαρθήσονται βωμοὶ Ὤν, ἁμαρτήματα τοῦ Ἰσραήλ. Ἀφανισθήσονται γὰρ οἱ βωμοὶ τῶν εἰδώλων, οἵτινες ἁμαρτήματα ἦσαν τοῦ λαοῦ. Δι' αὐτοὺς γὰρ παρώργιζε τὸν λαόν.

Ἄκανθαι καὶ τρίβολοι ἀναβήσονται ἐπὶ τὰ θυ-

[61] Luc. XXIII, 28. [62] I Cor. V, 11. [63] II Tim. I, 15. [64] Joan. XIV, 15.

Variæ lectiones et notæ.

(77) Ἡ μὲν Φουᾶ. Cod. Bav.
(78) Ὁ λαὸς Ἰσραὴλ, *populus Israel*. Cod. Ven.
(79) Οἱ τύπτοντες. Cod. Ven.
(80) Τῶν πρακτικῶν ἀνηκόντων ἀρετῇ. Cod. Bav.
(81) Lonicerus legisse videtur βασιλείαν, *regnum*. Uterque vero codex et Ven. et Bav. habet βασιλέα, *regem*.

Digitized by Google

σιαστήρια αὐτῶν. Ἐρήμου γὰρ οὔσης τῆς γῆς καὶ τῶν θυσιαστηρίων αὐτῶν, οἱ τόποι ἀκανθῶν πλήρεις ἔσονται. Καὶ βασιλέα δὲ Χριστὸν ἀπέῤῥιψαν, ἀντ' οὐδενὸς αὐτὸν ἡγησάμενοι, οἱ, ὡς παραποδέδοτο [*f.* προαπ.], Σαμαρεῖται Ἰουδαῖοι. Εἶτα προφητεύει τὴν τῶν εἰδωλικῶν βωμῶν καθαίρεσιν, ἣ μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν γέγονεν, ἀπὸ ἑνὸς εἰδώλου τοῦ Ὢν καὶ τἄλλα πάντα παραδηλώσας. Ῥίπτει δὲ καὶ ἄπιστος τὴν βασιλεύσασαν ἐν αὐτῷ ἀπιστίαν ἐπὶ πρόσωπον ὕδατος τοῦ βαπτίσματος, καὶ ἐξαφανίζονται τὰ τῆς ἀπιστίας θυσιαστήρια ἐν αὐτῷ. Καὶ τότε φαίνεται πλήρης ἀκανθῶν καὶ τριβόλων ἡ πρώην λεία δοκοῦσα θρησκεία. Καὶ ὁ πιστὸς δὲ ἴσως κρατοῦσαν ἐν αὐτῷ ἁμαρτίαν ἐπὶ τὸ τῶν δακρύων ὕδωρ ῥίπτει, τὸ πρόσωπον αὐτοῦ τῷ τοιούτῳ ὕδατι νίπτων, τὸ τὰς αἰσθήσεις ἔχον, ἐξ ὧν καὶ περὶ ἃς ὁ πόλεμος, καὶ τὰ μέλη αὐτοῦ, τὰ τῆς ἁμαρτίας θυσιαστήρια (ἥτις ἐστὶν εἴδωλον ἀνωφελές· ἀνυπόστατος γὰρ καὶ ἀνόητος ἡ ἁμαρτία), γίνονται τηνικαῦτα ἀκανθῶν καὶ τριβόλων γέμοντα. Θλίβει γὰρ αὐτὰ καὶ πλήττει διὰ τῆς μετανοίας.

A Deinde ubi terra vastata fuerit, et aræ dirutæ, loca spinis erunt plena. Quinetiam regem Christum abjecerunt, pro nihilo eum reputantes, Samaritani, ut supra indicatum est, Judæi. Postea vaticinatur idolicorum altarium demolitionem quæ post Christi adventum facta est : ab uno idolo On, cætera omnia intelligens vel demonstrans. Abjicit etiam incredulus, regnantem inter sese incredulitatem atque peccatum, super faciem aquæ baptismatis, diruunturque eo pacto infidelitatis in ipso aræ, tumque apparet plena spinis ac tribulis, antea plana visa religio. Sic fidelis abjicit peræque regnans in sese peccatum, super aquam lacrymarum, faciem suam tali aqua sensum habente lavans, ex quibus peccatis et propter quæ ipsi bellum est. Ac membra B ejus, peccati aræ (est autem peccatum idolum substantia et utilitate vacans) implentur tum spinis et tribulis : pungunt enim et feriunt peccata ob pœnitentiam.

Καὶ ἐροῦσι τοῖς ὄρεσι· Καλύψατε ἡμᾶς· καὶ τοῖς βουνοῖς· Πέσετε ἐφ' ἡμᾶς. Τοιαύτη, φησὶν, ἔσται ἡ σφοδρότης καὶ πικρία τῶν συμφορῶν, αἳ καταλήψονται αὐτούς, ὥστε ἕκαστον αὐτῶν ἑλέσθαι ὑπὸ τῶν ὀρέων καὶ τῶν βουνῶν ἐπιπεσόντων καλυφθῆναι, ἢ περιπεσεῖν τοῖς ἐκ Βαβυλωνίων κακοῖς. Ἐμνήσθη δὲ ὀρέων καὶ βουνῶν οὐκ ἀλόγως· ἀλλ' ἐπειδὴ ἐν μὲν Βαιθὴλ ἔθυον τῇ δαμάλει, καὶ ἔφη μνησθεὶς τῶν βωμῶν ἐκείνων· ἐν δὲ τοῖς ὄρεσιν ἐλάτρευον τοῖς ἄλλοις εἰδώλοις, τῇ Ἀστάρτῃ, φημὶ, καὶ C τῷ Χαμὼς, καὶ τῇ Βάαλ· μέμνηται νῦν καὶ τούτων, ὡς τῆς συμφορᾶς αἰτίων αὐτοῖς ὄντων, καὶ ἀλλαχοῦ μὲν οὐ χρησιμευόντων αὐτοῖς, εἰς δὲ τὸ πρὸ τῶν συμφορῶν θανατῶσαι αὐτοὺς, εἴ γε τοῦτο ἐνῆν. Ταῦτα δὲ ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ εἶπε καὶ περὶ τῶν δι' αὐτὸν καταληψομένων τοὺς Ἰουδαίους κακῶν.

Dicentque montibus : Tegite nos ; et collibus : Cadite super nos. Talis ac tanta, inquit, vehementia et amarities calamitatum erit, quæ comprehendent eos, ut unusquivis eorum exoptet potius montium colliumque super se ruina contegi, quam Babylonicis incidere malis. Non frustra vero meminit cum montium tum collium, sed postquam in Bethel sacrum faciebant vaccæ, fecit mentionem istorum altarium. In montibus vero inserviebant idolis aliis, nimirum Astartæ, ipsique Chamos et Baal : hæc ipsa jam nunc recordatur, tanquam ipsis causa fuerint calamitatum, ut qui neque alias commodarent eis, et ante ingruentia ista mala, ipsos etiam occiderint. Hæc Dominus in Evangelio quoque prædixit[65.66], nempe quæ quantaque mala eos invasura essent.

Ἀφ' οὗ οἱ βουνοὶ, ἥμαρτεν Ἰσραήλ. Οὐ μόνον, φησὶν, ἀφ' οὗ ἤρξαντο αἱ δαμάλεις προσκυνεῖσθαι, ἥμαρτεν ὁ Ἰσραὴλ, ἀλλὰ καὶ πρὸ τούτου, ἀφ' οὗ οἱ βουνοὶ ἐδέξαντο τὰς λατρείας. Καὶ γὰρ τὰς δαμάλεις Ἱεροβοὰμ ἔστησεν· ὁ δὲ Σολομὼν ταῖς γυναιξὶν αὐτοῦ πεισθεὶς, ἐν τοῖς βουνοῖς ἐποίησε θυσιαστήριον.

Vers. 9. *Ex quo colles, peccarunt in Israele.* Non tantum, inquit, ex quo vaccæ cœperunt adorari, peccavit Israel, sed antehac etiam, dum colles acceperunt culturam. Etenim buculas istas Jeroboam statuit : Salomon vero a mulieribus persuasus, in excelsis collibus aras exstruxit.

Ἐκεῖ ἐστησαν· οὐ μὴ καταλάβῃ αὐτοὺς ἐν τῷ βουνῷ πόλεμος, ἐπὶ τέκνα ἀδικίας ἦλθε παιδεῦσαι αὐτοὺς κατὰ τὴν ἐπιθυμίαν μου. Καὶ συναχθήσονται ἐπ' αὐτοὺς λαοὶ ἐπὶ τῷ παιδεῦσαι αὐτοὺς ἐν ταῖς δυσὶν ἀδικίαις αὐτῶν. Ἑλραῖοι, φησὶ, καὶ ἀμετακίνητοι ἔστησαν ἐν τῇ τῶν βουνῶν εἰδωλολατρείᾳ, λέγοντες, ὅτι πόλεμος αὐτοὺς οὐ μὴ καταλάβῃ, οὐδὲ συμφορᾷ τινι περιπεσοῦνται, ἂν ἐν τῷ βωμῷ λατρεύωσιν. Ἀλλ' ἦλθεν ὄντως ἐπ' αὐτοὺς πόλεμος, ὄντας τέκνα ἀδικίας, διὰ τὸ παιδεῦσαι αὐτοὺς κατὰ τὴν ἐπιθυμίαν καὶ θέλησίν μου. Τοῦτο δὲ διχῶς νοήσεις· ἢ, ὅτι Στιβαρῶς καὶ πικρῶς παιδεῦσαι (82)·

94 Vers. 9, 10. *Illic statuerunt se, ne apprehendat in colle eos bellum, super liberos justitiæ, venit castigare ipsos juxta cupiditatem meam. Et congregabuntur super ipsos populi, ut castigent eos super duabus injustitiis eorum.* Et stabiles et immobiles steterunt, super idolorum cultu in collibus, dicentes, quod bellum eos non apprehendat, neque cuiquam ærumnæ incidant, qui in ara idola devenerentur. Atqui revera venit super eos prælium, tanquam revera filios injustitiæ, seu iniquitatis, ut castigaret eos juxta cupiditatem et voluntatem meam. Hoc autem bifariam intelliges, vel quod

[65.66] Luc. XXIII, 30.

Variæ lectiones et notæ.

(82) Subaudi ἦλθε, vel lege : παιδεύσει, ni forte τὸ παιδεῦσαι aoristum optativi esse quis putet.

Digitized by Google

Aiorter et acerbe castigaverit, hoc enim est, quod desidero, eo quod sint incorrigibiles : vel quod Leniter et tolerabiliter eos corripuerit (83), perinde ac pater filium corrigit, id quod Dei proprium est. Verum quod sequitur, ad perniciem et vastationem pertinet. In posterum, inquit, congregabuntur adversus eos populi multi, ut affligant eos, quod duo flagitia commiserint. Primum, quod me benefactorem suum reliquerint : alterum, quod ad levia et inutilia plane idola accurrerint. Peccaverunt etiam qui Dominum dederunt neci Judæi. Cum enim avaritiæ affectione languerent, quæ collis ob suam elationem dicitur, non sustinebant glorificari Dominum. Stantes igitur, ea fuerunt imbuti prava opinione, quoniam Si hunc occiderimus, non apprehendet nos bellum, nec venient super nos Romani, ut nos auferant. At occupavit eos bellum, quoniam duas iniquitates admiserunt, Dominum cruci affigentes, deinde calumniantes ipsius resurrectionem. Super omnem quoque tribunum non recipientem, ut se existimet esse cinerem, ac in ima defigat oculos, sed in excelsis istis locis dæmones curantem, veniet dejectio, quæ est bellum sublimitati. *Omnis* enim *sese exaltans humiliabitur* [67] ; et exaltans januas suas, quærit perniciem. Dominus enim aciem suam instruit contra superbos, seseque illis opponit. Duabus itaque injustitiis superbus injuste agit, vimque facit, attollens se nedum contra homines, verum etiam adversus Deum.

A τοῦτο γὰρ ἐπιθυμῶ, ὅτι ἀδιόρθωτοί εἰσιν· ἢ, ὅτι Ἐλαφρῶς, καὶ αὐτὸ τοῦτο παιδευτικῶς. Κυρίως γὰρ παιδεία, ἡ μετρία καὶ πρὸς σωφρονισμόν· ἐκεῖνο δὲ, κόλασις καὶ ἐξολόθρευσις. Καὶ λοιπὸν συναχθήσονται λαοὶ πολλοὶ κατ' αὐτῶν, διὰ τὸ παιδεῦσαι αὐτοὺς, ἐπειδὴ δύο ἀδικίας ἐποίησαν· ἐμέ τε ἀφῆκαν τὸν εὐεργέτην αὐτῶν, καὶ προσέδραμον τοῖς κωφοῖς καὶ ἀνωφελέστιν εἰδώλοις. Ἥμαρτον, καὶ τὸν Κύριον ἀποκτείναντες. Ἀφ' οὗ γὰρ τὸ τῆς φιλαργυρίας πάθος ἐνόσησαν, ὃ βουνὸς λέγεται διὰ τὴν ἔπαρσιν, οὐ (84) γὰρ ἠνείχοντο δοξάζεσθαι Κύριον. Στάντες οὖν ἐν τούτῳ τῷ πάθει, ᾠήθησαν, ὅτι εἰ τοῦτον ἀποκτενοῦσιν, οὐ καταλήψεται αὐτοὺς πόλεμος, οὐδὲ ἐλεύσονται ἐπ' αὐτοὺς οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν αὐτούς. Ἀλλ' ἦλθεν ὁ πόλεμος, ὅτι δύο ἀδικίας ἐποίησαν. B σταυρώσαντες τὸν Κύριον, καὶ συκοφαντήσαντες τὴν ἀνάστασιν. Καὶ ἐπὶ πάντα δὲ φύλαρχον [ƒ. φίλαρχ.] μὴ καταδεχόμενον νομίζειν ἑαυτὸν γῆν καὶ σποδὸν, καὶ κάτω βλέπειν, ἀλλ' ἐν τοῖς βουνοῖς καὶ ταῖς ἐπάρσεσι τοὺς δαίμονα; θεραπεύοντα, ἥξει ἡ ταπείνωσις, ἥτις πόλεμός ἐστι τῇ ἐπάρσει. *Πᾶς* γὰρ *ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται* · καὶ ὁ ὑψῶν θύρας ἑαυτοῦ, ζητεῖ συντριβήν. Κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται. Δύο δὲ ἀδικίας ὁ ὑπερήφανος ἀδικεῖ, κατεπαιρόμενος οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ τοῦ Θεοῦ.

Vers. 11. *Ephraim juvenca docta diligere contentionem.* Indomitus est Ephraim, nolens sub jugo meo esse, sed nunquam non diligens vincere ac facere quæ sibi videantur. Vel quod ego docuerim ipsum vincere, hostesque in fugam vertere, sed non custodivit eam institutionem meam.

Ἐφραὶμ δάμαλις δεδιδαγμένη ἀγαπᾷν νῖκος [vulg. *νεῖκος*]. Ἀδάμαστος, φησὶν, ἔστιν ὁ Ἐφραὶμ, οὐ βουλόμενος ὑπὸ τὸν ἐμὸν ζυγὸν εἶναι, ἀλλ' ἀεὶ ἀγαπᾷν τὸ νικᾷν, καὶ ποιεῖν τὰ οἰκεῖα θελήματα. Ἢ, C ὅτι Ἐδίδαξα αὐτὸν τὸ νικᾷν (85), καὶ κατατροποῦσθαι τοὺς ἐχθροὺς, ἀλλ' οὐκ ἐφύλαξεν.

Adveniam ego super pulcherrimam cervicem ejus. Hoc est, Humiliabo, submittamque ipsum per hostes, et persuadebo meæ cognitionis jugum accipere, ac reges ejus potissimum humiliabo. Nam regnum nominavit pulcherrimam cervicem ejus. Etenim reges in pluribus impii erant, populo ad consimilem impietatem iter monstrantes. Bene dixit. *Cervicem*, ut **95** ostenderet eos cervicosos. Hunc ad modum Pharisæi et sacerdotes cæteris altiores fuerunt ; sed enim submisit eos, ab ipsis ad crucem fixus.

Ἐγὼ δὲ ἐπελεύσομαι ἐπὶ τὸ κάλλιστον τοῦ τραχήλου αὐτοῦ. Τουτέστι, Ταπεινώσω αὐτὸν διὰ τῶν πολεμίων, καὶ πείσω τὸν τῆς ἐμῆς ἐπιγνώσεως ζυγὸν δέξασθαι, καὶ μάλιστα τοὺς βασιλεῖς αὐτοῦ ταπεινώσω. Τὴν γὰρ βασιλείαν ὠνόμασε κάλλιστον τοῦ τραχήλου αὐτοῦ. Οὗτοι δὲ καὶ ἠσέβουν τὰ πλείω, καὶ ὡδήγουν καὶ τοὺς λαοὺς ἐπὶ τὰ αὐτά. Εὖ δὲ εἶπε, *Τοῦ τραχήλου*, ἵνα δείξῃ αὐτοὺς τραχηλιῶντας. Καὶ οἱ Φαρισαῖοι δὲ, καὶ οἱ ἱερεῖς, τῶν ἄλλων ὑψηλότεροι ἦσαν· ἀλλ' ἐταπείνωσε τούτους ὁ ὑπ' αὐτῶν σταυρωθείς.

Scandam super Ephraim, Judam silentio præteribo. Postquam, ut in superioribus recitatum est, decem tribus cum regibus suis, in nullum non idololatriæ genus exciderant, Judas vero, seu duæ tribus moderate se gererent (nam Amesias et Ezechias et Josias pii erant), ait : Ascendam jam nunc super Ephraim, et gravabo ipsum, Babylonios adversus

Ἐπιβιβῶ (86) *Ἐφραὶμ, καὶ παρασιωπήσομαι Ἰούδαν.* Ἐπειδὴ, ὡς ἀνωτέρω εἴρηται, αἱ μὲν δέκα φυλαὶ σὺν τοῖς βασιλεῦσιν αὐτῶν εἰς πᾶν εἶδος εἰδωλολατρείας ἐξώκειλαν· ὁ δὲ Ἰούδας, ἤγουν αἱ δύο, μετρίως πως ἐσωφρόνουν· καὶ γὰρ καὶ ὁ Ἀμεσίας ὁ βασιλεὺς αὐτῶν εὐσεβὴς ἦν, καὶ Ἐζεκίας καὶ Ἰωσίας· φησὶν, ὅτι Νῦν μὲν ἐπὶ τὸν Ἐφραὶμ ἐπιβήσομαι καὶ

[67] Luc. XVIII, 14.

Variæ lectiones et notæ.

(83) Aliter Græca verba sonant : *idque castigate* : *proprie enim correctio appellatur, quæ sit mediocris, et ad castigationem : illud vero* (acerba scilicet castigatio) *supplicium est et excidium.*

(84) Particula γὰρ redundare videtur.

(85) Ἐδίδαξα αὐτὸν τὸ νικᾷν καὶ ποιεῖν τὰ οἰκεῖα θελήματα, *docui eum vincere, et facere voluntatem propriam*, Cod. Bav.

(86) Ἐπ βιωμῷ, Cod. Bav.

Digitized by Google

βαρυνῶ αὐτὸν, τοὺς Βαβυλωνίους ἐπαγαγὼν αὐτῷ· τοῦ δὲ Ἰούδα τέως φείσομαι. Καὶ γὰρ ἐλθόντος τοῦ Σεναχηρεὶμ, καὶ πολιορκοῦντος τὴν Ἱερουσαλὴμ, ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας διέφθειρεν ἄγγελος Κυρίου ἐν μιᾷ νυκτί. Ὅθεν ἐκεῖνος ἀπέδρα κατάφοβος. Τὸν μὲν οὖν Ἐφραὶμ, ἤτοι τὸν αὐξανόμενον ἐπὶ κακίᾳ, ταπεινοῖ Κύριος, βαρὺς αὐτῷ ἐπικείμενος καὶ ἐπιστηρίζων αὐτῷ τὴν χεῖρα. Τὸν δὲ Ἰούδαν ἐξομολογούμενον οὐ βαρύνει· ἀλλ' ἑκουσίως θλιβομένῳ διὰ τὴν μετάνοιαν ἀποδεικνύει, ὅτι τὸ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, αἰώνιον βάρος δόξης κατεργάζεται.

Ἐνισχύσει (87) ἐν (88) αὐτῷ Ἰακώβ. Τὴν αἰτίαν τίθησιν, δι' ἣν φείδεται τοῦ Ἰούδα πρὸς τὸ παρὸν, καί φησιν, ὅτι τὴν ἰσχὺν ἐν αὐτῷ θήσει ἡ τοῦ Ἰακὼβ ἀρετὴ, ζηλουμένη ὑπ' αὐτοῦ. Αἰνίττεται δὲ τὴν τοῦ Ἐζεκίου δικαιοσύνην· ἐκείνου γὰρ τὰ δάκρυα καὶ τὴν ἀρετὴν δυσωπηθεὶς ὁ Θεὸς, τὸν Σεναχηρεὶμ ἄπρακτον (89) ἀπανέστησε τῆς Ἱερουσαλήμ. Ἰακὼβ λέγεται καὶ ὁ Κύριος, ἁπλαστος ὢν διὰ τὴν ἀκακίαν· οὐ γὰρ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Καὶ οἰκῶν οἰκίαν, ἥτις ἐστὶν οἶκος Θεοῦ ζῶντος· ἢ τὴν οἰκίαν τοῦ σκήνους τὴν ἀχειροποίητον, ἣν ἐξ ἡμῶν προσείληφε· καὶ ἔτι γὰρ ταύτην οἰκεῖ. Οὗτος οὖν ἴσχυσεν ἐν τοῖς Ἰουδαίοις· εἰ γὰρ καὶ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῶν ἐκ δυνάμεως Θεοῦ, τοὺς ὑβριστὰς αὐτοῦ ἠμύνατο, καὶ ἀναστὰς, ἀνταπέδωκεν αὐτοῖς. Καὶ πᾶς δὲ Ἰακὼβ, τουτέστι, πτερνιστὴς τῶν παθῶν καὶ καθαιρέτης, ἐνισχύει ἐν τῷ Ἰούδᾳ, ὅ ἐστι τῇ ἐξομολογήσει. Ὁ γὰρ μαθὼν πτερνίζειν τὰ πάθη, οὗτος (90) ἀληθῶς ἐξομολογεῖται, μὴ ἐπιστρέφων ἐπὶ τὸν ἴδιον ἔμετον.

Σπείρατε ἐν ἑαυτοῖς δικαιοσύνην. Διττὸς ὁ τρόπος τῆς παραινέσεως. Προτρέπει γάρ τις εἰς τὸ καλὸν, ἢ τὰς κολάσεις ὑποδεικνὺς τῶν ἀπειθούντων, ἢ τοὺς στεφάνους τῶν κατορθούντων. Κἀνταῦθα τοίνυν ὁ Θεὸς ὑπέδειξε μὲν ὅσα κακὰ τοὺς ἀπειθοῦντας καταλήψεται· ὑπέδειξε (91) τὴν ἀρετὴν τοῦ Ἰούδα, δι' ἣν φειδοῦς ἠξιώθη. Λοιπὸν οὖν παραινεῖ καὶ τοῖς λοιποῖς, λέγων· *Σπείρατε ἑαυτοῖς*· οὐ γὰρ τὸν Θεὸν ὠφελήσετε, ἀλλ' ἑαυτούς· δικαιοσύνην λέγων τὴν ἀληθῆ θεοσέβειαν. Δίκαιον γάρ ἐστι τῷ Πλάστῃ καὶ Δημιουργῷ τὸ σέβας ἀπονέμειν, ἀλλὰ μὴ ποῖς εἰδώλοις· καὶ τὴν σύμπασαν δὲ ἀρετὴν, ἥτις δικαιοσύνη λέγεται, διότι ὁ τὰς ἀρετὰς ἐργαζόμενος, δικαίως κρινεῖ, τῷ λόγῳ ὑποτάττων τὰ πάθη τῆς ἀλογίας, καὶ μὴ τὸ χεῖρον ἐπανιστὰς τῷ κρείττονι, ὃ κακοῦ καὶ ἀδίκου κριτοῦ.

Τρυγήσατε εἰς καρπὸν ζωῆς. Οἱ μὲν σπείραντες εἰς ἀδικίαν, καὶ ἀδικήσαντες τόν τε Θεὸν, διὰ τοῦ τὸ σέβας αὐτοῦ ἀναθεῖναι τοῖς εἰδώλοις, τό τε φύσει δί-

eum adducens : Judæ vero interim parcam. Etenim cum advenisset Sennacherim, obsidione cingens Jerusalem, centum octuaginta quinque millia angelus Domini una nocte perdidit [68], unde ille perterrefactus aufugit. Proinde Ephraim, sive crescentem in vitiositate humiliat Dominus graviter impositus, ac manu sua fortiter ipsum premit. Judam vero confitentem non gravat, ut qui sese sua sponte per pœnitentiam afflictet, subindicans juxta quod extemplo modica afflictio, æternum gloriæ pondus operetur.

Fortis erit in ipso Jacob. Rationem reddit, cujus rei gratia in præsentia parcat Judæ, Robur, inquiens, in ipso faciet virtus divi Jacob, quam æmulatus est. Adumbrat autem et obscure monstrat justitiam Ezechiæ : illius enim lacrymis et virtute inspectis, Deus Sennacherim ab Jerusalem re infecta dispulit. Jacob sonat etiam Dominum non fingentem propter suam probitatem. Nec enim inventus est dolus in ore ejus, cujus typum gessit, Christi. Significat etiam habitantem domum, quæ est domus Dei viventis, vel domum tabernaculi non manu factam, quam ex nobis assumpsit, quam hodieque immorat'ur. Ille igitur inter Judæos fortis robustusque fuit, qui etiamsi crucifixus est ex imbecillitate, vivens tamen per potentiam Dei, injurios hostes suos ultus est, ac post resurrectionem suam rependit eis vicem. Hanc ad rationem omnis Jacob, hoc est affectuum suorum supplantator et suppressor, robustus erit in Juda, id est, per confessionem. Qui enim didicerit supplantare passiones, ille vere confitetur, non revertens ad proprium vomitum.

Vers. 12. *Seminate vobis ad justitiam.* Duplex est adhortationis ratio. Adhortatur enim aliquis ad bonum, vel supplicia indicans inobedientium, vel coronas et præmia recte agentium. Et hic igitur Deus ostendit, quæcunque mala non obtemperantes ipsi apprehendent. Virtutem quoque Juda ob oculos posuit, cujus causa venia donatus est. Posthac cæteros admonet dicens : *Seminate vobisipsis :* non **96** enim Deum juvabitis, sed vosipsos. Justitiam autem verum Dei cultum appellat. Justum est enim Creatori et Auctori cultum tribuere, et non idolis. Vel universam virtutem intelligit, quæ justitia nominatur, eo quod virtutes operans juste judicat, rationi subdens affectus irrationalitatis, nec quod pejus est potiori præferens, id quod pravi et injusti est judicis.

Vindemiam facite ad fructum vitæ. Seminantes, injustitiam, et injuria Deum afficientes, cultum ejus idolis deferendo, ac natura (92) injustum,

[68] IV Reg. xix, 35.

Variæ lectiones et notæ.

(87) Ἐνισχύει, *fortis est*, Cod. Ven.
(88) Deest ἐν in cod. Ven.
(89) Ἄπρακτον deest in Cod. Bav.
(90) Οὕτως, *sic*, Cod. Bav.
(91) Adde particulam δὲ quæ precedens μὲν postulat.
(92) Græca sic habent : *ac natura justum* (injuria scilicet afficientes) *vitium virtuti anteponendo.*

Digitized by Google

per vitiositatem suam virtuti anteponendo, illi ad mortem vindemiam fecerunt ab hostibus occisi. Vobis autem, qui sementem fecistis ad justitiam conferentem (est autem semen bona omnino cogitatio quæ in opus exit), vobis, inquam, messis in fructum vitæ proveniet. Effugietis enim hostium ensem, et vivetis : fruemini hac vita præcedenter, deinceps vero et consequenter futura cœlesti. Præterea sensibilem et externis bonis gaudentem, veluti carnalibus adhuc, etiam promittit.

Accendite vobis lumen cognitionis. Hoc est, Agnoscite Deum, deficientes ab idolis.

Inquirite Dominum interea usque dum veniant fœtus justitiæ vobis. Monstrat ipsis rationem, per quam seminent et illuminentur. At qualis ille modus? Dominum, inquit, inquirere, quærere autem citra intermissionem, donec justitiam perficeritis, et fructus ejus, hoc est, reliquas virtutes et lumen cognitionis. Vel : *Quærite*, pro, Precamini Dominum, usquequo permotus inflexusque vobis sese reddat. Quod si justitiam operabimini, propterea ne confidite : citra namque Dei opem ipsa non potest eripere vos. Ipsum igitur inquirite, rogantes, ut vos ab iis quæ metuitis, periculis liberet. Haud nis dissimilia David ait : *Oculi nostri ad Deum nostrum, tantisper dum misereatur nostri* [69]. Sin Christus est justitia, juxta divum Apostolum, videtur hic locus adhortari legis doctores : Seminate in cordibus auscultantium semina ad Christum, vere justitiam, ducentia. Hoc enim est vobisipsis semi nare. Discipulorum namque profectus ad præceptorem quoque pertinet. Ac colligite, veluti in vindemia, litteram, non ut in ea stetis, sed ut illum inde decerpatis, qui dixit : *Ego sum vita* [70]. Infert ergo : Accendite, inquit, vobis lumen cognitionis, qui legi assidetis, futurorum bonorum umbram habenti : lumen cognitionis Christi vobis accendite. Quin aliquis sibi lumen incendit, sibique prælucet, dum ad nos accedit. Quoniam autem David ait : *Accedite ad ipsum et illustramini* [71] : **97** non injuria nobisipsis lucem præbere, et facem accendere jubemur. Quærite qui in lege agitis, Dominum, nam ipse dabit vobis fructus justitiæ. Siquidem ex operibus legis non habebitis justitiam, sive justificationem : justificabimini autem ex fide in Christum Jesum. Jam si seminans in carnem, ex carne corruptionem metet : seminans autem in spiritum, ex spiritu vitam æternam colliget [72] : demus operam, neque in carnem seminare, neque in spiritualia sic festinemus semen spargere, ut spectemur inde hominibus : non enim nobisipsis ita seminamus, sed volucribus cœli, quibus non celata semina sunt exposita. Ve-

καιον, διὰ τοῦ τὴν κακίαν προτιμῆσαι τῆς ἀρετῆς· ἐκεῖνοι εἰς θάνατον ἐτρύγησαν, ἀποκτανθέντες ὑπὸ τῶν πολεμίων. Ὑμῖν δὲ τοῖς σπείρασι τὰ εἰς δικαιοσύνην φέροντα (σπέρμα δὲ πάντως ὁ ἀγαθὸς λογισμὸς, ὃς εἰς τὴν πρᾶξιν φέρει) · ὑμῖν οὖν ὁ τρυγητὸς, εἰς καρπὸν ζωῆς ἀποβήσεται (93). Ἐκφεύξεσθε γὰρ τὸ τῶν πολεμίων ξίφος, καὶ ζήσεσθε · ταύτην δὲ τὴν ζωὴν προηγουμένως, καὶ ἑπομένως τὴν μέλλουσαν. Τὴν δὲ αἰσθητὴν ζωὴν, ὡς σαρκίνοις, ὑπισχνεῖται αὐτοῖς.

Φωτίσατε ἑαυτοῖς φῶς γνώσεως. Τουτέστιν, Ἐπίγνωτε τὸν Θεὸν, ἀποστάντες τῶν εἰδώλων.

Ζητήσατε τὸν Κύριον ἕως τοῦ ἐλθεῖν γεννήματα δικαιοσύνης ὑμῖν. Δείκνυσιν αὐτοῖς τρόπον, δι' οὗ σπεροῦσι καὶ φωτισθήσονται. Ποῖος δὲ οὗτος; Τὸ τὸν Κύριον ἐπιζητεῖν · ζητεῖν δὲ ἀεὶ, ἕως οὗ κατορθώσητε τὴν δικαιοσύνην, καὶ τὰ γεννήματα αὐτῆς, τουτέστι, τὰς λοιπὰς ἀρετὰς καὶ τὸ φῶς τῆς γνώσεως. Ἢ τὸ, *Ζητήσατε*, ἀντὶ τοῦ, Δεήθητε τοῦ Κυρίου, ἕως οὗ ἐπικαμφθεὶς, ὑμῖν ἀποδῷ (94). Εἰ γὰρ δικαιοσύνην ἐργάσεσθε, ἀλλὰ μὴ ταύτῃ θαῤῥεῖτε · ἄνευ γὰρ βοηθείας, αὕτη οὐκ ἰσχύει ἐξελέσθαι. Αὐτὸν οὖν ζητήσατε, δεόμενοι αὐτοῦ, ἵνα ῥύσηται τῶν ἐλπιζομένων δεινῶν. Ὅμοια Δαβὶδ λέγει · *Οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς.* Εἰ ὁ Χριστός ἐστι δικαιοσύνη, κατὰ τὸν Ἀπόστολον, ἔοικεν ὁ λόγος τοῖς νομοδιδασκάλοις παραινεῖν · Σπείρατε ἐν ταῖς καρδίαις τῶν ἀκροατῶν τὰ φέροντα εἰς τὴν ὄντως δικαιοσύνην τὸν Χριστόν. Τοῦτο δὲ ἑαυτοῖς ἐστι σπείρειν · ἡ γὰρ τῶν μαθητῶν ὠφέλεια, εἰς τὸν διδάσκαλον περιήκει. Καὶ τρυγήσατε τὸ γράμμα, οὐχ ἵνα στῆτε ἐν αὐτῷ, ἀλλ' ἵνα καρπώσησθε τὸν εἰπόντα · *Ἐγώ εἰμι ἡ ζωή.* Ἐπάγει οὖν · « Φωτίσατε ἑαυτοῖς φῶς γνώσεως, » οἱ τῷ νόμῳ προσκαθήμενοι, τῷ σκιὰν ἔχοντι τῶν μελλόντων ἀγαθῶν · τὸ φῶς τῆς γνώσεως τοῦ Χριστοῦ φωτίσατε ἑαυτοῖς. Αὐτὸς δέ τις ἑαυτῷ φωτίζει τὸ φῶς. Εἰ (95) γὰρ τὸ προσελθεῖν ἐφ' ἡμῖν, λέγει δὲ Δαβὶδ · *Προσέλθετε [πρὸς] αὐτὸν καὶ φωτίσθητε* · εἰκότως ἑαυτοὺς φωτίζειν κελευόμεθα. Ζητήσατε ἐν τῷ νόμῳ τὸν Κύριον · αὐτὸς γὰρ δώσει ὑμῖν τὰ γεννήματα τῆς δικαιοσύνης. Ἐκ μὲν γὰρ τῶν ἔργων τοῦ νόμου, οὐχ ἕξετε δικαιοσύνην, ἤτοι δικαίωσιν · δικαιωθήσεσθε δὲ ἐκ τῆς πίστεως, τῆς εἰς Χριστὸν Ἰησοῦν. Εἰ δὲ καὶ ὁ μὲν σπείρων εἰς τὴν σάρκα, ἐκ τῆς σαρκὸς θερίσει φθοράν · ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος ζωὴν αἰώνιον τρυγήσει · σπουδάσωμεν μήτε εἰς τὴν σάρκα σπείρειν, μήτε εἰς τὰ πνευματικὰ σπεύσωμεν σπείρειν ταῦτα, πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις. Οὐχ ἑαυτοῖς γὰρ οὕτω σπείρομεν, ἀλλὰ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ. Τὰ γὰρ μὴ κρυπτόμενα σπέρματα τούτοις ἔκκειται. Ὅταν δὲ διὰ τῆς πρα-

[69] Psal. cxxii, 2. [70] Joan. xi, 25. [71] Psal. xxxiii, 6. [72] Galat. vi, 8.

Variæ lectiones et notæ.

(93) Ἐπιβήσεται, Cod. Bau.

(94) Ἕως οὗ ἐπικαμφθεὶς τοὺς τῆς δικαιοσύνης καρποὺς ὑμῖν ἀποδῷ, *quoad inflexus, justitiæ fructus vobis reddat*, Cod. Ven.

(95) Hæc ita sonant : *Si enim accedere in nostra potestate est dicitque David : Accedite ad ipsum et illuminamini*, merito etc.

Digitized by Google

κτικῆς σπείρωμεν, τότε τὸ φῶς τῆς γνώσεως καὶ τῆς A rum si per fidei opera seminemus, tum lux cognitionis et contemplationis illucescet nobis.

θεωρίας ἐπαστράψει ἡμῖν.

Ἵνα τί παρεσιωπήσατε ἀσέβειαν, καὶ τὰς ἀδικίας αὐτῶν ἐτρυγήσατε; Ἔδει, φησὶν, ὑμᾶς ἠσεβηκότας, τοῖς τῆς μετανοίας χρήσασθαι φαρμάκοις, καὶ μὴ παρσιωπῆσαι, ἀλλ' ἐξομολογήσασθαι. Νῦν δὲ τοῦτο μὴ ποιήσαντες, ἐτρυγήσατε τὰς ἀδικίας τῆς ἀσεβείας, ὑπὲρ αὐτῶν τὰς ἀξίας ποινὰς ἀποτίσαντες. Τίνες (96) δέ εἰσιν αἱ ἀδικίαι τῆς ἀσεβείας, διαφόρως εἴρηται· ἥ τε γὰρ πρὸς τὸν Θεὸν καὶ ἡ πρὸς τὸν πλησίον. Ἁρμόζει δὲ ταῦτα καὶ παντὶ ἱερεῖ καὶ διδασκάλῳ καὶ ἄρχοντι. Οὐ γὰρ δεῖ παρσιωπᾶν, ἀσεβούντων ἀδελφῶν. Ὅ τε γὰρ νόμος ἔλεγεν· *Ἐλέγξεις* (97) *τὸν ἀδελφόν σου, καὶ οὐ λήψῃ ἐπ' αὐτῷ ἁμαρτίαν*· καὶ ὁ Παῦλος τὸν ἁμαρτάνοντα ἐνώπιον πάντων κελεύει ἐλέγχειν, ἵνα καὶ οἱ B λοιποὶ φόβον ἔχωσιν· ὡς εἴ γε σιγήσει ὁ λαλεῖν ὀφείλων, καὶ αὐτὸς τρυγᾷ τοὺς καρποὺς τῆς ἀδικίας, οὐ μόνον ἦν ἐκεῖνος ἀδικεῖ ὁ ἁμαρτάνων, ἀλλὰ καὶ ἦν αὐτὸς τὸν ἁμαρτάνοντα ἀδικεῖ, μὴ ἐκκόπτων αὐτοῦ τὴν πρὸς τὸ κακὸν (98) ὁρμήν.

Vers. 13. *Utquid conticuistis impietatem, et injustitias ejus messuistis?* Decebat vos impie agentes, pœnitentiæ pharmacis uti, nec reticere impia flagitia, sed confiteri. Nunc vero id non facientes, decerpsistis injustitias impietatis, digna pro ipsis supplicia referentes. Atque hæc secundum quosdam impietas, bifariam intelligitur, vel erga Deum, vel homines, seu proximum. Quadrant autem hæc omni sacerdoti, doctori et principi adeoque magistratui. Non enim oportet silentio præterire delicta, si quando fratres impie agant. Lex enim præcepit: *Argue fratrem tuum, nec accipies vel admittes super ipso peccatum* [73]. Dein Paulus etiam peccantem coram omnibus reprehendi jubet, ut et reliqui sic in trepidationem conjiciantur [74]. Quocirca si taceat cujus loqui interest, ipse etiam demetit fructus injustitiæ, non ejus tantummodo qua peccans ille injustus est, verum et ejus qua ipse erga peccantem injurius est, non exscindens ejus ad bonum impetum.

Ἐφάγετε καρπὸν ψευδῆ, ὅτι ἤλπισας ἐν τοῖς ἅρμασί σου, ἐν πλήθει δυνάμεώς σου. Καὶ ἐξαναστήσεται (99) *ἀπώλεια ἐν τῷ λαῷ σου, καὶ πάντα τὰ περιτετειχισμένα* (1) *σου οἰχήσεται.* Τὴν ματαίαν ἐλπίδα λέγει καρπὸν ψευδῆ. Σὺ μὲν, φησὶν, ἤλπισας ἐπὶ πολυπληθείᾳ λαοῦ καὶ ἐπὶ ἅρμασι· τὸ δὲ εἰς τοὐναντίον ἐκβήσεται. Ὅ τε γὰρ λαὸς, ὁ πολεμιστὴς, σὺν τοῖς ἅρμασιν ἀπολεῖται· αἱ C πόλεις δὲ αὐταὶ ἀφανισθήσονται, καὶ οὐδὲν ὠφελήσει ἡ ἀπὸ τῶν τειχῶν ἀσφάλεια. Ταῦτα καὶ πρὸς πάντα ἄρχοντα λέγεται, οἰόμενον ἀσφάλειαν ἑαυτῷ περιποιεῖσθαι δι' ἐπινοιῶν καὶ ἐφευρέσεων ἀνθρωπίνων. Καὶ οἱ Ἑβραῖοι δὲ δόντες ἀργύρια ἱκανὰ τοῖς τὸν τάφον τηροῦσι στρατιώταις, ἐκαρπώσαντο τὸ ψεύσασθαι, ὅτι οὐκ ἀνέστη ὁ Κύριος· διὸ τῶν Ῥωμαίων ἐπελθόντων, ἐλπίσαντες ἐπὶ πλήθει λαοῦ καὶ ὀχυρότητι πόλεων, ἀπώλοντο. Ἡ δὲ ἀπώλεια ἐν μέσῳ αὐτῶν ἦν· ἐστασίασαν γάρ. Καὶ οὐ μόνον ὑπὸ τῶν ἐχθρῶν, ἀλλὰ καὶ αὐτοὶ ἐφ' ἑαυτῶν ἐδαπανῶντο. Καὶ ὁ λιμὸς δὲ τὴν ἀπώλειαν ἐν μέσῳ αὐτῶν ἐποίει· οὐ γὰρ μητέρες τέκνων ἐφείσαντο δι' αὐτόν.

Vers. 13, 14. *Comedistis fructum mendacem, quoniam speraști in curribus tuis, in multitudine potentiæ tuæ. Exsurgetque pernicies in populo tuo, et omnia munimenta tua peribunt.* Vanam spem fructum mendacem appellat. Tu, inquit, sperasti in ingenti populi tui copia et in curribus: at vero diversum eveniet. Populus enim bellicosus una cum curribus interibit, et ipsæ civitates diruentur, neque quidquam proderit murorum firmitudo et munitio. Hæc ad quemvis etiam principem dicuntur, qui arbitratur sibi munitionem et securitatem parare humanis cum consiliis tum inventis. Hebræi quoque, cum abunde argenti dedissent militibus, qui sepulcrum Christi custodiebant, mendacium decerpserunt, dicentibus illis, quod non resurrexisset: propterea, Romanis advenientibus, fiduciam ponentes in multitudine populi et munitione urbis, perierunt. **98** Interitus autem ille in medio ipsorum erat: seditionem enim inter sese suscitarunt, nec ab externis hostibus tantum, verum et a seipsis absumebantur. Præterea fames perniciem in medio ipsorum pariebat, adeo ut ne matres quidem suis parcerent charissimis alioqui pignoribus.

Ὡς ἄρχων Σαλαμὰ ἐκ τοῦ οἴκου Ἱεροβάαλ (2), *ἐν ἡμέραις πολέμου, μητέρα ἐπὶ τέκνοις ἠδάσι-*

Vers. 14, 15. *Tanquam princeps Salama ex domo Hieroboal, matrem cum liberis in terram*

[73] Levit. xix, 17. [74] I Tim. v 20.

Variæ lectiones et notæ

(96) *Quænam vero sint impietatis injustitiæ multifariam est dictum: nam et ea* (innuitur) *quæ spectat ad Deum, et quæ pertinet ad hominem.* Sic habent Græca verba.

(97) Ἐλεγμῷ ἐλέγξεις, *redarguitione redargues*, Cod. Ven.

(98) Sic Lonicerus, qui forte legit καλὸν, *bonum*, pro quo in utroque cod. Ven. et Bav. habetur κακὸν, *malum*, et recte quidem.

(99) Ἐξαφανισθήσεται, Cod. Bav., sed male, fortasse pro ἐκφανισθήσεται, vel ἐξεμφανισθήσεται, nisi forte legere quis malit ἐξαφανισθήσεται ἀπώλεια, *delebitur ad internecionem*, scilicet civitas, vel civitatis potentia.

(1) Scribendum vel περιτειχίσματα, vel περιτετειχισμένα, ut consideranti patebit.

(2) Ἱεροβάαλ, *Hierobaal*. Lonicerus autem legisse videtur Ἱεροβόαλ, ut ex ipsius interpretatione conjicere est.

Digitized by Google

præcipitarunt, sic faciam vobis, domus Israel, a facie malitiarum vestrarum. Cum idolorum cultui, vero Deo relicto, Israelitæ olim se dedidissent, immisit super eos Deus Madienæorum principes, Oreb, Zeb, Zebee et Salmanan [78]. Is igitur Salmanan, quem hic Salama vates appellat, in tantum crudelis erat et ferox, ut matres una cum pueris suis infantibus solo illideret, et in terram præcipites daret, ac eum in modum miserabilissimæ morti traderet : hoc autem faciebat mulieribus ex domo Hieroboal, hoc est, Gedeonis, sive Hebræis uxoribus. Nam domum Gedeonis, universam Hebraicam cognationem dicit. Hanc igitur ad formulam *vobiscum agam, o domus Israel*, tradamque vos hostibus propter peccata vestra, qui infantes una cum matribus miserabiliter perdent. Hieroboal autem Gedeon vocatur, quod sacrum opus egerit, Baal idoli columnam auferendo, lucum pariter idolo dicatum una nocte exscindendo.

A σαρ· οὕτως ποιήσω ὑμῖν, οἶκος τοῦ Ἰσραήλ, ἀπὸ προσώπου κακιῶν ὑμῶν. Εἰδωλολατρήσασί ποτε τοῖς Ἰσραηλίταις ἐπαφῆκεν ὁ Θεὸς τοὺς τῶν Μαδινιαίων [*f.* Μαδιηναίων] ἀρχηγούς, Ὠρὴβ καὶ Ζὴβ καὶ Ζεβεὲ καὶ Σαλμανάν. Οὗτος οὖν ὁ Σαλμανὰν, ὃν καὶ Σαλαμὰ καλεῖ ὁ Θεὸς, τοσοῦτον ἦν ὠμὸς, ὥστε τῷ ἐδάφει προσαράσσειν καὶ προσκρούειν τὰς μητέρας μετὰ τῶν τέκνων, καὶ οὕτως οἰκτίστῳ θανάτῳ παραδιδόναι· τοῦτο δὲ ἐποίει ἐπὶ ταῖς γυναιξὶ, ταῖς ἐκ τοῦ οἴκου τοῦ Ἱεροβάαλ, τουτέστι, Ἱεδεὼν [*f.* Γεδ.], ἤγουν ταῖς Ἑβραίαις. Οἶκον γὰρ τοῦ Γεδεὼν, τὴν Ἑβραϊκὴν πᾶσαν συγγένειάν φησιν. *Οὕτως* οὖν καὶ νῦν *ποιήσω ὑμῖν, οἶκος τοῦ Ἰσραήλ*, καὶ παραδώσω ὑμᾶς ἐχθροῖς διὰ τὰς ἁμαρτίας ὑμῶν, οἳ καὶ τὰ νήπια σὺν ταῖς μητράσιν οἰκτρῶς διαφθεροῦσι. Ἱεροβάαλ δὲ λέγεται ὁ Γεδεὼν, διὰ τὸ ἱερὸν ἔργον ποιῆσαι, καὶ τὴν τοῦ Βάαλ στήλην καθελεῖν, καὶ τὸ ἄλσος, τὸ ἀνατεθειμένον τῷ εἰδώλῳ, ἐκκόψαι ἐν μιᾷ νυκτί.

B

CAPUT XI.

Vers. 1. *Sub diluculum abjecti sunt.* Diluculo, inquit, abjecti sunt. Quando, inquit, exspectarunt Assyriorum auxilium, ut ipsis appareret instar diluculi, in nocte hæsitationis constitutis, et in angustia belli, tunc abjecti sunt Babylonem captivi. Vel quia celeriter ac brevi post tempore perniciem sustinebunt : diluculum enim non perinde longum tempus continet : sol enim ortu suo insequens, diem facit. Ad hæc Deus, usquedum tolerans est mali, dormitare dicitur : ubi vero cœperit se ulciscí, tum exsurgere videtur. Dicit igitur, quoniam Alio tempore dormitabam, veluti in nocte, non videns eos : nunc vero tanquam diluculo facto, expergefio, ac in posterum rejiciam eos.

C

Abjectus est rex Israel. Abjectus est quidem, quatenus translatus est Babylonem rex Israel. Abjectus est etiam, quatenus cessavit deinceps regnum Samariæ, ut sæpe recitatum est. Rejecti sunt etiam tenebras eligentes Hebræi, quando evangelici verbi lumen apparuit. Quod si per diluculum accipiamus Præcursorem, divum Joannem Baptistam, qui advenientem solem Christum nuntiabat, abjecti sunt tum, quando eis **99** diceret : *Genimina viperarum, ne incipiatis dicere in cordibus vestris : Patrem habemus Abraham* [76]; et : *Omnis arbor non faciens fructum bonum, excinditur, et in ignem projicitur* [77]. Cur vero hoc passi sunt? Quoniam abjecerunt ipsi Christum, regem Israelis. Sic quæ in nobis Deum ad iracundiam provocant, diliguntur quidem a nobis tantisper, dum noctem et sensus vacuitatem habuerimus. Ubi vero audito dicente : *Expergiscere qui dormis, et surge ex mortuis* [78], et Christo illucescente, extra noctem illam et insensibilitatem translati fuerimus, perveneri-

D

ΚΕΦΑΛ. ΙΑ'.

Ὄρθρου ἀπερρίφησαν. Ὅτε προσεδόκησαν, φησὶ, τὴν τῶν Ἀσσυρίων βοήθειαν αὐτοῖς ἐπιφανῆναι ὡς ὄρθρον, ἐν νυκτὶ τῆς ἀπορίας καὶ στενοχωρίας τοῦ πολέμου οὔσι, τότε ἀπερρίφησαν εἰς τὴν Βαβυλῶνα αἰχμάλωτοι. Ἢ ὅτι ταχέως καὶ συντόμως τὴν πανωλεθρίαν ὑποστήσονται· καὶ ὁ ὄρθρος γὰρ βραχὺν καιρὸν κατέχει· εἶτα ἥλιος ἀνατέλλων τὴν ἡμέραν ποιεῖ (3). Ἀλλὰ καὶ ὁ Θεὸς, ἕως μὲν ἀνεξικακεῖ, ὑπνώττων λέγεται· ὅταν δὲ ἄρχεται ἐκδικήσεις ποιεῖν, τότε ἐξανίστασθαι δοκεῖ. Φησὶν οὖν, ὅτι Τὸν μὲν ἄλλον καιρὸν ὕπνωττον, οἷον ἐν νυκτὶ παρορῶν αὐτούς· νυνὶ δὲ οἱονεὶ ὄρθρου φανέντος, διυπνίζομαι, καὶ λοιπὸν ἀπορρίψω αὐτούς.

Ἀπερρίφη βασιλεὺς Ἰσραήλ. Ἀπερρίφη μὲν, καθὸ μετῳκίσθη εἰς Βαβυλῶνα ὁ βασιλεὺς Ἰσραήλ· ἀπερρίφη δὲ καὶ, καθὸ ἐπαύθη τοῦ λοιποῦ ἡ ἐν Σαμαρείᾳ βασιλεία, ὡς πολλάκις εἴρηται. Ἀπερρίφησαν δὲ καὶ οἱ τὸ σκότος ἐλόμενοι Ἑβραῖοι, ὅτε τὸ φῶς τοῦ εὐαγγελικοῦ λόγου ἔφανεν. Εἰ δὲ καὶ ὄρθρος ὁ Πρόδρομος, ὡς μηνύων τὸν ἥλιον, ἀπερρίφησαν καὶ τότε, ὅτε ἔλεγεν ἑαυτοῖς· *Γεννήματα ἐχιδνῶν, μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς· Πατέρα ἔχομεν τὸν Ἀβραάμ*· καὶ, *Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται.* Διὰ τί δὲ τοῦτο ἔπαθον; Διότι ἀπερρίφη αὐτοῖς ὁ Χριστὸς, ὁ βασιλεὺς τοῦ Ἰσραήλ. Καὶ τὰ ἐν ἡμῖν δὲ παροργίζοντα τὸν Θεὸν, στέργονται μὲν ἡμῖν μέχρις οὗ νύκτα καὶ ἀναισθησίαν ἔχομεν. Ἐπειδὰν δὲ ἀκούσαντες τοῦ λέγοντος· *Ἔγειραι, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός*· ἔξω γενώμεθα τῆς νυκτὸς ἐκείνης καὶ ἀναισθησίας, καὶ εἰς συναίσθησιν ἔλθωμεν τῶν πραχθέντων, ὀρθρον δὲ δόξωμεν ἔχειν,

[78] Judic. VIII, 3, 6. [76] Luc. III 7. [77] Ibid. 9. [78] Ephes. V, 14.

Variæ lectiones et notæ.

(3) Ἡμέραν ποιεῖ. τότε ἐξανίστασθαι δοκεῖ, Cod. Bav. Cætera adjecimus ex Cod. Ven.

Digitized by Google

ἀρχὴν δηλαδὴ ἡμερινῆς καὶ φωτεινῆς καταστάσεως· νηνεκαῦτα ἀποβλίττεται ἡμῖν τὰ πρότερον ἀγαπώμενα, καὶ αὐτὸς ὁ πρὶν βασιλεύων ἐν ἡμῖν ἄρχων τοῦ σκότους.

musque ad perceptionem eorum quæ egimus, diluculumque nacti esse videbimur, imperium videlicet diurnæ, adeoque lucidæ constitutionis, tunc abjiciuntur a nobis antea dilecta, et ipse qui prius in nobis regnabat, princeps tenebrarum.

Διότι νήπιος Ἰσραὴλ, καὶ ἐγὼ ἠγάπησα αὐτὸν, καὶ ἐξ Αἰγύπτου μετεκάλεσα τὰ τέκνα αὐτοῦ· καθὼς μετεκάλεσα αὐτούς, οὕτως ἀπῴχοντο ἐκ προσώπου μου. Ἐξ ἀνοίας, φησὶ, καὶ νηπιώδους διανοίας ταύτην τὴν τιμωρίαν ὑπομενοῦσιν. Ἐγὼ μὲν γὰρ αὐτοὺς ἐξ Αἰγύπτου μετεκάλεσα, καὶ τῆς πικρᾶς ἐκείνης ἠλευθέρωσα δουλείας· αὐτοὶ δὲ, ἀπῴχοντο ἐκ προσώπου μου μὴ θελήσαντες ἐμοὶ ἐμφανίζεσθαι, καὶ ἐμοὶ λειτουργεῖν, ἀλλὰ τοῖς εἰδώλοις. Ἢ καὶ οὕτως τοῦτο νοήσεις. Ὥσπερ γὰρ τινος ἀποροῦντος, τίνος ἕνεκα τοὺς οὕτω βδελυροὺς τὴν ἀρχὴν ἐκάλεσε· φησὶν, ὅτι Διὰ τοὺς πατέρας ἡμῶν [ὑμ. ?]. Ὁ μὲν γὰρ Ἰακὼβ, φησὶν, ὁ μετονομασθεὶς Ἰσραὴλ, νήπιος ἦν, τουτέστιν, ἄπλαστος, καὶ ἠγάπησα αὐτὸν ἔτι ὄντα ἐν τῇ κοιλίᾳ τῆς μητρός. *Τὸν Ἰακὼβ* γὰρ, φησὶ, *ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα.* Διὰ τοῦτο καὶ τὰ τέκνα αὐτοῦ ἐξειλόμην τῆς τῶν Αἰγυπτίων δουλείας. Αὐτοὶ δὲ, οἱ διὰ τοὺς πατέρας τιμηθέντες, ἔφυγον ἀπ' ἐμοῦ, οὐ καθ' ἕνα καὶ δύο, ἀλλὰ κατὰ πλήθη καὶ κατὰ φυλὰς, ὥσπερ καὶ ἐκάλεσα αὐτοὺς ἐξ Αἰγύπτου ἀθρόως. Καὶ αὐτὸς δὲ ὁ Χριστὸς Ἰσραὴλ λεγόμενος (αὐτὸς γὰρ τὸν Θεὸν ἑώρακεν· *Οὐδεὶς γὰρ τὸν Πατέρα ἑώρακεν, εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ*), οὗτος τοίνυν νήπιος ἐγένετο, καὶ ἐξ Αἰγύπτου ἐκάλεσεν αὐτὸν ὁ Πατὴρ, τὸν ἀληθῶς ἀγαπητόν. Ἀλλ' οἱ τῶν Ἰουδαίων παῖδες, καὶ τοῦ Χριστοῦ τέκνα λεγόμενοι, διὰ τὴν συγγένειαν τῆς σαρκὸς, κατὰ τὸ, *Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοι ἔδωκεν ὁ Θεὸς*, ὁσάκις παρ' αὐτοῦ ἐκαλοῦντο, ἀπέφευγον. Διὸ ἔλεγε· *Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε!* Ὅρα δέ· ὅτε τις τῇ κακίᾳ νηπιάζει, τότε ἀγαπᾷ αὐτὸν ὁ Θεὸς, καὶ Ἰσραὴλ αὐτὸν ποιεῖ, ὁρῶντα Θεὸν καὶ γινώσκοντα (*Εἰς γὰρ κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία*), καὶ ἐκ τῆς Αἰγύπτου μετακαλεῖται τῆς πολυπλανοῦς γνώσεως τοῦ αἰῶνος τούτου, τῆς μαρανθείσης. Πλὴν χρὴ νήφειν, μήπως μετὰ τὸ κληθῆναι ὑπὸ Θεοῦ εἰς τὴν ἐπίγνωσιν τοῦ Υἱοῦ αὐτοῦ, τὰ τέκνα ἡμῶν, τουτέστιν, οἱ ἀνθρώπινοι λογισμοὶ, οὓς γεννῶμεν ἡμεῖς, ἀποπέσωσι τοῦ Θεοῦ. Λογισμοὶ γὰρ θνητῶν δειλοὶ, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν. Διὸ καὶ Παῦλος ἔλεγεν· *Εἰ δέ τις δοκεῖ εἰδέναι τι, φρεναπατᾷ ἑαυτὸν, καὶ τετύφωται, μηδὲν ἐπιστάμενος. Ἡ γὰρ γνῶσις φυσιοῖ.*

Vers. 1, 2. *Quia infans est Israel, et ego dilexi eum, et ex Ægypto accersivi filios ejus. Quemadmodum advocavi filios ejus, sic abierunt ex facie mea.* Proque dementia et infantili cogitatione sua hoc supplicium sufferent. Ego quidem ex Ægypto ipsos accersivi, et ex amara illa servitute liberavi: ipsi autem recesserunt a me, nolentes ostendere se mihi, ac servire mihi, sed idolis. Vel in hunc etiam modum hoc intelligere poteris. Perinde namque ac quopiam ambigente, cujus rei gratia adeo exsecrabiles vocaverit primum, respondet, Propter patres. Nam Jacob cognomento Israel infans erat, hoc est, simplex et non fucatus, non fictus, quem dilexi adhuc in alvo matris suæ exsistentem. *Jacob enim*, dicit Dominus, *dilexi, Esau odio prosecutus sum* [79]. Eam ob causam filios ejus eripui ex Ægyptiorum servitute, ipsi vero patrum et majorum suorum nomine honorati, fugerunt a me, non singuli vel bini, verum secundum copias et juxta tribus, itidem ut vocavi eos ex Ægypto uno agmine. Christus ipse Israel etiam dicitur, ut qui Deum ipse viderit: *Nemo enim Patrem vidit, nisi qui ex Deo est* [80]. Ille igitur infans fuit, et hunc ex Ægypto vocavit Deus Pater, vere dilectum suum. Præterea Judæorum filii, Christi etiam pueri dicti propter cognationem carnis, secundum illud: *Ecce ego et pueri mei, quos mihi dedit Deus* [81]: quoties ab ipso vocabantur aufugerunt. Unde dixit: *Quoties volui congregare liberos tuos, et noluistis* [82]? Observa autem: quando quispiam malignitate infans est, tum diligit eum Deus, Israelem ex ipso facieus. Deum et cernentem et cognescentem. *Siquidem in maleficam animam non ingredietur sapientia* [83]. Porro ex Ægypto advocatur peccator, hoc est ex multum errante scientia, marcescenteque cognitione sæculi hujus. Proinde nos sobrios esse oportet, ne quando simul ac vocati **100** sumus a Deo, ait cognitionem Filii ejus, liberi nostri, id est cogitationes humanæ quas nos generamus, et consilia a Deo excidant. Nam cogitatio mortalium miserares est, impenseque fragiles et fallaces sunt consultationes ipsorum. Hinc et Paulus ait: *Si vero quispiam videtur novisse aliquid, seipsum seduxit, excæcatusque est, nihil sciens. Scientia enim inflat* [84].

Αὐτοὶ τοῖς Βααλεὶμ ἔθυον, καὶ γλυπτοῖς ἐθυμίων. Βααλειμ, ὡς πολλάκις εἴρηται, τὰ τοῦ Βάαλ εἴδωλα ὀνομάζει· γλυπτὰ δὲ, τὰ τῶν ἑτέρων θεῶν. Ἐνδείκνυται δὲ τὴν ἀγνωμοσύνην αὐτῶν, ὅτι αὐτὸν ἀφέντες, λυτρωσάμενον αὐτοὺς ἐξ Αἰγύπτου, τοῖς τοιούτοις ἐλάτρευον. Καὶ τὴν οἰκείαν δὲ χρηστότητα διὰ τῶν ἑξῆς ἐκφαίνει.

Ipsi Baaleim immolabant, et sculptilibus suffitum faciebant. Baaleim, ut sæpe dictum est, Baal ipsius idola nominat: sculptilia vero, cæterorum deorum. Indicat autem dementiam ipsorum, quod, relicto eo, qui ex Ægypto ipsos redemisset, hujusmodi servirent idolis. Ac propriam suam bonitatem et benignitatem per sequentia in apricum statuit.

[79] Malach. I, 1. [80] Joan. I, 18. [81] Hebr. II, 13. [82] Matth. XXIII, 37. [83] Sap. I, 4. [84] I Cor. VIII, 1.

Digitized by Google

VERS. 3. *Ego in pedes erexi Ephraim, recepi eum super brachium meum.* Tantam ego benignitatem eis ostendi, ut factus sim ipsis veluti nutrix. Et quemadmodum illa, parvulum aliquem infantem in manus acceptura, pedes ejus colligit, (4) vel eum primum veluti in pedes erigit, sicque eum sublevat : non dissimilem ad rationem ego feci, ac veluti pedes illorum colligens, vel apte dirigens, assumpsi super dextram meam. Inde juxta obscure hoc indicat, perinde quasi dicat : Non reliqui vagari citra ordinem citrave legislationem, sed collegi palantes ipsos, legem ipsis ferendo, et brachium meum, hoc est, robur meum, ipsis pro auxilio in bellis exhibendo, quod imbecillitatem eorum bajularet. Infert igitur :

A *Καὶ ἐγὼ συνεπόδισα τὸν Ἐφραὶμ, ἀνέλαβον αὐτὸν ἐπὶ τὸν βραχίονά μου.* Τοσαύτην ἀγαθότητα περὶ αὐτοὺς ἐνεδειξάμην, ὥστε ἐγενόμην αὐτοῖς ὡς τροφὸς, καὶ ὥσπερ ἐκείνη μέλλουσα μικρόν τι βρέφος εἰς χεῖρας ἀναλαβεῖν, συνάγει τοὺς πόδας αὐτοῦ, καὶ οὕτως ἀναλαμβάνει αὐτό· οὕτω κἀγὼ ἐποίησα, καὶ οἱονεὶ συμποδίσας αὐτοὺς, ὅ ἐστι, τοὺς πόδας συναγαγὼν, ἀνέλαβον ἐπὶ τὴν δεξιάν μου. Ἐκ τούτων δὲ τοῦτο αἰνίττεται, ὅτι Οὐ κατέλειψα κινεῖσθαι αὐτοὺς ἄτακτα καὶ ἀνομοθέτητα· ἀλλὰ συνήγαγον τὰς κινήσεις αὐτῶν, νόμον δοὺς αὐτοῖς, καὶ βραχίονά μου, τουτέστι, τὴν ἰσχύν μου παρασχόμενος αὐτοῖς σύμμαχον ἐν πολέμοις, τὴν ἀσθένειαν αὐτῶν ἀναβαστάζοντα. Ἐπιφέρει οὖν·

Et non cognoverunt, quod sanem eos in corruptione hominum. Non cognoverunt, inquit, quod cæteras gentes perdens et vastans ego, ipsos sanarem, adeoque eis parcerem et commodarem. Etenim Ægyptios et Palæstinam inhabitantes exterminavi. Colligebat etiam pedes Dominus sese tentantium, eosque veluti in pedes statuebat, sapienter respondens, tentabatque eos assumere super brachium suum, ipsisque demonstrare potentiam operum divinitatis suæ, quando dissolutum seu paralyticum curavit, quando cæco visum restituit, quando alia simpliciter signa et prodigia exhibuit. Verum ipsi non agnoverunt, quod medicus ipsorum demissus esset, qui perditos sanaret. *Non* enim *egent medico bene valentes* [85]. Præterea quosdam in vitiis propere currentes, colligit pedibus, et in pedes rite erigit, docens reflectere cursum ad brachium suum, hoc est opera sua, imitarique ejus politiam et administrationem. Brachium enim fortitudinis in operante vita symbolum est. At enim plerique non agnoscunt, quod in perditione humanarum cogitationum et voluntatum sanet eos, hoc est animas : id quod et alibi dicit : *Feriam pejus, et sanabo melius* [86].

B *Καὶ οὐκ ἔγνωσαν, ὅτι ἰαμαι αὐτοὺς ἐν διαφθορᾷ ἀνθρώπων.* Οὐκ ἔγνωσαν, φησὶν, ὅτι ἔτερα ἔθνη διαφθείρων καὶ ἐξολοθρεύων, αὐτοὺς ἰώμην καὶ ὠφέλουν. Καὶ γὰρ τοὺς Αἰγυπτίους καὶ τοὺς Παλαιστίνην οἰκοῦντας ἐξωλόθρευσα. Συνεπόδιζε καὶ ὁ Κύριος τοὺς πειράζοντας αὐτὸν ἐν λόγοις, σοφῶς ὑποκρινόμενος, καὶ ἐπειρᾶτο ἀναλαβεῖν αὐτοὺς ἐπὶ τὸν βραχίονα αὐτοῦ, καὶ δεῖξαι αὐτοῖς τὴν δύναμιν τῶν ἔργων τῆς θεότητος αὐτοῦ, ὅτε τὸν παράλυτον ἀνώρθωσεν, ὅτε τὸν τυφλὸν ὠμμάτωσεν, ὅτε τἆλλα ἁπλῶς ἐποίει σημεῖα καὶ τέρατα. Ἀλλ' ἐκεῖνοι οὐκ ἔγνωσαν, ὅτι ἰατρὸς αὐτῶν ἀπεστάλη, τοὺς διεφθαρμένους ἰώμενος. *Οὐ γὰρ ἔχουσι χρείαν ἰατρῶν οἱ ἰσχύοντες.* Καὶ εὑρομοῦντας δέ τινας ἐν τῇ κακίᾳ συμποδίζει, διδάσκων ἀναδραμεῖν ἐπὶ τὸν βραχίονα αὐτοῦ, τουτέστι, τὰ ἔργα αὐτοῦ, καὶ μιμήσασθαι τὴν αὐτοῦ πολιτείαν, ὡς ἐνεστιν. Ὁ βραχίων γὰρ, τῆς ἐν τῇ πρακτικῇ ἰσχύος σύμβολον. Ἀλλ' οἱ πολλοὶ οὐκ ἐπιγινώσκουσιν, ὅτι ἐν τῇ διαφθορᾷ τῶν ἀνθρωπίνων λογισμῶν καὶ θελημάτων ἴαται αὐτοὺς, τουτέστι, τὰς ψυχὰς, ὃ καὶ ἀλλαχοῦ λέγει· *Πατάξω τὸ χεῖρον, καὶ ἰάσομαι τὸ κρεῖττον.*

C

101 VERS. 4. *Extendi eos vinculis dilectionis meæ.* Ligaturus alicujus manus, extendit eas ut vincire queat. Idem hoc in loco dicit, *Extendi eos*, pro eo quod est, Paravi eos, idoneosque feci, ut ligarentur dilectione mea (5). Hoc autem veluti de vite æque ait, atque David : *Extendi palmites ejus usque ad mare et ad flumina adnata ejus* [87]. (6) Eos item, qui manuum ariditate laborabant, et paralyticos, succidentemque mulierem, et claudos extendit Dominus, suam per charitatem cum eorum infirmitates abigendo, tum morbos ferendo. In vinculis quoque, quibus constringebatur, cum ob suum in nos amorem ad Caipham duceretur, ex-

Ἐξέτεινα αὐτοὺς ἐν δεσμοῖς ἀγαπήσεώς μου. Ὁ μέλλων δῆσαί τινος χεῖρας, ἐκτείνει ταύτας εἰς τὸ δῆσαι. Τοῦτο καὶ ἐνταῦθα λέγει, ὅτι *Ἐξέτεινα αὐτοὺς*, ἀντὶ τοῦ, Ἡτοίμασα αὐτοὺς, καὶ ἐπιτηδείους ἐποίησα πρὸς τὸ δεθῆναι τῇ ἐμῇ ἀγάπῃ. Ἢ, D ὅτι Ἐξήπλωσα αὐτοὺς, καὶ πολλοὺς καὶ ἐνδόξους ἐποίησα, διότι ἐδεσμούμην τῇ πρὸς αὐτοὺς ἀγάπῃ Τοῦτο δὲ εἶπεν ὡς ἐπὶ ἀμπέλου, ὡς καὶ Δαβὶδ φησιν· *Ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης, καὶ ἕως ποταμῶν τὰς παραφυάδας.* Ἐξέτεινε καὶ τοὺς ξηρόχειρας ὁ Κύριος, καὶ τοὺς παραλύτους, καὶ τὴν συγκύπτουσαν, καὶ τοὺς χωλοὺς, διὰ τὴν ἀγάπην αὐτοῦ, καὶ τὰς ἀσθενείας αἴρων, καὶ τὰς νόσους,

[85] Luc. v, 31. [86] Jerem. II, 2. [87] Psal. LXXIX, 12.

Variæ lectiones et notæ.

(4) Verba : *Vel eum primum velut in pedes erigit* desunt in Græc. interpr.

(5) *Vel : Amplificavi eos et multos, atque claros effeci, propterea quod amore erga eos devinctus eram.* Hæc ex Cod. Bav. et Ven.

(6) Quæ sequuntur usque ad finem hujus in Oseam Commentarii desunt apud Lonicerum, adjecimusque ex Cod. Bav. et Ven.

Digitized by Google

βαστάζων. Ἀλλὰ καὶ ἐν τοῖς δεσμοῖς, οἷς ἐδέθη, ὅτε ἀπήγετο πρὸς Καϊάφαν, διὰ τὴν ἡμετέραν ἀγάπησιν, *ἐξέτεινεν αὐτούς*, ἀνεχομένους, καὶ πεπιεσμένους ὑπὸ τοῦ ἐχθροῦ, ἐλευθερώσας τῆς τοιαύτης συνοχῆς. Καὶ ὅταν οὖν δεθῇ τις ἢ νόσῳ, ἢ πενίᾳ, ἀγαπᾶται ὑπὸ τοῦ Κυρίου, κατὰ τὸν Παροιμιαστήν, καὶ ἔκτασις αὐτῷ τοῦτο γίνεται ἐπὶ τὰ ἔμπροσθεν. Οἷος ἦν καὶ Παῦλος, εὐδοκῶν ἐν ἀσθενείαις, ἐν θλίψεσι, καὶ ἐν τοῖς δεσμοῖς, οἷς εἶχε, μὴ χωριζόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος.

A *tendit eos*, dum ab hoste tenerentur premerenturque, talibus eos angustiis liberando. Vel tum ergo, cum aut morbo quis, aut paupertate premitur, a Domino, teste Paræmiasta, diligitur [88]; idque extensio ei est atque progressus in anteriora. Talis erat et Paulus, qui gloriabatur in infirmitatibus, in afflictionibus, quique vinculis quibus constringebatur, haud secreto quodam loco tenebatur, sed ad anteriora contendebat [89].

Καὶ ἔσομαι αὐτοῖς ὡς ῥαπίζων ἄνθρωπος ἐπὶ τὰς σιαγόνας αὐτοῦ, καὶ ἐπιβλέψομαι πρὸς αὐτὸν, καὶ δυνήσομαι αὐτῷ. Ἐπειδὴ εἶπεν, ὅτι *Ὡς παιδίον μικρὸν αὐτὸν ἀνέλαβον*, καὶ ὅτι *Ἠγάπησα αὐτὸν*, φησὶν, ὅτι Διὰ τοῦτο καὶ πταίοντι οὐ πικρὰς πληγὰς ἐπιθήσω ἀλλὰ μετρίως παιδεύσω, φησὶ, σιαγόνας αὐτοῦ ῥαπίζων, ἵνα αὐτὸν ἐντρέψω· ὥσπερ ἂν εἴ τις παῖδα ἡμαρτηκότα ῥαπίσειε. Καὶ γὰρ καὶ [*f.* εἰ] ἐπιβλέψομαι (7) μόνον δριμὺ πρὸς αὐτὸν, ἀρκεῖ πρὸς τὸ κατισχύσαι αὐτοῦ, καὶ τὴν ἐν αὐτῷ κακίαν ἐξαφανίσαι. Τοιοῦτό ἐστι τὸ, *Ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν*· καὶ, *Παίδευσον ἡμᾶς, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ*. Εἰ δὲ αἱ σιαγόνες πρὸς τὸ τρέφεσθαι ἡμῖν συνεργοῦσιν, ὅρα πῶς ἐῤῥάπισεν εἰς αὐτὰς τοὺς ἐν τῇ Ἰουδαίᾳ ὁ Κύριος, λιμὸν αὐτοῖς ἐπιπέμψας, πολιορκουμένοις ὑπὸ Ῥωμαίων, ὥστε ἀργῆσαι αὐτῶν τὰς σιαγόνας. Ὁ γὰρ ἐξ ἀσθενείας σαρκὸς ἑκὼν σταυρωθεὶς, οὗτος ὅτε ἐπέβλεψε πρὸς αὐτοὺς, τὴν δύναμιν αὐτοῦ ἔδειξεν αὐτοῖς. Ῥαπίζεται ἐπὶ τὰς σιαγόνας καὶ ὁ τῇ ἀτιμίᾳ περιπίπτων, ἵνα καθαιρεθῇ ἡ ἔπαρσις, ἣν ἔσχε τιμώμενος πρότερον· καὶ τότε ἐπιβλέπει ἐπ' αὐτὸν ὁ Θεός. *Ἐπὶ τίνα γὰρ ἐπιβλέψω, ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσυχον καὶ τρέμοντά μου τοὺς λόγους;* Τηνικαῦτα δὲ καὶ δύναται ἐν αὐτῷ ὁ Θεός. *Ἐν τῇ ταπεινώσει γαρ ἡμῶν, ἐμνήσθη ἡμῶν ὁ Κύριος καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.*

B *Et ero illis, quasi dans alapam homini super maxillam ejus, et respiciam ad eum, prævalens ei.* Quoniam superius dixit, *Parvum uti puerum eum excepi atque dilexi*; propterea nunc ait, Haud acerbioribus eum verberibus errantem afficiam, sed leviter corripiam, in genas ei alapam impingendo, perinde ac si quis errantem puerum alapa percuteret, quem vel torvis oculis aspicere sat est ad flectendum eum, emendandaque vitia quibus laboret. Huic simile est illud : *In tribulatione parva correctio tua nobis*; et : *Corripe nos, verum in judicio, non in furore* [90]. Quoniam vero maxillæ adjumento nobis sunt ad alimentum sumendum, animadverte, quem ad modum eis, qui in Judæa versabantur, alapam in maxillas impegerit Dominus, fame eos premens, dum a Romanis obsiderentur; quo factum est, ut officio suo maxillæ ipsæ vacarent. Qui enim per carnis imbecillitatem sponte sua crucifixus est, hic, simul ac eos respexit, C suam eis declaravit potestatem. Colaphis item cæditur quicunque ignominia afficitur, ut ea deprimatur animi elatio, qua honore præditus antea efferebatur; eumque tum Deus respicit. *Ad quem* enim *respiciam*, ait, *nisi ad humilem, mansuetum, serentemque meos sermones* [91] ? Tum etiam in eo prævalet idem Deus : *In humilitate* quippe *nostra recordatus nostri Dominus est, nosque ab hostibus redemit* [92].

Κατέβη Ἐφραὶμ ἐν Αἰγύπτῳ, καὶ Ἀσσοὺρ βασιλεὺς αὐτοῦ, ὅτι οὐκ ἠθέλησεν ἐπιστρέψαι. Τοῦτο διχῆ νοήσεις· ἢ ὅτι εἰς Αἴγυπτον παραγενόμενος, τὴν ἐκεῖθεν συμμαχίαν ἐζήτει, ἀλλ' ὅμως οἱ Ἀσσύριοι ἐβασίλευσαν αὐτοῦ κατακρατήσαντες, καὶ κατατροπωσάμενοι αὐτὸν, κἂν τοῖς Αἰγυπτίοις ἐχρῆτο D συμμάχοις· ἢ, ὅτι Εἰς Αἴγυπτον ἀπαχθήσεται αἰχμάλωτος, καὶ οἱ Ἀσσύριοι αὐτοῦ ἄρξουσι, διότι οὐκ ἠθέλησε πρός με ἐπιστρέψαι ἀπὸ τῶν εἰδώλων.

VERS. 5. *Habitavit Ephræm in Ægypto, et Assur ipse rex ejus, quia noluit converti.* **102** Hoc bifariam accipe. Aut enim sensus est, eum in Ægyptum profectum, Ægyptiorum opem implorasse, nec ob id tamen effugere potuisse Assyriorum imperium, qui eum, licet Ægyptiorum ope ita fretum, debellarunt atque everterunt. Aut innuere vult eum in captivitatem abductum iri, proindeque fore, ut Assyriorum imperio pareat, propterea quod, ait, se ab idolis ad me recipere noluit.

Καὶ ἠσθένησε ῥομφαία ἐν ταῖς πόλεσιν αὐτοῦ, καὶ κατέπαυσεν ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ φάγονται ἐκ τῶν διαβουλίων αὐτοῦ. Τουτέστιν, οὐδεὶς

VERS. 6. *Et infirmatus est gladius in civitatibus ejus, et requievit in manibus illius, et comedent de cogitationibus suis.* Nemo scilicet omnium inven-

[88] Eccle. xi, 14. [89] II Cor. xi, 5 9. [90] Jerem x, 24. [91] Isa. lxvi, 2. [92] Psal. cxxxv, 23.

Variæ lectiones et notæ.

(7) Sic in Col. Scribendum tamen ἐπιβλέψαι, vel post αὐτὸν addendum καὶ τοῦτο, vel aliud hujusmodi, ut consideranti patebit.

Digitized by Google

tus est in civitatibus, qui viribus polleret, et gladium adhibere posset; sed omnium manus relaxatæ sunt, bellicoque opere omni destiterunt. Quare necessitate compulsi, impii sui quisque consilii fructus comedunt, qui fructus sunt afflictiones atque calamitates. Hebræi quoque, qui Ægyptiorum cordis duritiem sectati sunt, cum in præceps ruerent, et divino e fastigio prolaberentur, vel regem habentes magnam Assyriorum mentem, infirmati sunt, nec amplius Spiritus gladio, Dei videlicet verbo gaudent. Quî fiat enim, ut in eis reperiatur Dei verbum, qui Verbum ipsum e medio sustulerunt? Propterea ipsorum manus omni destiterunt opere, quod placere Deo posset. Eos quippe non pœnituit, nec ad Christum sese recipere, nec in nomine Domini Jesu per baptisma lavari voluerunt. Hæc item accidunt ei qui in Ægypti regionem descendit, ubi principatus tenebrarumque potestates dominantur. Is quippe neque gladium habet discretionis, quo gladio bonum a malo discernere queat, nec aliud quidquam agere potest, quo resistat iis qui ejus animam aggrediuntur; sed captivus in servitutem ducitur, vinctisque manibus pedibusque, omni prorsus agendi potestate destituitur.

A εὑρέθη ἐν ταῖς πόλεσιν ἀνὴρ δυνατὸς, καὶ ῥομφαίᾳ χρῆσθαι δυνάμενος · ἀλλὰ πάντων αἱ χεῖρες παρέθησαν, καὶ ἐπαύσαντο τοῦ ἐνεργεῖν τι πολεμικὸν, καὶ ἀναγκαίως τὰς ἐπικαρπίας τῶν ἀσεβῶν αὐτῶν βουλευμάτων φάγονται, αἵτινές εἰσι κακώσεις καὶ θλίψεις. Καὶ οἱ τὴν σκληροκαρδίαν δὲ τῶν Αἰγυπτίων ζηλώσαντες Ἑβραῖοι, ἐν τῷ καταβῆναι καὶ ἀποπεσεῖν τοῦ ὕψους τοῦ θείου, καὶ βασιλέα ἔχοντες τὸν νοῦν τὸν μέγαν τῶν Ἀσσυρίων, οὗτοι ἠσθένησαν. Καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἡ μάχαιρα τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ. Πῶς γὰρ ἐν αὐτοῖς ἔστι ῥῆμα Θεοῦ, οἵ γε ἁπλῶς τὸν Λόγον τοῦ Θεοῦ ἠθανάτωσαν; Διὸ καὶ αἱ χεῖρες αὐτῶν ἔπαυσαν τοῦ ἐργάζεσθαί τι ἔργον θεάρεστον. Οὐκ ἠθέλησαν γὰρ μετανοήσαντες ἐπιστρέψαι, καὶ βαπτισθῆναι ἐπὶ τῷ B ὀνόματι τοῦ Κυρίου Ἰησοῦ. Ταῦτα συμβαίνει καὶ παντὶ τῷ καταβαίνοντι εἰς τὴν γῆν Αἰγύπτου, ἐν ᾗ ἄρχουσιν αἱ ἀρχαὶ καὶ ἐξουσίαι τοῦ σκότους. Οὔτε γὰρ ῥομφαίαν ἔχει ὁ τοιοῦτος τὴν τῆς διακρίσεως, δι' ἧς κρινεῖ τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος, οὔτε δύναταί τι ὅλως ἐνεργῆσαι ἀντίπαλον τοῖς τὴν ψυχὴν αὐτοῦ ἐκπολεμοῦσιν, ἀλλ' αἰχμάλωτος ἄγεται, δεδεμένος χεῖρας καὶ πόδας, καὶ πᾶσαν πρακτικὴν δύναμιν ἀφῃρημένος.

Vers. 7. *Et populus ejus suspensus de incolatu suo.* Populus videlicet Ephraim procul a familiis suis abductus est in captivitatem. Is item, qui Christum interfecit, populus hac illac incertus fertur. Quidam autem locum hunc ita intelligunt, ut sensus sit : Adeo impie agit, inquit, populus Ephraim, sibique propterea ipse in causa est, cur exteras in regiones migrare cogatur, ut proxima, quasique capiti ejus imminens esse captivitas videatur.

Καὶ ὁ λαὸς αὐτοῦ ἐπικρεμάμενος ἐκ τῆς παροικίας αὐτοῦ. Τουτέστι, τοῦ Ἐφραὶμ πόρρω τῆς οἰκείας ἀπεκρεμάσθη γῆς, αἰχμάλωτος γενόμενος. Καὶ ὁ Χριστοκτόνος δὲ ὧδε κἀκεῖσε περιφέρεται. Ἐνόησαν δέ τινες τοῦτο καὶ οὕτως. Τοσοῦτον γὰρ, φησὶν C ἀσεβεῖ ὁ λαὸς τοῦ Ἐφραὶμ καὶ ἐκ τούτου αἴτιος αὐτὸς ἑαυτῷ τοῦ μετοικισθῆναι γίνεται, ὥστε μονονουχὶ ἐπικρέμασθαι δοκεῖν καὶ μετέωρος εἶναι πρὸς τὴν αἰχμαλωσίαν.

Et Deus super honorata ejus irascetur, et non exaltabit eos. Regibus videlicet atque ducibus Deus succensebit, nec amplius regem Samariæ constituet, neque principes, nec ipsum, Ephraimum scilicet, extollet amplius, cum nullus in posterum sit ei rex futurus. In honoratis Hebraico populo erat templum, et quidquid in eo continebatur; quarum rerum causa iratus eis Dominus dixit : **103** *Ecce relinquetur domus vestra deserta* [99], nec amplius efferri per ea populus ille poterit. Is item, qui in humiliores ex alto invehitur, qui continenter eis ingruit, bonis temporalibus elatus, quæ bona sunt mundanæ hujus peregrinationis, unaque cum ipsa dissolvuntur; is, inquam, qui ita sit affectus, iratum et ipse Deum comperit super ejus honorata, divitias nimirum et gloriam, vel uxorem etiam et filios; hisque idcirco dejectus, non amplius extolletur. In alienos enim, ait, furor ejus invehitur; propterea in superbum, tanquam alieno a se animo, invehitur Deus, eique adversatur.

Καὶ ὁ Θεὸς ἐπὶ τὰ τίμια αὐτοῦ θυμωθήσεται, καὶ οὐ μὴ ὑψώσῃ αὐτόν. Τουτέστιν, ἐπὶ τοὺς βασιλεῖς καὶ ἡγουμένους, καὶ οὐκέτι ἀναστήσει βασιλέα ἐν Σαμαρείᾳ, ἤ ἄρχοντας, καὶ οὐ μὴ ὑψώσῃ αὐτὸν τὸν Ἐφραὶμ δηλαδὴ, διὰ τὸ μὴ τοῦ λοιποῦ εἶναι ἐν αὐτοῖς βασιλέα. Τίμια τοῦ Ἑβραϊκοῦ λαοῦ ὁ ναὸς καὶ τὰ ἐν αὐτῷ, ἐφ' ἃ ἐθυμώθη Κύριος ὁ εἰπών· *Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος*, καὶ οὐ μὴ ὑψωθῇ ἔτι ἐπ' αὐτοῖς ὁ λαός. Καὶ ὁ τοῖς ταπεινοτέροις D δὲ ἀπὸ ὕψους ἐπιφερόμενος, καὶ ἀεὶ αὐτοῖς ἐπικρεμάμενος καὶ ἐπαιρόμενος ἐκ τῶν βιωτικῶν ἀγαθῶν, ἃ τῆς παροικίας εἰσὶ, τῆς ἐνταῦθα, συγκαταλυόμενα ταύτῃ · καὶ ὁ τοιοῦτος οὖν εὑρίσκει τὸν Θεὸν θυμούμενον ἐπὶ τὰ τίμια αὐτοῦ, τὸν πλοῦτόν φημι, καὶ τὴν δόξαν, ἤ καὶ γυναῖκα καὶ τέκνα · καὶ καθελὼν αὐτὸν ἐπὶ τούτοις, οὐκέτι οὐ μὴ ὑψώσῃ αὐτόν. Ὁ γὰρ θυμὸς αὐτοῦ, φησὶν, ἀλλοτρίοις χρήσεται · τῷ γὰρ ὑπερηφάνῳ ὡς ἀλλοτρίῳ αὐτοῦ Θεὸς ἐπέξεισιν ἀντιτασσόμενος.

Vers. 6. *Quid tibi faciam Ephraim? Protegam te,*

Τί σε διαθῶ, Ἐφραὶμ; ὑπερασπιῶ σου, Ἰσραήλ;

[99] Luc. XIII, 35.

Digitized by Google

τί σε διαθῶ; Ἀπὸ φιλανθρωπίας πολλῆς ἀπορουμένῳ ἔοικε, καί φησιν· Οὐκ ἔχω πῶς σοι χρήσομαι. Ὑπερασπιῶ σου; ἀλλὰ τὰ ἔργα σου οὐ δικαιοῦσι τοῦτο γενέσθαι. Τί οὖν ποιήσω;

Israel? quid tibi faciam? Pro summa sua bonitate atque clementia dubitanti plane similis effectus : Incertus sum, ait, quid mihi de te sit agendum. Numquid te protegam? At obstant facinora tua quæ fas id esse negant. Quid ergo faciam?

Ὡς Ἀδαμα θήσω σε καὶ ὡς Σεβοείμ. Ἀπολέσω σε, φησίν, ὥσπερ τὰς Σοδομητικὰς ἐκείνας πόλεις· τοῦτο γὰρ δίκαιον.

Sicut Adamam ponam te, et sicut Sebeim. Destruam te, ait, ut Sodomiticas urbes illas· id enim justitia postulat.

Μετεστράφη ἡ καρδία μου ἐν τῷ αὐτῷ. Μητέρα καὶ πατέρα φιλόπαιδα μιμούμενος, φησίν· Ἐν τῷ αὐτῷ, τουτέστιν, Ἐν ὅσῳ λέγω κατὰ σοῦ, ἐστράφη ἡ καρδία μου, οἱονεὶ στρόφους τινὰς, καὶ ὑπέμεινεν ἀλγήσασα· διὸ μετέστρεψε τὴν ἀπόφασιν.

Conversum est cor meum in idem. Parentes filiorum amantissimos imitatus, *In idem*, ait, interea scilicet, dum contra te loquebar, *conversum est cor meum*, dolens videlicet vehementer angebatur, proptereaque sententiam mutavit.

Συνεταράχθη ἡ μεταμέλειά μου, οὐ μὴ ποιήσω κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ μου· οὐ μὴ ἐγκαταλείψω τοῦ ἐγκαταλειφθῆναι τὸν Ἐφραίμ. Τουτέστι, ταραχθεὶς ἀπὸ τῆς πολλῆς πρὸς σὲ φιλοστοργίας μεταμεμέλημαι, καὶ οὐ μὴ ποιήσω κατὰ τὴν ὀργήν μου. Ταῦτα δὲ λέγει, οὐχ ὡς νῦν μὲν τοῦτο φοβούμενος, νῦν δὲ ἐκεῖνο βουλόμενος (8), ἀλλὰ σχηματίζων τὸν λόγον εἰς ὀργὴν καὶ ἔλεον, εἰς τιμωρίαν καὶ φιλανθρωπίαν· καὶ δι' ἐκείνων μὲν ἐκφοβῶν, διὰ τούτων δὲ προτρέπων καὶ ἐκκαλούμενος εἰς πειθώ· ὡς ὁ Δαβὶδ λέγει· *Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν*, ἀλλὰ *καθὼς οἰκτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν*· καὶ ἐν τῷ Ἡσαΐᾳ, *Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς, ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ταῦτα ἐπιλάθοιτο γυνὴ, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαι.* Οὐχ ἵνα δὲ μόνον ἐκείνους ὠφελῇ, ταῦτα λέγει· ἀλλ' ἵνα καὶ ἡμεῖς πρὸς τὸ τοιοῦτον τῆς φιλανθρωπίας ἀρχέτυπον τὰς οἰκείας ψυχὰς εἰκονίζωμεν (Ὅσα γὰρ ἐγράφη, πρὸς νουθεσίαν ἡμῶν ἐγράφη), καὶ ἵνα μὴ πονηροὶ καὶ μνησίκακοι ὦμεν (Ὁδοὶ γὰρ μνησικάκων, εἰς θάνατον), ἀλλ' ἐν τῷ αὐτῷ καιρῷ καὶ τὰ τῆς ὀργῆς ἐπιδεικνύωμεν ῥήματα πρὸς σωφρονισμὸν, καὶ τὰ τῆς φιλανθρωπίας ἐπιφέρωμεν, πρὸς τὸ διὰ τὸ [*f.* om. τὸ] τῆς χρηστότητος ἐντρέψαι μᾶλλον καὶ καταιδέσαι. Τότε γὰρ δεικνύομεν ἑαυτοὺς λογικῶς ἐπιστατοῦντας, ὅτε χρηστότητι μᾶλλον, ἢ θυμῷ, τούτους ἐπιστρέφωμεν [*f.* -φομ.]· λογικοῦ γὰρ, τῇ ἱλαρότητι ὑπάγεσθαι. Διὸ καὶ Πέτρος ἔλεγε· *Ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον ἑκουσίως, ἀλλὰ μὴ ἀναγκαστῶς.*

Conturbata est pœnitentia mea, non faciam juxta iram furoris mei. Non derelinquam, ut deleatur Ephraim. Vehementi scilicet erga te amore percitus, proposito destiti, nec amplius faciam, quod ira mea postulabat. Hæc vero dicit, non quod modo hoc vereatur, modo illud velit; sed sermonem ad iram et misericordiam, ad supplicium atque clementiam convertit, quo nos perterrefaciat, simulque incitet et impellat ad obedientiam, ut ait David : *Non secundum iniquitates nostras retribuit nobis*, sed *quemadmodum miseretur pater filiorum, ita miseretur Dominus timentium se* [94]. Et apud Isaiam : *Numquid obliviscetur mulier filii sui, neque miserebitur partuum ventris sui? et si illa oblita fuerit, ego tamen non obliviscar tui* [95]. Hæc vero non ad eorum modo utilitatem, sed ad nostram etiam institutionem dicit, quo scilicet ad hujusmodi benignitatis exemplar nostrum quisque animum componamus : *Quæcunque* enim *scripta sunt, ad nostram doctrinam scripta sunt* [96] : simul ne mali simus, malorumque memores : *viæ* namque *malorum ad mortem* ducunt [97] : sed uno tempore iræ verba proferamus ad correctionem, adjiciamusque continuo humanitatis officia, quo magis magisque delinquentes talem ob humanitatem pudore affecti, commoveantur. Tum enim ostendimus, nos ratione alios moderari, cum humanitate **104** potius quam ira eos ducimus. Ratione quippe utentis est, placido modo regere. Quamobrem et Petrus, *Pascite*, inquit, *qui in vobis est, gregem, non coacte, sed spontanee* [98].

Διότι Θεὸς ἐγώ εἰμι, καὶ οὐκ ἄνθρωπος, ἐν σοὶ ἅγιος. Ὥσπερ τινὸς ἀνθυπενεγκόντος καὶ ἀπορήσαντος· Διὰ τί, ὦ Κύριε, τοσαῦτα ἀπειλήσας, μετημέλησε [*f.* -μελήσω], καὶ οὐ κολάζεις τὸν Ἐφραίμ; φησίν· Διότι οὐκ ἄνθρωπός εἰμι, ἀλλὰ Θεὸς ἀγαθὸς, δηλονότι οὐ τῇ ὀργῇ τὴν νίκην διδούς· τοῦτο γὰρ ἀνθρώπινον πάθος. Τί οὖν ὅλως κολάζεις; Διότι, φησὶ, καὶ ἅγιός εἰμι, μισῶν ἀδικίαν, καὶ θέλων ἐν σοὶ ἅγιος εἶναι, τουτέστι, διὰ τῶν σῶν ἔργων τὴν

Quoniam Deus ego sum, et non homo, in te sanctus. Quasi quis objecisset, quæsissetque ab eo, Cur tui te pœnitet consilii, nec amplius punis Ephraim, postquam tot ei minitatus es supplicia? Quia, subdit ille, non sum homo, sed Deus bonus atque misericors, iræ scilicet minime cedens. Id enim hominum vitium est. Cur, inquies, interdum punis? Quia sanctus, ait, quoque sum, odio habens iniquitatem, id simul cupiens, ut etiam in te sanc-

[94] Psal. CIII, 10 13. [95] Isa. XLIX, 15. [96] Rom. XV, 4. [97] Prov. XII, 28. [98] I Petr. V, 2.

Variæ lectiones et notæ.

8) Ταῦτα δὲ λέγει, οὐχ ὡς νῦν μὲν τοῦτο βουλόμενος, νῦν δὲ τοῦτο μεταβουλευόμενος. *Hæc vero dicit, non quod modo velit hoc, modo, mutata sententia, nolit*, Theodoretus ad hunc locum.

Digitized by Google

tus comperiar, uti scilicet mea sanctitas per opera tua manifestetur, neve tua per flagitia potius apud exteras nationes vilipendatur. Simile est illud : *Sanctificetur nomen tuum* [99], scilicet per nos ostendatur efferaturque laudibus.

Et non ingrediar in civitatem. Loco videlicet non concludar, nec, hominis instar, civitatem incolere compellar; ubique enim sum, omnibusque adsum. Præterea nec urbem Jerusalem ingressus est, ut eam inviseret, eique prospiceret; ob nefarios enim ipsius habitatores, eam dereliquit.

VERS. 10. *Post Dominum ambulabo.* Populum quodammodo docet, quid dicere et facere debeat, cumque ita loquentem inducit : Quoniam talis est tua bonitas atque clementia, Domine, *post Dominum ambulabo* ego, qui te offendi. Cumque gravissima pati deberem, minime tamen tuam per misericordiam sim passus, in posterum agam, quod tibi placitum erit. Hæc est hujusce dicti sententia. Cui dicto quidam adnectentes quod præcedit, *Non ingrediar in civitatem*, isthuc etiam ex populi persona dici merito autumant. Quasi populus ipse dicat : Equidem civitates munivi, quo, belli tempore, tutum in ipsis perfugium haberem : verum postquam tantam erga me benignitatem Dominus ostendit, non amplius ingrediar civitatem, sed Dominum consectabor, qui scapulis suis obumbrabit mihi [1], neque defendet atque propugnabit.

VERS. 10, 11. *Sicut leo rugiet, et formidabunt filii aquarum, et venient quasi avis ex Ægypto, et quasi columba ex terra Assyriorum. Et restituam eos in domos suas.* Futurum hinc e Babylonis urbe regressum prænuntiat, qui regressus, imperante Cyro, contingere debebat. Hic, ait, exercitum in Babylonios ducet, rugiens fremensque, tanquam leo. Per leonem autem innuit ejus potentiam ; per *Rugitus fremitusque* significat bellicos rumores. Metum, ait, is Babyloniis incutiet, atque hi, timore perculsi, sese ab ejus conspectu proripient, ut filii aquarum, pisces nimirum, animalium **105** genus valde pavidum, qui strepitum nullum, ne hominis quidem umbram, sustinere valent. Cum hic itaque Babylonios subegerit, Judæi tum ex Assyriorum Ægyptiorumque regione domum quisque suam abibunt. Cyrus enim, a Deo permotus, dimisit Hebræos qui Babylone versabantur. Qui postquam in regionem suam reversi sunt, ædificaruntque Cyri permissu Jerusalem ; cum hoc audissent Judæi, qui in Ægypto commorabantur, magnos hinc spiritus quisque sumere, domumque et ipsi suam reverti constituerunt: Quidam autem illud, *Rugiet* de Deo intelligendum putarunt, siquidem ipse metum Babyloniis incutiet. Quidquid enim potuit Cyrus, per Deum potuit, ut et Isaias multis ante annis prænuntiavit, eum (proh mirum!) nominatim ap-

[99] Matth. vi, 9. [1] Psal. xc, 4.

ἐμὴν ἁγιότητα γνωρίζεσθαι, καὶ μὴ βλασφημεῖσθαι ἐν τοῖς ἔθνεσι διὰ τῶν βδελυρῶν σου πράξεων, τοιοῦτόν ἐστι τὸ, Ἁγιασθήτω τὸ ὄνομά σου, ἀντὶ τοῦ, Ἅγιον δειχθήτω δι' ἡμῶν καὶ δοξασθήτω.

Καὶ οὐκ εἰσελεύσομαι εἰς πόλιν. Τουτέστιν, Οὐ τόπῳ περικλεισθήσομαι, οὐδὲ ὁμοίως τοῖς ἀνθρώποις πόλιν οἰκεῖν ἀναγκασθήσομαι· πανταχοῦ γὰρ καὶ πᾶσι πάρειμι. Ἀλλ' οὐδὲ εἰς τὴν πόλιν Ἱερουσαλὴμ εἰσῆλθεν, ἐπισκεψόμενος αὐτὴν, καὶ προνοησάμενος [*f.* -σόμ.] αὐτῆς· διὰ γὰρ τοὺς πονηροὺς κατοίκους, ἀφῆκεν αὐτήν.

Ὀπίσω Κυρίου πορεύσομαι. Ὡσανεὶ διδάσκει τὸν λαὸν, τί δεῖ λέγειν καὶ ποιεῖν, καί φησιν, ὅτι Ἐπειδὴ τοιαύτη ἐστὶν ἡ σὴ φιλανθρωπία, ὦ Κύριε, *ὀπίσω* τοῦ *Κυρίου πορεύσομαι* ἐγὼ ὁ προσκεκρουκώς σοι λαός· καὶ ἄξιος ὢν τὰ πάνδεινα παθεῖν, μὴ παθὼν δὲ διὰ τὸν σὸν ἔλεον, καὶ λοιπὸν τὰ ἀρεστά σοι δράσω. Τοιαύτη μὲν οὖν ἡ τοῦ ῥητοῦ διάνοια. Εἰκότως δὲ συνάψαντές τινες καὶ τὸ πρὸ τούτου, φημὶ δὴ τὸ, *Οὐκ εἰσελεύσομαι εἰς πόλιν*, εἶπον κἀκεῖνο ἐκ προσώπου τοῦ λαοῦ λέγεσθαι, φάσκοντος, ὅτι Ἀληθῶς μὲν πόλεις ὠχύρωσα, ἵνα ἐν καιρῷ πολέμου ἔξω αὐτὰς καταφύγιον· ἀλλ' ἐπειδὴ ὁ Κύριος τοιαύτην περὶ ἐμὲ φιλανθρωπίαν ἐνδείκνυται, οὐκ εἰσελεύσομαι εἰς πόλιν, ἀλλὰ τῷ Κυρίῳ ἀκολουθήσω, καὶ ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει μοι, προπολεμῶν μου καὶ προασπίζων.

Ὡς λέων ἐρεύξεται, ὅτι αὐτὸς ὠρύσεται, καὶ ἐκστήσονται τέκνα ὑδάτων· ἐκπτήσονται ὡς ὄρνεον ἐξ Αἰγύπτου, καὶ ὡς περιστερὰ ἐκ γῆς Ἀσσυρίων, καὶ ἀποκαταστήσω αὐτοὺς εἰς τοὺς οἴκους αὐτῶν. Τὴν γενησομένην μετὰ ταῦτα ἐπάνοδον ἐπὶ τοῦ Κύρου προαγορεύει. Οὗτος γὰρ ἐπιστρατεύσει μὲν, φησὶ, τοῖς Βαβυλωνίοις, ὡς δὲ λέων ἐρευξάμενος καὶ ὠρυσάμενος. Αἰνίττεται δὲ διὰ τοῦ λέοντος μὲν, τὴν δύναμιν αὐτοῦ· διὰ δὲ τοῦ, *Ἐρεύξεται καὶ ὠρύσεται*, τοὺς ἐν τῷ πολέμῳ ἀλαλαγμούς. Δειλοὺς ποιήσει τοὺς Βαβυλωνίους, καὶ ἐκστήσονται οὗτοι, ὥσπερ τέκνα ὑδάτων, τουτέστιν, ὡς ἰχθύες· δειλὸν δὲ χρῆμα ἰχθὺς, καὶ οὔτε κτύπου ἀνεχόμενον, οὔτε σκιᾶς ἀνθρωπίνης. Τούτου τοίνυν ἐλόντος τοὺς Βαβυλωνίους, οἱ Ἰουδαῖοι ἐπανελεύσονται ἐκ γῆς τε Ἀσσυρίων, καὶ ἐξ Αἰγύπτου. Ὁ γὰρ Κῦρος ὑπὸ Θεοῦ κινούμενος, ἀπέλυσε τοὺς ἐν Βαβυλῶνι ὄντας. Τούτων δὲ ἐπανελθόντων, καὶ οἰκοδομούντων τὴν Ἱερουσαλὴμ, κατὰ τὴν τοῦ Κύρου πρόσταξιν, ἀκούσαντες οἱ ἐν Αἰγύπτῳ Ἰουδαῖοι, θαῤῥήσαντες, ἀνῆλθον καὶ αὐτοί. Τινὲς δὲ τὸ, *Ἐρεύξεται*, περὶ Θεοῦ εἶπον, ὅτι αὐτὸς δειλίαν ἐμβαλεῖ τοῖς Βαβυλωνίοις. Καὶ γὰρ ὁ ἰσχύσεν ὁ Κῦρος, ἐκ Θεοῦ ἴσχυσε, καθὼς Ἡσαΐας πρὸ πολλῶν ἐτῶν προεφήτευσε, καὶ αὐτοῦ τοῦ ὀνόματος (ὦ θαῦμα!) μνησθεὶς Φησὶ γάρ· *Τάδε λέγει Κύριος τῷ χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς αὐτοῦ, ἐκ-*

Digitized by Google

ἀκοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη, καὶ ἰσχὺν βασιλέων διαρρήξω. Ἀνοίξω ἔμπροσθεν αὐτοῦ θύρας, καὶ πόλεις οὐ συγκλεισθήσονται. Λέγει δὲ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὸ, Ὀπίσω Κυρίου πορεύσομαι· οὐ γὰρ ἀντίθεός εἰμι· ἀλλ' αὐτός μοι εἶπε, τί εἴπω, καὶ τί λαλήσω. Καί· Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱόν, καὶ δείκνυσιν αὐτῷ τὰ ἔργα· καὶ, Γενηθήτω τὸ θέλημά σου. Ἠρεύξατο δὲ καὶ ὠρύσατο ὡς λέων, ὅτε κράξας φωνῇ μεγάλῃ, τὴν ψυχὴν εἰς χεῖρας τοῦ Πατρὸς ἠρεύξατο, κοιμηθεὶς ὡς λέων. Τότε καὶ τὰ τέκνα τοῦ κρατοῦντος τῶν ὑδάτων δράκοντος, αἱ συναποστάτιδες αὐτοῦ δυνάμεις, ἐφοβήθησαν, τὸν θάνατον ὁρῶσαι σκυλευόμενον. Πολλὰ γὰρ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθησαν, ἅτινα τέκνα τοῦ δράκοντος ἐξεπέτασαν ἀπό τε Αἰγύπτου καὶ Βαβυλῶνος. Θεογνωσίας γὰρ ἐκεῖσε ἐμπολιτευομένης, ἐξηλάθησαν ἐκεῖθεν, καὶ ἀποκατέστησαν εἰς τὰς ἀβύσσους τοῦ σκότους, αἵτινες ἦσαν οἶκοι αὐτῶν. Τέκνα ὑδάτων, αἱ τῷ ὑγρῷ καὶ διαλελυμένῳ βίῳ συγγενεῖς πράξεις, ἃς, ὅταν ἐρεύξηται ἐκ τῆς ἀγαθῆς καρδίας τὸν ἀγαθὸν λόγον τοῦ Εὐαγγελίου ὁ λέων ἐκ φυλῆς Ἰούδα Χριστός, ποιεῖ ἀφίπτασθαι ἡμῶν, καὶ λοιπὸν ἐκ τῆς γῆς Αἰγύπτου ἐκφεύγομεν, ὥσπερ ὄρνεον ἐκ παγίδος ἄνω πετόμενοι· καὶ ἀφιπτάμεθα ὡς περιστερὰ πραεῖα καὶ ἄκακος ἐκ τῆς τῶν Ἀσσυρίων ἐπάρσεως· ἥτις εἰ καὶ ὑψοῦται, ὅμως τῇ ἀληθείᾳ γῇ ἐστιν· καὶ τότε ἀποκαθιστάμεθα ὑπὸ Ἰησοῦ εἰς τὰς ἄνω μονάς.

Ἐκύκλωσέ με ἐν ψεύδει Ἐφραὶμ, καὶ ἐν ἀσεβείαις οἶκος Ἰσραὴλ καὶ Ἰούδα. Ἐγὼ μὲν, φησὶ, τοσαύτης αὐτοὺς ἀξιῶ προμηθείας· αὐτοὶ δὲ πανταχόθεν με περιεκύκλωσαν τῷ ψεύδει, τουτέστι, τῇ εἰδωλολατρείᾳ. Ὅπου γὰρ ἀναστραφῶ, τόπον ἐμοὶ οὐχ ὁρῶ ὑπολειφθέντα, ἀλλὰ πάντα τοῖς δαίμοσιν ἀνέθηκε. Καὶ τὸν Κύριον δὲ Ἰησοῦν ἐκύκλωσαν κύνες πολλοὶ, τὰς ψευδομαρτυρίας συντιθέντες.

Νῦν ἔγνω αὐτοὺς ὁ Θεὸς, καὶ λαὸς ἅγιος κεκλήσεται Θεοῦ. Ὅμως, φησὶ, καίτοι τοιούτους ὄντας, ἔγνων, τουτέστιν ἠγάπησα, καὶ λαόν μου ὀνομάζω. Τινὲς δὲ οὕτως· Ἔγνων, φησὶ, τὸν τρόπον, δι' οὗ εὐαρεστήσουσί μοι, καὶ κεκλήσονται Θεοῦ, καὶ ὅτι διὰ παιδείας τινὸς τοῦτο ἔστα· τρυφῶντες γὰρ ἀφίστανται ἀπ' ἐμοῦ. Καὶ οἱ ἐξ Ἑβραίων δὲ πρὸς Χριστὸν ἐπιστρέφοντες, λαὸς Θεοῦ καλοῦνται, περὶ ὧν δοκεῖ νῦν προφητεύειν.

pellando. Ait enim : *Hæc dicit Dominus christo meo Cyro, cujus apprehendi dexteram, ut exaudiant coram eo gentes, et fortitudinem regum conteram, aperiam coram eo januas, et civitates non concludentur* [a]. Dominus item noster Jesus Christus dicit, *Post Dominum ambulabo ;* non enim Dei adversarius sum, sed ipse mihi dixit, *quid dicam, et quid loquar* [b]. Et : *Pater diligit Filium, et ostendit ei opera* [c]. Et : *Fiat voluntas tua* [d]. Rugitus autem, leonis instar, edidit, fremitusque tum, cum dormiturus, in Patris manus emisit spiritum, voce magna [e], quasi leo, fremens rugiensque. Tum etiam draconis aquæ imperantis filii, potestates quæ una cum ipso a Deo defecerant, timore perterriti sunt, devictam jam mortem cernentes. Multa enim excita somno sunt corpora sanctorum, qui dormierant [f], qui draconis illius filii cum essent, Ægypto atque Babylone excesserant. Cum enim ibi Dei cognitio vigeret, abacti illinc sunt, inque tenebrarum abyssos translati, quæ quidem abyssi eis domus erant. *Aquarum* item *soboles* sunt opera, lubricæ atque dissolutæ vitæ consentanea, quæ, dum ex corde bono bonum Evangelii verbum emittit leo, e tribu Juda natus Christus, a nobis ejus vi potestateque statim evolant. Nosque in posterum ex Ægypti regione discedimus, avis instar, e laqueo superiora petentes, evolamusque, mansueta et pura uti columba, ex Assyriorum elatione, quæ licet sublimis feratur, terra tamen est, atque tum a Jesu supernas ad sedes transducimur.

VERS. 12. *Circumdedit me in mendacio Ephraim, et in impietate domus Israel et Juda.* Ego equidem, ait, tantopere eis eorumque saluti prospicere studui. Illi vero me undique mendacio, idololatria scilicet circumvenere : nam quocunque me vertam, nullum mihi relictum locum video, sed cuncta dæmonibus ii dicare non dubitarunt. Dominum quoque Jesum circumvenere canes multi, falsa in eum testimonia comminiscentes.

Nunc cognovit eos Deus, et populus **106** *sanctus vocabitur Dei.* Tales, ait, etsi essent, eos tamen cognovi, scilicet dilexi, populumque meum appello. Quidam ita locum hunc interpretantur : Novi, ait, qua ratione placere mihi possint, appellarique Dei populus, neque me latet, id per correctionem aliquam fieri debere ; nunc enim mollem et effeminatam vitam degunt, proptereaque a me recedunt. Hebræi quoque, qui sese ad Christum recipiunt, Dei populus appellantur, quo de populo in præsentia vaticinari videtur.

ΚΕΦΑΛ. ΙΒ'.

Ὁδὲ Ἐφραὶμ, πονηρὸν πνεῦμα, ἐδίωξε καύσωνα ὅλην τὴν ἡμέραν, κενὰ καὶ ματαία ἐπλήθυνε. — Πονηρὸν πνεῦμα, τὴν πονηρὰν ὁρμὴν καὶ προαίρεσιν φησιν, ἣν ἔχων ὁ Ἐφραὶμ, ἐδίωξε καὶ ἐπεζήτησε

CAPUT XII.

Ac Ephraim malus spiritus persecutus est æstum tota die, inania et vana multiplicavit. Malum spiritum appellat pravum impetum atque studium, quo cum arderet, inquit, Ephraim, malorum et affli-

[a] Isa. XLV, 1. [b] Joan. XII, 49. [c] Joan. III, 35. [d] Matth. VI, 10. [e] Matth. XXVII, 50. [f] Matth. XXVII, 52.

Digitized by Google

tionum æstum quærere consectarique videbatur, seque ipse quodammodo sponte sua in calamitates, meam negligens opem ac tutelam, conjiciebat. Quomodo? Multiplicando scilicet inania idolorum altaria. Æstus autem est et ipse idolorum cultus, quo æstu Israelis fructus omnes corrumpuntur.

Et testamentum cum Assyriis pepigit, et oleum in Ægyptum invexit. Non inania modo idola multiplicavit, sed etiam meam negligens opem, ad homines confugit : Assyrios sibi socios ascivit modo, modo Ægyptiis oleum quo carerent, dono dardedit. Oleis quippe abundat Samaritana regio. Fortasse vero tali de oleo sermo non est, nec oleum Ægyptiis ii dederunt, sed aurum eis præbendo, misericordiam hinc aliquam ab eis captare studuerunt. Malus item spiritus sunt Hebræi, qui adhuc in perfidia manent, qui per totam ipsorum vitam æstum consectantur, acri in legem studio flagrantes, nolentesque dicere : *Spiritus ante faciem nostram Christus Dominus, cui diximus : In umbra tua vivemus* [8]. Qui nec ad sacri fontis aquam accedere volunt, et in absurda prorsusque vana spe vivunt, fore, ut patriam quisque suam recipiat. Fœdus enim percusserunt cum dæmonibus Assyriorum, projeceruntque Dei misericordiam gentibus quæ in errore versabantur. Nos scilicet obtinuimus misericordiam hanc, velut hæreditatem, accepimusque Spiritus sancti oleum quo in baptismate delibuti sumus, ex Hebræis ad nos transductum. Illis enim in usu erat oleum unctionis, imago et figura spiritalis chrismatis. Deum item in mendacio circuit is, qui vanitatem diligit, et mendacium quærit, qui scilicet falsa præsentis vitæ bona consectatur. Qui quidem et ardentia **107** diaboli tela excipiens, incedensque ea, quam inde concepit, flamma, æstum consectatur, eique per ea quæ agit, continuo fit obviam, atque præceps ad gehennæ æstum alterum fertur. Idem cum superbis dæmonum potestatibus amicitiam init, inque vitæ hujus Ægyptum transfert oleum, jucunda scilicet Spiritus sancti dona quæ in sacro fonte accepit, illud projiciens Ægyptiis, ut in posterum dicere nequeat amplius, *Exaltabitur senectus mea in oleo pingui* [9].

Vers. 2. *Et judicium Domino cum Juda, et ulciscar Jacob.* Ut superius reprehendit Ephraimum, decem scilicet tribus, eique vitio vertit, quod vana multiplicarit ; ita nunc Juda, duas videlicet tribus, quæ Hierosolymis versabantur, judicatum iri dicit. Quæ tribus licet Jacob posteritas essent, minime eum ejusque virtutem æmulabantur, sed ignomi-

A τὸν καύσωνα τῶν κακώσεων (9) καὶ τῶν θλίψεων, τὴν ἐμὴν σκιὰν καὶ σκέπην ἀφεὶς, καὶ μονονουχὶ εὐθαιρέτως ταῖς συμφοραῖς ἐπιδραμών. Πῶς; Διὰ τοῦ πληθῦναι τὰ μάταια θυσιαστήρια τῶν εἰδώλων. Καύσων δὲ καὶ αὐτὴ ἡ τῶν εἰδώλων λατρεία, πάντας τοὺς καρποὺς Ἰσραὴλ διαφθείρασα.

Καὶ διαθήκην μετὰ Ἀσσυρίων διέθετο, καὶ ἔλαιον εἰς Αἴγυπτον ἐνεπορεύετο. Οὐ μόνον, φησὶ, τὰ μάταια ἐπλήθυνεν εἴδωλα, ἀλλὰ καὶ τὴν ἐμὴν ἀφεὶς βοήθειαν, ἀνθρώποις προσέφευγε· καὶ ποτὲ μὲν τοῖς Ἀσσυρίοις ἐφιλιοῦτο, ποτὲ δὲ ἔλαιον τοῖς Αἰγυπτίοις δῶρον προσέφερεν, ὡς μὴ ἔχουσιν. Ἐλαιοφόρος δὲ ὅτι μάλιστα ἡ Σαμαρεῖτις. Ἢ οὐ περὶ τοιούτου ἐλαίου λέγει, οὐδ' ὅτι αὐτοὶ ἐδίδοσαν τοῖς Αἰγυπτίοις ἔλαιον, ἀλλ' ὅτι χρυσὸν (10) αὐτοῖς προσφέροντες,
B ἐλεηθῆναι παρ' αὐτῶν ἐπραγματεύοντο. *Πονηρὸν πνεῦμα*, οἱ ἔτι ἀπιστοῦντες τῶν Ἑβραίων, οἳ καὶ ὅλον τὸν βίον αὐτῶν διώκουσι τὸν καύσωνα, ὑπερκαιόμενοι τοῦ νόμου, μὴ θέλοντες εἰπεῖν· *Πνεῦμα πρὸ προσώπου ἡμῶν Χριστὸς ὁ Κύριος, ᾧ εἴπομεν· Ὑπὸ τὴν σκιάν αὐτοῦ ζησόμεθα·* ἀλλὰ μηδὲ πρὸς τὸ ὕδωρ τοῦ βαπτίσματος τρέχοντες· καινὰς (11) δὲ καὶ ματαίας ἐλπίδας ἔχουσιν, ὅτι ἀπολήψονται τὴν πατρίδα. Διαθήκην γὰρ μετὰ τῶν νοητῶν Ἀσσυρίων διέθεντο, καὶ τὸν ἔλεον (12) τοῦ Θεοῦ τοῖς ἐν πλάνῃ ἔθνεσι προήκαντο, οἳ (13) καὶ ἐκληρονομήσαμεν τοῦ τούτου [*f.* τοιούτ.] ἐλέου. Καὶ τὸ ἔλαιον δὲ τοῦ ἁγίου Πνεύματος, ᾧ ἐχρίσθημεν βαπτισθέντες, ἐπραγματευσάμεθα ἡμεῖς ἐκ τῶν
C Ἑβραίων εἰς ἡμᾶς περιελθόν. Ἐκείνων γὰρ ἦν τὸ ἔλαιον τῆς χρίσεως, τύπος ὂν τοῦ πνευματικοῦ χρίσματος. Κυκλοῖ ἐν ψεύδει τὸν Θεὸν καὶ ὁ ἀγαπῶν ματαιότητα, καὶ ζητῶν ψεῦδος, τουτέστι, τὰ ψευδῆ τοῦ παρόντος βίου ἀγαθά. Ὁ αὐτὸς δὲ καὶ τὰ πεπυρωμένα βέλη τοῦ διαβόλου ὑποδεχόμενος, καὶ πορευόμενος τῇ φλογὶ ᾗ ἐξέκαυσε, διώκει τὸν καύσωνα, καὶ ἀεὶ τούτῳ προστρέχει ἐξ ων πράττει, πρὸς τὸν καύσωνα τῆς γεέννης ἀεὶ φερόμενος. Οὗτος καὶ ταῖς ὑψηλόφροσι δυνάμεσι τῶν δαιμόνων φιλιοῦται, καὶ εἰς τὴν Αἴγυπτον τοῦδε τοῦ βίου μετάγει τὸ ἔλαιον, τουτέστι, τὰ ἱλαρὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος, ἃ ἔλαβε βαπτισθεὶς, καὶ προδίδωσι τοῖς Αἰγυπτίοις, ὥστε τοῦ λοιποῦ μὴ δύνασθαι αὐτὸν λέγειν, ὅτι *Ὑψωθήσεται τὸ κέρας μου ἐν*
D *ἐλαίῳ πίονι.*

Καὶ κρίσις τῷ Κυρίῳ πρὸς τὸν Ἰούδαν τοῦ ἐκδικῆσαι τὸν Ἰακώβ. (14) Ὥσπερ τὸν Ἐφραὶμ, ἤτοι τὰς δέκα φυλὰς ὠνείδισεν, ὡς πληθύναντα μάταια, οὕτω νῦν πρὸς τὸν Ἰούδαν, ἤτοι τὰς ἐν Ἱεροσολύμοις δύο φυλὰς, λέγει κριθήσεσθαι. Οἱ ἐγένοντο μὲν τοῦ Ἰακὼβ ἀπόγονοι· οὐκ ἐμιμήσαντο δὲ τὴν ἐκείνου ἀρετήν· ἀλλὰ πρὸς αἰσχύνην αὐτοῦ καὶ ὕβριν ἐγέ-

[8] Thren. iv, 18. [9] Psal. xci, 11.

Variæ lectiones et notæ.

(9) Κακῶν, *malorum*, Cod. Ven.

(10) Χρηστὸν, *bonum*, Cod. Bav. Sed Theodoretus ad hunc locum χρυσὸν habet, ut in Cod. Ven.

(11) Κενὰς, *inanes*, Cod. Bav.

(12) Quasi legendum in textu sit ἔλεον, *misericordiam*, non ἔλαιον, *oleum*.

(13) Ὅ, *quod*, Cod. Bav.

(14) Ἔτι τὰς ἐν Ἱεροσολύμοις δύο φυλὰς λέγει κριθήσεσθαι, *adhuc duas, quæ Hierosolymis commorabantur, tribus judicatum ire dicit*, Cod. Bav.

Digitized by Google

νοντο. Φησὶν οὖν, ὅτι Ἐκδικήσω τὸν Ἰακὼβ νῦν· παραδοὺς γὰρ αὐτοὺς τοῖς πολεμίοις, τὴν ὕβριν, ἣν ἐκεῖνον ὕβρισαν, ἐκδικήσω.

Κατὰ τὰς ὁδοὺς αὐτοῦ, καὶ τὰ ἐπιτηδεύματα. Πῶς ἔσται ἡ ἐκδίκησις λέγει, ὅτι ἀξίως τῶν ὁδῶν αὐτοῦ, ἤτοι τῶν ἔργων καὶ τῶν ἐπιτηδευμάτων, ἤτοι τῶν ἕξεων (15)· πολλάκις γάρ τις ποιεῖ πονηρόν τι, μὴ ἀπὸ πονηρᾶς ἕξεως· ἀλλ' οὗτοι καὶ ὧδευον πρὸς τὰ κακὰ, καὶ μελέτην ἐπιτηδεύματα ταῦτα ἐποιοῦντο.

Ἐν τῇ κοιλίᾳ ἐπτέρνισε τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἐν κόποις αὐτοῦ ἐνίσχυσε πρὸς τὸν Θεὸν, καὶ ἐνίσχυσε μετὰ ἀγγέλου, καὶ ἐδυνάσθη. Τὰ κατὰ τὸν πατριάρχην Ἰακὼβ εἰς μέσον προτίθησι, τὴν τῶν ἐκγόνων αὐτοῦ παρανομίαν διελέγξαι θέλων, καὶ φησιν, ὅτι ἐκεῖνος μὲν ἀπὸ μήτρας αὐτῆς ἐκλελεγμένος ἦν τῷ Θεῷ, διὰ τὴν μέλλουσαν πάντως ἀρετήν. Καὶ ἐπτέρνισε τὸν ἀδελφὸν αὐτοῦ, (16) καὶ δι' ὅλης τῆς νυκτὸς ἐπάλαιε μετὰ τοῦ Θεοῦ, ἤτοι τοῦ ἀγγέλου· καὶ οὕτως ἦν ἰσχυρὸς, ὥστε μετὰ τοῦ Θεοῦ παλαῖσαι, εἰ καὶ τὸν μηρὸν αὐτοῦ ἐνάρκησεν. Ἐπάλαιε δὲ ὁ Θεὸς μετ' αὐτοῦ, παραμυθούμενος τὴν τούτου δειλίαν. Ἐπειδὴ γὰρ μέλλων τῷ ἀδελφῷ αὐτοῦ ἀπαντῆσαι, αὐτὸν ἐφοβεῖτο, δείκνυσιν αὐτῷ ὁ Θεὸς, ὅτι « Ἐπειδὴ μετὰ τοῦ Θεοῦ ἐνίσχυσας, καὶ μετὰ ἀνθρώπου δυνηθήσῃ. » Τὸν αὐτὸν δὲ καὶ Θεὸν καὶ ἄγγελον καλεῖ ἐνταῦθα ὁ προφήτης, ὡς καὶ Μωσῆς, ἵνα προτυπώσωσι τὸν Χριστὸν, ὃς καὶ *μεγάλης βουλῆς Ἄγγελός* ἐστι, τῆς τοῦ Πατρὸς, καὶ Θεὸς ἰσχυρός. Ἤγγειλε γὰρ ἡμῖν τὴν τοῦ Πατρὸς βουλὴν, ἥτις ἦν, τὸ δι' αἵματος τοῦ Υἱοῦ αὐτοῦ εἰρηνοποιηθῆναι τὰ ἐν οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς. Ταῦτα δὲ τύποι τῶν μελλόντων ἦσαν. Καὶ γὰρ ἐδήλουν, ὅτι οἱ ἐξ Ἰακὼβ ἀντιστήσονται τῷ ἀγγέλῳ τούτῳ καὶ Θεῷ· καὶ οἱ μὲν, ναρκήσουσι τὸν μηρὸν, τουτέστι, χωλανοῦσιν ἐν τῇ πίστει, καὶ τὴν πρὸς αὐτὸν ἐπέλευσιν οὐ ποιήσονται· οἱ δὲ, ὁμολογήσουσιν, ὥσπερ καὶ αὐτὸς ἐκεῖνος ὁ Ἰακὼβ, ὅτι *Εἶδον Θεὸν πρόσωπον πρὸς πρόσωπον*, σωματωθέντα δηλαδή. Ἐπεὶ δὲ Ἡσαῦ καὶ Ἐδὼμ ἐκλήθη, ὅ ἐστι *πυρρός*· ἔστι δὲ καὶ ἀδελφὸς τῆς ψυχῆς τὸ σῶμα· ἐάν τις ψυχὴ ἐν τῇ κοιλίᾳ τὸν ἀδελφὸν Ἡσαῦ πτερνίσῃ, τουτέστι, μὴ τῇ γαστριμαργίᾳ τῆς πυρώσεως τοῦ αἵματος ὑπαχθῇ, ἀλλὰ ταύτην ἡττήσῃ, τῷ Θεῷ συμπλακήσεται, καὶ σκάσει μὲν ὁ μηρὸς αὐτῇ, ἀργήσει δὲ καὶ ἡ πρὸς τὰ ὑπογάστρια πάθη κίνησις· ὄψεται δὲ Θεὸν καθαρθεῖσα διὰ τῆς σωφροσύνης, καὶ ἀπὸ τοῦ καλεῖσθαι Ἰακὼβ, ἤτοι πτερνιστὴς, ὅ ἐστι πρακτικὸς, Ἰσραὴλ κληθήσεται, θεωρητικὸς δηλαδὴ, κατὰ τὸ, *Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.*

Ἐκλαυσαν καὶ ἐδεήθησάν μου, ἐν τῷ οἴκῳ Ὧν εὗρόσάν με· ἐκεῖ ἐλαλήθη πρὸς αὐτούς.

nia atque dedecore afficiebant. Pœnas igitur ab iis repetam, ait, pro Jacob ; eos enim hostibus tradens, ulciscar injuriam, quam ei intulerunt.

Juxta vias ejus, et juxta adinventiones. Docet, qua ratione vindicta sit sumenda, quæ quidem talis futura dicitur, qualem ejus viæ, scilicet opera, institutaque seu habitus promereantur. Sæpenumero enim male quis agit, non habitu pravo ductus : hi vero nefaria ad facinora ferebantur, hisque patrandis omne studium operamque impendebant.

Vers. 3. *In utero supplantavit fratrem suum, et in laboribus suis prævaluit ad Deum et confortatus est cum angelo, et potuit.* Patriarchæ Jacob historiam in medium affert, ejus posteros eorumque flagitia reprehendere volens, docetque eum in matris utero fuisse a Deo electum ob eximiam ipsius virtutem ; supplantasse fratrem ; tota eum nocte luctatum cum Deo, seu cum angelo, viribus adeo pollentem, ut cum Deo luctari potuerit, obtorpescente postea femore. Ideo autem cum eo Deus luctatus est, ut eum metu liberans recrearet. Cum enim fratri suo obviam iturus, sibi valde timeret, ei quodammodo Deus hæc dicere voluit : « Quoniam cum Deo pugnando prævaluisti, prævalebis etiam pugnaturus cum homine [9]. » Eumdem autem hoc loco vocat et Deum et angelum, ut et alibi Moyses, quo Christum uterque nobis vates ante designaret, qui et Paterni *magni consilii Angelus* est, et Deus fortis [10]. Is quippe nobis nuntiavit Patris consilium, quo per ipsiusmet Filii sanguinem pacificavit quæ in cœlis et quæ in terra sunt [11]. Hæc autem umbræ futurorum erant et imagines, quippe quæ designabant posteros Jacob huic angelo atque **108** Deo repugnaturos, proindeque fore, ut alii femore torpescerent, fide scilicet claudicarent, neque sese ad Deum reciperent, alii vero, ut patriarcha ille Jacob, se Deum *facie ad faciem vidisse* [12], nimirum hominem factum, testarentur. Quoniam vero Esau Edom quoque, scilicet *rufus* appellatur, estque corpus animi frater ; si cujus animus in ventre fratrem Esau supplantet, ferventis videlicet sanguinis cupidine minime frangatur, sed eam potius vincat, is cum Deo congredietur. Torpescet ei quidem femur, infimæ scilicet partis affectus ; sed per continentiam purgatus ; Deum intuebitur, et pro Jacob supplantatore, quod idem sonat ac Activus, appellabitur Israel, nimirum Contemplativus, juxta illud, *Beati mundo corde, quoniam ipsi Deum videbunt* [13].

Vers. 4. *Fleverunt et me supplices orarunt in domo On, in qua invenerunt me : ibi dictum est ad eos.*

[9] Gen. xxxii, 28. [10] Isa. ix, 9. [11] Ephes. i, 10. [12] I Cor. xiii, 12. [13] Matth. x, 8.

Variæ lectiones et notæ.

(15) Πράξεων, *actionum*, Cod. Bav.

(16) Cod. Ven. addit : ἐξῆλθε γὰρ, φησὶν, ἐπειλημμένος τῆς πτέρνης τοῦ ἀδελφοῦ αὐτοῦ· καὶ δι' ὅλης, κ. τ. λ. *exiit enim, ait, adhærens calcaneo fratris sui, et per totam*, etc.

Digitized by Google

Locum hunc interpretes alii, Aquila, Symmachus et Theodotion, perinde ac si de Jacob dicatur, sic exponunt : *Fleviſ, supplexque eum oravit, inque Bethel eum invenit.* Cum enim fratris Esau Jacob insidias fugiens, ad patruum suum Labanum properasset, nactus in Bethel est divinam istam revelationem : *Noli timere Jacob, quia ego tecum sum*[14]. Flensque fortasse Deum orans, *Si mihi dederis*, inquit, *panem ad manducandum et vestimentum ad induendum, meque inpace dimiseris, erit mihi Dominus in Deum : et lapis quem erexi in domum Dei : cunctorumque quæ dederis mihi, decimas tibi offeram.* Hæc itaque ita explanantes interpretes isti, docent, Jacob in Bethel, ubi nunc idolum est On, flevisse, invenisseque ibi Deum, qui ei apparuerit dixeritque : *Ne timeas.* Septuaginta vero Interpretes cum plurali numero *Fleverunt, et supplices orarunt* dixerint, innuere nobis voluerunt, prophetam de populo verba facere. Nam cum alias, inquit, idolum ii colebant, tum vero etiam cum eos pœnitere videbatur, haud sacrum templum petentes, ibi fleverunt, sed ante idolum consistentes, meam ibi opem implorabant. Ego vero injuriis licet eo in loco ita affectus, mittendum tamen censui vatem meum Amos, qui eis verba mea nuntiaret. In Bethel enim oracula sua fundebat Amos, cum falsus ibi sacerdos Amasias ei dixit : *Proficiscere in terram Juda, ne vaticineris in Bethel, quia sanctificatio regis est*[15] ; dicata scilicet est idolo, quod hic regem nominat. Alii vero alias historias Deum hoc loco memorare autumant, quæ historiæ ad prædictum Jacob referantur. Cum enim ejus filii Simeon et Levi Sycimitas interfecissent, **109** eo quod eorum soror Dina violata fuerat ab Emmor filio Sichem : Jacob vehementer angebatur, veritus ne ob Sycimitarum cædem a finitimis populis et ipse necaretur[16]. In genua ideirco procumbere : Deum supplex orare, qui eum exaudiens : *Ascende*, ait, *Bethel, et habita ibi*[17]. Tum vero is universam familiam suam affatus : *Tollite*, inquit, *deos alienos e medio vestrum ; mutate vestimenta vestra, consurgentesque ascendamus Bethel*[18] ; feceruntque ita. Propterea plurali numero usus dixit, *Fleverunt meque supplices orarunt*, quo significaret eos omnes qui Jacob circumsistebant, qui una cum ipso Bethel ascendere, atque Domino sacra facere cœperunt.

VERS. 5. *Dominus autem Deus omnipotens erit mnemosynon ejus.* Dictum hoc si ad Jacob pertinere dicatur, sic accipies, Dominum scilicet eum sempiternæ memoriæ tradidisse, effecisseque, ut immortali is gloria perfrueretur. *Vivo* enim *ego*, ait Dominus : *honorantes me honorabo*[19]. Sin ad Hebræorum populum dictum illud referendum putes, sic accipe, quasi Deus populum istum cohortetur, eumque, talia verba fando, moneat :

A Τοῦτο οἱ ἄλλοι ἑρμηνευταὶ, Ἀκύλας, καὶ Σύμμαχος, καὶ Θεοδοτίων, ὡς περὶ τοῦ Ἰακὼβ τεθειμένον εἰρήκασιν· *Ἔκλαυσε καὶ ἐδεήθη αὐτοῦ, καὶ ἐν Βεθὴλ εὗρεν αὐτόν.* Φεύγων γὰρ ὁ Ἰακὼβ τὴν τοῦ Ἡσαῦ ἐπιβουλὴν, καὶ πρὸς Λάβαν τὸν θεῖον αὐτοῦ ἀποδιδράσκων, ἐν τῇ Βαιθὴλ τῆς θείας ἀποκαλύψεως ἔτυχε· *Μὴ φοβοῦ, Ἰακὼβ, διότι ἐγώ εἰμι μετὰ σοῦ·* δεόμενός τε τοῦ Θεοῦ, τάχα μετὰ κλαυθμοῦ, *Ἐάν μοι δῷς ἄρτον*, ἔλεγε, *φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι, καὶ ἀποκαταστήσῃς με μετ' εἰρήνης, ἔσται μοι Κύριος εἰς Θεόν· καὶ ὁ λίθος, ὃν ἔστησα, εἰς οἶκον Θεοῦ· καὶ πάντων ὧν μοι δῷς δεκάτην ἀποδεκατώσω σοι αὐτά.* Ταῦτα τοίνυν παραδηλοῦντες οἱ ἄλλοι ἑρμηνευταὶ, φασὶν, ὅτι ἐν τῇ Βαι- B θὴλ, ἥτις νῦν τὸ εἴδωλον τοῦ Ὼν ἔχει, ἔκλαυσεν Ἰακὼβ, καὶ εὗρε τὸν ὀφθέντα καὶ λαλήσαντα αὐτῷ· *Μὴ φοβοῦ·* οἱ δὲ Ο', πληθυντικῶς εἰπόντες τὸ, *Ἔκλαυσαν καὶ ἐδεήθησαν*, διδάσαιν ἡμῖν νοεῖν, ὅτι περὶ τοῦ λαοῦ τοῦτο λέγει. Καὶ γὰρ, φησὶν, αὐτοὶ τόν τε ἄλλον χρόνον τὸ εἴδωλον ἐθεράπευον, καὶ ὅτε δὲ μεταμελείᾳ ἔδοξαν χρῆσθαι, οὐκ εἰς τὸν ἀφωρισμένον ναὸν ἐλθόντες ἔκλαυσαν, ἀλλὰ πρὸς τὸ εἴδωλον ἑστῶτες, τὴν ἐμὴν ἐπεκαλοῦντο βοήθειαν. Ἐγὼ δὲ ὅμως καίτοι ὑβριζόμενος οὕτως ἐν ἐκείνῳ τῷ τόπῳ, τὸν προφήτην μου Ἀμὼς ἔπεμψα, λέγοντα πρὸς αὐτοὺς τὰ ἐμὰ ῥήματα. Ἐν γὰρ Βαιθὴλ προεφήτευσεν Ἀμὼς, ὅτε ὁ ψευδιερεὺς τῆς Βαιθὴλ Ἀμεσίας εἶπεν αὐτῷ· *Πορεύου εἰς γῆν Ἰούδα, καὶ μὴ προφήτευε εἰς Βαιθὴλ, ὅτι ἁγίασμα βα-* C *σιλέως ἐστί·* τουτέστιν, ἀφωρισμένη ἐστὶν αὕτη τῷ εἰδώλῳ, ὃν βασιλέα ὀνομάζει. Τινὲς δὲ ἑτέρας ἱστορίας μνημονεύειν φασὶ τὸν Θεὸν νῦν, εἰς τὸν Ἰακὼβ ταύτης ἀναγομένης. Καὶ γὰρ ὅτε Συμεὼν καὶ Λευῒ οἱ υἱοὶ αὐτοῦ, τοὺς Συκιμίτας ἀπέκτειναν, διὰ τὸ τὴν ἀδελφὴν αὐτῶν Δίναν μιανθῆναι ὑπὸ Ἐμμὼρ τοῦ Συχὲμ, τηνικαῦτα ἦλγει Ἰακὼβ, καὶ περιδεὴς ἦν, μήπως ὑπὸ τῶν περιοίκων ἀπολεῖται διὰ τοὺς Συκιμίτας. Προσπεσὼν οὖν τῷ Θεῷ, εὗρεν εἰσακούσαντα αὐτοῦ, καὶ εἰπόντα πρὸς αὐτόν· *Ἀνάβηθι εἰς Βαιθὴλ, καὶ οἴκει ἐκεῖ·* ὅτε καὶ Ἰακὼβ προσεφώνει παντὶ τῷ οἴκῳ αὐτοῦ· *Ἄρατε τοὺς θεοὺς τοὺς ἀλλοτρίους ἐκ μέσου ὑμῶν, καὶ ἀλλάξατε τὰς στολὰς ὑμῶν, καὶ ἀναστάντες, ἀναβῶμεν εἰς* D *Βαιθήλ·* καὶ ἐποίησαν οὕτως. Διὸ πληθυντικῶς εἶπεν ἐνταῦθα τὸ, *Ἔκλαυσαν καὶ ἐδεήθησάν μου*, ἵνα δηλώσῃ τοὺς περὶ τὸν Ἰακὼβ πάντας, οἳ συνανέβησαν αὐτῷ εἰς Βαιθὴλ, καὶ ἐποίησαν θυσίαν τῷ Κυρίῳ.

Ὁ δὲ Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ ἔσται μνημόσυνον αὐτοῦ. Εἰ μὲν ὡς περὶ τοῦ Ἰακὼβ λεγόμενον ἐνδέχῃ τὸ ῥητὸν, νοήσεις, ὅτι ὁ Κύριος αἰωνίαις μνήμαις αὐτὸν ἔθετο, καὶ εὔκλειαν ἀθάνατον αὐτῷ ἐπεβράβευσε. *Ζῶ* γὰρ *ἐγὼ*, λέγει Κύριος, *τοὺς δοξάζοντάς με δοξάσω.* Εἰ δὲ ὡς περὶ τοῦ λαοῦ τῶν Ἑβραίων λεγόμενον, οὕτω νοήσεις, ὅτι παραινετικῶς ποιεῖται τὸν λόγον, νουθετῶν αὐτοὺς, ἵνα ἐπεὶ τοιοῦτον Θεὸν ἔχουσι, πάντα κρατοῦντα,

[14] Gen. XXVIII, 20. [15] Amos VII, 12. [16] Gen. XXXIV, 26. [17] Gen. XXXV, 1. [18] Gen. XXXV, 2. [19] Gen. XIV, 21.

Digitized by Google

πάντα δυνάμενον, ὃς καὶ τὸν προπάτορα αὐτῶν ἐνίσχυσεν Ἰακὼβ, δέον μνημονεύωσιν αὐτοῦ ἀεὶ, καὶ μηδέποτε αὐτοῦ ἐπιλάθωνται. Οἶκος τοῦ Ὢν, τουτέστι τοῦ Ἀνωφελοῦς, ἤγουν τῆς ἁμαρτίας, ὁ κόσμος οὗτός ἐστιν· ἐν γὰρ τούτῳ ἐνεργεῖται, ἐν δὲ τῷ ἐκεῖ παύεται. Οὐδὲν δὲ οὕτως ἀνωφελὲς, ὡς ἡ ἁμαρτία, μᾶλλον δὲ μυρίας βλάβης πρόξενον. Ἐν τοίνυν τούτῳ τῷ οἴκῳ κλαίων τις καὶ δεόμενος, εὑρήσει Θεὸν, καὶ λαληθήσεται πρὸς αὐτὸν τὸ, *Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου*. Ἐπὰν δὲ ὁ κόσμος οὗτος λυθῇ, οὐκέτι κλαυθμοῦ τοιούτου καιρὸς, τοῦ μακαριζομένου καὶ παράκλησιν ἔχοντος. Τοῦ οὕτω κλαίοντος, ὡς εἴρηται, ὁ Θεὸς ἔσται μνημόσυνον. Αἰώνιον γὰρ εὐφροσύνην ἔχων, ἔχει ταύτην ἐκ τοῦ μεμνῆσθαι τοῦ Θεοῦ, καὶ τοῦ κατατρυφᾷν αὐτοῦ· *Ἐμνήσθην* γάρ, φησὶ, *τοῦ Θεοῦ, καὶ εὐφράνθην*. Οἶκος τοῦ Ὢν, ὡς εἴρηται, Ἀνωφελοῦς, ἔστι καὶ ὁ πλοῦτος, καὶ ἡ κατὰ κόσμον δόξα ἔν γε τοῖς πολλοῖς. Ὃς οὖν χρήσεται καὶ τῷ πλούτῳ καὶ τῇ δόξῃ κατὰ Θεὸν, πένητας ἐλεῶν, καὶ ἀδυνάτων προϊστάμενος, οὗτος ἐν τῷ οἴκῳ Ὢν εὑρίσκει τὸν Θεὸν, οἷος ἦν ὁ Ζακχαῖος. Διὸ καὶ λαληθήσεται πρὸς τοῦτον, ἃ πρὸς ἐκεῖνον· *Σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο*· καὶ εἰς μνημόσυνον αἰώνιον ἔσται ὁ τοιοῦτος δίκαιος. Διότι *ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος*.

A quoniam talem Deum haberent, qui cuncta posset, cunctaque nutu suo regeret, qui et eorum progenitorem confirmarit; ejus, uti par erat, omni tempore meminissent, operamque darent, ne se ulla unquam ejus oblivio caperet. Domus On, Inutilis, videlicet peccati, est hic mundus; in hoc enim mundo peccatum patratur, in altero cessat. Nihil autem ita inutile est, ut peccatum. Nihil imo adeo detrimentosum, cum immensum afferat detrimentum. Cum igitur hac in domo quis lugens orarit, Deum inveniet, qui ad ipsum hæc dicat, *Remittuntur tibi peccata tua* [20]; ubi vero mundus hic dissolvetur, haud amplius istiusmodi luctus tempus erit, qui pœnitentes solari beatosque facere valeat. Ejus qui ita lugeat, ut dictum est, *mnemosynon* Deus B erit. Quod enim æterna lætitia fruatur, habet id ex eo quod ipsius Dei meminerit, eoque delectetur: *Memor* enim, ait, *Dei fui, et delectatus sum* [21]. Domus On, scilicet Inutilis, ut superius exposuimus, est etiam opulentia, et in plerisque mundana gloria. Quisquis igitur ita divitiis utitur atque gloria, ut Deo placeat, pauperum miserendo sublevandoque tenuiores, is in domo On Deum reperit, uti Zacchæus; audietque a Deo ipso ea quæ ad Zacchæum hunc olim dicta fuere: *Hodie salus domui huic facta est* [22]; eritque talis vir justus mnemosynon sempiternum. Quoniam enim *dispersit, deditque pauperibus*, idcirco *justitia ejus manet in sæculum sæculi* [23].

Καὶ σὺ ἐν Θεῷ ἐπιστρέψεις, ἔλεον καὶ κρῖμα φυλάσσου, καὶ ἔγγιζε πρὸς Θεόν σου διὰ παντός. Εἰ καὶ ἀπειθὴς, φησὶ, καὶ ἄτακτος εἶ, καὶ πάμπολυ ἀποδέων τοῦ πατριάρχου Ἰακὼβ, ᾧ τοσαύτην προσεμαρτύρησα ἀρετὴν, ἀλλ' οὖν παιδευθεὶς ὑπ' ἐμοῦ, καὶ παραδοθεὶς αἰχμαλωσίᾳ, ἐπιστρέψεις πρὸς εὐπείθειαν καὶ εὐταξίαν. Εἶτα λοιπὸν ὡς ἤδη μαστιζομένῳ καὶ πληττομένῳ ἐπιφωνεῖ Θεός· *Ἔλεον καὶ κρῖμα φυλάσσου*. Ὥσπερ γὰρ εἴ τις δεσπότης, μαστίζων οἰκέτην παρακούοντα, ἐπιφωνεῖ αὐτῷ τῷ μαστίζειν· Ἄκουε τῶν ἐντολῶν μου· οὕτω κἀνταῦθα Θεὸς, μαστίζων τὸν λαὸν, ὡς μὴ φυλάττοντα ἔλεον καὶ κρῖμα, ἐπιφωνεῖ αὐτῷ· *Ἔλεον καὶ κρῖμα φυλάσσου*· τουτέστι, Τοῖς τε παρ' ἀξίαν συμφοραῖς περιπίπτουσι συμπαθὴς ἴσο (τοιοῦτον γὰρ ἔλεος), καὶ τὸ δίκαιον κρῖνε. Εἶτα πρὸς τὴν ἀληθῆ Θεογνωσίαν ἐνάγων, φησίν· *Ἔγγιζε πρὸς τὸν Θεόν σου διὰ παντός*· τουτέστι, Μὴ ἀποπλανῶ πρὸς εἰδωλολατρείαν, ἀλλὰ μετὰ τοῦ πράττειν τὰ δέοντα, ἔτι καὶ τῷ Θεῷ λάτρευε. Οὐδὲν γὰρ ὄφελος τῆς τῶν ἀρετῶν δῆθεν ἐργασίας, ἐὰν μὴ θεογνωσία παρῇ. Σκόπει δὲ, ὅτι ὥσπερ ὁ νόμος ἔλεγεν· *Ἀγαπήσεις Κύριον τὸν Θεόν σου, καὶ τὸν πλησίον σου*· οὕτω κἀνταῦθα τὰ δύο ταῦτα εἰσάγονται. Ἔοικε δὲ καὶ πρὸς τοὺς τέως μὲν ἀπιστοῦντας Χριστῷ, ὕστερον δὲ πιστεῦσαι μέλλοντας λέγειν ὁ προφήτης, ὅτι Καὶ σὺ ὁ νῦν ἀπιστῶν Ἰσραηλίτης, ἐν Χριστῷ ἐπιστρέψεις, ὃς ἐστι Θεός σου, οὐκ ἄνθρωπος ψιλὸς, ὡς

Vers. 6. *Et tu in Deo tuo converteris; misericordiam et judicium custodi, et appropinqua ad Deum tuum semper.* Et si contumax es, **110** ait, atque C dissolutus, patriarcha Jacob valde inferior, cui patriarchæ tantam inditam fuisse virtutem dixi; tamen a me correctus, captivitatique traditus, ad obedientiam bonamque frugem redigeris. Hunc deinde, quasi verberibus atque plagis affectum, ita alloquitur Deus: *Misericordiam et judicium custodi.* Perinde enim, ac si quis dominus non obedientem servum cædendo clamet, Audi mandata mea; ita hoc loci Deus populum corrigens, eo quod misericordiam et justitiam non servarit, ad eum clamat, *Misericordiam et judicium custodi*; misericors scilicet esto adversus eos qui citra culpam in calamitates inciderunt, id enim postulat misericordia, et fac recte justitiam administres. Dein ad veram D Dei cognitionem eum perducens, subdit, *Accede ad Deum tuum semper*; ne scilicet ad idolorum cultum amplius deflectas, sed age quæ decent, Deumque simul colito. Nulla enim exercendis virtutibus inest utilitas, ni Dei cognitio simul adsit. Illud autem animadvertas oportet, quod uti lex duo jubebat: *Diliges Dominum Deum tuum, et proximum tuum* [24]; ita et hoc loco utramque inducitur. Ad eum item, qui huc usque Christo non credidit, quique postea ad ejus fidem sese recipiet, dicere propheta videtur: Tu quoque, Israelita, qui nunc

[20] Matth. IX, 2. [21] Psal. LXXVI, 4. [22] Luc. XIX, 9. [23] Psal. II, 9. [24] Deut. VI, 5; Levit. XXXIX, 19.

Digitized by Google

non credis, in Christo converteris, qui Deus tuus est, non simplex homo, uti putabas. Ne credas autem, ubi te ad Christum receperis, in posterum omni te officio solutum fore, quod per fidem justus evaseris: verum exercere debes virtutes, inopum miserendo quidem, sed ita, ut justitiam simul exercendo, singulis impertias pro cujusque indigentia. Denique concludens auditorem cohortatur: Fac virtutem omnem; *omni tempore* colendo *ad Deum accedas*; vitia namque nos a Deo sejungunt; virtutes contra, nos ei similes efficiendo, prope ad eum accedere faciunt. Animadverte autem et illud, *Semper*: non enim ad breve modo tempus excubias agere honestatis gratia decet. Quisquis item flagitia aversatus, ad Deum sese recipit, hoc non propriis viribus, sed ope divina se facere putet; Deus enim est, qui in nobis efficit, ut quæ sibi placita sint, et (18) velle et agere possimus. Judicibus item maxime convenit, una cum misericordia rectum judicium etiam exercere; plerique enim pauperum miserti, divites perperam condemnant, licet hisce justitia patrocinetur. Propterea lege nobis cautum est, ne pauperis in judicio misereamur. Quoniam autem plerumque fit, ut misereamur quibus placere maxime studeamus; idcirco subjicit, *Accede ad Deum*; respice scilicet non homines, sed Deum ipsum, qui tibi mercedem retribuere valeat.

A ἐνόμιζες. Ἀλλὰ μὴ οἶου, ὅτι ἐὰν ἐπιστρέψῃς, ἄνετος τοῦ λοιποῦ ἔσῃ, οἷα δικαιωθεὶς ἐκ πίστεως· ἀλλὰ καὶ τὰς ἀρετὰς ἐργάζου, ἐλεῶν μέν, ἀλλὰ μετὰ κρίσεως, ὥστε διδόναι ἑκάστῳ, καθὸ ἂν τις χρείαν ἔχῃ. Εἶτα συγκλείων τὸν ἀκροατὴν, πᾶσαν (17) ἀρετὴν, φησίν· *Ἔγγιζε πρὸς τὸν Θεόν σου διὰ παντός*. Αἱ μὲν γὰρ ἁμαρτίαι, διιστῶσιν ἀνὰ μέσον ἡμῶν καὶ Θεοῦ· αἱ δὲ ἀρεταὶ, ἐγγίζειν ποιοῦσι διὰ τὴν ὁμοιότητα. Ὅρα δὲ καὶ τὸ, *Διὰ παντός*· δεῖ γὰρ μηδὲ πρὸς βραχὺ πρὸς τὸ καλὸν ἀπονυστάζαι. Καὶ ὁ ἐξ ἁμαρτίας δὲ ἐπιστρέφων, μὴ οἰέσθω, ὅτι ἐν οἰκείᾳ δυνάμει ἐπιστρέφει, ἀλλ' ἐν Θεῷ· Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας. Μάλιστα δὲ ἁρμόσει τοῖς δικασταῖς μετὰ τοῦ ἐλεεῖν καὶ τὸ φυλάσσεσθαι B κρῖμα. Πολλοὶ γὰρ ἐλεοῦντες δῆθεν τοὺς πένητας, κατακρίνουσιν ἁπλῶς τοὺς πλουσίους, κἂν τὸ δίκαιον ἔχωσιν αὐτοῖς συνιστάμενον. Διὰ τοῦτο νομοθετούμεθα, μὴ ἐλεεῖν πτωχὸν ἐν κρίσει. Ἐπειδὴ δέ ἐστιν ἐλεεῖν, καὶ δικαίως κρίνειν, μὴ κατὰ Θεὸν δὲ, ἀλλὰ πρὸς ἀνθρωπαρέσκειαν, ἐπάγει· *Ἔγγιζε πρὸς Θεόν σου*· μὴ ἀποστραφῇς πρὸς ἀνθρώπους· ἀλλὰ πρὸς τὸν Θεὸν βλέπε, τοὺς μισθοὺς ἀποδώσοντα.

111 VERS. 7. *Chanaan in manu ejus statera iniquitatis præponderare amavit.* Hæc equidem Ephraimum ego doceo, misericordiam et justitiam simul uti servet, et reliqua; ipse vero Chanaan evasit, Chananæorum avaritiam et injustitiam æmulando. Ita et Ezechiel ad Jerusalem dicit: *Semen et generatio tua de terra Chanaan* [25]. Quorum enim imitata mores est, eorum etiam denominationem obtinuit. His similia dixit et David de hominibus iis qui tum temporis vivebant: *Mendaces filii hominum in stateris, ut injuste agant* [26].

Χαναὰν ἐν χειρὶ αὐτοῦ ζυγὸς ἀδικίας, καταδυναστεύειν ἠγάπησεν. Ἐγὼ μὲν, φησὶ, ταῦτα διδάσκω τὸν Ἐφραὶμ, ὥστε ἔλεον καὶ κρῖμα φυλάσσειν, καὶ τὰ ἑξῆς· αὐτὸς δὲ Χαναὰν γέγονε, ζηλώσας τὴν τῶν Χαναναίων πλεονεξίαν καὶ ἀδικίαν. Οὕτω καὶ Ἰεζεκιὴλ λέγει πρὸς τὴν Ἱερουσαλήμ· *Τὸ σπέρμα καὶ ἡ γέννησίς σου, ἐκ γῆς Χαναάν*· ὧν γὰρ τοὺς τρόπους ἐζήλωσε, τούτων καὶ τὴν προσηγορίαν ἐδέξατο. Τοιοῦτον γὰρ καὶ Δαβὶδ εἶπε περὶ τῶν τότε ἀνθρώπων· *Ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι.*

C

VERS. 8. *Dixit Ephraim: Verumtamen dives effectus sum, inveni requiem mihi. Omnes labores ejus non invenientur ei propter iniquitates in quibus peccavit.* Cum ita per iniquitatem, ait, pauperumque oppressionem opes sibi Ephraim comparasset, futurum existimavit, ut aliquam inde requiem capere, seque, dum tentationis æstu agitaretur, reficillare posset; sed non ita erit. Quæcunque enim labore coegit, vana erunt, eique prorsus inutilia. Testatur id et David: *Nolite sperare in iniquitate, et rapinas nolite, concupiscere: divitiæ si affluant, nolite cor apponere* [27]. Ii quoque quibus Dominus dixit, *Si filii Abraham essetis, Abrahæ opera faceretis* [28], Chanaan erant, statera iniquitatis usi; quippe qui, Barabbas latro uti dimitteretur, postu-

Εἶπεν Ἐφραίμ· Πεπλούτηκα, εὕρηκα ἀναψυχὴν ἐμαυτῷ. Πάντες οἱ πόνοι αὐτοῦ οὐχ εὑρεθήσονται αὐτῷ, διὰ τὰς ἀδικίας, ἃς ἥμαρτεν. Ἐξ ἀδικίας, φησὶ, καὶ τοῦ καταδυναστεύειν ἑτέρους πλουτήσας Ἐφραὶμ, ἐπήλπισεν, ὅτι ἀνάπαυσιν ἕξει, καὶ ἀναψύξει ἀπὸ καύσωνος παντὸς πειρασμοῦ· ἀλλὰ τοῦτο οὐκ ἔσται. Ὅσα γὰρ ἐπόνησε, μάταια D ἔσονται. Ταῦτα καὶ Δαβὶδ λέγει· *Μὴ ἐλπίζετε ἐπ' ἀδικίαν, καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε. Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν.* Κἀκεῖνοι δὲ, πρὸς οὓς εἶπεν ὁ Κύριος, *Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν*, Χαναὰν ἦσαν, ζυγὸν ἀδικίας κατέχοντες, οἵ γε τὸν λῃστὴν Βαραββᾶν ἐξῃτήσαντο· τὸν δὲ εὐεργέτην Χριστὸν, ἐσταύρωσαν, οἳ καὶ πρὸς αὐτὸν φθόνῳ ζῶντα δια-

[25] Ezech. xvi, 3. [26] Psal. lxi, 10. [27] Psal. lxi, 11. [28] Joan. viii, 39.

Variæ lectiones et notæ.

(17) Εἰς τὴν πᾶσαν, Cod Ven.

(18) *Non sumus* enim *sufficientes cogitare aliquid a nobis, quasi ex nobis*, ait D. Paulus II Cor. iii, 15. *Et misericordia Domini*, teste Psalmista psal. lviii, 11, *prævenit* nos, atque ita facit, ut velimus, eademque misericordia subsequitur, Psal. xxii, 6, efficitque, ut cum assensum prævenienti gratiæ præstiterimus, agamus quæ velimus.

Digitized by Google

χαιόμενοι, ψήθησαν παραψυχὴν (19) εὑρεῖν, θανατώσαντες αὐτόν. Ἀλλ' οὐδὲν ὠνήσονται, φησίν· οὐ μόνον γὰρ ἐκεῖνον παῦσαι οὐκ ἴσχυσαν δοξαζόμενον, ἀλλὰ καὶ πάντα τὰ ἐξαίρετα αὐτῶν, ἐφ' οἷς ἐπόνησαν, ὑπὸ Ῥωμαίων ἠφανίσθησαν. Ἴσως καί τις ἐξ ἀδικίας πλουτῶν ἐρεῖ, ὅτι Πεπλούτηκα, εὗρηκα ἀναψυχὴν ἐμαυτῷ· ἀλλ' ἀκουέτωσαν οἱ τοιοῦτοι τά τε ἄλλα, καὶ ὅτι Χαναάν εἰσι παῖδες, ᾧ κατηράσατο Νῶε.

A larunt; Christum vero optime de se meritum crucifixerunt. Qui quidem adversus eum invidia, veluti flamma, flagrantes, aliquid inde refrigerationis se capturos putabant, si eum occidissent. Verum, ait, nullam hinc utilitatem capient; non solum enim id obtinere non potuerunt, ut ne amplius ipse coleretur, sed optima quæque, quæ prima ipsi ducebant, quibus colligendis magnopere laborarant, a Romanis dispersa sunt atque deleta. Fortasse quis etiam per iniquitatem dives effectus, dicere queat, Dives effectus sum, inveni requiem mihi; sed qui ita sit affectus, animadvertat inter alia se filium esse Chanaan, cui Moyses maledixerit.

Ἐγὼ δὲ Κύριος ὁ Θεός σου, ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου. Ἔτι κατοικιῶ σε καὶ ποιήσω ἐν σκηναῖς κατοικεῖν, καθὼς καὶ ἐν ἡμέραις ἑορτῆς. Σὺ μέν, φησὶ, τῷ πλούτῳ σου τῷ ἐξ ἀδικίας ἐπῆλπισας· ἐγὼ δὲ ὥσπερ σε ἀνήγαγον ἐκ γῆς Αἰγύπτου, καὶ διὰ τῆς ἐρήμου βαδίζοντα ἐποίησα σκηναῖς κατοικεῖν· οὕτω καὶ νῦν μετοικιῶ σε καὶ ποιήσω ἐν σκηναῖς κατοικεῖν, καθὼς ἐν ταῖς τῆς Σκηνοπηγίας ἡμέραις εἴωθας ἐν ταῖς σκηναῖς κατοικεῖν. Καὶ γὰρ τὴν ἑορτὴν τῆς Σκηνοπηγίας ὁ Θεὸς διὰ τοῦτο προσέταξεν, ἵνα ἐν σκηναῖς κατοικοῦντες, μὴ ἀμνημονῶσι τῆς ἐν ἐρήμῳ διαγωγῆς. Οὕτω μέντοι καὶ οἱ θεοκτόνοι γενόμενοι, ἀπὸ χώρας εἰς χώραν μεταναίστανται, καὶ ἐοίκασι τοῖς ἐν σκηναῖς κατοικοῦσι. Καὶ ὃν δὲ ὁ Κύριος ἐξάγει ὡς ἐξ Αἰγύπτου τῆς ἁμαρτίας, διδάσκει σκηνὴν ἡγεῖσθαι καὶ παροικίαν τόνδε τὸν βίον. Τότε γὰρ καὶ ἔστιν ἑορτάζειν τῷ Κυρίῳ τὴν κατὰ πνεῦμα ἑορτήν.

B Vers. 9. *Ego autem Dominus Deus tuus eduxi te de terra Ægypti. Adhuc habitare faciam te in tabernaculis, sicut in die solemnitatis.* Tu quidem, ait, iniquitate partis tuis opibus magnopere confidebas; ego vero ut olim eduxi te ex Ægypto, perque deserta loca vagantem in tabernaculis habitare feci, sic et in præsentia patriis te sedibus depellam, inque tentoriis habitare faciam, ut Scenopegiæ tempore consueveras. Ob id enim Deus Tabernaculorum solemnitatem imperavit, ut in hisce degentes, nunquam ejus temporis memoriam deponerent, quo tempore desertis in locis essent commorati. Ad hunc plane modum sese habent et Deicidæ Judæi, qui ex uno in alium locum transferuntur, iis plane similes effecti, qui in tabernaculis degebant. Quemcumque præterea abducit Deus a peccato, tanquam **112** ex Ægypto, monet, tabernaculum peregrinationemque ducat præsentem hanc vitam; tum enim et solemnitatem istam secundum spiritum Domino celebrare merito potest.

Καὶ ἐλάλησα πρὸς προφήτας, καὶ ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην. Αἰκαίως, φησὶ, μετοικιῶ ὑμᾶς, διότι ἃ διὰ τῶν προφητῶν μου ἐλάλουν εἰς νουθεσίαν ὑμῶν, οὐκ ἠκούσατε (τὸ γὰρ, Ἐλάλησα, ἀντὶ τοῦ, Ἐλάλησα)· καὶ οὐ λόγους μόνον εἶπον, ἀλλὰ καὶ ὁράσεις ἐπλήθυνα, τουτέστι, προφητείας διὰ τῶν πραγμάτων δεικνυμένας· ὥσπερ καὶ αὐτὸν τοῦτον τὸν προφήτην ἐκέλευσε, ποτὲ μὲν πόρνην λαβεῖν, ποτὲ δὲ μοιχαλίδα, διὰ τῶν ἔργων, ὧν ἐώρων, παιδεύων αὐτούς. Διδάσκει δὲ καὶ ὅτι διαφόροις ἀποκαλύψεσιν ἐχρήσατο, οὐ τὴν ἑαυτοῦ φύσιν ἐπιδεικνὺς (ἀόρατος γὰρ αὐτη), ἀλλὰ πρὸς τὴν ἑκάστοτε χρείαν τύπους τινὰς καὶ ὁμοιώματα δεικνύων τῆς θείας φύσεως καὶ ἐνεργείας. Ἄλλως γὰρ τῷ Δανιὴλ, καὶ ἑτέρως τῷ Ἰεζεκιὴλ, καὶ τῷ Ἡσαΐᾳ ἑτέρως, καὶ τῷ Μιχαίᾳ ἄλλως. Τινὲς δὲ οὕτως· Ἐγὼ μὲν τὰς ὁράσεις ἐπλήθυνα τὰς προφητικάς· οἱ δὲ ὑμέτεροι ψευδοπροφῆται τὰ ἔργα τῶν ἐμῶν προφητῶν μιμούμενοι, καὶ τούτοις ὁμοιούμενοι, τὰ ἀπὸ καρδίας αὐτῶν ἔλεγον. Ἱερεμίας μὲν γὰρ ξυλίνους χλοιοὺς περὶ τὸν τράχηλον θέμενος, ὑπεδήλου τὸ καταδουλωθήσεσθαι τὸν βασιλέα· ὁ δὲ ψευδοπροφήτης Ἀνανίας λαβὼν, συνέτριψε τούτους, εἰπὼν, ὅτι *Τάδε λέγει Κύριος*·

C Vers. 10. *Et loquar ad prophetas, et ego visiones multiplicavi, et in manu prophetarum assimilatus sum.* Jure, inquit, ac merito vos alio transferam, propterea quod non attendistis ea quæ vestram ad correctionem vobis locutus sum; illud enim, *Loquar*, pro Locutus sum, usurpatur. Neque verba modo feci, sed et visiones multiplicavi, prophetias nimirum, quæ rebus ipsis ostenderentur. Ad hunc plane modum et huic prophetæ Deus jussit, modo meretricem sibi adjungeret, modo adulteram; atque rebus, quas suis ipsimet oculis cernerent, eos instituit. Ostenditque præterea, se multis revelationibus usum, non quo suam ipsius naturam ob oculos eis poneret, cum ea talis sit, ut oculis omnino percipi nequeat, sed ut pro temporum D necessitate quasdam cum naturæ divinæ, tum hujus ipsius facultatis, figuras exhiberet et imagines. Alia enim ratione Danieli Deus apparuit, alia Ezechieli, aliter Isaiæ, Michææ aliter. Alii locum hunc ita exponunt, quasi dicat: Ego equidem propheticas vobis visiones multiplicavi; vestri vero falsi vates, meos imitati prophetas eorumque facta, similes eis effecti, effutiebant, quæ corde quisque suo comminiscebatur. Jeremias enim ligneas ca-

Variæ lectiones et notæ.

(19) Ἀναψυχὴν, Cod. Ven.

Digitized by Google

tenas collo suo circumponens, futurum innuit, ut in servitutem rex duceretur; falsus contra vates Ananias catenas easdem corripiens, confregit, talia fatus : *Sic conteram jugum regis Babylonis* [30]. Populum itaque reprehendit, quod, cum ad prophetas loqueretur, ipsum non audivit, sed obsequi falsis prophetis maluit, qui divinorum oraculorum speciem præ se ferebant, minime tamen veritatem loquebantur. Quoniam autem uti futurum dicitur, *Loquar ad prophetas*, sermo forte est de apostolis atque prophetis qui eorum temporibus vixerunt, ad quos pertinet illud Domini dictum, *Ego mitto prophetas et scribas et sapientes* [30]. Tales igitur ad prophetas, inquit, loquar ego, qui futuram meam incarnationem per figuras et imagines quasdam adumbravi, multa variaque prophetis qui legis tempore vixerunt, visionum genera ob oculos ponendo. Quoniamque nunc videmus per speculum et in ænigmate [31] : merito cognitio omnis quæ hic fit, umbra quædam est, omnisque visio non una et simplex, sed multiplex et varia, eademque per imagines quasdam quæ sensibus subjiciantur, exprimitur. Ita Deum, et solem et ignem, et vitam, et id genus alia nominamus.

Οὕτως συντρίψω τὸν ζυγὸν βασιλέως Βαβυλῶνος. Ἐγκαλεῖ οὖν τῷ λαῷ, ὅτι λαλοῦντος αὐτοῦ πρὸς τοὺς προφήτας, οὐκ ἤκουεν, ἀλλὰ τοῖς ψευδοπροφήταις ἐπείθετο, οἱ ὁμοιώματα θείας προφητείας, οὐκ ἀλήθειαν ἔλεγον. Ἐπεὶ δὲ ὡς μέλλον λέγεται τὸ, *Λαλήσω πρὸς προφήτας*, τάχα περὶ τῶν ἀποστόλων καὶ τῶν κατ' αὐτοὺς λέγει προφητῶν, δι' οὓς καὶ ὁ Κύριος λέγει, ὅτι Ἐγὼ *ἀποστέλλω προφήτας καὶ γραμματεῖς καὶ σοφούς*. Λαλήσω οὖν, φησὶ, πρὸς τοὺς τοιούτους προφήτας ἐγὼ, ὃς ὁμοιώματά τινα τῆς ἐμῆς ἐν σαρκὶ παρουσίας προετύπωσα, ἐν τοῖς κατὰ νόμον προφήταις ποικίλας καὶ πολλὰς ὁράσεις ὑποδείξας. Ἐπεὶ δὲ καὶ βλέπομεν ἄρτι δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι, εἰκότως πᾶσα γνῶσις ἐνταῦθα γενομένη, ὁμοίωμά ἐστι, καὶ πᾶσα ὅρασις οὐχ ἁπλῆ, ἀλλὰ πεπληθυσμένη, δι' αἰσθητῶν τινων εἰκόνων τυπουμένη. Οὕτω καὶ τὸν Θεὸν, ἥλιον, καὶ πῦρ, καὶ ζωὴν, καὶ τἆλλα τοιουτότροπα ὀνομάζομεν.

Vers. 11. *Si non Galgala est, falsi ergo erant in Galgala principes immolantes.* Ego equidem ita vos per prophetas instituemos putavi : vos contra, una cum principibus vestris Galaad atque Galgala petere : futilia ibi prorsusque vana peragere : idolis sacra facere. Harum autem duarum urbium ideo meminit, quod, ut superius dixit, omnium maxime idola consectabantur. Quoniam autem Assyriorum rex Phua urbem Galaad, quæ trans Jordanem erat, invasit, eamque primam cepit, propterea Deus ait : Cum non amplius sit Galaad (funditus enim eversa fuit), perspicuum hinc est, principes sacerdotesque vestros qui Galgalis convenerant, vanos omnino fuisse, frustra scilicet laborasse ; vanum enim erat sacra idolis facere, et ab hisce bona quærere.

Εἰ μὴ Γαλαάδ ἐστιν, ἆρα ψευδεῖς ἦσαν ἐν Γαλγάλοις ἄρχοντες θυσιάζοντες. Ἐγὼ μὲν, φησὶν, οὕτω διὰ τῶν προφητῶν ὑμᾶς ἐνουθέτουν· ὑμεῖς δὲ ἀναβαίνοντες εἰς Γαλαὰδ καὶ Γάλγαλα, σὺν τοῖς ἄρχουσιν ὑμῶν, τὰ ψευδῆ καὶ μάταια ἐτελεῖτε, τοῖς εἰδώλοις θύοντες. Μέμνηται δὲ τῶν δύο τούτων πόλεων, ὡς κατειδώλων οὐσῶν ὑπὲρ τὰς ἄλλας, ὡς ἀνωτέρω εἶπεν. Ἐπεὶ οὖν ὁ τῶν Ἀσσυρίων βασιλεὺς Φουὰ ἐπελθὼν, τὴν Γαλαὰδ πόλιν πρώτην εἷλε, πέραν οὖσαν τοῦ Ἰορδάνου, φησὶν, ὅτι Εἴπερ οὐκ ἔστιν ἡ Γαλαὰδ (ἐξωλοθρεύθη γάρ), ἆρα πρόδηλον, ὅτι ἐν Γαλγάλοις ἀναβαίνοντες ἄρχοντες ὑμῶν καὶ θυσιάζοντες, ψευδεῖς ἦσαν, ὅ ἐστι ματαιοπονοῦντες· ματαιότης γὰρ τὸ θύειν τοῖς εἰδώλοις, παρ' αὐτῶν αἰτοῦντες τὰ ἀγαθά.

Et altaria eorum quasi testudines super desertum agri. Aut sensus est, eos excelsa et conspicua construere altaria consuesse, cujusmodi sunt testudines, vel aggeres, quos aquarum cohibendarum gratia exstruere solent agricolæ qui aggeres eo nomine appellantur. Aut hoc aliud innuitur : Quemadmodum scilicet amphibium animal testudo, cum in aqua degit, facile venatores effugit ; in continente contra, facile capitur : ita et altaria quæ vos idolis erexistis, facile ab hostibus diripientur atque funditus evertentur. Vel demum sensus est : Ut justi mens ara Deo dilecta est, ita contra mens impii et flagitiosi hominis testudinis speciem quamdam præ se fert. Qui quidem crasso corporis putamine tegitur, eoque vehementer oneratus, tardus incedit ; caro quippe totus effectus, nihil quod ex imagine Dei profluat, venusti præ se fert, sed in propatulo gerit deformitatem quæ a culpa manat, perque sterilem et incultam agri, mundi

Τὰ θυσιαστήρια αὐτῶν, ὡς χελῶναι ἐπὶ χέρσου ἀγροῦ. Ἢ ὅτι τοιαῦτα θυσιαστήρια ἐποίουν ὑψηλὰ καὶ ἀπόβλεπτα, ὡς χελῶναι, ἤτοι αἱ ἀναχωματώσεις, ἃς ποιοῦσιν οἱ γεωργοὶ διὰ τὰ ὕδατα· χελῶναι [χελώνας ?] γὰρ τὰ τοιαῦτα καλοῦσιν. Ἢ, ὅτι Ὥσπερ ἡ χελώνη τὸ ζῶον ἀμφίβιον οὖσα, ἐν μὲν τῷ ὕδατι διαιτωμένη, διαφεύγει πολλάκις τοὺς θηρεύοντας· ἐν δὲ τῇ χέρσῳ, εὐάλωτός ἐστιν· οὕτως καὶ οἱ βωμοὶ τῶν εἰδώλων, οἱ παρ' ὑμῶν οἰκοδομηθέντες, εὐάλωτοι ἔσονται τοῖς πολεμίοις, καὶ ὑπ' ἐκείνων κατασκαφήσονται. Ἢ ὥσπερ ὁ νοῦς τοῦ δικαίου, θυσιαστήριόν ἐστιν ἀγαπητὸν τῷ Θεῷ, οὕτω καὶ ὁ τοῦ ἀσεβοῦς καὶ ἁμαρτάνοντος, χελώνῃ ἔοικεν, ὑπὸ τοῦ παχέος ἐλύτρου τοῦ σώματος καλυπτόμενος, καὶ βαρὺς ὑπὸ τούτῳ κινούμενος, ἅτε δὴ κατασαρκωθεὶς ὅλος, καὶ οὐδεμίαν ὡραιότητα ἐκ τοῦ κατ' εἰκόνα φέρων, ἀλλὰ τὴν ἐκ τῆς κακίας ἀμορφίαν ἐμφαίνων, καὶ ἐν τῇ χέρσῳ καὶ ἀκάρπῳ διαγωγῇ τοῦ ἀγροῦ τοῦ κόσμου τούτου πλανώμενος.

[30] Jerem. xxviii, 11. [30] Jerem. xxv, 4. [31] I Cor. xiii, 12.

Digitized by Google

Καὶ ὅταν ἴδῃς ἄνθρωπον, ἄλλοτε ἄλλον γινόμενον, καὶ ἐπαμφοτερίζοντα τοῖς ἔθεσι, τοῖς τε ἄλλοις ἀμφιβίοις ζώοις, καὶ χελώνῃ αὐτὸν παρείκασον.

A scilicet hujus, regionem oberrando vagatur. Cum item cernis hominem qui alium atque alium se præbeat, et modo hanc modo illam ambiguis moribus vitæ rationem amplectatur, fac cum cum aliis amphibiis animalibus, tum maxime testudini compares.

Καὶ ἀνεχώρησεν Ἰακὼβ εἰς πεδίον Συρίας, καὶ ἐδούλευσεν Ἰσραὴλ ἐν γυναικί, καὶ ἐφυλάξατο. Ἡλίκην τοῦ πατριάρχου Ἰακὼβ γαμετῆς ἐμνημόνευσε, καί φησιν, ὅτι ἐκεῖνος μὲν τῇ μητρὶ αὐτοῦ πειθαρχῶν, παραινούσῃ μὴ λαβεῖν γυναῖκα ἐκ τῆς γῆς Χαναάν, ἀνεχώρησεν εἰς Συρίαν πρὸς Λάβαν· καὶ ἐδούλευσε μὲν ἐκείνῳ ἐν γυναικί, ἀντὶ τοῦ, διὰ γυναῖκα, καὶ ἐφυλάξατο λαβεῖν γυναῖκα Χαναναίαν. Ἢ ὅτι διὰ τὴν Ῥαχὴλ ἐφύλαξε πάντα, ὅσα ἀνετέλλετο [*f.* ἐνετ.] αὐτῷ Λάβαν.

Vers. 12. *Et recessit Jacob in campum Syriæ, et servivit Israel in uxore, et observavit.* Rursus patriarchæ Jacob uxoris meminit, docetque, eum matri obsequentem suæ, quæ ne Chananæam uxorem duceret hortabatur, in Assyriam ad Labanum contendisse, eique servisse in uxore, uxoris videlicet gratia, cavisseque ne uxorem duceret Chananæam. Vel *observavit* ideo dicit, quod Rachelis gratia servavit, quæcunque a Labano imperabantur.

Καὶ ἐν προφήτῃ ἀνήγαγε Κύριος τὸν Ἰσραὴλ ἐξ Αἰγύπτου, καὶ ἐν προφήτῃ διεφυλάχθη. Διὰ τὴν αὐτοῦ, φησὶν, ἀρετὴν καὶ οἱ ἀπόγονοι αὐτοῦ Ἰσραηλῖται ἠγαπήθησαν ὑπὸ Θεοῦ, καὶ ἀνήγαγεν αὐτοὺς ἐξ Αἰγύπτου ἐν προφήτῃ τῷ Μωϋσεῖ, καὶ διεφύλαξεν αὐτοὺς διὰ τοῦ αὐτοῦ προφήτου (20) ἐν τῇ ἐρήμῳ· καὶ ταῦτα πολλῶν προσπολεμούντων αὐτοῖς ἐχθρῶν. Ἢ καὶ δι' Ἰησοῦ τοῦ Ναυῆ ἐφυλάχθησαν· καὶ τοῦτον γὰρ προφήτην καλεῖ. Ταῦτα τύπος Χριστοῦ. Εἰς γὰρ τὴν γῆν ἐπιβὰς, τὴν Ἐκκλησίαν ἐμνηστεύσατο, καὶ ὑπὲρ αὐτῆς ἐδούλευσε σαρκὶ καὶ πάθεσι, καὶ ταῖς νομικαῖς ἐντολαῖς, ἃς ἐφύλαξε. Καὶ ἐν αὐτῷ ἀνήχθημεν ἐξ Αἰγύπτου τῆς ἁμαρτίας, καὶ φυλαττόμεθα· ὁ προφήτης γάρ ἐστιν αὐτὸς, περὶ οὗ εἶπε Μωσῆς· *Προφήτην ὑμῖν ἀναστήσει Κύριος.* Καὶ πᾶς δὲ ἄξιος γενόμενος τοῦ κληθῆναι Ἰσραὴλ, καὶ ὁρῶν τὸν Θεὸν, καὶ δουλεύει ἐν γυναικί, ὅτε τῆς σαρκὸς πρόνοιαν ποιεῖται μὴ εἰς ἐπιθυμίαν· καὶ φυλάσσεται ἐν γυναικί, ὅτε ὑπωπιάζει τὴν σάρκα καὶ δουλαγωγεῖ· ἀνάγεταί τε ἐξ Αἰγύπτου, τοῦ σκοτεινοῦ τούτου βίου, διὰ προφήτου, τουτέστι, τοῦ λόγου, τοῦ περὶ τῶν μελλόντων διαβεβαιουμένου πρὸς ἡμᾶς. Εἰ γὰρ μὴ πιστεύσει τις τῷ λέγοντι, ὅτι ἔσται τις ἑτέρα κατάστασις μετὰ θάνατον θειοτέρα, πῶς ἀναχθήσεται ἐκ τοῦ κόσμου τούτου, οὗ τὰ ἡδέα ἐν χερσίν ἐστιν; divinioremque, qui flat, ut educatur ex hoc mundo, cujus perjucunda bona præ manibus versantur?

B Vers. 13. *Et in propheta eduxit Dominus Israel de Ægypto, et in propheta servatus est.* Ob ejus, inquit, virtutem, ipsius etiam posteros Israelitas dilexit Deus, eduxitque ex Ægypto per prophetam Moysem, eosque, per hunc ipsum prophetam, desertis in locis incolumes servavit; idque, cum multi eos hostes insequerentur. Vel etiam per Jesum, filium Nave, servati Israelitæ fuerunt, quem et ipsum prophetam appellat. Hæc Christi figura sunt et imago. Cum enim in terram descendisset, Ecclesiam sibi adjungere constituit, cujus gratia carni, ejusque affectibus, obnoxius evasit obtemperavitque legalibus mandatis, eaque **114** sibi maxime servanda putavit. Per hunc ex Ægypto, C peccato nimirum, educti sumus, perque ipsum incolumes servamur. Propheta namque is est, quo de propheta Moyses: *Prophetam suscitabit tibi Dominus* [22]. Quisquis item dignus factus est, qui Israel vocetur, Deum videns, et servit in uxore, cum carnis curam gerit non ad libidinem: et servat in uxore, cum carnem eamdem affligit, redigitque in servitutem, et ex Ægypto, tenebrosa videlicet hac vita, educitur per prophetam, Dei verbum nimirum, quo futura nobis felicitas denuntiatur. Ni enim fidem quis adhibeat affirmanti futuram post mortem aliam vitæ rationem plane

Ἐθυμώθη Ἐφραὶμ, καὶ παρώργισεν. Ὁ μὲν Ἰακὼβ, φησὶν, οὕτως ἔσπευσε μὴ παραβῆναι τὴν τῆς μητρὸς παραίνεσιν, καὶ δουλεύειν ἐφύβριστον εἵλετο, ἵνα γυναῖκα λάβῃ ἐκ γένους ἀγαθοῦ· ὁ δὲ ἐξ ἐκείνου γεννηθεὶς λαὸς τοῦ Ἐφραὶμ, πάντα ἐποίησεν, ὅσα πρὸς θυμόν με καὶ ὀργὴν κινοῦσι, τὰς χρυσᾶς στήσας δαμάλεις, καὶ προσκυνῶν αὐταῖς.

D Vers. 14. *Ad iracundiam provocavit me Ephraim et ad iram.* Jacob quidem, ait, ita matris consilio parere studuit, servitutemque servire non dubitavit adeo ignominiosam, quo sibi præclara de stirpe uxorem duceret: Ephraim contra populus, ab eo prognatus, omnia ea facinora patravit, quæ me ad iram indignationemque movent, aureas juvencas erigendo colendoque.

Καὶ τὸ αἷμα αὐτοῦ ἐπὶ αὐτὸν ἐκχυθήσεται. Παρώργισέ με, φησὶν, ἀλλὰ τῆς ἀπωλείας αὐτὸς ἑαυτῷ αἴτιος ἔσται· ἀναμάξεται ἐφ' ἑαυτὸν πάσας τὰς θανατικὰς κακώσεις.

Et sanguis ejus super eum effundetur. Ad iram, ait, me provocavit; atque ita suæ sibi ipse perditionis auctor erit, lethales in se calamitates arcessens.

[22] Deut. XVIII, 15.

Variæ lectiones et notæ

(20) Διὰ τῆς αὐτοῦ προφητείας, *per ejus prophetiam*, Cod. Ven.

Digitized by Google

Opprobrium retribuet illi Dominus secundum verbum Ephraim. Opprobrium Deus appellat injuriam, qua fuit affectus ab Jeroboam, cum populum hic affatus : *Nolite*, ait, *ascendere Hierosolyma : ecce dii tui Israel qui te eduxerunt ex Ægypto* [33]. Opprobrium igitur hoc et injuriam quæ per Ephraim, Joroboami videlicet sermonem, illata Deo est, compensabit ei Dominus. Aut sensus est, Ephraim opprobrio et injuria affectum iri secundum verbum ejus, pro ratione scilicet impietatum ejus. Christi item interfectoribus retributum est opprobrium, quo ipsum affecerunt, dicentes : *Alios salvos fecit, seipsum non potest salvum facere* [34]. Ecquomodo fuit retributum? Eo scilicet modo quo ipsi postularunt : *Sanguis ejus super nos, et super filios nostros* [34*].

A Καὶ τὸν ὀνειδισμὸν αὐτοῦ ἀνταποδώσει Κύριος αὐτῷ κατὰ τὸν λόγον Ἐφραίμ. Ὀνειδισμὸν λέγει ὁ Θεὸς τὴν οἰκείαν ὕβριν, ἣν ὕβρισεν αὐτὸν Ἱεροβοάμ, εἰπὼν πρὸς τὸν λαόν· Μὴ ἀναβαίνετε εἰς Ἱεροσόλυμα· ἰδοὺ οἱ θεοί σου, Ἰσραήλ, οἱ ἀνήγαγόν σε ἐξ Αἰγύπτου. Τὸν οὖν ὀνειδισμὸν τοῦτον καὶ τὴν ὕβριν, τὴν κατὰ τὸν λόγον τοῦ Ἐφραίμ, τουτέστι, τοῦ Ἱεροβοάμ, εἰς Θεὸν γενομένην, ἀνταποδώσει αὐτῷ ὁ Κύριος. Ἢ ὅτι ὀνειδισθήσεται καὶ ὑβρισθήσεται ὁ Ἐφραίμ, κατὰ τὸν λόγον αὐτοῦ, τουτέστιν ἀναλόγως καὶ καταλλήλως ταῖς δυσσεβείαις αὐτοῦ. Ἀπεδόθη καὶ τοῖς Χριστοκτόνοις ὀνειδισμὸς, ὃν ὠνείδιζον τῷ Χριστῷ· Ἄλλους ἔσωσε, καὶ ἑαυτὸν οὐ δύναται σῶσαι. Πῶς ἀπεδόθη; Κατὰ τὸν λόγον, ὃν εἶπον· Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.

CAPUT XIII.

VERS. 1. *Justificationes accepit in Israel, et posuit Baal.* Cum meas accepisset leges, quibus consentaneam cum vitam degere oportebat, meque ita colere : Baal eas numini posuit, idolis nimirum dicavit, pactum cum hisce quodammodo ineundo, quo se illis obsecuturum pollicereretur.

Et mortuus est. Tum animo, tum corpore : animo quidem, quatenus idolorum servus Israelita factus est ; corpore vero, quatenus inimicis ad supplicium est traditus. Fortasse vero commonefacere modo **115** nos voluit veteris illius historiæ, cum a Deo ad Beelphegor desciscentibus Israelitis, multa eorum millia cæsa sunt [35], cum item Israelita, qui cum Madianitide rem habebat, a Phinees est interfectus [36].

B

ΚΕΦΑΛ. ΙΓ'.

Δικαιώματα ἔλαβεν αὐτὸς ἐν τῷ Ἰσραήλ, καὶ ἔθετο τῇ Βάαλ. Νόμους τοὺς ἐμοὺς λαβὼν, καθ' οὓς ἔδει ζῆν αὐτὸν, καὶ λατρεύειν ἐμοὶ, ἔθετο τῇ Βάαλ, ἀντὶ τοῦ, προσέθετο τοῖς εἰδώλοις, καὶ οἱονεὶ συνθήκας μετ' αὐτῶν ἐποίησεν, ὥστε δουλεύειν αὐτοῖς.

Καὶ ἀπέθανε. Καὶ ψυχικῶς, καθὸ εἰδώλων δοῦλος γέγονε, καὶ σωματικῶς, καθὸ τοῖς πολεμίοις ἐξεδόθη. Ἴσως δὲ καὶ τῆς παλαιᾶς ἐκείνης ἱστορίας μέμνηται, ὅτε πορνευσάντων Ἰσραηλιτῶν, τῶν τελεσθέντων τῷ Βεελφεγὼρ, ἔπεσον πολλαὶ χιλιάδες, ὅτε καὶ ὁ Ἰσραηλίτης τῇ Μαδιανίτιδι συμπλεκόμενος, ἐθανατώθη ὑπὸ Φινεές.

C

VERS. 2. *Et nunc apposuerunt, ut peccarent, et fecerunt sibi conflatilia ex argento suo, secundum imaginem idolorum, opera artificum conflata eis.* Augent, ait, impietatem : non enim contenti sunt prioribus flagitiis, neque per cædem illam ad sanitatem reversi sunt, sed insuper idola fecerunt, partim argentea, quæ scilicet argento conflarentur, partim lignea opificum manu facta, quæ ipsi sibi construxerunt. Quod eis dedecori est, cum adorarint, quæ ipsi effecerunt.

Ipsi dicunt : Immolate homines : vituli enim defecerunt. Non solum, ait, hos sibi deos fecerunt, sed populum etiam hortabantur, ut homines hisce D mactarent. Immolaverunt enim, ait, filios et filias suas dæmoniis [37]. Acriter dein eos perstringens, deridensque eorum impietatem, subdit : *Vituli enim defecerunt*, quasi diceret : Itane, impiissimi homines, defecerunt vituli, ut homines mactare sit opus? Quidam vero locum hunc ita interpretantur, ut sensus sit : Tot erant eorum dii, tot victimæ, tot altaria, ut et vituli deficerent, et homines inposterum mactarentur. Hebræi quoque, qui post Christum vixere, martyres immolabant, eos interficientes, eo quod legalibus in victimis deficere cepissent vituli, cum abrogaretur lex per fidem

Καὶ τὸν προσέθεντο τοῦ ἁμαρτάνειν ἔτι, καὶ ἐποίησαν ἑαυτοῖς χώνευμα ἐκ τοῦ ἀργυρίου αὐτῶν, κατ' εἰκόνα εἰδώλων, ἔργα τεκτόνων συντετελεσμένα αὐτοῖς. Αὔξουσι, φησὶ, τὴν ἀσέβειαν· οὐ γὰρ ἔστησαν ἐπὶ τῶν προτέρων, οὐδὲ ἐσωφρονίσθησαν τῷ θανάτῳ· ἀλλ' ἔτι ἐποίησαν καὶ εἴδωλα· τὰ μὲν χωνευτὰ, ἐξ ἀργυρίου· τὰ δὲ ἔργα τεκτόνων, τουτέστι, ξύλινα, ἃ αὐτοὶ συνετέλεσαν καὶ ἐξειργάσαντο. Ὃ καὶ πρὸς αἰσχύνην ἐστὶν αὐτοῖς, ὅτι ταῦτα προσεκύνησαν, ἃ αὐτοὶ συνετέλεσαν.

Αὐτοὶ λέγουσι· Θύσατε ἀνθρώπους· μόσχοι γὰρ ἐκλελοίπασιν. Οὐ μόνον, φησὶν, ἐποίησαν τούτους θεοὺς, ἀλλὰ παρεκελεύοντο θύειν ἀνθρώπους. Ἔθυσαν γὰρ, φησὶ, τοὺς υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις. Εἶτα διασύρων καὶ διαγελῶν ὡς ἐνβαρύτητι τὴν ἀσέβειαν αὐτῶν, φησίν· Μόσχοι γὰρ ἐκλελοίπασιν· ὡτανεὶ ἔλεγεν· Οὕτως, ὦ ἀσεβέστατοι, ἐξέλιπον οἱ μόσχοι, ὥστε ἀνθρώπους θύειν; Τινὲς δὲ οὕτως· Τοσοῦτοι ἦσαν οἱ θεοὶ αὐτῶν, καὶ τοσαῦται αἱ θυσίαι καὶ τὰ θυσιαστήρια, ὥστε καὶ τοὺς μόσχους ἐκλελοιπέναι, καὶ λοιπὸν ἀνθρωποθυτεῖν αὐτούς· καὶ οἱ μετὰ Χριστὸν Ἑβραῖοι τοὺς μάρτυρας ἔθυον ἀναιροῦντες, διότι ἐκλελοίπασιν οἱ ἐν ταῖς νομικαῖς θυσίαις θυόμενοι μόσχοι, τοῦ νόμου καταργουμένου διὰ τῆς

[33] III Reg. xii, 28. [34] Matth. xxvii, 42. [34*] Ibid. 25. [35] Num. xxv, 3. [36] Ibid. 8. [37] Psal. cv, 37.

Digitized by Google

πίστεως, ἣν οἱ μάρτυρες ἐκήρυττον. Καὶ πᾶς δὲ ὁ τὴν ἡδονὴν τιμῶν ὡς ἀγαθὸν, ἥ ἐστιν εἴδωλον ἀγαθοῦ καὶ ἡδονῆς, ἀνθ' ὧν ἔδει σφάττειν μόσχους, ἤτοι τὴν ἀλογίαν, ἀνθρώπους σφάττει, ἀποκτιννύων τὰ χαρακτηριστικὰ τοῦ ἀνθρώπου, τοῦ ἀνακαινουμένου κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν.

A quam martyres ipsi prædicabant. Quisquis item voluptatem uti bonum colit (quæ quidem voluptas imago boni est, et voluptatis umbra), pro vitulis brutis videlicet affectibus, homines mactat, hominis illius notas delendo, qui ad Creatoris imaginem renovatur.

Διὰ τοῦτο ἔσονται ὡς νεφέλη πρωϊνὴ, καὶ ὡς δρόσος ὀρθρινὴ πορευομένη, ὡς χνοῦς φυσώμενος ἀπὸ ἅλωνος, καὶ ὡς ἀτμὶς ἀπὸ καπνοδόχου. Ἕνεκα, φησὶ, ταύτης τῆς ὑπερβολικῆς ἀσεβείας, δι' ἣν καὶ παιδοκτόνοι γίνονται, ἀφανιῶ αὐτοὺς τῇ τῶν πολεμίων ἐφόδῳ. Ὥσπερ γὰρ τὴν ἑωθινὴν δρόσον, καὶ τὴν πρωϊνὴν νεφέλην ἥλιος ῥαπανᾷ καὶ διασκεδάζει ῥᾳδίως· καὶ ὥσπερ τὸν χνοῦν τῆς ἅλωνος ἄνεμος ἀφανίζει, καὶ ἀτμὸς καπνοδόχης, ἤγουν ὁ καπνὸς, εἰς ἀέρα διαλύεται· οὕτω καὶ αὐτοὶ ὑπὸ τῶν πολεμίων ἀναλωθήσονται.

VERS. 3. *Idcirco erunt quasi nubes matutinæ, et sicut ros matutinus pertransiens, et sicut pulvis exsufflatus ab area, et sicut vapor a camino.* Ob hanc, ait, summam eorum impietatem, qua suæ quisque sobolis interfector exstitit, disperdam ipsos, hostium nimirum impetu et incursu. Ut enim matutinum rorem, nubemque antelucanam, sol facile solvit atque dissipat; et ut ex area pulverem evanescere facit ventus; uti demum camini vapor, fumus videlicet, in auras abit: ita et ipsi ab hostibus disperdentur.

Ἐγὼ Κύριος ὁ Θεός σου, ὁ στερεῶν οὐρανὸν, καὶ κτίζων γῆν. Σὺ μὲν τοῖς εἰδώλοις ὡς κυρίοις καὶ θεοῖς ἔθυες· ἐγὼ δέ εἰμι Κύριος ὁ Θεός σου, ὁ στερεῶν τὸν οὐρανὸν, τουτέστι τὴν διαμονὴν αὐτῷ χαριζόμενος. Τοιοῦτόν ἐστι καὶ τὸ, *Κτίζων γῆν*, τουτέστι δίδους τῇ γῇ τὸ οὕτως ἵστασθαι, ὡς ἐξ ἀρχῆς ἐκτίσθη, καὶ μηδὲν ὑπὸ τοῦ χρόνου βλαβῆναι. Οὕτω καὶ τὸ, *Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα*, τουτέστι, συντηρῶν αὐτοὺς καὶ φυλάττων, καθ' οὓς λόγους ἐξ ἀρχῆς ἐποιήθησαν.

VERS. 4. *Ego Dominus Deus tuus, firmans cœlum, et creans terram.* Tu quidem, ait, idolis tanquam dominis ac diis sacra faciebas: ego vero Dominus Deus tuus sum, cœlum firmans, qui diuturnitatem scilicet ei tribuit, qui similiter *terram creat*, eo nimirum in statu servat, quo a principio condita fuit, cavetque, ne quidquam a tempore detrimenti capiat. Huic simile est illud: *Qui facit angelos suos, spiritus* [58], qui scilicet **116** eadem eos ratione servat atque tuetur, qua conditi a principio fuerunt.

Οὗ αἱ χεῖρες ἔπλασαν τὴν στρατιὰν τοῦ οὐρανοῦ. Εἴτε τὰς ἄνω καὶ ἀοράτους δυνάμεις, εἴτε τῶν ἀστέρων τὸ πλῆθος, καὶ ἥλιον, καὶ σελήνην, ἃ σὺ προσεκύνησας.

Cujus manus finxerunt militiam cœli. Aut supernas et invisibiles potestates, aut astrorum multitudinem, et solem, et lunam quæ adorare non dubitasti.

Καὶ οὐ παρέδειξά σοι αὐτὰ τοῦ πορεύεσθαι ὀπίσω αὐτῶν. Οὐ διὰ τοῦτό σε, φησὶ, θεατὴν κατέστησα τῆς καλλονῆς τῶν ἐμῶν κτισμάτων, ἵνα προσκυνήσῃς αὐτοῖς, ἀλλ' ἵνα δι' αὐτῶν θαυμάσῃς ἐμὲ, τὸν τούτων δημιουργόν. Οὐ γὰρ εἶπεν ἡ Γραφὴ, ὅτι Ἔθετο αὐτὰ εἰς προσκύνησιν, ἀλλ', *Εἰς φαῦσιν*. Ὁ μὲν οὖν ἔτι γῇ ὢν, χρῄζει τοῦ κτισθῆναι καὶ μεταπλασθῆναι ἐπὶ τὸ κρεῖττον, καὶ γενέσθαι ἐν Χριστῷ καινὴ κτίσις. Ὁ δὲ ἤδη τὰ ἄνω φρονήσας, καὶ τὸ σῶμα τῆς ταπεινώσεως ὑπεραναβὰς, καὶ θρόνος Θεοῦ γενόμενος, διὰ τὸ ἐναναπαύεσθαι αὐτῷ τὸν Θεὸν, καὶ διὰ τοῦτο οὐρανὸς χρηματίσας (*Οὐρανός γάρ μοι*, φησὶ, *θρόνος*)· ὁ τοιοῦτος οὖν τοῦ στερεωθῆναι χρῄζει, ἵνα μὴ μεταπέσῃ ἐκ τοῦ καλοῦ. Στερεοῦται δὲ ὑπὸ λόγου, ὅταν δηλαδὴ τὰς ἀρετὰς ἐργάζηται, μετὰ τοῦ καὶ τοὺς λόγους εἰδέναι τῶν ἀρετῶν. *Τῷ γὰρ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν*· ὡς ὅ γε μὴ κατὰ λόγον τὴν ἀρετὴν μετιὼν, εὐμετάπτωτός ἐστιν.

Ego Dominus Deus tuus, firmans cœlum, et creans terram. Tu quidem, ait, idolis tanquam dominis ac diis sacra faciebas: ego vero Dominus Deus tuus sum, cœlum firmans, qui diuturnitatem scilicet ei tribuit, qui similiter *terram creat*, eo nimirum in statu servat, quo a principio condita fuit, cavetque, ne quidquam a tempore detrimenti capiat. Huic simile est illud: *Qui facit angelos suos, spiritus* [58], qui scilicet **116** eadem eos ratione servat atque tuetur, qua conditi a principio fuerunt.

Καὶ ἐγὼ ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου, καὶ Θεὸν πλὴν ἐμοῦ οὐ γνώσῃ, καὶ σώζων οὐκ ἔστι πάρεξ ἐμοῦ. Ἐγὼ ἐποίμαινόν σε ἐν τῇ ἐρήμῳ, ἐν γῇ δοικήτῳ κατὰ τὰς νομὰς αὐτῶν. Μεθό σε ἀνήγαγον ἐξ Αἰγύπτου, νομοθετῶν σοι, παρηγγύησά σοι μηδένα ἕτερον εἰδέναι Θεὸν, πλὴν ἐμοῦ· εἶπον

VERS. 4, 5. *Ego eduxi te de terra Ægypti, et Deum præter me non cognosces, et Salvator non est absque me. Ego pascens te in solitudine, in terra inhabitabili, secundum pascua eorum.* Postquam, ait, eduxi te ex Ægypto, jura tibi sanciens, præcepi, neminem alium, præter me, Deum coleres; d xi

[58] Hebr. I, 7. [59] Gen. I, 15. [60] II Cor. V, 17. [61] Matth. V, 34. [62] Psal. XXXII, 6.

Digitized by Google

enim : *Non facies tibi sculptile, neque omnem similitudinem quæ est in cœlo desuper, et quæ in terra deorsum* [48]. Non solum autem ex Ægypti servitute in libertatem vos asserui, sed etiam in solitaria vastaque regione populum alui, secundum pascua eorum, pro singulis videlicet ipsorum indigentiis eis opitulando, præbendoque ea quæ concupierunt, manna modo, modo coturnices, cum aut pane egebant, aut carnes optabant, interdum aquam, dum siti laborarent. Vel νομὰς stationes et loca intelligit, ubi diversarentur ; ubicunque enim consisterent, ait, eos sequebar, cunctis eorum necessitatibus opitulando.

A γάρ · *Οὐ ποιήσεις παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐπὶ τῆς γῆς κάτω.* Οὐ μόνον δὲ τῆς δουλείας τῶν Αἰγυπτίων ἠλευθέρωσά σε, ἀλλὰ καὶ ἐν τῇ ἐρήμῳ καὶ ἀοικήτῳ γῇ ἐποίμαινον τὸν λαὸν, κατὰ τὰς νομὰς αὐτῶν, τουτέστι κατὰ τὰς προσπιπτούσας ἑκάστοτε χρείας χορηγῶν αὐτοῖς τὰς ἐπιθυμίας αὐτῶν · μάννα, ὅτε ἔχρηζον ἄρτου · ὀρτυγομήτρας, ὅτε κρεῶν ἐπεθύμουν · ὕδωρ, ὅτε ἐδίψων. Ἢ, *Κατὰ τὰς νομὰς*, ἀντὶ τοῦ, κατὰ τοὺς σταθμοὺς καὶ τοὺς τόπους, ἐν οἷς κατεσκήνουν. Ἔνθα γὰρ κατεσκήνου ὁ λαὸς, ἠκολούθουν αὐτοῖς, φησὶ, πᾶσαν χρείαν πληρῶν.

VERS. 6. *Et repleti sunt ad saturitatem.* Manna scilicet et coturnicibus, aliisque Dei bonis. Summam autem repletionem denotat illud, *Repleti sunt ad saturitatem*, quo summam in eos Dei liberalitatem ostenderet, simulque reprehenderet eorum incontinentiam ingratique animi vitium.

Καὶ ἐνεπλήσθησαν εἰς πλησμονήν. Τοῦ τε μάννα, καὶ τῆς ὀρτυγομήτρας, καὶ τῶν ἄλλων ἀγαθῶν τοῦ Θεοῦ. Ὑπερβολὴν δὲ δηλοῖ τὸ, *Ἐνεπλήσθησαν εἰς πλησμονήν*, ἵνα καὶ τὸ τοῦ Θεοῦ περὶ αὐτοὺς πλουσιόδωρον διδάξῃ, καὶ τὴν αὐτῶν ἀπληστίαν καὶ ἀχαριστίαν διελέγξῃ.

Et exaltata sunt corda eorum : propter hoc obliti sunt mei. Idipsum cecinit et Moyses : *Et manducavit Jacob, et repletus est, et calcitravit dilectus* [49], quod et Hebræis usu deinceps evenit. Postquam enim oblectati sunt cum aliis multis Christi miraculis, tum eo vel maxime, quo panes multiplicarat, **117** in Christum ipsum consurrexerunt. Idem fit in Ecclesia. Sæpenumero cum quis a Deo verbi donum ad satietatem accipiat, diteturque per ipsum omni cognitione atque sapientia, utitur hoc ad hæreticum aliquod dogma comminiscendum, effer- C turque corde suo adversus Dei cognitionem. Non enim extollitur in eo Filius hominis, qui est Christus, Dei potestas atque sapientia ; sed cor ejus, humanæ scilicet cognitionis, quæ perperam tali nomine appellatur, ratiocinatio. Qui tali præditus est animo, sibi colligit iniquitatem, fallacibus ex præmissis consectaria quædam deducendo, nequitiæ plena et iniquitatis, qua oblectari maxime consuevit. Animadvertas autem oportet, simul ac quis effertur, eum Dei oblivisci ; si enim Dei recordaretur, recordaretur etiam ejus divinæ magnitudinis, neque de se magnifice sentiret. Ut cum solem quis intuetur, lucernam despicit.

Καὶ ὑψώθησαν αἱ καρδίαι αὐτῶν · ἕνεκα τούτου ἐπελάθοντό μου. Τοῦτο καὶ Μωσῆς ἐν τῇ ᾠδῇ φησι · *Καὶ ἔφαγεν Ἰακὼβ, καὶ ἐνεπλήσθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος* · ὃ καὶ ὕστερον τοῖς Ἑβραίοις προσγέγονε. Κατατρυφῶντες γὰρ τῶν Χριστοῦ θαυμασίων, τῶν τε ἄλλων καὶ τῶν ἐν τῷ πληθυσμῷ τῶν ἄρτων, ὑψώθησαν κατ' αὐτοῦ. Οὕτω γίνεται καὶ ἐν τῇ Ἐκκλησίᾳ. Πολλάκις λαβόντις ἐκ Θεοῦ εἰς πλησμονὴν χάρισμα λόγου, καὶ ἐν αὐτῷ πλουτισθεὶς ἐν πάσῃ γνώσει καὶ σοφίᾳ, χρῆται τούτῳ εἰς σύστασιν αἱρετικοῦ δόγματος, καὶ ὑψοῦται ἡ καρδία αὐτοῦ, ἐπαιρομένη κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. Οὐ γὰρ ὑψοῦται ἐν αὐτῷ ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὅς ἐστι Χριστὸς, Θεοῦ δύναμις καὶ Θεοῦ σοφία · ἀλλ' ἡ καρδία αὐτοῦ, ὅ ἐστιν οἱ λογισμοὶ τῆς ἀνθρωπίνης καὶ ψευδωνύμου γνώσεως. Ἡ δὲ τοιαύτη αὐτοῦ καρδία, συνήγαγεν ἀνομίαν ἑαυτῷ, ἀπὸ προτάσεών τινων σοφιστικῶν συνάγουσα τὰ λεγόμενα συμπεράσματα, πάσης ἀνομίας γέμοντα, ἧς αὐτὸς ἀπολαύσει. Ὅρα δὲ, ὅτι ἅμα ὑψοῦταί τινος ἡ καρδία, καὶ ἐκ τοῦ ὑψωθῆναι ἐπιλανθάνεται τοῦ Θεοῦ · εἰ γὰρ ἐμιμνήσκετο Θεοῦ, ἐμιμνήσκετο ἂν καὶ τοῦ θείου μεγέθους, καὶ οὐκ ἂν ἐδόκει ἑαυτὸν ὑψηλόν · ὥσπερ ὅτε βλέπει τις ἥλιον, τότε τὸν λύχνον οὐ θαυμάζει (21).

VERS. 7. *Et ero eis quasi panthera, et sicut pardus.* Quoniam, ait, superbia elati sunt, quod hostem profligarint, ope mea gaudentes ; nunc Babylonium in eos inducam, atque pantheræ instar ac pardi in eosdem illos ipsos irruam. Quoniam enim ipse Deus hostes inducit in eos, queis correctione sit opus, idcireo se pantheram ac pardum eis fore dicit.

D *Καὶ ἔσομαι αὐτοῖς, ὡς πάνθηρ καὶ πάρδαλις.* Ἐπειδὴ, φησὶν, ἀπὸ οἰήσεως (22) ὑψώθησαν, ὅτε κατευμεγεθοῦντες τῶν ἐχθρῶν, καὶ ἐντρυφῶντες τῇ ἐμῇ βοηθείᾳ, νῦν τοὺς Βαβυλωνίους αὐτοῖς ἐπάξω, πάνθηρος δίκην καὶ παρδάλεως, ὀξέως ἐπιθησόμενος αὐτοῖς. Ἐπειδὴ γὰρ αὐτὸς ὁ Θεὸς ἐπάγει τοὺς πολεμίους τοῖς δεομένοις κακώσεως, καὶ αὐτὸς πάρδαλις καὶ πάνθηρ ἔσεσθαι λέγει.

VERS. 8. *Per viam Assyriorum occurram eis, sicut ursa laborans.* Assyrios videlicet in eos inducam

Κατὰ τὴν ὁδὸν Ἀσσυρίων ἀπαντήσομαι αὐτοῖς, ὡς ἄρκτος ἀπορουμένη. Τουτέστι, Τοὺς Ἀσσυρίους

[48] Exod. xx, 4. [49] Deut. xxxii, 15.

Variæ lectiones et notæ.

(21) Ὥσπερ ὅτε μὴ βλέπει τις ἥλιον, τότε τὸν λύχνον θαυμάσει, *Ut cum solem quis non aspicit, tum lucernam admiratur*, Cod. Ven.

(22) Ἀνέσεως, *mollitie*, Cod. Ven.

Digitized by Google

ἐπάξω αὐτοῖς διὰ τῆς ὁδοῦ τῆς ἀγούσης ἀπὸ Ἀσσυρίων εἰς τὴν Παλαιστίνην, δίκην ἄρκτου ἀπορουμένης, τουτέστι, στενοχωρουμένης, καὶ μὴ φυγεῖν δυναμένης. Τότε γὰρ ἐξαπορηθεῖσα, κατὰ [*f.* μετὰ] μανίας ἀνυποστάτου, τοῖς προσπαλεμοῦσιν (23) ἔπεισιν. Ἢ ἀπορουμένης, τουτέστι, στερηθείσης τῶν τέκνων, ἁλόντων ὑπὸ τῶν θηρατῶν, ἢ πεινώσης, καὶ ἀπορούσης τροφῆς. Τὸ δὲ, *Κατὰ τὴν ὁδὸν Ἀσσυρίων*, δύναται καὶ ἑτέρως νοεῖσθαι. Ἐπειδὴ γὰρ αὐτοὶ ἀπῆεσαν πρὸς τοὺς Ἀσσυρίους, συμμαχίαν ζητοῦντες κατὰ τῶν Αἰγυπτίων, ὅπερ καὶ ἐν τοῖς ἔμπροσθεν εἶπε, φησὶν, ὅτι Ἐν ὅσῳ ἀπέρχονται πρὸς τοὺς Ἀσσυρίους (24), ἐπιστήσω αὐτοῖς τοὺς Αἰγυπτίους, καὶ ὡμῶς καὶ ἀπηνῶς αὐτοῖς χρήσονται.

A per viam quæ ab Assyriis in Palæstinam ducit : idque faciam instar ursæ laborantis, in angustias videlicet redactæ, ut fugere nequeat. Tum enim, de salute fere desperans, acri furore percita, in se oppugnantes invehitur. Vel laborantem intelligit ursam propriis partibus destitutam, qui a venatoribus capti fuerint, vel etiam fame laborantem, egentemque propterea cibo quo nutriatur. Illud autem, *Per viam Assyriorum*, potest alia quoque ratione intelligi. Quoniam enim ipsi profecti sunt ad Assyrios, eorum auxilium adversus Ægyptios postulatum, ut in præcedentibus quoque dixit : Interim, ait, dum eo pergunt, Ægyptios eis præficiam, qui summa adversus eos sævitia et immanitate utantur.

Καὶ διαῤῥήξω συγκλεισμὸν καρδίας αὐτῶν. Ταῦτα, φησὶ, διαπράξομαι, ὡς ἂν τὴν συγκεκλεισμένην αὐτῶν καὶ πεπωρωμένην καρδίαν διαῤῥήξω, καὶ ἀνοίξω, καὶ εἰσέλθω εἰς αὐτὴν, καὶ γνωσθήσομαι αὐτοῖς. Ἢ συγκλεισμὸν τὴν ἀσφάλειάν φησι, καὶ τὸ θάρσος τῆς καρδίας, καὶ τὴν ἀνδρείαν· ὥστε εἶναι τὸ λεγόμενον, τοιοῦτον· Πᾶσαν ἀσφάλειαν αὐτῶν διαῤῥήξω, καὶ τὴν καρδίαν αὐτῶν ποιήσω δειλήν. B

Et disrumpam conclusionem cordis eorum. Hæc, ait, faciam, quo conclusum obduratumque eorum cor frangam et aperiam, ut ipsum ingredi cognoscique ab eis possim. Aut conclusionem securitatem appellat, cordisque fiduciam et magnanimitatem, ut hujus dicti sensus sit : Eorum securitatem omnem veluti confringens tollam, efficiamque cor eorum pavidum.

Καὶ καταφάγονται αὐτοὺς ἐκεῖ σκύμνοι δρυμοῦ, καὶ θηρία ἀγροῦ διασπάσει αὐτούς. Οὐ μόνον, φησὶν, ἐν τῇ οἰκείᾳ πατρίδι ὄντες, τῶν κακῶν ἀπολαύσουσιν, ἀλλὰ καὶ ἐκεῖ, τουτέστιν, ἐν τῇ τῶν πολεμίων χώρᾳ γενόμενοι, οὐχ ἕξουσι λῆξιν τῶν κακῶν· ἀλλ' ὡμῶς αὐτοῖς οἱ αἰχμαλωτεύσαντες χρήσονται. Τοὺς γὰρ πολεμίους καὶ σκύμνους καὶ θηρία. Ἢ ὅτι ἄταφοι ῥιπτόμενοι, ὑπὸ θηρίων βρωθήσονται. Συγκλεισμὸς καρδίας, ὁ νόμος· ὑπ' αὐτὸν (25) ἐφρουροῦντο, συγκεκλεισμένοι εἰς τὴν πίστιν, τουτέστι, συνωθούμενοι ὑπ' αὐτοῦ πρὸς τὸ πιστεῦσαι Χριστῷ. Διέῤῥηξεν οὖν τοῦτον τὸν συγκλεισμὸν ὁ τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας. Καὶ φραγμὸς δὲ τὸ γράμμα τοῦ νόμου, μὴ ἐῶν ἔσω εἰσελθεῖν, καὶ ἰδεῖν τὰ ὑπὸ Θεοῦ χαρισθέντα ἡμῖν. Διέῤῥηξεν οὖν τοῦτο ὁ Κύριος, καὶ δέδωκε τῷ πνεύματι πάροδον. Πλὴν ἀλλ' ἐκεῖ τὰ νοητὰ θηρία τοὺς ἐκ περιτομῆς κατεσθίει· τουτέστι, Καίτοι ἐμοῦ διαῤῥήξαντος τὸ γράμμα, αὐτοὶ (26) ἐκεῖ μένουσι, καὶ μὴ μεθισταμένους οἱ δαίμονες κατεσθίουσι. Συγκλεισμὸς καρδίας, καὶ τὰ Ἑλληνικὰ δόγματα τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, τὰ τῶν ἀποδείξεων κλεῖθρα ἐπιβάλλοντα ταύτῃ, ὥστε μὴ παραδέχεσθαι τὴν πίστιν· ἃ διαῤῥήσσει ὁ εὐδοκήσας διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας. Ἀλλὰ καὶ ἡ τῶν κοσμικῶν ἀγαθῶν εὐπορία, συγκλεισμὸς καρδίας, ἐν σκοτεινῇ καὶ ζοφώδει εἱρκτῇ ταύτην συγκλείουσα, C

118 *Et devorabunt eos ibi catuli silvarum, bestiæ agri discerpent eos.* Calamitatibus, ait, afficientur, non in patria modo sua, sed et ibi, in hostium scilicet regione, ubi perpetuis ærumnis conflictabuntur, crudeliter ab iis habiti, qui eos in servitutem redegerint. Hostes enim catulorum ferarumque nomine appellat. Vel hoc futurum innuit, ut a feris, insepulti relicti, devorentur. Conclusio cordis lex est, qua lege, veluti præsidio, conclusi tenebantur ad fidem scilicet Christo habendam. Confregit ita que conclusionem hanc is, qui per dogmata legem, ejusque præscripta abrogavit. Cordis vero septum est legis ipsius littera, quæ non sinit, ut penitius illud introspiciatur, perspectaque fiant munera, quæ nobis præbere Deus consuevit. Septum hoc perfregit Dominus, aditumque Spiritui patefecit. Nihilo tamen secius ibi feræ, quæ mente percipiuntur, devorant eos, qui circumcisionem profitentur. Quasi dicat : Quamvis ego legis litteram confregerim, ipsi nihilominus ei mordicus hærent, D eosque propterea, ab ea recedere nolentes, dæmones devorant. Conclusio cordis sunt et Græcanicæ philosophiæ, communisque deceptionis dogmata, quæ argumentorum claustra ipsimet cordi objiciunt, ut Christi fidem excipere non possit. Quæ quidem claustra perfringit is, qui per stultitiam prædicationis [68] incolumes eos servare decrevit, qui ipsi

[68] II Cor. I, 21.

Variæ lectiones et notæ.

(23) Προσιοῦσι, *in accedentes* (invehitur), Ven.

(24) Verba : ὅπερ καὶ ἐν τοῖς ἔμπροσθεν εἶπε, φησὶν, ὅτι ἐν ὅσῳ ἀπέρχονται πρὸς τοὺς Ἀσσυρίους, desunt in cod. Bav. et restituimus ex Ven.

(25) Ὑπ' αὐτῶν cod. Ven., sed scribendum ὑπ' αὐτοῦ, *ab ipsa* (scilicet lege).

(26) Ἐκεῖνοι, *illi*, Cod. Ven.

Digitized by Google

fidem adhibeant. Mundanorum item bonorum copia conclusio cordis est, qua, velut in obscuro atque caliginoso carcere concluditur, ut veram lucem aspicere nequeat. Claustrum porro hoc effringit Dominus per ea : *Vade, vende quæ habes* [46] ; et : *Nisi quis renuntiaverit omnibus quæ possidet, non potest meus esse discipulus* [47] ; et id genus alia, quibus qui non obtemperant, devorantur ibi, ab suppliciis nimirum, quibus judicii die afficientur.

ὥστε μὴ ἰδεῖν τὸ φῶς τὸ ἀληθινόν. Διαῤῥήσσει δὲ τοῦτον ὁ Κύριος, ὅταν λέγῃ· *Ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα* · καὶ, *Ἐὰν μήτις ἀποτάξηται πᾶσι τοῖς οὖσιν αὐτοῦ, οὐ δύναταί μου εἶναι μαθητής* · καὶ ὅσα τοιαῦτα. Οἱ μὴ πειθόμενοι δὲ, ἐσθίονται ἐκεῖ, τουτέστιν, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὑπὸ τῶν κολάσεων.

VERS. 9, 10. *Dispersioni tuæ, Israel, quis opitulabitur? Ubi Rex? Hic te salvum faciat in cunctis urbibus tuis.* Luget increpatque simul Israelem, eumque commonefacit stultitiæ, qua, priscis temporibus, rejecto Dei imperio, postulavit, ut ab homine gubernaretur. Ait ergo : *Quis in dispersione*, quam ab Assyriis et Ægyptiis perpessus es, auxilio tibi succurret? Postulasti regem, datusque tibi tum est Saul. Incolumem ergo te servet, non Saul quidem, sed is qui nunc eo potitur imperio, quod tum postulasti. Ipse te defendat cunctis in urbibus ubi commoraris. Quædam exemplaria Τῇ διαφθορᾷ, *Corruptioni*, habent. eademque, si ita scribatur, sententia subest. Summam enim vastitatem quam in captivitate perpessi sunt, corruptionem vocat.

Τῇ διασπορᾷ σου, Ἰσραὴλ, τίς βοηθήσει; ποῦ ὁ βασιλεύς ; οὗτος διασωσάτω σε ἐν πάσαις ταῖς πόλεσί σου. Θρηνεῖ ἅμα καὶ ὀνειδίζει τὸν Ἰσραὴλ, καὶ ἀναμιμνήσκει αὐτὸν τῆς προτέρας ἀνοίας, δι' ἣν ἠτήσατο βασιλεύεσθαι ὑπὸ ἀνθρώπου, τὴν τοῦ Θεοῦ βασιλείαν παρωσάμενος. Φησὶν οὖν · *Τίς βοηθήσει τῇ διασπορᾷ σου*, ἣν διεσπάρης αἰχμαλωτιζόμενος ὑπὸ Ἀσσυρίων καὶ Αἰγυπτίων ; Σὺ ἠτήσω βασιλέα, καὶ ἐδόθη σοι τότε ὁ Σαούλ. Οὗτος οὖν (οὐχ ὁ Σαοὺλ πάντως, ἀλλ' ὁ τὴν βασιλείαν νῦν ἔχων ταύτην, ἣν τότε ἠτήσασθε) σωσάτω σε, προαγωνιζόμενός σου ἐν πάσαις ταῖς πόλεσιν, ἐν αἷς κατοικεῖς. Τινὰ δὲ τῶν ἀντιγράφων, *Τῇ διαφθορᾷ*, ἔχει · καὶ αὐτὸς ἐνταῦθα ὁ νοῦς · τὴν γὰρ παντελῆ ἐρήμωσιν, ἣν ἔσχον αἰχμαλωτισθέντες, διαφθορὰν ὀνομάζει.

Judicet te, quem dixisti : Da mihi regem et principem : et dedi tibi regem in ira mea. Tu postulasti regem : hic, ait, te judicet, illatas videlicet injurias ulciscatur. Dein quasi quispiam dixisset, Ego postulavi quidem, **119** tu vero mihi dedisti : Equidem, ait, dedi, sed iratus. Stultæ quippe voluntati tuæ morem gessi, quo rebus ipsis et factis compertum haberes, meum tibi regnum, non humanum, auxilio esse posse.

Κρινάτω σε ὃν εἶπας · Δός μοι βασιλέα καὶ ἄρχοντα, καὶ ἔδωκά σοι βασιλέα ἐν ὀργῇ μου. Σὺ ἠτήσω, φησὶ, βασιλέα · οὗτος κρινάτω σε, τουτέστιν, ἐκδικησάτω σε. Εἶτα ὥσπερ τινὸς εἰπόντος· Ἐγὼ μὲν ἠτησάμην, ἀλλὰ καὶ σὺ δέδωκας · Ναὶ, φησὶν, δέδωκα μὲν, πλὴν ἐν ὀργῇ. Παρεχώρησα γὰρ τῷ ἀνοήτῳ σου θελήματι, ἵνα δι' αὐτῶν τῶν ἔργων παιδευθῇς, ὅτι ἡ ἐμὴ βασιλεία, οὐχ ἡ ἀνθρωπίνη δύναται βοηθεῖν σοι.

VERS. 11. *Et sustinui in furore tuum congressum injustitiæ.* — *Sustinui* est pro Permisi et indulsi ; vestrum scilicet iniquum congressum, hoc est, conjurationem conspirationemque toleravi. Omnes enim in unum coire, conjurationem inter vos facere, regem postulare, lædentes vos ipsos, regno meo præfectos. Id autem eo indulsi, non quod conjuratione ista gauderem, sed ut vos derelinquerem. Feci enim id ira compulsus. Hæc nonne manifeste nobis indicant eos qui dixerunt : *Non habemus alium regem, nisi Cæsarem* [48] ? Cum enim ii rejecissent Dei Filium, sibique sumpsissent regem illum hominem quem et indulsit Dominus, eidem eos Cæsari subjiciendo, dispersi sunt, eisque ita dispersis, opem fert nemo. Quisquis item hominibus placere studet, corruptionem patitur; qui enim omnibus iis placere vult, qui sibi contraria et dicunt et cogitant, tot in partes distrahitur, quot sunt ii quibus placere studet. Propterea ab hominibus regitur, iisque pravis, Deo placere negligens, ejusque voluntati parere. Qua de re

Καὶ ἀνέσχον ἐν τῷ θυμῷ σου συστροφὴν ἀδικίας. — *Ἀνέσχον*, ἀντὶ τοῦ, Παρεχώρησα, ἐνέδωκα. Ἠνεσχόμην τὴν συστροφὴν ὑμῶν τὴν ἄδικον, τουτέστι, τὴν συνέλευσιν, τὴν σύμπνοιαν ὑμῶν. Πάντες γὰρ συστραφέντες καὶ συμπνεύσαντες, ἐζητεῖτε βασιλέα, ἀδικήσαντες ἑαυτοὺς, ὅτι τῆς ἐμῆς βασιλείας ἐπιστατεῖτε (27), ἐνέδωκα δὲ οὐχ ὡς ἀρεσκόμενος τῇ συστροφῇ ταύτῃ, ἀλλ' ὡς ἐγκαταλιμπάνων ὑμᾶς · μετὰ θυμοῦ γάρ. Ταῦτα οὐ προδήλως φέρει καὶ πρὸς τοὺς εἰπόντας · *Οὐκ ἔχομεν βασιλέα, εἰμὴ Καίσαρα*; Τὸν γὰρ Υἱὸν τοῦ Θεοῦ παρωσάμενοι, καὶ τὸν ἄνθρωπον ἑαυτοῖς ἐπιγραψάμενοι βασιλέα, ὃν δὴ καὶ δέδωκεν αὐτοῖς ὁ Θεὸς, ὑποτάξας αὐτοὺς Καίσαρι, διεσπάρησαν · τῇ δὲ διασπορᾷ αὐτῶν οὐδεὶς βοηθεῖ. Καὶ πᾶς δὲ ἀνθρωπάρεσκος, διαφθορὰν πάσχει. Ὁ γὰρ πᾶσι βουλόμενος ἀρέσκειν, ἐναντία καὶ λέγουσι καὶ φρονοῦσι, πρὸς τοσούτους μερίζεται, ὅσοις ἀρέσκειν σπουδάζει. Διὸ καὶ ὑπ' ἀνθρώπων βασιλεύεται ὁ τοιοῦτος, καὶ τούτων φαύλων, ἀφεὶς τὸ ἀρέσκειν Θεῷ, καὶ τὸ ἐκείνου θέλημα (28) πληροῦν. Ἄκουε καὶ Δαβὶδ· *Ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ*

[46] Matth. XIX, 21. [47] Luc. XIV, 33. [48] Joan. XIX, 15.

Variæ lectiones et notæ.

(27) Ὅτι τῆς ἐμῆς βασιλείας ἀπεστατεῖτε, *eo quod a meo regno defecistis*, Cod. Ven.
(28) Πλήρωμα, Cod. Ven.

Digitized by Google

ἀνθρωπαρέσκων. Οἶδας δὲ πάντως ὁσταχῆ πολλάκις τοὺς λογισμοὺς παρὰ τῇ Γραφῇ λεγομένους.

Ἐφραὶμ ἐγκεκρυμμένη ἡ ἁμαρτία, ὠδῖνες ὡς τικτούσης ἥξουσιν αὐτῷ. Τουτέστιν, Οὐκ ἐπιπόλαιός ἐστιν ἡ ἁμαρτία, ἀλλὰ κατὰ βάθους ἐρριζώθη, καὶ δυσανάσπαστός ἐστι. Διὸ πόνους ἕξει, ὥσπερ ἡ τίκτουσα. Νοήσεις δὲ καὶ οὕτως· Ἱεροβοὰμ, ὡς πολλάκις εἴπομεν, ἤρξατο τοῦ εἰδωλολατρεῖν. Φησὶν οὖν, ὅτι ἡ ἁμαρτία τούτου, οἷόν τι σπέρμα κατεβλήθη, καὶ ἐνεκρύβη ἐν τῇ καρδίᾳ τοῦ λαοῦ, καὶ ἔκτοτε εἰδωλολάτρουν. Τοιούτου δὲ σπέρματος ὄντος, ἥξει ὁ τῶν ὠδίνων καιρὸς, ὁ τοῦ πολέμου καὶ τῆς αἰχμαλωσίας. Τὰ γὰρ τοιαῦτα σπέρματα, τοιαύτας ὠδῖνας ἔχει.

Οὗτος ὁ υἱός σου ὁ φρόνιμος; Ἐρωτηματικῶς ἀνάγνωθι· εἰπὼν γὰρ ἀνωτέρω, *Τῇ διασπορᾷ σου, Ἰσραὴλ, τίς βοηθήσει;* νῦν ἐρωτᾷ· *Οὗτος ὁ υἱός σου ὁ φρόνιμος;* τουτέστιν, Ἐκ φυλῆς Ἐφραὶμ βασιλεὺς, οὗτός σε σώσει, ὃν ὡς φρόνιμον ἐβασίλευσας; Καὶ γὰρ δύο μὲν ἦσαν υἱοὶ Ἰωσὴφ, Μανασσῆς πρεσβύτερος, καὶ Ἐφραὶμ νεώτερος· ἔδει δὲ βασιλέα γενέσθαι ἐκ τῆς τοῦ πρεσβυτέρου φυλῆς· ἀλλὰ σὺ ὁ λαὸς, παρηγκωνίσω μὲν τὸν πρεσβύτερον Μανασσῆν, ἐπελέξω δὲ τὸν Ἐφραὶμ, καὶ κατέστησας βασιλέα ἐκ τῆς τούτου φυλῆς, ὡς ἐντρεχεστέρου δῆθεν καὶ ἐπιτηδειοτέρου. Ἀλλ' οὐδέν σε τοῦτο ὀνήσει. Αἰνίττεται καὶ τὸν βασιλεύοντα ἐν Σαμαρείᾳ Ὡσηὲ, ὃς ὑπὸ τοῦ Βαβυλωνίου Σαλμανασὰρ πολεμούμενος, ἐπεκαλέσατο, ὡς δῆθεν φρόνιμον, τὸν Αἰγύπτιον. Ἀλλ' οὐδὲν τῆς ἐπινοίας ἀπώνατο· ἐξηνδραποδίσθη γὰρ σὺν τῷ λαῷ καὶ αὐτὸς ὑπὸ Σαλμανασάρ. Δύναται δὲ καὶ χωρὶς ἐρωτήσεως ἀναγινωσκόμενον, ἀποδοθῆναι πρὸς τὸ, *Σωσάτω σε,* καὶ *Κρινάτω σε, Οὗτος ὁ υἱός σου ὁ φρόνιμος.* Εἰρωνευόμενος δὲ πάντως αὐτὸν καλεῖ φρόνιμον.

Διότι νῦν οὐ μὴ ὑποστῇ ἐν συντριβῇ τέκνων. Πῶς γὰρ ἂν ὑμᾶς ὠφελήσειεν ὁ βασιλεὺς οὗτος Ὡσηὲ, ὃς τῶν σῶν τέκνων συντριβομένων, οὐδόλως τοὺς πολεμίους ὑποστήσεται; καὶ γὰρ αὐτὸς αἰχμάλωτος ληφθήσεται. Ἐγκεκρυμμένη ἦν καὶ ἡ ἀδικία τῶν ἀποκτεινάντων τὸν Κύριον, καὶ δόλου καὶ ὑποκρίσεως γέμουσα· ἔλεγον γὰρ, ὅτι Κατὰ τὸν νόμον ὀφείλει ἀποθανεῖν, ὅτι εἶπεν ἑαυτὸν Υἱὸν Θεοῦ. Ἀλλ' ὠδῖνες συμφορῶν ἐπῆλθον τῷ λαῷ, ὃν ὡς τὰ τοῦ Θεοῦ δικαιώματα εἰδότα, φρόνιμον ἐχρῆν εἶναι. Καὶ μέντοι καὶ τοιοῦτος ἐδόκει, μὴ ὢν ἀληθῶς· οὗτος γὰρ λαὸς μωρὸς, καὶ οὐχὶ σοφός. Οὐκ ὑπέστη οὖν τῇ πολιορκίᾳ τῶν Ῥωμαίων, ὅτε συνετρίβοντο τὰ τέκνα ὑπὸ τῶν μητέρων κατεσθιόμενα διὰ τὸν λιμόν. Εἰ δὲ καὶ Δαβὶδ ἐν Πνεύματι εἶπὼν τὸ, *Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ· καὶ σὺ ἄφηκας τὴν ἀσέβειαν τῆς καρδίας μου,* ἀληθῶς εἶπε· καλὸν μὴ ἐγκεκρύφθαι τὴν ἀδικίαν, μηδὲ ἀπολογίαις συσκιά-

A audi David: *Deus dissipavit ossa eorum qui hominibus placent* [99]. Non te latet autem ossa sæpenumero sacris in Litteris appellari hominum cogitata.

Vers. 12. *Ephraim absconditum est peccatum: dolores quasi parturientis venient ei.* Haud in superficie scilicet, sed in profundo radices egit peccatum ut, nisi ægerrime, radicitus evelli nequeat. Dolores idcirco patietur, ut parturiens. Locum hunc intelligere commode poteris et hoc modo: Hieroboam, ut sæpe diximus, idola colere cœpit: ait ergo, peccatum hujusce, velut semen jactum, in populi cor altius descendisse, quo factum, ut in posterum et ipsi idola colerent. Tale porro cum semen sit, futurum ait ut dolores partus subsequantur, belli nimirum et captivitatis. Talia enim semina tales ferunt dolores.

Vers. 13. *Hic filius tuus sapiens?* Hæc per interrogationem lege; cum enim superius dixisset, *Dispersioni tuæ Israel quis succurret?* Quærit nunc: *Hiccine filius tuus sapiens?* hoc est, Incolumemne te servabit iste de tribu Ephraim rex, quem, uti sapientem, tibi ipse regem constituisti? Duo namque erant Joseph filii, Manasses natu major, et Ephraim minor natu, regemque e senioris tribu creari oportebat. Verum tu, populus mi, rejecto seniore Manasse, tibi delegisti juniorem Ephraim, ejusque de tribu regem creasti, quem omnium maxime industrium, imperioque peridoneum judicasti. Verum hoc tibi nil proderit. Innuitur item Osee, qui Samariæ imperio potiebatur, qui cum a Babylonio **120** Salmanasare bello premeretur, Ægyptii regis auxilium, uti prudens, imploravit [100]. Verum nil inde utilitatis cepit. In captivitatem enim una cum populo ductus et ipse est a Salmanasare. Dictum hoc idem legi potest etiam citra interrogationem, atque ad præcedentia ita referri: Incolumem te servet atque judicet hic filius tuus sapiens! Quem ironice sapientem appellat.

Quia nunc non sustinebit in contritione filiorum. Quomodo enim vos adjuvet hic rex Osee, qui, cum filii vestri pessumdabuntur, hostes nullo pacto sustinere poterit? In captivitatem enim et ipse ducetur. Abscondita item erat eorum injustitia, qui Dominum interfecerunt, doli plena atque simulationis: dixerunt enim, eum mori debere, propterea quod se Dei Filium asseruisset. Sed ærumnarum dolores invaserunt populum illum quem, uti Dei mandatorum gnarum, sapientem esse parerat. Qui licet videretur, revera talis non erat; stultus enim est hic populus, omnique sapientia prorsus destitutus. Quocirca sustinere non poterit Romanorum obsidionem, qua in obsidione conterebantur filii, suisque a matribus, fame laborantibus, devorabantur. Porro si verum est, quod numine divino afflatus David ait, *Adversum me iniquitatem meam annuntiabo Domino, et tu remi-*

[99] Psal. LII, 6. [100] IV Reg. XVII, 1.

Digitized by Google

sisti impietatem cordis mei [51]; optimum facto erit non occultare iniquitatem, neque defensionibus eam tegere, sed aperire potius, atque palam apud omnes confiteri. Sin minus id fiat, irruent in hominem acerbi, veluti partus, dolores : acrius videlicet malum eum invadet, atque semen quod occultarit in semetipso, magis magisque proferetur, dicique et de ipso vere poterit : *Ecce parturiit injustitiam, et concepit dolorem, et peperit iniquitatem* [52]. Cum vero a benignissimo Patre nostro conteruntur pravi filii nostri, cogitata videlicet operaque nostra, tanquam lutea atque terrea figuli vasa, quo fiant magna Ecclesiæ domo plane digna [53], ad splendidum ejus ornatum, quæ cum ipsimet domui decori sint, tum Domini usibus accommodata : tum omnino patefit injustitia, nullo ratione, quamvis eam occultare maxime studeamus, eam ita verbo patefaciente.

A ζεσθαι, ἀλλὰ φανεροῦσθαι καὶ ἐκπομπεύεσθαι. Εἰ δὲ μὴ. ὠδῖνες ἥξουσι, τουτέστι, τελειότερόν τὸ κακὸν ἔσται, καὶ τὸ σπέρμα τῆς ἀδικίας, ὃ ἐνέκρυψέ τις ἑαυτῷ, τελεσφορηθήσεται, καὶ λεχθήσεται ἐπ' αὐτῷ· *Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν.* Ὅτε δὲ συντρίβονται τὰ πονηρὰ ἡμῶν τέκνα, ἤτοι τὰ διανοήματα καὶ τὰ ἔργα ὑπὸ τοῦ φιλανθρώπου ἡμῶν Πατρὸς, ὡς σκεύη κεραμέως πήλινα καὶ γεώδη, ἵνα γένωνται σκεύη τῆς μεγάλης οἰκίας τῆς Ἐκκλησίας ἄξια, κατηρτισμένα εἰς τιμὴν καὶ εὔχρηστα τῷ Δεσπότῃ· τότε δὴ φαίνεται ἡ ἀδικία, οὐκ ἔχουσα ὑπόστασίν τινα καὶ εὔλογον αἰτίαν· κἂν μυριάκις σπεύδωμεν συγκρύπτειν αὐτὴν, ἀλλ' ὁ λόγος ἐλέγχει αὐτὴν ἀνεύλογον καὶ ἀνυπόστατον.

Vers. 14. *De manu inferni liberabo eos, et a morte redimam ipsos.* Postquam satis de futuris acerbis calamitatibus disseruit, ad consuetam revertens clementiam, Eos, ait, a captivitate reducam. Captivitatem enim et infernum et mortem appellare consuevit. Hæc porro quæ in Hebræorum regressu contigerunt, umbræ quædam futurorum erant, et imagines, quæ quidem melius et evidentius expleta sunt post Salvatoris resurrectionem. Ubi namque resurrexerunt primitiæ nostræ [54], omnes resurrectionis gratiam atque spem accepimus. Ad hunc plane modum apud Ezechielem ossium resurrectio designabat eum Israelis **121** regressum, tum universalem omnium resurrectionem [55]. Quæ tum enim apud Judæos contigerunt, adumbrabant ea quæ Deus omnibus hominibus facturum se constituerat. Redemit ergo de manu inferni animas; hæ quippe tormentis inferni obnoxiæ esse possunt, non morti, cum sint immortales; morti vero obnoxia sunt corpora, quæ sunt mortalia. Quisquis item peccat, in inferno est, quatenus ipsius anima tenebricosa effecta, eam amittit speciem quæ ipsi maxime consentanea est, imagineinque Dei refert; idemque et morti fit obnoxius, eo quod nefaria facinora gravia ei sunt atque lethalia. Judæos item illos qui Christo fidem adhibuerunt, liberavit Deus eum ab animæ inferno, tum a cæde ac nece per Romanos inferenda. Propter electos enim, ait, breviabuntur dies illi [56].

B *Ἐκ χειρὸς ᾅδου ῥύσομαι αὐτοὺς, καὶ ἐκ θανάτου λυτρώσομαι αὐτούς.* Ἐπειδὴ ἱκανῶς τὰ λυπηρὰ προεῖπε, νῦν ἐπὶ τὴν συνήθη χρηστότητα ἀνατρέχει, καί φησιν, ὅτι Ἐκ τῆς αἰχμαλωσίας ἐπάξω αὐτούς. Τὴν γὰρ αἰχμαλωσίαν καὶ ᾅδην καὶ θάνατον καλεῖ. Ταῦτα δὲ τυπικῶς μὲν τότε συνέβη κατὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον· τὸ δὲ ἐντελέστερον καὶ ἀληθέστερον πέρας ἐδέξατο μετὰ τὴν τοῦ Σωτῆρος ἀνάστασιν. Τῆς γὰρ ἀπαρχῆς ἡμῶν ἀναστησάσης, πάντες ἡμεῖς τῆς ἀναστάσεως τὴν χάριν καὶ τὴν ἐλπίδα δεδέγμεθα· ὥσπερ καὶ ἡ παρὰ τῷ Ἰεζεκιὴλ τῶν ὀστῶν ἀναβίωσις, καὶ τοῦ Ἰσραὴλ τὴν ἐπάνοδον ἐδήλου, καὶ τὴν κοινὴν πάντων ἀνάστασιν. Τὰ γὰρ παρὰ τοῖς Ἰουδαίοις τότε γεγενημένα, τύποι ἦσαν τῆς περὶ πάντας τοῦ Θεοῦ οἰκονομίας. Ἐλυτρώσατο μὲν οὖν ἐκ χειρὸς ᾅδου τὰς ψυχάς· αὗται γὰρ ἐν τῷ ᾅδῃ, οὐκ ἐν τῷ θανάτῳ· ἀθάνατοι γάρ· ἐν δὲ θανάτῳ τὰ σώματα· αὐτὰ γὰρ τὰ θνητά. Καὶ πᾶς ἁμαρτάνων ἐν τῷ ᾅδῃ ἐστὶν, καθὸ ἡ ψυχὴ αὐτοῦ ἀειδὴς γινομένη, τὸ οἰκεῖον εἶδος αὐτῇ καὶ τὸ κατ' εἰκόνα ἀπόλλυσιν· ἐν δὲ τῷ θανάτῳ, καθὸ τὰ τῆς ἁμαρτίας ἔργα ἔγκοπα καὶ θανατώδη εἰσί. Καὶ ἐκ τῶν Ἰουδαίων δὲ τοὺς πιστεύοντας τῷ Χριστῷ ἐῤῥύσατο τοῦ τε ᾅδου τοῦ ψυχικοῦ, καὶ τοῦ ἐκ τῶν Ῥωμαίων θανάτου. Διὰ γὰρ τοὺς ἐκλεκτοὺς, φησὶ, κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι.

C

Ubi judicium tuum, mors? ubi stimulus tuus, inferne? Hæc, quosdam uti victoriæ pæanas et hymnos, ita recinit : *Ubi judicium tuum, mors?* justa scilicet causa in homines hactenus tibi subjectos irruendi? *Ubi stimulus*, quo peremisti eos quos deglutisti? In captivos quidem Israelitas justam causam mors habuit culpam quæ ipsimet morti stimulus etiam erat. Eadem ei causa fuit, cur in universum hominum genus inveheretur; *In quacunque enim hora*, ait, *comederitis, morte moriemini* [57]. Merito itaque mors eos invasit, qui mandatum hoc violarunt. Verum et Israelitas tum

D *Ποῦ ἡ δίκη σου, θάνατε; ποῦ τὸ κέντρον, ᾅδη.* Οἷόν τινας ἐπινικίους παιᾶνας καὶ ὕμνους ταῦτα ἀνακρούεται· *Ποῦ ἡ δίκη σου, θάνατε*, τουτέστι, Τὸ δίκαιον ὃ εἶχες κατὰ τῶν ὑπὸ σὲ τέως ὄντων. *Ποῦ τὸ κέντρον*, δι' οὗ ἀπέκτεινες, οὓς κατέπινες; Εἶχε μὲν δίκαιον κατὰ τῶν αἰχμαλωτισθέντων Ἰσραηλιτῶν τὴν ἁμαρτίαν, ἥτις καὶ κέντρον ἦν αὐτοῦ· εἶχε δὲ καὶ κατὰ πάσης ἀνθρωπότητος τὴν αὐτὴν ταύτην. Καὶ γὰρ ᾗ ἂν ὥρᾳ φάγητε, φησὶ, θανάτῳ ἀποθανεῖσθε. Δικαίως οὖν τοὺς παραβαίνοντας εἶχεν ὁ θάνατος. Ἀλλὰ τοὺς μὲν Ἰσραηλίτας ἐλυτρώσατό τε, ὑπερβὰς τὰς ἀνομίας

[51] Psal. xxxvii, 19. [52] Psal. vii, 15. [53] II Tim. ii, 20. [54] I Cor. xv, 20. [55] Ezech. xxxvii, 10. [56] Matth. xxiv, 22. [57] Gen. ii, 17

Digitized by Google

αὐτῶν· καὶ πᾶσαν δὲ τὴν ἀνθρωπότητα ὕστερον ἐῤῥύσατο, αὐτὸς ἀναμάρτητος φανείς, καὶ καθελὼν τὸ δίκαιον καὶ τὸ κέντρον, ὃ εἶχε καθ' ἡμῶν ὁ θάνατος· τὸ δὲ, ἦν ἡ ἁμαρτία. Τινὰ δὲ ἀντίγραφα, *Ποῦ σου, θάνατε, ἡ νίκη;* ἔχει. Τουτέστιν, Οὐκέτι νικήσεις· ἀνῄρηται γὰρ τὸ τῆς νίκης αἴτιον· λέλυται ἡ παρακοὴ, καὶ ἡ ἁμαρτία ἠμβλυται.

A a captivitate liberavit, eorum iniquitatem clementia superans, et universum postea genus humanum redemit, se prorsus innocentem ostendendo, delendoque causam atque stimulum, culpam scilicet quam ob causam jure in nos inveheretur. Quædam autem exemplaria sic habent: *Ubi, mors, victoria tua?* Non amplius scilicet vinces; sublata enim est victoriæ causa: desiit contumacia: fracta est culpa.

Παράκλησις κέκρυπται ἀπὸ ὀφθαλμῶν μου, διότι οὗτος ἀνὰ μέσον ἀδελφῶν διαστελεῖ (29). Αὕτη ἡ παράκλησις καὶ παραμυθία τῆς ἐπὶ τῷ ῥυσθῆναι τῆς αἰχμαλωσίας χρηστοτέρας ἐλπίδος, καὶ ἡ τῆς ἀναστάσεως προσδοκία, καὶ ἀπὸ τῶν αἰχμαλώτων Ἰουδαίων, καὶ ἀπὸ πάντων ἀνθρώπων κεκρύφθαι δοκεῖ. Καὶ γὰρ *οὗτος*, τουτέστιν ὁ θάνατος, τῆς αἰχμαλωσίας τοὺς ἀδελφοὺς διαστέλλει, καὶ διαχωρίζει ἀπ' ἀλλήλων. Καὶ διὰ τοῦτο δυσέλπιδές εἰσιν οἱ ἄνθρωποι, ὅτι ἔσται λύσις τῶν δυσχερῶν. Καὶ ἐν πάσῃ δὲ τῇ ἀνθρωπίνῃ φύσει, τοῦ θανάτου χωρίζοντος καὶ ἀδελφοὺς, καὶ πάντας ἁπλῶς, ἀπ' ἀλλήλων, ἐκέκρυπτο ἡ ἀνάστασις. Καὶ νῦν δὲ παρὰ τοῖς ἀθέοις κέκρυπται· διὸ μυστήριον ταύτην καλεῖ Παῦλος· Τὸ δὲ μυστήριόν μου, φησὶν ὁ Θεὸς, ἐμοὶ καὶ τοῖς ἐμοῖς. Τινὲς δὲ ἐρωτηματικῶς ἀνέγνωσαν τάδε, *Παράκλησις κέκρυπται ἐξ ὀφθαλμῶν μου;* Ὡσανεὶ γάρ τινος ἀπορήσαντος, καὶ εἰπόντος· Πῶς τοῦτο γενήσεται; πῶς ὁ θάνατος παυθήσεται; φησὶν ὁ Θεός· *Παράκλησις κέκρυπται ἐξ ὀφθαλμῶν μου;* τουτέστι, Μὴ οὐ δύναμαι ἐγὼ εὑρεῖν παράκλησιν; Δύναμαι πάντως· ἡ δέ ἐστιν, ὁ μονογενής μου Υἱὸς Ἰησοῦς Χριστὸς, ὃν ἱλαστήριον προεθέμην καὶ Παράκλητον. Οὗτος τὸν θάνατον καταλύσει, καὶ ἀνὰ μέσον ἀδελφῶν διαστελεῖ. Καὶ γὰρ ἦλθε μάχαιραν βαλεῖν· καὶ δι' αὐτὸν μέλλουσιν ἀδελφὸς ἀδελφὸν παραδοῦναι εἰς θάνατον, καὶ πατὴρ τέκνα. Καὶ ἀπὸ τῶν ὀφθαλμῶν τοῦ πενθοῦντος καὶ δακρύοντος διὰ τὴν ἁμαρτίαν, παράκλησις κέκρυπται νῦν· ἐν γὰρ τῷ μέλλοντι παρακληθήσεται. Καὶ ἡ ζωὴ αὐτοῦ κέκρυπται ἐν τῷ Χριστῷ, καθ' ἡμέραν ἀποθνήσκοντος ἐν τῷ παρόντι βίῳ. Οὗτος δὲ καὶ ἀνὰ μέσον ἀδελφῶν διαστελεῖ· οὐ γὰρ ἐᾷ τὴν ψυχὴν συμπνεῖν τῷ σώματι. Ἀλλὰ τὸ φρόνημα τῆς σαρκὸς ἔχθραν εἰδὼς πρὸς Θεὸν, τὸν ἔξω ἄνθρωπον ποιεῖ φθείρεσθαι, τὸν δὲ ἔσω ἀνακαινοῖ ὡς ἡμέρᾳ καὶ ἡμέρᾳ. Διαστέλλει οὖν καὶ χωρισμὸν ποιεῖ, ἀνὰ μέσον τῶν δύο ἀδελφῶν, τῆς ψυχῆς, φημὶ, καὶ τοῦ σώματος· τῇ μὲν τὰ εἰκεῖα εἰδοὺς, καὶ τὸ ἀξίωμα αὐτῆς συντηρῶν· τῷ δὲ, τὰ δευτερεῖα νέμων, καὶ μὴ ἀτάκτως καὶ διαστόλως βιῶν.

Vers. 14, 15. *Consolatio abscondita est, quia hæc inter fratres dividet.* Hæc nimirum consolatio atque recreatio, bonæ scilicet e captivitate evadendi spei atque resurrectionis exspectatio, altera captivis illis, altera cunctis hominibus abscondita esse videtur. Etenim *hæc*, scilicet mors, captivos illos socios divisit, eosque alios ab aliis segregavit. Propterea vix, ac ne vix quidem adduci poterant in eam spem, fore, ut eorum ærumnæ aliquando finem haberent. Cum item universis in hominibus mors eadem fratres a fratribus dividat, et generatim homines alios ab aliis separet, hinc fit, ut occultetur resurrectio. Quæ quidem resurrectio celatur etiam atheis qui sunt in præsentia; propterea que mysterium eam appellat Paulus: Mysterium autem meum[58], ait Deus, mihi meisque reservavi. Quidam autem ita per interrogationem legunt: Celatane est oculis meis consolatio? Quasi enim quispiam dubitando dixisset, Quomodo **122** hoc fiet? ecquomodo morti finis erit? Numquid, ait Deus, *celata meis oculis est consolatio?* An scilicet reperire non possum consolationem? Possum utique. Ea vero est unigenitus Filius meus Jesus Christus, quem talem effeci, ut hominibus propitium Deum reddere, eosque consolari maxime possit. Hic mortem e medio tollet, et fratres a fratribus dividet. Etenim ipse mittere venit gladium, quo fiat, ut frater fratrem et parentes filios neci tradant[59]. Ejus item oculis, quem suorum pœnitet peccatorum atque luget, celata est in præsentia consolatio; in futuro enim ævo eam capiet. Ejus vita quoque celatur in Christo, cum in præsenti sæculo quotidie moriatur. Idem hic et fratrem a fratre dividet. Non enim sinit, ut anima cum corpore conspiret; sed probe sciens carnis consilia cogitataque Deo adversari, dat operam, ut exterior homo corrumpatur, quo interior in dies magis magisque renovetur[60]; propterea que duos inter se fratres istos dividit, corpus, inquam, et animam, alterum ab altera sejungendo, quorum uni, scilicet animæ, primas tribuit quæ ipsius propriæ sunt, ejusque dignitatem tuetur; alteri, nempe corpori, dat secundas; atque ita simplicem sibique maxime constantem vitam degit.

Ἐπάξει καύσωνα ἄνεμον Κύριος ἐκ τῆς ἐρήμου ἐπ' αὐτόν. Ἐπὶ τὸν θάνατον, φησὶ, τουτέστιν

Adducet æstum ventum Dominus a deserto in ipsum. In mortem, ait, hoc est, in Babylonios,

[58] I Cor. xv, 51. [59] Matth. x, 34. [60] II Cor. iv, 16.

Variæ lectiones et notæ.

(29) Scribendum ἀναστελεῖ, vel διαστελεῖ, ut ex ipsomet Commentario liquet.

Digitized by Google

Israeli mortem afferentes, æstum atque ventum A induceet, Cyrum scilicet, regem Persarum. Deserti vero loci ideo meminit, ut venti summam vim atque vehementiam ostenderet. Ab locis namque, plantarum expertibus, flare solent venti vehementiores.

Et arefaciet venas ejus, et exsiccabit fontes ejus. Regiam scilicet stirpem omnem delebit, destructque tyrannidis adminicula, divitias nimirum et cætera regalia bona quæ quidem per verborum quamdam immutationem venas atque fontes nominavit.

Ipse arefecit terram ejus, et omnia vasa ejus optatissima. Hæc ita simplici ratione quadam intelligere commode poteris: eum scilicet terram vastasse, fructus perdendo, relinquendoque terram ipsam incultam, moxque diripuisse pretiosa ejus vasa aurea et argentea. Alia quoque ratione terram intelligere poteris inferioris ordinis homines; optabilia vero ejus vasa, populi satrapas et optimates, Babylonio regi intimos qui circa regias aulas volutabantur. Induxit in mortem Pater Salvatorem nostrum Jesum Christum, deserta de terra, virgine scilicet, quam terram haud peragravit vir ullus; qui Christus et ventus est, et æstus secundum divinitatem. Spiritus enim et ignis Deus appellatur. Idem arefecit etiam mortis fontes, nostras scilicet iniquitates (hæ quippe unæ sunt mortis fontes) omniaque optabilia earum **123** vasa, nos videlicet, diripuit. Terram quoque suam arefecit, mor- C talem nempe carnem hanc, efficiendo, ne morti fructum pareret, quæ caro *seminatur quidem in corruptione, sed surget in incorruptione* [61]. Deserta item de terra induxit ventum et æstum Joannem, qui velut Eliæ spiritu potestateque præditus, ardens ejus studium præ se ferret, auditoresque reprehensionibus adureret. Qui quidem mortis quæ ad animam pertinet, venas atque fontes arefacere, nequitiæ cujusque cum in publicanis, tum in militibus et reliquo populo materiam præcidere cœpit. Annon optabilia talis mortis vasa sunt publicani, ad perditionem instructa? quæ sane vasa Domini usibus apta ille reddidit, eis jubendo, ne quidquam supra legis præscriptum peterent et D exigerent. Idem arefecit et Herodis terram, carnis luxuriam reprimendo, negandoque fas ei esse Herodiadem retinere [62]. Idem in peccatoribus præstat et ratio.

Ἐπὶ τοὺς Βαβυλωνίους (οὗτοι γὰρ οἱ θανατοῦντες τὸν Ἰσραήλ), ἐπάξει καύσωνα ἄνεμον, τὸν Κῦρον τὸν βασιλέα τῶν Περσῶν. Τῆς ἐρήμου δὲ ἐμνήσθη, ἵνα δείξῃ τὸ σφοδρὸν τοῦ ἀνέμου καὶ βίαιον. Ἐκ γὰρ τῶν ἀδένδρων τόπων (30), οἱ ἄνεμοι βιαιότεροι.

Καὶ ἀναξηρανεῖ τὰς φλέβας αὐτοῦ, καὶ ἐξεμμώκει τὰς πηγὰς αὐτοῦ. Τουτέστι, πᾶσαν τὴν βασιλικὴν συγγένειαν διαφθερεῖ, καὶ τὰς τῆς τυραννίδος ἀφορμὰς ἀφελεῖ· τὸν πλοῦτον δή φημι, καὶ τὰ ἄλλα βασιλικὰ ἀγαθά· ταῦτα γὰρ τροπικῶς φλέβας καὶ πηγὰς ὠνόμασεν.

Αὐτὸς ξηρανεῖ τὴν γῆν αὐτοῦ, καὶ πάντα τὰ σκεύη τὰ ἐπιθυμητὰ αὐτοῦ. Καὶ ἁπλῶς μὲν οὕτω νοήσεις, ὅτι τὴν γῆν ἐξήρανε, τοὺς καρποὺς τεμὼν καὶ ἀγεώργητον ἀφεὶς, καὶ τὰ τίμια αὐτοῦ σκεύη B τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ διήρπασε· νοήσεις δὲ καὶ γῆν μὲν, τοὺς ταπεινοτέρους τοῦ λαοῦ· σκεύη δὲ ἐπιθυμητὰ αὐτοῦ, τοὺς περὶ τὰ βασίλεια στρεφομένους, οἰκείους τῷ Βαβυλωνίῳ σατράπας. Ἐπήγαγεν ὁ Πατὴρ ἐπὶ τὸν θάνατον τὸν Σωτῆρα ἡμῶν Ἰησοῦν Χριστὸν, ἐκ τῆς ἐρήμου παρθένου, ἣν ἀνὴρ οὐ διώδευσεν, ὃς Χριστὸς καὶ ἄνεμός ἐστι, καὶ καύσων κατὰ τὴν θεότητα· πνεῦμα γὰρ καὶ πῦρ ὁ Θεός· καὶ ἐξήρανε τὰς πηγὰς τοῦ θανάτου, τὰς ἀνομίας ἡμῶν (αὗται γὰρ αἱ τοῦ θανάτου πηγαί)· καὶ πάντα τὰ σκεύη αὐτῶν τὰ ἐπιθυμητὰ, ἡμᾶς διήρπασεν. Ἀνεξήρανε καὶ τὴν γῆν αὐτοῦ, τὴν θνητὴν ταύτην σάρκα, μηκέτι τῷ θανάτῳ καρποφορεῖν αὐτὴν ποιήσας. *Σπείρεται γὰρ ἐν φθορᾷ, ἀλλ' ἐγείρεται ἐν ἀφθαρσίᾳ.* Ἐπήγαγε καὶ τὸν Ἰωάννην ἐκ τῆς ἐρήμου ἄνεμον καὶ καύσωνα, ὡς ἐν πνεύματι καὶ δυνάμει (31) τοῦ Θερμοῦ τὸν ζῆλον Ἠλιοῦ πορευθέντα καὶ κατακαίοντα διὰ τῶν ἐλέγχων τοὺς ἀκούοντας. Ὃς τοῦ ψυχικοῦ θανάτου τὰς φλέβας καὶ τὰς πηγὰς ἀνεξήρανε, τὰς ἑκάστης κακίας ἀφορμὰς περικόπτων, τῶν τελωνῶν, καὶ τῶν στρατιωτῶν, καὶ τοῦ λοιποῦ λαοῦ. Ἡ οὐχὶ σκεύη ἐπιθυμητὰ τοῦ τοιούτου θανάτου οἱ τελῶναι, κατηρτισμένοι εἰς ἀπώλειαν; οἷς ἐκεῖνος ἐντελλόμενος μηδὲν παρὰ τὸ διατεταγμένον πράσσειν, τουτέστιν ἀπαιτεῖν, ἐποίει σκεύη εὔχρηστα. Ἀνεξήρανε καὶ τὴν γῆν Ἡρῴδου, τὰς λαγνείας τῆς σαρκὸς ἀναστέλλων, καὶ τὸ σκεῦος τὸ ἐπιθυμητὸν αὐτοῦ, τὴν Ἡρωδιάδα μὴ δεῖν λέγων αὐτὸν ἔχειν. Ταῦτα καὶ ὁ λόγος ἐν ἑκάστῳ τῶν ἁμαρτανόντων ποιεῖ.

CAPUT XIV.

VERS. 1. *Disperdetur Samaria, quoniam restitit Deo suo; in gladio corruent ipsi, et lactentes eorum allidentur, et eorum habentes in utero disrumpentur.* Mirum in modum nectit prophetiæ orationem: quippe neque simpliciter læta profert, nec acerba

ΚΕΦΑΛ. ΙΔ'.

Ἀφανισθήσεται Σαμάρεια, ὅτι ἀντέστη κρὸς τὸν Θεὸν αὐτῆς· ἐν ῥομφαίᾳ πεσοῦνται αὐτοὶ, καὶ τὰ ὑποτίτθια αὐτῶν ἐδαφισθήσονται, καὶ αἱ ἐν γαστρὶ ἔχουσαι αὐτῶν διαῤῥαγήσονται. Θαυμασίως πλέκει τὸν λόγον τῆς προφητείας, μήτε τὰ

[61] I Cor. xv, 42. [62] Matth. xiv, 4.

Variæ lectiones et notæ.

(30) Τούτων, *hisce* (locis), Cod. Ven.
(31) Ἐν ἀνθρωπίνῃ δυνάμει, *in humana potestate*, Cod. Bav.

Digitized by Google

παρακαλοῦντα μονοειδῆ παράγων, μήτε τὰ λυπηρὰ χωρὶς ἐῶν παρακλήσεως. Τοῖς γὰρ λυπηροῖς ἐπάγει τὰ τῆς παρακλήσεως, ἵνα μὴ εἰς παντελῆ ἀπόγνωσιν ἔλθωσι, ἀλλὰ μάθωσιν, ὅτι ἔστιν αὐτοῖς ἵλεως ὁ Θεὸς, καὶ πάρεστι βουλομένοις ἐπιστραφῆναι, τῆς ἀγαθότητος αὐτοῦ ἀπολαῦσαι· ὅπου γε καὶ ἁμαρτάνουσιν ἐπαγγέλλεται τὰ χρηστότερα. Καὶ τοῖς παρακλητικοῖς δὲ ἐπιπλέκει τὰ λυπηρὰ ὁμοῦ, ἵνα μὴ πάντη ἐκλύτους αὐτοὺς ποιήσῃ, ἀλλ' εἰς φόβον ἐκβάλῃ [*f.* ἐμβ.]. Οἶδε γὰρ ἄλλως, τοὺς μὲν τῷ φόβῳ παιδευομένους, τοὺς δὲ χρηστοτέραις ἐπαγγελίαις· καὶ διὰ τοῦτο ἀμφότερα τίθησι. Καὶ νῦν οὖν ἐπειδὴ εἶπε τὰ χαρμόσυνα, καὶ τὰ τῆς ἐλευθερίας, πάλιν ἀναμιμνήσκει αὐτοὺς τῆς ἀποστασίας, ἣν ἀπέστησαν ἀπὸ Θεοῦ, καὶ ἐπιφέρει ἃ διὰ ταύτην πείσονται. Φησὶν οὖν ὅτι ἐπειδὴ ἀντέστη τῷ θείῳ θελήματι ἡ Σαμάρεια, οἱ μὲν ἄνδρες αὐτῆς, τῇ τοῦ πολέμου ῥομφαίᾳ πεσοῦνται· τὰ δὲ ὑποτίτθια, τουτέστι, τὰ ὑπομάζια (τιτθοὶ γὰρ οἱ μαζοί), κατὰ τοῦ ἐδάφους προσρηγνύμενα διαφθαρήσονται· αἱ δὲ ἔγγυοι, τὰς γαστέρας διαῤῥαγήσονται, ἤτοι ἀνατμηθήσονται, ἵνα σὺν τοῖς ἐμβρύοις ἀπόλωνται. Ἔπεσε καὶ τὸ καύχημα τοῦ νομικοῦ λαοῦ ἐν ῥομφαίᾳ, τῷ εὐαγγελικῷ λόγῳ· καὶ οἱ τῷ γάλακτι τοῦ νόμου τρεφόμενοι, μηδὲν ὑψηλὸν ἐννοοῦντες, τῷ ἐδάφει τοῦ γράμματος ἐναπέμειναν· ἢ ὅτι τῷ ταπεινωθέντι ἄχρι γῆς Χριστῷ προσκρουόμενοι διαλέλυνται. Καὶ οἱ ἀπὸ γαστρὸς καὶ (32) κοιλίας φωνοῦντες διδάσκαλοι αὐτῶν, οἱ πάντα πρὸς γαστέρα πολιτευόμενοι, ὧν *ὁ Θεὸς ἡ κοιλία*, διεῤῥάγησαν τῷ φθόνῳ (33). Καλὸν δὲ καὶ τὰ πονηρὰ τῆς διανοίας ἡμῶν ἔκγονα ἐδαφίζεσθαι, ἕως ἔτι νήπιά εἰσι καὶ ἀσθενῆ, καὶ κάτω βάλλεσθαι, ἵνα μὴ ὑπεραίρωσι τὴν κεφαλὴν ἡμῶν, ἤτοι τὸ ἡγεμονικόν. Ἐδαφίζονται καὶ οἱ τῆς ὑπερηφανίας λογισμοὶ, ὅταν ἐννοῶμεν, ὅτι γῆ ἐσμεν καὶ σποδός. Ἔχει δὲ ἐν γαστρὶ ὁ μὲν φθόνος, τὸν φόνον· ἡ δὲ τρυφὴ, τὴν ἀσέλγειαν· ὁ πλοῦτος, τὴν καταδυναστείαν τῶν ταπεινοτέρων, καὶ ἄλλη κακία ἄλλην. Δεῖ οὖν τὰς μητέρας ταύτας διὰ τῆς τοῦ λόγου ῥομφαίας διαῤῥαγῆναι καὶ ἀνασχίζειν, ἀνακαλύπτοντας τὴν ἀηδίαν αὐτῶν, ἵνα καὶ τὰ ἐξ αὐτῶν γεννηθησόμενα κακὰ συναπόλωνται.

Ἐπιστράφηθι, Ἰσραὴλ, ἐπὶ Κύριον τὸν Θεόν σου, διότι ἠσθένησας ἐν ταῖς ἀδικίαις σου. Ἠπείλησά σοι, φησὶν, ἃ ἤκουσας. Ἵνα οὖν μὴ ταῦτα πάθῃς, ἐπιστράφηθι πρὸς Κύριον, διότι τὴν ἀσθένειαν ταύτην ἣν ἠσθένησας, παραδοθεὶς τοῖς ἐχθροῖς, διὰ τὰς ἀδικίας σου ἠσθένησας. Ὥστε εἰ μέλλοις ἰσχυρὸς γενέσθαι, τῷ Θεῷ πρόσελθε. Ἢ τὸ, *Ἠσθένησας*, ἀντὶ τοῦ, Κατεγήρασας τῇ κακίᾳ, πολὺν χρόνον ἐν ταύτῃ διέμεινας.

Λάβετε μεθ' ἑαυτῶν λόγους, καὶ ἐπιστράφητε πρὸς Κύριον. Οὐ χρυσὸν, οὐκ ἄργυρον, οὐκ ἄλλο τι

A sine consolatione relinquit : acerbis enim adjicit jucunda, quæ solarentur auditores, ut ne desperarent omnino, sed intelligerent, bonum sibi Deum esse atque clementem (qui vel delinquentibus humaniora polliceretur), ejusque bonitate perfrui licere, si ad eum sese recipere voluissent. Lætis item atque jucundis adnectit acerba, ne relaxarentur omnino, sed metu perterriti cohiberentur. Perspectum enim habebat, alios in officio retineri consuesse metu, alios bonis promissis, eamque ob rem adhibet utrumque. Ad hunc plane modum et in præsentia postquam læta protulit, futurumque dixit, ut in libertatem Hebræi vindicarentur, rursus eos defectionis commonefacit, per quam a Deo defecissent; adjicitque ea quæ hanc ob causam

B perpetientur. Quoniam igitur, ait, Samaria Dei voluntati restitit, idcirco viri ejus militari gladio concidentur, eorumque ὑποτίτθια, lactentes infantes, hoc est ὑπομάζια (τιτθοὶ enim idem sonat, ac μαζοὶ) solo illisi fœde interibunt, prægnantibusque mulieribus uteri disrumpentur, hoc est, dissecabuntur, ut una cum fetibus quæque suis pereant. Cecidit et legalis populi jactantia in gladio, evangelico nempe verbo ; quique legis lacte nutriuntur, nil sublime cogitantes, litteræ solo hæserunt, disruptique sunt, eo quod Christo, qui in terram usque se demisisset, adversarentur. Eorumque præceptores, qui e ventre ventriculoque verba sua promunt, qui cuncta ad ventrem eumdem referunt,

C *quorum Deus venter est* [63], rupti sunt invidia. Expedit item pravos mentis nostræ **124** conceptus, quandiu velut infantes imbecilli sunt, terræ illidi atque dejici, ne supra caput, principem scilicet animi nostri partem, extollantur. Terræ allidantur etiam elati animi cogitata, cum nobiscum ipsi reputamus, pulverem nos esse atque cinerem. In ventre porro gerit cædem invidia, luxuriam mollities, tenuiorum oppressionem opulentia, et aliud alia nequitia. Disrumpendæ itaque sunt verbi gladio, dissecandæque tales matres, quo sua cujusque nequitia relegatur, pereantque simul ea mala quæ cæteroquin ab ipsis gignerentur.

Vers. 2. *Convertere, Israel, ad Dominum Deum tuum, quia infirmatus es in iniquitatibus tuis.*

D Minitatus, ait, tibi sum quæ audisti. Ne itaque talia patiaris, fac ad Dominum te recipias ; siquidem tuas ob iniquitates evenit, ut eam subires imbecillitatem qua, hostium potestati traditus, in præsentia laboras. Quare si fortis evadere cupis, fac ad Dominum accedas. Vel illud *Infirmatus es*, idem sonat ac In nequitia consenuisti, multum in ea temporis permanens.

Vers. 3. *Sumite robiscum orationes, et revertimini ad Dominum Deum vestrum.* Vos, inquit,

[63] Philipp. III, 19.

Variæ lectiones et notæ.

(32) De his ipsis loquitur et superius, pag. 9.
(33) Διεφθάρησαν τῷ φθόνῳ, *corrupti sunt invidia*, Cod. Ven.

Digitized by Google

borter, non ut capitis aurum, aut argentum, aut aliud hujusmodi munus, sed supplicem habeatis orationem quæ Domini majestatem confiteatur. Quoniam idola deos esse confessi, illius divinitatem negastis, nunc omnino contrariam habeatis oportet orationem quæ numina illa neget, ipsumque Dominum Deum esse confiteatur. Docetque subinde qualem habere nos oporteat orationem.

Dicite ei ut non tollatis iniquitatem, sed assumatis bona. Supplices, inquit, eum orate et obsecrate, a vobis ut avertat iniquitatis fructus, captivitatem scilicet, eaque mala quæ inde manant, ut bona percipere possitis.

Et reddemus fructum labiorum nostrorum. Dicite præterea : Tuum nos, non illorum nomen confessuros esse pollicemur ; id enim est fructus labiorum nostrorum, quem profecto fructum tibi debemus. Propterea que *Reddemus* dixit, non Dabimus. Cum enim, inquiunt, Conditor noster sis, multisque nos beneficiis affeceris, merito hoc tibi ingenue fateri debemus.

Vers. 4. *Assur non salvabit nos et super equum non ascendemus : nequaquam ultra dicemus : Dii nostri, operibus manuum nostrarum.* Non amplius, inquit, in homine confidemus, nec in Assyriorum ope, nec in nostro equitatu, nec amplius idola deos appellabimus. Animadverte autem eodem loco haberi fiduciam, in hominibus locatam et equis, quo idololatriam. Nam et idola vana sunt, et homo quæque eum circumstant, omnia vanitas. Hæc hortationi esse videntur iis, qui **125** ex operibus legis justos se fieri gloriantur, quos sic affatur : Convertimini ad Dominum, neglectaque legis littera, detractoque velo, quod cordibus vestris est obductum, obsequimini Moysi ita jubenti : *Convertimini ad Dominum* [64]. Dominus autem spiritus est; et, *Si corde tuo credideris, et ore fatearis Dominum Jesum, salvus eris* [65]. Hic est fructus labiorum, fructus longe omnium optatissimus. Fac itaque fatearis, te salvum iri factum, non per Assur atque jactantiam qua de patre Abraham gloriaris, neque per equos, eamque animi elationem quam ex circumcisione concepisti, sed per fidem, quæ charitate operatur. Quisquis porro peccat (36), rationem nullam præ se fert : omnia quippe agit sine ratione. Quem contra pœnitet, seque ad Deum recipit, cum omnia cum ratione agat; is rationem rationisque verba capessere dicitur, præsertim cum exactæ vitæ rationes a semetipso postulet ac repetat, se vitamque suam ante futurum judicium perscrutando. Qui propterea secum ipse perpendit, quid recte egerit, quidve deliquerit; ideinque neque gloria, nec opibus

A ἐξίλασμα παραινῶ ὑμῖν λαβεῖν, ἀλλὰ λόγους ἱκετηρίους, καὶ ὁμολογοῦντας τὴν τοῦ Κυρίου μεγαλειότητα. Ἐπειδὴ γὰρ τὰ εἴδωλα ὡμολογήσατε θεοὺς, ἀρνησάμενοι τοῦτον, νῦν πάλιν λόγους λάβετε ἀρνουμένους ἐκεῖνα, καὶ ὁμολογοῦντας αὐτόν. Εἶτα διδάσκει ποίους δεῖ λόγους λαβεῖν.

Εἴπατε αὐτῷ, ὅπως μὴ λάβητε ἀδικίαν, καὶ λάβητε ἀγαθά. Ἱκετεύσατε αὐτὸν, φησὶ, καὶ αἰτήσασθε, ἵνα μὴ λάβητε τοὺς καρποὺς τῆς ἀδικίας, οἵτινες ἦσαν ἥ τε αἰχμαλωσία, καὶ τὰ ἐκ ταύτης κακὰ, ἵνα λάβητε ἀγαθά.

Καὶ ἀνταποδώσωμεν [vulg. *-σομ.*] *καρπὸν χειλέων ἡμῶν.* Εἴπατε καὶ τοῦτο, ὅτι Ὑπισχνούμεθα
B ὁμολογεῖν τῷ σῷ ὀνόματι, καὶ οὐ τῷ τῶν εἰδώλων· τοῦτο γάρ ἐστι καρπὸς χειλέων ἡμῶν· χρέος δὲ ἡμῖν ἐστιν. Οὐ γὰρ εἶπε, Δώσομεν, ἀλλὰ, *Ἀνταποδώσομεν.* Ποιητὴν γάρ σε καὶ εὐεργέτην ἔχοντες, ἀναγκαίως ὀφείλομέν σοι τὴν ὁμολογίαν ταύτην.

Ἀσσοὺρ οὐ σώσει ἡμᾶς, καὶ ἐφ' ἵππου οὐκ ἀναβησόμεθα· οὐκέτι οὐ μὴ εἴπωμεν· Θεοὶ ἡμῶν τοῖς ἔργοις τῶν χειρῶν ἡμῶν. Οὐκέτι, φησὶν, οὐδενὶ ἀνθρώπῳ θαρρήσομεν, οὔτε τῇ τῶν Ἀσσυρίων βοηθείᾳ, οὔτε τῷ ἡμετέρῳ ἱππικῷ, οὔτε τὰ εἴδωλα θεοὺς ὀνομάσομεν. Ὅρα δὲ, ὅτι τῇ εἰδωλολατρείᾳ
C συνέταξε τὸ θαρρεῖν ἀνθρώποις καὶ ἵπποις· τά τε γὰρ εἴδωλα μάταια, καὶ ἄνθρωπος ματαιότης, καὶ πάντα τὰ περὶ αὐτόν (34). Ταῦτα δοκεῖ παραινεῖν καὶ τοῖς καυχωμένοις δικαιοῦσθαι ἐξ ἔργων νόμου, καί φησιν, ὅτι Ἐπιστράφητε πρὸς Κύριον, τοῦ γράμματος ἀφέμενοι, καὶ τὸ κάλυμμα περιελόντες, ὃ κεῖται ἐπὶ τὴν καρδίαν ὑμῶν, ἀναγινωσκομένου Μωσέως· *Ἐπιστράφητε πρὸς τὸν Κύριον.* Ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστι. Καὶ, *Ἐὰν* (35) *πιστεύσῃς μὲν τῇ καρδίᾳ σου, ὁμολογήσῃς δὲ τῷ στόματι Κύριον Ἰησοῦν, σωθήσῃ.* Οὗτος ὁ καρπὸς τῶν χειλέων, κάρπωμα δεκτόν. Ὁμολόγησον δὲ, ὅτι οὔτε
D Ἀσσοὺρ, καὶ ἡ οἴησις, ἡ ἐπὶ τῷ *πατέρα* ἔχειν τὸν Ἀβραὰμ, οὔτε ἵππος καὶ τὸ φρύαγμα τῆς ἐπὶ τῇ περιτομῇ καυχήσεως σώσει σε· ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη. Ὁ μὲν οὖν ἁμαρτάνων, οὐκ ἔχει λόγους μεθ' ἑαυτοῦ· ἀλόγως γὰρ πάντα πράττει· ὁ δὲ ἐπιστρεφόμενος καὶ μετανοῶν, εὐλόγως πάντα πράττων, λόγους λαμβάνειν λέγεται. Καὶ ἄλλως δέ, ὅτι λογοπραγεῖ ἑαυτὸν καὶ εὐθύνας ἀπαιτεῖ, πρὸ τοῦ μέλλοντος δικαστηρίου αὐτὸς ἑαυτὸν ἐτάζων, καὶ τὰ μὲν κατώρθωσε, τί δὲ λείπεται διερευνώμενος· καὶ οὔτε ἐπὶ δόξῃ καὶ πλούτῳ αἴρεται (ταῦτα γὰρ τῶν Ἀσσυρίων χαρακτηριστικὰ), οὔτε ἐφ' ἵππον ἀναβαίνει ὡς ἐποχούμενος καὶ τερπόμενος τῇ θηλυμανίᾳ· οὔτε τοῖς ἄλλοις ἔργοις τῆς πρακτικῆς αὐτοῦ

[64] Deut. xxxiii 27. [65] Rom. x, 9.

Variæ lectiones et notæ.

(34) Περὶ αὐτῶν, *de ipsis.* Cod. Bav.
(35) Μὴ, *non.* Cod. Ven.
(36) Respicit interpres præcedentia prophetiæ verba Λάβετε μεθ' ἑαυτῶν λόγους, quasi hæc ita sonent, *Capessite vobiscum rationes.*

Digitized by Google

δυνάμεως, οἷς πρότερον, προσκυνεῖ, οὐδὲ λέγει θεοὺς καὶ κυρίους ἑαυτοῦ τὰ εἴδωλα, καὶ τὰς μνήμας ἐκείνων τῶν πράξεων (37).

A effertur (hæc est enim Assyriorum indoles) nec equum ascendit, vesanum scilicet in mulieres amorem, quo velut equo insideat et oblectetur, nec alia demum effectricis suæ potentiæ opera colit, ut antea, neque deos et dominos suos appellat idola et eorumdem operum monumenta.

Ἐν σοὶ ἐλεήσει ὀρφανόν. Τουτέστιν, Ἐγὼ ὁ Θεὸς ἐν σοὶ κατοικῶν, ἐλεήσω σε τὸν ὀρφανόν, Ἰσραήλ, τὸν ἐμοῦ τοῦ ἀληθινοῦ Πατρὸς ἀπολισθήσαντα, καὶ ἐρημωθέντα τῆς ἐμῆς κηδεμονίας καὶ προνοίας. Καὶ ὁ ἐν τῷ Υἱῷ δὲ Πατὴρ ἐλεήσει, φησὶ, τὸν ἐθνικὸν λαὸν, τὸν ἀπορφανισθέντα τοῦ οὐρανίου Πατρός. Καὶ πρὸς τὸν Θεὸν λέγεται, ὅτι Ὁ ἐν σοὶ ὤν, καὶ μὴ μακρυνθεὶς ἀπὸ σοῦ, ἐλεήσει ὀρφανόν· καὶ γὰρ σὺ Πατὴρ τῶν ὀρφανῶν· ὥστε ὁ μὴ ἐλεῶν ὀρφανὸν, οὐκ ἐν σοί.

Qui in te est miserebitur pupilli. Ego nimirum Deus qui in te sum, miserebor tui, qui orphanus es, Israel, qui me, verum Patrem, amisisti, meaque propterea es ope destitutus atque providentia. Pater item, qui est in Filio, inquit, miserebitur gentilis populi, qui cœlesti Patre fuerit orbatus. Ad ipsum quoque Deum dicitur : Qui in te est, nunquam a te recedens, is miserebitur orphani. Tu namque Pater es orphanorum ; propterea que qui non miseretur orphani, minime tecum est.

Ἰάσομαι τὰς κατοικίας αὐτῶν. Τουτέστι, τὰς πόλεις αὐτῶν καὶ τὰς κώμας, καὶ πᾶσαν τὴν γῆν, ἐν ᾗ κατοικοῦσιν· ἀσθένειαν γὰρ μεγάλην ἐδέξαντο, παντὸς ἀγαθοῦ στερηθεῖσαι, οἷόν τινος ὑγείας ἢ κάλλους. Ἢ, ὅτι Ποιήσω αὐτοὺς αὖθις κατοικίας ἔχειν. Ἐν γὰρ τῇ αἰχμαλωσίᾳ ὄντες, παροικίας εἶχον, οὐ κατοικίας. Ἐπανελθόντες οὖν αὖθις, ἀναλήψονται τὰς πόλεις αὐτῶν καὶ τὰς κώμας, ἐν αἷς κατοικήσουσιν ἀσφαλῶς. Ἰάσατο καὶ Χριστὸς, σημεῖα τελῶν, τὰ σώματα τῶν τότε Ἑβραίων, ἃ κατοικίαι ἦσαν τῶν ψυχῶν· αὐτὰς δὲ τὰς ψυχὰς οὐκ ἰάσατο, ἐπεὶ μὴ ἠθέλησαν. *Ποσάκις γὰρ, φησὶν, ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε!* Καὶ αἱ τῶν ἐθνῶν κατοικίαι, εἰδώλων καὶ αἰσχρῶν πράξεων γέμουσαι, ἠσθένουν τὴν πρὸς θάνατον ἀσθένειαν, ἃς ἰάσατο, ἐλθὼν, ἵνα τὰς νόσους ἡμῶν ἄρῃ, καὶ τὰς ἀσθενείας βαστάσῃ.

B Vers. 5. *Sanabo incolatus ipsorum.* Urbes nimirum et pagos omnemque regionem, ubi degerent ; magnam enim subierunt infirmitatem, cum omni bono, quasi corporis valetudine pulchritudineve fuerint destituta. Vel sensus est : Efficiam ut ii suas recipiant habitationes ; cum enim in captivitate versarentur, incolæ erant, nec ulla propria domicilia habebant. Domum itaque redeuntes, suas recipient urbes atque pagos, ubi tuto vitam degant. Christus item sua per miracula sanavit Hebræorum, qui tum temporis erant, corpora, quæ habitationes erant animarum, ipsas vero animas non sanavit, propterea quod ii sanari noluerunt. *Quoties* enim, inquit, *volui congregare tuos filios, et noluisti* [66] ? Gentilium quoque populorum habitationes, idolis refertæ turpissimisque flagitiis, lethali laborabant infirmitate, easque sanavit **126** is, qui venit, ut morbos tolleret, infirmitatesque nostras perferret [67].

C

Ἀγαπήσω αὐτοὺς ὁμολόγως. Τουτέστιν, ἀναμφιλόγως ὁμοῦ πάντας, καὶ οὐ τόνδε μὲν, τὸν δεῖνα δὲ οὔ. Ἢ, ὅτι Ὁμοῦ μετὰ τῶν ἐθνικῶν προσδέξομαι αὐτοὺς, ὁμολογοῦντας τὸ ὄνομά μου· ὅτε γὰρ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθοι, τότε πᾶς Ἰσραὴλ σωθήσεται.

Diligam eos pariter. Sine ullo videlicet discrimine, simul omnes, non ita quidem, ut alterum diligam, alterum non item. Vel perinde est, ac si diceret : Eos una cum gentilibus populis excipiam, quod nomen meum confiteantur. Ubi enim plenitudo gentium accesserit, tum omnis Israel salvabitur [68].

Διότι ἀπέστρεψεν ἡ ὀργή μου ἀπ' αὐτῶν. Ὅτε μὲν γὰρ νῶτα ἔδωκαν αὐτῶν πρός με, καὶ οὐ πρόσωπον, ἔμενεν ἡ ὀργή μου, ἐπικειμένη αὐτοῖς· νῦν δὲ ἐπιστραφέντων πρός με, ἀπέστρεψεν ἡ ὀργή μου ἀπ' αὐτῶν.

Quia avertit se ira mea ab ipsis. Cum enim terga mihi vertebant, non faciem, manebat ira mea, eis maxime infesta ; modo cum ad me sese converterint, avertere sese ab iis ira mea cœpit.

D

Καὶ ἔσομαι ὡς δρόσος τῷ Ἰσραὴλ, καὶ ἀνθήσει ὡς κρίνον. Τὰς ἐμὰς εὐεργεσίας ἐπιχορηγήσω αὐτοῖς ὡς δρόσος, καὶ ἀνθήσουσιν ὡς κρίνον. Πολλαχοῦ δὲ τούτου τοῦ ἄνθους ἡ θεία μνημονεύει Γραφή. Καὶ Ἡσαΐας μὲν λέγει· *Ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον.* Σολομὼν δὲ ἐν τῷ Ἄσματι τῶν ἀσμάτων· *Ὡς κρίνον ἐν μέσῳ*

Vers. 6. *Et ero tanquam ros Israeli, et florebit, ut lilium.* Mea, inquit, in eos beneficia conferam, roris instar, florebuntque tanquam lilium. Passim autem hujusce floris meminit divina Scriptura. Isaias quidem ait : *Lætetur terra deserta, et floreat, quasi lilium* [69] : Salomon autem in Cantico canticorum : *Sicut lilium inter spinas, ita soror mea in-*

[66] Matth. xxiii, 37. [67] Isa. v, 3, 4. [68] Rom. xi, 25. [69] Isa. xxxv, 1.

Variæ lectiones et notæ.

(37) Ὁ λέγων κυρίως καὶ θεοὺς ἑαυτῶν τὰ εἴδωλα καὶ τὰς μνήμας ἐκείνων τῶν πράξεων, *qui* (pridem) *dicebat dominos atque deos suos idola*, etc. Cod. Bav. sed scribendum κυρίους, et ἑαυτοῦ, ut habet cod. Venetus.

Digitized by Google

ter filias [70]. Denique Christus : *Respicite*, inquit, *lilia agri* [71]. Ex quibus intelligimus hoc in flore præter odoris suavitatem admirari solere homines et ipsius candorem. Huic lilio similis efficitur anima, quæ a peccati fœtore atque contagione liberatur, nitidaque baptismatis stola induitur, de qua et Isaias ait : *Exsultet anima mea in Domino, quia induit me vestimento salutis* [72]. Hujus itaque lilii instar florebit et Israel, Deum cognoscens, excipiensque rorem omnem, uti pluviam descendentem in vellus [73], in odorem suavitatis [74] Deo factus, qualis erat Paulus, Christi bonus odor [75] exsistens, ejusque vitam redolens.

Et emittet radices suas, quasi Libanus. Cum lilium odorem præ se ferat egregium, non item magnitudinem atque diuturnitatem ei respondentem, merito montis Libani mentio fit (qui mons et magnus est, et arboribus refertus, quæ altas agunt radices, diu multumque perduraturas) quo declararet Israelitarum quoque gloriam, qui sese ad Christum recipiant, magnam fore atque perpetuam. Quoniam autem et idololatræ in Libano plerumque versabantur, colebantque arbores omnium maxime sublimes et opacas: propterea nobis innuit prophetæ sermo, fore, ut in Ecclesia radices agant cum Israelitæ, tum gentiles populi, qui pridem idola colerent. Cum item in Ecclesia cernis aliquem vitam agentem honestam, ut lux ejus coram hominibus luceat [76]; hunc dicito lilium, eumdemque, si qua de Deo alta loquatur, agatque radices, ut ejus verba diu mansura sint effectumque discipulos verbi veritatis, appellato Libanum.

127 VERS. 7. *Ibunt rami ejus.* Ingentem scilicet in multitudinem crescet, et quos consumpsit bellum filios, rursus acquiret : atque ita longe lateque ejus soboles propagabitur. Ejus item rami protenduntur, qui ascensiones in corde suo disponit [77]; quippe qui non intra unam virtutis speciem sese continet, sed per omne virtutum genus vagatur. Israelis denique, Deo charissimi, rami fuerunt et apostoli, qui per orbem terrarum profecti, gentes omnes docuerunt.

Et erit quasi oliva fructifera. Semper videlicet florens, ita, ut ne tentationis quidem tempore exarescat, instar olivæ, quæ ne hieme quidem folia amittit. Præterea cum plerique speciem duntaxat virtutis, uti folia, præ se ferant, Dauda opera est, inquit, ut et fructus proferantur. Oliva fructifera est, qui proximi sui miseretur, non ad ostentationem captandamque hominum gloriam ; quippe cujus fructus non dilabuntur, neque merces interit [78].

[70] Cant. II, 2. [71] Matth. VI, 28. [72] Isa. LXI, 30. [73] Psal. LXXI, 6. [74] Levit. II, 19. [75] II Cor. II, 15. [76] Matth. V, 16. [77] Psal. LXXXV, 6. [78] Psal. I, 3.

A *ἀκανθῶν, οὕτως ἀδελφιδή μου ἀνὰ μέσον τῶν θυγατέρων.* Καὶ ὁ Κύριος δὲ, *Ἐμβλέψατε εἰς τὰ κρίνα*, φησὶ, *τοῦ ἀγροῦ.* Μανθάνομεν οὖν ἐκ τούτων, ὅτι πρὸς τῇ εὐωδίᾳ καὶ ἡ λευκότης τοῦ ἄνθους τούτου θαυμάζεται. Καὶ ἔοικε τούτῳ πᾶσα ψυχὴ, τῆς τε δυσωδίας τῆς ἁμαρτίας ἀπαλλαγεῖσα καὶ τοῦ ῥύπου, καὶ τὴν λαμπρὰν τοῦ βαπτίσματος περιβαλλομένη στολὴν, περὶ ἧς καὶ Ἡσαΐας φησὶν, ὅτι *Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσέ με γὰρ ἱμάτιον σωτηρίου.* Τούτῳ τοίνυν παραπλησίως τῷ κρίνῳ καὶ ὁ Ἰσραὴλ ἀνθήσει, τὸν Θεὸν ἐπιγνούς, καὶ τὴν ἄνωθεν πᾶσαν δρόσον δεξάμενος, τὸν καταβάντα ὡς ὑετὸν ἐπὶ πόκον. καὶ εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ γενόμενος, οἷος ἦν ὁ Παῦλος, Χριστοῦ εὐωδία καὶ ὀσμὴ ζωῆς ὤν.

B *Καὶ βαλεῖ τὰς ῥίζας αὐτοῦ, ὡς Λίβανος.* Ἐπεὶ τὸ κρίνον λαμπροτάτην μὲν ἔχει τὴν εὐωδίαν, μέγεθος δὲ οὐκ ἔχει ἀξιόλογον, ἢ ἐδραιότητα, τοῦ Λιβάνου ἐμνήσθη τοῦ ὄρους, ὃ καὶ μέγα ἐστὶ, καὶ δένδρεσι κατάκομον, βαθείας τὰς ῥίζας (58) ἔχουσι, καὶ ἐπὶ μήκιστον διαρκεῖν δυναμένας, ἵνα δείξῃ, ὅτι καὶ τῶν πρὸς Θεὸν ἐπιστραφέντων Ἰσραηλιτῶν ἡ δόξα μεγάλη ἔσται καὶ διαρκής. Ἐπεὶ δὲ καὶ εἰδωλολάτραι (59) ἐν τῷ Λιβάνῳ τὰ πολλὰ διέτριβον, τιμῶντες τὰ δασύτερα τῶν δένδρων καὶ εὐμηκέστερα, αἰνίττεται ὁ λόγος, ὅτι καὶ οἱ ἐξ Ἰσραὴλ καταῤῥιζωθήσονται ἐν τῇ Ἐκκλησίᾳ, καὶ οἱ ἐθνικοὶ οἱ πρότερον εἰδωλολάτραι. Καὶ ἐν τῇ Ἐκκλησίᾳ δὲ, ὅταν ἴδῃς τινὰ βιοῦντα καλῶς, ὥστε λάμπειν τὸ φῶς αὐτοῦ ἔμπροσθεν τῶν ἀνθρώπων, κρίνον εἰπὲ τοῦτον· εἰ δὲ καὶ ὑψηλά C τινα φθεγγόμενον περὶ Θεοῦ, καὶ βάλλοντα τὰς ῥίζας αὐτοῦ, ὥστε μονιμωτέρους (40) εἶναι τοὺς λόγους αὐτοῦ, καὶ μαθητὰς ἀποτελεῖν τοῦ λόγου τῆς ἀληθείας, Λίβανον αὐτὸν κάλεσον.

Πορεύσονται οἱ κλάδοι αὐτοῦ. Τουτέστι, πολυπληθὴς ἔσται, καὶ οὓς ἀνάλωσεν ὁ πόλεμος παῖδας, αὖθις κτήσεται, καὶ ἐπὶ πολὺ ἐκταθήσονται. Πορεύονται καὶ οἱ κλάδοι τοῦ ἀεὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθεμένου· οὐδὲ γὰρ ἵσταται ἐν ἑνὶ εἴδει ἀρετῆς, ἀλλ' ἐπὶ πᾶσαν διαβαίνει. Κλάδοι τοῦ εὐαρεστοῦντος τῷ Θεῷ Ἰσραὴλ καὶ οἱ ἀπόστολοι, οἱ πορευθέντες, ἐμαθήτευσαν πάντα τὰ ἔθνη.

D *Καὶ ἔσται ὡς ἐλαία κατάκαρπος.* Ἀειθαλὴς δηλονότι, καὶ οὐδὲ ἐν καιρῷ πειρασμῶν (41) ξηραινόμενος. Ὥσπερ οὐδὲ ἡ ἐλαία ἐν χειμῶνι φυλλοβολεῖ (42). Πλὴν ἐπεὶ πολλοὶ σχῆμα μόνον ἔχουσιν ἀρετῆς, ὥσπερ φύλλα, δεῖ, φησὶν, εἶναι καρπούς. Ἐλαία κατάκαρπος, ὁ ἐλεῶν μὴ πρὸς ἐπίδειξιν· οὐ γὰρ ἀπορῥέουσιν αὐτοῦ οἱ καρποὶ, οὐδὲ ἀπόλλυται ὁ μισθός.

Variæ lectiones et notæ.

(38) Εὐθείας τὰς ῥίζας, *rectas radices*, Cod. Bav.
(39) Εἰδωλολατρεῖαι, *idololatriæ*, Cod. Bav.
(40) Μονικωτέρους, Cod. Bav.
(41) Οὐδὲ ἐν πειρασμοῖς, *ne in tentationibus quidem*, Cod. Bav.
(42) Φυλλοροεῖ, Cod. Ven.

Digitized by Google

Καὶ ἡ ὀσφρασία αὐτοῦ ὡς Λιβάνου. Ὁ Λίβανος εὐοσμόν τε [*f.* τι] θυμίαμά ἐστιν. Ὁ οὖν προσαγαγὼν ἑαυτὸν τῷ Θεῷ, διὰ τοῦ ἐν Πνεύματι προσεύχεσθαι, καὶ μηδὲν αἰτεῖν, ὡς οἱ ἐθνικοὶ, οὗτος ἔχει τὴν ὀσφρασίαν (43), ὡς Λίβανος.

Ἐπιστρέψουσι καὶ καθιοῦνται ὑπὸ τὴν σκέπην αὐτοῦ. Ἀπὸ τῆς αἰχμαλωσίας, φησὶν, ἐπιστρέφοντες, ἕξουσι σκέπην τὸν Θεόν. Ἢ ὅτι ἐπιστραφέντες καὶ μετανοοῦντες ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν, σκεπασθήσονται ὑπὸ Θεοῦ, ἀπὸ παντὸς καύσωνος θλίψεως τηρούμενοι ὑπ' αὐτοῦ. Ὅρα δὲ καὶ τὸ, *Καθιοῦνται*· τὴν γὰρ ἀσφαλῆ καὶ μόνιμον ἀπόλαυσιν τῶν ἀγαθῶν τοῦτο δηλοῖ.

Ζήσονται καὶ στηριχθήσονται σίτῳ· ἤ, ὡς ἔνια τῶν ἀντιγράφων ἔχει, *μεθυσθήσονται*. Πάντων, φησὶν, ἀγαθῶν ἀφθονίαν ἕξουσι. Ζήσονται μὲν οὖν γεννηθέντες διὰ τὴν παλιγγενεσίαν, καὶ ὑπὸ τὸν νόμον τοῦ Πνεύματος τῆς ζωῆς γενόμενοι· στηριχθήσονται δὲ σίτῳ τῷ μυστικῷ (44), καὶ μεθυσθήσονται ἐκ τοῦ Δεσποτικοῦ αἵματος. Ἄκουε δὲ καὶ τῶν ἑξῆς·

Καὶ ἐξανθήσει ὡς ἄμπελος· τὸ μνημόσυνον αὐτοῦ, ὡς οἶνος Λιβάνου τοῦ Ἐφραίμ. Ἄμπελος μὲν ὁ Ἰσραὴλ πάλαι, ὡς ὁ Δαβὶδ λέγει, καὶ ἕτεροι προφῆται· ἀλλὰ καθαιρεθέντος τοῦ φραγμοῦ αὐτοῦ, ἤτοι τῆς θείας φυλακῆς, ἐγένετο εἰς διαρπαγὴν καὶ καταπάτημα τοῖς Βαβυλωνίοις. Ἀνθήσει οὖν πάλιν, φησὶν, ὥσπερ ἦν πάλαι ἄμπελος. Ἔσται δὲ καὶ τὸ μνημόσυνον αὐτοῦ, τουτέστιν, οἱ περιλειφθέντες ἐξ αὐτοῦ, καὶ ἀνασωθέντες ἀπὸ τῆς αἰχμαλωσίας, ὡς οἶνος, εὐωδίαν ἔχων τοῦ θυμιάματος Λιβάνου· ἢ ὡς οἶνος ἐν τῷ Λιβάνῳ τῷ ὄρει γεωργούμενος· ἢ ὅτι ἐν εὐφημίᾳ ἔσται, καὶ οἱ μνημονεύοντες αὐτοῦ, ἡδέως μεμνήσονται αὐτοῦ. Ἐπεὶ δὲ καὶ ὁ Κύριος ἄμπελος ἐν τῷ Εὐαγγελίῳ μνημονεύεται, καὶ τὸ αἷμα τῆς σταφυλῆς, αἷμα αὐτοῦ γίνεται, εἰπόντος· *Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν*· ἰδοὺ τὸ μνημόσυνον αὐτοῦ οἶνός ἐστι. Στηρίζει καὶ σίτῳ, ὡς ἀνωτέρω ἔμαθες· ὥστε ἔχεις τὰ μυστήρια προαναφωνούμενα.

Τί οὖν αὐτῷ ἔτι καὶ εἰδώλοις; Τοσαύτης οὖν, φησὶν, ἀπολαύσας τῆς ἐμῆς κηδεμονίας καὶ χρηστότητος, ὀφείλεις φεύγειν τὰ εἴδωλα. Τίς γὰρ κοινωνία ἔτι αὐτῷ καὶ ἐκείνοις; Μὴ γὰρ οὐκ ἐναργῶς ἔγνω, ὅτι ἐκεῖνα μὲν ἀσθενῆ, ἐγὼ δὲ ἰσχυρός;

Ἐγὼ ἐταπείνωσα αὐτὸν, καὶ ἐγὼ κατισχύσω αὐτόν. Ἐκεῖνα μὲν, ὡς ἔφην, ἀσθενῆ, καὶ οὔτε βλάψαι αὐτὸν ἠδύναντο, οὔτε ὠφελῆσαι· ἐγὼ δὲ ἦμην ὁ καὶ τὰ δυσχερῆ ἐπαγαγὼν, καὶ τὰ τῆς εὐφροσύνης ἐπιχορηγῆσαι δυνάμενος. Ὅμοιον τὸ, *Ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω· πατάξω, κἀγὼ ἰάσομαι.* Ταπεινοῦται ἡ σὰρξ, ἵνα ἰσχύσῃ τὸ

Et odor illius quasi Libani. Suffitus quidam est pulchre olens Libanus. Qui itaque semetipsum Deo sistit, eum in Spiritu adorando [79], nihilque petendo earum rerum quas populi gentiles petere consuerunt, hic pulchre olet, uti Libanus.

Vers. 8. *Convertentur et sedebunt sub umbra ejus.* A captivitate, inquit, redeuntes, Deum sibi tegmen habebunt. Vel sensus est, fore, ut a peccatis recedant, eosque facinorum quemque suorum pœniteat, quos propterea Deus protegat, et ab omni afflictionum æstu defendat. Animadverte autem illud *Sedebunt*, quo tuta atque stabilis bonorum perceptio designatur.

Virent et sustentabuntur frumento : vel, ut quædam exemplaria habent, *inebriabuntur*. Bonorum omnium, ait, affluentibus copiis gaudebunt. Vivent itaque geniti per regenerationem, sub spiritus vitæ lege degentes, et sustentabuntur mystico pane atque Dominico sanguine inebriabuntur. Audi quæ sequuntur.

Et efflorebit, ut vinea : mnemosynon ejus, quasi vinum Libani Ephraim. Vinea priscis temporibus erat Israel, ut et David [80] et alii prophetæ testantur; quæ vinea, sublata ejus sepe, divina scilicet custodia, a Babyloniis direpta est atque proculcata. Florebit itaque rursus, ait, vinea hæc, ut priscis illis temporibus. Eritque mnemosynon ejus (qui scilicet ex eo superstites manserunt, et incolumes e captivitate evaserunt) tanquam vinum quod bonum Libani odorem præ se ferat, vel tanquam vinum quod in Libano colitur. Vel sensus est, fore, ut cum ipse bonum nomen adipiscatur, tum cæteri libenter ejus mentionem faciant. Quoniam autem et Dominus vitis dicitur in Evangelio, et uvæ sanguis, fit sanguis ejus, juxta illud : **128** *Hoc facite in meam commemorationem* [81], hinc manifeste liquet, mnemosynon ejus esse vinum. Cum autem, et pane nos sustentet, ut superius intellexisti, perspectum hinc habes divina nobis prænuntiari mysteria.

Vers. 9. *Quid ei ultra et idolis?* Cum tanta, inquit, mea gaudeat ope atque benignitate, idola fugere (45) debet. Quæ enim ipsi communitas est adhuc cum illis? Nonne clare perspexit illa imbecilla esse, me contra fortem?

Ego humiliavi eum, et confortabo illum. Illa quidem, ut aiebam, imbecilla erant, ut neque nocere ipsi possent, neque prodesse : ego contra is fui, qui cum acerba eis intuli, tum jucunda præbere potui. Simile est illud : *Ego occidam, et vivere faciam; percutiam et sanabo* [82]. Deprimitur autem caro, quo fortior evadat spiritus. Hæc enim

[79] Joan. IV, 23. [80] Psal. LXXIX, 9. [81] Joan. XV, 5. [82] Deut. XXXII, 39.

Variæ lectiones et notæ.

(43) Ὀσφασίαν, Cod. Ven.
(44) Δεσποτικῷ, *Dominico*. Cod. Bav.
(45) Scribendum puto ὀφείλει, adeoque reddidi *debet*, pro ὀφείλεις, *debes*, ut in Cod.

Digitized by Google

sibi mutuo adversantur. Propterea Paulus : *Cum infirmor, tum potens sum* [83].

Ego tanquam juniperus condensa. Juniperus densa planta est et opaca, confertis prædita ramis semperque virentibus, et spinosa coma. Ait ergo : Ita ego te densis stipabo ramis, opeque mea protegam, ut in adjutorio meo habitans, in protectione Dei cœli [84] commorari queas, nullum reformidans afflictionum æstum, neque pluviam, seu relaxationem, mollem nempe vitam animos relaxantem. Densi enim cum sint atque conferti opis meæ rami, te penetrare non sinent neque prædictum afflictionum æstum, quo me maledictis lacessere cogaris, neque pluviam, de qua mox dicebamus, per quam pluviam in mollitiem atque luxuriam dilabaris. Sed si te quispiam aggrediatur, tuos pessumdaturus ramos, aduatis hic vepribus, quibusdam veluti spiculis atque telis percussus, arcebitur. Vepres omnino est in iis omnibus qui secundum Deum vivunt, aspera vita, qua per futuri judicii considerationem anxii cruciantur.

Ex me fructus est inventus. Ego videlicet tibi præbebo bonum omne quo perfruaris, omnemque fructum qui tibi deberi videatur. Quodque alibi Dominus dixit : *Sine me nihil potestis facere* [85], id ipsum et hoc loco dicit. Virtutum enim fructus manat a Christo, siquidem ipse Verbum est ; sine quo Verbo, nulla subsistit creatura, nec ea quæ sensu, nec ea quæ mente percipitur. Legis præterea fructus est Evangelium ; ea quippe seminis rationem habet : Evangelium autem, et gratia, et veritas, per Jesum Christum obvenit. Dictum perpende, diligenterque considera verbum hoc, *Inventus est* ; cum enim lege tegeretur Evangelium, invenitur ab iis qui illud quærunt, propterea que Dominus ait : *Scrutamini Scripturas* [86]. Inventum item est, mirandum ut prodigium, a gentilibus **129** populis qui illud minime quærebant, ut et apud Isaiam ipse de se Dominus testatur : *Inventus sum ab iis qui me non quærebant : manifestus factus sum iis qui me non interrogabant* [87].

VERS. 10. *Quis sapiens et intelliget hæc, aut intelligens, et cognoscet ea ? Quoniam rectæ sunt viæ Domini, et justi incedunt in eis : impii vero infirmabuntur in ipsis.* Cum superius enarrasset, quibus olim beneficiis eos, vel ingratos, cumulasset, quibusve suppliciis ad eorum correctionem esset in posterum affecturus : futurumque postea prænuntiasset, ut il Babylone domum redirent, et tum ipsi tum cæteri homines salute per Christum potirentur ; cum magna per totam prophetiam ostendisset mysteria : considerata eorum qui tum temporis erant auditorum stultitia, quærit, qui intelligenti ac sapienti animo sit hæc in posterum excepturus. Universa enim prophetia divina sapien-

πνεῦμα· ταῦτα γὰρ ἀντίκεινται ἀλλήλοις. Διὸ καὶ Παῦλος ἔλεγεν· *Ὅταν ἀσθενῶ, τότε δυνατός εἰμι.*

Ἐγὼ ὡς ἄρκευθος πυκάζουσα. Ἡ ἄρκευθος φυτόν ἐστι δασὺ καὶ ἀμφιλαφὲς, πυκνοὺς ἔχον τοὺς κλάδους καὶ ἀειθαλεῖς, καὶ ἀκανθώδη κόμην φέρον. Φησὶν οὖν· Οὕτως σε πυκάσω καὶ σκεπάσω πυκνοῖς τοῖς κλάδοις τῆς ἐμῆς βοηθείας, ὥστε κατοικῶν ἐν βοηθείᾳ τῇ ἐμῇ, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσῃ, καὶ οὐ φοβηθήσῃ οὔτε καύσωνά τινα θλίψεων, οὔτε βροχὴν, ἤτοι ἄνεσιν, καὶ ὑγρὸν καὶ διαλύοντα βίον. Πυκνοὶ γὰρ ὄντες καὶ συνεχεῖς οἱ κλάδοι τῆς ἐμῆς βοηθείας, οὐκ ἐάσουσι διαδῦναι οὔτε τὸν ῥηθέντα καύσωνα, εἰς βλασφημίαν σε συνωθοῦντα, οὔτε τὴν ῥηθεῖσαν βροχὴν εἰς τρυφὴν καὶ ὕβριν σε διαχέουσαν· ἀλλὰ κἂν τις ἐπέλθοι μέλλων τοὺς σοὺς κλάδους λυμήνασθαι οἷά τισιν ἀκίσιν ἢ βέλεσι, ταῖς ἐπιφυομέναις ἀκάνθαις κεντούμενος, ἀποστήσεται. Ἄκανθα δὲ πάντως ἐν παντὶ τῷ κατὰ Θεὸν ζῶντι, ὁ βίος ὁ τραχὺς, ὁ κεντῶν ἡμᾶς τῇ φροντίδι τῆς ἐκεῖ κρίσεως.

Ἐξ ἐμοῦ ὁ καρπός σου εὑρηται. Τουτέστιν, Ἐγώ σοι χορηγήσω παντὸς ἀγαθοῦ ἐπικαρπίαν, καὶ ὁ καρπὸς ὁ ὀφειλόμενός σοι, ἔσται ἐξ ἐμοῦ. Ὅπερ δὲ ὁ Κύριος εἶπε, ὅτι *Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδὲν*, τοῦτο κἀνταῦθα λέγει. Ὁ γὰρ καρπὸς τῶν ἀρετῶν, ἐκ τοῦ Χριστοῦ, εἴπερ αὐτός ἐστιν ὁ Λόγος. Ἄνευ δὲ Λόγου, οὔτε ἡ αἰσθητὴ κτίσις, οὔτε ἡ νοητή. Ἀλλὰ καὶ ὁ καρπός ἐστι τοῦ νόμου τὸ Εὐαγγέλιον· σπέρματος γὰρ λόγον ἐκεῖνος ἐπέχει· τὸ δὲ Εὐαγγέλιον καὶ ἡ χάρις καὶ ἡ ἀλήθεια, διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. Νόει τὸ λεγόμενον· σκόπει δὲ καὶ τὸ, *Εὑρηται*· ἐγκεκρυμμένον γὰρ ὂν τῷ νόμῳ τὸ Εὐαγγέλιον, τοῖς ζητοῦσιν εὑρίσκεται. Διὸ καὶ ὁ Κύριος ἔλεγεν· *Ἐρευνᾶτε τὰς Γραφάς.* Ἀλλὰ καὶ τοῖς μὴ ζητοῦσιν ἐθνικοῖς εὕρηται, ὥσπερ θαυμαστόν τι εὕρημα, καθὰ καὶ ἐν τῷ Ἡσαΐᾳ λέγει· *Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν. Ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι.*

Τίς σοφὸς καὶ συνήσει ταῦτα, ἢ συνετὸς, καὶ ἐπιγνώσεται αὐτά ; διότι εὐθεῖαι αἱ ὁδοὶ τοῦ Κυρίου, καὶ δίκαιοι πορεύονται ἐν αὐταῖς· οἱ δὲ ἀσεβεῖς, ἀσθενήσουσιν ἐν αὐταῖς. Εἰπὼν ὅσα πάλαι τε ὁ Θεὸς ἐπεδείξατο τοῖς ἀγνώμοσιν ἀγαθὰ, καὶ ὅσα πρὸς παιδείαν αὐτῶν ἐπαγαγεῖν αὐτοῖς μέλλει· καὶ μέντοι προθεσπίσας τὴν μετὰ ταῦτα αὐτῶν ἀνάκλησιν, τήν τε ἐκ Βαβυλῶνος, καὶ τὴν διὰ Χριστοῦ εἰς αὐτοὺς καὶ πάντας ἀνθρώπους γενησομένην, καὶ μυστήρια μεγάλα ἐνδειξάμενος διὰ πάσης τῆς προφητείας, ἐπειδὴ ἀπέβλεψε πρὸς τὴν ἀνοησίαν τῶν τότε ἀκροατῶν· ζητεῖ λοιπὸν τὸν ταῦτα συνετῶς καὶ σοφῶς ἀκουσόμενον. Τῷ ὄντι γὰρ προφητεία πᾶσα, σοφίας (46) δεῖται καὶ

[83] II Cor. XII, 10. [84] Psal. XC, 1. [85] Joan. XV, 5. [86] Joan. V, 39. [87] Isa. LXIII, 1.

Variæ lectiones et notæ.

(46) Σοφίας θείας, *sapientia* (eget) *divina*, Cod. Ven.

Digitized by Google

συνέσεως, ὥστε διὰ τοῦ τῆς ἀποκαλύψεως πνεύματος τὰ συνεσκιασμένως λεγόμενα, σαφηνισθῆναι τοῖς ἀκούουσι, καὶ συνετισθῆναι αὐτοὺς ταῦτα. Ἔστι δὲ συνετὸς μὲν, ὁ δυνάμενος συνεῖναι καὶ γνῶναι τὰ παρ' ἄλλου λεγόμενα. Διὸ Ἡσαΐας λέγει· *Ἀφελεῖ Κύριος συνετὸν ἀκροατὴν ἐκ τῆς Ἰουδαίας*· σοφὸς δὲ, ὁ καὶ ἄλλοις δυνάμενος διερμηνεῦσαι σαφῶς, ἃ αὐτὸς συνῆκε. Ζητήσας οὖν ἐνταῦθα ὁ προφήτης τὸν σοφὸν, καὶ ἐπειδὴ μὴ εὗρε, μονονουχὶ τοῦτό φησι· Τί ζητῶ σοφόν; κἂν συνετὸς; εὑρεθῇ πού τις, δυνάμενος ταῦτα ἐπιγνώσεσθαι, εἰ καὶ μὴ ἱκανός ἐστι καὶ πρὸς ἄλλους ταῦτα διερμηνεῦσαι. Μὴ εὑρὼν οὖν μήτε σοφὸν, μήτε τὸν τούτου ὑποδεέστερον συνετὸν, λέγει καὶ τὴν αἰτίαν, δι' ἣν οὐχ εὑρίσκονται. Ἡ δέ ἐστιν, ὅτι *Αἱ ὁδοὶ τοῦ Κυρίου εὐθεῖαι*. Οἱ οὖν μὴ ταύτας βαδίζοντες, ἀλλὰ τὰς σκολιὰς καὶ ἁμαρτητικὰς ὁδεύοντες, οὐκ ἔχουσι τὸ εὐθὲς πνεῦμα ἐν ἑαυτοῖς. Ἐκείνου δὲ μὴ παρόντος, οὔτε σοφία, οὔτε σύνεσις εὑρίσκεται· πνεύμα γὰρ σοφίας καὶ συνέσεως λέγεται. Ἢ καὶ οὕτως· Ἐπειδὴ ἀκροατὴν συνετὸν καὶ σοφὸν, φησὶν, οὐχ εὑρίσκω, τὸν τὰ ῥηθέντα πάντα σοφῶς καὶ συνετῶς ἐπιγνωσόμενον, ἐν βραχεῖ τὸ πᾶν συνελὼν, λέγω σαφῶς καὶ ἀπερικαλύπτως, καὶ ὡς ἂν γνοίη πᾶς ὁστισοῦν, κἂν μὴ κατὰ τ᾽ν ἐπιζητούμενον εἴη σοφὸν καὶ συνετόν. Τί δὲ τοῦτό ἐστιν; Ὅτι *Εὐθεῖαι αἱ ὁδοὶ τοῦ Θεοῦ*, καὶ οὐδὲν ἐναντίωμα, ἢ ὀλίγίν τινα καὶ κάκωσιν ἔχουσι· καὶ δίκαιοι πορευόμενοι ἐν αὐταῖς, εὐδρομοῦσιν· οἱ δὲ ἀσεβεῖς, ἀσθενοῦσιν ἐν αὐταῖς, τουτέστιν, οὐ δύνανται πορεύεσθαι ἐν αὐταῖς. Ὁ γὰρ ἀσεβὴς καὶ ἀποστάτης τοῦ Θεοῦ, πῶς δύναται ἐν ταῖς ὁδοῖς αὐτοῦ πορεύεσθαι, ἅπαξ πρὸς αὐτὸν εἰπών· *Ὁδούς σου εἰδέναι οὐ βούλομαι*; Ἀσθενεῖ οὖν ἐξ ἀνάγκης ἐν αὐταῖς, μὴ ἔχων δύναμιν κατὰ τὰς ἐντολὰς τοῦ Θεοῦ βιοῦν. Ἀλλ' ἡμῖν τε δῴη ἡ σοφία τοῦ Θεοῦ καὶ Πατρὸς, συνεῖναι μὲν τὰ ὑπὸ τοῦ προφήτου λεχθέντα, καὶ ἐπιγνῶναι αὐτὰ, πρὸς ὠφέλειαν πνευματικὴν, ἐνδυναμουμένους πρὸς τὸ καταγγέλλειν αὐτὰ σοφῶς τοῖς ἀγνοοῦσιν ἀδελφοῖς· ὁδεῦσαι δὲ καὶ τὰς εὐθείας ὁδοὺς τοῦ Κυρίου, μὴ ἐκκλίνοντας, μήτε εἰς τὰ δοκοῦντα δεξιὰ, ὃ πάσχει ὁ γινόμενος δίκαιος πολὺ, μήτε εἰς τὰ ἀριστερὰ, καὶ προδήλως κατεγνωσμένα. Οὕτω γὰρ ἂν καὶ ἀληθῶς δίκαιοι εἴημεν, τὴν μέσην καὶ βασιλικὴν ὁδὸν τηροῦντες, ἥτις τῷ ὄντι ἐστὶν Χριστὸς, ὁ εἰπών· *Ἐγώ εἰμι ἡ ὁδός*· δι' οὗ καὶ πρὸς τὸν Πατέρα πορευθέντες, ἀπολαύσαιμεν τῶν τῆς βασιλείας αὐτοῦ ἀγαθῶν, ἐν ἁγίῳ Πνεύματι, ᾧ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὡσηὲ ἑρμηνεύεται *σωζόμενος*. Οὗτος ἦν ἐκ Βελελεμὼθ, τῆς φυλῆς Ἰσάχαρ, καὶ ἔδωκε τέρας ἥξειν τὸν Κύριον ἐπὶ γῆς, ἀνθρώποις συναναστρεφόμενον· *Καὶ ἡ δρῦς ἡ ἐν Σιλὼμ μερισθήσεται*

tia eget et intelligentia, ut quæ subobscure dicuntur, per revelationis spiritum auditoribus aperiantur, intelligique ab iis plane queant. Intelligens porro est, qui quæ ab alio dicantur, intelligere et percipere potest, propterea que Isaias : *Auferet*, ait, *Dominus intelligentem auditorem ex Judæa* [88] : sapiens vero, qui quæ ipse percipit, aliis etiam explanare queat. Sapientem itaque auditorem hoc loco quærens vates, cum eum invenire non posset, hæc quodammodo dicit : Quid sapientem quæro? præclare mecum agetur, si vel intelligens reperiatur, qui hæc percipiat ipse, licet aliis cæteroquin explanare nequeat. Cum itaque neque sapientem invenerit, neque, quod longe minus erat, intelligentem, causam affert, cur non reperiantur, eaque est, quod rectæ cum sint viæ Domini, qui rectas hasce vias non ingrediuntur, sed obliquas quæ ducunt ad flagitia, carent spiritu recto, sine quo neque sapientia suppetit ulla, neque intelligentia : ille namque sapientiæ et intelligentiæ spiritus dicitur. Vel sensus est : Quoniam, inquit, intelligentem auditorem non invenio, neque sapientem, qui quæ dicantur, omnia suam per sapientiam et intelligentiam assequatur ; paucis universa complectens, palam aperteque prædico, ut quivis, licet non ita sapiens et intelligens, ut mox quærebatur, intelligere plane queat, *Rectas esse vias Domini*, nullamque continere noxam, nec ærumnam, neque calamitatem, atque justos, qui rectas illas vias ingrediantur, recta incedere, impios contra fore debiles, ut iis incedere nequeant. Qui fiat enim, ut impius, qui a Deo defecerit, per vias ejus incedat? præsertim cum dixerit : *Vias tuas nosse nolo*. Sit itaque in hisce debilis necesse est, cum Dei (47) præceptis consentaneam vitam ducere nequeat. Faxit vero Dei Patrisque **130** sapientia, ut nos prophetæ dicta teneamus, eaque nostram ad utilitatem spiritualem omnino perspecta habeamus, quo sapienter ignorantibus ea fratribus tradere possimus, simul ut rectas Domini vias ingrediamur, neutram in partem vergentes, nec ad dexteram quam petere videtur, qui summum jus consectatur, nec ad sinistram quæ manifeste reprobetur. Ita enim fiet, ut vere justi simus, media regiaque incedentes via, quæ revera Christus est, qui dixit : *Ego sum via* [89] ; per quem etiam ad Patrem contendentes, regni ejus bonis perfruamur, sancti Spiritus ope, cui sit sempiterna gloria. Amen.

Osee idem sonat, ac *qui salvatur*. Hic erat ex Belelemoth tribus Isachar, ediditque prodigium, quo venturus Dominus portendebatur, qui cum hominibus versaretur. *Quercus* ait, *quæ est in Silon*

[88] Isa. III, 1. [89] Joan. XIV, 6.

Variæ lectiones et notæ.

(47) Loquitur de impiis, quoad impii sunt, qui profecto simul cum impietate Dei præcepta servare nequeunt.

Digitized by Google

scindetur in duodecim partes, evadentque duodecim quercus, dicto audientes obsequentesque Deo, qui in terris appareat, cujus ope salvabitur universus terrarum orbis. Ita vita functus, sepultus est in regione sua.

A εἰς δώδεκα μέρη, καὶ γενήσονται δώδεκα δρύες, ἐπακοῦσαι καὶ ἀκολουθῆσαι τῷ ἐπὶ γῆς φανέντι Θεῷ, καὶ δι' αὐτοῦ σωθήσεται πᾶσα ἡ γῆ. Καὶ οὕτως θανὼν, ἐτάφη ἐν τῇ γῇ αὐτοῦ.

ΤΟΥ ΑΥΤΟΥ

ΘΕΟΦΥΛΑΚΤΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ (48) ΒΟΥΛΓΑΡΙΑΣ

ΕΞΗΓΗΣΙΣ ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΑΜΒΑΚΟΥΜ (49).

—

EJUSDEM

THEOPHYLACTI

ARCHIEPISCOPI BULGARIÆ

EXPOSITIO IN PROPHETAM HABACUC.

—

ARGUMENTUM.

131 Sunt qui dolenter ferant, cum sceleribus obnoxios, et inique agentes felicem transigere vitam conspicentur. Et alii quidem ambigunt, num humanarum rerum cura tangatur Deus. Rursum est reperire, qui credant quidem esse providentiam, ac interim tamen addubitent, num eam ad rationem cunctas res, omniaque negotia Deus, summus ille universi conditor, dispenset. Posteriorum itaque personam assumens propheta Habacuc, hæsitat sane, veluti causam, cur omnia sic contingant, discere **132** gestiens. Dilutionem ergo infert, quam divini Spiritus ei suppeditavit gratia. Non enim, ut nonnulli suspicati sunt, ipse vates hoc in sese affectu laboravit, elanguitve, cæterum ab aliis cum cogitata, tum dicta in medium promit, deque quæsitis ac dubiis institutionem affert. Quod ipsum Dei Spiritu imbutus David etiam egit : siquidem et ille personam induit indignatione æstuantem ob fecundiores impiorum hominum fortunas, dum, *Mei*, inquit, *fere pedes concussi sunt, ac gressus mei pene sunt effusi. Nam exeandui plane adversum sceleratos, dum pacem ita peccatorum ac scelerosorum cernam.* Ac talia pleraque adjiciens, quæstionum hujusmodi dilutionem submonstravit, dum

ΥΠΟΘΕΣΙΣ.

B Εἰσί τινες, οἳ σφόδρα δυσχαιρένουσι, τοὺς ἀδικοῦντας εὐημεροῦντας θεώμενοι· καὶ οἱ μὲν, ἀμφιβάλλουσιν, εἰ προνοεῖται πάντων ὁ Θεός· οἱ δὲ, πιστεύουσι μὲν εἶναι πρόνοιαν· ἐπαποροῦσι δὲ, εἰ δήποτε τοῦτον οἰκονομεῖται τὸν τρόπον τὰ πράγματα. Τούτων τῶν δευτέρων τὸ πρόσωπον ὁ προφήτης Ἀμβακοὺμ ἀναλαβὼν, ἐπαπορεῖ μὲν, ὡς δῆθεν μαθεῖν ἐφιέμενος τὴν αἰτίαν τῶν οὕτω γινομένων· ἐπιφέρει δὲ τὴν λύσιν, ἣν ἡ τοῦ Πνεύματος ἐχορήγησε χάρις (50). Οὐ γὰρ, ὥς τινες ὑπέλαβον, αὐτός γε τοῦτο τὸ πάθος ὑπέμεινεν, ἀλλὰ τὰ παρὰ τῶν ἄλλων ὑπονοούμενα, ἢ λεγόμενα, εἰσφέρει, καὶ τὴν περὶ τῶν ζητουμένων διδασκαλίαν ἐπιφέρει. Ταυτὸ δὴ τοῦτο καὶ ὁ C Θεῖος Δαβὶδ πεποίηκεν· εἰσάγει γὰρ κἀκεῖνος πρόσωπον δυσχεραῖνον ἐπὶ ταῖς εὐθηνίαις τῶν πονηρῶν ἀνθρώπων, καὶ φησιν· *Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου, ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν.* Καὶ πολλὰ τοιαῦτα προσθεὶς, ὑπέδειξε τῶν ζητουμένων τὴν λύσιν. *Τοῦτο γάρ ἐστι, φησὶ, κόπος ἐνώπιόν μου, ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν.* Τοῦτο δὲ μαθὼν ἀπὸ τῆς τοῦ Πνεύματος χάριτος, συνεπήγαγε· *Πλὴν διὰ τὰς δολι-*

Variæ lectiones et notæ.

(48) Ἐπισκόπου, *episcopi*, Cod. Bav.
(49) Αββακούμ, Cod. Bav.
(50) Δύναμις, *potestas*, Cod. Ven.

Digitized by Google

τητας αὐτῶν, ἔθου αὐτοῖς κακὰ, καὶ τὰ ἑξῆς· εἶτα διδάσκων μὴ περιεργάζεσθαι τὰς θείας οἰκονομίας, ἀλλ' ἁπλοϊκῶς ἕπεσθαι ταύταις, Κτηνώδης, φησὶν, ἐγενήθην παρὰ σοὶ, κἀγὼ διαπαντὸς μετὰ σοῦ. Καθάπερ γὰρ τὸ κτῆνος, φησὶ, τῷ ἄγοντι ἕπεται, μὴ περιεργαζόμενον πῆ βαδίζει, οὕτω δεῖ τοῖς λόγοις ἀκολουθεῖν· τοῦτο γὰρ ποιῶν, ἀεὶ μετὰ σοῦ ἔσομαι. Ὅτι δὲ τὰς τοιαύτας ζητήσεις τέθεικεν, οὐχ ὡς αὐτὸς ἀμφιβάλλων περὶ τῆς Πρόνοιας, ἀλλὰ τοὺς τῶν ἄλλων εἰσάγων λογισμοὺς, δηλοῖ τοῦ ψαλμοῦ τὸ προοίμιον· Ὡς ἀγαθὸς, φησὶν, ὁ Θεὸς τῷ Ἰσραὴλ τοῖς εὐθέσι τῇ καρδίᾳ! Ὁ δὲ ἀγαθὸν τὸν Θεὸν ὁμολογήσας, δῆλον ὅτι καὶ ἀγαθῶν εἶναι δοτῆρα συνομολογεῖ. Τοιαῦτα καὶ ἐν ψαλμοῖς ἄλλοις, καὶ παρ' ἄλλοις προφήταις εὑρίσκομεν. Τούτοις ἔοικε καὶ τοῦ θείου Ἀμβακοὺμ ἡ προφητεία. Δοκεῖ γὰρ ἐπαπορεῖν, τίνος χάριν οἱ θρασεῖς καὶ αὐθάδεις ὑπὲρ τοὺς ἐπιεικεστέρους εὐημεροῦσι, καὶ διατί τοῖς παρανομοῦσιν ἡ τιμωρία κατὰ πόδας οὐχ ἕπεται· ἵνα ἐπαπορήσας, εἶτα τὴν λύσιν ἐπαγαγὼν, τοὺς τὰ τοιαῦτα νοσοῦντας, καὶ τῆς Προνοίας καταγογγύζοντας θεραπεύσῃ. Τινὲς δὲ κατ' ἄλλην τινὰ μέθοδον σχηματίσαι τοὺς λόγους τούτους τὸν προφήτην ἐνόησαν. Ἐπειδὴ γὰρ τῶν προφητῶν τὰ δεινὰ προαγορευόντων, ἐδυσχέραινον οἱ Ἰσραηλῖται, ὡς ἀεὶ κακώσει; ἀκούοντες καὶ θλίψεις, δείκνυσιν εὐμεθόδως αὐτοῖς ὁ προφήτης, ὅτι ἄξιοί εἰσι τοιαῦτα παθεῖν, οἷα προλέγουσιν οἱ προφῆται, διότι τάδε καὶ τάδε ἁμαρτάνουσι. Διὰ τοῦτο εἰσάγει ἑαυτὸν δυσχεραίνοντα πρὸς τὸν Θεὸν ἐπὶ τῇ τοσαύτῃ τῆς κακίας χύσει, καὶ ζητοῦντα ἐκδίκησιν· ἵνα δείξῃ, ὅτι οὕτως εἰσὶ πονηρὰ τὰ ἔργα αὐτῶν, εἰ καὶ αὐτοὶ μὴ αἰσθάνονται, ὥστε καὶ τὸν Θεὸν βλασφημεῖσθαι παρ' αὐτοῦ, ὅτι μὴ ταχεῖαν ἐπάγει τὴν κόλασιν ἐπὶ τούτοις. Ἀμέλει καὶ μετὰ τὸ ἱκανῶς δυσχεράναι, προφητεύει, ὅτι οἱ καταφρονηταὶ οὐ διαδράσουσι τὴν θείαν δίκην. Ἵνα δὲ παραμυθήσηται τοὺς Ἰσραηλίτας τούτους, προαγορεύει καὶ τὴν τῶν Βαβυλωνίων κατάλυσιν, καὶ τὴν διὰ Κύρου τῶν Ἰσραηλιτῶν ἐλευθερίαν καὶ ἐπάνοδον. Αἰνίττεται δὲ καὶ τὴν καθολικὴν τῆς ἀνθρωπίνης φύσεως λύτρωσιν, ἧς ἀπηλαύσαμεν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἣν καὶ ἀνυμνῶν ὁ μακάριος οὗτος προφήτης, πρὸς τῷ τέλει τῆς προφητείας, ᾠδὴν ποιεῖται, ἐν ᾗ καὶ διάψαλμα εὕρηται (51), καθὰ σὺν Θεῷ ἐπὶ τόπου γενόμενοι δείξομεν.

A subdit : *Hoc enim est labor coram me, id me valde angit, usque dum fuero ingressus in sanctuarium Dei, et ab ipsis remotissime habitavero.* Porro institutus a Spiritu gratiæ, simul intulit : *Verumtamen propter imposturas ipsorum, decrevisti eis mala*, et quæ deinceps sequuntur. Postea docens nos haudquaquam curiosos divinæ dispensationis indagatores esse debere, verum enim simplici eam animo revereri ac sequi : *Factus sum*, inquit, *instar pecoris apud te, egoque semper tecum.* Quemadmodum enim jumentum sese ducentem sequitur, nihil anxie inquirens, quonam vadat : sic et me tuos comitari sermones convenit, quod si fecero, nunquam non tecum ero. Quod vero hujusmodi David quæstiones posuerit, non est quod ipse de providentia Dei dubitaverit, sed quod aliorum eum ad modum ratiocinationes adduxerit, Psalmi principium planum facit, ubi ait : *Quam bonus Israel Deus, iis qui recto sunt corde* [99]! Jam qui Deum bonum esse confitetur, simul eum bonorum datorem fatetur necessum est. Id genus non pauca vel in aliis psalmis et apud alios prophetas inveniemus. Quibus equidem haud dissimile est divini Habacuc vaticinium. Videtur enim pendere animi, qui fiat, quod prosperiore fortunæ aura temerarii et arrogantes, sibique placentes homines, affluentur, quam mansuetudine et probitate conspicui, eccur e vestigio supplicium non sequatur sceleratos : ut hac ratione hæsitans, deinde autem solutionem adducens, hunc modum ægrotantibus, divinæque Providentiæ obmurmurantibus, medicinam adhibeat. Quidam per aliam quamdam rationem, verba hæc facere prophetam voluerunt. Cum enim prophetas horrenda semper vaticinari Israelitæ gravate ferrent, ut qui perpetuo afflictiones et calamitates a vatibus sibi suis imminere audirent : breviter eis ostendit propheta, quod digni sint talia pati, qualia prophetæ prænuntient, quando quidem variis modis flagitia designent. Quare inducit sese ipsum succensentem Deo, ob tantam vitiorum copiam, quærentemque ultionem : uti demonstret **133** adeo esse prava ipsorum opera (etiamsi illi non persentiscant) ut et Deus ab eo vituperetur, quod non celerem propter hæc vindictam adducat. Præterea postquam satis ea ægro animo tulisset, prædicit quod contemptores verbi Dei non sint evasuri divinam ultionem. Ut vero et Israelitis animum addat, Babyloniorum juxta vastationem vaticinatur, Israelitarumque libertatem et reditum per Cyrum eis obventura. Ac obscure universalem humanæ naturæ redemptionem indicat, quæ nobis per Dominum nostrum Jesum Christum obtigit, quam et beatus hic propheta celebrans, in fine prophetiæ hujus oden pandit, cui et diapsalmata insunt, perinde ac, Deo auxiliante, ad eum locum profecti, demonstrabimus.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

Τὸ λῆμμα, ὃ εἶδεν Ἀμβακοὺμ ὁ προφήτης. Λῆμμα καλεῖται ἡ προφητεία, ἢ διότι λαμβάνεται

134 CAPUT PRIMUM.

VERS. 1. *Lemma, quod vidit Habbacum propheta.* Lemma, id est captio, ipsa prophetia nominatur,

[99] Psal. LXXII, 1.

Variæ lectiones et notæ.

(51) Εὕρηνται, *inventa sunt*. Cod. Ven. sed si ita legatur, legendum quoque plurali numero superius διαψάλματα.

Digitized by Google

sive quod accipitur ex Deo tradita, sive propter propheticæ mentis acceptionem, ac propter ab humanis ad divinas revelationes translationem. Quod si igitur non humanitus loquitur, sed a Spiritu captus vaticinatur, satis perspicuum fit, ipsum vatem de providentia Dei nihil dubitare, verum ambigentes hunc curare velle, aut Israelitis persuadere, quod non injuria patiantur, quæ sacri prophetæ eis prænuntient; ubi etiam dolenter fert plane, quod non celerius Deus vindictam eis adducat, adeo delinquentibus. Quod si Habbacum *patrem excitationis* sonat, si quis interpretetur, quis quæso alius ille pater fuerit atque Princeps vitæ nostræ, Primogenitus ex mortuis, et Primitiæ eorum qui dormierunt, et Pater futuri sæculi, qui per excitationem et resurrectionem hæreditatem suam accepit, et sortem partitus est? Hic secundum humanitatem, accipiens a Deo Patre suo, sancti Spiritus gloriam et honorem, ex persona humanæ naturæ luget injuriam, qua ipsa, a dæmonibus divexata, afficitur. Vide jam et voculam, Propheta, hoc est, ille a Mose prænuntiatus, qui dixit: *Prophetam vobis excitabit Dominus Deus, ipsum audite* [91]: perinde atque Joannem Pharisæi interrogabant: *Prophetane tu es* [92]? Proinde quicunque non ipse tantum excitatur a casu peccati, verum etiam alios in tali excitatione erudire potest, quæ videt, non humana cogitatione videt, sed a Deo illa accipit, ut cum divo Paulo dicere queat: *Non ego, verum gratia Dei, quæ mecum est* [93]; et iterum: *Per quem accepimus et gratiam et muneris apostolici functionem* [94]; et: *Sufficientia nostra ex Deo* [95].

A ἐκ Θεοῦ δεδομένη, ἢ διὰ τὴν τῆς προφητικῆς διανοίας λῆψιν, καὶ τὸν ἀπὸ τῶν ἀνθρωπίνων ἐπὶ τὰς θείας ἀποκαλύψεις μετανάστασιν. Εἰ τοίνυν οὐκ ἀνθρωπίνως φθέγγεται, ἀλλ' ὑπὸ τοῦ Πνεύματος ληφθεὶς προφητεύει, εὔδηλον ὡς οὐκ αὐτὸς ἐπὶ τῇ Προνοίᾳ διστάζει, ἀλλ' ἢ τοὺς διστάζοντας θεραπεῦσαι βουλόμενος, ἢ τοὺς Ἰσραηλίτας πεῖσαι, ὡς δικαίως πείσονται ἃ οἱ προφῆται προαγγέλλουσιν. Ὅπου γε καὶ αὐτὸς δυσχεραίνει μᾶλλον, ἢ ὅτι μὴ τάχιον ὁ Θεὸς ἐπάγει τὴν δίκην αὐτοῖς, οὕτως ἁμαρτάνουσιν. Εἰ δὲ Ἀμβακοὺμ ἑρμηνεύεται, *πατὴρ ἐγέρσεως*, τίς ἂν εἴη ἄλλος οὗτος, ἢ ὁ Ἀρχηγὸς τῆς ζωῆς ἡμῶν, ὁ Πρωτότοκος ἐκ νεκρῶν, καὶ Ἀπαρχὴ τῶν κεκοιμημένων, καὶ Πατὴρ τοῦ μέλλοντος αἰῶνος, ὃς τῇ ἐγέρσει καὶ ἀναστάσει ἀποκεκλήρωται; Οὗτος κατὰ τὸ ἀνθρώπινον λαβὼν ἀπὸ Θεοῦ Πατρὸς τὴν τοῦ ἁγίου Πνεύματος δόξαν καὶ τιμήν, ἐκ προσώπου τῆς ἀνθρωπίνης φύσεως ὀδύρεται τὴν ἀδικίαν, ἣν αὕτη πάσχει ὑπὸ τῶν δαιμόνων τυραννουμένη. Ὅρα δὲ καὶ τὸ, *Ὁ προφήτης*, τουτέστιν ἐκεῖνος προηγγελμένος ὑπὸ Μωσέως, εἰπόντος· *Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς, αὐτοῦ ἀκούσασθε* [f. *σεσθε*—]· καθὰ Ἰωάννην Φαρισαῖοι ἠρώτων· *Ὁ προφήτης εἶ σύ;* Καὶ πᾶς δὲ ὁστισοῦν οὐ μόνος αὐτὸς ἐγειρόμενος ὑπὸ [f. ἀπὸ] τοῦ πτώματος τῆς ἁμαρτίας, ἀλλὰ καὶ ἄλλοις τῆς τοιαύτης ἐγέρσεως καθηγεῖσθαι δυνάμενος, ἃ ὁρᾷ, οὐκ ἀνθρωπίνοις λογισμοῖς ὁρᾷ, ἀλλὰ λαμβάνων ἀπὸ Θεοῦ, ὥστε λέγειν μετὰ Παύλου· *Οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί·* καὶ πάλιν, *Δι' οὗ ἐλάβομεν καὶ χάριν καὶ ἀποστολήν·* καὶ, *Ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ.*

B

C

Vers. 2. *Quousque vociferabor, et non exaudies?* Personam circumventi fingit propheta, et inquit: Sæpenumero ad te clamavi, precans ut nequitiam sceleraque exstirpes, et non sum exauditus. Quandiu ergo longanimis eris? Hoc autem dictum est, ut ostendat Israelitis Deum accusantibus, quod eis semper pœnam interminetur, Deum propterea patientem esse ac longanimem, ut pravorum osores, nimirum pios, ad indignationem permoveat, ut ægre ferant, quod non celerius ultionem et supplicia adducat.

Ἕως τίνος κεκράξομαι, καὶ οὐ μὴ εἰσακούσῃς, Σκήπτεται τοῦ πλεονεκτουμένου τὸ πρόσωπον, καί φησιν, ὅτι Πολλάκις ἐκέκραξα πρὸς σὲ, δεόμενος ἵνα τὴν πονηρίαν ἐκκόψῃς, καὶ οὐκ εἰσηκούσθην· ἕως τίνος οὖν μακροθυμήσεις; Τοῦτο δὲ εἴρηται, ἵνα δείξῃ τοῖς κἀκεῖνος τὸν Θεὸν Ἰσραηλίται, ὡς κολάσεις αὐτοῖς ἀεὶ ἀπειλοῦνται· ὅτι τοσοῦτον μᾶλλον μακροθυμεῖ, ὥστε τοὺς μισοπονήρους τῶν ἀνθρώπων εἰς ἀγανάκτησιν κινεῖν, ὅτι μὴ τάχιον ἐπάγει τιμωρίας.

Vers. 3. *Cur ostendisti mihi labores et defatigationes, ut intuear in calamitatem et impietatem?* Miserationis affectu permoti, atque adeo compatientes exsistentes sancti, propter utrosque lugent, cum læsos, injuriave **135** pressos et afflictos, tum lædentes et ad calamitatem perducentes. Et fortasse propter injurios majori mœrore conficiuntur, quanto magis ad animam, pretiosissimam rem, noxa pertinet. Dicit igitur: Cur mihi ostendisti labores ac defatigationes injuste oppressorum hominum, ut intuear in ærumnam ipsorum, et impietatem injuste agentium cum eis? Quo pacto

D *Ἵνα τί ἔδειξάς μοι πόνους καὶ κόπους, ἐπιβλέπειν ταλαιπωρίαν καὶ ἀσέβειαν;* Συμπαθεῖς ὄντες οἱ ἅγιοι, δι' ἀμφοτέρους ὀδύρονται, τούς τε βλαπτομένους καὶ ταλαιπωρουμένους, καὶ τοὺς βλάπτοντας καὶ εἰς ταλαιπωρίαν ἄγοντας· τάχα δὲ διὰ τούτους καὶ πλέον, ὅσῳ καὶ [*f. add.* εἰς] ψυχὴν αὐτοῖς, τὸ τιμιώτατον χρῆμα, ἀποσκήπτει ἡ βλάβη. Φησὶν οὖν· Ἵνα τί μοι ἔδειξας τοὺς πόνους καὶ κόπους τῶν βλαπτομένων ἀνθρώπων, ὥστε ἐπιβλέπειν τὴν ταλαιπωρίαν μὲν αὐτῶν, ἀσέβειαν δὲ τῶν ἀδικούντων αὐτούς; Πῶς δὲ τὸν Θεὸν εἶπε δεῖξαι αὐτῷ ταῦτα; (52) Ἢ ὡς παραχωρήσαντα διὰ τὴν μακρο-

[91] Deut. XVIII, 15. [92] Joan. I, 21. [93] I Cor. XV, 57. [94] Rom. I, 8. [95] I Cor. III, 15.

Variæ lectiones et notæ.

(52) Hæc citra interrogationem efferuntur in Græc. text. *Nimirum vel tanquam permittentem*

Digitized by Google

θυμίαν τοιαῦτα γενέσθαι, καὶ μὴ ἐκκάψαντα ταῦτα· ἢ ὡς παρατείναντα αὐτοῦ τὴν ζωὴν, ὥστε τοιαῦτα βλέπειν. Οἱ γὰρ ἅγιοι πικραινόμενοι τὰς ψυχὰς, τὴν ἀνάλυσιν ποθοῦσιν· ὡς ὁ Ἰωνᾶς· *Καὶ νῦν λάβε*, φησὶ, *τὴν ψυχήν μου ἀπ' ἐμοῦ*. Εἴποι δ' ἄν τις, ὅτι αὐτὴ ἡ ἀδικία, κόπος καὶ πόνος ἐστὶ τῶν ἀδικούντων, καὶ ἡ ἀσέβεια, ταλαιπωρία τῶν ἀσεβούντων· οὐδὲν γὰρ ἐπιπονώτερον κακίας, ἢ ἀσθενέστερον ἀσεβείας. Ὅρα δὲ, πῶς ἀσέβειαν καλεῖ τὴν ἀδικίαν, ἢ καταδυσωπῶν τοὺς ἀδικοῦντας καὶ ἐκφοβῶν διὰ τοῦ πικροῦ τῆς λέξεως, ἢ τάχα καὶ λογισμὸν ἔχει ὁ λόγος εἰκότα. Εἰ γὰρ μὴ ὁ τρέφων τὸν ἐλάχιστον ἀδελφὸν, θεὸν οὐ τρέφει (*Ἐφ' ὅσον γὰρ οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε*)· ἀκολούθως, ἵνα μή τι πλέον λέγω, ὁ ἀδικῶν πτωχὸν, θεὸν ἀδικεῖ· ἡ δὲ εἰς θεὸν ἀδικία, οἶμαι, ἀσέβεια. Καὶ ἡ ἀνθρωπίνη δὲ φύσις, ἐν ἱδρῶτι τοῦ προσώπου κατακριθεῖσα διὰ τὴν παρακοὴν ζῆν, καὶ ἐν λύπαις τίκτειν τέκνα, θρηνεῖ ταῦτα, ζητοῦσα τὴν ἀπαλλαγὴν, ἣν ὁ Υἱὸς τοῦ Θεοῦ ἔμελλεν αὐτῇ χαρίσασθαι. Ἀλλὰ καὶ ὁ χάριν λαβὼν ἐγείρειν τοὺς ἁμαρτάνοντας, καλεῖ τὸν θεὸν πρὸς τὸ μηκέτι αὐτῷ δεικνύειν αὐτοὺς κοπιῶντας ἐπὶ τοῖς ἔργοις τῆς ἀνομίας, καὶ ταλαιπωρουμένους ἐν αὐτῷ τούτῳ τῷ ἀσεβεῖν εἰς θεόν. Τοιοῦτος γὰρ ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας.

A vero Deum asseverat hæc ei commonstrare? An quia veluti secedat Deus, propter longanimitatem ejus talia fiunt, nec exsinduntur? Anne qui ceu vitam ejus prorogat ut hujusmodi videat? Nam sancti animis exacerbati, resolutionem percupiunt, ut Jonas : *Et nunc accipe*, inquit, *animam meam a me* [96]. Dixerit autem quispiam, quod ipsa injuria, defatigatio et labor sit potius injuste agentium, et impietas atque calamitas, impia patrantium. Nihil enim scelere laboriosius, et nihil impietate imbecillius. Proinde observa, quomodo impietatem vocat ipsam injustitiam vel torvum inspiciendo injuste agentes, vel terrendo etiam ob sermonis amarulentiam. Ac verisimilem fortasse hic sensus rationem habere queat. Etenim si qui minimum fratrem non reficit epulis, Deum non reficit : *In quantum enim non fecistis uni ex minimis hisce, neque mihi fecistis* [97] : consequitur (ne pluribus agam) quod qui inopi injurius est, Deo vim inferat. Jam injuria in Deum, ipsa, ut opinor, est impietas. Præterea humana natura, ob mandati transgressionem, in sudore faciei vivere condemnata, et in mœroribus parere liberos, hæc luget, quærens liberationem quam Filius Dei donaturus ei erat. Ad hæc, accepta gratia ut excitet peccatores, Deum regat vates, ne sibi porro ostendat in operibus iniquitatis occupatos, et in hoc ipsum incumbentes, ut impii sint in Deum. Tales enim Filium Dei proculcant, et sanguinem testamenti profanant, per quem tamen sanctificati sunt, et Spiritum gratiæ contumelia et injuria afficiunt [98].

Ἐξ ἐναντίας γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει (53). Δείκνυσιν ὁ προφήτης, ὅτι οὐχ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τῆς θείας ἐντολῆς καταφρονουμένης, καὶ ὑπὲρ ἀδελφῶν κακῶς πασχόντων ἀλγεῖ (54). Βλέποντός μου γὰρ, φησὶν, ὁ κριτὴς δῶρα ἔλαβε, καὶ τὸν νόμον παρέβη τὸν λέγοντα· *Οὐ λήψῃ πρόσωπον ἐν κρίσει, ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστι.*

Judicium adversus me statuitur, et judex accipit. Innuit hic propheta, quod non super sese ipse, verum ob divini mandati contemptum, ac pro fratribus, iniqua passis, dolest. Aspiciente me, inquit, judex munera accepit, legemque transgressus est, dicentem : *Non accipies personam in judicio : nam judicium Dei est* [99].

Διὰ τοῦτο διεσκέδασται νόμος, καὶ οὐ διεξάγεται εἰς τέλος κρίσις, ὅτι ὁ ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον· ἕνεκεν τούτου ἐξελεύσεται τὸ κρῖμα διεστραμμένον. Διὰ τὸ λαμβάνειν, φησὶ, τοὺς κριτὰς δῶρα, καὶ διὰ τὸ δυνατώτερον εἶναι τὸν ἄδικον τοῦ τὸ δίκαιον ἔχοντος, διεσκέδασται ὁ νόμος, ἀντὶ τοῦ, ἀπέρριπται, συγκέχυται, τὴν οἰκείαν φύσιν οὐ τηρεῖ, οὐδὲ ἡ προσήκουσα κρίσις ἐπάγεται τοῖς πράγμασιν. Ἀλλὰ πολλάκις, κἂν ἄρξηται ὁ κριτὴς εὐθεῖαν τὴν κρίσιν ποιεῖν, οὐκ ἐξάγει ταύτην ἄχρι τέλους ὑπὸ τῶν δώρων ἀλλαχόσε παρενεχθείς. Ὅς γε καὶ διὰ τοῦτο ἴσως ἄρχεται κρίνειν δικαίως, ἵνα τὸν δυνάστην ἐκφοβήσας· ὡς καταδικάσων αὐτὸν, πλείω τὰ δῶρα παρ' αὐτοῦ λάβοι. Ἕνεκεν τοίνυν τούτου, τοῦ εἶναι δυνάστην τὸν ἄδικον, καὶ πλείω ἔχειν παρὰ τὸ δίκαιον, ἐξέρχεται ἡ κρίσις στρεβλή.

Vers. 4. *Propterea dispersa est lex, et non perducitur ad finem judicium, quoniam impius vim facit justo, et adversus eum potens est, eam ob rem egredietur judicium perversum.* Quia, inquit, judices munera accipiunt, et quia injustus potentior est eo, qui justitiam amplectitur, dispersa est lex, id est rejecta est, confusa est, genuinam naturam non servat, neque conveniens judicium rebus adhibetur. Enimvero sæpe, **136** etiam si cœperit judex rectum judicium facere, non educet hoc ad finem usque, a muneribus alio abductus. Qui quidem et eam ob causam fortasse incipit judicare juste, ut ubi potentem consternaverit, ceu sit eum condemnaturus, plura ab eo munera capiat. Propter hoc igitur, quia potentia clarus est injustus, justoque superior est, judicium pravum egreditur; hunc ad

[96] Jonæ IV, 3. [97] Matth. XXV, 45. [98] Hebr. X, 29. [99] Deut. XVI, 19.

Variæ lectiones et notæ.

suam ob longanimitatem, talia fieri, neque intercipientem hæc : vel tanquam ejus vitam producentem, ut talia facinora cernere posset.

(53) Cod. Bav. addit κρίσιν, *judicium*.
(54) Λαλεῖ, *loquatur*, Cod. Bav.

Digitized by Google

modum judicium etiam eorum, qui Dominum nostrum cruci affixerunt, peractum est adversus ipsum. Etenim in re ipsius justitiæ vera, judicium isthuc injustum, adversus Christum erat. Et judex ipse Pilatus gloriam hominum accepit, quam vehementius dilexit, quam gloriam Dei. Eam ob rem impius populus vi suppressit justum, et exiit judicium adversus eum plane perversum. Pro eo enim quod debebant eum ceu benefactorem suum præconiis et laudibus vehere, turpi morte condemnarunt eum. Reprehendebat autem Dominus Judæos et alias, quod non recte judicarent, quando ipsum, quia paralyticum curasset in Sabbato, increparent. Dicebat enim : *Si circumcisionem accipit homo in Sabbato, cur mihi indignamini, quod totum hominem in Sabbato sanavi? Ne judicetis secundum faciem* [1]. Fit etiam perversum judicium, in humano judiciario foro, nempe cujusque suo, quando mens nostra veluti munus, ipsam e passibilibus sensibus voluptatem capiens, sensibilibus vincentem calculum adjecerit : tum et hostis noster vere impius, tanquam desertor Dei, rationem nostram vi dejicit, quæ justitiam secum per Verbum Dei habet. Est autem justum, visibilia et sensibilia, ab invisibilibus et intelligibilibus vinci. Nam quæ videntur, temporaria sunt : quæ non videntur æternum durant [2].

A Γέγονε καὶ ἡ ἐπὶ τῷ Κυρίῳ τῶν σταυρωσάντων αὐτὸν κρίσις ἐξ ἐναντίας αὐτοῦ· καὶ γὰρ τῷ ὄντι δικαιοσύνης αὐτῆς ἄδικος οὖσα ἐκείνη, ἀπεναντίας ἦν. Καὶ ὁ κριτὴς Πιλάτος ἔλαβε τὴν δόξαν τῶν ἀνθρώπων, ἣν ἠγάπησε μᾶλλον, ἤπερ τὴν δόξαν τοῦ Θεοῦ. Διὰ τοῦτο ὁ ἀσεβὴς λαὸς κατεδυνάστευσε τὸν δίκαιον, καὶ ἐξῆλθε τὸ κρῖμα κατ' αὐτοῦ διεστραμμένον. Ἀντ' ὧν γὰρ ὤφειλον αὐτὸν ὡς εὐεργέτην ὑμνεῖν, ἀσχήμονι θανάτῳ κατεδίκασαν αὐτόν. Ἐπητιᾶτο δὲ τοὺς Ἰουδαίους ὁ Κύριος καὶ ἄλλως, ὡς μὴ κρίνοντας ὀρθῶς, ὅτε τὸν παράλυτον ὑγιάσαντι ἐν Σαββάτῳ ἐπετίμων. Ἔλεγε γάρ· *Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν Σαββάτῳ, ἐμοὶ τί χολᾶτε, ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν Σαββάτῳ; Μὴ κρίνετε κατ' ὄψιν.* Γίνεται διεστραμμένη ἡ κρίσις καὶ ἐν τῷ B κριτηρίῳ τῷ ἀνθρωπίνῳ, ὅτε ὁ νοῦς λαμβάνων ὡς δῶρον τὴν ἐμπαθῆ τῶν αἰσθήσεων ἡδονήν, τοῖς αἰσθητοῖς τὴν νικῶσαν ψῆφον διδῷ· τότε καὶ ὁ ἐχθρὸς ἡμῶν, ὁ ὄντως ἀσεβὴς ὡς ἀποστάτης Θεοῦ, καταδυναστεύει τὸν λόγον, ὃς τὸ δίκαιον ἔχει μεθ' ἑαυτοῦ (55). Δίκαιον δὲ, τὸ τὰ βλεπόμενα καὶ αἰσθητὰ, νικᾶσθαι ὑπὸ τῶν μὴ βλεπομένων καὶ νοητῶν· τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια.

Vers. 5. *Videte contemptores, et intuimini, et admiramini mirabilia, et obscuramini.* Enarrans, quæ de transgredientibus legem in Hierusalem explicuit (nam qui in Samaria erant, jam tum captivi abducti, Babylonem habitabant) succensentis personæ præpositis sermonibus, responsum ceu a Deo acC ceptum edit : medelam ita admovens Providentiæ divinæ obmurmurantibus, perinde quasi lento admodum gressu procedat. Adhæc Israelitis pariter subindicat, quod quæ ipsis mala Deus adducet, jure adducet, tanquam prævaricatoribus, contemptoribusve sui : citra trepidationem enim delinquebant, non solum legi non obtemperantes, verum ne prophetis quidem animum advertentes, qui frequentius eis interminabantur. Ad hos jam oculos defigere præcipit, hoc est jubet ut advertant animis quæ dicantur, inque ea intueantur, id est ut considerent cum instantia et sobrietate : tum ut obstupescant et formident minas. Admiranda enim quædam, inquit, facturus sum vobiscum. Etenim gentem sanctam, primogenitum **137** meum D filium, nimirum vos, traditurus sum hostibus, ut nulla non dira duraque ab eis patiantur. Quid vero est, *Obscuramini?* pro Contegimini, occultamini, timore et pudore perculsi. Aut obscuramini, seu mali nunc este, ut boni efficiamini. Domino enim malus est obtectus, donec bonus esse, si sese

Ἴδετε, οἱ καταφρονηταὶ, καὶ ἐπιβλέψατε, καὶ θαυμάσατε θαυμάσια, καὶ ἀφανίσθητε. Διεξελθὼν ἃ διεξῆλθε περὶ τῶν παρανομούντων ἐν Ἱερουσαλὴμ (οἱ γὰρ ἐν Σαμαρείᾳ ἤδη τὴν Βαβυλῶνα ᾤκουν αἰχμαλωτισθέντες), καὶ τοῦ δυσχεραίνοντος πρὸς ὧπου τοὺς λόγους προθεὶς, ποιεῖται τὴν ἀπόκρισιν, ὡς ἀπὸ τοῦ Θεοῦ, ἰώμενος διὰ ταύτης καὶ τοὺς τῆς Προνοίας καταγογγύζοντας, ὡς βραδείας· καὶ ἄλλως δὲ δεικνύων τοῖς Ἰσραηλίταις, ὅτι ἃ ἐπάξει αὐτοῖς κακὰ, δικαίως ἐπάξει ὡς καταφρονηταῖς· ἀδεῶς γὰρ παρηνόμουν, οὐ μόνον τοῦ νόμου παρακούοντες, ἀλλ' οὐδὲ τῶν προφητῶν ἐπιστρεφόμενοι, συχνότερον ἀπειλούντων. Τούτοις παρακελεύεται ἰδεῖν, ἀντὶ τοῦ, προσχεῖν τοῖς λεγομένοις, καὶ ἐπιβλέψαι, τουτέστι κατασκέψασθαι μετὰ ἐπιστάσεως καὶ νήψεως, καὶ καταπλαγῆναι, καὶ δεῖσαι τὴν ἀπειλήν. Θαυμαστὰ γὰρ, φησὶ, τινὰ μέλλω ποιεῖν ἐφ' ὑμῖν. Καὶ γὰρ τὸ ἔθνος τὸ ἅγιον, τὸν πρωτότοκόν μου υἱὸν ὑμᾶς μέλλω παραδοῦναι τοῖς ἐχθροῖς, ὥστε πάνδεινα ὑπ' αὐτῶν παθεῖν. Τί δέ ἐστι τὸ, *Ἀφανίσθητε;* Ἀντὶ τοῦ, Ἐγκαλύψασθε, κρύβητε ἀπὸ φόβου καὶ αἰσχύνης. Ἢ, ὅτι Ἀφανίσθητε, ἤ (56) κακοὶ νῦν ἐστε, ἵνα ἀγαθοὶ γένοισθε. Ὁ γὰρ ἦ κακός ἐστιν ἀφανιζόμενος, εἰς τὸ ἀγαθὸς εἶναι ἔρχεται· ὥσπερ ὅσον ὁ ἔξω ἄνθρωπος φθείρεται, τοσοῦτον ὁ ἔσω ἀνακαινοῦται. Ἐπεὶ δὲ πᾶς ὁ καταφρονῶν τοῦ Θεοῦ, οὐ βλέπει (οὐ γὰρ ἂν τοῦ οὕτως καλοῦ κατεφρόνει)· διὰ τοῦτο

[1] Joan. vii, 24. [2] II Cor. iv, 18.

Variæ lectiones et notæ.

(55) Lonicerus legisse videtur διὰ τοῦ Θεοῦ Λόγου, quæ tamen in utroque Cod. et Ven. et Bav. desiderantur.

(56) Scribendum ἦ, ut in Cod. Ven., non ἤ, ut Lonicerus legisse videtur, vertendumque, *Delemini* quatenus mali estis, ut boni efficiamini : qui enim, quatenus malus est, deletur, bonus esse incipit.

Digitized by Google

τοῖς ἐν τῷ ἁμαρτάνοντι καταφρονηταῖς λογισμοῖς ἐγκελεύεται τὸ ἰδεῖν, ὅτι τὸ ὄντως καλὸν ὁ Θεός ἐστι, καὶ ἐπιβλέψαι ἐπ' αὐτὸν, καὶ μὴ ἀπατᾶσθαι ψευδεῖ κάλλει τῶν ὁρωμένων, μηδὲ θαυμάσαι τὰ ἀθαύμαστα βιωτικὰ, ἀλλὰ τὰ ὄντως θαυμάσια τὰ ἐν τοῖς οὐρανοῖς. Καὶ ἀφανίσθητε, φησὶν, ἀπὸ τῆς ἀνθρωπίνης ψυχῆς, οἱ καταφρονηταὶ λογισμοὶ, ἵνα ὑπεισέλθωσιν (57) οἱ πάντα ὑποπτήσσοντες δι' εὐλάβειαν, καὶ φοβούμενοι τὸν δυνάμενον καὶ σῶμα καὶ ψυχὴν παραδοῦναι τῇ γεέννῃ, καὶ διὰ τοῦτο ἐκκλίνοντες ἀπὸ κακοῦ (58).

A exerat, cœperit : quemadmodum quanto exterior homo corrumpitur, tanto interior renovatur [3]. Quia vero omnis qui aspernatur Deum, non videt : nec enim tantum bonum aspernaretur : propterea contemptricibus in peccante cogitationibus, neque non ratiocinationibus, in mandatis dat cernere, quod vere bonum Deus sit, ac in ipsum dirigere lumina nostra, oculosque flectere, nec decipi fallaci rerum, quæ videntur, pulchritudine, neve demiremur quæ nullam admirationem mereantur in hoc vitæ nostræ cursu. Etenim quæ vere admiranda, sunt nempe cœlestia. Et obscuramini, inquit, ab humana anima, vos contemptricia consilia, ut e contra subingrediantur omnia subtimescentes cogitationes per reverentiam, metuentesque eum, qui possit et corpus et animam tradere gehennæ [4], eamque ob rem a malo declinantes.

Διότι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ὃ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται. Οὐκ εἰς μακρὰν, φησὶν, ἀλλ' ἐν ταῖς ἡμέραις ὑμῶν παραδώσω ὑμᾶς τοὺς παρανόμους τοῖς ἐχθροῖς. Τοῦτο γάρ ἐστι τὸ ἔργον, ὃ ἐργάζομαι. Καὶ οἶδα μὲν, ὅτι καταφρονηταὶ ὄντες, οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται ὑμῖν. Πρὸ γὰρ τῆς πείρας τῶν πραγμάτων, τὰς ἀπειλὰς οὐδὲν ἡγεῖσθε, ὡς ψευδεῖς οὔσας· ὅμως τὸ ἐμαυτοῦ ποιῶν ὡς ἀγαθὸς καὶ δίκαιος, κρίνειν ἀπὸ μόνης τῆς προγνώσεως οὐκ ἀνέχομαι. Ἀλλὰ καὶ τοῖς ἀπίστοις μέλλουσι τὰς προῤῥήσεις προσφέρω, καὶ τηνικαῦτα θεραπείαν οὐ δεχομένοις τὰς τιμωρίας ἐπιφέρω. Τάχα δ' ἂν καὶ ὁ Μονογενὴς νοηθείη, λέγων πρὸς τοὺς τυραννήσαντας τῆς ἀνθρωπίνης φύσεως, καὶ τοῦ Θεοῦ καταφρονοῦντας δαίμονας, ὅτι ἔργον μέγα μέλλει (59) ἐργάσασθαι, τὸ σάρκα λαβεῖν τότε ἐν ταῖς ἡμέραις αὐτῶν, τουτέστιν ἐν τῷ καιρῷ τῆς αὐτῶν εὐημερίας. Οἶδε γὰρ ἡ Γραφὴ ἡμέραν καὶ εὐημερίαν ὀνομάζειν· ὡς τὸ, *Ἀπὸ ὕψους ἡμέρας οὐ φοβηθήσομαι*· καὶ, *Ἡμέραν ἀνθρώπου οὐκ ἐπεθύμησα*. Ὅτε οὖν (60) ἡ κακία ὑμῶν κρατήσει τῆς οἰκουμένης, ὡς διαφθαρῆναι πάντας καὶ βδελυχθῆναι, καὶ μὴ εἶναι μηδένα δίκαιον ἕως ἑνός, τότε σάρκα λήψομαι καὶ ποιήσω θαυμάσια, τά τε ἄλλα, καὶ ἃ (61) μεθ' ὑμῶν προδήλως ἐπεδείκνυον, ἐκβάλλων ὑμᾶς ἀπὸ τῶν ἀνθρώπων. Ἴδετε οὖν ταῦτα, καὶ ἀφανίσθητε, μηκέτι τῷ ἀέρι ἐνεξουσιάζειν φρυαττόμενοι, ἀλλ' ὑπὸ γῆν καταδυόμενοι.

B *Nam rem ego arduam perficiam in diebus vestris, cui haudquaquam adhibebitis fidem, si quis recenseat.* Non longo post tempore, inquit, sed in diebus vestris tradam vos prævaricatores hostibus. Ea est res, hoc opus, quod persequar. Ac novi quidem, quod contemptores vos minime credetis, si quis annuntiet vobis. Ante rerum namque experientiam et eventum, interminationes vos nauci ducitis, ceu vanas exsistentes : attamen quod mea interest faciens, ut bonus et justus, citra præscientiam judicare vos non sustineo. Sed enim incredulis futuris, prædictiones et vaticinia affero, ac juxta medicinam : quæ qui non accipiunt, eis pœnas et supplicia certe apporto. Hic fortasse et unigenitus Dei Filius intelligi queat dicere ad humanæ naturæ oppressores Deique contemptores C dæmones : Opus ingens operabor, rem arduam persequar, nimirum carnem assumendo, idque in diebus, hoc est in tempore felicitatis ipsorum. Nam et Scriptura diem felicitatem appellat, ut eo in loco : *Ab altitudine diei non terrefiam* [5]; et, *Diem hominis non desideravi* [6]. Quando igitur scelus vestrum orbem terrarum occupaverit, ut adeo corrumpantur omnes, et in exitium vergant, ut ne unus quidem justus relictus sit, tum carnem ego accipiam, faciamque admiranda, cum alia, tum ea quæ de me palam prophetæ vaticinati sunt, ejiciens vos ab hominibus. Videte igitur hæc et obscuramini, non amplius potestatem vestram in aere exercendo gloriantes, sed sub terram subeuntes.

Διότι ἰδοὺ (62) *ἐγὼ ἐξεγείρω τοὺς Χαλδαίους, τὸ ἔθνος τὸ πικρὸν καὶ τὸ ταχινὸν, τὸ πορευόμενον ἐπὶ τὰ πλάτη τῆς γῆς, τοῦ κατακληρονομῆσαι σκηνώματα οὐκ αὐτοῦ.* Εἰπὼν, ὅτι *Ἐν ταῖς ἡμέραις ὑμῶν*, ἐπειδὴ καὶ τοῦτο πλάτος ἔχει, φησὶν, ὅτι *Ἰδοὺ* οὐ βραδύνω γάρ, ἀλλ' *Ἰδοὺ ἐγὼ ἐξεγείρω*, ὁ πάντα ἰσχύων, ὁ μηδένα δεδιώς. Φοβερὸς ὁ λόγος·

D VERS. 6. *Propterea ecce ego excito Chaldæos, gentem amaram et celerem, proficiscentem super latitudines* **138** *terræ, ut hæreditatem adeat habitaculorum, quæ non sunt ejus.* Cum dixisset, *In diebus vestris :* cum et hoc latitudinem habeat, adjicit : *Ecce* non tardabo, sed enim ego, qui omnia possum, excitabo : ego,

[3] II Cor. IV, 16. [4] Matth. X, 28. [5] Psal. LV, 4. [6] Jerem. XXVII, 22.

Variæ lectiones et notæ.

(57) Ἀντεισέλθωσιν, *vestrum loco ingrediantur*, Cod. Bav.

(58) Codex Ven. addit ; τῷ γὰρ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ, *Domini enim timore declinat quivis a malo.*

(59) Λέγει, *dicit.* Cod. Ven.

(60) Ὅτε οὖν, φησὶν, *quando igitur, ait*, Cod. Ven.

(61) *Tum ea quæ palam apud vos ostendi.* Ita Græca sonant.

(62) Deest Ἰδοὺ, *ecce.* in cod. Bav.

Digitized by Google

inquam, qui neminem metuo. Terrificus profecto sermo. Quis enim sufferre queat a Deo excitatum? At natura etiam acerbi sunt: et hoc ad intentionem et exaggerationem facit. Præterea celeres sunt Chaldæi: equites enim sunt, ut ne tantillum vobis temporis permittant, quo vestras in eos copias armare possitis, vosve ad fugam parare. Adhæc assueti sunt bellis, et in iis educati. Nam proficiscuntur super latitudines terræ, hoc est super universam terram, non Palæstinam tantum: atque hoc est ipsis opus exsequendum. Nec enim dixit gentem profectam, sed *proficiscentem*. Nec alienas tantum regiones diripiunt, ac deinde revertuntur, ut in spem veniatis, vos patriam vestram denuo recepturos: verum hic eis scopus, hæc mens est, ut hæreditario terras occupent, atque inhabitent sedes antehac non suas. Porro Dominus incarnatus Magos excitavit Chaldæos, qui amari antea exsistentes et crudi, et veloces ad effundendum sanguinem[7], ac per latam iter facientes, ceu voluptatum, aurique amantes, venerunt ad Christum, ut adorarent ipsum, et cœlestia habitacula hæreditarent, quæ antea ad ipsos non pertinebant. Imo et universas gentes quæ per Chaldæos accipiuntur, ad fidem excitavit incarnatus Dominus, magnum isthuc opus operatus. Aperte palam enim magnum est pietatis mysterium, Deum manifestatum esse in carne. Proinde isti amari, ceu venenum serpentis habentes, propter et impietatem et alia peccata, veloces ad resipiscentiam translati sunt, animi sui sententia permutata: et profecti sunt per latos Scripturæ divinæ campos, vel Ecclesiæ, non ad unam tantum personam cultum Dei anxie torquentes, verum ad tres homousias, hoc est, ejusdem substantiæ participes, dilatantes: non juxta litteram solummodo, verum et secundum spiritum Scripturas intelligentes, ut tripliciter juxta proverbii mandatum describantur, et ita cum legem, tum prophetas in hæreditatem accipiant, in quibus gratia Spiritus recubabat, quæ antea ad eos non pertinebant; solis enim Judæis tradita fuere. *Manifestavit* enim, inquit, *justificationes et judicia sua Israeli: non fecit sic omni genti, et legem suam non aperuit eis*[8]. Alias vero, gens amara et atrox est ipse Satanas, et qui sub ipso sunt dæmones, quos excitat Deus per eum, qui juxta Paulum peccantes tradit hisce, ad internecionem carnis, ut spiritus servetur. Qui ubi invenerint angustum iter et constrictam portam, non eo proficiscuntur, neque **139** ingrediuntur: ubi vero reperiunt mortuæ prudentiæ vitæque remissæ et apertæ latitudinem, illuc eunt, et hæreditate veluti occupant habitacula et corpora hominum, quæ ceu figmenta et opera Dei, ipsorum non erant.

A τίς γὰρ ὑποστήσεται τὸν ὑπὸ Θεοῦ ἐξεγειρόμενον; Ἀλλὰ καὶ φύσει εἰσὶ πικροί· ἐπίτασις καὶ τοῦτο. Ἀλλὰ καὶ ταχινοί· ἱππόται γάρ· ὥστε μηδένα καιρὸν ἐνδιδόναι ὑμῖν πρὸς τὸ ἀντιπαρασκευάσασθαι, ἢ πρὸς τὸ φυγεῖν. Ἀλλὰ καὶ συνήθεις εἰσὶ καὶ σύντροφοι τοῖς πολέμοις· πορεύονται γὰρ ἐπὶ τὰ πλάτη τῆς γῆς, τουτέστιν ἐπὶ πᾶσαν τὴν γῆν, οὐ τὴν πλησίον μόνην (63)· καὶ τοῦτο ἔχουσιν ἔργον. Οὐ γὰρ εἶπε, Τὸ πορευθὲν, ἀλλὰ, *Τὸ πορευόμενον*. Καὶ οὐ διαρπάζουσι μόνον τὰς ἀλλοτρίας χώρας. εἶτα ὑποστρέφουσιν, ὥστε εἶναι ὑμῖν ἐλπίδας τοῦ πάλιν τὰς πατρίδας ὑμῶν καθέξειν· ἀλλὰ σκοπὸς αὐτοῖς τὸ κατακληρονομεῖν τὰς χώρας, καὶ οἰκειοῦσθαι τὰ σκηνώματα, τὰ μὴ ὄντα πρότερον αὐτῶν. Καὶ ὁ Κύριος δὲ σαρκούμενος, τοὺς Χαλδαίους Μάγους ἐξήγειρεν, οἱ πικροὶ πρότερον ὄντες καὶ ὠμοὶ, καὶ ταχινοὶ τοῦ ἐκχέαι αἷμα, καὶ τὴν πλατεῖαν ὁδεύοντες ὡς φιλήδονοι, καὶ φιλόχρυσοι, ἦλθον πρὸς αὐτὸν, ὥστε προσκυνῆσαι αὐτῷ, καὶ κατακληρονομῆσαι τὰ ἐν οὐρανοῖς σκηνώματα, ἃ οὐκ ἦσαν αὐτῶν πρότερον. Ἀλλὰ καὶ σύμπαντα τὸν ἐθνικὸν λαὸν, ὃς διὰ τῶν Χαλδαίων δηλοῦται, εἰς πίστιν ἐξήγειρεν ὁ σαρκωθεὶς Κύριος, καὶ τὸ μέγα ἔργον ἐργασάμενος τοῦτο. Ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον, Θεὸς ἐφανερώθη ἐν σαρκί. Οὗτοι τοίνυν πικροὶ ὄντες, ὡς τὸν ἰὸν τοῦ ὄφεως ἔχοντες, διά τε τὰς ἀσεβείας καὶ ἄλλας ἁμαρτίας, ταχινοὶ εἰς μετάνοιαν ἐγένοντο· καὶ ἐπορεύθησαν ἐπὶ τὰ πλάτη τῆς θείας Γραφῆς, ἢ τῆς Ἐκκλησίας, μὴ εἰς ἓν πρόσωπον τὴν θεοσέβειαν B στενοῦντες, ἀλλ' εἰς τρία ὁμοούσια πλατύνοντες· καὶ μὴ κατὰ τὸ γράμμα μόνον, ἀλλὰ καὶ κατὰ τὸ πνεῦμα νοοῦντες τὰς Γραφὰς, ὥστε τρισσῶς (64) αὐτὰς ἀπογράφεσθαι, κατὰ τὸ τῆς παροιμίας παράγγελμα, ὥστε κατακληρονομῆσαι τὸν νόμον καὶ τοὺς προφήτας, ἐν οἷς ἡ χάρις τοῦ Πνεύματος κατεσκήνου, μὴ ὄντα πρότερον αὐτῶν· τοῖς γὰρ Ἰουδαίοις ἐδόθησαν μόνοις. *Ἐγνώρισε* γὰρ, φησὶ, *δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ· οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει, καὶ τὸν νόμον αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς*. Καὶ ἄλλως δὲ, ἔθνος ὠμὸν καὶ πικρὸν ὁ Σατανᾶς, καὶ οἱ ὑπ' αὐτὸν δαίμονες, οὓς ἐξεγείρει Θεὸς δι' αὐτοῦ, εἴ τις κατὰ Παῦλόν ἐστιν, ἐπὶ τοὺς ἁμαρτάνοντας, *παραδιδοὺς* αὐτοὺς τούτοις, εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ. Οὗτοι, ἔνθα C μὲν εὗρωσι στενὴν ὁδὸν καὶ τεθλιμμένην πύλην, οὔτε πορεύονται ἐκεῖ, οὔτε εἰσέρχονται· ἔνθα δὲ τὸ πλάτος γεηροῦ φρονήματος (65), καὶ βίου ἀνέτου καὶ ἡπλωμένου, ἐκεῖ πορεύονται, καὶ κατακληρονομοῦσι τὰ σκηνώματα, καὶ σώματα τῶν ἀνθρώπων, ἃ ὡς πλάσματα ὄντα Θεοῦ, οὐκ ἦσαν αὐτῶν. D

[7] Psal. xiii, 3. [8] Psal. cxlvii, 19 20.

Variæ lectiones et notæ.

(63) Pro verbis his, οὐ τὴν πλησίον μόνην, *non vicinam tantum*, Lonicerus legisse videtur Παλαιστίνην, cum *Palæstinam* verterit.

(64) Περισσῶς, *perperam*, Cod. Ven.

(65) Græca verba, τὸ πλάτος γεηροῦ φρονήματος, *latitudinem terrenæ mentis*, sonant.

Digitized by Google

Φοβερὸς καὶ ἐπιφανής ἐστι. Τίς; Ἢ πάντως ὁ βασιλεὺς τῶν Χαλδαίων, ὁ Ναβουχοδονόσορ τυχὸν, ὃς τόν τε Ἰσραὴλ εἶλε καὶ ἐνέπρησεν (66). Οὗτος φοβερὸς ἦν καὶ τοῖς ἔργοις, ἀλλὰ καὶ ἐπιφανὴς, τουτέστιν ἔνδοξος, καὶ ἐπίσημος, ἱκανὸς καὶ ἀπὸ τῆς φήμης μόνης ἐκδειματῶσαι (67) πάντας τοὺς ἀκούοντας. A

Ἐξ αὐτοῦ τὸ κρῖμα αὐτοῦ ἐστι. Τουτέστιν, οὐ νόμοις ἀκολουθεῖ (68), ὥστε κατ' ἐκείνους κρίνειν, τόδε μὲν δεκτὸν, τόδε δὲ ἄδεκτον· ἀλλὰ κατὰ τὸ δόξαν αὐτῷ κρίνειν· καὶ ὃ ἂν ἐνθυμηθείη, ἐκεῖνο νόμος αὐτῷ ἐστι.

Καὶ τὸ λῆμμα αὐτοῦ ἐξ αὐτοῦ ἐξελεύσεται. Ἐπειδὴ τοῖς Χαλδαίοις ἔθος ἦν πρὸ τῶν πολέμων μαντεύεσθαι, καὶ μάγῳ τέχνῃ πειρᾶσθαι προμανθάνειν (69) τὸ τῆς μάχης τέλος, φησὶν, ὅτι *Τὸ λῆμμα αὐτοῦ*, τουτέστιν ἡ *πρόρρησις* καὶ μαντεία ἡ περὶ τοῦ πολέμου, οὐκ ἐξ ἀλλοτρίων μάντεων ἔσται αὐτῷ πρόρρωθεν συγκαλουμένων, *ἀλλ' ἐξ αὐτοῦ*, τουτέστιν, ἐκ τῶν αὐθιγενῶν καὶ ἐγχωρίων μάγων, οἳ μᾶλλον καὶ τοῖς ἄλλοις ἔθνεσιν αὐχοῦσι προσημαίνειν τὰ μέλλοντα. Οὕτω καὶ Βαλαὰμ ἀπὸ Μεσοποταμίας μετεκλήθη ὑπὸ Βαλάκ. Ἢ καὶ οὕτως· Κρῖμα λέγει τὴν ἐκδίκησιν, ἣν κατὰ τοῦ Ἰσραηλίτου λαοῦ ὁ Θεὸς ἐψηφίσατο, καί φησιν, ὅτι *τὸ κρῖμα αὐτοῦ*, τουτέστι τοῦ Ἰσραηλιτικοῦ λαοῦ, ἡ δίκη ἣν κατεκρίθη δοῦναι ὡς παροργίσας τὸν Θεὸν, καὶ *τὸ λῆμμα αὐτοῦ*, τουτέστιν ἡ προφητευθεῖσα κατ' αὐτοῦ ἀπόφασις, *ἐξ αὐτοῦ ἐξελεύσεται*, τοῦ τῶν Βαβυλωνίων δηλαδὴ βασιλέως, ὅ ἐστι, τέλος λήψεται καὶ ἐνεργηθήσεται. Ἀλλὰ καὶ ὁ ἐξ ἐθνῶν λαὸς φοβερός ἐστι λοιπὸν τοῖς δαίμοσι καὶ ἐπιφανὴς, ὡς σημειωθεὶς τῷ φωτὶ τοῦ προσώπου τοῦ Θεοῦ, καὶ ἄνωθεν ἔχων τὴν λαμπρότητα διὰ τῆς ἐπιφανείσης πᾶσιν ἀνθρώποις χάριτος τοῦ Θεοῦ. Καὶ οὔτε νόμου ἀκούσαντες, οὔτε προφητῶν, οἴκοθεν ἔκριναν τὸ καλὸν, καὶ τῇ πίστει προσέδραμον. Καὶ τὸ λῆμμα ὃ ἐλήφθησαν ὑπὸ Χριστοῦ, προσληφθέντες εἰς τὴν αὐτοῦ Ἐκκλησίαν, τῆς αὐτῶν προαιρέσεως ἦν. Καὶ ὁ Σατανᾶς δὲ, παραλαβὼν τοὺς ἁμαρτάνοντας εἰς σωφρονισμὸν, φοβερός ἐστι, καὶ ἐμφανῆ τὴν οἰκείαν κακίαν ἐνδείκνυται, οὕτω καταχρώμενος τῷ θείῳ πλάσματι, καὶ διὰ τούτων ἐπιφαίνων τὴν πρὸς τὸν Πλάστην δυσμένειαν. Ἐξ αὐτοῦ τοίνυν τούτου καὶ τὸ κατάκριμα (70) αὐτοῦ ἐστι, καὶ ὁ ἄνθρωπος ὃν λαμβάνει εἰς παιδείαν, ἐξ αὐτοῦ ἐξελεύσεται, τουτέστιν, οὐκέτι ὑποχείριος ἔσται αὐτῷ· παιδεύεται γὰρ πάντως ἵνα τῶν ἔργων αὐτοῦ ἀποστῇ, καὶ τὸ πνεῦμα σωθῇ. Οὕτως ὁ ἐχθρὸς τῆς ἀρετῆς καὶ ἐκδικητὴς αὐτοῦ γίνεται. B C D

Καὶ ἐξαλοῦνται ὑπὲρ παρδάλεις οἱ ἵπποι αὐτῶν, καὶ ὀξύτεροι ὑπὲρ τοὺς λύκους τῆς Ἀρα-

Vers. 7. *Terribilis et conspicuus est.* Quisnam ille? Omnino fortasse rex Chaldæorum Nabuchodonosor, qui Israelem cepit et incendit. Is igitur vel operibus ipsis terribilis erat atque conspicuus, hoc est, illustris, celebris, gloriosus et insignis, adeo ut vel sola fama perterrefacere omnes, qui audirent, posset.

Ex ipso judicium ejus est. Hoc est, non legibus innititur, ut secundum illas sententiam ferat, hoc nempe amplectendum, illud vero rejiciendum esse, verum secundum quod quidquam ei visum est, judicat: et quod cogitaverit, isthuc ei legis vice fungitur.

Et lemma ejus ex ipso egredietur. Chaldæis in more erat ante bella consilium ex vatibus petere, et magos arte tentare, ut prædiscerent prælii eventum. Ait ergo quod *Lemma ejus*, hoc est prædictio et vaticinium de bello, non ex alienis vatibus ei obveniet, ex longinquo accitis, sed *ex ipso*: hoc est ex indigenis et suæ patriæ magis, qui præ cæteris gentibus de futurarum rerum prædictione gloriantur. Hunc ad modum Balaam a Mesopotamia accersitus est a Balac. Vel sic accipi etiam poterit, quod judicium vocet ultionem, quam contra Israeliticum populum Deus decrevit: unde infit, quod judicium ipsius, hoc est, Israelitici populi pœna, ad quam condemnatus est, propterea quod concitaverit ad iram Deum: *et lemma ejus*, id est, prædicta adversus ipsum sententia, *ex ipso egredietur*, Babyloniorum videlicet rege, hoc est, finem accipiet, et efficaciter consummabitur. Quin etiam gentium populus terribilis est et conspicuus in posterum dæmonibus, ceu signatus lumine faciei Dei, et a supernis habens splendorem, per quæ omnibus hominibus illuxit, gratiam Dei. Et cum neque legem, neque prophetas audiissent, per sese domi judicarunt, quod bonum esset, et fide accurrerunt. Et lemma, seu consilium (quo a Christo capti sunt, accepti in ejus Ecclesiam) eorum voluntatis erat. Quin etiam Satanas assumptis peccatoribus ad castigationem, terribilis est et horrendus, et conspicuam propriam malitiam ostendit, adeo abutens divino figmento seu creatura, per hoc suam animi erga Conditorem iracundiam et inimicitias prodens. Ex hoc igitur ipso, condemnatio ipsius est: et homo, quem ad castigationem suscipit, ex ipso egredietur, hoc est, non porro ei subjicietur: castigatur enim omnino, ut ab operibus ejus desistat, et **140** spiritu servetur. Sic hostis virtutis, et ultor virtute præditi, Satanas constituitur.

Vers. 8. *Equi ipsorum, pardos saltu vincent, eruntque celeriores lupis Arabiæ.* Cum dixisset ce-

Variæ lectiones et notæ.

(66) Ὃς τὴν τε Ἱερουσαλὴμ εἶλε καὶ τὸν ναὸν ἐνέπρησε, *qui Jerusalem cepit, atque templum incendit*, Cod. Ven.

(67) Ἐνδειματῶσαι, Cod. Bav.

(68) Ἀκολουθῶν, Cod. Bav.

(69) Πρὸς τὸ μανθάνειν, *ad discendum*, Cod. Ven.

(70) Κρίμα, *judicium*, Cod. Bav.

Digitized by Google

lerem esse gentem Chaldæorum, docet jam quomodo sint celeres, idque per equorum velocitatem, quos et pardos saltu exsuperare confirmat. Quoniam autem pardi saltus non ita in longum pervenit, adjicit et alteram comparationem, inquiens, equos Babyloniorum *Celeriores esse Arabiæ lupis*. Fertur enim lupos Arabicos celerrime, quod forte occurrerit, corripere, ac dum persequatur eos quispiam, capi non posse, id quod in pardis non contingit.

Et equites ejus accingentur equitatu suo itineri, et accelerabunt cum impetu e loginquo, et volabunt instar aquilæ expetentis cibum. Per hæc robur juxta ac celeritatem ob oculos ponit, quodque ex altioribus in ipsos deferentur. Ut enim aquila inter volatilia et fortis est et velox, præsertim cum famelica expetiverit alimoniam, exque altioribus locis delata, cum impetu suo irruens intolerabilis sit : sic et Chaldæorum equites, nedum potentes sunt et robusti, sed veloces etiam propter equos, alacresque et cupidi ad depopulandum, devorandum et absumendum urbes, ex alto nimirum ingruentes. *Ego enim*, inquit, *excitabo ipsos.* Insuper equestris antea populi gentium disciplina, superbusque fastus, exsiliet ex errore, saltuque suo, vincet Judæorum principes, qui pardi et lupi Arabiæ vocati sunt, veluti efferi et sanguine gaudentes. Præterea equites talis populi apostoli sunt, qui sederunt super irrationali ipsorum fremitu fastuve, ipsumque sibi subjugarunt. Vehemente impetu current, et accelerabunt a longe, ab Israel enim ad gentes secesserunt, et volabunt instar aquilæ, qui Christus est, cujus cibus est salus hominum. Sed et peccantium et eorum qui eruditur equi, hoc est, mulierosæ et vesanæ ratiocinationes, exsilient a tali affectione, ut etiam spirituales pardos, dæmones ipsos saltus celeritate exsuperent, nec ab ipsis porro comprehendantur. Equites talium equorum, mens et ratio, qui ascenderunt concupiscibilem partem, longe removebuntur a prioribus affectibus, ac temperantiæ et castitatis alis levigati, ac in sublime levati, in cœlos usque, ubi Christus est, volabunt, ut superna tantum cupientes, cumque illo agentes, alacriter ferantur ad ligni vitæ usum.

VERS. 9. *Consummatio ad impios perveniet, resistentes faciebus suis ex adverso.* Talibus Chaldæis exsistentibus, quales eos hactenus descripsit, consummatio ad impios qui in Hierusalem Deo resistunt, et in faciem impudenter ei adversantur, perveniet : sive **141** quod Chaldæi illos gladio consummabunt, qui ipsis in faciem belligerando reluctabuntur : ultro enim accedentes et transfugas, ac suapte sponte servitutem sub illis subeuntes, vita donabunt. Quod et ab Jeremia discimus. Præterea et super Judæos consummatio et finis pervenit, qui impii exstiterunt in unigenitum Dei Filium, restiteruntque ipsi, non quidem clam, sed aperte palam magna loquendi fiducia et libertate, ut adeo dicerent:

Εἶας. Εἰπὼν, ὅτι ταχινόν ἐστι τὸ τῶν Χαλδαίων ἔθνος, διδάσκει νῦν, πῶς εἰσι ταχεῖς, καὶ ὅτι διὰ τὴν τῶν ἵππων ὀξύτητα, οὓς καὶ ὑπὲρ παρδάλεις ἐκπηδᾷν φησιν. Ἐπειδὴ δὲ τὸ πήδημα τῆς παρδάλεως οὐκ ἐπιπολὺ διήκει, προστίθησι καὶ ἑτέραν σύγκρισιν, καί φησιν, ὅτι *Ὑπὲρ τοὺς λύκους τῆς Ἀραβίας* εἰσὶν οἱ ἵπποι τῶν Βαβυλωνίων ὀξεῖς· οἱ γὰρ Ἀράβιοι, λύκοι λέγονται ὀξύτατοί τε τὸ προστυχὸν διαρπάζειν, καὶ ἐπιδιωκόμενοι, ἀκατάληπτοι εἶναι, ὃ ταῖς παρδάλεσιν οὐκ ἔστι.

Καὶ ἐξιππάσονται οἱ ἱππεῖς αὐτοῦ, καὶ ἁρμήσουσι μακρόθεν, καὶ πετασθήσονται ὡς ἀετὸς πρόθυμος εἰς τὸ φαγεῖν. Διὰ τούτων καὶ τὴν ῥώμην ὁμοῦ καὶ τὸ τάχος δείκνυσι, καὶ ὅτι ἐκ τῶν ὑψηλοτέρων ἐπενεχθήσονται αὐτοῖς. Ὥσπερ γὰρ ὁ ἀετὸς καὶ ῥωμαλέον ἐστὶν ἐν πτηνοῖς καὶ ταχύτατον, καὶ μάλιστα ὅταν καὶ πεινῶν προθυμῆται πρὸς τὸ φαγεῖν, καὶ ἐκ τῶν ὑψηλοτέρων καταφερόμενος, ἀνυπόστατός ἐστιν· οὕτως καὶ οἱ ἱππεῖς τῶν Χαλδαίων, οὐ μόνον δυνατοί εἰσιν, ἀλλὰ καὶ ταχινοὶ διὰ τοὺς ἵππους, καὶ πρόθυμοι εἰς τὸ ἐκπορευθῆναι καὶ καταφαγεῖν, καὶ ἐκδαπανῆσαι τὰς πόλεις, καὶ ὑψόθεν καταφερόμενοι. *Ἐγὼ γὰρ*, φησὶν, *ἐπεγείρω αὐτούς.* Καὶ τοῦ ἐξ ἐθνῶν δὲ λαοῦ τὸ πρὶν ἱππικὸν καὶ ἀγέρωχον φρύαγμα, ἐξαλεῖται ἐκ τῆς πλάνης, ὑπὲρ τοὺς τῶν Ἰουδαίων ἄρχοντας, οἱ παρδάλεις καὶ λύκοι Ἀραβίας ἐκλήθησαν, ὡς θηριώδεις καὶ αἱμοχαρεῖς. Ἀλλὰ καὶ οἱ ἱππεῖς τοῦ τοιούτου λαοῦ, οἱ ἀπόστολοι, οἱ ἐκάθισαν ἐπὶ τὸ ἄλογον αὐτῶν φρύαγμα, καὶ ὑπέταξαν αὐτὸ, συντόνως δραμοῦνται καὶ ἁρμήσουσι μακρόθεν (ἀπὸ γὰρ Ἰσραὴλ εἰς τὰ ἔθνη ἐχώρησαν), καὶ πετασθήσονται, ὡς ἀετὸς Χριστὸς, οὗ βρῶσίς ἐστιν ἡ σωτηρία τῶν ἀνθρώπων. Ἀλλὰ καὶ τῶν ἁμαρτανόντων καὶ παιδευομένων οἱ ἵπποι, τουτέστιν οἱ θηλυμανεῖς λογισμοὶ, ἐξαλοῦνται ἀπὸ τῆς τοιαύτης ἐμπαθείας· ὥστε ὑπὲρ τὰς νοητὰς παρδάλεις τοὺς δαίμονας γενέσθαι, καὶ μηκέτι αὐτοῖς ἁφικτοὺς εἶναι. Οἱ δὲ ἱππεῖς τῶν ἵππων τούτων, ὁ νοῦς καὶ ὁ λόγος, οἱ ἐπέβησαν τοῦ ἐπιθυμητικοῦ μέρους, μακρόθεν γενήσονται τῶν προτέρων παθῶν, καὶ τοῖς τῆς σωφροσύνης καὶ ἁγνείας πτεροῖς κουφιζόμενοι, πετασθήσονται εἰς οὐρανοὺς, οὗ ὁ Χριστὸς ὥστε τὰ ἄνω φρονεῖν, καὶ σὺν ἐκείνῳ εἶναι, καὶ προθυμεῖσθαι πρὸς τὸ φαγεῖν τὸ ξύλον τῆς ζωῆς.

Συντέλεια εἰς ἀσεβεῖς ἥξει ἀνθεστηκότας προσώποις αὐτῶν ἐξ ἐναντίας. Τοιούτων, φησὶ, τῶν Χαλδαίων ὄντων, οἵους ὁ λόγος ὑπέγραψε, συντέλεια ἥξει ἐπὶ τοὺς ἐν Ἱερουσαλὴμ ἀσεβεῖς, τοὺς ἀνθεστηκότας τῷ Θεῷ κατὰ πρόσωπον καὶ ἀναιδῶς αὐτῷ ἐναντιουμένους. Ἢ ὅτι οἱ Χαλδαῖοι ἐκείνους συντελέσουσι τοὺς ἀνθεστηκότας αὐτοῖς καὶ εἰς πρόσωπον πολεμοῦντας. Τοὺς γὰρ προχωροῦντας καὶ αὐτομολοῦντας, καὶ τὴν ὑπ' αὐτοὺς δουλείαν αὐθαιρέτως ὑποδυομένους, ἀνέτους ζῆν ἐάσουσιν· ὃ καὶ ἀπὸ τοῦ Ἱερεμίου μανθάνομεν. Καὶ ἐπὶ τοὺς Ἰουδαίους δὲ συντέλεια ἦλθε, τοὺς ἀσεβήσαντας εἰς τὸν μονογενῆ τοῦ Θεοῦ Υἱὸν, καὶ ἀντιστάντας αὐτῷ, οὐ κρύβδην, ἀλλ' ἀναφανδὸν καὶ πεπαῤῥησιασμένως, ὥστε καὶ

Digitized by Google

εἰπεῖν· Ἆρον, ἆρον, σταύρωσον αὐτόν. Ἀλλὰ καὶ τῶν καθ' ἑκάστην ἁμαρτανόντων καὶ παρανομούντων, τέως μὲν φείδεται ὁ Θεὸς, ἕως ἂν μετριώτερον τὴν κακίαν μετίωσιν· ὅταν δὲ ἐκρήξωσι ταύτην, ὥστε πεπαῤῥησιασμένως ἀσεβεῖν, τηνικαῦτα ἐπάγει αὐτοῖς τὴν συντέλειαν.

Καὶ συνάξει ὡς ἄμμον αἰχμαλωσίαν. Ἐπειδὴ οἱ Ἰσραηλῖται ἀφέντες Θεὸν καὶ τὴν ἐκείνου βοήθειαν, τῷ οἰκείῳ πλήθει ἐθάῤῥουν, φησὶν, ὅτι Κἂν πολλοὶ γενήσεσθε, ὥστε καὶ ἄμμῳ παρεικάζεσθαι, ὁ Βαβυλώνιος βασιλεὺς αἰχμαλώτους ὑμᾶς ποιήσεται. Ἀλλὰ καὶ ὁ ἐξ ἐθνῶν λαὸς, τελειωθέντες ἐν Χριστῷ, καὶ ἄλλος ἄλλου (71) διδάσκαλοι γενόμενοι, πολλοὺς αἰχμαλωτίσουσιν εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ

A *Tolle, tolle, crucifige ipsum* [9]. Ad hæc, in singulos dies peccantibus delinquentibusque catenus parcit Deus, quatenus parcius etiam vitia et flagitia perpetraverint. Quando vero perfregerint, et ad scelera adeo proruperint, ut libere, cumque fiducia impie agant, tum demum adducit eis Deus finem, et perdit eos.

Et colliget veluti arenam captivitatem. Quoniam Israelitæ, posthabito Deo, ejusque auxilio, in propria multitudine confidebant, ait : Etsi tantæ copiæ vestræ totque fuerint, ut vel arenæ numerum adæquetis, Babylonius tamen ille rex captivos vos ducet. Quinetiam gentium populus, in Christo consummati, et alter alterius doctores facti non paucos non capient ad obedientiam Christi.

B

Καὶ αὐτὸς ἐν βασιλεῦσι τρυφήσει, καὶ τύραννοι (72) *παίγνια αὐτοῦ, καὶ αὐτὸς εἰς πᾶν* (73) *ὀχύρωμα ἐμπαίξεται, καὶ βαλεῖ χῶμα, καὶ κρατήσει αὐτοῦ.* Ἐπειδὴ οἱ Ἰσραηλῖται τοῖς οἰκείοις βασιλεῦσιν ἐθάῤῥουν, καὶ τοῖς πλησιοχώροις δὲ προσέτρεχον, εἴτε βασιλεῖς ἦταν, τουτέστι ἐννόμως ἄρχοντες, εἴτε τύραννοι, παρανόμως καὶ βιαίως κρατοῦντες, καὶ τῇ αὐτῶν δυνάμει καὶ συμμαχίᾳ ἐθάῤῥουν, καὶ οὐ τῇ τοῦ Θεοῦ· φησὶν, ὅτι ὁ Ναβουχοδονόσορ ῥᾳδίως περιέσται τούτων τῶν βασιλέων, καὶ τρυφὴν ἡγήσεται (74) καὶ ἀναιμωτὶ πάντων κρατήσει. Οὕτω γοῦν καὶ τὸν Ἰεχονίαν δεδεμένον ἀπήγαγε, καὶ τὸν Σεδεκίαν ἀπετύφλωσε, καὶ τῇ Αἰγύπτῳ δὲ βαρὺς ἐπετέθη. Ἀλλὰ κἂν αἱ πόλεις εἶεν ὀχυραὶ, καὶ φρούρια δυσάλωτα, καὶ τούτων κρατήσει, ὥσπερ παίζων μᾶλλον, ἢ σπουδάζων. Χῶμα, γὰρ, φησὶ, μόνον βαλεῖ, ὥστε τῷ τείχει ἀντεγεῖραι τοῦτο, ὃ οὐδὲ πολεμικῶν ἀνδρῶν δεῖται, ἀλλὰ τῶν σκευοφόρων καὶ τῶν θητεύειν μεμαθηκότων. Οὕτω δὴ τὴν Τύρον εἶλεν ὁ Βαβυλώνιος. Ταῦτα καὶ περὶ τοῦ διαβόλου νοεῖται, ὃς τοὺς Ἰσραηλίτας, ἄμμον ὄντας, καὶ οἰκείους (75) τῇ ἁλμυρᾷ τοῦ βίου θαλάσσῃ, ὡς ἀγαπῶντας τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον, ἢπερ τὴν δόξαν τοῦ Θεοῦ, εἷλεν αἰχμαλώτους, καὶ ἐνέπαιξε τοῖς ἀρχιερεῦσι, καὶ τοῖς λοιποῖς αὐτῶν ἄρχουσιν, οἳ βασιλεῦσιν εἰκαζόμενοι, διὰ τὸ νόμιμον δῆθεν ἔχειν ἀρχὴν, τύραννοι τοῖς τρόποις ἦσαν, καὶ εἰς τὰ ὀχυρώματα αὐτῶν ἐνέπαιξε, πείσας αὐτοὺς κακῶς νοεῖν τὰς Γραφάς. Ἡ γὰρ τῶν Γραφῶν γνῶσις, αὐτοῖς ὀχύρωμα· αὐτοὶ δὲ ἦραν τὴν κλεῖδα τῆς γνώσεως, καὶ οὔτε εἰσήρχοντο, καὶ τοὺς εἰσελθεῖν βουλομένους ἐκώλυον. Ἐκράτησε δὲ τῶν ὀχυρωμάτων τούτων, βαλὼν χῶμα, τὴν ταπεινὴν καὶ γήϊνον καὶ κάτω κειμένην παρεξήγησιν, καὶ μηδὲν ὑψηλὸν καὶ οὐράνιον ἔχουσαν· ἀγαθῶν γὰρ γεηρῶν ἀπόλαυσιν νοοῦσι, καὶ τιμωρίας σωματικὰς, καὶ πάντα τἆλλα τοιαῦτα.

(14) Hæc ita sonant : *instar inferni qui animas excipit, et non expletur, atque morte corpora suscipit, et non saturatur.*

(15) Lonicerus legisse videtur ἐπὶ τοὺς οὐχ ἁμαρτήσαντας, cum *in eos qui non peccarunt* reddiderit ; in utroque tamen Cod., tum Ven. tum Bav., desideratur particula negativa.

Digitized by Google

σαντας), ἀλλ' οὐ μὴ περανεῖ. Χριστὸς γὰρ ὑπὲρ ἡμῶν ἀναμάρτητος φανείς, ἀνέλυσε τὴν ἐν τῷ Ἀδὰμ ἁμαρτίαν. Διὸ καὶ ἀδίκως ἀποθανὼν καὶ ἐγερθεὶς ἐκ νεκρῶν, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι ὑπὸ τοῦ θανάτου τὸν ἀρχηγὸν διά τε εἰδωλολατρείας καὶ πονηρῶν ἄλλων ἔργων, πάντας ὑφ' ἑαυτὸν ἐποιήσατο· ὁ δὲ Χριστὸς, ἐκαθάρισεν ἡμᾶς ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ.

tamen in finem usque non perducet. Christus enim pro nobis impeccabilis, et sine peccato apparuit, ac dissolvit peccatum, in nos per Adam transfusum. Propterea et injuste mortuus, et excitatus ex mortuis, eo quod non erat possibile teneri a morte principem vitæ, simul etiam (16) nos excitavit et sedere fecit in super cœlestibus. Et ille quidem per idolorum cultum, et alia prava opera cunctos sibi subjecit : Christus vero mundavit nos ab operibus mortuis, ut serviremus Deo viventi et vero.

Οὐχὶ ταῦτα πάντα κατ' αὐτοῦ παραβολὴν λήψονται, καὶ πρόβλημα εἰς διήγησιν αὐτοῦ; Οἱ φρονοῦντες, φησὶ, παραβολὴν ποιήσονται, ἀντὶ τοῦ, ᾠδὴν καὶ πρόβλημα, τουτέστι, λόγον δημώδη, καὶ πᾶσιν ἀνὰ στόμα προβεβλημένον· ὥστε πρὸ παντὸς ἄλλου διηγήματος, περὶ αὐτοῦ διηγεῖσθαι. Ἢ παραβολὴν εἰπὼν, τοῦτο σημαίνει, ὅταν μέλλωσί τινες μνησθῆναί τινος, ὡς δυστυχήσαντος, τοῦτον ἕξουσι παραβολὴν, λέγοντες· Οὕτως ἐδυστύχησεν ὁ δεῖνα, ὡς ὁ Βαβυλώνιος.

VERS. 6. *Nonne hi omnes de ipso similitudinem sument, et propositionem quam ei denarrent?* Prudentes, inquit, similitudinem edent, hoc est, oden vel canticum et problema, id est, sermonem popularem, qui omnibus passim sit in ore, ut pro omni alia narratione, de ipso verba faciat. Vel parabolam dicens, hoc significat, quod quoties mentionem sint facturi alicujus ceu infortunati, hanc sibi sumant similitudinem, dicentes : Æque infortunio succubuit, atque Babylonius.

Καὶ ἐροῦσιν· Οὐαὶ ὁ πληθύνων ἑαυτῷ τὰ οὐκ ὄντα αὐτοῦ (ἕως τίνος;) καὶ βαρύνων τὸν κλοιὸν αὐτοῦ στιβαρῶς. Ταῦτα, φησὶν, ᾄσονται, θρηνοῦντες τὸν Βαβυλώνιον· Οὐαὶ ὁ τοῖς μηδὲν αὐτῷ προσήκουσι τὰς χεῖρας ἐπιβάλλων, καὶ τὸν κλοιὸν αὐτοῦ, ἤτοι τὸ βάρος τῆς ἀρχῆς, βαρύτερον καθιστῶν τοῖς ὑπηκόοις διὰ τὸ τοὺς φόρους ἐπιτιθέναι βαρεῖς, καὶ τέλη. Διὰ μέσου δὲ ἐπεφώνησεν· *Ἕως τίνος;* δεικνὺς τὸ ἄπληστον αὐτοῦ καὶ ἀκόρεστον, καὶ ὅτι οὐκ εἶδε πέρας, καὶ ὅτι οὐ μέχρι πολλοῦ ταῦτα ἔσται, ἀλλὰ παύσεται ὅσον οὔπω. Ἐβάρυνε δὲ τὸν κλοιὸν καὶ καθὸ βαρυτέραν τὴν ἐκ Θεοῦ τιμωρίαν ἑαυτῷ ἐποίει, ἐφ' οἷς ἀεὶ ἐν κακίᾳ προέκοπτε. Καὶ ὁ διάβολος δὲ, τὰ οὐκ ὄντα ἑαυτῷ συνάγων· τοὺς (17) γὰρ ἀνθρώπους Θεοῦ ὄντας, καὶ μηδὲν αὐτῷ διαφέροντας, ὑποχειρίους ἑαυτοῦ ποιεῖ· ἀφῃρέθη δὲ τούτους τῇ δυνάμει τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ. Ὅθεν καὶ βαρύτερον ἑαυτῷ τὸν κλοιὸν τῆς τιμωρίας κατασκευάζει, ὅτι μηδὲ τῇ ἐπιδημίᾳ τοῦ Χριστοῦ τῆς κακίας ἐπαυσατο, καίτοι τὰ καιριώτατα τῆς δυνάμεως περικοπείς.

Ac dicent : *Væ qui multiplicat sibi quæ sua non sunt (quousque?) et solide ponderosum reddit colli sui ornamentum.* Hæc, inquit, canent, lamentantes Babylonium : Væ qui nihil se decentibus manum injicit, et tolli sui ornatum, sive onus imperii sui gravius constituit subditis suis, quod gravia tributa et vectigalia imponat. In medio autem exclamavit luctu : *Quousque?* inexplebilem ejus et insatiabilem cupiditatem demonstrans, ut quæ finem non noverit, quæ tamen non diu duratura sit, sed enim propediem cessatura, quantum nunquam antea. Grave autem et onerosum reddidit collare suum, eo quod gravius sibi supplicium ex Deo ipse paravit : quandoquidem in malitia sua semper perrexit. Porro calumnians spiritus, etiam quæ sua non sunt colligit, nimirum homines Dei exsistentes ab eo nihil differentes, nimirum ad imaginem ejus creatos, sibi mancipans, quos tamen Deus virtute Evangelii Christi liberat. Unde et gravius sibi collare, hoc est majorem pœnam quidem apparat, qui ne in adventu quidem Christi a malitia destitit. Atqui consideras (18) hic commodissimam potentiam.

Ὅτι ἐξαίφνης ἀναστήσονται οἱ δάκνοντες αὐτὸν, καὶ ἐκνήψουσιν οἱ ἐπίβουλοί σου, καὶ ἔσῃ εἰς διαρπαγὴν αὐτοῖς. Εἶπεν ἀνωτέρω· *Ἕως τίνος;* ὥσπερ σχετλιάζων καὶ δεινοπαθῶν, ἀντὶ τοῦ, Μέχρι πόσου ταῦτα ποιήσεις; Εἶτα ὥσπερ ἐρωτῶντός τινος· Πῶς (19) τοῦτο εἶπας; φησί· Διότι καὶ ἄκων τῆς ἀδικίας παύσεται. Ὥσπερ γὰρ ἐξ ὕπνου ἀναστήσονται ἐξαίφνης καὶ ἀπροσδοκήτως οἱ δάκνοντες αὐτὸν ὥσπερ ὀδοῦσι ταῖς τοῦ πολέμου προσβολαῖς, καὶ

VERS. 7. *Quoniam repente exsurgent mordentes ipsum, et expergiscentur insidiatores tui, erisque in direptionem ipsis.* Jam antea dixit, *Quousque?* veluti ægre ferens et commotus, pro eo quod est, Quandiu hoc facies? Deinde veluti interroganti cuidam : Quomodo hoc intelligis? Quoniam, inquit, invitus ab injuria et injustitia desistet. Nam veluti e somno exsurgent subito, et ex improviso lancinantes seu mordentes ipsum ceu dentibus, belli nimirum insultibus, exe-

Variæ lectiones et notæ.

(16) Desiderantur in utroque Cod. Græca verba Latinis hisce *simul etiam nos excitavit, et sedere fecit insuper cœlestibus* respondentia.

(17) Hæc ita sunt reddenda : *Homines enim Dei exsistentes et nihil ad ipsum* (scilicet diabolum) *spectantes, sibi subjecit. Spoliatus autem est his potestate Evangelii Christi*, etc.

(18) *Potissimis licet potestatis suæ viribus exutus.* Ex Cod. Ven.

(19) Ποῦ ; *ubi?* Cod. Bav.

Digitized by Google

dentesque vires ejus bellicas et absumentes, nempe 152 sub Cyro, Perse, Medi, et Elamitæ; ac veluti ex ebrietate, ac alta in soporem delatione, expergefacti, sobriam mentem, et liberam ratiocinationem recipientes, non porro ferent tantam tuam degravationem, verum omnibus modis insidiabuntur tibi, diripientque regnum tuum. Insurrexerunt etiam adversus Satanam apostoli et martyres, qui docentes et confitentes ore Christum, mordebant corpus ejus, sive eos, qui quæ Satanæ sunt sapiunt. Ut enim corpus Christi sunt fideles, sic corpus diaboli sunt infideles. Et qui antehac idololatræ fuerunt, insidiatores ejus constituentur, abolituri ipsius opera. Evigilarunt enim et viderunt lignum, lignum, inquam, et aliam materiam, qualis esset, quam antea, ceu temulenti, colebant. Porro qui a peccato deflectit, itidem exsurgit; jacens enim reflecti non posset: et confitens, mordet diabolum ore suo, quo confitetur. Et expergefactus ex alta in soporem delatione, qua detinebatur a voluptate, insidiatur jam per jejunium, corporis humi cubantis castigationem, precationem, diripiens ipsum, et alios ad salutem ducens, et verbo et exemplari, quod in sese exhibet.

κατεσθίοντες αὐτοῦ τὰς στρατιωτικὰς δυνάμεις; καὶ δαπανῶντες, οἱ ὑπὸ Κῦρον δηλαδὴ Πέρσαι καὶ Μῆδοι καὶ Ἐλαμῖται· καὶ ὥσπερ ἐκ μέθης καὶ κάρου ἀνανήφοντες, καὶ λογισμὸν ἔμφρονα καὶ ἐλευθέριον ἀναλαμβάνοντες, οὐκέτι ἀνέξονται τῆς τοσαύτης σου βαρύτητος, ἀλλὰ παντοιοτρόπως ἐπιβουλεύσουσί σοι καὶ διαρπάσονται τὴν βασιλείαν σου. Ἐπανέστησαν δὲ καὶ τῷ διαβόλῳ ἀπόστολοι καὶ μάρτυρες, οἳ διδάσκοντες καὶ ὁμολογοῦντες στόματι τὸν Χριστὸν, ἔδακνον τὸ σῶμα αὐτοῦ (20), ἤτοι τοὺς τὰ αὐτὰ [*f.* αὐτοῦ] φρονοῦντας. Ὥσπερ γὰρ σῶμα Χριστοῦ οἱ πιστοί, οὕτω καὶ τοῦ διαβόλου οἱ ἄπιστοι. Καὶ οἱ πρότερον εἰδωλολάτραι, ἐπιβουλοι αὐτοῦ ἔσονται, καθαιροῦντες τὰ αὐτοῦ ἔργα. Ἐξέντηψαν γὰρ, καὶ εἶδον τὸ ξύλον, ξύλον (21) καὶ τὴν ἄλλην ὕλην, οἷα ἦν, οἷς πρὶν ἐλάτρευον ὡς μεθύοντες. Καὶ ὁ ἀπὸ ἁμαρτίας δὲ ἐπιστρέφων, ἀνίσταται· κείμενος γὰρ, οὐκ ἂν ἐπιστραφείη· καὶ ἐξομολογούμενος δάκνει τὸν διάβολον ἐν τῷ στόματι ᾧ ἐξομολογεῖται. Καὶ ἐκνήψας ἀπὸ τοῦ κάρου ᾧ κατεσχέθη ὑπὸ τῆς ἡδονῆς, ἐπιβουλεύει (22) διὰ νηστείας, χαμευνίας, πρωσευχῆς, καὶ διαρπάζει αὐτὸν, καὶ ἄλλους (23) πρὸς σωτηρίαν ὁδηγεῖ, τῷ τε λόγῳ καὶ τῷ καθ' ἑαυτὸν ὑποδείγματι τοῦ ἁγίου.

Vers. 8. *Quia deprædatus es gentes multas, deprædabuntur te omnes relicti populi, propter sanguinem hominum, et impietatem terræ et civitatis, et omnium inhabitantium ipsam.* Multos, inquit, tu deprædatus es, verumtamen a paucis extra tyrannidem tuam relictis destrueris, quos neque sperabas tibi venisuros. Adeo divinitus plaga tibi infligetur, ut qui abs te contempti fuerint, te excellant, veluti Deo prorsus illos confortante, indenteque robur. Patieris autem hæc propter victimas et cædem quam edidisti, hominum, et propter impietatem et flagitia quæ commisisti, omnem terram omnemque civitatem vastans, ac suis habitatoribus orbans. Proinde a Cyro hæc passus est Babylonius, sive imperium ejus; a sanctis vero Satanas, qui spolians homines per seducentem voluptatem, per illos (24) rursum spoliatus est, atque Christo ingresso in domum ejus, sive in mundum, in quo habebat robur, diripienteque vasa ejus, quibus utebatur, ad omnem propriam efficaciam suam et operationem. Spoliatus est etiam per apostolos, qui ex reliquiis electorum Israelitarum exsistentes, omnes Satanæ subjectos liberabant.

Διότι σὺ ἐσκύλευσας ἔθνη πολλὰ, σκυλεύσουσί σε πάντες οἱ ὑπολελειμμένοι λαοὶ, δι' αἵματος ἀνθρώπων, καὶ ἀσεβείας γῆς, καὶ πόλεως, καὶ πάντων τῶν κατοικούντων αὐτήν. Πολλοὺς μὲν, φησὶ, σὺ ἐσκύλευσας, πλὴν ὑπὸ ὀλίγων καταλυθήσῃ, τῶν ἔξωθεν τῆς σῆς τυραννίδος ὑπολειφθέντων, οὓς οὐδὲ ἤλπιζες ἐπιθήσεσθαί σοι. Οὕτω θεήλατός σοί ἐστιν ἡ πληγὴ, ὅτι οἱ καταπεφρονημένοι ὑπὸ σοῦ, οὗτοι περιεγένοντό σου πάντως, ὡς θεοῦ ἐνισχύοντος αὐτούς. Πείσῃ δὲ ταῦτα διὰ τὰς σφαγὰς τῶν ἀνθρώπων, καὶ διὰ τὰς ἀσεβείας ἃς ἐποίεις, πᾶσαν τὴν γῆν καὶ πᾶσαν πόλιν ἐρήμους αὐτὰς ποιῶν τῶν οἰκητόρων. Ὑπὸ μὲν οὖν Κύρου πέπονθε ταῦτα ὁ Βαβυλώνιος, ἤτοι ἡ ἀρχὴ αὐτοῦ· ὑπὸ δὲ τῶν ἁγίων ὁ Σατανᾶς, ὃς σκυλεύσας τοὺς ἀνθρώπους διὰ τῆς πλανώσης ἡδονῆς, ἐσκυλεύθη μὲν τούτους καὶ ὑπὸ τοῦ Χριστοῦ, εἰσελθόντος εἰς τὴν οἰκίαν αὐτοῦ, ἤτοι, τὸν κόσμον, ἐν ᾧ τὴν ἰσχὺν εἶχε, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαντος, οἷς ἐχρῆτο πρὸς πᾶσαν ἐνέργειαν αὐτοῦ. Ἐσκυλεύθη δὲ καὶ διὰ τῶν ἀποστόλων, οἳ ἐκ τοῦ κατ' ἐκλογὴν λήμματος τῶν Ἰσραηλιτῶν ὄντες, πάντας τοὺς ὑπὸ τὴν ἐξουσίαν τοῦ Σατανᾶ ἠλευθέρουν.

Vers. 9. *Væ qui avide possidet facultates malas domui suæ, ut ponat in altitudinem nidum suum, ut contegatur manu malorum.* Indignatur Babylonio tanquam avaro. Dicere autem queas, quod et lugeat ipsum. Etenim vere miser est, et luctu dignus, qui plura appetit. Proinde et ille avide expetebat facultates malas domui suæ: vel avarus erat avaritia

Ὦ ὁ πλεονεκτῶν κακὴν πλεονεξίαν τῷ οἴκῳ αὐτοῦ, τοῦ τάξαι εἰς ὕψος νοσσιὰν αὐτοῦ, τοῦ σκεπασθῆναι ἐκ χειρὸς κακῶν. Σχετλιάζει ἐπὶ τῷ Βαβυλωνίῳ ὡς πλεονέκτῃ. Εἴποις δ' ἂν ὅτι καὶ θρηνεῖ αὐτόν· καὶ γὰρ ἄθλιος ὄντως, καὶ θρηνεῖσθαι ἄξιος, ὁ τοῦ πλείονος ἐφιέμενος. Ὥσπερ οὖν καὶ οὗτος ἐπλεονέκτει πλεονεξίαν κακὴν τῷ οἴκῳ αὐτοῦ,

Variæ lectiones et notæ.

(20) Τοῦ ἐχθροῦ, *inimici*, Cod. Ven.

(21) Deest Τὸ ξύλον secundo loco repetitum in Cod. Bav.

(22) Ἐπιβουλεύει τῷ ἐχθρῷ, *insidiatur inimico*, Cod. Ven.

(23) Ὅτε καὶ ἄλλους, *cum et alios*, Cod. Ven.

(24) *His spoliatus rursus est a Christo, qui ingressus est in domum ejus.* Sic Græce habetur.

Digitized by Google

τουτέστι, διὰ τὴν ἀρχὴν αὐτοῦ καὶ βασιλείαν, ὥστε ποιῆσαι ταύτην ὑψηλὴν καὶ δυνατὴν, πρὸς τὸ μηδενὸς πειραθῆναι κακοῦ, ἢ καὶ τὸν βασιλικὸν οἶκον λαμπρὸν ἐποίει καὶ κατάχρυσον, καὶ ὑψηλὸν αὐτὸν ὠκοδόμει, πάντοθεν ἀσφαλιζόμενος, ὡς ἀνεπιβούλευτος εἴη. Εἶπε δὲ νοσσιὰν ἐκ μεταφορᾶς τῶν ὀρνέων, τῶν ὑψηλὰς ποιούντων τὰς οἰκείας νοσσιάς· ὡς ἂν μὴ εὐάλωτοι εἶεν οἱ νεοττοὶ τοῖς ἐπιβουλεύειν ἐθέλουσι. Δηλοῖ δὲ καὶ τὸ κοῦφον τοῦ φρονήματος καὶ ἐπηρμένον. Ἔστι δὲ καὶ πλεονεξία καλὴ, ὅταν τις πλέον ἐθέλῃ ἔχειν ἐν ἀρετῇ, καὶ ὅταν δοὺς ἐνταῦθα ὀλίγα, πλείω ἐκεῖσε λαβεῖν σπουδάζοι.

A male **153** domus suæ, hoc est, propter imperium suum et regnum, ut hoc eximium, altum et præpoteus constitueret, ut nullo tentari malo possit: vel ut domum suam regiam splendidam faceret, et auro præclaram, atque sublimem ipsam exstrueret, ut ita undique tutus et insidiarum exsors fieret. Dixit autem nidum ex metaphora avium, nidos suos in alto collocantium, ut ne facile pulli eorum intercipi queant per insidiatores. Subindicat juxta mentis ejus sublimitatem et elationem. Est etiam bona excellentia, seu plura habendi cupiditas, quando in virtute quispiam superior esse voluerit, et quando pauca hinc impenderit, plura inde recipere cupiat.

Ἐβουλεύσω αἰσχύνην τῷ οἴκῳ σου. Τὸ ὕψος, φησὶ, τοῦτο ὃ περιεποιήσω ἀπὸ πλεονεξίας τῷ οἴκῳ σου, καὶ τῇ βασιλείᾳ σου, εἰς αἰσχύνην πλείω περιστήσεταί σοι· ὅσῳ γὰρ λαμπρότερος εἶ, τοσούτῳ πλείων σοι αἰσχύνη τὸ ἐκπεσεῖν τῆς τοσαύτης καὶ τηλικαύτης λαμπρότητος. Ταῦτα καὶ πρὸς πάντας πλεονέκτας εἴρηται. Καὶ ἀκουέτωσαν ταῦτα, καὶ ὠφελείσθωσαν. Εἴρηται δὲ καὶ περὶ τοῦ πλεονεκτήσαντος τὸν Θεὸν ἀποστάτου, καὶ ἁρπάσαντος ὑφ' ἑαυτὸν τὴν ἀνθρωπίνην φύσιν· ὃς ἔταξε μὲν εἰς ὕψος τὸν οἶκον αὐτοῦ καὶ τὴν νοσσιὰν, τουτέστι, τὴν ἁμαρτίαν· ἐν αὐτῇ γὰρ ἐπαναπαύεται. Νοσσιὰν δὲ λέγεται ἔχειν ὡς ὄρνις, διὰ τὴν ἐν τῷ ἀέρι ἀρχὴν καὶ ἐξουσίαν, καὶ τὸ ἀλαζονικὸν καὶ ὀφηλόφρον. Ἀλλ' ἐβουλεύσατο αἰσχύνην τῷ τοιούτῳ οἴκῳ αὐτοῦ. Ὅτε γὰρ ἁμαρτίαν ἐκορύφωσε, καὶ εἰς τὸ κεφάλαιον τῆς κακίας ἔπεισε φθάσαι, τούς τε ἄλλους ἀνθρώπους εἰς πᾶν εἶδος ἁμαρτίας συνελήλακώς, καὶ τοὺς Ἰσραηλίτας εἰς τὸ πληρῶσαι τὸ μέτρον τῶν πατέρων αὐτῶν καὶ θεοκτονῆσαι, τηνικαῦτα κατῃσχύνθη.

B Vers. 10. *Consuluisti in ignominiam domui tuæ.* Altitudo, inquit, hæc quam arreptus es ex avaritia domui tuæ, regnoque tuo, ad majorem ignominiam vertetur tibi: quo enim præclarior es, hoc in majorem tibi contumeliam cedit, quo a tanto talique splendore excidas. Hæc ad omnes quidem avaros dicta sunt, et circumvenientes alios. Atque utinam hæc audiant, et commoditatem ex eis capiant. Hæc etiam dicta sunt de spiritu desertore, qui Deo major esse gestit, ac humanam sibi subdidit naturam. Qui posuit quidem in altitudinem domum suam et nidum, hoc est peccatum, in ipso enim quiescit. Nidum vero, instar avis habere dicitur, propter principatum et potestatem quæ ei est in aere, ac propterea quod ostentationem, fastum et ardua spiret. Atqui hujusmodi domui suæ contumeliam decrevit et acquisivit. Quando enim peccatum ad fastigium perduxit, ac ad suam malitiam pervenire persuasit, nimirum alios homines ad nullam non peccati speciem impellens, ac Israelitas ut complerent mensuram patrum suorum, et eorum qui et prophetas et Christum occiderant, tum ignominia est affectus et pudore suffusus.

C

Συνεπέρανας λαοὺς πολλοὺς καὶ ἐξήμαρτεν ἡ ψυχή σου. Τουτέστι, Συνετέλεσας, πανολεθρίᾳ διέφθειρας, ὅπερ ἀνωτέρω εἶπε· *Συντέλειαν ἐν ἀγκίστρῳ ἀνέσπασε*), καὶ οὐδὲ (25) ἔστης τοῦ ἁμαρτάνειν, ἀλλὰ καὶ ἔτι ἐξήμαρτεν ἡ ψυχή σου, εἰς πλεονεξίας μείζους προχωροῦσα. Ἢ, ὅτι Μετὰ τὸ συντελέσαι λαοὺς πολλοὺς, ὑπερηφανίαν ἐνόσησας, κατ' αὐτοῦ τοῦ Θεοῦ λυττήσας, ὅπερ ἐστὶν ἁμαρτία ψυχῆς. Ἀλλὰ καὶ οἱ ψευδοδιδάσκαλοι πλεονεκτοῦσι πλεονεξίαν κακὴν, ἀποσπῶντες τῆς ὑγιοῦς διδασκαλίας τοὺς μαθητὰς ὀπίσω αὐτῶν, ἵνα τοὺς οἴκους αὐτῶν, καὶ οὐ τοῦ Θεοῦ, τουτέστι, τὰς λεγομένας Ἐκκλησίας, ὑψηλοτέρας καὶ ἐνδοξοτέρας ποιήσωσι, διὰ τοῦ λαλεῖν ὑπέρογκα· ἀλλ' αἰσχύνην αὐταῖς βουλεύονται, τῆς Ἐκκλησίας, ἥτις ἐστὶ τῷ ὄντι οἶκος Θεοῦ, κραταιοτέρας δεικνυμένης, ὅτε καὶ συμπεραίνουσιν οἱ τοιοῦτοι λαοὺς πολλοὺς, τῷ ἀναθέματι αὐτοὺς ἐνόχους καθιστῶντες, ὅπερ ἐστὶ πέρας καὶ τέλος παντὸς αἱρετικοῦ, ὁ ἀπὸ Θεοῦ, φημὶ, χωρισμός.

D *Confecisti populos multos, et deliquit anima tua* Hoc est, Consummasti, vel funditus cum summa pernicie perdidisti (quod supra dixit: *Consummationem in hamo extraxisti*), neque destitisti a peccando: verum hodie delinquit anima tua, ad majorem plura habendi cupiditatem progrediens. Vel: Post confectionem populorum multorum, superbia languisti, ut vel contra Deum rabidus esses, id quod vere est animæ peccatum. Præterea vani doctores circumveniunt circumventione mala, avellentes a sana doctrina discipulos post sese, ut ædes suas, et non Dei (quas Ecclesias vocant) altiores et præclariores reddant, eo quod turgida loquantur: quibus tamen sibi ignominiam struunt, Ecclesia, quæ revera est domus Dei, fortiorem sese monstrante, quando et conficiunt tales populos multos, Ecclesiæ anathemati ipsos obnoxios constituentes, qui est finis et exitus omnis hæretici, nimirum separatio a Deo.

Variæ lectiones et notæ.

(25) Οὐδὲ οὕτως, *non ita quidem*, Cod. Ven.

Digitized by Google

154 VERS. 11. *Hanc ob causam lapis ex pariete clamabit, et cantharus ligneus vociferabitur.* Consuevit Scriptura, inanimis et sensu vacantibus et ratione vocem attribuere, non quod sonare verba queant, verum quod veluti per ipsas res tantum non clament. Hanc ad rationem Isaias ait : *Erubesce, Sidon, dixit mare* [21.23]: et : *Cœli narrant* [23] (26). Et quod præsenti loco magis est accommodum, Dominus dixit Judæis, cum pueri (27) eum commendarent : *Amen dico vobis, si conticuerint illi, lapides clamabunt.* Proinde ad Babylonium ait : Nedum sermonis participes, verum et inanimi lapides, et irrationalia, ut canthari, vociferabuntur adversus tuam dementiam et insaniam. Et qui hoc fiat, dicemus. Nabuchodonosor Judææ domos et urbes vastabat, diruebat, incendebatque : necessario igitur lapides decidebant et ligna, scarabæos parvos (nam illi κάνθαροι vocantur) vel tineas habentia, vel teredines, ex quibus et ædium (28) et civitatum vetustas constabat. Hæc igitur suffossa, ignique succensa, propheta vociferatura dicit adversus ejus crudelitatem. Animadvertendum quod pro voce, *Cantharus*, Symmachus, *Connexio lignorum*, posuerit. Fortasse igitur veteres, trabium complexum, culmina sustinentium, cantharos nominabant, quia sibi superpositum tectum ferrent. Adhæc omnis lapis ex Judaico templo sublatus, clamabit Dei potentiam. Jam qui peccati fimo hactenus volutatus fuerit, ubi lignum crucis apprehenderit, clamabit : *Absit a me, ut glorier, nisi in cruce Domini mei Jesu Christi, per quem mihi mundus crucifixus est, et ego mundo* [24] ; et illud : *Christus etsi ex infirmitate mortuus est, vivit tamen ex potentia Dei* [25].

VERS. 12, 13. *Væ qui ædificat civitatem e sanguinibus, et parat urbem per injuriam. Nonne hæc sunt a Domino omnipotente?* Luctibus et lamentis vere dignus est, qui ex injustis victimis et cædibus, regnum suum amplificat : qualis et Babylonius fuit, e sanguinibus et præliis exstruens urbem Babylonem, vel totam civitatem sibi subjectam, altiorem et opulentiorem faciens atque parans, autumans sese firmam eam ac nullis turbationibus expositam redditurum, adeoque invictam, per hoc quod injustas opes et potentiam colligeret. Hæc autem non sunt a Domino. Hoc est, non imperavit ista, neque lege sancivit ea Dominus, neque ipsi placent. Ædificavit civitatem Satanas in sanguinibus, quando instituit rempublicam et administrationem sacrorum, idolis destinatorum ; paravitque urbem in injuria, quando persuasit hominibus degere sub avaritia **155** et circumventione, ac simpliciter vivere in voluptate ac deliciis, quæ est injuria et injustitia, dum qui melior est inter nos, injuriam patitur a pejore.

A *Διότι λίθος ἐκ τοίχου βοήσεται, καὶ κάνθαρος ἐκ ξύλου φθέγξεται αὐτά.* Ἔθος τῇ Γραφῇ, τοῖς ἀψύχοις καὶ ἀναισθήτοις καὶ τοῖς ἀλόγοις περιτιθέναι φωνάς, οὐχ ὡς φωνῆσαι δυναμένοις, ἀλλ' ὡς δι' αὐτῶν των πραγμάτων μονονουχὶ κεκραγόσιν. Οὕτω γοῦν καὶ Ἡσαΐας φησίν· *Αἰσχύνθητι, Σιδών, εἶπεν ἡ θάλασσα* · καὶ, *Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.* Καὶ τό γε τοῖς παροῦσι μᾶλλον ἐοικὸς, ὁ Κύριος εἶπε τοῖς Ἰουδαίοις, ὅτε οἱ πλείονες ὕμνουν αὐτόν· *Ἀμὴν λέγω ὑμῖν, ἂν οὗτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται.* Φησὶν οὖν πρὸς τὸν Βαβυλώνιον, ὅτι Οὐ μόνον οἱ λόγου μετειληχότες, ἀλλὰ καὶ τὰ ἄψυχα, καὶ οἱ λίθοι, καὶ τὰ ἄλογα, οἱ κάνθαροι καταβοήσονται τῆς σῆς μανίας καὶ ἀνοίας· καὶ πῶς, ἐρῶμεν. Ὁ Ναβουχοδονόσορ τὰς τῆς Ἰουδαίας οἰ- B κίας καὶ πόλεις καθῄρει καὶ ἐνεπίμπρα. Ἀναγκαίως οὖν καὶ οἱ λίθοι κατέπιπτον, καὶ ξύλα, κανθάρους μικροὺς, ἤτοι οἴτας ἔχοντα ἀπὸ παλαιότητος, ἐξ ἧς καὶ ταῖς πόλεσι καὶ ταῖς οἰκίαις ἐπεμαρτυρεῖτο ἡ παλαιότης. Ταῦτα δὴ οὖν τὰ κατεσκαμμένα καὶ πυρποληθέντα, καταβοήσειν φησὶ τῆς αὐτοῦ ὠμότητος ὁ προφήτης. Ἰστέον δὲ, ὅτι ἀντὶ τοῦ, *Κάνθαρος*, ὁ Σύμμαχος, *Σύνδεσμος ξύλων*, τέθεικεν. Ἴσως οὖν οἱ παλαιοὶ τὴν τῶν ξύλων ἀντεμπλοκὴν, τῶν τὰς ὀροφὰς ἀνεχόντων, κανθάρους ὠνόμαζον, διὰ τὸ οἰονεὶ πολλοῖς ἀναβαστάζειν τὴν ἐπικειμένην αὐτοῖς ὀροφήν. Ἀλλὰ καὶ πᾶς λίθος ἐκ τοῦ Ἰουδαϊκοῦ ναοῦ καθαιρόμενος [*f.* -ρούμ.], βοήσεται τὴν τοῦ Κυρίου δύναμιν. Καὶ ὁ τῇ τῆς ἁμαρτίας κόπρῳ τέως ἐγκυλιόμενος, ἐπειδὰν τὸ ξύλον τοῦ σταυροῦ δέξηται, C φθέγξεται· *Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ* · καὶ, ὅτι *Χριστὸς εἰ τέθνηκεν ἐξ ἀσθενείας σαρκὸς, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ.*

Οὐαὶ ὁ οἰκοδομῶν πόλιν ἐν αἵμασι, καὶ ἑτοιμάζων πόλιν ἐν ἀδικίαις · οὐ ταῦτά ἐστι παρὰ Κυρίου παντοκράτορος; Θρήνων ἀληθῶς καὶ ὀδυρμῶν ἄξιος ὁ ἐξ ἀδίκων σφαγῶν τὴν οἰκείαν βασιλείαν αὐξάνων, οἷος ἦν καὶ ὁ Βαβυλώνιος, ἐξ αἱμάτων καὶ πολέμων οἰκοδομῶν πόλιν τὴν Βαβυλῶνα, ἣ καὶ πᾶσαν πόλιν ἐπ' αὐτῷ οὖσαν, τουτέστιν, ὑψηλοτέραν ποιῶν καὶ πλουσιωτέραν, καὶ ἑτοιμάζων, ἀντὶ τοῦ, ἐδραίαν καὶ ἀκλόνητον ταύτην δοκῶν ποιεῖν, ἐκ τοῦ D ἀδίκου πλοῦτον καὶ δύναμιν συναθροίζειν. Ταῦτα δὲ οὐκ ἔστι παρὰ Κυρίου, τουτέστιν, οὐ προσέταξε ταῦτα, οὐδὲ νενομοθέτηκεν αὐτὰ ὁ Κύριος, οὐδὲ ἀρεστὰ αὐτῷ ἐστιν. ὨΙκοδόμησε πόλιν ὁ διάβολος ἐν αἵμασιν, ὅτε συνεστήσατο τὴν πολιτείαν τῶν εἰδωλικῶν θυσιῶν· καὶ ἡτοίμασε πόλιν ἐν ἀδικίαις, ὅτε τοὺς ἀνθρώπους ἔπεισε πολιτεύεσθαι ἐν πλεονεξίᾳ, καὶ ἁπλῶς ἡδονῇ καὶ τρυφῇ, ἥτις ἐστὶν ἀδικία, τοῦ ἐν ἡμῖν κρείττονος ἀδικουμένου ὑπὸ τοῦ χείρονος.

[21.23] Isa. XXIII, 4. [23] Psal. XVIII, 1. [24] Galat. VI, 14. [25] II Cor. XII, 4.

Variæ lectiones et notæ.

(26) Addit *gloriam Dei* ex Cod. Bav. et Ven.

(27) Lonicerus legit. παῖδες, *pueri*, quod in Cod. Bav. deest. In Ven. vero legitur οἱ πλείονες, *vulgus*.

(28) *Præ vetustate, ex qua et ædium*, etc. Sic Græca.

Digitized by Google

Καὶ ἐξέλιπον λαοὶ πολλοὶ ἱκανοὶ ἐν πυρὶ, καὶ ἔθνη πολλὰ ὠλιγοψύχησαν. Δείκνυσι πῶς ᾠκοδόμει ὁ Βαβυλώνιος ἐν αἵμασι καὶ ἀδικίαις. Καὶ γὰρ, φησὶ, λαοὺς πολλοὺς ἐνέπρησας, τὰς πόλεις αὐτῶν καὶ τὰς χώρας καταφλέξας, καὶ ἔθνη πολλὰ ὀλιγοψυχῆσαι ἐποίησας, τουτέστιν, ἀπαγορεῦσαι ἐν κακοῖς (29), καὶ τὴν δύναμιν αὐτῶν ἀποβαλεῖν. Ἐξέλιπον ἔθνη πολλὰ ἐν πυρὶ, ἐν ᾧ ἔκαιον καὶ ὡλοκαύτουν τὰ ἱερεῖα τοῖς εἰδώλοις. Ἀλλὰ καὶ ἐν τῷ πυρὶ τοῦ θυμοῦ, οἱ ὑπὸ τοῦ δεινοτάτου Βαβυλωνίου κρατούμενοι, ἐκλείπουσι. A

Et defecerunt populi plerique in igne, et gentes multæ exanimatæ sunt. Planum jam facit, quomodo ædificarit Babylonius in sanguinibus et injuriis. Etenim populos multos, inquit, incendisti, civitates eorum et regiones comburens et gentes multas pusillanimes reddidisti : hoc est, ut ob calamitates quibus per te affligebantur, renuntiarent potentiæ suæ, et vires suas rejicerent. Defecerunt ergo gentes multæ in igne, quo accendebant et comburebant victimas ipsis idolis. Atqui destituuntur etiam viribus in igne indignationis et furoris, qui a potentissimo Babylonis rege vincuntur.

Ὅτι ἐμπλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύπτον θαλάσσας. Τινὰ τῶν ἀντιγράφων ἔχει, *Ἐνεπλήσθη*, καὶ τοῦτο ἀντὶ τοῦ, *Ἐμπλησθήσεται*, νοήσεις. Ἐπειδὴ ἀνωτέρω εἶπεν· *Οὐαί·* ἐπάγει νῦν τὴν αἰτίαν, καὶ φησιν, ὅτι Διὰ τοῦτο, *Οὐαί*, εἶπον, διότι γνωσθήσεται ἐπὶ σοὶ ἡ δύναμις τοῦ Θεοῦ. Καὶ σύμπασα ἡ γῆ γνώσεται τὸν Κύριον, ὡς δικαίως κρίνοντα. Καὶ ὥσπερ ὕδωρ πολὺ κατακαλύπτον θαλάσσας, τουτέστιν, ὑπερβάλλον καὶ ὑπερβλύζον, εἰς πάντα χεῖται τόπον, οὕτως ἡ γνῶσις τοῦ Κυρίου πολλὴ ἔσται, καὶ ἐπὶ πάντας χεθήσεται. Οὕτω καὶ Δαβὶδ λέγει· *Γνώσκεται Κύριος κρίματα ποιῶν· ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός.* Ὅταν γὰρ ὁ ἁμαρτωλὸς συλληφθῇ ἐν αὐτοῖς τούτοις οἷς κακουργεῖ, τότε ὁ Κύριος κρίματα ποιῶν, γνωστὸς πᾶσι γίνεται. Προλέγει δὲ καὶ τὴν διὰ Χριστοῦ γενησομένην θεογνωσίαν ἐπὶ πᾶσαν τὴν γῆν, καθὼς καὶ αὐτὸς ὁ Κύριος ἔλεγε πρὸς τὸν Πατέρα· *Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις.* Πρότερον γὰρ μόνοις Ἑβραίοις ἐπεγινώσκετο, καὶ οὐδὲ τούτοις, ὡς Πατὴρ Υἱοῦ, ἢ ὡς προβολεὺς Πνεύματος· ἀλλ' ἁπλῶς ὡς Θεὸς καὶ Δημιουργὸς πάντων· διὰ δὲ Χριστοῦ καὶ πᾶσιν ἀνθρώποις ἐπεγνώσθη, ἕως ἐσχάτου τῆς γῆς, καὶ ἐν τελείᾳ τῇ δόξῃ, ὡς Υἱοῦ (30) καὶ Πνεύματος ἀρχή. Τὰς οὖν θαλάσσας τῶν ἐθνῶν, τὰς διὰ τὴν ἀπιστίαν πικρὰς, τὸ πότιμον ὕδωρ τῆς θεογνωσίας ἐπέκλυσε καὶ κατεκάλυψεν, ὥστε αὐτὰς εἰς αὐτὸ μεταποιηθῆναι. Καὶ ὁ Κύριος δὲ αὐτὸς ποταμὸς εἰρήνης, καὶ χειμάρρους λέγεται, ὡς τὸ, *Ἰδοὺ ἐγὼ ἐπικλίνω ἐπ' αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάρρους ἐπικλύζων δόξαν ἐθνῶν.* B C D

Vers. 14. *Quoniam implebitur terra cognitione Domini, veluti aqua multa cooperiens maria.* Quædam exemplaria habent, *Impleta est :* quod ipsum etiam pro *Implebitur* intelliges. Postquam igitur supra dixit, *Væ :* nunc causam adducit, et inquit : Propterea *Væ* dixi, quoniam cognoscetur in te potentia Dei, et universa terra cognoscet Dominum, ceu juste judicantem. Et quemadmodum copiosa lympha contegens maria, hoc est, inundans et superbullions, in omnem hinc inde locum effunditur, consimili ratione cognitio Domini exuberabit, et super omnes fundetur. Perinde ac Davides ait : *Cognoscitur Dominus judicia faciens, in operibus manuum suarum comprehensus est peccator* [36]. Cum enim peccator in illis ipsis, quæ perpetrat, deprehensus fuerit, tum Dominus judicia faciens omnibus innotescit. Prædicit autem venturam etiam per Christum super universum terrarum orbem cognitionem Dei, itidem ut ipse Dominus ad Patrem inquit : *Manifestavi nomen tuum hominibus* [37]. Prius enim solis Hebræis cognitus erat, neque illis interim ut Pater Filii, neque ut productor Spiritus : verum simpliciter veluti Deus, ut auctor universorum : per Christum autem cunctis mortalibus manifestatus est, etiam ad ultimos usque orbis terræ fines, per etiam perfectam gloriam, tanquam Filii et Spiritus principium. Maria itaque gentium ob incredulitatem amara, inundare fecit et contegi aqua (quæ bibi queat) divinæ cognitionis, adeo ut in ipsam transmutarentur. Porro Dominus ipse in Scripturis fluvius dictus est, imo et torrens appellatur, ut in eo loco : *Ecce ego super illos affluam, ut fluvius, et quasi torrens inundans gloriam gentium* [38].

[36] Psal. IX, 17. [37] Joan. XVII, 6. [38] Isa. LXV, 12.

Variæ lectiones et notæ.

(29) Illud ἀπαγορεῦσαι ἐν κακοῖς, *animo considere in malis*, significat.

(30) Hac de re audi et Basilium ep. 43 : Δευτερεύει μὲν ὁ Υἱὸς τοῦ Πατρὸς τῷ αἰτίῳ· δευτερεύει δὲ καὶ τὸ Πνεῦμα τοῦ Υἱοῦ κατὰ τὸν τῆς αἰτίας λόγον. Audi Greg. Nyssenum : Εἰς τὸ *Πάτερ*· Τὸ δὲ ἅγιον Πνεῦμα, καὶ ἐκ τοῦ Πατρὸς λέγεται, καὶ ἐκ τοῦ Υἱοῦ εἶναι προσμαρτυρεῖται. Audi Athanasium contra Arian. : Εἰ δὲ ὁ Υἱὸς, ἐπειδὴ ἐκ Θεοῦ ἐστιν, ἴδιος τῆς οὐσίας αὐτοῦ ἐστιν, ἀνάγκη καὶ τὸ Πνεῦμα ἐκ Θεοῦ λεγόμενον, ἴδιον εἶναι κατ' οὐσίαν τοῦ Υἱοῦ, καὶ οὐ ξένον τοῦ Θεοῦ. Audi [Cyrillum Alexandr. in Joan. : Ἐπειδὴ δὲ ὁμοούσιόν ἐστι τῷ Υἱῷ, καὶ πρόεισι Θεοπρεπῶς ἐξ αὐτοῦ, πᾶσαν αὐτοῦ τὴν ἐφ' ἅπασι τελειοτάτην ἔχον ἐνέργειάν τε καὶ δύναμιν, διὰ τοῦτό φησιν· Ἐκ τοῦ ἐμοῦ λήψεται. Audi reliquos, præsertim Epiphanium Hær. 62 : Οὐκ ἀλλότριον Πατρὸς καὶ Υἱοῦ· ἀλλ' ἐκ τῆς αὐτῆς οὐσίας, ἐκ τῆς αὐτῆς θεότητος, ἐκ Πατρὸς καὶ Υἱοῦ, σὺν Πατρὶ καὶ Υἱῷ ἐνυπόστατον δεῖ Πνεῦμα ἅγιον.

Digitized by Google

VERS. 15, 16. *Væ ei qui bibere dat proximo suo misturam* 156 *turbidam, et inebriat, ut intueatur in spelæa ipsorum. Saturitatem ignominiæ post gloriam bibe.* Rursus Babylonium calamitosum reddit, dum inquit : Bibere dabas supplicia et pœnas proximo, id est, omnibus hominibus ex eodem luto conditis, vel contribulibus et cognatis tuis : misturam seu perversionem turbidam, hoc est turbidum potum, seu fontis inversionem passi sive conturbati ; et inebriabas eos per punitiones, ut subindicarent tibi spelæa, id est, occulta loca, in quibus defossos servabant thesauros, ut inspiceres eos ; eam ob rem et ipse jam bibe potum ignominiæ, adusque saturitatem ; non enim levi contumelia allicieris, sed ingenti plane. Ratio est in promptu, quod ex ingenti gloria, ad ignominiam lubrice casurus sis. Tradunt Hebræi, quod Nabuchodonosor abducens gentium duces in suam regiam, atque illic forte parato et permisto potu, eos, inebriates ad saltandum compulerit. Qui dum moverentur, ac interdum caderent, occultaque corporis, ut verisimile est, nudabantur, miras inde delicias et voluptatem capiebat, et in risum solvebatur Nabuchodonosor. Corporis secreta, spelæa nominavit propheta. Alii interpretes, pro spelæis *Nuditationem* reddiderunt : *Ut intueatur in nuditatem ipsorum.* Præterea diabolus hominibus, qui proximi ejus sunt, quantum attinet ad rationalem naturam, propinavit permistionem turbidam, conturbans mentem ipsorum, et pervertens atque commiscens notitiam, quam eis a natura Deus indidit, boni et honesti : inebriansque voluptatibus, ut corda ipsorum veluti spelunca istius latronis facta, cum pro ephoro et observatore suo habeant, a tendentem sedulo et observantem, ne qua ratione bona cogitatio vel ratiocinatio ingrediatur. At postquam aqua cognitionis Dei super terram exuberavit, ac torrens deliciarum, nempe Christus, prædo iste abunde ignominiarum retulit, satisque contumelia detorpatus est : siquidem ex omnipotentia sua excidit, ut nullus usquam idolorum cultus remaneat, nec amplius (31) iste latro, seu numen malis feriat, perinde atque Isaias ait : *Ablegabit Dominus ad honorem tuum ignominiam* [29]. Hæresiarchæ item potionem miscent appropinquantibus sibi discipulis, turbidam nimirum inversionem, invertentes genuinum Scripturarum intellectum, ut in speluncas suas, sive synagogas, vel conventus intueantur. Jam et corda ipsorum spelæa dici queant, Evangelii Christi cognitionis lucem non accipientia, qui Sol est justitiæ, ut quæ serpentibus et reptilibus referta sint, hoc est pravis et venenatis cogitationibus.

A Ὦ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀκατοσπὴν θολερὰν, καὶ μεθύσκων, ὅπως ἐπιβλέψῃ εἰς τὰ σπήλαια αὐτῶν. Πλησμονὴν ἀτιμίας ἐκ δόξης πίε. Καὶ πάλιν τὸν Βαβυλώνιον ταλαντίζων, Ἐπιφέρει φησὶν, ἐπότιζες τὰς τιμωρίας τοὺς πλησίον, τουτέστι, πάντας ἀνθρώπους τοὺς ἐκ τοῦ αὐτοῦ πηλοῦ διηρτισμένους, ἢ καὶ τοὺς ὁμοφύλους καὶ συγγενεῖς σου, οἷόν τι πόμα θολερὸν πηγῆς ἀνατροπὴν παθούσης, ἤτοι συνταραχθείσης, καὶ ἐμέθυσκες αὐτοὺς διὰ καλάσεων, ὡς ἂν ὑποδείξωσί σοι τὰ σπήλαια, τουτέστι τοὺς κρυπτοὺς τόπους, ἐν οἷς τοὺς θησαυροὺς εἶχον κατορωρυγμένους, καὶ ἐπιβλέψῃς αὐτούς· διὰ τοῦτο πίε καὶ αὐτὸς τὸ πόμα τῆς ἀτιμίας εἰς πλησμονήν. Οὐ γὰρ οὕτως ἐλαφρῶς ἀτιμασθήσῃ, ἀλλ' ὑπερβολικῶς· καὶ ἡ αἰτία, ὅτι ἐκ δόξης πολλῆς B εἰς ἀτιμίαν κατολισθῆσαι μέλλεις. Ἔστι δὲ καὶ παράδοσις Ἑβραϊκὴ, ὡς Ναβουχοδονόσορ τοὺς τῶν ἐθνῶν ἡγουμένους, εἰς τὴν ἑαυτοῦ ἀπάγων, καὶ πότους συγχροτῶν δημοτελεῖς, εἰσῆγε τούτους, καὶ μεθύσκων, ἐποίει ὀρχεῖσθαι. Σειομένους δὲ καὶ πίπτουσι, καὶ ὡς εἰκὸς ἀπογυμνουμένους τὰ κρυπτὰ μέλη τοῦ σώματος, ἐπενετρύφα καταγελῶν. Ταῦτα σπήλαια ὁ προφήτης ὠνόμασεν. Ἐκδεδώκασι δὲ καὶ οἱ ἄλλοι ἑρμηνευταὶ ἀντὶ τῶν σπηλαίων, *Τὴν γύμνωσιν*· *Ὅπως*, φησὶν, *ἐπιβλέπῃ ἐπὶ τὴν γύμνωσιν αὐτῶν*. Καὶ ὁ διάβολος δὲ τοὺς ἀνθρώπους, οἱ πλησίον αὐτοῦ εἰσι, κατὰ τὸ καὶ αὐτοὶ λογικῆς εἶναι φύσεως, ἐπότιζεν ἀνατροπὴν θολερὰν, συνθολοῦν τὸν νοῦν αὐτῶν, καὶ ἀνατρέπων καὶ συνταράσσων ἣν ἐκ φύσεως ὡς Θεὸς ἐνέθηκε γνῶσιν τοῦ καλοῦ, καὶ C μεθύσκων ταῖς ἡδοναῖς, ὅπως σπήλαια αὐτοῦ ὡς ληστοῦ γενόμεναι αἱ καρδίαι αὐτῶν, ἔχωσι τοῦτον ἔφορον ἑαυτῶν, ἐπιβλέποντα καὶ ἐπιτηροῦντα, μήπου λογισμὸς ἀγαθὸς εἰσέλθῃ. Ἀλλ' ἐπεὶ τὸ ὕδωρ τῆς γνώσεως τοῦ Θεοῦ ὁ Χριστὸς, ὁ χειμάρρους τῆς τρυφῆς ἐπέκλυσε τὴν γῆν, ἠτιμώθη ὁ λῃστὴς οὗτος εἰς πλησμονήν· πάσης γὰρ τῆς αὐτοῦ δυνάμεως ἐξέπεσεν. Οὐκέτι εἰδωλολατρεία οὐδαμοῦ, οὐκέτι τὰ πάθη θεοποιεῖται, ὡς καὶ ἐν Ἡσαΐᾳ λέγει· *Ἀποστελεῖ Κύριος εἰς τὴν σὴν τιμὴν ἀτιμίαν*. Καὶ οἱ αἱρεσιάρχαι δὲ ποτίζουσι τοὺς πλησιάζοντας αὐτοῖς καὶ μαθητευομένους θολερὰν ἀνατροπὴν, ἀνατρέποντες τὸν ὑγιᾶ τῶν Γραφῶν νοῦν, ὡς ἂν ἐπὶ τὰ σπήλαια αὐτῶν, ἤτοι τὰς συναγωγὰς, ἐπιβλέπωσιν. D Ἀλλὰ καὶ αἱ καρδίαι αὐτῶν, σπήλαια ἂν ῥηθείεν, τὸν φωτισμὸν τῆς γνώσεως τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ μὴ δεχόμενα, τοῦ Ἡλίου τῆς δικαιοσύνης· ἀλλὰ καὶ ἑρπετῶν γέμοντα καὶ κνωδάλων, λογισμῶν πονηρῶν καὶ ἰοβόλων.

Et tu, cor, conculere, atque movere. Cordi Babylonii hæc loquitur : Jam antea per te multi consternati sunt ; nunc igitur tu, qui nun-

Καὶ σὺ, καρδία, σαλεύθητι καὶ σείσθητι. Πρὸς τὴν Βαβυλωνίου καρδίαν φησὶν, ὅτι Πολλοὶ ὑπὸ σοῦ ἐσαλεύθησαν πρίν. Νῦν οὖν καὶ σὺ ἡ μηδέποτε ἐπὶ-

[29] Isa. VI, 7.

Variæ lectiones et notæ.

(31) *Nec amplius affectus, velut numina colantur.* Sic Græca habent.

Digitized by Google

σασα σαλευθῆναι, καὶ μεταπεσεῖν ἀπὸ τῆς εὐημερίας, ἀλλ' ἀκράδαντος; εἰς ἀεὶ στήσασθαι [*f.* στήσεσθαι], καὶ διὰ τοῦτο σκληρυνομένη, σαλεύθητι, τουτέστι σύνες, ὅτι μετέπεσέ σοι ἡ εὐημερία, καὶ αἴσθησιν λαβοῦσα τῶν εἰς σὲ γενομένων, ἀπὸ τῆς ἐν τῇ ἀλαζονείᾳ στάσεως σαλεύθητι καὶ σείσθητι, τρόμον τινὰ παθοῦσα, καὶ λύπην ἀναλαβοῦσα καὶ μετανοίας ἀρχήν. Ὅτι δὲ πολλοὶ ἐν εὐθηνίαις ὄντες, οἴονται μηδέποτε σαλευθῆναι, μαρτυρεῖ Δαβὶδ λέγων· *Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου· Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα*· μὴ ἐννοήσας, ὅτι σὺ τὴν εὐπρέπειάν μου καὶ περιφάνειαν ἐνεδυνάμωσας, καὶ σταθηρὰν τέως εἶναι πεποίηκας. Οὐχ ὅτι ἐγὼ ἦμην ἄξιος, ἀλλ' ὅτι σὺ ἠθέλησας. *Κύριε* γὰρ, φησὶν, *ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν. Ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος.* Τοῦτον οὖν τὸν ταραγμὸν παθεῖν παραινεῖ τῷ Βαβυλωνίῳ. Καὶ μακάριος ὃς ἐν τῷ μαστίζεσθαι ὑπὸ Θεοῦ, ταράττεται καὶ σαλεύεται ἀπὸ κακίας, καὶ οὐ λέγει, ὅτι Ἀνδρεῖός εἰμι.

A quam sperasti ut aliquo **T57** terrore tentareris, utve a felicitate tanta excideres, quam perpetuo inviolabilem arbitrabare, ac propterea induratus eras : nunc inquam, corde concutiare, hoc est, intellige quod felicitas tibi tua exciderit, ac sensum aliquem accipiens eorum quæ adversum te evenient, ab arrogantiæ statu concutere, ac trepida tremore quodam, et mœrorem assumens, et animi in meliorem statum permutationem. Quod vero minime pauci in felicitate rerumque copia constituti, nullo unquam tempore sese quassandos et commovendos existiment, David testimonium profert, inquiens : *Ego autem dixi in exuberantia mea: Haudquaquam concutiar ullo unquam tempore*[40]. Nec reputavi mecum, quod tu decorem meum et splendorem confortasses, ac stabilem hactenus esse feceris. Non quod ego dignus forem, sed quia tu voluisti : *Domine* enim, inquit, *juxta voluntatem tuam, præbuisti splendori meo vires. Avertisti autem faciem tuam, et factus sum conturbatus*[41]. Proinde hortatur Babylonium, ut turbationem illam perferat, ac felicem Ilium (32), qui dum a Deo flagellatur, et concutitur a malitia : nec dicit, Fortis ego sum, ista non curo.

B

Ἐκύλωσεν ἐπὶ σὲ ποτήριον δεξιᾶς Κυρίου. Διὰ τοῦτο, φησὶ, παραινῶ σεισθῆναι καὶ σαλευθῆναι, διότι ἦλθεν ἐπὶ σὲ ἡ δικαία τοῦ Θεοῦ τιμωρία. Ταύτην γὰρ ποτήριον θείας δεξιᾶς ὀνομάζει· καὶ πολλαχοῦ δὲ ἀλλαχοῦ ἡ τιμωρία ποτήριον λέγεται. Ὁ δὲ πιὼν καὶ μεθυσθεὶς, σαλεύεται. Τί δέ ἐστι τὸ, *Ἐκύκλωσε;* Περιέλαβέν, ὥστε μὴ δύνασθαί σε διαφυγεῖν ταύτην. Ἢ, ὅτι Ὥσπερ ἐν συμποσίῳ τὸ ποτήριον περιέρχεται κύκλῳ τοὺς συμπότας, οὕτω καὶ ἐκ Θεοῦ τιμωρία, πρότερον μὲν τὰς ἄλλας βασιλείας περιῆλθε, διὰ σοῦ τιμωρησαμένη ταύτας καὶ μεθύσασα συμφορῶν· κύκλῳ δὲ διερχομένη, νῦν ἔφθασεν ἐπὶ σε· ὥστε ὀφείλεις τοῦτο πιεῖν. Ἡ δεξιὰ γὰρ Κυρίου προσφέρει σοι τοῦτο, καὶ ἀδύνατόν ἐστιν ἐκφυγεῖν. Τὴν γὰρ χεῖρα αὐτοῦ τὴν ὑψηλὴν, τίς ἀποστρέψει;

C

Gyrum duxit super te, poculum dextræ Domini. Eapropter, inquit, moneo te ut commovearis ac trepides, quod justa Dei vindicta super te venerit. hanc enim calicem divinæ dextræ nominat. Sæpe autem alias multis in locis pœnæ calix dicitur, aut poculum. Jam qui biberit et perfusus temeto fuerit, concutitur. Quid vero est, *Gyrum duxit ?* Hoc est, Circumtulit, vel circumlatum est a dextra, ut effugere illud non possis. Vel quod æque atque cyathus in symposio ad omnes compotores per circuitum transit, sic divina sese ultio gerat. Antea namque alia regna pertransiit, puniens illa et inebrians dextra illa calamitatibus : circulo autem perfecto, ad te usque etiam tandem pervenit, ut te jam ebibere oporteat hoc poculum, quod dextra tibi Domini propinat ; nec fieri potest, ut hic præterfugias. Manum enim ejus excelsam quis aversabitur ?

Καὶ συνήχθη ἀτιμία ἐπὶ τὴν δόξαν σου. Ὥσπερ ὅταν εὐημέρει, πάντοθεν συνήρχετό σοι ἡ δόξα, καὶ ἀπὸ τοῦ πλούτου, καὶ ἀπὸ ἀνδρίας καὶ συνέσεως, καὶ πλήθους ὑπηκόων καὶ τῶν τοιούτων· οὕτω νῦν ἡ ἀτιμία συναχθήσεταί σοι, ἀπὸ δειλίας, ἀπὸ ἀσυνεσίας, ἀπὸ τοῦ μηδένα ἔχειν ὑπήκοον, καὶ ἁπλῶς πάντων τῶν τοιούτων· ὁ γὰρ ἔνδοξος, ἀφ' ὧν δοξάζεται, ἐξ ἐκείνων ἀτιμοῦται, ἐκπεσὼν αὐτῶν. Ἐπεὶ δὲ ὁ Κύριος ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας ἐποίησεν ἐνδιατρίψας τῷ ᾅδῃ, πρὸς ταύτην τὴν καρδίαν φησὶν, ὅτι *Σείσθητι καὶ σαλεύθητι*· τάχα μὲν καὶ ἀπὸ τοῦ σεισμοῦ τοῦ γενομένου ἐν τῷ ἐκπνεῦσαι αὐτὸν, ὅτε καὶ τὰ μνημεῖα ἀνεῴχθη· τάχα δὲ καὶ ὡς πάσης τῆς ἀρχῆς τοῦ ᾅδου σαλευο-

D

Et collecta est ignominia ad gloriam tuam. Quemadmodum quando felix eras, undequaque gloria tibi cumulabatur et a divitiis, et a fortitudine et intellectu, et multitudine subditorum, ac id genus consimilibus : sic nunc ignominia colligetur tibi a paupertate, a metu, ab ignorantia, a defectione subditorum, ac talibus omnino simpliciter. A quibus enim celebris, magni æstimatus est, ab iis nunc dehonestatur, ab illis destitutus. Quia vero Dominus in corde terræ triduum apud inferos demoratus est, ad hoc ipsum cor ait : *Concutere et commovere :* primum quidem terræ motu facto, dum exhalaret animam, quando et monumenta sunt aperta : deinde quod veluti totus inferni principa-

[40] Psal. xxix, 7. [41] Ibid. 5, 8.

Variæ lectiones et notæ.

(32) *Et beatus ille, qui dum a Deo flagellatur, deturbatur detruditurque a malitia, neque dicit, se virum fortem esse.*

Digitized by Google

tus sit concussus, ac æreæ contritæ portæ: advenit enim captivis prædicare dimissionem. Affert igitur : Quoniam **158** circumdedit te poculum mortis, quod bibit dextra Domini, ipse videlicet Christus Jesus. Quare quos, dum tibi integræ vires starent, devorasti, rursum expuisti : et factus juxta inglorius, per gloriam Christi, qua humanam naturam retinuit conservavitque. Destructus est namque extremus hostis, gloria mali, et jactatio malitiæ, juxta illud : *Quid gloriaris in malitia* [62] ? Quando vero indigne tulerit, malitiæ et vitio se obnoxium, collegeritque sese, tum ignominiam putat priorem gloriam.

μένης, καὶ τῶν χαλκῶν πυλῶν συντριβομένων· παρεγένετο γὰρ κηρύξαι αἰχμαλώτοις ἄφεσιν. Ἐπάγει οὖν, ὅτι Ἐκύκλωσέ σε τὸ ποτήριον τοῦ θανάτου, ὃ ἔπινεν ἡ δεξιὰ τοῦ Κυρίου, ὁ Χριστός· καὶ διὰ τοῦτο, καὶ οὓς κατέπιες ἰσχύσας, ἐξήμεσας. Καὶ κατὰ δόξαν ἐν Χριστῷ ἐπὶ τῷ κρατῆσαι τῆς ἀνθρωπίνης φύσεως, νῦν ἄτιμος γέγονας. Κατηργήθη γὰρ ἔσχατος ἐχθρὸς, δόξα τοῦ κακοῦ καὶ καύχημα ἡ κακία· κατὰ τὸ, *Τί ἐγκαυχᾷ ἐν κακίᾳ ;* Ὅταν δὲ προσοχθίσῃ τῇ κακίᾳ, καὶ συγάξῃ ἑαυτὸν, τότε ἀτιμίαν ἡγεῖται τὴν προτέραν δόξαν.

Vers 17. *Nam impietas Libani cooperiet te.* Libanus mons Phœniciæ silvosus et odorus, pretiosis arboribus exuberans. Assimilat igitur Scriptura monti huic urbem Hierosolyma, ceu maximam et eam quæ cunctis anteferatur, ac multa bona fragrantia, propter sanctos homines, refertam : perinde ac David ait : *Cedri Libani quas plantasti, illic passerculi nidulabuntur* [63]. Quilibet enim sanctorum cedro similis est, eo quod in altum tollatur, eosque suscipiat, qui ab eo institui volunt, eisque fiat protectio. Quia ergo Jerusalem incendit una cum divino templo Babylonius, impietas, inquit, in Libano, quæ est Jerusalem, commissa conteget te.

Διότι ἀσέβεια τοῦ Λιβάνου καλύψει σε. Ὁ Λίβανος ὄρος μὲν ἦν τῆς Φοινίκης εὔδενδρόν τε καὶ εὐώδες· παρεικάζει δὲ ἡ Γραφὴ τούτῳ τὴν Ἱερουσαλὴμ, ὡς μεγίστην καὶ ὑπερηρμένην, καὶ πολλῆς εὐωδίας τῆς ἐκ τῶν ἁγίων ἀνδρῶν γέμουσαν, ὡς καὶ Δαβὶδ φησιν· *Αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας· ἐκεῖ στρουθία ἐννοσσεύσουσιν.* Ἕκαστος γὰρ τῶν ἁγίων, κέδρῳ ἔοικε, διὰ τὸ ὑψοῦ ἦρθαι· ὑποδέχεται δὲ τοὺς ὑπ' αὐτῷ μαθητεύεσθαι βουλομένους, καὶ σκέπη αὐτοῖς γίνεται. Ἐπειδὴ οὖν τὴν Ἱερουσαλὴμ ἐνέπρησε σὺν τῷ θείῳ ναῷ ὁ Βαβυλώνιος, ἡ ἀσέβεια, φησὶν, ἡ ἐπὶ τῷ Λιβάνῳ, τῇ Ἱερουσαλὴμ, φημὶ, γινομένη, καλύψει σε.

Et calamitas bestiarum perterrefaciet te. Bestias, Cyri copias et exercitus vocat, ferinum in morem sese gerentes, ac bestiarum instar sævientes. Proinde afflictio calamitasque quam Cyrus adducet tibi, trepidationem tibi injiciet : hoc est, humilem, timidum et inaudacem reddet. Olim etiam revera, multa erat in Libano impietas, idola propter, quorum illic vigebat cultus. Altiora enim montium juga scandebant dæmonibus addicti, ut illic facilius dæmonibus conversarentur. Ejus cultus causa diabolus coopertus est abysso, adeoque inferno traditus, ac quæ sub ipso sunt bestiæ et venenata, hoc est, mali spiritus, afflicti sunt et flagellati, videlicet Christi nomine.

Καὶ ταλαιπωρία θηρίων πτοήσει (33) *σε.* Θηρία τοὺς περὶ Κῦρόν φησιν, ὡς πολὺ τὸ ἄγριον ἔχοντας. Ἡ οὖν ταλαιπωρία, ἣν οὗτοι ἐπάξουσί σοι, πτοήσει σε· τουτέστι, ταπεινὸν καὶ δειλὸν, καὶ ἀθαρσῆ ποιήσει. Ἀλλὰ καὶ ἀσέβεια πολλὴ ἦν ἐν τῷ Λιβάνῳ πάλαι, διὰ τὴν ἐκεῖ εἰδωλολατρείαν· τοῖς γὰρ ὑψηλοτέροις τῶν ὀρῶν ἐπεφοίτων οἱ δαιμονοφόρητοι, ὡς ἐκεῖσε ῥᾷον τοῖς δαίμοσι συνεσόμενοι, δι' ἣν ὁ διάβολος κεκάλυπται τῇ ἀβύσσῳ παραδοθείς, καὶ τὰ ὑπ' αὐτῷ τῶν δαιμόνων θηρία ἐταλαιπώρησαν, μαστιζόμενα τῷ Χριστοῦ ὀνόματι.

Propter sanguinem hominum, et impietatem terræ et civitatis, omniumque in ipsa commorantium. Rursus jure ultionem a Domino imminere oculis subjicit, quodque haud citra rationem, aut injuste hæc patiatur, verum propter sanguines, inquit, et impietates quas faciebat, omnem terram et civitatem civibus et incolis exuens. Hæc etiam Domini interemptoribus conveniunt, (34) sanctorumque hominum, qui ignominia affecti sunt, et calicem iræ Dei biberunt, et ad ærumnam a bestiis, Romanis nimirum militaribus copiis, redacti sunt, propter sanguinem prophetarum, tum Domini, ejusque discipulorum. Siquidem isti interemptores impii fuerunt in Libanum, bene fragrantem nimirum Ecclesiam, quæ terra Dei est et civitas.

Δι' αἵματα ἀνθρώπων, καὶ ἀσεβείας γῆς καὶ πόλεως, καὶ πάντων των κατοικούντων ἐν αὐτῇ. Πάλιν τὸ δίκαιον τῆς τιμωρίας δείκνυσι, καὶ ὡς οὐκ ἀλόγως ἢ ἀδίκως ταῦτα πάσχει, ἀλλὰ διὰ τὰ αἵματα καὶ τὰς ἀσεβείας, ἃς ἐποίει, πᾶσαν γῆν καὶ πόλιν οἰκητόρων ἐξερημῶν. Ἀλλὰ καὶ τοῖς Θεοκτόνοις ἁρμόσει ταῦτα, οἳ ἠτιμώθησαν, καὶ τὸ ποτήριον τῆς τοῦ Κυρίου ὀργῆς ἔπιον, καὶ εἰς ταλαιπωρίαν ὑπὸ θηρίων, τῶν Ῥωμαϊκῶν δηλαδὴ στρατευμάτων, κατηνέχθησαν, διὰ τὰ αἵματα τῶν προφητῶν, καὶ τοῦ Κυρίου μαθητῶν. Ἠσέβησαν γὰρ καὶ αὐτοὶ εἰς τὸν Λίβανον, τὴν εὐώδη Ἐκκλησίαν, ἥτις ἐστὶ καὶ γῆ τοῦ Θεοῦ καὶ πόλις.

[62] Psal. li, 3. [63] Psal. cm, 16.

Variæ lectiones et notæ.

(33) Ποιήσει, *faciet*, Cod. Ven. Sic et paulo inferius.

(34) Verba Latinis his *sanctorumque hominum* respondentia, desunt in utroque Cod. Ven. et Bav.

Digitized by Google

Τί ὠφελεῖ γλυπτὸν, ὅτι ἔγλυψαν αὐτό; Ἔπλασαν αὐτὸ χώνευμα φαντασίαν ψευδῆ, ὅτι πέποιθεν ὁ πλάσας ἐπὶ τὸ πλάσμα αὐτοῦ, τοῦ ποιῆσαι εἴδωλα κωφά. Οἱ Βαβυλώνιοι, τοῦ Κύρου ἐπιστρατεύσαντος αὐτοῖς, ἐπὶ τὰ εἴδωλα καὶ τὰς γοητείας ἐτράπησαν. Διὸ διαγελᾷ ὁ προφήτης τὴν ἀνοησίαν αὐτῶν, οἳ τοῦ μὲν ἀληθινοῦ Θεοῦ τὸν ναὸν ἐνέπρησαν· ἐθάρρουν δὲ τοῖς εἰδώλοις, τοῖς μὴ δυναμένοις αὐτοὺς ἐκ τῶν ἐχθρῶν ῥύσασθαι, τοῖς δὲ εἰδώλοις ὅσα ἐκ μεταλλικῆς ὕλης κατεσκεύαστο, τὰ μὲν ἦσαν γλυπτὰ, τὰ δὲ, πλαστὰ καὶ ἐλατά· χωνεύματα μέντοι πάντα· εἰ καί τινα ἰδιοτροπίαν εἶχον τὰ γλυπτά. Ταῦτα μὲν γὰρ αὐτοπλήρη ἦσαν καὶ ναστὰ, μὴ ἔχοντα ὅλως ἔσωθεν κενώματα· τὰ δὲ πλαστὰ, ξυμβλητὰ, καὶ ἀλλοτρίας ὕλης ἔσωθεν γέμοντα, πίσσης, ἢ κηροῦ, ἢ πηλοῦ. Ἐγίνετο δὲ καὶ λίθινα γλυπτὰ, καὶ ξύλινα γλυπτά τε καὶ συμβλητά. Ἔστι δ' ἃ καὶ ζωγράφων χεῖρες διὰ χρωμάτων ἐπεμόρφουν. Μνημονεύσας οὖν ἰδικώτερον τῶν γλυπτῶν καὶ πλαστῶν, εἶτα ἐπήγαγε καθολικώτερον· *Τοῦ ποιῆσαι τὰ εἴδωλα κωφά.* Διὰ γὰρ τῆς τοῦ ποιῆσαι λέξεως, πάντα συμπεριέλαβε τὰ ὁπωσδήποτε καὶ ἐξ οἱασδηποτοῦν ὕλης γινόμενα. Τάχα δὲ καὶ τὸ, ἔπλασε, καὶ τὸ, πλάσμα, τοῦτο σημαίνει· ὥσπερ ὅταν λέγωμεν· Ἐποίησεν ὁ Θεὸς τὴν γῆν· καὶ πάλιν, Τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. Ὁ δὲ νοῦς τοιοῦτος· *Πέποιθεν ὁ πλάσας ἐπὶ τὸ πλάσμα*, καὶ διὰ τοῦτο ποιοῦσι τὰ εἴδωλα· ὅσῳ πλείω ποιήσουσι, τοσούτῳ πλείονος ὠφελείας ἐπιτυχεῖν οἰόμενοι. Εἰπὼν δὲ, *φαντασίαν*, προσέθηκε τὸ, *ψευδῆ*, διότι ἔστι καὶ φαντασία ἀληθής· ἤτοι ὅταν τις τὰ φανέντα αὐτῷ ἀναποληθῇ αὖθις καθ' ἑαυτὸν τοιαῦτα, οἷα καὶ ἐφάνησαν. Ἢ καὶ φαντασίαν οἶδεν ἡ Γραφὴ τὴν λαμπρότητα. Ἐπεὶ οὖν πολλαὶ λαμπρότητές εἰσιν ὑφεστῶσαι, ἅτε καὶ πραγμάτων οὖσαι τοιούτων· ἡ δὲ τῶν εἰδώλων λαμπρότης ἀνυπόστατός ἐστιν ἀνυποστάτων, διὰ τοῦτο φαντασίαν εἶρηκε ψευδῆ.

Οὐαὶ ὁ λέγων τῷ ξύλῳ· Ἔκνηψον, ἐγέρθητι· καὶ τῷ λίθῳ· Ὑψώθητι, καὶ αὐτό ἐστι φαντασία. Θρηνεῖ τοὺς ἐν ταῖς περιεχούσαις συμφοραῖς μὴ ἐπὶ τὸν σῶσαι δυνάμενον καταφεύγοντας, ἀλλ' ἐπὶ τὰ ξύλινα καὶ λίθινα εἴδωλα τρέχοντας, καὶ δεομένους, ἵνα ὥσπερ ὑπνώττοντες, διεγερθῶσι καὶ ὑψωθῶσι κατὰ τῶν ἐχθρῶν, τὴν οἰκείαν ἴσχυν ὑψηλὴν καὶ ἀήττητον δεικνύντα. Ὅρα δὲ, πῶς οὐκ εἶπε, ξύλινον εἴδωλον, ἢ λίθινον, ἀλλὰ, ξύλον, ἢ λίθον, πρὸς ἐντροπὴν πλείω. Εἰ γὰρ καὶ εἶδος ἔχει, φησὶν, ἀνθρώπου, ἀλλ' ὅμως ξύλον μένει καὶ λίθος· τὸ δὲ εἶδος, ὃ περιφέρει, φαντασία ἐστὶ ψευδὴς πάντως, ὥσπερ προεῖπεν· οὐκ ἔδει γὰρ διττολογεῖν.

Τοῦτο δέ ἐστιν ἔλασμα χρυσίου ἢ ἀργυρίου. Ἀδιανόητον φαίνεται τὸ ῥητόν. Λίθον γὰρ εἰπὼν καὶ ξύλον, ἐπήγαγε· *Τοῦτο δέ ἐστιν ἔλασμα χρυσίου*

A Vers. 8. *Quid prodest sculptile ei qui sculpsit ipsum? Finxerunt sibi conflatum quippiam,* **159** *nimirum apparentiam vanam. Confidit in fictili suo, qui finxit illud dum facit idola muta.* Babylonii, Cyro adversum illos belligerante, ad idola et præstigia et incantationes conversi sunt: eam ob rem deridet eorum propheta dementiam, quandoquidem veri Dei templum flammis tradiderant. Confidebant autem idolis quæ ipsos ab hoste vindicare non poterant. Idolorum autem quæ ex metallica materie parata erant, quædam sculpta fuere, quædam fusa et ducta, omnia tamen per conflationem ignis. Etsi sculptilia peculiarem quamdam formam haberent, cuncta tamen in sese plena et solida exstiterunt, nihil in sese vacui admittentia. Fictilia vero sunt commissa et connexa, intrinsecus alia materie referta, ut pice, vel cera, vel luto. (55) Fiebant et sculptilia lignea et lapidea et consuta. Sunt et quæ pictorum manus coloribus informabant. Cum igitur speciatim sculptilium et ductilium mentionem fecisset, generatim juxta intulit, *ut faciat idola muta.* Per dictionem enim, facere, omnia comprehendit, quomodocunque et ex qualicunque materie facta. Fortasse autem finxit et fictile hoc significat, veluti si dicamus: Fecit Deus terram. Et rursum: Aridam manus ejus finxerunt. Est autem sententia hujusmodi: *Fiduciam collocat qui finxit in fictile suum*, ac propterea imagines faciunt; quo plures fecerint, hoc se majorem commoditatem assecuturos sperantes. Dicens *phantasiam*, hoc est, imaginem quæ apparet, apposuit, *vanam*, eo quod et vera sit apparitio, sive quando quæ visa sunt alicui, denuo prodeant et oriantur apud ipsum, qualia fuerint antea; vel quod Scriptura apparitionem splendorem appellet etiam. Cum igitur multi splendores subsistant, ut qui sint rerum exsistentium, ipse idolorum splendor non subsistit, ut qui sit rerum non exsistentium, propterea imaginem seu apparitionem mendacem dixit.

B

C

Vers. 19. *Væ qui dicit ligno: Evigila et excitare; et lapidi: Exaltare, cum sit apparitio tantum.* Luget eos propheta, qui in extremis calamitatibus non ad eum qui servare queat, confugiunt, sed ad ligneas et lapideas imagines currant precenturque ut veluti sopitæ expergefiant, et exsurgant adversum hostes, vires suas eximias et invictas demonstrantes. Observa hic, ut non dixerit ligneum vel lapideum idolum, verum simpliciter lignum et lapidem, ad majorem contumeliam. Quanquam enim speciem gerat hominis, attamen lignum manet et lapis: species autem seu figura quam præ se fert, nova est apparitio, ut paulo ante commemoravit. Nec enim opus erat repetere.

D

Hoc autem est ductile auri vel argenti. Obscurum videtur hoc. Cum enim dixisset lapidem et lignum, subintulit: *Hoc vero est ductile ex auro et argento.*

Variæ lectiones et notæ.

(55) *Fiebant autem et lapidea sculptilia, et lignea et sculptilia et compacta.*

Digitized by Google

Proinde **160** lapis et lignum ductile est auri et argenti? Haudquaquam. Sed enim hunc ad modum intellige. Aliæ quidem imagines sunt ligneæ et lapideæ, hoc vero est ductile : pro, aliud vero est ductile, seu idolum ductum ex auro et argento vel fusum.

A καὶ ἀργυρίου. Ἆρα οὖν τὸ ξύλον καὶ ὁ λίθος ἔλασμά ἐστι χρυσίου καὶ ἀργυρίου ; Οὐχί, ἀλλ' οὕτως νόησον· τὰ μὲν, εἰσὶ ξύλινα καὶ λίθοι· τοῦτο δέ ἐστιν ἔλασμα, ἀντὶ τοῦ, ἄλλο δέ ἐστιν ἔλασμα χρυσοῦν ἢ ἀργυροῦν.

Et omnis spiritus non est in ipso. Pro, nullus spiritus est in ipso, neque naturalis, neque sensibilis, neque rationalis.

Καὶ πνεῦμα οὐκ ἔστιν ἐν αὐτῷ. Ἀντὶ τοῦ, οὐδὲν πνεῦμά ἐστι ἐν αὐτῷ, οὔτε τὸ φυσικὸν, οὔτε τὸ αἰσθητικὸν, οὔτε τὸ λογικόν.

Vers. 20. *Dominus autem in templo sancto suo : metuat sibi a facie ejus universa terra.* Imagines, inquit, mutæ sunt et imbecilles, neminem juvare possunt : Dominus autem veluti templum quoddam habet ipsum cœlum, et in illo commoratur, ceu sanctus in sancto (36). Demoratur etiam in templo Jerusalem urbis, quod, qui in idola sua spem locat, incendit, pro quo maleficio pœnam luet. Quod si in cœlis habitat, omnis terra vereatur faciem ejus, hoc est, præsentiam ejus et considerationem nostrorum operum : et nemo sit contemptor Dei, neque arroganter agat, ad ea quæ Babylonio contigerunt defigens oculos. Templum Domini etiam corpus est, quod e sancta Virgine sibi ipsi compaginavit, quod etiamnum templum immoratur. Omnes igitur terrena spirantes, metuant sibi a facie ipsius, secundi opinor adventus, quando terribilius quam antehac, veniet visitare opera nostra, non in rectum transferre, non emendare.

Ὁ δὲ Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ· εὐλαβείσθω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ. Τὰ μὲν εἴδωλα, φησὶ, κωφὰ καὶ ἀσθενῆ, καὶ μηδένα ὠφελῆσαι δυνάμενα· ὁ δὲ Κύριος ἔχει οἷόν τινα ναὸν τὸν οὐρανὸν, καὶ ἐν ἐκείνῳ κατοικεῖ, ὡς ἅγιον ἅγιος. Κατοικεῖ δὲ τὸν ἐν Ἱερουσαλὴμ ναὸν, ὃν ὁ B τοῖς εἰδώλοις πεποιθὼς ἐνέπρησεν, ὑπὲρ οὗ καὶ δίκας δώσει. Εἰ δὲ ἐν οὐρανοῖς κατοικεῖ, πᾶσα ἡ γῆ εὐλαβείσθω τὸ πρόσωπον αὐτοῦ, τουτέστι τὴν ἐπιστασίαν αὐτοῦ καὶ ἐπίσκεψιν τῶν ἡμετέρων ἔργων, καὶ μηδεὶς καταφρονείτω, μηδὲ ἀλαζονευέσθω, πρὸς τὰ τῷ Βαβυλωνίῳ συμβεβηκότα ἀφορῶν. Ναὸς Κυρίου καὶ τὸ σῶμα, ὃ ἐκ τῆς ἁγίας Παρθένου ἑαυτῷ συνέπηξε, ὃν ναὸν καὶ νῦν κατοικεῖ. Πάντες οὖν οἱ τὰ τῆς γῆς φρονοῦντες, εὐλαβείσθωσαν ἀπὸ τοῦ προσώπου αὐτοῦ, τῆς δευτέρας, φημὶ, παρουσίας, ὅτε ἥξει ἐπισκέψασθαι τὰ ἡμέτερα φοβερώτερον, οὐχὶ διορθώσασθαι.

CAPUT III.

ΚΕΦΑΛ. Γ'.

Vers. 1. *Domine, audivi auditum tuum, et conterritus sum : intellexi opera tua, et obstupui.* Transformans et figuris illustrans admirandus vates sermonis sui characterem, nempe interrogatione et responsione, ac quærens cur non puniat Deus contemptores : ubi ergo didicit quod pœna non sit perpetuo defutura, neque semper differenda, enimvero Judæos quidem per Babylonios, Babylonios vero castigandos esse per Persas : ad laudem cum cantico sermonem transfert, precans simul et celebrans et admirans Dei justitiam, et inenarrabiles Dei ordinationes. Orationis autem et precationis habitu interim futura etiam vaticinatur. Ait ergo : Audiens ego quæ dixisti de transgressoribus in Jerusalem, quod Babylonio tyranno tradentur, ac de illo ipso impio quod Persis dedetur, perterrefactus sum, D quod adeo peccatores ad interitum funditus tradas. Nihil eorum quæ abs te fiunt, Domine, citra rationem fit. Obstupesco considerans judicii tui justitiam. Poterunt etiam hæc de Christi mysterio dici. Postquam enim meminit Babyloniorum abolitionis, quam Cyrus efficiens, Israelitas liberavit, deinceps ad generaliorem et secretiorem, quam Dominus noster Jesus Christus nobis peperit libertatem et liberationem recurrit, liberans nos a Satanæ potestate. Tum ita vates ad Patrem **161** verba facit : Audivi, Pater, Domine mi, te revelantem

Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. Διαμορφώσας καὶ σχηματίσας ὁ θαυμάσιος προφήτης τοῦ λόγου τὸν χαρακτῆρα εἰς ἐρώτησιν καὶ ἀπόκρισιν, καὶ ζητήσας, τίνος ἕνεκεν οὐ κολάζει Θεὸς τοὺς καταφρονητὰς, καὶ μαθὼν, ὅτι οὐκ εἰς τέλος τοῦτο ἔσται, ἀλλὰ τοὺς μὲν Ἰουδαίους διὰ Βαβυλωνίων, τοὺς δὲ Βαβυλωνίους διὰ Περσῶν τιμωρήσεται· εἰς ὑμνῳδίαν μεταβάλλει τὸν λόγον, εὐχόμενός τε ἅμα, καὶ ὑμνῶν καὶ ἐκπληττόμενος τοῦ Θεοῦ τὸ δίκαιον, καὶ τὰς ἀπορρήτους αὐτοῦ οἰκονομίας. Ἐν σχήματι (37) προσευχῆς καὶ εὐχῆς προθεσπίζει τὰ ἐσόμενα. Φησὶν οὖν, ὅτι Ἀκούσας, ἃ εἶπας, περί τε τῶν ἐν Ἱερουσαλὴμ παρανομούντων, ὅτι τῷ Βαβυλωνίῳ παραδοθήσονται, καὶ περὶ αὐτοῦ τούτου τοῦ ἀσεβοῦς, D ὅτι τοῖς Πέρσαις ἐκδοθήσεται, ἐφοβήθην ὅπως πανωλεθρίᾳ τοὺς ἁμαρτάνοντας παραδίδως. Οὐδὲν τῶν ὑπὸ σοῦ γινομένων ἀλόγως γίνεται· ἐκπλήττομαι τοῦ [*f.* τῆς] ψήφου τὸ δίκαιον. Λέγοι δ' ἂν καὶ περὶ τοῦ κατὰ Χριστὸν μυστηρίου ταῦτα· ἐπεὶ γὰρ ἐμνήσθη τῆς Βαβυλωνίων καθαιρέσεως, ἣν ὁ Κῦρος ἐργασάμενος ἠλευθέρωσε τοὺς Ἰσραηλίτας, ἀνατρέχει λοιπὸν καὶ ἐπὶ τὴν καθολικωτέραν καὶ μυστικωτέραν ἐλευθερίαν, ἣν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐποιήσατο, ἐλευθερώσας ἡμᾶς τῆς τοῦ Σατανᾶ ἐξουσίας, καὶ φησι πρὸς τὸν Πατέρα μὲν, ὅτι Κύριε Πάτερ, ἤκουσά σου μυστικῶς ἀποκαλύψαντός

Variæ lectiones et notæ.

(36) *Ceu Sanctus sanctorum.*

(37) Προσχήματι. Cod. Ven.

Digitized by Google

μοι τὴν σάρκωσιν τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ ἐφοβήθην πῶς δέξεται ἡ γῆ τὸν μηδαμοῦ χωρούμενον. Καὶ κατανοήσας δὲ λεπτότερον καὶ ἀκριβέστερον τὰ ἔργα σου, ἃ μέλλεις ποιεῖν, σῶμα διαπλάσας αὐτῷ ἐκ Παρθένου ἐν Πνεύματι ἁγίῳ, καὶ τὰ σημεῖα τ' ἄλλα, ἃ αὐτὸς ἐν τῷ σῷ ὀνόματι ποιήσει, ἐξέστην. Ἀλλὰ καὶ πρὸς τὸν Υἱὸν λέγοιτο ἂν, ὅτι Εἰσακήκοα τὴν περί σοῦ ἀκοήν. Εἶπε γὰρ ἀνωτέρω, ὅτι *Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ τὸ Πνεῦμα πάντως*. καὶ κατενόησα τὰ ἔργα, δι' ὧν κατεργάσῃ τὴν σωτηρίαν τῇ ἀνθρωπίνῃ φύσει, τά τε ἄλλα καὶ τὸν σταυρὸν, καὶ τὸν θάνατον, καὶ τὴν ἀνάστασιν, καὶ ἀνάληψιν, καὶ ἐξέστην, πῶς τἀναντία συνελεύσονται, σῶμα τῷ ἀσωμάτῳ, θάνατος τῇ ζωῇ, θανάτῳ ἡ ἀνάστασις, πῶς σῶμα ἐν οὐρανοῖς. Ταῦτα γὰρ ὄντως ἐκπλήξεως γέμει.

A mihi incarnationem unigeniti Filii tui, et perterritus sum et admiratus quomodo terra capiet illud, quod nusquam capitur. Porro reputans apud me intimius et exactius opera tua quæ facturus es, corpus ipsi effingendo ex Virgine per Spiritum sanctum, et signa et id genus alia quæ ipse per tuum nomen faciet, obstupui. Ad hæc, ad Filium ita dicere queat : Quoniam audivi de te famam quamdam ; supra enim dixit : *Audiam omnino quid loquatur in me Spiritus* [44] : et intellexi opera per quæ operaberis salutem humanæ naturæ, præterea et crucem et mortem et resurrectionem et assumptionem : et obstupui plane demiratusque sum, quomodo contraria convenire possent, nempe corpus cum incorporeo, mors cum vita, cum morte B resurrectio, quomodo corpus in cœlis collocabitur. Hæc enim omnia prorsum plena sunt stuporis admirationisque.

Ἐν μέσῳ δύο (38) *γνωσθήσῃ*. Δύο ζωαὶ, ἥ τε παροῦσα καὶ ἡ μέλλουσα, ὧν μέσος ὁ δίκαιος Κριτὴς ἀναφαίνεται· τοὺς μὲν καὶ ἐνταῦθα κολάζων ἢ δοξάζων· τοὺς δὲ ταῖς ἐκεῖθεν ἀκράτοις τιμωρίαις ἢ ἀναπαύσεσι ταμιεύων. Τινὲς δὲ οὐ ζωὰς, ἀλλὰ ζῶα, ἐνταῦθα λέγεσθαι νενοήκασι τὰ Χερουβὶμ τῆς δόξης, ἃ κατεσκίαζον τὸ ἱλαστήριον· τὸ μὲν, ἐκ δεξιῶν· τὸ δὲ, ἐξ εὐωνύμων· ὧν ἐκ μέσου φωνὴ ἐξιοῦσα θεία, ἐδήλου τῷ ἀρχιερεῖ τὴν τοῦ Θεοῦ βουλὴν, ὅτε εἰσῄει εἰς τὸ ἅδυτον. Ἐπειδὴ γοῦν καὶ ὁ Κύριος Ἰησοῦς, σάρκα φορέσας, γέγονεν ἱλαστήριον ἡμῶν, ὡς ὁ Ἀπόστολος μαρτυρεῖ, ἅτε τὴν ψυχὴν C Θεὸς ὑπὲρ ἡμῶν, καὶ ἀποκαταλλάξας ἡμᾶς τῷ Θεῷ καὶ Πατρί· μένει δὲ Θεὸς ὅμως καὶ ὑπὸ τῶν Χερουβὶμ δορυφορούμενος, φησὶν, ὅτι Γνωσθήσῃ, ὦ Δέσποτα, ὡς ἄρα ἱλαστήριον ἡμῶν ἔσῃ ἀληθῶς. Σὲ γὰρ προετύπου τὸ ἐν μέσῳ τῶν δύο Χερουβὶμ ἑστὼς νομικὸν ἱλαστήριον. Ἕτεροι δὲ δύο ζῶα τοὺς Βαβυλωνίους καὶ τοὺς Ἰουδαίους ἐνόησαν, ὧν ἐν μέσῳ ἐγνώσθη δικαιοσύνας ποιῶν. Καὶ ἄλλας δὲ ἐπιβουλὰς οἴδαμεν, ὧν ἀφεξόμεθα διὰ τὸν κόρον.

Vers. 2. *In medio duarum vitarum cognosceris.* Duæ vitæ sunt, et præsens et futura, quarum medius ipse Deus justus judex demonstratur : alios quidem hic puniens, vel etiam glorificans ; alios vero meris suppliciis in futuro sæculo venturis, vel quietudinibus etiam recondens atque destinans. Quidam hic non vitas, sed animalia per prophetam dici intellexerunt, Cherubim videlicet gloriæ, quæ obumbrabant propitiatorium, alterum quidem a dextris, alterum a sinistris : e quorum medio divina vox egressa, principi sacerdotum Dei voluntatem indicabat, quando in penetrale ingrederetur [45]. Est autem et Dominus Jesus assumpta humanitate propitiatorium nostrum factus, ut Apostolus testatur, tanquam animam suam pro nobis ponens, nosque Deo Patri reconcilians [46] ; quia vero Deus sub Cherubim stipatus manet, ideo dicit : O Domine, tu vere nostrum propitiatorium eris. Te enim præsignificabat, in medio duorum Cherubim stans legale illud propitiatorium. Alii per duo animalia Babylonios et Judæos intellexerunt, quorum in medio justitiam facere cognitus est. Novimus et alias allusiones a quibus ob saturitatem abstinebimus.

Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ. Καὶ ἀναδειχθήσῃ πᾶσιν (39), ὅτι δίκαιος εἶ καὶ ἀληθής. Ἀλλὰ καὶ περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ φησιν, ὅτι Ἐγγίζει τὰ ἔτη τῆς συντελείας, καὶ ὁ προωρισμένος τῇ σαρκώσει σου καιρὸς πάρεστιν. Οὗτος δὲ ἦν, ὅτε ἡ κακία ἐκορυφώθη, καὶ οὐδὲν ἀτόλμητον ὑπελείφθη τῷ διαβόλῳ, ἀλλὰ πάντες ἥμαρτον, καὶ ὑστεροῦντο τῆς δόξης τοῦ Θεοῦ, καὶ οὐκ ἦν δίκαιος οὐδὲ εἷς, τότε ἐπιγνωσθήσῃ καὶ ἀναδειχθήσῃ (40) ὁ νῦν ἐν σκιαῖς καὶ τύποις προκηρυττόμενος.

Dum appropinquaverint anni, cognosceris : cum aderit tempus, demonstraberis. Et omnibus demonstraberis, quod justus sis et verax. Hæc de Domino nostro Jesu Christo etiam dicit : Appropinquant D anni consummationis, ac prædefinitum incarnationi tuæ tempus jam adest : quod tum erat, cum vitia ad summum fastigium pervenissent, et nihil intentatum Satanas reliquisset. Verum cum omnes peccassent orbatique essent gloria Dei, et ne unus quidem justus relictus esset, tum agnosceris ac demonstraberis, qui nunc in umbris et figuris prædiceris.

[44] Psal. LXXXIV, 9. [45] Exod. XXV, 18, 19. [46] Rom. V, 10.

Variæ lectiones et notæ.

(38) Ζώων, *animalium*, Cod. Bav.

(39) Προείρηκας, φησὶν, ὦ Κύριε, τὰ περὶ τῶν Βαβυλωνίων. Ὅτε οὖν ἐπιστῇ ὁ καιρὸς τοῦ τελεσθῆναι ἃ προεῖπας, τότε ἐπιγνωσθήσῃ, καὶ ἀναδειχθήσῃ πᾶσιν, κ. τ. λ. *Prædixisti, inquit, Domine, quæ ad Babylonios spectant. Cum itaque advenerit tempus, quo perficiantur, quæ prædixisti, tum agnosceris et omnibus demonstraberis*, etc. Cod. Ven.

(40) Ἐπιγνώσεται καὶ ἀναδειχθήσεται, *agnoscetur et ostendetur*. Cod. Bav.

Digitized by Google

162 *Dum turbatur anima mea ira, misericordiam* A *vero dederis.* Humanæ naturæ personam induens propheta, Cum turbata, inquit, fuerit anima hominis, per iram tuam castigati, tum misericordiam demum recordaris, perinde ac Israelitarum Babyloniis traditorum rursum es misertus. Humana natura turbationem etiam passa est, dum ob prævaricationem mandati et inobedientiam ei succenseret Deus, adeo ut mortalitati subjiceretur, sicut Davides etiam ait : *Avertente te faciem tuam turbabuntur, et in ipsum revertentur pulverem* [47]. Atqui rursus es misertus ejus, et incorruptibilem in te et immortalem demonstrasti, quemadmodum idem rursus ait : *Emittes Spiritum tuum et creabuntur, et renovabis faciem terræ* [48].

Vers. 3. *Deus a Thæman veniet, et sanctus a monte umbroso et aspero.—Thæman* alii quidem Austrum, alii vero Africum interpretati sunt. Vaticinatur autem propheta quod ex Bethleem veniet Christus, quæ ad Australem et Africam plagam respectu Hierosolymitarum sita est. Montem vero opacum, seu umbrosum, ipsam eamdem Hierusalem appellat. Asperum seu hirsutum, ac intonsum quod veluti divinis donis et virtutibus sanctorum in ipsa recubantium spirantiumque floreat ; opacum vel umbrosum, quod veluti nebula, ac juxta divina gratia, super eam et in ea umbram faciat, illam ceu umbra circumdet, ac tanquam in protectione cœli commoretur [49]. Porro Deipara Virgo mons est etiam asper, ut in quam ferrum cogitationis, sordidum virus habentis, non ascenderit: neque humanæ manus C vel operationis ut virginitatem ejus resecet. Opacus et umbrosus mons illa ipsa etiam vocatur quod Spiritus sanctus descenderit super ipsam, et virtus Altissimi obumbraverit [50].

Diapsalma. Diapsalma vox est, quam Græci interpretes reddiderunt, pro Hebræa dictione Sela. Significat autem (ut peritioribus Hebræis placet) quamdam peculiarem observationem ejus rei, quæ illic per Spiritum propheticum dicitur. Quasi dicat: Res non est parva, quare imis eam sensibus repenite. Et quia hæc est prophetia de incarnatione Filii Dei, pulchre apponitur Sela, græce diapsalma.

Operuit cœlos virtus ejus, et laudis ejus plena est terra. Etsi factus est homo unigenitus Dei Filius, et per hoc angelis minor visus et inferior, attamen virtus ejus, hoc est, gloria et majestas supra cœlos est, hoc est, supra angelos qui in cœlis sunt. Ad quem enim horum dixit : *Filius meus es tu* [51], *sede a dextris meis* [52]? vel quod splendidior ipso cœlesti D est lumine? Præterea universa terra tum uberius agnovit eum Dominum et herum, quando incarnatus : evehitque ipsum præconiis, ceu Unigenitum et ejusdem cum Patre essentiæ Filium. Deinde **163** quando cum carne supra nubes conscendit, operuit

Ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ, ἐλέους μνησθήσῃ. Τὸ πρόσωπον τῆς ἀνθρωπότητος ὑποδὺς ὁ προφήτης φησίν· Ὅτε ταραχθῇ ψυχὴ ἀνθρώπου ἀπὸ σῆς ὀργῆς, κολαζομένου ὑπὸ σοῦ, τότε πάλιν τοῦ ἐλέους μιμνήσκῃ· ὥσπερ οὖν καὶ τοὺς Ἰσραηλίτας παραδοθέντας τοῖς Βαβυλωνίοις πάλιν ἠλέησας. Ἀλλὰ καὶ ἡ φύσις ἡ ἀνθρωπίνη ταραχὴν ἔπαθεν, ὀργισθέντος αὐτῇ τοῦ Θεοῦ διὰ τὴν παρακοήν, καὶ θνητὴ γέγονεν, ὡς καὶ ὁ Δαβὶδ φησιν· Ἀποστρέψαντος δέ σου τὸ πρόσωπον ταραχθήσονται, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἀλλὰ πάλιν ἠλέησας αὐτήν, καὶ ἄφθαρτον ἐν σοὶ καὶ ἀθάνατον ἔδειξας, ὡς ὁ αὐτὸς πάλιν λέγει· Ἐξαποστελεῖς τὸ Πνεῦμά σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

B Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέος. Τὸ, Θαιμάν, οἱ μὲν νότον, οἱ δὲ Λίβα ἡρμήνευσαν. Προθεσπίζει δὲ ὁ προφήτης, ὅτι ἐκ Βηθλεὲμ ἐλεύσεται ὁ Χριστὸς, ἥτις πρὸς τὸ νότιον καὶ Λιβυκὸν μέρος τῆς Ἱερουσαλὴμ διάκειται. Ὄρος δὲ κατάσκιον τὴν Ἱερουσαλὴμ αὐτὴν κέκλεῖ· δασὺ μὲν, ὡς παντοδαποῖς θείοις χαρίσμασι καὶ ἀρεταῖς τῶν ἐν αὐτῇ ἁγίων κομῶσαν· κατάσκιον δὲ, ὡς τῆς νεφέλης καὶ τῆς θείας χάριτος ἐπισκιαζούσης ἐν αὐτῇ, καὶ ὡς ἐν σκέπῃ τοῦ οὐρανοῦ αὐλιζομένου. Καὶ ἡ Θεοτόκος δὲ, ὄρος δασὺ, ὡς μὴ σιδήρου ἀναβάντος ἐπ' αὐτὴν, λογισμοῦ ἰὸν ῥυπαρὸν ἔχοντος, μηδὲ χειρὸς ἀνθρωπίνης πράξεως, ἵνα τέμῃ τὴν παρθενίαν αὐτῆς· κατάσκιον δὲ, διότι τό τε ἅγιον Πνεῦμα ἐπῆλθεν ἐπ' αὐτὴν, καὶ δύναμις C Ὑψίστου ἐπεσκίασεν αὐτῇ.

Διάψαλμα (41).

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. Εἰ καὶ γέγονε, φησὶν, ἄνθρωπος ὁ Μονογενὴς, καὶ κατὰ τοῦτο τῶν ἀγγέλων ἠλαττῶσθαι δοκεῖ· ἀλλ' οὖν ἡ ἀρετὴ αὐτοῦ, τουτέστιν ἡ δόξα, καὶ ἡ σεβασμιότης ἐπέκεινά ἐστι τῶν οὐρανῶν, τουτέστι τῶν ἐν οὐρανοῖς ἀγγέλων. D Πρὸς τίνα γὰρ τούτων εἶπεν· Υἱός μου εἶ σὺ, κάθου ἐκ δεξιῶν μου, ἢ ὅτι λαμπρότερός ἐστι καὶ τοῦ οὐρανίου φωτός; Ἀλλὰ καὶ πᾶσα ἡ γῆ τότε μᾶλλον ἐπέγνωσαν αὐτὸν Κύριον καὶ Δεσπότην, ὅτε ἐσαρκώθη, καὶ αἰνεῖ αὐτὸν ὡς μονογενῆ καὶ ὁμοούσιον Υἱὸν τοῦ Πατρός. Ἀλλὰ καὶ ὅτε μετὰ

[47] Psal. ciii, 29. [48] Ibid. 30. [49] Psal. xc, 1. [50] Luc. i, 35. [51] Psal. ii, 7. [52] Psal. cix, 1.

Variæ lectiones et notæ.

(41) Deest in utroque cod. Ven. et Bav. commentarius in *Diapsalma*.

Digitized by Google

σαρκὸς ἐπὶ νεφέλης ἀνήρχετο, ἐκάλυψεν οὐρανούς· καὶ μᾶλλον ἔκτοτε ἐπίγνω αὐτὸν ἡ γῆ Θεόν.

Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται. Τὸ φέγγος, φησὶν, ὃ ὑποδείξει ἡμῖν ὁ Χριστὸς, θεογνωσίαν τε καὶ βίον θεάρεστον εἰσηγούμενος, ὡς φῶς ἔσται· τουτέστιν, οὐκ ἀμυδρὸν οὐδὲ ἀσθενὲς, οἷον τὸ Μωσαϊκὸν (σκιὰν γὰρ εἶχεν ἐκεῖνο), ἀλλ' ἄκρατον φῶς καὶ ἀμιγές· διὸ καὶ ἔλεγεν ὁ προφήτης· *Φωτίζου, Ἱερουσαλήμ· ἦκει γάρ σου τὸ φῶς·* καὶ, *Ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, εἶδε φῶς μέγα.* Ἀλλὰ καὶ τὸ τῆς σαρκὸς αὐτοῦ φέγγος, ὡς τὸ τῆς Θεότητος φῶς ἔσται ἐν τῷ ὄρει Θαβώρ. Ἐν τῇ σαρκὶ γὰρ ἡ Θεότης ἐξέλαμπε.

Κέρατα ἐν χερσὶν αὐτοῦ, καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ. Οὐ μόνον, φησὶ, τῷ φωτὶ τῆς διδασκαλίας χρησάμενος, ὑπέδειξε τὴν ἀλήθειαν τὴν ἐν βίῳ καὶ δόγμασιν· ἀλλὰ καὶ δυνάμεις πλείστας θαυματουργῶν ἐπεδείξατο. Κέρας δὲ πάντως ἡ δύναμις πολλαχοῦ λέγεται, ἐπειδὴ τὰ κέρατα ὅπλα εἰσὶ τοῖς ἔχουσι ταῦτα ζώοις. Τελευταῖον δὲ καὶ ὑπὲρ ἡμῶν ἀπέθανεν, ὃ τῆς μεγίστης δυνάμεως αὐτοῦ σημεῖον, ὅτι διὰ θανάτου τὸν θάνατον κατήργησεν· ἀμφότερα δὲ ταῦτα ἐποίησε, τὴν πρὸς ἡμᾶς αὐτοῦ ἀγάπην κραταιὰν καὶ μεγάλην ἐμφαίνων. *Μείζονα γὰρ ταύτης ἀγάπην οὐδεὶς ἔχει ἢ ἵνα τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ.* Ἐπεὶ δὲ τὰ κέρατα λαμβάνεται καὶ ἐπὶ βασιλέως, ὡς τὸ, *Ὑψώσει κέρας Χριστοῦ αὐτοῦ·* καὶ ἐπὶ ὑπερηφίας, ὡς τὸ, *Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν·* φασί τινες λέγειν τὸν προφήτην ὅτι βασιλεῖαι τῶν δαιμόνων, καὶ αἱ ὑπερηφίαι, ἐν ταῖς χερσὶν αὐτοῦ γεγόνασιν, ἀντὶ τοῦ, ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ· ὥσπερ καὶ τὸ, *Ἐν χερσί σου οἱ κλῆροί μου·* ἀντὶ τοῦ, ἐν τῇ ἐξουσίᾳ σου. Ἐπεὶ δὲ τούτους κατετροπώσατο τότε δή, ὅτε ἔλεγε· *Κρίσις τοῦ κόσμου ἐστὶ· νῦν ὁ ἄρχων τοῦ κόσμου ἐκβληθήσεται ἔξω·* θεὶς τὴν ψυχὴν αὐτοῦ ὑπὲρ ἡμῶν, ἔδειξε τὴν πρὸς ἡμᾶς ἀγάπησιν κραταιάν. Ἡ ἀγάπη δὲ αὕτη οὐκ ἀσθενείας ἦν, ἀλλ' ἰσχύος. Οὐ γὰρ ὡς ἀσθενὴς ἔπαθεν, ἀλλ' ἑκών· ὅς γε καὶ σταυρούμενος, τὴν οἰκείαν ἐδείκνυ δύναμιν, ἥλιον σκοτίζων, γῆν σείων, μνημεῖα ἀνοίγνύς.

Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος. Οὐκ ἀμάρτυρος, φησὶν, ἔστιν, ἀλλ' ἔχει μάρτυρα βέβαιον τὸν προφητικὸν λόγον· πρὸ γὰρ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας, ὁ λόγος ὁ προφητικὸς ἐκήρυξεν αὐτόν. Ἀλλὰ καὶ ὁ τοῦ Ἰωάννου λόγος, λέγοντος· *Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου.* Ἀλλὰ καὶ ἅμα τῷ γεννηθῆναι ἦκον οἱ Μάγοι, καὶ θρύλλος πολὺς περὶ αὐτοῦ γέγονε· καὶ μετὰ ταῦτα ἐξῆλθεν ἡ φήμη αὐτοῦ εἰς ὅλην τὴν Συρίαν. Ἀλλὰ καὶ ἐν

A coelos obtexitque, tumque ipsum uberius terra Deum cognovit.

Vers. 4. *Et splendor ejus tanquam lumen erit.* Splendor, inquit, quem demonstrabit nobis Christus, cognitionem Dei et vitam Deo placentem intelligens, ceu lumen erit, hoc est, non obscurum, neque imbecillum, ut Mosaicum : illud enim umbram habebat : sed merum lumen et immistum. Propterea et propheta dixit : *Illuminare, Jerusalem, venit enim lumen tuum* [53]. Et, *Populus sedens in tenebris, vidit lumen magnum* [54]. Præterea carnis ipsius fulgor, tanquam divinitatis lumen erit in monte Thabor : siquidem in carne deitas effulgebat.

B *Cornua in manibus ipsius, et posuit dilectionem fortem roboris sui.* Non solum, inquit, lumine doctrinæ usus, veritatem demonstravit et vita sua et institutione, verum etiam plurimas vires, admiranda multa faciens, exhibuit. Cornu autem omnino potentia multis in locis dicitur. Cornua enim animantibus sunt armorum et scuti vice (42). Tandem pro nobis etiam mortem obiit, quod maximæ ejus potentiæ signum est ; quoniam per mortem mortem abolevit. Utraque hæc fecit, ut suam erga nos dilectionem et fortem et magnam ostenderet. *Majorem* enim *hac dilectionem nemo habuit, quam ut animam suam impendat pro amicis suis* [55]. Quia vero cornua et de rege accipiuntur, ut eo in loco : *Exaltabit cornua Christi sive uncti sui* [56], ac de fastu, ut ait Scriptura: *Ne levate in altum cornu vestrum* [57] : asseverant C quidam vatem hic dicere, quod regna dæmonum et superbiæ in manibus ejus sint, hoc est in potestate ejus ; perinde ac in eo loco manus pro potestate accipitur, ubi Scriptura inquit : *In manibus tuis sortes meæ* [58] : pro eo quod est, in potestate tua. Quoniam autem dæmones subvertit et subjugavit jam tum, cum diceret : *Judicium est mundi, nunc princeps mundi ejicietur foras* [59] : impendens animam suam pro nobis, fortem suam erga nos dilectionem monstravit. Porro dilectio ipsa non imbecillitatis, sed roboris erat. Non enim ceu imbecillis passus est, sed voluntarius, qui in crucem etiam sublatus propriam ostendit potentiam, solem obscurans, terram concutiens, monumenta D riens.

Vers. 5. *Ante faciem ejus proficiscetur sermo.* Non carebit, inquit, testibus, verum stabilem habebit propheticum sermonem. Ante enim incarnatam ejus dispensationem propheticus ipsum sermo prædicabat. Joannis item prædicatio dum inquit : *Veniet fortior me post me* [60]. Dein cum natus esset, venerunt Magi, ac multa de eo fama vulgata est. Posthac exiit nomen ejus in universam Syriam (43). Tum ad omnes dominos, subditos, sermo

[53] Isa. LX, 1. [54] Isa. IX, 2. [55] Joan. XV, 13. [56] I Reg. II, 10. [57] Psal. LXXIV, 6. [58] Psal. XXX, 16. [59] Joan. XII, 31. [60] Matth. III, 11.

Variæ lectiones et notæ.

(42) Neutro in cod. occurrunt Græca verba Latinis hisce *et scuti vice* respondentia.

(43) *In omnibus item, quæ a Domino fiunt, progreditur sermo*, etc.

Digitized by Google

progreditur, et **164** nihil est absque sermone et verbo Dei. Quia vero et facies Domini terribilis ejus præsentia dicitur, ut illic : *Facies Domini super facientes mala* [61] : intelliges et considerabis, quod antea testificatur nobis, et prius quænam sint agenda subindicat, deinde præsto est cuilibet, juxta laborem persolvens. *Nisi enim venissem et locutus eis fuissem, peccatum non haberent* [62].

Et egredietur pedibus suis ad institutionem. Postquam præmisit verbum ad eruditionem et institutionem hominum, ipse tandem etiam venit, pedibus prophetici sermonis. Vel quod erudiat et castiget tandem nos, qui iis quæ per verbum suum nobis antea prædixit, et testificatus est, non obtemperavimus. Alii sic legerunt : *Egredientur in campos pedes ipsorum*, voculam πεδία per ε tenue scribentes et ι, intelligentes omnia esse permeanda incarnato Deo, veluti arva tam supina, quam ea per quæ equi aguntur, et campos, nihilque ipsi impossibile esse. Poterunt autem et humiles corde, arva intelligi, qui ex cœlis semen accipientes, fructum ferunt ad centum, sexaginta, et triginta, de quibus David ait : *Arva tua implebuntur pinguedine, et valles abundabunt frumento* [63]. Deinde ostendens, quod de rationis consortibus campis et vallibus verba faciat, ait : *Vociferabuntur et laudabunt* [64].

VER. 6. *Stetit et mota est tellus, aspexit et liquefactæ sunt gentes, confracti sunt montes vi, liquati sunt colles perpetui, profectiones ejus perpetuas pro defatigationibus viderunt.* Omnipotentiam Dei ostendit, ut quæ nemini sufferenda sit. Simul enim stetit, et concussa est terra : intuetur, et simul liquefiunt ceræ instar omnes gentes, et montes franguntur a vi potentiæ ejus, et colles æterni, hoc est, jam inde ab initio prædicati, ob altitudinem et magnitudinem suam ; et profectiones ejus et vias quas ab æterno facit, undecunque in hostes suos motus, videntes ; tolerabiles (44) viderunt, cæterum plane laboriosas et afflictionis plenas, adeo terribiles erant. Considerabis etiam, quod steterit in cruce et mota quidem sit terra, montes autem veluti petræ confracti sunt : liquefactæ sunt autem gentes aut copiæ dæmonum, et colles idololatriam accipientes dissoluti sunt. Has profectiones ejus et motus et operationes quas ab æterno prædefinivit propter labores quos in cruce sustinuit, factas, viderunt crucifigentes ipsum. Laboravit enim vere, et defatigatus est pro nobis cruci affixus, et languit propter iniquitates nostras. Sed et terra, sive terram inhabitans natura hominum stetit in eodem, et concussa est. A magnitudine quidem passionum concussa prius, stetit veluti in posterum non concutienda. Commota est autem veluti translata e statu vitiositatis, et infractæ quidem sunt opositæ vires duræ et superbæ. Liquefactæ

A πᾶσι τοῖς ὑπὸ Κυρίου γενομένοις λόγος προπορεύεται, καὶ οὐδέν ἐστιν ἄλογον. Ἐπεὶ δὲ καὶ πρόσωπον Κυρίου λέγεται ἡ φοβερὰ ἐπιστασία αὐτοῦ, ὡς τὸ, *Πρόσωπον Κυρίου ἐπὶ ποιοῦντας κακά*· νοήσεις, ὅτι μαρτύρεται ἡμᾶς καὶ ὑποδεικνύει τὰ πρακτέα πρότερον, εἶτα ἐφίσταται, ἀποδιδοὺς ἑκάστῳ. *Εἰ μὴ γὰρ ἦλθον καὶ ἐλάλησα αὐτοῖς*, φησὶν, *ἁμαρτίαν οὐκ εἶχον.*

Καὶ ἐξελεύσεται εἰς παιδείαν κατὰ πόδας αὐτοῦ. Προαποστείλας, φησὶ, τὸν λόγον εἰς παιδείαν τῶν ἀνθρώπων, εἶτα καὶ αὐτὸς ἦλθε κατὰ πόδας τοῦ λόγου τοῦ προφητικοῦ. Ἤ, ὅπερ εἶπον, προμαρτυρόμενος, ἔπειτα παιδεύει ἡμᾶς μὴ ἀκούσαντας. Τινὲς δὲ οὕτως ἀνέγνωσαν· *Ἐξελεύσονται εἰς πεδία οἱ πόδες αὐτοῦ.* Τὸ, *Πεδία*, διὰ τοῦ ε ψιλοῦ B γράφοντες καὶ τοῦ ι, καὶ νοοῦντες, ὅτι πάντα βάσιμα τῷ σαρκωθέντι Θεῷ, ὥσπερ πεδία ὕπτια καὶ ἱππήλατα, καὶ οὐδὲν ἀδύνατον αὐτῷ. Νοοῖντο δ' ἂν καὶ οἱ ταπεινοὶ τῇ καρδίᾳ, πεδία, οἳ τὸν ἐξ οὐρανοῦ δεχόμενοι σπόρον καρποφοροῦσιν ἐν ἑκατὸν, καὶ ἑξήκοντα, καὶ τριάκοντα· περὶ ὧν καὶ Δαβὶδ λέγει· *Καὶ τὰ πεδία σου πλησθήσονται πιότητος, καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον.* Εἶτα δεικνὺς, ὅτι περὶ λογικῶν πεδίων καὶ κοιλάδων λέγει, φησί· *Κεκράξονται· καὶ γὰρ ὑμνήσουσιν.*

Ἔστη καὶ ἐσαλεύθη ἡ γῆ. Ἐπέβλεψε, καὶ ἐτάκη ἔθνη, διεθρύβη τὰ ὄρη βίᾳ, ἐτάκησαν βουνοὶ αἰώνιοι, πορείας αἰωνίους αὐτοῦ ἀντὶ κόπων C *εἶδον.* Τὸ παντοδύναμον δείκνυσι τοῦ Θεοῦ, καὶ ὅτι ἀνυπόστατός ἐστιν. Ἅμα τε γὰρ ἔστη καὶ σαλεύεται ἡ γῆ· καὶ ἅμα ἐπιβλέπει, καὶ τήκονται ὡς κηρὸς ἔθνη ὁλόκληρα· καὶ τὰ ὄρη θρύπτονται ἀπὸ τῆς βίας καὶ δυνάμεως αὐτοῦ· καὶ οἱ βουνοὶ αἰώνιοι, τουτέστιν ἔκπαλαι ὀνομαστοὶ, διὰ τὸ ὕψος καὶ μέγεθος· καὶ τὰς πορείας αὐτοῦ καὶ τὰς ὁδοὺς, ἃς ἐξ αἰῶνος ποιεῖται κινούμενος ἑκάστοτε ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ, οἱ ἰδόντες, οὐ φορητὰς εἶδον, ἀλλ' ἐγκόπους· οὕτως ἦσαν φοβεραί. Νοήσεις δὲ καὶ ὅτι ἔστη ἐν τῷ σταυρῷ, καὶ ἐσαλεύθη μὲν ἡ γῆ· τὰ ὄρη δὲ, ἤτοι αἱ πέτραι, ἐθρύβησαν. Ἐτάκη δὲ τὰ ἔθνη τῶν δαιμόνων, καὶ οἱ βουνοὶ τῆς εἰδωλολατρείας δεκτικοὶ κατελύθησαν. Ταύτας δὲ τὰς πορείας αὐτοῦ καὶ κινήσεις καὶ ἐνεργείας, ἃς πρὸ τῶν αἰώνων D προώρισεν, ἀντὶ τῶν κόπων τῶν ἐν τῷ σταυρῷ γινομένας εἶδον οἱ σταυροῦντες αὐτόν. Ἐκοπίασε γὰρ ἀληθῶς καὶ ἐπόνεσεν ὑπὲρ ἡμῶν σταυρούμενος, καὶ ἐμαλακίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν. Ἀλλὰ καὶ ἡ γῆ, ἤτοι τὴν γῆν οἰκοῦσα φύσις ἀνθρώπων, ἔστη ἐν ταυτῷ καὶ ἐσαλεύθη. Ὑπὸ μὲν γὰρ τῆς μέθης τῶν παθῶν σαλευομένη πρότερον, ἔστη ὡς τοῦ λοιποῦ μὴ σαλεύεσθαι. Ἐσαλεύθη δὲ ὡς μετακινηθεῖσα ἐκ τῆς ἐν τῷ κακῷ στάσεως. Καὶ διεθρύβησαν μὲν αἱ ἀντικείμεναι δυνάμεις, αἱ σκληραὶ καὶ ὑψηλόφρονες· ἐτάκησαν δὲ καὶ οἱ βουνοὶ, τὰ τῶν ἀρχιερέων

[61] Psal. XXXIII, 17. [62] Joan. XV, 22. [63] Psal. LXIV, 14. [64] Exod. XXII. 23.

Variæ lectiones et notæ.

(44) Imo *non tolerabiles*, si Græca verba reddantur.

Digitized by Google

καὶ Γραμματέων καὶ Φαρισαίων ἀξιώματα, τὰ ἐξ A αἰῶνος ὀνομαστά· οἵτινες τὰς πορείας τοῦ Κυρίου, ἃς ἐποιεῖτο ἐν τῇ Ἰουδαίᾳ, αἰωνίους οὔσας, τουτέστιν ἄχρι τῆς συντελείας τοῦ αἰῶνος μνημονευθησομένας, ἢ τὰς ἐντολὰς ἃς ἐδίδου, αἰωνίους οὔσας καὶ ἀκαταλύτους (πορεῖαι γὰρ, ἐντολαί· κατὰ τὸ, *Ὁδὸν ἐντολῶν σου ἔδραμον*), ἀντὶ τῶν κόπων εἶδον· τουτέστι, φορτικὰς ἡγήσαντο· καίτοι λέγοντος· *Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς· ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι·* καὶ, *Δεῦτε, κἀγὼ ἀναπαύσω ὑμᾶς κοπιῶντας, καὶ πεφορτισμένους* ταῖς τοῦ νόμου σμικρολογίαις· οὗ τὸν ζυγὸν οὐδὲ οἱ πατέρες αὐτῶν ἠδυνήθησαν βαστάσαι.

Σκηνώματα Αἰθιόπων πτοηθήσονται, καὶ σκηναὶ γῆς Μαδιάμ. Μετὰ τὰ σωτήρια πάθη, τὰ σκηνώματα τῶν νοητῶν Αἰθιόπων, τῶν ζοφώδη προαίρεσιν ἐχόντων, αἱ τῶν ἀνθρώπων, φημὶ, ψυχαὶ ἐν αἷς κατεσκήνουν, ἐπτοήθησαν, καὶ ὑπεκλίθησαν τῷ λόγῳ τοῦ Εὐαγγελίου· καὶ αἱ σκηναὶ τῆς γῆς Μαδιὰμ, αἱ φιλόπονοι καὶ φιλήδονοι διαθέσεις. Ὁ γὰρ Ἰσραὴλ ἐν ταῖς Μαδιανίτισιν ἐξεπόρνευσεν, ὅτε ἔστη Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις. Ἑρμηνεύεται δὲ Μαδιηναῖος, *κατακεκριμένος*. Καλῶς δὲ σκηνώματα καὶ σκηνὰς εἴρηκεν· αἵ τε γὰρ τῶν ἀνθρώπων ψυχαὶ, πρόσκαιρα κατοικητήρια τοῖς δαίμοσιν ἦσαν, αἵ τε τῆς ἡδονῆς ἐργασίαι, εὐκατάλυτοι καὶ παροδικαὶ ὡσεὶ σκηναί. Ἀλλὰ καὶ C αἰσθητῶς οἱ ἀπόστολοι καὶ Αἰθιοπίαν εἶδον, καὶ τὴν Μαδιανίτην [*f.* -νῖτιν] χώραν ἐπεσκέψαντο, τὸν θεῖον καταγγέλλοντες λόγον.

Μὴ ἐν ποταμοῖς ὀργισθῆς [vulg. *ὠργίσθης*], *ἢ ἐν ποταμοῖς ὁ θυμός σου, ἢ ἐν θαλάσσῃ τὸ ὁρμημά σου; Ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία· ἐντεινῶν ἐντενεῖς τὸ τόξον σου ἐπὶ σκῆπτρα.* Ἐπειδὴ εἶπεν ἀνωτέρω, ὅτι ἐν τῷ σταυρῷ ἱστάμενος, τὰ ὄρη συντρίβει, καὶ τὰ ἔθνη τήκει· νῦν φησιν, ὅτι Οὐκ ὀργιζόμενος τοῖς ἀνθρώποις, ταῦτα, ὦ Κύριε, ποιεῖς, οὐδὲ ὡς πανολεθρίαν αὐτοῖς ἐπάγων (ποταμοὺς γὰρ καὶ θαλάσσας, τὰ συστήματα τῶν ἀνθρώπων, καὶ D τὰ διάφορα ἔθνη ἐκάλεσεν)· ἀλλὰ μᾶλλον τῆς κοινῆς προνοούμενος σωτηρίας, ταῦτα κατεδέξω τὰ πάθη. Διὸ καθάπερ τισὶν ἵπποις τοῖς ἀποστόλοις ἐποχούμενος διιππεύσεις πᾶσαν τὴν γῆν, οὐχ ἵνα κολάσῃς, ἀλλ' ἵνα σώσῃς· οὐ γὰρ ἦλθες ἵνα κρίνῃς τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος διὰ σοῦ. Ἀλλὰ τοῖς μὲν πιστεύσασιν ἔσται σωτηρία ἡ ἱππασία σου· τὸ δὲ τόξον σου ἐντεῖνον ἐντενεῖς ἐπὶ τὰς ἀπιστησάσας φυλὰς τοῦ Ἰσραήλ. Ταύτας γὰρ ὠνόμασε σκῆπτρα. Ὅτι δὲ ἵπποι βαστάζοντες τὸν Χριστὸν οἱ ἀπόστο-

facti sunt autem colles, **165** hoc est, primorum principum et Scribarum et Pharisæorum dignitates a sæculo celebratæ, qui profectiones Domini, quas faciebat in Judæa, æternas et perpetuas exsistentes, hoc est, ad sæculi usque consummationem memorandas, vel mandata quæ dabat æterna exsistentia et indissolubilia (profectiones enim seu itinera mandata sunt, juxta illud : *Viam mandatorum tuorum cucurri* [62]) pro labore inspexerunt, hoc est, onerosa omnino et intolerabilia existimarunt, cum tamen ille dixerit : *Tollite jugum meum super vos : jugum enim meum commodum est, et onus meum leve* [66]. Et : *Agite adeste, et ego refocillabo vos defatigatos ac depressos* duris legis sermonibus, cujus jugum neque patres eorum bajulare potuerunt. B

Vers. 7. *Tentoria Æthiopum terrebuntur, et attegiæ terræ Madiam.* Post salutares afflictiones, tentoria Æthiopum, non eorum qui revera Æthiopes, sed qui mente concipiuntur, caliginosam deliberationem habentium, mortalium dico animæ, in quibus tenebrarum tentoriis morabantur, perterrefactæ sunt et submissæ sunt, verbo Evangelii, et attegiæ terræ Madiam, amantes videlicet fornicationis et voluptatis affectus. Israel enim Madianiticis puellis fornicatus est, quando stetit Phinees, et placatus est Dominus, et cessavit quassatio. Porro Madianæus valet, si interpreteris, *condemnatum*. Pulchre autem tentoria et attegias dixit. Nam animæ mortalium temporaria dæmonum habitacula fuere : præterea voluptatis effectus et operationes facile dissolvuntur et transeunt, uti tentoria. Insuper apostoli etiam vere Æthiopiam viderunt, et Madianiticam regionem visitarunt, divinum annuntiantes verbum.

Vers. 8, 9. *Numquid in fluminibus irasceris, vel in amnibus indignatio tua, vel in mari profectio tua ? Quoniam ascendes super equos tuos, et equitatus tuus salutem affert. Intendens intendes arcum tuum super sceptra.* Postquam supra dixisset, quod in cruce stans montes conterit, et gentes liquefacit : nunc ait, Quod non hominibus succensens hæc facias, Domine, neque ut perniciem ipsis adducas et funditus perdas, siquidem amnes et mare, mortalium congregationes et varias gentes appellavit ; quin potius communi saluti prospiciens, has passiones seu afflictiones demonstravit (45). Etenim apostolis, quasi quibusdam equis vectus, per universam terram equitabis, non ut punias, sed ut serves. Non enim venisti ut judices mundum, sed ut mundus servetur per te [67]. Atqui credentibus equitatio tua cedet in salutem. Quod vero ait, arcum tuum fortiter et indubitanter intendes, ad tribus Israeliticas quæ non crediderunt pertinet ; eas enim sceptra

[62] Psal. cxviii, 32. [66] Matth. xi, 29. [67] Joan. xii, 47.

Variæ lectiones et notæ.

(45) *Subiisti* (tu scilicet, Domine, quem alloqui pergit).

Digitized by Google

nominavit. Quod vero equi portantes Christum sint apostoli, perspicuum fit ex eo quod Paulus ipse a Deo audiverit, **166** dicente: *Quoniam vas electionis* (46) *mihi est, ut ferat nomen meum coram gentibus et regibus et filiis Israel* [68]. Illud vero, *Intendens intendes arcum tuum*, non est dissimile his quæ David habet: *Intende*, inquit, *et prosperum successum nanciscere* [69]. Et, *Sagittæ tuæ acutæ in corde inimicorum regis* [70]. Quidam, *Nonne in fluminibus irasceris?* sic intellexerunt: Scopus, inquiunt, prophetæ est, ostendere quæ in Novo Testamento contigerint, quæ sunt longe diviniora et magnificentiora iis quæ in Veteri sunt gesta. Propterea etiam ait: Non ut in Veteri Testamento, amnes in sanguinem convertisti, aut mare exsiccasti, ut liberares populum tuum a sensibilibus inimicis tuis, sic nunc facies; sed conscendes super equos, ipsos nimirum apostolos, ut sceptra dæmonum destruas atque comminuas.

A λοι, δῆλον ἐξ ὧν Ἀνανίας περὶ τοῦ Παύλου ἤκουσεν, ὅτι *Σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων καὶ υἱῶν Ἰσραήλ*· τὸ δὲ, *Ἐντείνων ἐντενεῖς τὸ τόξον σου*, ἔοικε τοῖς τοῦ Δαβὶδ· *Ἔντεινε καὶ κατευοδοῦ*· καὶ, *Τὰ βέλη τὰ ἡκονημένα ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως*. Τινὲς δὲ τὸ, *Μὴ ἐν ποταμοῖς ὠργίσθης*, οὕτως ἐνόησαν· Σκοπὸς, φησὶ, τῷ προφήτῃ δεῖξαι τὰ ἐν τῇ Καινῇ γινόμενα πολλῷ θεοπρεπέστερα τῶν ἐν τῇ Παλαιᾷ· διὸ καὶ λέγει, ὅτι Οὐχ ὥσπερ ἐν τῇ Παλαιᾷ ποταμοὺς εἰς αἷμα μετέστρεψας καὶ θαλάσσας ἐξήρανας, ἵνα ἐλευθερώσῃς τὸν λαόν σου ἀπὸ αἰσθητῶν ἐχθρῶν, οὕτω καὶ νῦν ποιήσεις· ἀλλ' ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους τοὺς ἀποστόλους, ἵνα τὰ σκῆπτρα τῶν δαιμόνων καθέλῃς.

B

Fluminibus rumpetur terra. Quemadmodum coloni in fossas et subterraneos meatus et euripos dividunt aquas, irrigationem terræ ita instituentes, sic tu, inquit, Domine, terram præparabis ad susceptionem intellectualium fluviorum qui sunt apostoli, ut sit quod dicitur: Propter flumina scindetur terra. Sunt qui, juxta textum, terram fluviorum ipsam Mesopotamiam acceperint, mediam inter duo ingentia flumina, Euphratem et Tigretem. Mystice ipsum peccatum est, quod medium est inter udam et remissam vitam. Mesopotamia itaque rumpetur, hoc est dejicietur, cadet, ceu murus exsistens Babyloniorum roboris. Peccatum quoque rumpetur scinderturque *ense quem venit Dominus jacere super terram* [71]. Fluviorum tellus ipsa etiam est Jerusalem quæ multos jam tum sanctos continebat quos amnes nominavit. Ut enim verum exsistens lumen, Dominus ipse, per participationem apostolos fecit lumen mundi, sic et sancti dicuntur (47) pariter flumina. Proinde ait, quod terra jam olim fluvios habens quibus irrigetur, nunc rumpetur, ac veluti sitibunda fatiscet, ut quæ non susceperit propheticum sermonem, neque crediderit Christo. Nam *si credidissetis*, inquit, *Mosi, credidissetis etiam mihi* [72].

Ποταμῶν ῥαγήσεται γῆ. Καθάπερ οἱ γηπόνοι εἰς διώρυχας καὶ ἀμάρας διαιροῦσι τοὺς ποταμοὺς, ἀρδείαν τῇ γῇ σοφιζόμενοι, οὕτω καὶ σὺ, φησὶ, Κύριε, τὴν γῆν παρασκευάσεις, εἰς ὑποδοχὴν τῶν νοητῶν ποταμῶν τῶν ἀποστόλων· ὥστε εἶναι τὸ λεγόμενον· Ἕνεκεν τῶν ποταμῶν ῥαγήσεται ἡ γῆ. Τινὲς μὲν γῆν ποταμῶν αἰσθητῶς μὲν τὴν Μεσοποταμίαν ἐνόησαν, μέσην οὖσαν τῶν δύο μεγάλων ποταμῶν Εὐφράτου καὶ Τίγρητος· νοητῶς δὲ, τὴν ἁμαρτίαν, ἥτις μέση ἐστὶ τοῦ ὑγροῦ καὶ ἀνειμένου βίου. Ἥ τε οὖν Μεσοποταμία ῥαγήσεται, τουτέστι καταβληθήσεται, καὶ πεσεῖται, ὥσπερ τεῖχος οὖσα τῆς Βαβυλωνίων δυνάμεως· καὶ ἡ ἁμαρτία δὲ ῥαγήσεται ὑπὸ τῆς μαχαίρας, ἣν ἦλθεν ὁ Κύριος βαλεῖν ἐπὶ τῆς γῆς. Ποταμῶν γῆ καὶ ἡ Ἱερουσαλὴμ, οἷα δὴ ἁγίους τότε πολλοὺς ἔχουσα, οὓς ποταμοὺς ὠνόμασεν. Ὥσπερ γὰρ φῶς ὢν ἀληθινὸν ὁ Κύριος, κατὰ μετοχὴν ἐποίησε τοὺς ἀποστόλους φῶς τοῦ κόσμου· οὕτω καὶ οἱ ἅγιοι εἰσὶ καὶ λέγονται ποταμοί. Φησὶ τοίνυν, ὅτι ἡ γῆ ἡ πάλαι ποταμοὺς σχοῦσα ποτίζοντας αὐτὴν, νῦν ῥαγήσεται ὡς ἡ διψῶσα γῆ, ἅτε μὴ δεξαμένη τὸν προφητικὸν λόγον, μηδὲ πιστεύσασα Χριστῷ. *Εἰ* γὰρ *ἐπιστεύετε*, φησὶ, *Μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί.*

C

VERS. 10. *Videbunt te, et in partu mœrebunt populi.* Hoc duplicem intellectum habet. Aut enim hoc accipies, quod Qui crediderunt populi, videbunt tuum lumen, et veluti in partu dolebunt, hoc est, cupiditatem et desiderium vehemens habebunt, ut videant regnum tuum, et parturient tuum timorem, ut spiritum salutis pariant. Vel quod infideles populi intuebuntur gloriam tui præconii, et mœrore necnon labore conficientur præ invidia, quales fuerunt qui dixere: *En mundus sequitur eum* [73].

Ὄψονταί σε καὶ ὠδινήσουσιν λαοί. Τοῦτο διπλῆν διάνοιαν ἔχει· ἢ γὰρ τοῦτο νοήσεις, ὅτι Οἱ πεπιστευκότες λαοὶ ὄψονται τὸ σὸν φῶς καὶ ὠδινήσουσι· τουτέστιν, Ἔρωτα καὶ πόθον σφοδρὸν ἕξουσι τοῦ ἰδεῖν τὴν σὴν βασιλείαν, καὶ ὠδινήσουσι τὸν σὸν φόβον, ἵνα πνεῦμα σωτηρίας ἀποτέκωσιν· ἢ, ὅτι Οἱ ἄπιστοι λαοὶ ὄψονται τὴν δόξαν τοῦ σοῦ κηρύγματος, καὶ ὠδῖνας καὶ πόνους ἕξουσιν ἀπὸ φθόνου, οἵτινες ἦσαν οἱ λέγοντες· *Ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ὑπάγει.*

D

[68] Act. IX, 15. [69] Psa.. XLIV, 15. [70] Psal. CXIX, 4. [71] Matth. X, 34. [72] Joan. VII, 38. [73] Joan. XII, 19.

Variæ lectiones et notæ.

(46) *Perspicuum est ex iis quæ Ananias de Paulo audivit: Quoniam vas electionis*, etc.
(47) *Et sunt, et dicuntur.*

Digitized by Google

Σκορπίζων ὕδατα πορείας. Ὕδατα πορείας αἱ τοῦ πνευματικοῦ καὶ εὐαγγελικοῦ λόγου χάριτες. Τὸ ὕδωρ γὰρ τῆς πρὸς ἡμᾶς πορείας τοῦ Μονογενοῦς τὸ Πνεῦμά ἐστιν, ὃ ἔδωκε τοῖς πιστεύουσιν εἰς αὐτόν. Ἐπεὶ οὖν διάφοροι τῆς πνευματικῆς διδασκαλίας οἱ τρόποι, τὸ ἓν ὕδωρ πολλὰ γίνεται, καὶ σκορπίζεται καὶ διαιρεῖται ἑκάστῳ πρὸς τὴν ἕξιν αὐτοῦ, ἐπειδὴ καὶ διαίρεσιν χαρισμάτων εἶναι μανθάνομεν, τὸ δὲ αὐτὸ Πνεῦμα. Ἀλλὰ καὶ πορευόμενος εἰς κώμας καὶ πόλεις ὁ Κύριος, τὸ ὕδωρ τῆς διδασκαλίας ἐσκόρπιζε, τοῖς πρὸς οὓς ἔλεγεν· *Εἴ τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω.* Πολλοὶ ἔχουσιν ὕδατα λόγου, ἀλλ' οὐκ εἰσὶ πορείας, ἀλλὰ στάσεις, ὀδωδότα δυσωδίας φθόνου. Ἐν ἑαυτοῖς γὰρ οὗτοι τὸ ἀγαθὸν ἔχουσι, μὴ εἰς ἄλλους αὐτὸ διαχέοντες· οἳ καὶ ἐοίκασι τῷ κατορωρυχότι τὸ τάλαντον. Ὁ μέντοι ἐχέων καὶ ἐπ' ἄλλους τὸ ἀγαθόν, οὗτος ἔχει ὕδατα πορείας, καὶ ἔοικε τῷ βάλλοντι τοῖς τραπεζίταις τὸ τάλαντον, καὶ πλουσιώτερον τὸν δεσπότην ποιήσαντι.

Ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς ὕψος φαντασίας αὐτῆς. Ἐπέμεινε τῇ τροπῇ, καὶ τὴν τῶν νοημάτων ἀκολουθίαν ἐφύλαξε. Ποταμοὺς γὰρ τοὺς ἱεροὺς ἀποστόλους καλέσας, θάλασσαν ὀνομάζει τὰ ἔθνη, τῇ τῆς ἀσεβείας πικρίᾳ κατεχόμενα. Καθάπερ οὖν ποταμῶν εἰς πέλαγος ἐμβαλλόντων, πολὺς ἦχος καὶ ψόφος ἀποτελεῖται, τῶν θαλαττίων κυμάτων εἰργόντων, καὶ ἐπεχόντων τὴν εἰσβολήν· οὕτω τῶν θείων ἀποστόλων τὰ ἔθνη περινοστούντων, καὶ τὸ σωτήριον διαπορθμευόντων κήρυγμα, θόρυβοι κατ' αὐτῶν ἐκινοῦντο καὶ στάσεις, τῶν ἀπίστων ἀντιλεγόντων, καὶ σβέσαι πειρωμένων τὸ κήρυγμα, ὥσπερ ἐν Ἐφέσῳ ὁ ἀργυροκόπος ἐποίησε Δημήτριος, ἐν Κορίνθῳ δὲ ἕτεροι, καὶ ἐν Ἱεροσολύμοις Ἰουδαῖοι, ὅτε καὶ Ῥωμαίοις τὸν Παῦλον παρέδωκαν. Ἡ τοίνυν τῶν ἐθνῶν ἄβυσσος ταραχῆς φωνὴν ἐδίδου, καὶ ὕψος φαντασίας καὶ ἐπάρσεως τῶν κηρυγμάτων αὐτῆς· ἐνόησαν δέ τινες καὶ τὴν πληθὺν τῶν πεπιστευκότων ἄβυσσον, ὡς ἐκ τῶν ποταμῶν καὶ τῶν ὑδάτων τῶν ἀνωτέρω ῥηθέντων συστᾶσαν. Αὕτη τοίνυν ἡ ἄβυσσος, καὶ τὸ ὕψος τῆς φαντασίας αὐτῆς, τουτέστιν οἱ ἐν αὐτῇ ὑψηλοί, καὶ πλούτου καὶ δόξης φαντασίαν ἔχοντες, ἔδωκαν φωνήν, ὁμολογοῦντες τὸν Κύριον Ἰησοῦν Χριστὸν ἐν τῷ στόματι αὐτῶν.

Ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς εἰς φῶς. Ὁ τῆς δικαιοσύνης Ἥλιος ἐπήρθη ἐν τῷ σταυρῷ, καὶ νὺξ ἐγένετο, ὅτε ἡ σελήνη ἔχει τάξιν φαίνεσθαι. Ἢ ὅτι τοῦ Κυρίου σταυρουμένου, ἡ ἐξ ἐθνῶν Ἐκκλησία ἀνέλαμψε, καὶ ἔστη ἐν τάξει αὐτῆς εἰς φῶς· τουτέστι, πλησιφαὴς γέγονε, τὴν τάξιν σώζουσα τοῦ ἰδίου κύκλου. Ὁ τε γὰρ ἑκατόνταρχος ἐθνικὸς ὢν, Υἱὸν Θεοῦ ὡμολόγησε τὸν σταυρούμενον, καὶ οἱ σὺν αὐτῷ ὄντες. Καὶ ὁ Κύριος

Spargens aquas itineris. Aquæ itineris sunt spiritualis et evangelici verbi gratiæ. Nam aqua profectionis, qua ad nos usque unigenitus Dei Filius porrexit, Spiritus **167** est, quem dedit credentibus in se. Postquam igitur varii sunt spiritualis doctrinæ modi, una aqua multæ fiunt, quæ dispergitur ac dividitur cuilibet pro sua habitudine. Nam divisionem esse donorum discimus, eumdem autem Spiritum. Deinde proficiscens in vicos et civitates Dominus, aquam doctrinæ sparsit illis profecto ad quos dicebat : *Si quis sitit, veniat ad me et bibat* [76]. Multi habent aquas sermonis, sed non sunt profectionis, sed status, spirantes virosum odorem et invidiam : in seipsis enim isti bonum habent, ipsum non in alios diffundentes, qui et assimilantur ei qui talentum defoderat. Porro qui bonum habet, et in alios effundit, is aquas profectionis habet, et similis est, qui (48) nummulariis talentum suum locat, quique opulentiorem dominum suum facit.

Abyssus dedit vocem suam, in altitudine apparitionis suæ. Permansit in assumpto tropo, sensuumque consecutionem observavit. Flumina enim sacrosanctos apostolos appellans, mare gentes nominat, incredulitatis amarulentiam retinentes. Perinde ergo ut fluviorum in pelagus ingruentium, exonerantiumve, ingens sonitus et strepitus editur, marinis fluctibus cohibentibus arcentibusque insultum et influxum : hunc ad modum divinis apostolis gentes circumeuntibus, salutareque Evangelii Christi præconium afferentibus, turbæ adversum ipsos movebantur, et seditiones ab infidelibus ipsis contradicentibus exstinguereque tentantibus istam promulgationem : quemadmodum Ephesi argentarius Demetrius fecit, Corinthi vero alii, et Hierosolymis Judæi, quando et Romanis Paulum tradiderunt. (49) Proinde abyssus turbationis gentium, dabat altitudinem apparitionis et elevationis fluctuum ejus. Quidam hic, per abyssum, multitudinem credentium acceperunt, e fluminibus et aquis supradictis consistentem. Ipsa igitur abyssus et altitudo apparitionis ejus, hoc est, alti in ipsa, et divitiarum et gloriæ et auctoritatis aspectum habentes, dederunt vocem, confitentes Dominum Jesum Christum ore suo.

Vers. 11. *Elevatus est sol, et luna stetit in ordine suo ad lumen.* Sol justitiæ in altum sublatus est in cruce, et nox facta est, in qua luna ordinem suum obtinet, ut luceat : sive quod Domino crucifixo ex gentibus Ecclesia refulsit, et stetit in ordine suo ad lumen, hoc est, proxime lucens apparuit, servans ordinem proprii orbis. Sic centurio gentilis exsistens Filium Dei confessus est crucifixum, et qui eum ipso erant. Jam et

[76] Joan. VII, 37.

Variæ lectiones et notæ.

(48) *Ei qui*, etc.

(49) *Gentium itaque abyssus vocis turbationem dabat, et altitudinem imaginationis, elationisque prædicationum ejus.*

Digitized by Google

Dominus ipse dixit : *Quando exaltatus fuero, omnes traham ad meipsum* [78]. Si autem sol est Evangelium, vide quando sublimatum **168** est Evangelium et radii ejus extensi sunt, tum et luna, hoc est lex, stetit ad lumen. Tum enim apparuit spiritualis lex, quando Spiritus ipsam interpretatus est. Sic et per allegoricum intellectum apparuerunt Agar et Sarra. Sic et illud, *Non colligabis os bovi trituranti* [76], de doctoribus Ecclesiæ apparuit in lege scriptum et latum esse. Eum ad modum cordis circumcisio demonstrata est, non corporalis quidem particulæ. Hanc sane ordinationem et antea quidem habebat lex, cæterum occultabatur, ceu umbra circa ipsam foret. Quando vero venit lumen mundi, tum stetit et ipsa in ordine suo.

A αὐτὸς εἶπεν · Ὅταν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. Εἰ δὲ ἥλιός ἐστι τὸ Εὐαγγέλιον, καὶ ἀκτῖνες αὐτοῦ ἠπλώθησαν, τότε καὶ ἡ σελήνη, τουτέστιν ὁ νόμος, ἔστη εἰς φῶς. Τότε γὰρ ἐφάνη πνευματικὸς ὁ νόμος, ὅτε τὸ Πνεῦμα αὐτὸν ἡρμήνευσεν. Οὕτως ἐφάνησαν ἀλληγορούμεναι ἡ Ἄγαρ, ἡ Σάρρα· οὕτω τὸ, Οὐ φιμώσεις βοῦν ἀλοῶντα, περὶ τῶν διδασκάλων ἐφάνη νομοθετηθέν· οὕτω περιτομὴ ἐδείχθη καρδίας, οὐ σωματικοῦ μορίου. Ταύτην δὲ τὴν τάξιν εἶχε μὲν καὶ πρὶν ὁ νόμος· ἐκρύπτετο δὲ, ὅτε σκιᾶς οὔσης, περὶ αὐτόν. Ὅτε δὲ ἦλθε τὸ φῶς, τότε ἔστη καὶ αὐτὸς ἐν τῇ τάξει αὐτοῦ.

Jacula tua proficiscentur, ad splendorem fulguris armorum tuorum. Divos apostolos jacula vel sagittas appellat, quæ profectæ sunt veluti a forti quapiam et potenti manu missæ, ut figerentur in corde inimicorum regis, dæmonum videlicet, æque ac David ait : *Tanquam sagittæ in manu potentis, sic et filii excussorum* [77]. Excussi sunt quidem et projecti a facie Dei ipsi Judæi. Horum filii sagittæ fuerunt potentis Christi, qui est virtus Dei. Illi porro ad splendorem fulguris verborum, hoc est, armorum Christi profecti sunt. Arma vero Christi sunt, quibus Paulus nos induit dicens : *Induimini armatura Dei, quæ est thorax justitiæ et galea salutis et gladius Spiritus* [78]. Atque hæc arma sunt splendida et coruscantia : lucet enim virtus in eo qui eam induit, etiamsi occultetur. *Luceat* namque, inquit, *lux vestra coram hominibus* [79]. Apostoli igitur profecti sunt, docentes omnes gentes, ut ostenderent omnibus splendorem coruscationis armorum horum.

B Βολίδες σου πορεύσονται, εἰς φέγγος ἀστραπῆς ὅπλων σου. Τοὺς ἱεροὺς ἀποστόλους βολίδας καλεῖ, οἱ ἐπορεύθησαν ὥσπερ ἀπό τινος εὐσθενοῦς καὶ δυνατῆς χειρὸς πεμφθέντες, ὥστε παγῆναι ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως, τῶν δαιμόνων, καθὰ καὶ ὁ Δαβὶδ λέγει · Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων. Ἐξετινάχθησαν μὲν γὰρ καὶ ἀπερρίφησαν ἀπὸ προσώπου τοῦ Θεοῦ οἱ Ἰουδαῖοι · οἱ δὲ υἱοὶ τούτων βέλη γεγόνασι τοῦ δυνατοῦ Χριστοῦ, τῆς δυνάμεως τοῦ Θεοῦ. Οὗτοι δὲ εἰς φέγγος τῆς ἀστραπῆς τῶν ὅπλων τοῦ Χριστοῦ ἐπορεύθησαν. Ὅπλα μὲν γὰρ τοῦ Χριστοῦ, ἃ ὁ Παῦλος ἡμᾶς ἐνδύει λέγων · Ἐνδύσασθε τὴν παναπλίαν τοῦ Θεοῦ, ἥτις ἐστὶν ὁ θώραξ τῆς δικαιοσύνης, ἡ περικεφαλαία τοῦ σωτηρίου, καὶ ἡ μάχαιρα τοῦ Πνεύματος. Λαμπρὰ δὲ ταῦτα τὰ ὅπλα καὶ ἀστράπτοντα · λαμπρύνει γὰρ ἡ ἀρετὴ τὸν αὐτὴν ἐνδεδυμένον, κἂν κρύπτηται. Λαμψάτω γάρ, φησὶ, τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων. Οἱ οὖν ἀπόστολοι ἐπορεύθησαν μαθητεύοντες πάντα τὰ ἔθνη, εἰς τὸ δεῖξαι πᾶσι τὸ φέγγος τῆς τῶν ὅπλων ἀστραπῆς.

C

Vers. 12. *In terminatione imminues terram, et in indignatione confringes gentes.* Judaicam, inquit, terram desolari et vastari facies per Romanos, tanquam incolæ ejus in te impii fuerint : et confringes, hoc est, humiliabis Israelitas, qui gentium erga te sævitiam et impietatem imitati sunt. Vel operationes terrestris prudentiæ imminues per jacula apostolorum tuorum, et gentium prudentiam, consilia humiliabis, dejicies subjugabisque.

Ἐν ἀπειλῇ ὀλιγώσεις γῆν, καὶ ἐν θυμῷ κατάξεις ἔθνη. Τὴν Ἰουδαϊκὴν, φησὶ, γῆν ἐρημωθῆναι ποιήσεις ὑπὸ Ῥωμαίων, ὡς ἀσεβησάντων εἰς σὲ τῶν ἐν αὐτῇ, καὶ κατάξεις, ἀντὶ τοῦ, ταπεινώσεις τοὺς Ἰσραηλίτας, ἐθνῶν ἀπήνειαν πρὸς σὲ μιμησαμένους. Ἢ, ὅτι Τὰς πράξεις τοῦ γηΐνου φρονήματος ὀλιγώσεις διὰ τῶν βολίδων σου τῶν ἀποστόλων · καὶ τὰ ἐθνικὰ φρονήματα ταπεινώσεις καὶ ὑποτάξεις.

D

Vers. 13. *Exiisti ad salutem populi tui, ut servares unctos tuos.* Cum dixisset antea, Quoniam imminues Judaicam terram, rationem nunc ejus reddit : Nam tu, inquit, exiisti ad salutem populi hujus. Non enim venisti nisi ad pecudes quæ interierant domus Israelis. Propterea et Jesus vocatus es, et advenisti huc, ut serves unctos sanguine tuo et Spiritu sancto tuo. At enim ipsi noluerunt, propterea eos minuisti, ac alium tibi populum vindicasti, qui et uncti sunt per baptisma, in mortem tuam baptizati, unctique oleo

Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου. Εἰπὼν, ὅτι Ὀλιγώσεις τὴν Ἰουδαϊκὴν γῆν, ὡσανεὶ ἀπολογεῖται · Καίτοι σὺ ἐξῆλθες εἰς σωτηρίαν τοῦ λαοῦ σου τούτου. Οὐκ ἦλθες γὰρ εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Διὸ καὶ Ἰησοῦς ἐκλήθης, καὶ παρεγένου ἐνταῦθα, ἵνα σώσῃς τοὺς χρισθέντας τῷ αἵματί σου, καὶ τῷ Πνεύματί σου τῷ ἁγίῳ. Ἀλλ' οὐκ ἠθέλησαν · διὸ αὐτοὺς μὲν ὠλίγωσας · λαὸν δὲ ἕτερον περιεποιήσω, οἳ καὶ χριστοὶ γεγόνασι διὰ τοῦ βαπτίσματος, εἰς τὸν θάνατόν σου βαπτισθέντες, καὶ χρισθέντες

[78] Joan. xii, 32. [76] I Cor. ix, 9. [77] Psal. cxxvi, 4. [78] Ephes. vi, 17. [79] Matth. v, 15.

Digitized by Google

τῷ τῆς ἀγαλλιάσεως ἐλαίῳ, τῷ Πνεύματι. Ἢ τὴν αἰτίαν ἐπάγει τοῦ ὀλιγωθῆναι τὸ γεηρὸν φρόνημα. Διὰ τοῦτο γάρ, φησὶν, ὀλιγώσεις τὴν γῆν, διότι ἐπὶ τούτῳ ἐξῆλθες, ἵνα σώσῃς. Ἄλλως δὲ οὐκ ἦν σωθῆναι, εἰ μὴ αἱ γήϊνοι πράξεις ὠλιγώθησαν.

Ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνατον. Τοὺς μὲν πιστεύσαντας, φησὶ, καὶ χριστοὺς καὶ μετόχους γενομένους, ἔσωσας· εἰς δὲ τὰς τῶν ἀνόμων Ἰουδαίων κεφαλὰς, τουτέστι τοὺς ἄρχοντας καὶ προέχοντας, θάνατον ἔβαλες, διὰ τῶν Ῥωμαίων αὐτοὺς ἐξολοθρεύσας.

Ἐξήγειρας δεσμοὺς ἕως τραχήλου εἰς τέλος. Τουτέστιν, Ἔδησας αὐτοὺς ταῖς τῶν οἰκείων ἁμαρτημάτων σειραῖς, οὐ μερικῶς κατασφιγγομένους, ἀλλ' οἷον δι' ὅλου τοῦ σώματος, καὶ ἕως τραχήλου. Αἱ γὰρ ἁμαρτίαι αὐτῶν ἐξεγερθεῖσαι κατ' αὐτῶν, ὅτε ἠβουλήθη Θεὸς, ἔδησαν αὐτοὺς, καὶ ὑποχειρίους Ῥωμαίοις ἐποίησαν, ὥστε τράχηλον αὐτῶν τὸν ἐπηρμένον ταπεινωθῆναι καὶ συντελεσθῆναι. Τοῦτο γὰρ σημαίνει τὸ, *Εἰς τέλος*. Εἰσὶ καὶ ἀγαπήσεως δεσμοὶ, οὓς τοῖς πιστεύουσιν ἐπιβάλλων ὁ Κύριος, τὸν τράχηλον αὐτῶν, τῷ οἰκείῳ ζυγῷ ἐπάγει. Ἐξήγειρε δὲ καὶ ἄλλους δεσμοὺς ὁ Χριστὸς κατὰ τοῦ Ἰούδα, οὓς τῷ αὐτοῦ τραχήλῳ περιθεὶς οὗτος, τέλος εὗρε δι' ἀγχόνης.

Διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν· σεισθήσονται ἐν αὐτῇ. Διαρολίξουσι χαλινοὺς αὐτῶν, ὡς ὁ ἐσθίων πτωχὸς λάθρα. Ἔκστασιν, φησὶ, πεπόνθασιν οἱ δυνάσται τοῦ Ἰσραὴλ, ἐκστάντες τοῦ ὀρθοῦ φρονήματος, καὶ λυττήσαντες καὶ μανέντες κατὰ σοῦ. Διὰ τοῦτο οὖν διέκοψας αὐτοὺς ἀπὸ τῆς σῆς οἰκειότητος, καίτοι πρώην μερίδα σὴν ὄντας. Ἢ, ὅτι Διεσκόρπισας ἄλλον ἀλλαχόσε. Τοῦτο καὶ Δαβὶδ φησι· *Διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν.* Εἰκότως δὲ αἱ κεφαλαὶ αὐτῶν αἱ τοῦ νοῦ χωρητικαὶ διεκόπησαν ἀπὸ τῆς πρὸς τὸν Λόγον οἰκειότητος, ὅτι μὴ κατὰ λόγον ἐφρόνησαν, ἀλλὰ μᾶλλον τῷ λόγῳ ἐπανέστησαν. Ἢ, ὅτι Σημεῖα σοῦ ποιήσαντος, ἐκστήσονται, καὶ σεισμὸν πείσονται ταρασσόμενοι, καὶ διακοπήσονται, οἱ μὲν λέγοντες, ὅτι *Πλανᾷ τὸν ὄχλον*· ἄλλοι δὲ, ὅτι *Οὐδέποτε ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος.* Κρύφα μέντοι αἱ κεφαλαὶ, οἱ ἄρχοντες καταγογγύσουσί σου, διανοίγοντες τὰ χείλη καὶ τοὺς ὀδόντας, ἅτινα χαλινός εἰσι τοῦ στόματος, ὥσπερ πτωχὸς μὴ τολμῶν προφανῶς μεταλαβεῖν τροφῆς, ἀλλὰ μεμυκότος τοῦ στόματος ἔνδον ταύτην λεπτύνων. Ἐφοβοῦντο γὰρ τὸν ὄχλον τῷ Ἰησοῦ προσδιακείμενον διὰ τὰ θαύματα. Καὶ οἱ ἀπόστολοι δὲ οἱ πρώην μὴ τολμῶντες λαλῆσαι, ἀλλὰ κεκλεισμένοι ἐν ὑπερῴῳ, καὶ λάθρα ἐσθίοντες τὴν τῶν πιστευόντων αὐτοῖς σωτηρίαν, ὥσπερ ἵπποι διανοίξαντες τοὺς χαλινοὺς τοῦ στόματος, τουτέστι

A exsultationis, Spiritu nempe sancto. Vel causam adducit, cur terrestris prudentia diminuatur. Propterea, inquit, **169** imminues terram, quod eam ob causam exieris ut servares. Aliter enim servare licebat, ni terrenæ res primum imminutæ essent.

Projecisti in capita iniquorum mortem. Eos qui crediderunt, inquit, et unctos et participes factos, servasti. In iniquorum vero Judæorum capita, hoc est, in principes et eminentiores mortem jaculatus es, per Romanos qui eos perdiderunt.

Excitasti vincula usque ad collum in finem. Hoc est, ligasti iniqua Judæorum capita propriorum peccatorum catenis, non ita quidem ut ex parte B cincti essent, verum ut per totum corpus et usque ad cervicem. Nam peccata ipsorum excitata contra ipsos, quando Deus voluit, ligarunt ipsos, adeo ut Romanis ipsos subjiceres (50), ut cervix eorum elata humiliaretur conficereturque. Hoc enim significat, quod ait, *Ad finem.* Sunt et charitatis vincula, quæ credentibus injiciens Dominus, cervicem ipsorum proprio jugo submittit. Excitavit et alia vincula Christus adversus Judam, quæ suæ cervici circumponens ille, finem reperit per strangulationem.

Vers. 14. *Diapsalma* (51). *Amputasti in defectione capita potentium, concutientur in ipsa. Aperient frenos suos, tanquam mendicus clanculum comedens.* Stuporem, inquit, et defectionem patiuntur potentes Israelis, deficientes a recta prudentia, furentes C et insanientes adversum te : eam ob rem resecuisti eos a tua proprietate, a tuo jure (52), cum antea pars tua essent. Vel quod alium alio dispersceris, id quod David ait : *Dispartias eos in vita ipsorum* [a]. Non immerito autem capita ipsorum intellectus capacia, resecta sunt a societate, quæ illis cum Verbo fuit, quoniam pro Verbo non sapuerunt, sed Verbo potius restiterunt. Sive quod te signa exhibente, ipsi obstupescent ac animo deficient, concussionemque facient conturbati, ac discindentur, alii quidem dicentes : *Quoniam seducit turbam* . alii autem : *Quoniam nunquam sic quisquam locutus est, ut homo ille* [b], D Occulte quidem capita, ipsi principes obmurmurabunt tibi, aperientes labia et dentes quæ sunt frena oris : æque atque mendicus non audens propalam accipere cibum, velato eum ore intus comminuit. Timebant enim vulgus, Jesu Christo benevolum atque favens, propter miracula. Quin etiam apostoli, antea non audentes loqui, verum conclusi in cœnaculo superiore clanculum edentes credentium ipsis salutem, tanquam equi aperientes frenos oris, hoc

[a] Psal. xvi, 5. [b] Joan. vii, 12, 46.

Variæ lectiones et notæ.

(50) *Subjiceret.*

(51) Vox hæc διάψαλμα, *diapsalma*, abest a Græco textu.

(52) *A tua familiaritate et amicitia.*

Digitized by Google

est, humanos timores abjicientes, cum fiducia et libertate prædicabant verbum. Forsan et ad Deum propheta inquit : Quoniam in defectione quadam et succensente affectu constitutus, Domine, discidisti eos. Revera enim ita eos discidit, **170** si modo punit Deus. Atqui ipsi nosipsos punimus, cui rei testimonium dicit, qui ait : *Deus mortem non fecit* [82]. Et rursum alius : *Tentat autem Deus neminem. Quilibet autem tentatur a propria cupiditate* [82a].

A τοὺς ἀνθρωπίνους φόβους ἀπορρίψαντες, ἐν παῤῥησίᾳ κηρύξουσι. Τάχα δὲ καὶ πρὸς τὸν Θεὸν ὁ προφήτης φησὶν, ὅτι Ἐν ἐκστάσει τινὶ καὶ θυμώδει διαθέσει γεγονὼς, ὦ Κύριε, διέκοψας αὐτούς· τῷ ὄντι γὰρ, εἴπερ (55) Θεὸς κολάζει· ἀλλ' αὐτοὶ ἑαυτοὺς κολάζομεν· καὶ μαρτυρεῖ ὁ εἰπών· *Θεὸς θάνατον οὐκ ἐποίησεν*· καὶ αὖθις ἕτερος, *Πειράζει δὲ Θεὸς οὐδένα· ἕκαστος δὲ πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυμίας.*

Vers. 15. *Ac duxisti in mare equos tuos, turbantes aquas multas.* Servavit rursus sermo suum in mutatione schema. Frena enim recordatus, nunc equos ipsos apostolos vocat, quos in hujus vitæ mare Dominus perduxit, qui gentes aquas exsistentes, propter udam et dissolutam vitam suam turbant, dum docent futurum esse judicium, operumque in præsente vita transactorum reddendam persolutionem. Hoc modo Paulus Athenienses turbavit, cum diceret : *Tempora ignorantiæ posthabens Deus, jam nunc omnibus annuntiat, in melius permutare animi sententiam ac resipiscere. Nam statuit diem in qua judicaturus est terrarum orbem* [83]. Turbabant etiam alio modo apostoli, quando propter prædicatum verbum, ipsos inter sese mutuo dissidere sanguine junctos faciebant. Quod et Dominus affirmavit : *Non veni mittere pacem, sed gladium* [84]. Multæ vero aquæ sunt gentes, respectu Israelis, qui unius velati gentis instar habet. In principio sane Dominus dixit : *In viam gentium ne abieritis* [85]. At ubi elevatus est in cruce et resurrexit : *Docete*, inquit, *omnes gentes* [86].

B

Καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου, ταράσσοντας ὕδατα πολλά. Τετήρηκε πάλιν ὁ λόγος τῇ τροπῇ τὸ οἰκεῖον σχῆμα. Χαλινῶν γὰρ μνημονεύσας, νῦν ἵππους ὀνομάζει τοὺς ἀποστόλους, οὓς εἰς τὴν τοῦ βίου θάλασσαν ἐπεβίβασεν ὁ Κύριος, τὰ ἔθνη, ὕδατα ὄντα διὰ τὸν ὑγρὸν καὶ διαλελυμένον αὐτῶν βίον, ταράσσοντας, ἐν τῷ διδάσκειν αὐτοὺς, ὅτι κρίσις ἔσται, καὶ τῶν ἐν τῷ παρόντι βίῳ ἔργων ἀνταπόδοσις. Οὕτω γοῦν καὶ Παῦλος τοὺς Ἀθηναίους ἐτάραξεν, εἰπών· *Τοὺς μὲν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, τὰ νῦν παραγγέλλει πᾶσι μετανοεῖν, ὅτι ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην.* Ἐτάραττον δὲ καὶ ἄλλως οἱ ἀπόστολοι, καθὸ τὰ γένη κατ' ἀλλήλων διίστων διὰ τὸν λόγον, ὃ καὶ ὁ Κύριος εἶπεν· *Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν.* Πολλὰ δὲ ὕδατα, τὰ ἔθνη, ὡς πρός γε τὸν Ἰσραὴλ ἓν ἔθνος ὄντα. Ἐν ἀρχῇ μὲν οὖν ὁ Κύριος ἔλεγεν· *Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε*· ἐπεὶ δὲ ἐπήρθη ἐν τῷ σταυρῷ καὶ ἀνέστη, *Μαθητεύσατε*, φησὶ, *πάντα τὰ ἔθνη.*

Vers. 16. *Observavi, et conterritum est cor meum, a voce precationis labiorum meorum, et ingressus est tremor in ossa mea, et subter me turbata est habitudo mea. Quiescam in die tribulationis meæ, dum ascendero ego ad populum peregrinationis meæ.* Custodiam vocant prophetæ mentis suæ observationem et attentionem quam faciunt, dum Spiritus eis insonat futurorum cognitionem, æque atque supra dixit : *Super custodiam meam stabo.* Ait ergo : Quia veluti custodivi mentem meam a terrenis curis, in te mentem meam figens, revelasti mihi quænam sint passuri, qui ex Israel non crediderunt, ac eam ob rem concidit cor meum : etenim ceu compatiens, tristor ob contribules et fratres meos. Vel, quia quæ revelasti oranti mihi custodivi, hoc est, consideravi et servavi apud meipsum, quæ etiam posthac prolocutus sum orans : ac ideo conterritum est cor meum tremorque apprehendit ossa mea, et subter et ex profundo turbata est tota habitudo et constitutio animæ meæ. Deinde mox Spiritu imbutus ait : quoniam Non videbo hæc quæ Israelitis contingent. Tum

C

Ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ καρδία μου, ἀπὸ φωνῆς προσευχῆς χειλέων μου. Καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου, καὶ ὑποκάτωθέν μου ἐταράχθη ἡ ἕξις μου (54). Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεώς μου, τοῦ ἀναβῆναί με εἰς λαὸν παροικίας μου. Φυλακὴν καλοῦσιν οἱ προφῆται τὴν κατὰ νοῦν τήρησιν καὶ προσοχὴν ἣν ποιοῦνται, ὁπηνίκα τὸ Πνεῦμα αὐτοῖς ἐνηχεῖ τῶν ἐσομένων τὴν γνῶσιν· ὥσπερ οὖν καὶ αὐτὸς οὗτος ἔφη ἀνωτέρω· *Ἐπὶ τῆς φυλακῆς μου στήσομαι.* Φησὶν οὖν, ὅτι Ὡς ἐφύλαξα τὸν νοῦν μου ἀπὸ τῶν γηΐνων φροντίδων, προσευχόμενός σοι, ἀπεκάλυψάς μοι, ἃ πείσονται οἱ ἐξ Ἰσραὴλ ἀπιστήσαντες, καὶ διὰ τοῦτο συμπέπτωκεν ἡ καρδία μου· ὡς συμπαθὴς γὰρ ὢν, λυπεῖται ἐπὶ τοῖς ὁμοφύλοις. Ὅτι ἃ μοι ἀπεκάλυψας προσευχομένῳ, ἐφυλαξάμην, τουτέστιν ἀπεσκόπησα καὶ ἐτήρησα παρ' ἐμαυτῷ, ἃ καὶ ἐξεφώνησα μετὰ ταῦτα προσευχόμενος. Καὶ διὰ τοῦτο ἐπτοήθη ἡ καρδία μου, καὶ τρόμος κατέλαβε τὰ ὀστᾶ μου, καὶ κάτωθεν καὶ ἐκ βάθους ἐταράχθη πᾶσα ἡ ἕξις καὶ κατάστασις τῆς ψυχῆς μου. Εἶτα εὐθὺς ἐνηχηθεὶς ὑπὸ τοῦ Πνεύματος, φησὶν, ὅτι Οὐκ ὄψομαι ταῦτα, ἃ τοῖς

D

[82] Sap. I, 13. [82a] Jac. I, 13, 14. [83] Act. XVII, 30. [84] Matth. X, 34. [85] Matth. X, 5. [86] Matth. XXVIII, 19.

Variæ lectiones et notæ.

(55) Εἴπερ οὖ, Cod. Bav.

(54) Ἐν ἐμοὶ ἐταράχθη ἡ ἰσχύς μου, *in me turbata est vis mea.* Col. Ven.

Digitized by Google

Ἰσραηλίταις συμβήσεται. Τότε γὰρ, ὅτε ἐπιστῇ ἡ ἡμέρα τῆς κακῶν ἐπαγωγῆς, ἥτις ἐστὶν ἐμοὶ ἡμέρα θλίψεως, ἀναπαύσομαι τουτέστι, τελευτήσω τὴν ζωήν (θάνατος γὰρ ἀνδρὶ ἀνάπαυσις), καὶ ἀναβήσομαι εἰς τὴν ἄνω πόλιν, ἔνθα ἐστὶν ὁ λαὸς τῶν ἁγίων, ὁ παροικίαν ἡγησάμενος τὴν ἐνταῦθα ζωὴν, ἣν καὶ αὐτὸς τοιαύτην ἡγήμαι. Οὕτω καὶ Δαβὶδ, *Πάροικος ἐγώ εἰμι*, φησὶ, *καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου*, τοὺς πατριάρχας πάντως αἰνιττόμενος, καὶ τοὺς μετ' αὐτοὺς ἁγίους. Τινὰ δὲ τῶν ἀντιγράφων ἔχουσιν· *Εἰς ναὸν παροικίας μου*· καὶ νοήσεις, ὅτι Ἀναβήσομαι εἰς τὸν ναὸν τὸν οὐράνιον ἀπὸ τῆς παροικίας μου ταύτης, καὶ ἐπιποθῶν τὴν ἀνάλυσιν, λέγει τὸ, *Ἀναπαύσομαι*. Ἐπειδὴ γὰρ προγνοὺς ἃ τῷ γένει αὐτοῦ συμβήσεται, ἐλυπεῖτο, φησί· Τότε ἀναπαύσομαι ἀπὸ τῆς θλίψεως, ἐὰν ἀναλύσω ἀπὸ τῆς παροικίας μου· ὥστε γενέσθω τοῦτο.

enim quando institerit dies afflaturæ calamitatis, quæ est mihi dies tribulationis, quiescam, hoc est, ultimum vitæ diem claudam : mors enim homini est requies et cessatio. Et ascendam in supernam urbem, ubi est populus sanctorum, vitam hanc peregrinationem esse existimans, quod et ipse ego consimiliter **171** puto. Sic et David ait : *Advena ego sum et peregrinus, itidem ut omnes patres mei* [87] : patriarchas omnino clanculum et obscure significans, aliosque qui eos consecuti sunt, sanctos. Quædam hic exemplaria habent : *Ad templum peregrinationis meæ*. Tum sic intelliges : Ascendam in templum cœleste, a peregrinatione mea hac ; desideransque resolutionem ex mortali corpore dicit, *Requiescam*. Cum enim præcognovisset, quæ generi suo et genti eventura essent, animo conturbato dixit : Tum ego requiescam ab afflictione, si dissolvar a peregrinatione hac (55).

Διότι συκῆ οὐ καρποφορήσει καὶ οὐκ ἔσται γεννήματα ἐν ταῖς ἀμπέλοις. Ψεύσεται ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν. Τὴν αἰτίαν παρίστησι τῆς θλίψεως, δι' ἣν καὶ ἐταράχθη, καὶ φησιν, ὅτι Διὰ τοῦτο λυποῦμαι, ὅτι ἡ συκῆ οὐκέτι καρποφορήσει, Ἱερουσαλήμ. Καὶ γὰρ ἐλθὼν εἰς αὐτὴν ὁ Χριστὸς, οὐχ εὗρε καρπὸν ἐν αὐτῇ, εἰ μὴ φύλλα μόνα, τὴν ἔξωθεν δηλαδὴ ἐπίδειξιν καὶ ὑπόκρισιν τῆς θεοσεβείας· ὡς αὖθις ἐν παραβολαῖς εἶπε· *Συκῆν τις εἶχεν, ἣν διὰ τὴν ἀκαρπίαν ἐκτεμεῖν ἠβουλήθη. Ὁ δὲ γεωργὸς ὀλίγον ἐνδοθῆναι χρόνον ἱκέτευσε, ὥστε ἢ καρποφορῆσαι, ἢ πρόῤῥιζον ἐκτμηθῆναι.* Ἀλλ' οὐδὲ ὁ ἀμπελὼν καρποφορήσει. Ἀμπελὼν δὲ ὁ λαὸς, ὡς καὶ ὁ Ἡσαΐας· *Καὶ ὁ ἀμπελὼν Κυρίου Σαβαὼθ, οἶκος τοῦ Ἰσραὴλ ἐστι, καὶ ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον ἠγαπημένον.* Ἐλαίαν δὲ ὀνομάζει τοὺς Φαρισαίους καὶ Σαδδουκαίους, οἳ ἐπὶ τῷ τῆς δικαιοσύνης ὀνόματι σεμνυνόμενοι, ἔρημοι τῶν ταύτης ὑπῆρχον καρπῶν (56). Ὅτι δὲ ἡ ἐλαία εἰς εἰκόνα δικαίου παραλαμβάνεται, μαρτυρεῖ καὶ Δαβὶδ, *Ἐγὼ ὡσεὶ ἐλαία κατάκαρπος*, λέγων. Καὶ πᾶσα δὲ ἡ Συναγωγὴ ἐλαία, ὡς Ἱερεμίας φησίν· *Ἐλαίαν εὐσκιον* (57) *τῷ εἴδει ἐκάλεσε Κύριος τὸ ὄνομά σου.* Αὕτη οὖν τὸ ἔργον αὐτῆς ἐψεύσατο· παιδαγωγούμενοι γὰρ εἰς Χριστὸν διά τε νόμου καὶ προφητῶν, οὐ προσῆκαντο τοῦτον. Διὰ τοῦτο καὶ ἐξεκλάσθησαν οἱ κλάδοι αὐτῶν· ἐνεκεντρίσθησαν δὲ οἱ τῆς ἀγριελαίας (58) ἐθνικοί. Ἀλλὰ καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν, οἱ ταπεινότεροι τοῦ λαοῦ, πρὸς οὓς λέγεται· *Νεώσατε ἑαυτοῖς νεώματα, καὶ μὴ σπείρετε ἐπ' ἀκάνθαις.* Οὗτοι οὖν τοσοῦτον ἀνεμόφθοροι γεγόνασι, μηδένα

Vers. 17. *Eo quod ficus non proferet fructum, nec erunt germina in vitibus : olea negabit opus suum, et arva non producent cibum.* Afflictionis suæ causam exhibet, quam propter sit turbatus, dicens : quoniam idcirco mœreo, quod ficus non porro proferet fructum, ipsa nimirum Jerusalem. Etenim ubi ad ipsam venisset Christus, nullum in ea fructum reperit, præter sola folia, externam videlicet demonstrationem et apparentiam ac simulationem pietatis. Quemadmodum et rursus in parabolis dixit : *Ficum quispiam habebat, quam ob sterilitatem exsecare voluit. Agricola vero pauxillum temporis ficui donari precatus est, ut vel fructum ferret, vel radicitus exstirparetur. Sed neque vinea ipsa fructum protulit* [88]. Vinea vero est populus, ut Isaias ait : *Vinea Domini*, inquit, *exercituum, domus Israel est, et domus Juda, plantula dilecta* [89]. Oleam vero nominat Pharisæos et Sadducæos, qui justitiæ quidem nomine conspicui et graves videri volebant, interim tamen ejusdem fructibus vacabant, et nudi ab ipsis erant. Quod vero olea pro imagine justi assumatur, David etiam testatur : *Ego veluti olea fructifera* [90], inquiens. Universa pariter Synagoga olea est, ut Jeremias ait : *Oleam umbrosam specie vocavit Dominus nomen tuum* [91]. Ipsa itaque opus suum mentita est, negavit, fraudavit. Instituti enim, ac puerorum instar ducti ad Christum per legem et prophetas, non accesserunt eum : propter hoc ipsum fracti sunt rami ejus, et insiti sunt ad oleastrum pertinentes infideles antea gentes. Præterea arva non proferent cibum, seu fruges in alimoniam, hoc est, te-

[87] Psal. xxxviii, 3. [88] Luc. xiii, 6, 7. [89] Isa. v, 7. [90] Psal. li, 10. [91] Jerem. xi, 16.

Variæ lectiones et notæ.

(55) Plura exhibet Cod. Bav. et Ven. *quare fiat hoc.*

(56) Καλῶν, *bonis*, Cod. Bav.

(57) Ὡραίαν, *pulchram*, Cod. Bav.

(58) Ἀγριελαίου, Cod. Bav.

Digitized by Google

niores et inferiores in populo, ad quos dicitur: *Novate vobisipsis novalia, nec seminate super spinas* [91]. Isti ergo adeo a ventorum turbine perierunt, nullum divinum fructum operantes, ut ne quantum ad cibum sufficiat, parare possint.

A καρπὸν θεῖον γεωργήσαντες, ὥστε οὐδὲ τὸ εἰς βρῶσιν σύταρκες γεωργῆσαι.

Defecerunt pecudes præ cibi penuria. Simpliciores et minus astuti, sive vitiis vacantes, probiores ac digni ut a plura intelligentibus regantur, defecerunt, eo quod non haberent cibum. Nec enim erat, qui cibum eis apponeret, perinde ac propheta dixit: *Adducam famem super terram, non famem panis, neque sitim aquæ, sed famem audiendi verbi Domini* [92].

Ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα. Οἱ ἁπλούστεροι καὶ εὐηθέστεροι, εἴτουν ἀκακώτεροι, καὶ τοῦ ποιμαίνεσθαι ὑπὸ τῶν συνετωτέρων ἄξιοι, ἐξέλιπον ὑπὸ τοῦ μὴ ἔχειν βρῶσιν· οὐκ ἦν γὰρ ὁ βρῶσιν αὐτοῖς παρατιθείς, καθὰ καὶ ὁ προφήτης εἶπεν· Ἐξάξω λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου.

172 *Et boves non erunt apud præsepia.* Boves sunt legis doctores, levitæ, sacerdotes, et sacerdotum principes. Nam et Apostolus illud, *Non alligabis os bovi trituranti* [93], ad doctores retulit. Siquidem illi cognitionis cibum, obscuritatis litteræ operimentis tectum, dedignati sunt nudare, aliisque præponere, ut perspicuus fieret, et commode intelligeretur. Accipiebant quidem et ipsi a populo oblationes, primitias dico et decimas, et quæ e sacrificiis ad aras, veluti ad præsepia afferebantur. Neque igitur præsepia et aræ exsistent, neque hujusmodi boves. Quia vero quædam exemplaria ascriptum hic habent, *Ex sanatione ipsorum*: intelliges ita, quod sanatio ipsorum fuerit Christus: quem simul ac non susceperunt, ex Christo ipsis contigit ut deficerent; nam is tradidit eos funditus ad interitum. Sunt qui hunc locum sic acceperint: quod postquam propheta meminerit dissolutionis, in posterum de constitutione et conditione quæ illic sit, verba faciat, (59) utpote ubi non sit opus iis quibus hic egemus, neque corruptibili fructu, neque animantibus.

Καὶ οὐκ ὑπάρξουσιν βόες ἐπὶ φάτναις. Βόες οἱ νομοδιδάσκαλοι, Λευῖται, ἱερεῖς, καὶ ἀρχιερεῖς. Καὶ ὁ Ἀπόστολος γὰρ τὸ, Οὐ φιμώσεις βοῦν ἀλοῶντα, εἰς τοὺς διδασκάλους διεδέξατο. Οὗτοι γὰρ τὸν τῆς γνώσεως σῖτον τοῖς τῆς ἀσαφείας τοῦ γράμματος περιβλήμασι καλυπτόμενον, ἐταράχθησαν ἀπογυμνοῦν, καὶ προτιθέναι τοῖς ἄλλοις σαφῆ καὶ εὐνόητον. Ἔχουσι μέντοι καὶ αὐτοὶ τὰς ἀπὸ τοῦ λαοῦ ὠροφορίας, τὰς ἀπαρχάς φημι, καὶ τὰς δεκάτας, καὶ τὰς ἐκ τῶν θυσιῶν, οἷα ἐν φάτναις καὶ θυσιαστηρίοις προσαγόμενα. Οὔτ' οὖν φάτναι καὶ θυσιαστήρια ὑπάρξουσιν, οὔτε βόες τοιοῦτοι. Ἐπεὶ δέ τινα τῶν ἀντιγράφων ἔχουσι προσγεγραμμένον τὸ, Ἐξ ἰάσεως αὐτῶν, νοήσεις, ὅτι ἴασις μὲν αὐτῶν ἦν ὁ Χριστός· ἐπεὶ δὲ τοῦτον οὐ προσεδέξαντο, ἐκ τοῦ Χριστοῦ συνέβη αὐτοῖς τὸ ἐκλελοιπέναι. Αὐτὸς γὰρ αὐτοὺς πανωλεθρίᾳ παρέδωκε. Τινὲς δὲ ἐνόησαν, ὅτι ἐπειδὴ ἐμνήσθη ὁ προφήτης τοῦ ἀναλῦσαι, ἀφηγεῖται λοιπὸν περὶ τῆς ἐκεῖ καταστάσεως, ὅτι οὐδὲν τῶν ἐνταῦθα ἔχει ἡ ἐκεῖσε κατάστασις.

B

C

Vers. 18. *Ego vero in Domino exsultabo, lætabor in Deo Servatore meo.* Contristatus sum, inquit, propter cognatos meos secundum carnem, talibus ac tantis malis tentandos. Attamen reputans ego mecum gloriam Dei, omnibus hominibus manifestandam, lætor et exsulto, hoc est, exsilio præ gaudio; ἀγαλλιᾷν enim est idem, quod σκιρτᾷν, id est, saltare, quod est gaudii quædam intensio. Intellige autem, quod veluti ex persona fide justificatorum hæc oratio proficiscatur. Tantummodo enim talia dicit: quod quidam ex Israel operibus exspectantes justificationem, sic repulsi sint: ego vero ethnicus non ex operibus justitiæ quæ feci, sed secundum ipsius misericordiam, et per ejus gratiam servatus in ipso exsultabo. Simile est ei quod ab Apostolo dicitur: quoniam *Gentes ex fide inierunt justitiam. Israel autem persequens legem justitiæ, non prævenit: propterea quod non ex fide, sed veluti ex operibus legis* [94]. Et iterum: *Gentes pro misericordia glorificarunt Deum* [95].

Ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρι μου. Λελύπημαι, φησὶ, διὰ τοὺς συγγενεῖς μου, τοὺς κατὰ σάρκα, μέλλοντας τοιούτων καὶ τοσούτων κακῶν πειραθήσεσθαι. Πλὴν ἐννοῶν τὴν δόξαν τοῦ Θεοῦ τὴν πᾶσιν ἀνθρώποις ἐπιγνωσθησομένην, χαίρω καὶ ἀγαλλιῶμαι, τουτέστι σκιρτῶ. Ἀγαλλιᾶν γάρ ἐστι τὸ σκιρτᾶν, ὁ ἐπίτασις χαρᾶς ἐστι. Νόει δὲ ὅτι ὡς ἐκ προσώπου τῶν ἐν πίστει δικαιωθέντων ὁ λόγος. Μονονουχὶ γὰρ τοιαῦτά φησιν, ὅτι Οἱ μὲν ἐξ Ἰσραὴλ, ἐξ ἔργων προσδοκῶντες δικαιωθῆναι, οὕτως ἀπώσθησαν· ἐγὼ δὲ ὁ ἐθνικὸς, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν ἐποίησα, ἀλλὰ κατὰ τὸ αὐτοῦ ἔλεος καὶ ἐν τῇ αὐτοῦ χάριτι σωθεὶς, ἐπ' αὐτῷ ἀγαλλιάσομαι. Ὅμοιον τῷ ὑπὸ τοῦ Ἀποστόλου λεγομένῳ, ὅτι *Τὰ μὲν ἔθνη ἐκ πίστεως εὗρον τὴν δικαιοσύνην. Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης, οὐκ ἔφθασε* (60), *διότι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων νόμου*· καὶ πάλιν, *Τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν.*

D

[91] Jerem. IV, 3. [92] Amos VIII, 11. [93] I Cor. IX, 9. [94] Rom. IX, 30, 32. [95] Rom. XV, 12.

Variæ lectiones et notæ.

(59) *Quia nihil eorum, quæ hinc sunt, habeat ea quæ ibi sit, conditio.*

(60) Διώκων διαιοσύνην εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε, *persequens justitiam, ad legem justitiæ non properavit.* Cod. Ven.

Digitized by Google

Κύριος ὁ Θεός μου, δύναμίς μου. Ἀσθενὴς μέν ἐστιν ἡ ἀνθρωπίνη φύσις, φησὶν, ἀλλὰ ταύτην ἑνώσας ἑαυτῷ ὁ Κύριος καὶ Θεός μου, δυνατὴν ἀπεργάσεται. Οὕτω καὶ Παῦλος, *Πάντα ἰσχύω*, φησὶν, *ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ* · καὶ Δαβὶδ, *Ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ.*

Καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν. Τουτέστιν, Ἐν ἀσφαλείᾳ στήσει τοὺς πόδας μου, ὥστε ἱστασθαί με στερεὸν τῇ πίστει, δυνάμενον πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. Τὴν γὰρ συντέλειαν, *ἀσφάλειαν*, οἱ ἄλλοι ἡρμήνευσαν. Ἔοικε δὲ καὶ ὥσπερ ἐπί τινος δρομέως τοῦτο λέγειν. Δρόμον, φησὶ, τρέχω · ὁ Θεὸς οὖν τάξει τοὺς πόδας μου εἰς τὸ συντελέσαι τὸν δρόμον, ὥστε λέγειν μετὰ Παύλου · *Τὸν δρόμον τετέλεκα.* Τρέχουσι πολλοὶ, ἀλλὰ ἄτακτα · οἷόν εἰσιν οἱ ἀθλοῦντες μὲν, μὴ νομίμως δέ. Ὁ Θεὸς οὖν τάσσει τοὺς πόδας, ὅταν μὴ παρὰ τοὺς αὐτοῦ νόμους τρέχωμεν, μήτε διδάσκοντες παρὰ τὰς Γραφὰς, μήτε τὴν ἀρετὴν μετιόντες παρὰ τὰς ἐντολὰς αὐτοῦ · οἷον οἱ τὸν γάμον βδελυσσόμενοι καὶ τὰ κτίσματα.

Ἐπὶ τὰ ὑψηλά ἐπιβιβᾷ με (61), *τοῦ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτοῦ.* Ἀνώτερον, φησὶ, τῆς γῆς ποιεῖ με, καὶ τὰ ὑψηλὰ φρονεῖν διδάσκει, ὡς ἂν ἐκ τῶν ὑψηλοτέρων καταγωνίσωμαι τοὺς ἐχθρούς. Κάτω γὰρ ἱστάμενος, καὶ τῇ γῇ προσκείμενος, πῶς νικήσω τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις; Νικήσας δὲ, τότε ἄξιος ἔσομαι τοῦ ᾄδειν αὐτῷ. Οὐχ ὡραῖος γὰρ αἶνος ἐν στόματι ἁμαρτωλοῦ. Ὁ οὖν νικήσας τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐκεῖνος ᾄδει τῷ Θεῷ πνευματικωτέραν ᾠδὴν καὶ ἀϋλευτέραν [*f.* -λωτ.], ἄνευ τῆς τοῦ ὀργάνου συνεκφωνήσεως, νῷ μόνῳ προσομιλῶν τῷ Θεῷ, καὶ στόμα κατὰ στόμα λαλῶν. Ὁ δὴ εἰ μὲν ἐν τῷδε τῷ βίῳ γίνεται, εἰδεῖεν ἂν ὅπως γίνεται οἱ τούτου καταξιωθέντες · ἐν γοῦν τῷ μέλλοντι πάντως ἔσται, ὅτε οὐκ ἔσται σὰρξ, καὶ τὰ σαρκικὰ, ὅτε ὁ Θεὸς ἔσται τὰ πάντα ἐν πᾶσιν. Οὕτως καὶ Μωσῆς ὅτε οἱ Αἰγύπτιοι κατεποντίσθησαν, αὐτὸς μὲν ᾄδει μετὰ ἀνδρῶν · ἡ δὲ Μαρία τύμπανον ἀνακρούεται. Ἔτι γὰρ σωματικώτεροι οἱ τῶν μὴ τὰ πάντα ἀνδριζομένων ὕμνοι, καὶ τοῦ συμφυοῦς ὀργάνου δεόμενοι. Ἢ οὐ τοῦτο λέγει, ὅτι Μετὰ τὸ νικῆσαι τῇ ᾠδῇ ποιήσομαι, ἀλλ', Ἐν αὐτῷ τούτῳ τῷ ᾄδειν, καὶ δοξολογεῖν αὐτὸν, καὶ ἐπικαλεῖσθαι τὸ ὄνομα αὐτοῦ, νικήσω. *Ἐν τῷ ὀνόματι* γὰρ, φησὶ, *Κυρίου τοῦ Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα* · ὥσπερ οὖν οἱ ἀπόστολοι, ἐν τῷ ὀνόματι τοῦ Κυρίου ποιοῦντες τὰς δυνάμεις, ἐμεγαλύνοντο ὑπὸ τοῦ λαοῦ, καὶ τοὺς ἐχθροὺς ἐνίκων. Ἰστέον μέντοι, ὅτι τινὲς τὴν προσευχὴν τοῦ Ἀμβακοὺμ ἱστορικῶς νενοηκότες, περὶ τῆς ἐκ Βαβυλῶνος ἐπανόδου ταῦτα τὸν προφήτην εἰπεῖν ἔφασαν · καὶ οὐ διοισόμεθα πρὸς αὐτοὺς,

A

B

C

D

Vers. 19. *Domine Deus meus, potentia mea.* Imbecilla quidem est humana natura, inquit, sed hanc sibi unitam potentem efficiet Dominus Deus. Sic et Paulus : *Omnia possum*, ait, *in eo qui me confortat Christo* [97]. Ac David : *Quoniam gloriatio potentiæ ipsorum tu es* [98].

Et ordinabit pedes meos ad consummationem. Hoc est, ad securitatem statuet pedes meos, ut stem ego solidus in fide, ac calcare queam, et ambulare super serpentes et scorpios. Consummationem enim alii interpretati sunt, *securitatem*. Videtur autem veluti de quodam cursore hæc **173** dicere. Cursum inquit curro : Deus igitur ordinavit pedes meos, ut cursum perficiam, veluti cum Paulo dicat : *Cursum perfeci* [99]. Currunt multi, sed inordinate, quales sunt qui in stadio certant athletæ, non legitime tamen. Deus igitur pedes nostros collocat, si quando ejus leges non prætercurramus, neque doceamus quippiam præter Scripturas, neque virtutem etiam aggrediamur, citra mandata ejus, veluti faciunt qui nuptias exsecrantur et creaturas Dei bonas.

Ad alta perducit me, ut vincam in cantione ejus. Terra, inquit, me superiorem facit, ac sublimia me sapere docet : ut ceu ex editiore loco debellem hostes. Infra enim constitutus, et terræ adjacens, quomodo vincam spiritualia nequitiæ in cœlestibus? Victoria obtenta, non immerito tum canam ei. Nec enim speciosa laus est in ore peccatoris. Qui ergo vicerit principatus et potestates, ille etiam canit Deo spiritualiorem et puriorem cantilenam, cithara instrumentum prolocutionis, sola mente cum Deo colloquens, et ore ad os loquens. Quod siquidem jam et in hac vita fiat, noverint quomodo fiat, qui tali victoria divinitus decorati sunt. In futura profecto vita indubitanter hoc continget, quando non porro caro et carnalia supererunt, quando Deus omnia in omnibus erit. Sic et Moses cum Ægyptii in mare submersi essent, ipse quidem cum suis canit. (62) Musica vero et tympanum strepit : hymni enim eorum qui non omnino fortes sunt, corpus magis spirant, ejusdem secum genii instrumenti indigentes. Vel non hoc dicit, quod Post victoriam carmen pangam, verum In hoc ipso cantu, et glorificatione Dei ac invocatione nominis ejus, victoria potiar : *In nomine* enim, inquit, *Dei nostri magnificabimur* [1]. Perinde atque apostoli in nomine Domini virtutes facientes, magnificabantur a populo, et hostes suos vincebant. Animadvertendum quod quidam, precationem hanc Habacuc historice intelligentes, de reditu ex Babylone hæc prophetam dicere confirmarunt. (63) Adversum quos Paulum nos proferemus dicentem, illis

[97] Philipp. IV, 13. [98] Psal. LXXXVIII, 8. [99] II Tim. IV, 7. [1] Psal. XIX 6.

Variæ lectiones et notæ.

(61) Ἐπιβῶμεν, Cod. Ven.

(62) *Maria vero tympanum pulsat.*

(63) *Quibus profecto non contradicimus, dicente Paulo*, etc.

Digitized by Google

in figura talia contingere, nobis autem pro re vera scripta esse. Nisi enim umbratilis pictura præcederet, imago non perficeretur. Præterea pleraque alia in hac precatione dicta non conveniunt omnino iis quæ historice transacta sunt. Cæterum de iis qui volet, pro suo arbitratu judicet. Isthuc vero cunctis est perspicuum, quod Spiritus Dei qui Scripturas locutus est, per omnia omnes juvare vult et per ea quæ historice dicuntur, et per ea quæ spiritualiter intelliguntur. Non enim sic se habent res nostræ, ut Græcorum, ut allegoria amplitudinem et splendorem teneat, ipsum vero scriptum, et id quod per verba dicitur, gravitate et honestate careat atque splendore, sed plenum **174** sit deformitate. Nam et scriptum hic sanctum est, animabusque commodans, in iis qui recte audiunt. Quorum in numero faxit. Deus ut et nos simus, per Spiritum sanctum, cui aperta loquenti, et occultas sententias retegenti, et per utraque sanctificanti, gloria in sæcula. Amen.

Habacuc propheta ex agro Bexzochar e tribu Simeon oriundus. Cum ante expugnationem prospiceret captivitatem Hierosolymæ, tum ut qui maxime, luxit, cum super civitatem, tum super populum ejus (66) Appropinquante autem Nabuchodonosor Hierosolymis, ut dissiparet eas, fugam dedit ille in Ostracinam (67), et manebat illic incola in terra Israel (68). Ast ubi Chaldæi Hierosolymis solventes, remearunt in patriam suam (69) cum exuviis atque captivis, et reliquiæ urbis Hierosolymæ in Ægyptum descenderunt, ille, reversus in patriam, ministravit messoribus sui agelli, seminaverat enim ordea (71). Cæterum statim ut esculenta præparaverat, vaticinatus est suis, dicens : Proficiscar ipse in longinquam terram, et revertar ocyus : verumtamen si cunctavero diutius, apponite nostris messoribus quod manducent. Et translatus repente in Babylonem, exhibuit prandium Danieli, qui erat in cavea cum leonibus (72). Deinde egressus astitit messoribus dum jam cœnarent, neque communicavit cuiquam vel tantillum de eo quod contigerat. Annuntiavit præterea Habacuc, paucis post diebus postliminio ex Babylone Hierosolymam populum remeaturum. Objecit porro ostentum iis qui Judæam habitant, quod scilicet visuri essent in templo grande lumen lucide micans, et ita contemplarentur gloriam Dei. Prædixit item de consummatione templi, quod a populo occidentali foret devastatio ejus Hierosolymis : Tum carbasus, inquit, Dair in duas findetur particulas. Geminarum item columnarum capi-

A τοῦ Παύλου εἰπόντος τυπικῶς μὲν ἐκείνοις συμβαίνειν, ἡμῖν δὲ τῷ ὄντι γεγράφθαι. Εἰ μὴ γὰρ ἡ σκιογραφία προβαίνῃ, οὐκ ἂν ἡ εἰκὼν ἐπιτελεσθείη. Πλὴν ἀλλὰ πολλῶν τ' [*f.* πολλὰ τῶν] ἐν τῇ προσευχῇ λεγομένων, ἀσύμβατά εἰσι τοῖς ἱστορικῶς γενομένοις. Ἀλλὰ περὶ μὲν τούτων ὁ βουλόμενος ὅπως; ἂν ἐθέλοι, κρινέτω· ἐκεῖνο δὲ πᾶσι πρόδηλον, ὅτι τὸ τὰς Γραφὰς λαλῆσαν Πνεῦμα τοῦ Θεοῦ, διὰ πάντων πάντας ὠφελεῖσθαι βούλεται, καὶ διὰ τῶν ἱστορικῶς λεγομένων, καὶ διὰ τῶν πνευματικῶς νοουμένων. Οὐ γάρ εἰσι καθάπαξ τὰ ἡμέτερα ὡς τὰ τῶν Ἑλλήνων, ἵνα ἡ μὲν ἀλληγορία τὸ σεμνὸν ἔχῃ, τὸ δὲ ῥητὸν ἄσεμνον εἴη καὶ ἀσχημοσύνης γέμον· ἀλλὰ καὶ τὸ ῥητὸν ἐνταῦθα ἅγιον καὶ ψυχωφελὲς τοῖς γε καλῶς ἀκούουσιν. Ὧν καὶ αὐτοὶ εἴημεν ἐν ἁγίῳ B Πνεύματι, τῷ καὶ τὰ φαινόμενα λαλήσαντι, καὶ τὰ κεκρυμμένα τῶν νοημάτων ἀνακαλύπτοντι, καὶ δι' ἀμφοτέρων ἁγιάζοντι, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀμβακοὺμ ὁ προφήτης (64) ἦν ἐξ ἀγροῦ (65) Βεθεζουχὰρ, φυλῆς Συμεών. Καὶ εἶδε πρὸ τῆς αἰχμαλωσίας περὶ τῆς ἁλώσεως τῆς Ἱερουσαλὴμ, καὶ ἐπένθησε σφόδρα. Καὶ ὅτε ἦλθε Ναβουχοδονόσορ εἰς Ἱερουσαλὴμ, ἔφυγεν εἰς Ὀστραγένην, καὶ ἦν πάροικος ἐν γῇ Ἰσμαήλ. Ὡς δὲ ἐπέστρεψαν οἱ Χαλδαῖοι, καὶ οἱ κατάλοιποι οἱ ὄντες ἐν Ἱερουσαλὴμ, κατέβησαν εἰς Αἴγυπτον, ἦν οὗτος παροικῶν τὴν γῆν αὐτοῦ καὶ λειτουργῶν θερισταῖς τοῦ λαοῦ αὐτοῦ (70). Ὡς δὲ ἔλαβε τὸ ἔδεσμα ἀπενέγκαι τοῖς ἐργάταις, C προεφήτευσε τοῖς Ἰουδαίοις, εἰπών· Πορεύομαι εἰς γῆν μακρὰν, καὶ ταχέως ἐλεύσομαι. Ἐὰν δὲ βραδύνω, ἀπενέγκατε τοῖς θερισταῖς τὸ ἄριστον αὐτῶν. Καὶ γενόμενος ἐν Βαβυλῶνι, καὶ δοὺς τὸ ἄριστον τῷ Δανιὴλ, ἐπέστη τοῖς θερισταῖς ἐσθίουσι, καὶ οὐδενὶ εἶπε τὸ γεγονός. Συνῆκε δὲ ἐκ τούτου, ὅτι τάχιον ἐπιστρέψει ὁ λαὸς ἐκ Βαβυλῶνος. Καὶ πρὸ δύο ἐτῶν τῆς ἐπιστροφῆς θανών, ἐτάφη ἐκεῖ ἐν ἀγρῷ (73). Ἔδωκε δὲ τέρας τοῖς ἐν τῇ Ἰουδαίᾳ, ὅτι δύψονται ἐν τῷ ναῷ φῶς, καὶ οὕτως ἴδωσι τὴν δόξαν τοῦ ναοῦ. Καὶ περὶ τῆς συντελείας τοῦ ναοῦ προεῖπεν, ὅτι ὑπὸ ἔθνους δυτικοῦ γενήσεται. Καὶ τότε τὸ ἄπλωμα τοῦ Δαβεὶρ εἰς μικρὰ διαῤῥαγήσεται, καὶ τὰ ἐπίκρανα τῶν δύο στύλων ἀφαιρεθήσεται· καὶ οὐδεὶς γνώσεται ποῦ ἔσονται. Ταῦτα δὲ ἐν τῇ ἐρήμῳ ἀπενεχθήσονται D ὑπὸ ἀγγέλου, ὅπου ἐν ἀρχῇ ἐπάγη ἡ σκηνὴ τοῦ μαρτυρίου, καὶ τοῖς ἐπὶ τέλει γνωσθήσεται Κύριος (74).

Variæ lectiones et notæ.

(64) Deest προφήτης in Cod. Ven.

(65) Βεθζοῦ γὰρ, Cod. Ven.

(66) Desunt in utroque Cod. verba Latinis his, *cum super civitatem, tum super populum ejus*, respondentia.

(67) *Ostragenem.* Ex Cod. Bav. et Ven.

(68) *Ismahel.* Ex Cod. Bav. et Ven.

(69) Plura legisse videtur Lonicerus.

(70) Lonicerus legisse videtur ἀγροῦ αὐτοῦ cum *agelli sui* reddiderit. Sed uterque Cod. Ven. et Bav. habet λαοῦ αὐτοῦ, *populi sui.*

(71) Desunt in Græco textu verba Latinis illis *seminaverat enim ordea* respondentia.

(72) Verba *qui erat in cavea cum leonibus* neutro ex Cod. suppetunt.

(73) *Et duobus ante regressum annis vita functus, sepultus est ibi in agro.* Sic ex utroque Cod. Lonicerus autem hæc rejecit ad finem.

(74) Quædam alia hic legit Lonicerus.

Digitized by Google

tella seu epistelia e medio auferentur. Neque quisquam cognoverit, ubi sint, quove pervenerint: sed in desertum efferentur ab angelis, ubi nuper compactum erat martyrii tabernaculum. Et in illis cognoscetur in consummatione Dominus, quod illuminabunt persecutos a serpente tanquam ab initio. Et servabit eos Dominus ab umbra mortis, eruntque in tabernaculo sancto. Hic propheta de adventu Domini non pauca vaticinatus est, atque ante biennium quam populus a Babylone rediisset, mors prophetam occupavit, et magnis honoribus in agro suo sepultus est.

ΤΟΥ ΑΥΤΟΥ

ΘΕΟΦΥΛΑΚΤΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ

ΕΞΗΓΗΣΙΣ ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΙΩΝΑΝ.

—

EJUSDEM

THEOPHYLACTI

ARCHIEPISCOPI BULGARIÆ

EXPOSITIO IN PROPHETAM JONAM.

—

ΥΠΟΘΕΣΙΣ.

Πάντας ἀνθρώπους δημιουργήσας ὁ τῶν ὅλων Θεὸς, πάντων ὁμοίως διατελεῖ προμηθούμενος, εἰ καὶ τὸ Ἰσραηλιτῶν ποτε πλέον ἐπιμελούμενος ὤφθη· καὶ τοῦτο δὲ εἰς κοινὴν πάντων εὐεργεσίαν ἐποίει. Ὥσπερ γὰρ αὐτοῦ τοῦ Ἰσραὴλ τὴν προσήκουσαν κηδεμονίαν ποιούμενος, οὐ πρὸς ἕνα ἕκαστον διαλεγόμενος τὸ πρακτέον ἐδείκνυ, ἀλλ' ἕνα τὸν ἄριστον ἐξ ἁπάντων ἐκλεγόμενος, νῦν μὲν Μωσέα τὸν μέγαν, νῦν δὲ Ἰησοῦν τὸν τοῦ Ναυῆ, ἄλλοτε δὲ τὸν Σαμουὴλ, καὶ ἐν ἑτέρῳ καιρῷ τὸν Ἠλίαν· καὶ δι' ἑκάστου τούτων ἢ νόμους τιθεὶς, ἢ θαύματα δεικνὺς, ἢ παραινέσεις προσφέρων, ἐπῳδήγει πρὸς σωτηρίαν· οὕτω τὸν Ἰσραηλίτην λαὸν τῶν ἄλλων ἐθνικῶν ἀποκρίνας, τῇ περὶ τούτων ἐπιμελείᾳ, καὶ ταῖς συχναῖς ἐπιφανείαις καὶ ἀῤῥήτοις θαυματουργίαις, ἐπεδείκνυ καὶ τοῖς ἄλλοις ἔθνεσι τὴν εἰς Θεογνωσίαν ὁδόν. Τοῦτο γὰρ ἡμᾶς διὰ τοῦ θεσπεσίου ἐδίδαξεν Ὡσηέ. *Σκοπὸς* γάρ, φησὶν, *Ἐφραὶμ μετὰ Θεοῦ προφήτης.* Οἷον γάρ τινα σκοπὸν καὶ προφήτην (75) προύβάλλετο τὸν λαὸν, εἰς τὴν τῶν ἄλλων ἐθνῶν ὠφέλειάν τε καὶ σω-

ARGUMENTUM.

175 Postquam omnes homines cunctarum rerum auctor Deus condidisset, omnium juxta peræque curam gessit, etiamsi majorem habere Israelitarum providentiam visus sit: hoc ipsum autem in commune mortalium beneficium faciebat. Ut enim Israelis convenientem curam gerens, non cuilibet disserens, neque cum quovis colloquia miscens, quid agendum foret demonstrabat: cæterum præstantissimum quemque ex omnibus eligens, jam magnum quidem illum Mosen, nunc vero Jesum filium Nave, alias Samuelem, ac alio tempore **176** Eliam: et per unumquemvis horum, vel legem sanciens, vel miranda ostendens, vel adhortationes afferens, vitam ad salutem sternebat. Sic Israeliticum populum ab aliis gentibus secernens sedula cura, et frequentibus apparitionibus, et inenarrabilibus miraculorum exhibitionibus, cæteris gentibus iter ad Dei cognitionem indicabat. Quod et per divinum vatem Osee nos docuit: *Speculator*, inquit, *Ephraim cum Deo propheta* [a]. Veluti enim metam

[a] Osee. IX, 8.

Variæ lectiones et notæ.

(75) *Velut enim scopum quemdam et prophetam proponebat populum, ad aliarum gentium utilitatem et salutem.*

Digitized by Google

quamdam proponebat populum aliis gentibus, cum in commoditatem, tum salutem. Non dissimilem ad rationem per hæc Ægyptus ineffabilem Dei potentiam didicit. Etenim in istorum perniciem, ad omnes homines fama perducens, cunctos demirari fecit, divinæ providentiæ justitiam. Hinc Rhaab scortum, cognitionis Dei splendore accepto, *Cecidit*, inquit, *ad exploratores timor vester, et tremor vester super nos. Audivimus enim quomodo Dominus Deus vester exsiccaverit ante conspectum vestrum mare Rubens, vosque perduxerit : quoniam Dominus vester, Deus in cœlo et super terram infra* [a]. Sic multo etiam post tempore, conspecta arca, vociferabantur alienigenæ cum trepidatione et horrore : *Hic est Deus qui percussit Ægyptum* [b], quique tot Assyriorum myriades ante mœnia Hierusalem trajecit, ac regem ipsorum Senacherim terga vertere cogens, cunctis mortalibus suam potentiam conspicuam reddidit : qui et in Babylone Danielem a leonum ferocia illæsum servavit, inque ardenti camino tres illos pueros retinuit, ac arrogantem istum regem Nabuchodonosor dementavit, omnesque illi subjectos docuit, quod solus Deus Israelis sit vere Deus. Cyri denique temporibus celebratissimum reditum populo suo donans, ac Hierusalem pristinæ felicitati restituens, ut et templum splendidius quam antea fuerit exstrueretur : omnibus tam longe quam prope sitis commonstravit, quod solus ipse abunde possit et curam et præsidatum suorum agere. Porro et in Macedonibus non semel vires suas per Macchabæos ostendit. Præterea per prophetas miracula exhibentes, ac futura prædicentes, gentium plerasque ad veritatem duxit. Hinc magnum Elisæum Syri metuerunt, tum cæcitate ab ipso percussi, tum Neeman leprosi curationem contemplati; tanta vatem hunc sunt reverentia prosecuti, ut ubi rex ipsorum in ægritudinem incidisset, Azaelem ad eum legarent, quem et propheta ille Syris (76) in regem unxit. Deinde fatidicum Hieremiam tanto honore dignatus est Babyloniorum rex, ut optionem illi habitationis daret; cunque alios omnes et reges et principes, captivos abduxisset, huic soli potestatem dedit secedendi quo vellet.

A τηρίαν. Οὕτω καὶ Αἴγυπτος διὰ τούτων τὴν ἄῤῥητον δύναμιν τοῦ Θεοῦ μεμάθηκε, καὶ τὸν ἐκείνων εἰς ὄλεθρον εἰς ἅπαντας τοὺς ἀνθρώπους ἡ φήμη διαγαγοῦσα, θαυμάζειν ἅπαντας παρεσκεύασε τῆς θείας προμηθείας τὸ δίκαιον. Ἐντεῦθεν Ῥαὰβ ἡ πόρνη τῆς θεογνωσίας δεξαμένη τὴν αἴγλην, ἔλεγε τοῖς κατασκόποις, ὅτι *Ἐπέπεσεν ὁ φόβος ὑμῶν, καὶ ὁ τρόμος ὑμῶν ἐφ' ἡμᾶς. Ἠκούσαμεν γὰρ ὅπως κατεξήρανε Κύριος ὁ Θεὸς τὴν Ἐρυθρὰν θάλασσαν ἔμπροσθεν ὑμῶν, καὶ διήγαγεν ὑμᾶς· ὅτι Κύριος ὁ Θεὸς ὑμῶν, Θεὸς ἐν οὐρανῷ ἄνω, καὶ ἐπὶ τῆς γῆς κάτω.* Καὶ χρόνοις πολλοῖς ὕστερον τὴν κιβωτὸν οἱ ἀλλόφυλοι θεασάμενοι, μετὰ δέους καὶ φρίκης ἐβόων· *Οὗτος ὁ Θεὸς ὁ πατάξας τὴν Αἴγυπτον.* Καὶ τῶν Ἀσσυρίων δὲ κατακοντίσας τὰς τοσαύτας μυριάδας, πρὸ τῶν τῆς Ἱερουσαλὴμ περιβόλων, καὶ τὸν βασιλέα αὐτῶν Σεναχηρεὶμ καταναγκάσας φυγεῖν, δῆλον πᾶσιν ἀνθρώποις τὴν οἰκείαν ἐποίησε δύναμιν· καὶ ἐν τῇ Βαβυλῶνι δὲ φυλάξας ἀλώβητον τοῖς λέουσι τὸν Δανιὴλ, καὶ τῆς καμίνου διασώσας τοὺς τρεῖς ἐκείνους παῖδας, καὶ τὸν ἀλαζόνα βασιλέα Ναβουχοδονόσορ κατέπληξε, καὶ τοὺς ὑπ' ἐκείνῳ πάντας δι' αὐτοῦ ἐδίδαξεν, ὡς μόνος Θεὸς, ὁ τῶν Ἰσραηλιτῶν Θεός. Καὶ ἐπὶ Κύρου δὲ τοῦ Πέρσου τὴν πολυθρύλλητον ἐπάνοδον τῷ λαῷ δωρησάμενος, καὶ τὴν Ἱερουσαλὴμ εἰς τὴν προτέραν ἐπαγαγὼν [*f.* ἐπαναγ.] εὐπραξίαν, ὥστε καὶ τὸν ναὸν οἰκοδομηθῆναι λαμπρότερον, ἐδήλωσε πᾶσι, καὶ τοῖς ἐγγὺς καὶ τοῖς μακράν, ὡς μόνος αὐτός ἐστιν ἱκανὸς προμηθεῖσθαι καὶ προστατεῖν τῶν οἰκείων αὐτῷ. Καὶ ἐπὶ τῶν Μακεδόνων δὲ πολλάκις τὴν οἰκείαν διὰ τῶν Μακκαβαίων ὑπέδειξε δύναμιν. Καὶ μέν τοι καὶ διὰ τῶν προφητῶν θαυματουργούντων, καὶ τὰ ἐσόμενα προλεγόντων, πολλὰ τῶν ἐθνῶν πρὸς τὴν ἀλήθειαν ὡδήγησεν. Οὕτω τὸν μέγαν Ἐλισσαῖον οἱ Σύροι ἐφοβήθησαν, ποτὲ μὲν ἀορασίᾳ πληγέντες ὑπ' αὐτοῦ, ποτὲ δὲ τοῦ Νεεμᾶν τὴν κάθαρσιν θεασάμενοι· τοσοῦτον γὰρ ἔσχον πρὸς τὸν προφήτην σέβας, ὥστε τὸν βασιλέα αὐτῶν, ἀῤῥωστίᾳ περιπεσόντα, πρὸς τοῦτον (77) ἀποστεῖλαι τὸν Ἀζαὴλ, ὃν οὗτος αὐτὸς ὁ προφήτης ἔχρισε βασιλέα τοῖς Σύροις. Καὶ τὸν θεσπέσιον δὲ Ἱερεμίαν τοσαύτης ἠξίωσε τιμῆς τῶν Βαβυλωνίων ὁ βασιλεὺς, ὡς αἱρεσιν αὐτῷ τῆς οἰκήσεως δοῦναι· καὶ τοὺς μὲν ἄλλους πάντας βασιλέας καὶ ἄρχοντας, αἰχμαλώτους ἀπήγαγε· τούτῳ δὲ μόνῳ δέδωκεν ἐξουσίαν διάγειν, ὅπου βούλεται.

B

C

Beatum itaque Jonam non dissimilem ad modum in prophetam Ninevitarum (76) selegit. Est autem urbs **177** Ninevitarum amplissima, regis Assyriorum regiam complexa. Cum enim unigenitus Dei Sermo per humanam naturam hominibus apparitturus esset, omnesque gentes divinæ cognitionis lumine illustraturus, ante etiam incarnatio-

D Οὕτω καὶ τὸν μακάριον Ἰωνᾶν Νινευϊτῶν προφήτην ὁ τῶν ὅλων Θεὸς ἐχειροτόνησε· πόλις δὲ Νινευϊτῶν μεγίστη, καὶ τοῦ τῶν Ἀσσυρίων βασιλέως τὰ βασίλεια δεξαμένη. Ἐπειδὴ γὰρ ἔμελλεν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος δι' ἀνθρωπείας φύσεως ἐπιφαίνεσθαι τοῖς ἀνθρώποις, καὶ πάντα τὰ ἔθνη τῷ τῆς θεογνωσίας καταφωτίζειν φωτὶ, καὶ πρὸ τῆς οἰκείας ἐναν-

[a] Josue. II, 3, 10. [b] I Reg. IV, 8.

Variæ lectiones et notæ.

(76) *Assyriis*, Ex Cod. Bav. et Ven.
(77) Cod. Ven., τοσοῦτον.
(78) *Selegit universorum Dominus.* Ex iisdem Codd

Digitized by Google

θρωπήσεως τὴν θείαν αὐτοῦ κηδεμονίαν τοῖς ἔθνεσιν ὑποδείκνυσιν, ἵνα τοῖς προλαβοῦσι τὰ ἐσόμενα βεβαιώσῃ, καὶ διδάξῃ πάντας, ὡς οὐκ Ἰουδαίων μόνων ὁ Θεὸς, ἀλλὰ καὶ ἐθνῶν, καὶ τῆς Παλαιᾶς καὶ τῆς Νέας Διαθήκης τὴν συγγένειαν δείξῃ. Εἰ γὰρ μηδεμίαν τῶν ἐθνῶν ἐποιήσατο πρόνοιαν πρὸ τῆς ἐνανθρωπήσεως, ἕτερον ἂν αὐτὸν ὑπέλαβον Ἰουδαῖοι Θεὸν, ὡς ἐναντία δρῶντα τῷ δεδωκότι τὸν νόμον· ὁ μὲν γὰρ, μόνων Ἰουδαίων ἐφρόντιζεν· οὗτος δὲ, πάντων ἀνθρώπων ἐποιήσατο ἐπιμέλειαν. Ὁ πέπονθε Μαρκίων ὁ βδελυρὸς, ἄλλον τῆς Νέας Διαθήκης παρὰ [*f. add.* τὸν] τῆς Παλαιᾶς Θεὸν εἰπών· καὶ ταῦτα κἀν τῇ Παλαιᾷ, ὡς εἴρηται, τὴν περὶ πάντας ἀνθρώπους αὐτοῦ θεασάμενος πρόνοιαν. Διὰ ταῦτα μὲν οὖν ὁ Θεὸς, μᾶλλον δὲ διά τινας κρείττους ἀπορρήτοτέρους λόγους, τὸν Ἰωνᾶν τοῖς Νινευίταις προφητεῦσαι ἐθέσπισεν (80). Ἀλλὰ καὶ τῷ Ἰσραὴλ πολλὰ τῶν ἐσομένων προεῖπε, σύγχρονος γενόμενος Ὡσηὲ, καὶ Ἀμὼς, καὶ Μιχαίᾳ. Εἰ γὰρ καὶ μηδεὶς ἕτερος αὐτοῦ λόγος ἔγγραφος φέρεται, ἀλλ' οὖν ἀπὸ τῆς τετάρτης τῶν Βασιλειῶν δηλοῦται, ὅτι καὶ ἑτέρας ἐποιήσατο προφητείας. Λέγει γὰρ ἡ Γραφὴ περὶ Ἱεροβοὰμ, οὐ τοῦ υἱοῦ Ναβὰν, ὃς ἐξήμαρτε τὸν Ἰσραὴλ, ὥστε προσκυνεῖν ταῖς χρυσαῖς δαμάλεσιν, ἀλλὰ περὶ ἑτέρου, ὃς τρίτος ἐξ Ἰηοῦ γεγονὼς, τῶν δέκα φυλῶν ἐβασίλευσεν, υἱὸς ὢν Ἰωᾶς· *Ὅτι οὗτος ἀποκατέστησε τὸ ὅριον Ἰσραὴλ ἀπὸ εἰσόδου Ἰμὰθ, ἕως θαλάσσης τῆς πρὸς ἑσπέραν, κατὰ τὸ ῥῆμα Κυρίου Θεοῦ Ἰσραὴλ, ὃ ἐλάλησεν ἐν χειρὶ Ἰωνᾶ υἱοῦ Ἀμαθὶ τοῦ προφήτου τοῦ ἐκ Γεθεφρᾶ.*

Ἀναγέγραπται δὲ ἡ παροῦσα προφητεία μόνη, κατὰ θείαν τάχα οἰκονομίαν· ἅμα μὲν, πρὸς παιδείαν καὶ νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν, ἵνα μήτε ἀπογινώσκωμεν, κἂν εἰς αὐτὸ τὸ τῆς κακίας βάραθρον καταπέσωμεν, ἀλλ' εἰδῶμεν ὅτι φιλάνθρωπον ἔχομεν Κύριον· καὶ πρὸς μετάνοιαν δὲ ἀπονεύσαντες, γνησίως αὐτὴν μετερχώμεθα, καὶ μὴ χαύνως καὶ ἐκλελυμένως καθυποκρινώμεθα ταύτην, παράδειγμα τούτους τοὺς ἐθνικοὺς ἔχοντες. Γέγραπται δὲ εἰς ἔλεγχον τοῦ Ἰσραήλ. Ποία γὰρ αὐτοῖς οὐκ ἔστι αἰσχύνη, εἰγε οὗτοι μὲν ἄνθρωποι βάρβαροι, καὶ μεγάλης δυναστείας ἐπειλημμένοι, καὶ ἐν τρυφῇ ζῶντες, καὶ μηδέποτε προφήτην ἀκούσαντες, οὕτως ὑπήκουσαν τῷ κηρύγματι· αὐτοὶ δὲ τῷ νόμῳ παιδαγωγούμενοι, καὶ λαὸς Θεοῦ περιούσιος ὄντες, τοὺς καταγγέλλοντας αὐτοῖς τὴν σωτηρίαν ἐφόνευον, ὥστε καὶ τὸν Υἱὸν τοῦ Θεοῦ κτεῖναι, Σωτῆρα καὶ Λυτρωτὴν αὐτοῖς ἐλθόντα; Οὗ καὶ τὸ μυστήριον τῆς ταφῆς καὶ τῆς ἀναστάσεως ἐν τῇ παρούσῃ ταύτῃ προφητείᾳ ὑποσημαίνεται, καθὰ δὴ καὶ αὐτὸς Ἰουδαίοις ἐμιλῶν

nem suam, divinam suam ipsis sollicitudinem subindicat, ut per hæc futura accipientes stabiliat, doceatque in universum omnes, non Judæorum tantummodo, verumetiam gentium esse Deum, utque Veteris et Novi Testamenti cognationem ob oculos ponat. Si enim nulla gentium sive cura sive providentia tactus esset Deus ante incarnationem, alium ipsum Judæi Deum suspicari potuissent, ut qui diversa transigat ab eo qui legem tulisset : siquidem ille Judæorum solum rationem habebat, hic vero cunctorum hominum tangatur cura. Qua opinione infectus fuit exsecrabilis Marcion, alium Novi Testamenti, quam Veteris Deum esse affirmans, cum Dei erga omnes homines in Veteri Testamento (79) providentiam non observasset. Proinde hanc ob causam Deus Jonam Ninevitis prophetam allegavit, imo propter quasdam etiam excellentiores et secretiores rationes. Atqui nedum Ninevitis, verum et ipsi Israeli multa futura prædixit, contemporaneus Oseæ, Amos et Michææ. Et quanquam nullum aliud ejus litteris mandatum vaticinium circumferatur, in quarto tamen Regnorum planum fit, quod et alias prophetias ediderit [a]. Dicit enim Scriptura de Hieroboam, non illo filio Naba, qui peccare fecit Israelem, ut adoraret vitulas aureas, verum de alio, qui ex (81) Jehu descendens, decem tribuum rex exstitit, filius Joas. *Nam ille restituit terminos Israel ab introitu Imath ad mare usque versus occidentem, juxta verbum Domini Dei Israel, quod locutus est in manu Jonæ filii Amathi prophetæ ex Gethephra oriundi* [a].

Præsens autem prophetia sola, tum divina dispensatione memoriæ prodita est, tum ad institutionem pariter et adhortationem nostri, ad quos fines sæculorum devenerunt, ut ne despondeamus animum, etiamsi in ipsum vitiositatis barathrum deciderimus, sed enim sciamus clementem nobis esse Deum, ideoque ad vitæ nostræ et animi sententiæ emendationem reflectentes, genuine et vere ipsam aggrediamur, neque segniter, neque dissolute illam ipsam simulemus, exempli vice ethnicos istos Ninevitas nobis proponentes. Scripta sunt enim ista ad correptionem Israelis. Qui enim non rubore suffundantur, si isti homines barbari et magna potentia florentes, et in deliciis ducentes vitam, qui nullo unquam tempore aliquem prophetam audiverunt, adeo celeriter et sponte obediverunt prædicationi, ipsi vero lege Dei instituti ab ineunte ætate, et populus Dei eximius exsistentes, eos interim, qui ipsis salutem annuntiabant, interfecerint, **178** usque adeo ut et Filium Dei neci dederint, qui et Servator et Redemptor ipsis advenerat? Cujus

[a] IV Reg. XIV, 25.

Variæ lectiones et notæ.

(79) *Idque præsertim, cum in Veteri Testamento, ut dictum est, ejus in omnes homines studium perspectum haberet.* Ita ex Cod. Bav. et Ven.

(80) Ἔστειλε κήρυκα· Ἰστέον μέντοι, ὡς ὁ προφήτης οὗτος οὐ μόνοις τοῖς ἐθνικοῖς τούτοις Νινευίταις προεφήτευσεν, ἀλλὰ καὶ τῷ Ἰσραήλ. *Misit præconem. Sciendum porro est, prophetam hunc non solis hisce gentilibus Ninevitis prophetasse, sed etiam Israeli*, etc. Cod. Ven.

(81) Ἰησοῦ, *Jesu*, Cod. Bav.

Digitized by Google

sepulturæ et resurrectionis mysterium in præsenti hac prophetia adumbratur, perinde atque Dominus ipse Judæis colloquens dixit : *Generatio ista signum inquirit, et signum ei non dabitur, nisi signum Jonæ prophetæ. Ut enim Jonas in alvo ceti fuit tres dies ac tres noctes, sic et Filius hominis erit in corde terræ tres dies ac totidem noctes* [6]. Enimvero, quod ad reprehensionem et condemnationem Judæorum Scriptura tradita sit, testatur Dominus in Evangelio, cum ait : *Viri Ninevitæ exsurgent et condemnabunt generationem hanc, quoniam resipuerunt ad prædicationem Jonæ. Et ecce plus quam Jonas apud vos est* [7].

Quomodo majora sunt in Christo, quam in Jona? Quoniam ille interminatus est tantummodo Ninevitis subversionem : Dominus autem ille noster nedum prædicavit, verum et innumera signa fecit, per quæ par erat ipsos ad fidem trahi, sed increduli permanserunt. Significatur igitur in Jona, tanquam in figura, de Christo mysterium. Attamen non per omnia necessum est quærere similitudinem; neque enim a nobis postulandum est, ut omnino quæ sunt historiæ ad spiritualem contemplationem vertamus. Nam ut generatim exempli vice dicam, cum aliquem priscorum sanctorum figuram Christi dixerimus fuisse, non opus est per omnia quærere similitudinem. Veluti Mosen dicimus typum fuisse Christi, ceu legislatorem et mediatorem. *Loquere* enim, inquit, *ad nos tu, et ne loquatur Deus ad nos, ne quando moriamur* [8]. Hunc ad modum Christus, ambo hæc, nimirum novam nobis legem ferens, et mediator Dei et hominum factus, et voluntatem Patris sui nobis denuntians, ipsique reconcilians, non tamen impeditioris linguæ fuit, neque gracilis seu exilis vocis, ut Moses : nec titubavit labiis suis, nec terræ promissionis exsors fuit. Rursum Aaron typus Christi fuit, ceu summus sacerdos, qui in Sancta sanctorum ingrediatur, et populi peccata diluat, quæ et omnia Christo conveniunt : siquidem insignis Pontifex factus, sese ipse obtulit; ac in cœlum conscendens, peccata nostra in se transtulit et abstulit, chirographo dirupto. Atqui Aaron non caruit noxa et reprehensione, ut qui adversus Mosen cum Maria murmuraverit, ac eos qui in solitudine vitulos conflaverunt, non prohibuerit : in Christo vero nihil hujusmodi deprehenditur. *Peccatum enim nullum fecit, non est inventus dolus in ore ejus* [9]. Eam ad rationem hic amandatus est quidem Jonas, ut nuntiaret voluntatem Dei Ninevitis, ac ad eam provinciam haud erat pronus, sed in fugam sese conjiciens, illam declinabat : Christus vero a Patre missus, obediens factus est. Porro quod propheta voluntarius in pelagum projicitur, et a cete devoratur, **179** et tertio die ab eodem denuo evomitur, tandemque ad Ninevitas proficiscitur, omnia Christo sunt communia. Nam et ille sponte mortem

A ἔλεγεν· *Ἡ γενεὰ αὕτη σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. Ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· οὕτως ἔσται καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.* Ἀλλὰ καὶ ἔτι [*f.* ὅτι] πρὸς ἔλεγχον καὶ κατάκρισιν τῶν Ἰουδαίων ἡ Γραφὴ αὕτη ἐκδέδοται, μαρτυρεῖ αὐτὸς ὁ Κύριος ἐν Εὐαγγελίοις εἰπών· *Ἄνδρες Νινευῖται ἀναστήσονται, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ. Πλεῖον δὲ Ἰωνᾶ ὧδε.*

Πῶς δὲ τὸ πλεῖον ἐν Χριστῷ παρὰ τὸν Ἰωνᾶν; Ὅτι ὁ μὲν ἠπείλησε μόνον Νινευίταις τὴν κατα- B στροφήν· ὁ δέ γε Κύριος ἡμῶν, οὐκ ἐκήρυττε μόνον, ἀλλὰ καὶ θαύματα μυρία ἐτέλει, ὅτι ὧν εἰκὸς ἦν ἑλκυσθῆναι αὐτοὺς πρὸς τὴν πίστιν· οἱ δὲ ἠπείθησαν. Σημαίνεται οὖν ὡς ἐν τύπῳ τῷ Ἰωνᾷ τὸ κατὰ Χριστὸν μυστήριον· πλὴν οὐ διὰ πάντων δεῖ ζητεῖν τὴν ὁμοιότητα· οὐδὲ καθάπαξ τῆς ἱστορίας ἀπαιτητέον ἡμᾶς πρὸς πνευματικὴν θεωρίαν στρέφειν. Καθόλου γὰρ εἰπεῖν, ἐπειδάν τινα τῶν πάλαι ἁγίων εἰς τύπον τοῦ Χριστοῦ λέγωμεν γεγονέναι, οὐ χρὴ ζητεῖν διὰ πάντων τὴν ὁμοιότητα. Οἷον Μωϋσῆν λέγομεν τύπον γεγενῆσθαι Χριστοῦ, ὡς νομοθέτην, καὶ ὡς μεσίτην. *Λάλει* γὰρ, φησὶ, *πρὸς ἡμᾶς σὺ, καὶ μὴ λαλείτω ὁ Θεὸς πρὸς ἡμᾶς, μή ποτε ἀποθάνωμεν.* Καὶ Χριστὸς δὲ ἄμφω ταῦτα, τόν τε νόμον δοὺς ἡμῖν, καὶ μεσίτης Θεοῦ καὶ ἀν- C θρώπων γενόμενος, καὶ τὰ περὶ τοῦ Πατρὸς ἀπαγγείλας ἡμῖν, καὶ ἀποκαταλλάξας αὐτῷ. Ἀλλ' οὔτι καὶ βραδύγλωσσος ὁ Χριστὸς, ἢ ἰσχνόφωνος, ὥσπερ Μωϋσῆς· οὐδὲ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ, καὶ παρὰ τοῦτο τῆς γῆς τῆς ἐπαγγελίας ἀπέτυχε. Πάλιν Ἀαρὼν εἰς τύπον τοῦ Χριστοῦ ὡς ἀρχιερεὺς, καὶ εἰς τὰ Ἅγια τῶν ἁγίων εἰστρέχων, καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ λύων· ἐπεὶ καὶ ὁ Χριστὸς ταῦτα πάντα, καὶ μέγας ἀρχιερεὺς γεγονὼς, καὶ ἑαυτὸν προσενεγκὼν, καὶ εἰς τὸν οὐρανὸν εἰσδραμὼν, καὶ τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνενεγκὼν, καὶ τὸ χειρόγραφον διαῤῥήξας. Ἀλλ' Ἀαρὼν μὲν οὐκ ἀμώμητος, καὶ ὡς καταγογγύσας Μωσέως σὺν Μαριὰμ, καὶ τοὺς ἐν τῇ ἐρήμῳ μοσχοποιήσαντας μὴ κωλύσας· D ἐπὶ Χριστοῦ δὲ, οὐδὲν τοιοῦτον. *Ἁμαρτίαν* γὰρ *οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.* Οὕτως οὖν κάνταῦθα· ἀπεστάλη μὲν Ἰωνᾶς κηρύξαι τοῖς Νινευίταις, ἀλλ' οὐ πρόθυμος ἦν, δρασμῷ δὲ ἐπεβάλλετο· ὁ δὲ Χριστὸς ἀποσταλεὶς παρὰ τοῦ Πατρὸς, ὑπήκοος γέγονε. Καὶ τὸ μὲν ῥιφῆναι τὸν προφήτην εἰς θάλασσαν ἑκόντα, καὶ τὸ καταποθῆναι ὑπὸ κήτους, καὶ ἐκδοθῆναι τριήμερον, καὶ πρὸς τὴν Νινευὶ ἀπελθεῖν, κοινὰ πρὸς Χριστόν· καὶ γὰρ κἀκεῖνος ἑκὼν ἀπέθανε, καὶ κατεπόθη τῷ θανάτῳ ἀληθῶς, καὶ ἐξεδόθη τριήμερος, καὶ εἰς τὴν Γαλιλαίαν ἀπελθὼν τοῦ πρὸς τὰ ἔθνη κηρύγματος ἐκέλευε ποιεῖσθαι τὴν ἀρχήν. Ἀλλ' Ἰωνᾶς μὲν

[6] Matth. XII, 39, 40. [7] Ibid. 41. [8] Exod. XX, 19. [9] Isa. LIII, 9.

Digitized by Google

ἐλύπεῖτο σωθέντων Νινευϊτῶν· Χριστῷ δὲ ἡ σωτηρία τῶν ἐθνῶν περισπούδαστος. Ὅσον οὖν χρήσιμον πρὸς τὸ κατὰ Χριστὸν μυστήριον ἀπανθήσαντες ἐκ τῆς ἀνὰ χεῖρας ταύτης προφητείας, (82) τὰ λοιπὰ τῷ γράμματι συγχωρήσωμεν, ἵνα καὶ τύπος εἴη· ὡς ἥ γε διὰ πάντων ταυτότης, οὐ τύπου οὐδὲ σκιαγραφίας παρὰ τοῖς ὀρθῶς κρίνουσι.

est commodum, cætera litteræ permittemus, ut Christo conveniat, sit penes recta judicantes, non

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν τὸν τοῦ Ἀμαθί. Τίνος ἕνεκεν οὕτως ἤρξατο; Ἔμφασιν γάρ τινα ἔχει τὸ, *Καὶ ἐγένετο.* Ἔοικεν οὖν, λόγου ὄντος πολλοῦ περὶ τῆς Νινευΐ, καὶ φήμης ἐπὶ πάντας κρατούσης, ὡς ἄρα τῷ πλούτῳ καὶ τῇ δυναστείᾳ βαρουμένη πολυαμάρτητος εἴη, ἀκολούθως εἰρῆσθαι τὸ, *Καὶ ἐγένετο λόγος Κυρίου.* Ἢ ὡς τῶν Ἰσραηλιτῶν ἀπειθούντων, ὁμολογουμένως ἤρξατο οὕτως, ὡς ἂν εἰ ἔλεγεν· Οἱ Ἰσραηλῖται κακῶς εἶχον καὶ ἀπειθῶς. Καὶ λοιπὸν ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν, ὥστε εἰς τὸ ἔθνος τῶν Νινευϊτῶν σταλῆναι. Πρόσκειται δὲ τὸ ὄνομα τοῦ πατρὸς τοῦ προφήτου, διὰ τὰς ὁμωνυμίας. Εἰκὸς γὰρ καὶ ἄλλους οὕτω καλεῖσθαι, ἀλλ' οὐ δήπου καὶ τοῦ αὐτοῦ πατρὸς ἂν ἦσαν.

180 CAPUT PRIMUM.

VERS. 1. *Et factum est verbum Domini ad Jonam filium Amathi.* Cujus rei gratia sic quæso orsus est? Emphasim enim et latentem quamdam vim habet verbum illud, *Et factum est.* Apparet enim, cum multus esset sermo de Ninevi, eumque fama ejus reliquas urbes omnes exsuperaret et regna, nimirum quod, et opibus et potentia prægnans, multis flagitiis obnoxia esset atque peccatis, per consecutionem dictum, *Et factum est verbum Domini.* Vel quia Israelitæ ex confesso non obsequebantur verbo Dei, hunc ad modum auspicatus est, perinde ac si dicat: Quoniam Israelitæ sese perperam divinis in rebus gesserunt, non obtemperantes verbo, igitur in posterum factum est verbum Domini ad Jonam, ut ad gentem Ninevitarum mittatur. Adjectum est autem nomen patris prophetæ, propter nominis æqualitatem. Est enim haud absimile vero, alios sic appellatos, qui tamen ex eodem patre non fuerint propagati.

Λέγων· Ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευὶ τὴν πόλιν τὴν μεγάλην. Μέγιστον δεῖγμα τῆς ὕστερον ἐσομένης τῶν ἐθνῶν παραδοχῆς ἡ τοῦ Ἰωνᾶ πρὸς τὴν Νινευὶ ἀποστολή· πόλις γὰρ αὕτη τῶν Ἀσσυρίων, ἡ προὔχουσα, ὡς ἐν προοιμίοις εἴρηται. Ὠκοδόμησε γάρ, φησὶν, Ἀσσοὺρ τὴν Νινευΐ· ἐθνικοὶ δὲ πάντως οἱ Ἀσσύριοι. Ταύτην δὴ σωθῆναι βουλόμενος ὁ Θεὸς, ὡς χωρίον οὖσαν τέως εἰδωλολατρείας, καὶ πάσης γοητείας καὶ μαγγανείας, καὶ μέντοι διὰ τοῦτο καὶ τὸν προφήτην κήρυκα μετανοίας στείλας αὐτοῖς, ἔδειξεν, ὃ ἀνωτέρω εἴπομεν, ὡς οὐκ ἔστιν Ἰουδαίων ὁ Θεὸς μόνον, ἀλλὰ καὶ ἐθνῶν. Καὶ ὅτι οὐκ ἔσται προσωποληψία παρ' αὐτῷ, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι. Καθὰ καὶ Πέτρος ἐπὶ τοῦ Κορνηλίου τοῦτο ἀληθῶς καὶ αὐτοῖς πράγμασι καταλαβών, ἀπεφήνατο. Ἐπιπευστικὰ [*f.* —σπευστ.] δέ εἰσι ῥήματα τὸ, *Ἀνάστηθι καὶ πορεύθητι.* Ὁ γὰρ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆν, ἐπιταχύνει τὸν προφήτην, εἰς τὸ τῆς μετανοίας κήρυγμα. Διὸ προστίθησι, *Τὴν μεγάλην*, ἵνα μᾶλλον καταδυσωπήσῃ αὐτὸν ἐπιταχῦναι τὴν πορείαν. Οὐ γάρ ἐστι, φησὶ, χωρίδιόν τι εὐτελὲς, ἀλλὰ πόλις, οὐ μία τῶν πολλῶν, ἀλλὰ μεγάλη· ὥστε (83) οὐ πολλοῦ δεῖ κα-

VERS. 2. *Dicens: Surge, proficiscere in Ninevi civitatem magnam.* Maximum est indicium posteris, de gentium ad cognitionem Dei assumptione, ipsa Jonæ ad Ninevi urbem legatio. Est autem civitas Assyriorum eximia, ut in præfatione commemoratum est, quam Assur exstruxit. Assyrii vero increduli et fidei omnino sunt exsortes. Hanc urbem servatum iri volens Deus, ceu locum exsistentem tum temporis, idololatriæ, et omnis effascinationis et incantationis, ac prophetam ideirco pœnitentiæ (83) (quæ est animi in meliorem sententiam permutatio) præconem ipsis mittens, ostendit, quod supra etiam diximus, quod non sit Judæorum tantum Deus, sed et gentium, et quod non sit personarum apud ipsum respectus, verum in omni gente, quisquis ipsum (84) desideraverit, et justitiam exercuerit, ei gratus est vel acceptus, quemadmodum et Petrus in Cornelio hoc vere ipsaque re aggressus demonstravit [10]. Valde autem accelerantia verba sunt, *Surge et proficiscere.* Nolens enim mortem peccatoris, quin potius cupiens ut convertens sese ad bonum vivat, prophetam celeriter destinat ad promulgationem pœnitentiæ. Hinc etiam apponit, *Civitatem magnam*, ut magis ipsum inflectat, ac permoveat accelerare profectionem. Non enim

[10] Act. x, 25.

Variæ lectiones et notæ.

(82) Hæc ad verbum ita sonant: *Cætera litteræ concedamus, ut et figuræ sint: ut, quod in omnibus conveniat, non figuræ* (est) *neque adumbrationis apud recte judicantes.*

(83) Desiderantur Græca verba, quæ Latinis, quæ parenthesi clauduntur, respondeant.

(84) *Qui ipsum timuerit.* Ex Cod. Bav. et Ven.

(85) Deest utrobique particula negativa in Cod. Ven.

Digitized by Google

est, inquit, exiguus locus, non vile oppidulum, sed civitas non una ex multis, verum magna; quare non est quod ipsam asperneris. Si enim ne quantulacunque quidem aliqua contemnenda est civitacula, quanto minus ingentes et præclaræ sunt posthabendæ urbes.

καταφρονῆσαι ταύτης. Εἰ γὰρ οὐδὲ τῶν εὐτελῶν δεῖ καταφρονεῖν, πολλῷ μᾶλλον τῶν μεγάλων.

181 *Et concionare in ipsa, quod clamor flagitiorum ejus ascenderit ad me.* Quia, inquit, non sentiunt proprias suas iniquitates et impietates, ideo tu sis eis præco, ac doce eos quod talia tantaque crimina perpetraverint, ut ad cœlum usque ipsorum magnitudo pervenerit, ac tantum non vocem ediderint, adversus perpetrantes clamantem : nihil enim eorum ignorat, quamvis sit minimum, qui cuncta novit priusquam fiant. Enimvero quia clemens exsistens Deus, non ob parva quædam delicta pœnam adducit, sed quando ingentia, et numero digna peccata commissa fuerint, quæ ejus mansuetudinem ad iracundiam provocet, tum exsurgit ad vindictam : eam ob rem etiam dicit, clamorem criminum ad se usque pervenisse, ceu multiplicatis ipsis et accersentibus ad sui excisionem et ultionem. Sic et Abeli sanguis clamat contra Caini cædem; sic et Sodomitarum turpis operatio vociferata est contra ipsos. Vere itaque in summis opibus viventes Ninevitæ, nullum non vitiorum genus admiserunt, cætera lasciviis veneficio et incantationibus vacantes, quibus in rebus Chaldæi præ aliis exuberabant, perinde ac Naum dicit : *Scortum formosum et jucundum, ducatum præstans veneficis* [11]. Espropter et Dominus prophetam ad hanc urbem legavit, et si longissime ab Judæa sita esset, ut cunctis mortalibus ostenderet, quod et laqueis erroris constricti, ut qui omnium maxime atque in universis sceleribus primatum obtinentes, cognitionem Dei sint recepturi, sinibusque (90) foturi suis. Nec enim sermo Dei est inefficax, verum magnipotens, et magnarum virium, ut et ad Jeremiam dictum est : *En dedi verba mea in os tuum, ignem, et populum tuum ligna* [12]. Et iterum : *Nonne sermones mei velut ignis ardens, dicit Dominus, et veluti securis cædens petram* [13]? Intuere porro clamoris vocem positam ut in Sodomitis.

Καὶ κήρυξον ἐν αὐτῇ, ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῆς πρός με. Ἐπειδή, φησίν, ἀναισθητοῦσι τῶν ἰδίων παρανομιῶν καὶ ἀσεβειῶν, σὺ γενοῦ αὐτοῖς, κήρυξ, καὶ δίδαξον αὐτοὺς, ὅτι τηλικαύτην οὕτω κακίαν ἐπεδείξαντο, ὥστε ἄχρι τοῦ οὐρανοῦ φθάσαι τὸ μέγεθος αὐτῆς, καὶ μονανουχὶ φωνὴν ἀφιέναι, κατακράζουσαν τῶν αὐτὴν μετιόντων. Οὐκ ἀγνοεῖ μὲν γὰρ τῶν ὄντων οὐδὲν, κἂν ἐλάχιστον ᾖ, ὁ πάντα εἰδὼς πρὶν γενέσεως (86) αὐτῶν· πλὴν ἐπεὶ φιλάνθρωπος ὢν, οὐκ ἐπὶ σμικροῖς τισι τὴν τιμωρίαν ἐπάγει, ἀλλ' ὅτε μεγάλα καὶ ἀξιόλογα τὰ κακὰ γένωνται, καὶ οἷα κινῆσαι τὴν αὐτοῦ χρηστότητα πρὸς ὀργὴν, τότε διανίσταται πρὸς ἐκδίκησιν· διὰ τοῦτο λέγει, κραυγὴν τῆς κακίας γενέσθαι πρὸς αὐτὸν, ὡς πληθυνθείσης, καὶ προσκαλουμένης εἰς ἐκκοπήν. Οὕτω καὶ τὸ Ἄβελ αἷμα λέγεται καταβοᾶν τῆς τοῦ Κάϊν μιαιφονίας· οὕτω καὶ ἡ τῶν Σοδόμων αἰσχρουργία, κατεκραύγασεν αὐτῶν. Τῷ ὄντι γὰρ οἱ Νινευῖται ἐν πλούτῳ ζῶντες (87), πᾶσαν παρανομίαν (88) μετίεσαν· τά τε ἄλλα ἀσελγῶς διαγενόμενοι [*f.* — γιν.], καὶ φαρμακείαις σχολάζοντες καὶ μαγείαις, τοῦτο δὴ τὸ ἐν Χαλδαίοις ἐξαίρετον, καθὰ καὶ Ναούμ· *Πόρνη καλὴ καὶ ἐπίχαρις ἡγουμένη φαρμάκων.* Διὸ καὶ ὁ Κύριος τὸν προφήτην εἰς ταύτην ἔστειλε, καίτοι πορρωτάτω τῆς Ἰουδαίας ἀπῳκισμένην· ἵνα δείξῃ πᾶσιν ἀνθρώποις, ὅτι καὶ τοῖς τῆς πλάνης βρόχοις ἐνειλημμένοι (89) μάλιστα πάντων, καὶ κατάρχοντες πάσης παρανομίας, καὶ οὗτοι τὴν θεογνωσίαν ὑποδέξονται, καὶ τὴν ἀρετὴν ἐγκολπίσονται. Οὐ γάρ ἐστιν ὁ τοῦ Θεοῦ λόγος ἀδρανὴς, ἀλλὰ μεγαλοδύναμος καὶ ἐνεργὴς, ὡς καὶ πρὸς Ἱερεμίαν εἴρηται· *Ἰδοὺ δέδωκα τοὺς λόγους μου εἰς τὸ στόμα σου πῦρ, καὶ τὸν λαὸν τοῦτον ξύλα·* καὶ πάλιν, *Οὐχ οἱ λόγοι μου ὡς πῦρ φλέγον, λέγει Κύριος, καὶ ὡς πέλυξ κόπτων πέτραν ;* Σκόπει δὲ καὶ τὸ τῆς κραυγῆς ὄνομα, οὕτω τεθὲν ὡς ἐπὶ τῶν Σοδομιτῶν.

VERS. 3. *Et surrexit Jonas ut fugeret in Tharsis a facie Domini.* Ambigunt hic non parum multi, cur cum propheta sit, fugiat, ceu Deum latere queat : hoc autem nemo alius, ne mediocrium quidem, unquam putasset, quod Deum effugere possit, qui et cuncta explet, et nullo loco capitur. Nonne Davidem audiit, si ipse ignorasset, dicentem : *Quo proficiscar a spiritu tuo, et a facie tua quo fugiam* [14]? et quæ deinceps sequuntur. Videtur itaque absurde dictum hoc, vel ipse absurdus et

Καὶ ἀνέστη Ἰωνᾶς τοῦ φυγεῖν εἰς Θαρσεῖς ἀπὸ προσώπου Κυρίου. Ἐνταῦθα διαποροῦσι πολλοὶ, τί δήποτε προφήτης ὤν, φεύγει, ὡς τὸν Θεὸν λησόμενος. Τοῦτο γὰρ οὐδ' ἄλλος τις τῶν μετριωτέρων ᾠήθη ἄν, ὅτι Θεὸν ἀποδράσει, τὸν πάντα πληροῦντα καὶ μηδαμοῦ χωρούμενον. Ἢ οὐκ ἤκουσε τὸν Δαβὶδ, εἴγε καὶ αὐτὸς μὴ ᾔδει· *Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω ;* καὶ τὰ ἑξῆς. Ἔοικεν οὖν ἢ ἄτοπον εἶναι τὸ λεγόμενον, ἢ αὐτὸς ἄτοπός τις εἶναι καὶ ἀλλόκοτος ἦν-

[11] Nahum III, 4. [12] Jerem. V, 14. [13] Ibid. 23. [14] Psal. CXXXVIII, 7.

Variæ lectiones et notæ.

(86) Πρὸ γενέσεως, *ante generationem*, Cod. Bav.
(87) Καὶ τρυφῇ ζῶντες, *et in deliciis viventes*, Cod. Ven.
(88) Ἀπῆσαν, Cod. Bav.
(89) Ἐνειλημμένοις, Cod. Ven.
(90) *Et virtutem in sinus excepturi.* Ex cod. Ven. et Bav.

Digitized by Google

θρωπος. Ἔστι μὲν οὖν εἰπεῖν, ὡς σαφῶς μὲν ᾔδει, καὶ πλέον ἢ οἱ ἄλλοι, ὡς προφήτης, ὅτι πάρεστιν ὁ τῶν ὅλων Κύριος πανταχοῦ, καὶ οὐδεὶς τόπος ἔρημος τῆς αὐτοῦ προμηθείας· ὑπελάμβανε δὲ ὅμως τὰς ἐνεργεστέρας [*f.* ἐναργ.] ἐπιφανείας ἐν Ἰουδαίᾳ μόνῃ ποιεῖσθαι αὐτόν. Καὶ ὡς εἰ ταύτης πόρρω γένοιτο, οὐκέτι αὐτῷ ἐπιφανήσεται, ὥστε πρὸς ταύτην τὴν διακονίαν αὐτὸν στεῖλαι. Τοῦτο γὰρ σημαίνει τὸ, *Ἀπὸ προσώπου Κυρίου*, τουτέστιν, ἀπέφευγε τὴν ἐναργεστέραν ἐπιφάνειαν τοῦ Θεοῦ, καὶ τὴν ἐξ αὐτοῦ ἀποστολήν. Ὅτι γὰρ οἱ πάλαι ἅγιοι ἐν τόποις τισὶν ἀφωρισμένοις ἐπιφαίνεσθαι τὸν Θεὸν ᾠοντο, μαρτυρεῖ καὶ ὁ Ἰακὼβ, ὅτε ἴδε τὴν κλίμακα καὶ τοὺς ἀγγέλους (91) ἀναβαίνοντας, εἰπὼν, ὅτι *Ἔστι Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν*. Καὶ Δαβὶδ δὲ, *Ἐξελέξατο Κύριος τὴν Σιὼν, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ*. Καὶ νῦν δὲ ἔτι καὶ ἡμεῖς οἱ τὰ τελεώτερα φρονεῖν διδασκόμενοι, τῷδέ τινι τόπῳ ἐπισκιάζειν τὴν θείαν χάριν πιστεύοντες μᾶλλον, τούτῳ προσφοιτῶμεν, ὡς ἁγιασθησόμενοι, καὶ χάρισμά τι θεῖον καρπωσόμενοι. Παραιτεῖται δὲ τὴν διακονίαν, οὐχ ὡς ἀπειθὴς ἢ ὀκνηρὸς (ἀνάξια γὰρ προφήτου ἀμφότερα), ἀλλ' ἅμα μὲν ὡς εἰδὼς, ὅτι τεύξονται τῆς θείας φιλανθρωπίας οἱ Νινευῖται, εἴ γε μεταμελείᾳ χρήσαιντο, κἀντεῦθεν συμβήσεται τὴν προφητείαν ψευδῆ νομισθῆναι, ὃ πάντη ἀπρεπὲς καὶ ἀνάξιον. Τυχὸν δὲ καὶ κακῶς αὐτὸν οἱ Νινευῖται διαθήσονται, ὡς ψευδῶς αὐτοὺς ταῖς ἐκ τῆς μετανοίας κακοπαθείαις ἐμβάλλοντα. Ταύτην δὲ αὐτῷ τὴν ὑπόνοιαν τέθεικε τὸ περὶ τοῦ μηδὲν τῶν δεινῶν τοὺς Νινευῖτας πείσεσθαι, καὶ αὕτη ἡ ὑπόθεσις τοῦ κηρύγματος. Συνελογίσατο γὰρ, ὡς οὐκ ἂν προεκήρυξεν, εἴπερ ἀπολέσαι ἠβούλετο· ἀλλὰ δῆλον ὡς ἐπὶ μετάνοιάν ἐστιν ἡ τροπὴ, ἡ τῆς τιμωρίας ἀπειλή. Πρὸς δὲ τούτῳ καὶ τῶν Ἰουδαίων κατηγορίαν ὑπέλαβεν ἔσεσθαι τὴν τῶν Νινευῖτῶν εὐπείθειαν, ὡς τῶν μὲν ἀγνῶτι καὶ ἀλλοφύλῳ πεπιστευκότων ἀνδρὶ, τῶν δὲ, ἀπειθούντων τοῖς ὁμοφύλοις προφήταις, μετὰ θαυματουργιῶν τὰς προφητείας ποιουμένοις. Διὰ ταῦτα τὸ κελευσθὲν εὐθὺς οὐκ ἐποίησεν, ἀλλὰ φεύγειν εἰς Θαρσεῖς ἐπεβάλλετο. Ταύτην δὲ τὴν χώραν, τινὲς μὲν, τὴν Ταρσόν φασιν, ἣ Κιλικίας μέν ἐστι μητρόπολις, ὑπὸ δὲ τοὺς πρόποδας (94) κεῖται Ταύρου τοῦ ὄρους· τινὲς δὲ, χώραν τῆς Ἰνδίας οὕτω φασὶ καλεῖσθαι Θαρσεῖς· ἐκ γὰρ Θαρσεῖς καὶ τὸν Σολομῶντα τοὺς πολυτελεῖς λίθους καὶ τοὺς τῶν ἐλεφάντων ὀδόντας ἐμπορεύεσθαι μετὰ καὶ πιθήκων· ταῦτα δὲ οὐκ ἄλλοθεν, ἢ ἐξ Ἰνδίας διακομίζεται, χρόνῳ διετεῖ· διὰ τοσούτου δὲ ἡ ναῦς Σολομῶντος καταίρειν ἐν τῇ βίβλῳ τῶν Βασιλειῶν λέγεται. Σφάλλονται δὲ οἱ ταῦτα λέγοντες. Εἰ γὰρ ἐπὶ τὴν Ἰνδίαν ἔφευγεν, οὐκ ἔδει ἐπὶ τὴν

A monstrosus quispiam homo esse, qui a Deo fugiat. Dicendum igitur, quod aperte quidem et plus quam alii, ceu propheta noverit, quod universorum Dominus ubique præsto sit, quodque nullus locus ejus providentiæ et gubernationis expers sit. Cogitavit autem, manifestiores suas apparitiones in sola **182** Judæa ipsum facere, unde si ab hac longe removeatur, sibi non porro appariturum Deum, ut ad hoc ministerium eum mittat. Hoc enim signat, *A facie Domini*, hoc est, declinavit magis perspicuam, adeoque clariorem Dei apparitionem et functionem legationis quæ illi ex ipso imminebat. Quod enim prisci sancti in locis quibusdam separatis apparere Deum autumarint, et Jacob testatur, quando vidit scalas, et angelos ascendentes et descendentes, inquiens : *Dominus est in loco hoc, ego vero ignorabam* [15]. Sic David : *Selegit*, inquit, *Dominus Sion, secrevit ipsam in habitationem sibi* [16]. Porro et nos perfectiora sapere docti, ac per ista spiritum (92) divinam gratiam magis adumbrare credentes, ipsum locum accedamus, ceu sanctificandi, et divinum quoddam donum decerpturi relaturique. Subterfugit autem functionem illam, non tanquam non credens Deo, vel segnis, utraque enim prophetæ sunt indigna, nihil ei conveniunt : etenim simul compertum habens, Ninevitas divinam benignitatem et mansuetudinem, si resipiscant, consecuturos, hincque eventurum ut ipse pro vano vate reputetur, quod omnino indecorum est prophetæ et inconveniens, nimirum quod vanus (93) existimari debeat. Forsan et Ninevitæ malo in eum affectu concitabuntur, ceu talem qui falso et mendaciter eos in pœnitentiæ afflictiones conjecerit. Hanc autem ipsi suspicionem peperit, quod videret nihil grave Ninevitas passuros. Atque hoc est argumentum prædicationis. Ratiocinatus est enim secum, quod Deus verbum illis suum non prænuntiasset, si perire eos voluisset ; sed perspicuum est, quod ad pœnitentiam sit adhortatio, ipsa pœnæ et supplicii interminatio. Præterea et Judæorum accusationem fore cogitavit, Ninevitarum obedientiam, ut qui ignoto et alienigenæ fidem adhibuissent viro, cum ipsi contribulibus prophetis non crederent, qui prophetias suas cum miraculis etiam confirmarent. Hanc ob causam imperatum sibi non statim exsecutus est, sed fugere Tharsis usque est conatus. Hanc regionem quidam Tharsum esse aiunt, quæ et Ciliciæ metropolis, sub radicibus montis Tauri sita. Alii regionem quamdam Indiæ Tharsis appellari tradunt : ex Tharsis enim Salomonem quoque pretiosos lapides, dentes etiam eburneos una cum simiis mercatum. Ilæ autem

[15] Gen. XXVIII, 16. [16] Psal. CXXXI, 13.

Variæ lectiones et notæ.

(91) Ἀγγέλους τοῦ Θεοῦ, *angelos Dei*, Cod. Ven.

(92) *Et peculiari cuidam loco obumbrare divinam gratiam magis credentes, accedamus ad locum hunc* (nempe templum) *tanquam sanctificandi, et divinum aliquod donum inde percepturi.*

(93) Hæc majoris claritatis gratia addit Lonicerus ; neuter vero Cod. Græca eis respondentia præbet.

(94) Πόδας, *pedes*. Cod. Ven.

Digitized by Google

aliunde quam ex India non perferuntur, bimatus spatio : tanto enim tempore navis Solomonis in libro Regnorum redire dicitur. Atqui errant talia dicentes. Si enim ad Indiam fugiebat, non erat opus ad Joppen descendere, quæ est maritima Palæstinæ, adjacetque mari ad occidentem vergenti. Per hoc pelagus nemo navi trajiciens, in Indiam pervenerit. Inter enim nostrum et Indicum **183** mare, multum telluris est et habitatæ et inhabitabilis, montesque et multi et magni, sinus item Ruber, quem deinde Indicus contingit. Præterea divina Scriptura testimonium dicit, Tharsis non esse ex urbibus Indicis, neque etiam Tarsum, sed Africæ esse. In Isaia enim juxta Septuaginta editionem legitur : *Lugete, navigia Carchedonis, quoniam interiit munitio vestra* [17]. Aquila tamen et Symmachus Tharsis pro Carchedone verterunt, cum et Ezechiel memoriam Carchedonis fecerit, in Hebræo vero et Syro exemplaribus, Tharsis inventum sit. Unde liquet non in Indiam, sed Africæ Carchedonas Jonam profugisse.

Descendit in Joppen, et reperit navim euntem in Tharsis, ac dedit naulum suum, descenditque in ipsam, ut navigaret una cum illis Tharsis usque, a facie Domini. Per mare fugam adornat, ratus quam celerrime sese a ministerio prophetiæ erga Ninevitas liberandum. Dedit autem et navigationis mercedem, ut ne vel hinc, si non daret, esset quod remoraretur eum quominus fugeret. Omnia namque ipsi facilia videbantur, patriæ privatio, maris pericula, mercedisque abjectio, modo ab gravi et molesta prophetandi functione illa eripi queat.

VERS. 4, 5. *Et Dominus excitavit ventum vehementem in mari, et exorta est tempestas magna in mari, et navis periclitabatur ut contereretur : conterritique sunt nautici, et clamabant quisque ad Deum suum, feceruntque jactum vasorum navis, ea in mare ejicientes, ut levior ipsa fieret.* Jonas quidem sic effugere posse divinum illud ministerium arbitrabatur : at enim terræ marisque Dominus suscitat adversus navim tempestatem, fluctuumque nexus navigio circumjicit, ut discamus divinam functionem subterfugere nos non posse, neque renuere debere, si ad opus Deo beneplacens advocemur. Docemur juxta hinc, quod nihil citra Dei providentiam geratur, verum tempestates etiam divina voluntate, et non fortuito, vel naturaliter fieri : *Dominus* enim, inquit, *excitavit spiritum magnum.* Dicat fortasse aliquis, frequentissime procellas maris naturæ quadam ratione oriri, nempe siderum conventibus et secessionibus, quandoquidem hunc Deus ordinem mundi motui indiderit. Cui respondemus. Excitantur etiam sæpe, natura non postulante, tempestates, Dei admirando consilio et voluntate, qui et naturam condidit, idem

[17] Isa. III, 26.

Ἰοππην κατελθεῖν. Αὕτη γὰρ παραλία μὲν ἐστι Παλαιστίνης, ἐπίκειται δὲ τῇ πρὸς ἑσπέραν ἀπονευούσῃ θαλάσσῃ. Διὰ τούτου τοῦ πελάγους οὐκ ἂν τις ναυτιλίᾳ χρώμενος, εἰς Ἰνδίαν ἔλθοι· μεταξὺ γὰρ τῆς ἡμετέρας θαλάσσης καὶ τῆς Ἰνδικῆς, ἤπειρός ἐστι πολλή, οἰκουμένη τε καὶ ἀοίκητος, καὶ ὄρη πολλὰ καὶ μεγάλα, καὶ ὁ Ἐρυθραῖος κόλπος, ᾧ συνάπτει λοιπὸν ὁ Ἰνδικός. Ἀλλὰ καὶ ἡ θεία Γραφὴ μαρτυρεῖ, ὅτι οὐκ ἔστι τῆς Ἰνδῶν ἡ Θαρσεῖς, οὐδὲ Ταρσὸς, ἀλλὰ τῆς Ἀφρικῆς ἐστιν· ἐν γὰρ τῷ Ἡσαΐᾳ, οἱ μὲν Ἑβδομήκοντα, *Ὀλολύξατε*, ἐξέδωκαν, *πλοῖα Καρχηδόνος, ὅτι ἀπόλωλε τὸ ὀχύρωμα ὑμῶν* · ὁ δὲ Ἀκύλας καὶ Σύμμαχος, *Θαρσεῖς*, ἀντὶ τῆς Καρχηδόνος τεθείκασι (95)· καὶ τοῦ Ἰεζεκιὴλ δὲ μνήμην Καρχηδόνος ποιησαμένου, καὶ ἐν τῷ Ἑβραίῳ καὶ ἐν τῷ Σύρῳ, *Θαρσεῖς*, εὕρηται. Ἐξ ὧν δῆλον, ὡς οὐκ εἰς Ἰνδίαν ὁ Ἰωνᾶς, ἀλλ' εἰς Καρχηδόνα ἔφευγε.

Καὶ κατέβη εἰς Ἰόππην, καὶ εὗρε πλοῖον βαδίζον εἰς Θαρσεῖς, καὶ ἔδωκε τὸ ναῦλον αὐτοῦ, καὶ ἀνέβη εἰς αὐτὸ, τοῦ πλεῦσαι μετ' αὐτῶν εἰς Θαρσεῖς ἐκ προσώπου Κυρίου. Τὴν διὰ θαλάσσης φυγὴν ποιεῖται, νομίσας ὡς τάχιστα τῆς διακονίας τοῦ προφητεῦσαι τοῖς Νινευίταις ἀπαλλαγήσεται. Ἔδωκε δὲ καὶ τὸν τῆς ναυτιλίας μισθὸν, οὐδὲ τῆς ἐντεῦθεν ζημίας ἐπισχεῖν αὐτὸν δυνηθείσης. Πάντα γὰρ αὐτῷ κοῦφα ἐδόκει, καὶ πατρίδος στέρησις, καὶ θαλάσσης κίνδυνος, καὶ μισθοῦ καταβολὴ, μόνον εἰ τὴν ἐπιβαρῆ ταύτην λειτουργίαν ἐκδεδυκέναι αὐτῷ γένοιτο.

Καὶ Κύριος ἐξήγειρε πνεῦμα μέγα εἰς τὴν θάλασσαν, καὶ ἐγένετο κλύδων μέγας ἐν τῇ θαλάσσῃ, καὶ τὸ πλοῖον ἐκινδύνευε συντριβῆναι, καὶ ἐφοβήθησαν οἱ ναυτικοὶ, καὶ ἀνεβόων ἕκαστος πρὸς τὸν θεὸν αὐτοῦ, καὶ ἐκβολὴν ἐποιήσαντο τῶν σκευῶν τῶν ἐν τῷ πλοίῳ εἰς τὴν θάλασσαν, τοῦ κουφισθῆναι ἀπ' αὐτῶν. Ἰωνᾶς μὲν οὕτω φυγεῖν τὴν θείαν ὑπηρεσίαν ἐνόμιζεν· ἀλλ' ὁ γῆς καὶ θαλάσσης Κύριος, ἐγείρει κατὰ τοῦ σκάφους κλύδωνα, καὶ τῶν κυμάτων περιβάλλει τῷ πλοίῳ δεσμὰ, ἵνα μάθωμεν μὴ φεύγειν τὴν θείαν διακονίαν, καλούμενοι πρὸς ἔργον θεάρεστον, ἀναβάλλεσθαί τε καὶ ἀναδύεσθαι. Διδασκόμεθα δὲ ἐντεῦθεν, ὅτι οὐδὲν ἀπρονόητον· ἀλλὰ καὶ οἱ κλύδωνες θείᾳ βουλῇ, καὶ οὐ συντυχικῶς, ἢ φυσικῶς γίνονται. *Κύριος* γὰρ, φησὶν, *ἐξήγειρε πνεῦμα μέγα.* Εἰ μή τις ἄρα εἴποι, ὅτι ὡς ἐπίπαν μὲν φυσικῶς οἱ κλύδωνες γίνονται, ἄστρων συνόδοις καὶ ὑποχωρήσεσι, τοῦ Θεοῦ πάντως ταύτην τὴν τάξιν τῇ τοῦ κόσμου κινήσει ἐντεθεικότος· γίνονται μέντοι πολλάκις, καὶ ὅτε ἡ φύσις οὐκ ἀπαιτεῖ, τοῦ Θεοῦ βουλομένου, ὃς καὶ τὴν φύσιν ἐποίησε, καὶ ἀλλοιοῦν αὐτὴν πρὸς τὸ αὐτῷ βουλητὸν ἑκάστοτε δύναται. Ἐν ἀμφοτέροις δὲ

Variæ lectiones et notæ.

(95) Ἐξέδωκαν καὶ τεθείκασι. Cod. Ven.

Digitized by Google

τοῖς τρόποις ἐκεῖνοι σώζονται ἢ ἀπόλλυνται, οὓς σωθῆναι ἢ ἀπολέσθαι ἐδικαίωσε. Τὸ δὲ φοβηθῆναι τοὺς ναυτικούς, σημεῖον τοῦ μεγέθους τοῦ κινδύνου, ὅτε καὶ οἱ τῆς θαλάσσης ἐμπειρότατοι, ἐδεδοίκεσαν, δῆλον ὡς ἀπειγνωκότες, καὶ ἐκβολὴν ἐποιοῦντο τῶν σκευῶν, ὡς ἂν δηλαδὴ κουφισθῆναι τὸ πλοῖον. Ἱκέτευον δὲ καὶ τοὺς αὐτῶν θεοὺς ἕκαστος, τῆς Γραφῆς οὐ μάτην ταῦτα διηγουμένης, ἀλλ' ἵνα διδάξῃ, ὅτι ἀμφότερα δεῖ, καὶ τὰ ἡμέτερα ποιεῖν, καὶ τὴν θεῖαν ἐπικαλεῖσθαι συμμαχίαν, καὶ μήποτε τὸ πᾶν τῷ Θεῷ ἐπιτρέπειν, αὐτοὺς ἀργοὺς καθημένους· ἀψύχων γὰρ τοῦτο καὶ ἀκινήτων· μήτε ταῖς ἡμετέραις καθάπαξ ἐπινοίαις καὶ πραγματείαις θαρρεῖν· πάλιν γὰρ αὖ τοῦτο ἀθέων καὶ ἀπονενοημένων. Φασὶ δέ τινες, ὅτι περὶ τοῦτο μόνον τὸ πλοῖον ὁ κλύδων ἐγένετο. Οὐ γὰρ ἂν, εἴπερ κοινὸς ἦν ὁ κλύδων, κλήρῳ μαθεῖν ἐπεχείρησαν τὸν τοῦ κλύδωνος αἴτιον. Ἀλλ' ἐπειδὴ τοὺς ἄλλους ἐώρων ἀκινδύνως πλέοντας, καὶ ἐξ οὐρίων φερομένους, τὴν δὲ σφετέραν ὁλκάδα καταδῦναι κινδυνεύουσαν, ζητοῦσι τίς ἐν αὐτοῖς ὁ τοῦ κλύδωνος αἴτιος. Καὶ ἔχειν γε ἔοικε τὸ εἰκὸς ὁ λόγος, εἴπερ καὶ ἕτερα πλοῖα συμπλέοντα, ἀκίνδυνα ἐφέροντο.

A eamdem etiam alterare, secundum quod sibi visum fuerit, undelibet potest. Utroque autem modo illi servantur vel pereunt, quos divinus calculus vel servari vel interire judicavit. Quod vero terreflant nautæ, signum est magnitudinis periculi, quando et maris peritissimi **184** sibi metuerunt : signum est evidentissimum, quod animum desponderint, et idcirco ejectionem vasorum fecerint, ut levaretur navis. Supplicabat autem quilibet diis suis, Scriptura hæc non frustra enarrante, verum uti doceat, utraque esse necessaria, et nostra facere, et divinum implorare auxilium : neque sic totum negotium Deo permittere, ut nos interim segnes plane et ignavi sedeamus (inanimatorum enim et omni motu vacantium hoc rerum est) neque nostris omnino B nos confidere consiliis et institutis : hoc enim rursus impiorum hominum est, quibus reproba mens est. Asseverant nic quidam, quod circa istam solam navim tempestas sævierit. Neque enim, si communis tempestas erat, conati essent sorte exquirere ejus turbationis maris auctorem. Enimvero, cum alios viderent citra periculum sulcare pelagus secundisque ventis agi, suam vero onerariam navim submergi propemodum ea periclitatione, inquirunt quisnam inter sese ejus maris sævitiæ sit auctor, quæve origo. Atque hæc opinio non erit absimilis vero, si reliqua navigia extra periculum sint acta.

Ὁ Ἰωνᾶς δὲ κατέβη εἰς τὴν κοιλίαν τοῦ πλοίου, καὶ ἐκάθευδε, καὶ ἔρεγχεν. Οὐχ οὕτως ἀμελὴς ἦν ὁ προφήτης, καὶ ῥᾳθυμίαις ἐκδεδωκὼς, ὥστε τοσούτου κινδύνου ἐπηρτημένου καθεύδειν αὐτὸς, καὶ οὐχ ἁπλῶς, ἀλλ' οὕτω βαθέως, ὥστε καὶ ῥέγχειν, δ μεγίστης ἀφροντησίας δεῖγμα· ἀλλὰ πρὸ τοῦ κινδύνου καὶ τοῦ χειμῶνος ὁ ὕπνος ἦν, καὶ οὗτος ἴσως C ἐξ ἀθυμίας τῆς ἀπὸ τοῦ φεύγειν. Καὶ τὸ εἰς τὴν κοιλίαν δὲ τοῦ πλοίου καταβῆναι, τουτέστιν εἰς τὴν κατωτάτω χώραν, ἄξιον προφητικοῦ ἤθους· τὸ γὰρ ἰδιαστικὸν καὶ μονῆρες, προφητικόν. Οὕτω καὶ Δαβὶδ, *Καταμόνας εἰμὶ*, φησὶ· καὶ Ἱερεμίας, *Ἀγαθὸν ἀνδρὶ, ὅταν ἄρῃ τὸν ζυγὸν ἐκ νεότητος αὐτοῦ· καθίσεται καταμόνας·* καὶ πάλιν, *Οὐκ ἐκάθισα μετὰ συνεδρίου αὐτοῦ παιζόντων. Καταμόνας ἐκαθήμην, ὅτι πικρίας ἐνεπλήσθην.*

Jonas autem descendit in alvum navis, et dormivit et stertuit. Numquid adeo ignaviæ et socordiæ deditus erat propheta, ut tanto periculo suscitato ipse dormiret, nec simpliciter dormiret, sed in altum adeo soporem deferretur, ut sterteret? quod maximæ securitatis argumentum erat. Atqui ante subortam tempestatem et periculum sopore correptus est, fortasse ex nimia fugæ tristitia et defatigatione. Porro quod in alvum navis, hoc est, in infimum locum descenderit, prophetæ hoc moribus convenit. Separatim enim et solitarium degere, propheticum est. Hinc et David : *Solitarius sum*[18], inquit : et Jeremias : *Bonum est homini, ubi jugum suum tulerit, ab ineunte juventute sedere solum*[19]; et iterum : *Non sedi cum concilio illusorum ejus*[20].— *Solus et separatim sedi, quoniam amaritudine repletus sum*[21].

Καὶ προσῆλθε πρὸς αὐτὸν ὁ πρωρεὺς καὶ εἶπεν αὐτῷ· *Τί σὺ ῥέγχεις; Ἀνάστα, ἐπικαλοῦ τὸν Θεόν σου, ὅπως σώσῃ ὁ Θεὸς ἡμᾶς, καὶ οὐ μὴ ἀπολώμεθα.* Τὸ ναυτικὸν πλῆθος, ἄλλως μὲν ἀμελὲς τοῦ δέοντος καὶ ἀσύνετον· ἐνταῦθα δὲ οὕτως ἀπὸ τοῦ φόβου συνετίζεται (96), ὥστε τὸν πρωρέα μὴ μόνον αὐτὸν εὔχεσθαι, ἀλλὰ καὶ τῷ Ἰωνᾷ προσελθόντα, καὶ τοῦτον εἰς εὐχὰς διεγείρειν· οὕτως ἡ ἀνάγκη διδάσκει τὰ δέοντα. Καὶ ὅρα, ὅπως εἰ καὶ διαρόρους ἐπεκαλοῦντο θεοὺς, ὅμως γνῶσιν εἶχον

VERS. 6. *Et accessit ad eum proræ gubernator, dicens ei : Tu quid stertis? Surge, invoca Deum tuum, si fors nos servet Deus, et non pereamus.* Nautica multitudo, alias prorsum negligens decori, et D intellectu carens, hic adeo formidine et pavore eruditur, et intelligens redditur, ut proræ observator, non ipse tantummodo preces fundat, verum Jonam adiens, eum etiam ad precandum excitet : adeo necessitas, quid deceat, belle docet. Observa hic. quod etiamsi varios deos invocaverint, cum

[18] Psal. ci, 8. [19] Thren. III, 17. [20] Psal. xxv, 4. [21] Thren. I, 20.

Variæ lectiones et notæ.

(96) Συνεπαίρεσθαι, Cod. Ven.

Digitized by Google

tamen cognitionem habuerint, unum esse quempiam Deum, cæteris omnibus majorem præstantioremque. Non enim dixit, Ut servent nos dii, sed, Deus ; vel quod unum existimaverint, Jona cum omnibus illis peculiarem suum Deum adorante, atque unum fortasse ex multis in **185** auxilium vocaverint qui eos exaudiret ac incolumes conservare posset, forsan Neptunum, vel Nerea, seu Thetin, seu alium quempiam marinum deum juxta Græcum errorem.

A τοῦ ἕνα Θεὸν εἶναι τὸν μείζω πάντων. Οὐ γὰρ εἶπεν, Ὅπως σώσωσιν ἡμᾶς οἱ θεοί, ἀλλ', Ὁ Θεός, ὅτι ἕνα (97) ἐνόμιζον· καὶ τοῦ Ἰωνᾶ μετὰ πάντων εὐχομένου τῷ οἰκείῳ Θεῷ, ἕνα τινὰ ἴσως ἐκ τῶν πολλῶν εἰς βοήθειαν καλουμένων ἐπακούσαντα, δυνηθῆναι σῶσαι αὐτούς, τυχὸν τοῦτον ὄντα Ποσειδῶνα, ἢ τὸν Νηρέα, ἢ τὴν Θέτιν, ἢ ἄλλον τινὰ τοιοῦτον ἐνάλιον δαίμονα κατὰ τὴν Ἑλληνικὴν πλάνην.

VERS. 7. *Dixit porro quilibet ad proximum suum : Agite, faciamus sortes. Et cecidit sors super Jonam.* Obtemperavit Jonas proræ observatori, et oravit. Quanquam enim hoc Scriptura non expresserit, intelligitur tamen : quando neque, quod e somno surrexerit, indicavit, nemo tamen ambigit ipsum exspergefactum surrexisse. At precibus suis ad Deum fusis, non est exauditus. Neque enim par erat inobedientem Deo, exauditum iri. Jam et fuga ejus a Deo fiduciam ad Deum ademerat. Cum igitur auxilia ex precibus vana tum dijudicarentur, ad sortem confugiunt, cui gentes assueverant. Noverant enim naturæ quodam ductu, peccantibus esse adjectam pœnam, ac digna nos ob peccata nostra supplicia ferre, nec hujusmodi expertia esse curæ Dei : proinde credebant (99) quod Providentia illa per sortis jactum manifestaret sibi auctorem, jamque hoc arbitrabantur, quod quem fortuita sors probasset, vel etiam prodidisset, apprehendendum, ceu sortis oraculo expetitum. Cæterum nos intelligamus, quod Deus quemlibet a propriis, a domesticis, a contribulibus, cognatis et cognitis, ad se adducat : perinde ac tenemus Magos stellæ ductu perductos ad cunas Christi, et Azotios in Veteri Testamento per symbolum boum aream perfrementium tandem servatos, cum quid in posterum fieri vellet, subindicasset. Sic Dominus noster repertis piscatoribus, *Agite*, inquit, *sequimini me, faciam ex vobis piscatores hominum*[22] : consuetum ipsis nomen prætendens. Cum igitur nautis consuetum esset ceu ethnicis sortiri, condescendens et consentiens ipsis Deus, per minime obscurum ipsis indicium, tempestatis ipsis auctorem notum reddidit. Præterea sortem non esse Spiritualem rem, apostoli indicant, qui sorte, priusquam Spiritu perfusi essent, usi sunt : post Spiritus Paracleti accessionem, haudquaquam sortem admittentes. Quidam vero neque apostolos tali sorte usos affirmant, sed enim divinioribus quibusdam signis quæ indicarent eis, quinam a Deo electus esset.

Καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· Δεῦτε, βάλωμεν τοὺς κλήρους (98). *Καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ἰωνᾶν.* Ὑπήκουσε μὲν οὖν ὁ Ἰωνᾶς τῷ πρωρεῖ, καὶ ηὔξατο. Εἰ γὰρ καὶ μὴ εἶπε τοῦτο ἡ Γραφή, ἀλλ' οὖν νοεῖται· ὅπου γε ὅτι οὐδὲ ἀνέστη ἐκ τοῦ ὕπνου εἶπεν, ὅμως οὐδεὶς ἀμφιβάλλει ἀναστῆναι αὐτόν. Εὐξάμενος δὲ, οὐκ εἰσηκούσθη· οὐδὲ γὰρ ἦν εἰκὸς τὸν παρήκοον ἀκουσθῆναι. Ἀλλ' ἡ φυγὴ τὴν πρὸς Θεὸν αὐτοῦ παῤῥησίαν ἀφαιρεῖται. Ἐπεὶ οὖν ἀπὸ τῶν εὐχῶν ἡ βοήθεια κοινῇ ἀπηλέγχετο, ἐπὶ τὸν κλῆρον καταφεύγουσιν, ὃ τοῖς ἐθνικοῖς σύνηθες. Ἤδεσαν γὰρ φυσικῶς, ὡς ἔστι τοῖς ἁμαρτάνουσιν ἐπικειμένη ποινὴ, καὶ δίκης τυγχάνομεν ἀξίας ὧν ἁμαρτάνομεν, καὶ οὐκ ἀπρονόητα τὰ τῇδε. Διὸ καὶ ἐπίστευον, ὡς ἡ Πρόνοια, διὰ τοῦ κλήρου γνωρίσει αὐτοῖς τὸ αἴτιον. Οὐ γὰρ δὴ τοῦτο ᾤοντο, ὅτι συντυχικῶς ὁ κλῆρος ὑποδείξει αὐτοῖς τὸν ἁμαρτάνοντα. Μὴ μέντοι ὁ ἀκούων, ὅτι παρ' ἐκείνοις ὁ κλῆρος εὐδοκίμησε, δεξάσθω ἤδη ὡς ἐφειμένον τὸ τοῦ κλήρου χρῆμα. Ἀλλ' ἐννοείτω ὅτι ὁ Θεὸς ἕκαστον ἀπὸ τῶν οἰκείων, καὶ συμφύλων, καὶ γνωρίμων αὐτῷ ἐπάγεται· ὥσπερ τοὺς μάγους δι' ἀστέρας, καὶ τοὺς Ἀζώτους (1) ἐν τῇ Παλαιᾷ, διὰ τοῦ συμβόλου τοῦ ἀπὸ τῶν βοῶν, τῶν τὴν κιβωτὸν διακομιζουσῶν, ἐπειδὴ ἐκεῖνος ὑπέδειξε τὰ μέλλοντα περὶ αὐτὸν ἔσεσθαι. Οὕτω καὶ ἁλιεῖς εὑρὼν, *Δεῦτε ὀπίσω μου*, εἶπε, *καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων*, τὸ σύνηθες αὐτοῖς ὑποτείνας ὄνομα. Κάνταῦθα τοίνυν, ἐπειδὴ σύνηθες ἦν τὸ κληροῦσθαι τοῖς ναυτικοῖς ὡς ἐθνικοῖς, συγκαταβαίνων ὁ Θεὸς αὐτοῖς διὰ τοῦ ἐγνωσμένου αὐτοῖς συμβόλου, τὸν αἴτιον τοῦ κινδύνου ἐγνώρισεν. Ἐπεί γε [Ὅτι δὲ ?] ὁ κλῆρος οὐ πνευματικόν ἐστι, δηλοῦσιν οἱ ἀπόστολοι, ὅτε οὔπω Πνεῦμα παρῆν αὐτοῖς, τότε τῷ κλήρῳ χρησάμενοι· μετὰ μέντοι τὴν τοῦ Πνεύματος κάθοδον, οὐδαμοῦ τὸν κλῆρον παραδεξάμενοι. Καίτοι γε τοὺς ἀποστόλους οὐδὲ κλήρῳ τοιούτῳ χρήσασθαί τινες διισχυρίζονται, ἀλλά τισι θειοτέροις σημείοις, δηλοῦσιν αὐτοῖς τὸν ὑπὸ Θεοῦ ἐκλεγέντα.

[22] Matth. IV, 19.

Variæ lectiones et notæ.

(97) Deest ἕνα in Cod. Ven. et recte quidem, ut mihi videtur ; delendumque propterea punctum post ἐνόμιζον, eritque loci hujus sensus : *Non enim dixit*, Ut servent nos dii, *sed* Deus : *quia existimabant, Jona quoque cum cæteris Deum suum orante, unum fortasse aliquem ex multis qui in auxilium vocarentur exaudientem, salvare ipsos posse, et hunc esse forte Neptunum, vel Nereum.*

(98) Καὶ ἐπιγνῶμεν τίνος ἕνεκα ἡ κακία αὕτη ἐστὶν ἐν ἡμῖν, καὶ ἔβαλον κλήρους, *et videamus, qua de causa malum hoc in nobis sit ; et miserunt sortem*, Cod. Ven.

(99) *Non enim existimabant, sortem temere ac fortuito subindicaturam delinquentem. Ne itaque putet quispiam sortis jactum esse licitum, si apud eos in usu fuisse audiat. Sed consideret, Deum trahere singulos consuesse per ea quæ ipsis usitata sint, familiaria et cognita, ut Magos per stellas*, etc. Ex Cod. Ven.

(1) Ἐξωτικοὺς, *extraneos*. Cod. Bar.

Digitized by Google

Καὶ εἶπον πρὸς αὐτόν· Ἀπάγγειλον δὴ ἡμῖν, τίνος ἕνεκεν ἡ κακία αὕτη ἐν ἡμῖν· τίς σου ἡ ἐργασία ἐστί, καὶ πόθεν ἔρχῃ, καὶ ποῦ πορεύῃ, καὶ ἐκ ποίας χώρας, καὶ ἐκ ποίου λαοῦ εἶ σύ; Ὅρα βαρβάρους ἀνθρώπους ἐπιεικεῖς. Οὐ γὰρ ἅμα τῷ ἐπιγνῶναι τῆς ζάλης αἴτιον τὸν Ἰωνᾶν, ἀγριαίνουσι πρὸς αὐτὸν, ἀλλ' ἡπίως καὶ πράως ἐρωτῶσι· *Τίνος ἕνεκεν ἡ κακία αὕτη;* τουτέστιν, Ἡ κάκωσις αὕτη ἐκ ποίου ἁμαρτήματος ὑπὸ σοῦ πραχθέντος ἐπῆλθεν ἡμῖν; Ἐρωτῶσι δὲ, ἵνα μαθόντες, πειράσωνται διορθώσασθαι τὸ ἁμάρτημα, ὡς ἔνεστι. Πυνθάνονται δὲ καὶ τίνα ἐργασίαν μέτεισι, τουτέστι, ποῖον ἐπιτήδευμα βίου ἔχει, καὶ ποίου ἔθνους ἐστὶ, καὶ τὴν ὁδὸν, πόθεν, ποῖ βαδίζει· ὡς ἂν καὶ ἐκ τοῦ ἐπιτηδεύματος αὐτοῦ, καὶ ἐκ τῶν κοινῶν τοῦ ἔθνους ἐπιτηδευμάτων, καὶ τῆς ὁδοῦ ἣν βαδίζει, τεκμήρωνται τὸν βίον αὐτοῦ, καὶ οὕτως ἐξιλεώσονται [*f.*—σωντ.] τὸν Θεὸν, ᾧ προσεκεκρούκει. Ἤροντο γὰρ, ὅτι τὸν λελυπημένον ἐπ' αὐτῷ ἐκθεραπεύσαντες δαίμονα, τυχὸν ὄντα θαλάσσιον, τὴν ἐκ τοῦ χειμῶνος διαφεύξονται βλάβην. Μιμησώμεθα οὖν τὸ τῶν ἀνδρῶν μέτριον καὶ ἐπιεικὲς ἦθος, οἱ τὰ κρείττονα ἀπαιτούμενοι.

A

B

Καὶ εἶπε πρὸς αὐτούς· Δοῦλος Κυρίου ἐγώ εἰμι, καὶ τὸν Θεὸν (2) *τοῦ οὐρανοῦ ἐγὼ σέβομαι, ὃς ἐποίησε τὴν θάλασσαν καὶ τὴν ξηράν.* Τοῦτο, φησὶν, ἐμοὶ ἐπιτήδευμα, καὶ αὕτη μου ἡ ἐργασία, τὸ δουλεύειν τῷ ἀληθινῷ Θεῷ διὰ τῶν πράξεων, εἰ καὶ νῦν ἠπείθησα αὐτῷ, καὶ σέβεσθαι αὐτὸν διὰ τῆς εἰς αὐτὸν πίστεως. Πολλοὶ γὰρ σέβονται μὲν τὸν ἀληθινὸν Θεὸν, οὐκ εἰσὶ δὲ δοῦλοι αὐτοῦ, ὡς μὴ τὰ ἀρεστὰ αὐτῷ ἔργα ποιοῦντες. Τάχα δὲ καὶ διὰ τούτου, καὶ ποίας χώρας ἐστὶν ἔδειξεν, ὅτι τῆς Ἰουδαίας. Οὐ γὰρ ἄλλο ἔθνος τοῦτον ἐσέβοντο τὸν Θεόν. Θαύματος δὲ ἄξιος ὁ προφήτης, ὅτι καὶ θανάτου ἐγγὺς ὢν, κηρύττει τὴν δύναμιν τοῦ Θεοῦ, καὶ τοῖς ναυτικοῖς κτισματολάτραις (3) καὶ εἰδωλολάτραις οὖσιν ἀποκαλύπτει τὸ μεγαλεῖον αὐτοῦ, Ποιητὴν πάντων τοῦτον ἀποκαλῶν τοῦ τε οὐρανοῦ καὶ τῶν κάτω. Διὰ μέντοι τοῦ εἰπεῖν, *Ὃς ἐποίησε τὴν θάλασσαν*, δίδωσιν αὐτοῖς συλλογίσασθαι, ὅτι ἐπειδὴ τὸν Ποιητὴν θαλάσσης σέβεται, δῆλον ὡς προσκεκρουκὼς αὐτῷ, τὸν κλύδωνα τοῦτον ἤγειρε.

C

D

Καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβον μέγαν, καὶ εἶπον πρὸς αὐτόν· Τί τοῦτο ἐποίησας; Διότι ἔγνωσαν οἱ ἄνδρες, ὅτι ἐκ προσώπου Κυρίου ἦν φεύγων, ὅτι ἀπήγγειλεν αὐτοῖς. Ἐκ τούτου, φησὶν, ἔγνωσαν ὅτι φεύγει προσκρούσας τῷ Θεῷ, ἐκ τοῦ ἀπαγγεῖλαι αὐτοῖς, ὅτι δοῦλος Κυρίου ἐστίν. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι τὸν ἀληθινὸν Θεὸν σέβεται, συνῆκαν ὅτι Ἰουδαῖός ἐστιν. Ἰουδαίοις δὲ οὐκ ἐξῆν ἀλλοφύλοις ἐπιμίσγεσθαι, καὶ πόλεσιν εἰδωλολάτραις παραβάλλειν· ὥστε δῆλον ὡς προσέκρουκε τῷ οἰ-

Vers. 8. *Et dixerunt ad ipsum : Denuntia nobis, quam ob causam isthuc mali nos apprehenderit. Quæ tua negotiatio est? Et unde venis? Et quo proficisceris? Et ex qua terra, quove populo tu es?* Intuere hic barbarorum hominum æquitatem. Non enim statim ut agnoverunt Jonam esse auctorem turbinis et tempestatis maris, agrestibus in ipsum moribus ferebantur, verum blande et mansuete interrogant: *Cujus causa malum hoc?* **186** id est, afflictio ista, ex quo peccato abs te commisso, nos accessit, super nos venit? Percontantur autem, ut ubi didicerint delictum, experiantur expiare et emendare. Scrutantur autem et quam operationem exerceat, hoc est, quale vitæ suæ studium et artificium habeat, et ex qua gente sit; et viam, unde et quo vadat, tanquam ex studiis ipsius, et ex communibus gentis morihus vel opificiis, et ex itinere quod ingreditur, vitam ejus observare queant, sicque tandem Deum placent, in quem impegerat. Existimabant enim quod si turbatum ab ipso numen, marinum fortasse, reconciliassent, hanc tempestatis ipsi noxam effugere possent. Imitemur igitur et nos horum nautarum mansuetudinem et mitiorem animum, si quando excellentiora longe quam ipsi deposcamus.

Vers. 9. *Qui respondit ipsis : Servus Domini ego sum, ac Deum cœli ego colo, qui fecit mare et aridam.* Hoc, inquit, studium, hæc mea negotiatio est, servire Deo vero, per mea opera et actiones, etsi nunc illi non obtemperaverim, et colere ipsum per fidem in ipsum. Multi quidem colunt Deum, sed non sunt servi ejus, ut qui non faciant opera ipsi placentia. Per hoc autem mox etiam ex quanam terra sit demonstravit, nimirum Judæa : nec enim alia gens hunc Deum colebat. Admiratione autem dignus est propheta, ut qui morti proximus exsistens, prædicet Dei potentiam, et nauticis creaturarum et idolorum cultoribus revelet magnificentiam ejus, Conditorem omnium ipsum appellans, hoc est, cœli et eorum quæ sub cœlo sunt. Per hoc enim quod ait, *Qui fecit mare*, ansam illis simul præbet ratiocinandi, quod, quandoquidem maris Creatorem colat, planum sit, quod adversus eum impingens, tempestatem hanc excitarit.

Vers. 10. *Timuerunt itaque pavore magno conterriti, dicentes ad ipsum : Cur hoc fecisti? Cognoverunt enim viri, quod a facie Domini fugeret, quoniam denuntiaverat eis.* Ex hoc, inquit, agnoverunt quod adversus Deum delinquens, a conspectu ejus fugeret, quod confiteretur ipsis servum Dei se esse. Simul atque enim dixisset, quod verum Deum colat, intellexerunt eum Judæum esse. Judæis autem non licebat exteris et alienigenis admiscere sese, neque applicare se urbibus idolorum

Variæ lectiones et notæ.

(2) Κύριον τὸν Θεὸν, *Dominum Deum*, Cod. Bav.
(3) Κοσμολάτραις, *mundi cultoribus*, Cod. Bav.

Digitized by Google

cultricibus; perspicuum itaque erat quod in Deum suum deliquisset. Fortasse etiam cogitarunt, quod vitam, quæ in lege præscribatur declinans, ac Græcorum moribus sese admovens, fugiat a facie Judæorum Dei. Terrefacti sunt igitur, quandoquidem arbitrarentur potentem illum Deum esse, e cujus manibus quisquam evadere non posset : juxta metuentes, ne una cum transfuga isto intereant. Porro quod non liceret Judæis decreto **187** legis suæ gentibus adjungere sese, ex Veteri Testamento constat, tum ex Evangelio quoque. Dicente enim Domino Judæis, *Quo ego vado, vos venire non potestis* [22] : respondebant illi imprudenter : *Quonam iturus est, ubi nos eum non inveniemus? numquid ad dispersionem Græcorum iturus est, et docturus Græcos?*

A κείῳ Θεῷ. Τάχα δὲ ὑπέλαβον ὅτι καὶ τὴν ἐν νόμῳ παραιτεῖται ζωὴν, καὶ τοῖς Ἑλλήνων ἔθεσιν ἐπιδοὺς ἑαυτὸν, φεύγει ἐκ προσώπου τοῦ τῶν Ἰουδαίων Θεοῦ. Διὸ ἐφοβήθησαν, μὴ ὡς τοῦ Θεοῦ τούτου δυνατοῦ ὄντος καὶ ἀναποδράστου, καὶ αὐτοὶ τῷ τούτου δραπέτῃ συναπόλωνται. Ὅτι δὲ Ἰουδαίοις ἔξω νόμου ἐδόκει τὸ Ἕλλησι μίσγεσθαι, δῆλον μὲν ἀπὸ τῆς Παλαιᾶς δήπου, δῆλον δὲ καὶ ἀπὸ τοῦ Εὐαγγελίου. Φάσκοντος γὰρ τοῦ Κυρίου τοῖς Ἰουδαίοις· *Ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν*, ἔλεγον ἐκεῖνοι ἀνοήτως· *Ποῦ μέλλει οὗτος πορεύεσθαι, ὅτι ἡμεῖς οὐχ εὑρήσομεν αὐτόν; μὴ εἰς τὴν διασπορὰν τῶν Ἑλλήνων μέλλει πορεύεσθαι, καὶ διδάσκειν τοὺς Ἕλληνας;*

B

VERS. 11. *Dixerunt ad ipsum : Quid faciemus tecum, ut cesset a nobis mare?* Et hic demirari dignum est, nauticorum hominum mansuetos et mites adeo mores. Neque enim insurrexerunt in ipsum, neque dixerunt : O sceleste et omnium sceleratissime, propter te peribimus. Sed ipsum judicem faciunt, ut pronuntiet quid secum faciendum sit. Sive ergo antea clementes adeo exstiterunt et æquabiles, digni sunt quos æmulemur : sive præ pavore ad mansuetudinem translati sunt, vel sic etiam imitandi sunt : ubi sæpenumero nos in calamitates incidentes plane efferamur, nedum adversum calamitatum auctores solos, verum et contra ipsos familiarissimos nostros in calamitatibus consolatores. Proinde nautæ illi tales sunt. At sententias suas partiuntur : nec enim audent morti adjudicare, maxime cum servum eum esse Judæorum Dei audivissent. (Horribilis autem ille Deus jam olim ipsis ex fama innotuerat), nec rursum præsens periculum despicere possunt, quare ipsum ceu Dei servum hortantur dicere quid oporteat secum agi. Perspicuum enim videbatur eis quod minime ignoraret ejus mali medicinam.

Καὶ εἶπον πρὸς αὐτόν· Τί ποιήσομεν καὶ κοπάσει ἡ θάλασσα ἀφ' ἡμῶν ; Καὶ ἔστι θαυμάσαι ἄξιον τὸ τῶν ναυτικῶν τούτων ἀνθρώπων ἦθος, ἥμερον οὕτω καὶ πρᾷον ὄν. Οὐ γὰρ ἐπανέστησαν αὐτῷ, οὐδ' εἶπον· Ὦ μιαρὲ καὶ παμμίαρε, διὰ σὲ ἀπολούμεθα· ἀλλ' αὐτὸν ποιοῦνται τοῦ ἐπ' αὐτῷ ποιητέου κριτήν. Εἴτε οὖν καὶ πρότερον οὕτως ἦσαν ἐπιεικεῖς, ἀξιοζήλωτοι· εἴτε ὑπὸ τοῦ φόβου πρὸς τὸ πραΰτερον μετεπλάσθησαν, καὶ οὕτω μιμητέοι· ὅπου γε πολλάκις ἡμεῖς, συμφοραῖς περιπεσόντες, ἐκθηριούμεθα, οὐ πρὸς τοὺς αἰτίους μόνους τῶν συμφορῶν, ἀλλ' ἤδη καὶ πρὸς αὐτοὺς τοὺς οἰκειοτάτους, καὶ τῶν συμφορῶν παρακλήτορας. Οὐκουν ἐκεῖνοι τοιοῦτοι· ἀλλὰ τὰς γνώμας μερίζονται, οὔτε καταψηφίσασθαι αὐτοῦ θάνατον ἀποθαῤῥοῦσιν, ἄλλως τε καὶ δοῦλον ἀκούσαντες εἶναι τοῦ Ἰουδαίων Θεοῦ (φοβερὸς δὲ οὗτος αὐτοῖς ἐπεφήμιστο)· οὔτε πάλιν τοῦ κινδύνου καταφρονῆσαι δύνανται. Διὸ ὡς Θεοῦ δοῦλον παρακαλοῦσιν αὐτὸν εἰπεῖν, τί δεῖ ἐπ' αὐτῷ ποιῆσαι· δῆλον (4) γὰρ ὄντα μηδὲ τὴν ἰατρείαν τοῦ κακοῦ ἀγνοεῖν.

C

Nam mare ibat, et excitabat vehementius tempestatem. Post sortem, inquit, vehementior impetuosiorque tempestas exorta est. *Mare* enim *ibat*, hoc est, plus agitabatur et intumescebat. Quædam hic exemplaria pro Ibat, *Admodum concitabatur*, habent, hoc est, horrendum strepebat, tremendum murmur edebat, quasi fluctus inter se mutuo navi illisi essent : atque hi post sortitionem magis tumultuati sunt, Deo palam indicante, per quem ista provenerint afflictio.

Ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξήγειρε μᾶλλον κλύδωνα. Μετὰ τὸν κλῆρον σφοδρότερον, φησὶν, ὁ κλύδων ἐγένετο. *Ἡ γὰρ θάλασσα ἐπορεύετο* · τουτέστι, πλέον ἐκινεῖτο καὶ ὠγκοῦτο. Τινὰ δὲ τῶν ἀντιγράφων, *Ἐπωρύετο*, ἔχει, ἀντὶ τοῦ, φοβερὸν ἦχει, ἅτε τῶν κυμάτων ἀλλήλοις καὶ τῷ πλοίῳ προσαραττομένων (5). Ἐγίνετο δὲ ταῦτα σφοδρότερα μετὰ τὸν κλῆρον, τοῦ Θεοῦ σαφῶς δεικνύντος, διὰ τίνα ἡ κάκωσις ἦν.

D

VERS. 12. *Et ait Jonas ad ipsos : Tollite me et injicite in mare, tum cessabit mare, vosque deseret. Cognovi enim ego, quod meâ causa tempestas illa magna vos petiverit.* Talem sese gerit bonis consiliis prædita anima. Cognito peccato suo, rubore

Καὶ εἶπεν Ἰωνᾶς πρὸς αὐτούς· Ἄρατέ με, καὶ ἐμβάλετε εἰς τὴν θάλασσαν, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ὑμῶν. Διότι ἔγνων κἀγὼ, ὅτι δι' ἐμὲ ὁ κλύδων οὗτος ὁ μέγας ἐφ' ὑμᾶς. Τοιοῦτόν ἐστιν εὐγνώμων ψυχή. Ἐπιγνοὺς γὰρ ὁ προφήτης τὸ

[22] Joan. XIII, 33.

Variæ lectiones et notæ.

(4) Δοῦλον, *servum*, Cod. Ven.

(5) Προσαραττόντων, Cod. Ven.

Digitized by Google

οἰκεῖον ἁμάρτημα, ἐπαισχύνεται μὲν οἷς ἐπλημμέλησε παρακούσας Θεοῦ· εἰδὼς δὲ ὅτι σπείσεται ἡ θάλασσα δουλεύουσα τῷ θείῳ προστάγματι, εἴπερ λάβοι τὸν παρακούσαντα Θεοῦ, καταψηφίζεται τὸν θάνατον αὐτὸς ἑαυτοῦ. Ἀλλ' οὐχ ἡμεῖς τοιοῦτοί ποθεν, ἀλλὰ καὶ σαφῶς εἰδότες πολλάκις τὰ ἡμαρτημένα ἡμῖν τιμωρίας ἄξια, ἐπειδάν τινα μακρὰν κάκωσιν ὑποστῶμεν, ὡς ἀναμάρτητοι καταγογγύζομεν τῆς Προνοίας· τοσούτου δέομεν τὴν ἀξίαν ποινὴν ἑαυτῶν καταψηφίσασθαι.

A quidem suffunditur propheta quod deliquerit, non morem gerens Deo : non ignorans (6) autem quod mare obtemperet, serviens divino mandato, si quod acceperit, se ipsum inobedientem Deo morte condemnat. Atqui nos haudquaquam tales sumus, quin potius aperte palam scientes crebro peccata nostra suppliciis digna, ubi magnam aliquam afflictionem sustinuerimus, adversus Dei providentiam murmuramus tanquam impeccabiles essemus, tantum abest, ut digna nos pœna condemnemus.

Καὶ παρεβιάζοντο οἱ ἄνδρες τοῦ ἐπιστρέψαι εἰς τὴν γῆν, καὶ οὐκ ἠδύναντο, ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξηγείρετο μᾶλλον ἐπ' αὐτούς, καὶ ἀνεβόησαν πρὸς Κύριον, καὶ εἶπον· Μηδαμῶς, Κύριε, ἀπολώμεθα ἕνεκεν τῆς ψυχῆς τοῦ ἀνθρώπου τούτου, καὶ μὴ δῷς ἐφ' ἡμᾶς αἷμα δίκαιον· διότι σὺ, Κύριε, ὃν τρόπον ἐβούλου πεποίηκας. Φιλανθρωπότατοι καὶ χρηστοήθεις, ὡς εἴπομεν, οἱ ἄνδρες οὗτοι. Καὶ γὰρ τοῦ Ἰωνᾶ ἑαυτὸν ἐκδόντος εἰς θάνατον, οὗτοι καὶ ἔτι προσβιάζονται πρὸς τὴν γῆν κατᾶραι ταῖς κώπαις χρώμενοι, ἀλλ' ἦν αὐτοῖς ὁ κόπος κενός. Ἡ γὰρ θάλασσα μᾶλλον ἐπηγείρετο, καὶ οὐδὲ οὕτως ποιοῦσί τι κατὰ τοῦ προφήτου, καίτοι τὸ δίκαιον ἔχοντες, ὡς αὐτοῦ ἑαυτὸν κατακρίναντος. Ἀλλὰ καὶ τὸ ὅλως ὑπηρετεῖν τοιαῦτα τῇ ἐκείνου βουλῇ, φονικὸν κρίνουσι. Διὸ προηγουμένως μὲν εὔχονται ῥυσθῆναι ἀπὸ τοῦ κλύδωνος, καὶ μὴ ἀπολέσθαι ἕνεκεν τοῦ περιποιεῖσθαι τὴν ψυχὴν τοῦ προφήτου, ἀλλὰ συγχωρηθῆναι καὶ αὐτὸν ζῆν καὶ αὐτούς. Εἰ δ' ἀναγκαῖον, φησὶν, ἔστι, τοῦτον θανεῖν, μηδαμῶς ἐφ' ἡμᾶς αἷμα δίκαιον, τουτέστι, τὸ αἷμα αὐτοῦ, μὴ εἰς κατάκρισιν ἡμῶν ποιήσῃς γενέσθαι, δίκαιον ὄν, ὡς δούλου σου. Οὐ γὰρ ὡς φονικοὶ τοῦτον θανατοῦμεν, ἀλλὰ τῷ σῷ ὑπηρετούμενοι βουλήματι· σὺ γὰρ, ὡ; ἠβούλου, πεποίηκας ταῦτα. Ὅρα δὲ τοὺς Βαρβάρους, πῶς οὐ λογοπραγοῦσι· Πῶς ταῦτα γίνονται; ἆρα μιαιφόνος οὗτος ὁ Θεός; ἆρα αἱμοχαρής; Ἀλλὰ τὴν τοῦ Θεοῦ βουλὴν στέργουσι, καὶ προσκυνοῦσι, μὴ περιεργαζόμενοι τὰς αἰτίας τῶν γινομένων.

B

C

188 Vers. 13, 14. *Et vi conabantur nautæ ad terram appellere navem, et non potuerunt. Mare enim ibat, et excitabatur magis super ipsos. Et clamaverunt ad Dominum et dixerunt : Nequaquam, Domine, pereamus, propter animam hominis hujus, et ne des super nos sanguinem justum. Quoniam tu, Domine, ut voluisti, sic egisti.* Humanissimi, et mansuetissimorum morum homines illi, ut diximus. Etenim Jonam, qui seipse in mortem tradiderat, adhuc ad terram remigio usi, traducere moliuntur; atenim nequicquam laborabant. Nam mare vehementius crescebat excitabaturque. Neque sic tamen quidquam adversus prophetam aggrediuntur, cum id jure possent, simul atque seipse condemnarat : verum omnino tali ejus voluntati obsecundare, sanguinolentum judicant ac cædem spirans : propterea in præcedentibus precantur, ut a tempestate illa et commoto mari liberentur, neque pereant eo quod foverint animam prophetæ, sed concedat Deus eum, sesque vivere. Sin autem necessarium est hunc mori, nequaquam super nos sanguinem justum, hoc est, sanguinem ejus, ne ad condemnationem, precamur, nostram, sanguinem illum justum, ceu servi tui, cedere facias. Non enim hunc tanquam latrones, aut sanguinolenti homicidæ occidimus, verum tuæ obsequentes voluntati. Tu enim ut voluisti, sic fecisti hæc. Ilic Barbaros contemplare, quomodo non contra hæc ogganniant : Igitur cruentus et sanguinis avidus ille Deus est? sanguine igitur gaudet? verum Dei non curiose indagantes causam, cur ista sic

voluntatem amplexantur, diligunt et venerantur, *liant.*

Καὶ ἔλαβον τὸν Ἰωνᾶν, καὶ ἔβαλον αὐτὸν εἰς τὴν θάλασσαν, καὶ ἔστη ἡ θάλασσα ἐκ τοῦ σάλου αὐτῆς· καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβῳ μεγάλῳ τὸν Κύριον, καὶ ἔθυσαν θυσίαν τῷ Κυρίῳ, καὶ ηὔξαντο εὐχάς. Μόγις ποτὲ ἐπιτολμῶσι τῷ ἔργῳ, καὶ εὐθὺς ἡ θάλασσα γαληνιᾷ· οἱ δὲ, ἐπιγινώσκουσι τὸν Κύριον τελεώτερον ἢ πρόσθεν, καὶ φοβοῦνται αὐτὸν οὐ μικρῶς, ὡς ἀδιάφυκτον (7) ὄντα δηλαδὴ, καὶ εἰδότα σφοδρῶς τοῖς πρὸς αὐτὸν ἁμαρτάνουσιν ἐπεξέρχεσθαι. Καὶ τὰ μὲν τῶν εἰς θείαν τιμὴν φερόντων ποίησαν. *Ἔθυσαν* γὰρ, φησὶ, *θυσίας*· ἴσως καὶ εἰς ἣν γῆν ἀποβεβηκότες· παρεῖχε γὰρ ἡ θάλασσα. *Ηὔξαντο δὲ εὐχὰς*, τουτέστιν, ὑπέσχοντο τάδε τινὰ ποιήσειν, etc.

D

Vers. 15, 16. *Acceperuntque Jonam et injecerunt ipsum in mare, et stetit mare a commotione sua. Ac timuerunt viri timore magno Dominum, et sacrificarunt sacrificia Domino, et voverunt vota.* Vix tandem audent opus aggredi, quo peracto, statim tranquillum mare redditur. Illi vero cognoscunt Dominum perfectius quam antehac : nec parum ipsum metuunt, ut cui sese nemo subducere queat, qui acriter in ipsum peccantes adoriri possit : ac quæ ad divinum cultum pertinent, exhibuerunt. *Sacrificarunt* enim *sacrificia*, fors ubi in terram appulsi fuere : destiterat enim sævitia maris. *Voverunt* autem *et vota*, hoc est, promiserunt se talia

Variæ lectiones et notæ.

(6) *Non ignorans autem mare placidum iri factum divino serviens mandato, si Deo non obedientem ac-*

(7) Διάφευκτον, Cod. Bav.

Digitized by Google

quædam et talia facturos, ubi in patriam remearint. Hac ratione illi in melius permutati sunt. Et qui antea quisque pro sese multos putabant esse deos, tempore motus maris, nunc unum agnoscentes, dominantem potentiæ maris, concussionemque fluctuum ejus pacantem, ipsi sacrum faciunt, et vota edunt. Viden' hic divinam dispensationem atque consilium? Fugit Jonas ut ne serventur Ninevitæ, et ecce servantur nautici, dein et (8) ipse, et exuberantius **189** bonum perficitur. Sic et nostris divina Providentia delictis ad bona usa est.

σειν τυχὸν, εἰ τῆς πατρίδος ἐπιβαίεν. Οὕτως ἐβελτιώθησαν. Καὶ οἱ πολλοὺς πρότερον νομίζοντες θεοὺς, καὶ ἕκαστος ἐν τῷ καιρῷ τοῦ κλύδωνος, νῦν ἕνα ἐπιγνόντες τὸν δεσπόζοντα τοῦ κράτους τῆς θαλάσσης, καὶ τὸν σάλον τῶν κυμάτων αὐτῆς καταπραΰνοντα αὐτῷ καὶ θύουσι, καὶ τὰς ὑποσχέσεις ποιοῦνται. Ὁρᾷς τὰς θείας οἰκονομίας; Ἔφυγεν ὁ Ἰωνᾶς, ἵνα μὴ σωθῶσιν οἱ Νινευῖται, καὶ ἰδοὺ σώζονται οἱ ναυτικοὶ, ἔπειτα κἀκεῖνος, καὶ πλεῖον τὸ ἀγαθὸν γίνεται. Οὕτως ἡ Πρόνοια καὶ τοῖς ἡμετέροις ἁμαρτήμασι πρὸς ἀγαθὸν ἀποκέχρηται.

CAPUT II.

VERS. 1. *Et imperavit Deus balænæ magnæ devorare Jonam. Eratque Jonas in alvo balenæ tres dies ac tres noctes.* — *Imperavit*, hoc est, voluit a ceto devorari prophetam. Non enim quemadmodum hominibus aut angelis præcipit Deus, in mentem ipsis insonans, quid agendum sit, sic ceto jam nunc demandavit; sed velle aliquid Deum, lex est et mandatum necessario complendum. Atque hic obedientiæ modus est inexplicabilis quidem nobis, ipsi vero cognitus. Devoratur ergo a ceto Jonas, tresque dies ac totidem noctes in eo permanet vates: quæ res omnem excedere fidem audientibus videtur, maxime iis qui ex Græcorum scholis, sapienteque doctrina ad hanc historiam accedunt. Quos equidem non satis demirari possum, qui fiat quod hæc non intelligant, cum suis ipsorum alis capiantur. Apud ipsos enim nonnihil tale de Hercule narratur, nempe quod et ipse a balæna devoratus, incolumis remanserit, nisi quod tantummodo depilatus redierit, idque ob ingenitam et internam belluæ caliditatem. Aut igitur nostra suscipiant, aut sua rejiciant. Atqui cum non oporteat a Græcarum fabularum putredine, nostræ veritatis soliditatem commendare, cogitandum primum, Deo volente et præcipiente nihil non fieri posse. Deinde hic consideranda sunt, quæ circa in utero materno fœtum miranda contingant, ubi fœtus naturali quidem innatat humiditati, estque veluti absorptus et obrutus prægnantis alvo, vivit tamen et conservatur, Dei humanum ingenii captum excedente nutu et consilio. Neque enim ulla humana ratio ista percipere potest, credit tamen, ut quæ ubique conspiciantur ita sese habere, reque ipsa rata sint et indubitata. Proinde neque Jonæ eventui fides detrectanda est, verum enimvero, ita factum ut Scriptura nobis tradit, citra ambiguitatem credendum: estque in majoris adeoque divinioris sacramenti vel arcani figuram suscipiendum. Fugit enim et humana natura a facie Domini per inobedientiam, et occultata est, ne videretur, ut ideo Adamum Deus vocaverit: *Ubi es*[21]? quo te

ΚΕΦΑΛ. Β'.

Καὶ προσέταξε Κύριος κήτει μεγάλῳ καταπιεῖν τὸν Ἰωνᾶν· καὶ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. Τὸ, *Προσέταξεν*, ἀντὶ τοῦ, ἠθέλησεν ὑπὸ κήτους καταποθῆναι τὸν προφήτην· καὶ γέγονε τοῦτο. Οὐ γὰρ ὥσπερ ἀνθρώποις ἢ ἀγγέλοις ἐντέλλεται Θεὸς, εἰς νοῦν αὐτοῖς ἐνηχῶν τὸ πρακτέον, οὕτω καὶ τῷ κήτει ἐνετείλατο· ἀλλὰ τὸ θελῆσαί τι Θεὸν, νόμος ἐστὶ καὶ πρόσταγμα, ἀναγκαίως ἀποπληρούμενον. Καὶ ἀπόῤῥητος ἡμῖν ὁ τῆς ὑπακοῆς τρόπος· αὐτῷ δ' οἶμαι ἐγνωσμένος. Καταπίνεται οὖν ὁ προφήτης ὑπὸ τοῦ κήτους, οὐδὲν ἠδικημένος ἐν τῇ καταπόσει· καὶ διαγίνεται ἐν τῇ τοῦ ζώου κοιλίᾳ τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· ὃ πέρα πάσης πίστεως δοκεῖ τοῖς ἀκούουσι, καὶ μάλιστα τοῖς ἐξ Ἑλληνικῶν ὡρμημένοις παρακουσμάτων· οἳ καὶ θαυμάζω πῶς οὐ συναΐουσιν αὐτοὶ, τοῖς σφῶν αὐτῶν πτεροῖς ἁλισκόμενοι. Ἔστι γὰρ καὶ παρ' αὐτοῖς τι τοιοῦτον περὶ Ἡρακλέα λεγόμενον, ὡς κήτει καταποθέντος, εἶτα ἐκβοθέντος ἁλωβήτου μὲν τ' ἄλλα πάντα, τὰς δὲ τρίχας μόνας ἀποβαλόντος, καὶ ταῦτα, τῇ ἐμφύτῳ τοῦ ζώου θερμότητι. Ἤ γοῦν καὶ τὰ ἡμέτερα παραδέξονται, ἢ καὶ τὰ οἰκεῖα συναθετήσουσιν. Ἐπεὶ δὲ δεῖ μὴ ἀπὸ τῶν παρ' ἐκείνοις μύθων σαθρότητος τὴν τῆς ἡμετέρας ἀληθείας στερρότητα συνιστᾶν, ἐννοητέον, ὅτι πρῶτον μὲν, τί οὐκ ἂν γένοιτο, Θεοῦ βουλομένου; Ἔπειτα καὶ τὰ περὶ τὸ ἔμβρυον θαυματουργούμενα σκοπητέον, ὃ ὑγρότητι μὲν ἐννήχεται τῇ φυσικῇ· κατέχωσται (9) δὲ ὥσπερ τῇ τῆς κυοφορούσης νηδύϊ· ζῇ δὲ ὅμως καὶ σώζεται τοῖς τοῦ Θεοῦ παραδόξως τιθηνούμενον νεύμασι. Καὶ λόγος μὲν οὐδεὶς ἀνθρώπινος τούτων ἐφικνεῖται· πιστεύεται δὲ, ὡς καθ' ἑκάστην ὁρώμενα, καὶ τῇ ἐνεργείᾳ πιστούμενα. Οὐ τοίνυν οὐδὲ τοῖς κατὰ τὸν Ἰωνᾶν ἀπιστητέον, ἀλλὰ καὶ γενέσθαι ταῦτα πιστευτέον, καὶ εἰς τύπον μυστηρίου μείζονος καὶ θειοτέρου παραδεκτέον. Ἔφευγε μὲν γὰρ ἡ ἀνθρωπίνη φύσις ἀπὸ προσώπου Κυρίου, διὰ τὴν παρακοὴν, καὶ ἀπεκρύβη (10) ἀπ' αὐτοῦ, ὥστε ἀκοῦσαι· Ἀδὰμ, ποῦ εἶ; Ἀπέῤῥιψε δὲ ἑαυτὴν τῇ τοῦ βίου τούτου θαλάσσῃ, πλοίῳ χρωμένη τῷ σώματι, ᾧ καὶ τὸ ναῦλον δέδωκε, τὴν ὑπ-

[21] Gen. III, 9.

Variæ lectiones et notæ.

(8) *Etiam illi.* Ex Cod. Bav. Cæterum Lonicerus legisse videtur κἀκεῖνος, *et ille*, ut in Cod. Ven.

(9) Κατακεχώρισται, Cod. Ven.

(10) Ἀπεκρούσθη, Cod. Ven.

Digitized by Google

ηρεσίαν δηλαδή, ἣν ὑπηρέτει αὐτῷ, πρόνοιαν αὐτοῦ εἰς πᾶσαν ποιουμένη ἐπιθυμίαν. Τῶν οὖν πνευμάτων τῆς πονηρίας ταραττόντων τὴν θάλασσαν, τὰ κύματα τῶν ἡδονῶν ἐπανίσταντο, καὶ κατεβάπτιζον τὸ σῶμα σὺν τῇ ψυχῇ. Ἦν οὖν ἀναγκαῖον θανεῖν τινα τῶν ἐν τῷ πλοίῳ, τῷ σώματι δηλαδὴ λέγω. Ὁ οὖν τὴν φύσιν ἡμῶν ἐνδυσάμενος Κύριος, καὶ εἷς ἐξ ἡμῶν γεγονὼς, καὶ εἰς τὸ πλοῖον ἡμῶν εἰσελθών, τουτέστι, τὸ σῶμα τῆς ταπεινώσεως φορέσας, καὶ σκηνώσας ἐν ἡμῖν, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας (11), ἀποθνήσκει κατὰ κλῆρον, τουτέστι, κατὰ προορισμὸν, ὃν προώρισεν ὁ Πατὴρ, ἀποκληρώσας καὶ προθέμενος πρὸ πάντων τῶν αἰώνων τὸ ὑπὲρ ἡμῶν ἀποθανεῖν τὸν αὐτοῦ Υἱὸν, ὡς ὁ Πέτρος λέγει καὶ Παῦλος. Καὶ ὅρα· Ἰωνᾶς ἑρμηνεύεται, *Ὑψίστου πονοῦντος*, ἢ *περιστερά*. Ὁ γοῦν Ὕψιστος ἐπόνησεν ὑπὲρ ἡμῶν πόνους, καὶ ὑπὲρ ἡμῶν ὀδυνᾶται (12)· ἐκὼν μὲν, οὐ μὴν ἀποσφάττει ἑαυτὸν, ἀλλὰ διὰ χειρῶν ἀνόμων προσπήγνυται τῷ σταυρῷ· ὥσπερ καὶ Ἰωνᾶς, καίτοι αὐτὸς ἑαυτῷ καταψηφισάμενος θάνατον, οὐ ῥίπτει ἑαυτὸν, ἀλλὰ ῥίπτεται· διδάσκοντος καὶ ἡμᾶς τοῦ λόγου, μὴ ῥιψοκινδυνεῖν, μηδὲ τοῖς θανάτοις περιπίπτειν παραβολώτερον. Θανόντος οὖν Χριστοῦ, καὶ τῷ κήτει τῷ παμφάγῳ παραδοθέντος, τὰ μὲν πνεύματα τῆς πονηρίας ἐκόπασε, τὰ δὲ κύματα τῶν ἡδονῶν κατεστορέσθη, καὶ γαλήνη πᾶσα καὶ εἰρήνη τῷ βίῳ ἐνεπολιτεύθη, καὶ ταῖς ψυχαῖς καὶ τοῖς σώμασι, καθὰ καὶ αὐτὸς ἔλεγεν· *Εἰρήνην ἀφίημι ὑμῖν*· καὶ αὖθις ἀναστὰς, *Εἰρήνη ὑμῖν*, τοῖς μαθηταῖς προσεφώνησε. Καὶ ἄλλως δέ φασί τινες, τὸν μὲν προφήτην, τύπον Χριστοῦ· τὸ πλοῖον, τῆς Ἰουδαίων Συναγωγῆς· τὸν πρωρέα, τοῦ Μωσέως· τοὺς ναύτας, τῶν προφητῶν· τὴν θάλασσαν, τῶν παθῶν, ἃ παρ' ἡμῶν ὑπῆρχε χρεωστούμενα· τὸν κλῆρον, τῆς βουλῆς τοῦ Πατρὸς, καθ' ἣν ὁ Χριστὸς εἰς τὴν θάλασσαν τῶν παθημάτων ῥίπτεται, καὶ εἰς τὴν κοιλίαν τοῦ μεγάλου κήτους τοῦ θανάτου εἰσέρχεται· ἔνθα τρεῖς ἡμέρας διατρίψας, ἀνέστη, καὶ τοῖς ἔθνεσιν ἐκήρυξε, τὰ δὲ μετανοήσαντα ἐσώθη.

A proripuisti? Injecitque ipsam vitæ hujus mari, corpore navis loco usam, cui et naulum dedit, ministerium videlicet, quo ipsi obsecuta est, curam ejus et providentiam ad omnem cupiditatem faciens. Ventis igitur et spiritibus nequitiæ, mare istuc turbantibus, fluctus voluptatum insurrexerunt, corpusque una cum animo merserunt. Necessarium igitur fuit, mortem obire quempiam ex iis qui in eo navigio **190** erant : corpore dico. Proinde naturam nostram induens Dominus, unus ex nobis factus, et navim nostram ingressus, hoc est, corpus humile ferens, et inter nos demorans, in similitudine carnis peccati, moritur per sortem, hoc est, juxta prædefinitionem quam prædefinivit B atque decrevit Pater : qui hoc sortitus est, atque ante omne ævum, ante cuncta sæcula decrevit, constituit, proposuit, ut Filius ille suus pro nobis moreretur, perinde ac Petrus et Paulus dicunt. Animadvertite hic Jonæ nomen, si interpreteris, valere, *Altissimo laborante*, vel *columbam* significare. Altissimus igitur pro nobis laboribus defatigatus est, et pro nobis luget, angitur, dolet, voluntarius quidem. Nec tamen sese ipse jugulat, verum per manus iniquorum affligitur cruci, quemadmodum et Jonas, qui etiamsi seipsum ad mortem condemnaret, non tamen seipsum projicit, sed projicitur : docente nos hoc verbo, ne nos temere in pericula conjiciamus, neve incaute et stolide in mortes incidamus. Mortuo itaque Chri- C sto, ac omnia deglutienti balenæ tradito, spiritualibus nequitiæ cessarunt, procellæ voluptatum prostratæ sunt, tranquillitas tota et pax in vita versata est, et animis et corporibus, æque ac ipse dixit : *Pacem relinquo vobis* [25]. Et rursum a resurrectione discipulis suis salutem impertiens : *Pax inter vos sit* [26], ait. Quin etiam quidam hic inquiunt prophetam esse figuram Christi, navim esse typum Judæorum Synagogæ, proræ observatorem esse Mosen, nautas esse prophetas, mare afflictiones quæ a nobis debebantur, sortem voluntatem Patris, secundum quam Christus in mare scrumnarum præcipitatur, et alvum ingentis ceti, hoc est, mortis ingreditur, ubi triduum commoratus resurrexit, gentibusque Evangelium annuntiavit, ex quibus credentes conservati sunt.

Καὶ προσηύξατο Ἰωνᾶς πρὸς Κύριον τὸν Θεὸν αὐτοῦ ἐκ τῆς κοιλίας τοῦ κήτους, καὶ εἶπεν· Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, καὶ εἰσήκουσέ μου. Ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου. Οὐδὲν ὑπὸ τοῦ κήτους ἀδικηθεὶς ὁ προφήτης, ἀλλ' ὥσπερ οἴκῳ τῷ κήτει χρησάμενος, καὶ μήτε τὸ σῶμα λωβηθεὶς, μήτε τὰς φρένας, αἰσθάνεται τῆς τοῦ Θεοῦ βοηθείας. Οὐκ ἀγνοήσας δὲ καὶ ὅτι προσέκρουσεν αὐτῷ ἐκ τοῦ κατοκνῆσαι τὴν διακονίαν, τρέπεται πρὸς εὐχάς· καὶ ὁ πάλαι ἐν Ἱερουσαλὴμ μόνῃ τὸν Θεὸν ἐναργῶς

Vers. 2, 3. *Et oravit Jonas ad Dominum Deum suum ex ventre ceti, dicens : Clamavi in tribulatione mea ad Dominum Deum meum, et audivit me. Ex ventre inferni auscultasti clamori vocis meæ.* Nihil damni passus a ceto vates, sed veluti pro domo ceto usus, neque corporis neque mentis jactura facta, Dei præsentem opem sentit. Non ignorans autem, quod offenderit Deum per hoc, quod ministerio legationis noluerit fungi, convertitur ad precationem. Quique olim in sola Hierusalem Deum aperte apparere arbitrabatur, nunc ipsum in alvo

[25] Joan. xiv, 27. [26] Marc. ix, 49.

Variæ lectiones et notæ.

(11) Χωρὶς ἁμαρτίας, *sine peccato*, Cod. Ven.

(12) Καὶ ὡς περιστερὰ διὰ τὴν ἀκακίαν, ἀκάκως ὑπομένει τοὺς ὑπὲρ ἡμῶν πόνους, καὶ περὶ ἡμῶν ὀδυνᾶται, Cod. Ven.

Digitized by Google

ceti præsentem reperit, gratiasque agit illi quod se servaverit, ac preces suas susceptas esse ait, sive tanquam propheta Spiritu hoc intelligens, sive per verisimile hoc dicens. Non enim usque nunc vivus, inquit, permansissem, nisi exaudisses precationem meam. Inferni porro ventrem, ipsam ceti alvum nominavit, tum quod bellua sit lethalis ac mortifera, tum quod **191** ex natura facti mortuus esset, viveret autem sola Dei gratia. Alias ceu typus Christi, qui in corde terræ tres dies ac tres noctes egit, non immerito se in ventre inferni fuisse ait. Intuere hic rem admirandam. Qui vere gustavit mortem Christus, prædixit in corde terræ se tridui et trinoctii spatio futurum, neque mortem neque infernum recordatus. Hic vero in umbra mortis constitutus Jonas, non vere mortuus, inferorum mentionem facit : ut discas Domino nostro, tanquam Deo, mortem fuisse ultroneam, et suæ voluntatis, ac resurrectionem in ipsius potestate vel arbitratu fuisse : eam ob causam cor terræ dixit, non mortem, neque Plutonis regiam. Jonæ vero non erat in propria potestate vita : propterea veluti apud inferos exsistens, quantum attinet ad naturam ejus facti sui, alvi Plutonis meminit. Clamavit etiam Dominus in tribulatione sua in cruce ad Patrem, *Pater, dimitte illis peccatum*[37], et omnino exauditus est. Dimissum est enim peccatum iis qui in incredulitate sua non permanserunt. Forsan et alvum inferni dicere quis crucem possit : illa enim pro nostra salute Domini mortem peperit.

ἐπιφαίνεσθαι οἰόμενος, νῦν εὑρίσκει αὐτὸν ἐν κοιλίᾳ τοῦ κήτους παρόντα, καὶ εὐχαριστεῖ τῷ σεσωκότι, καί φησιν, ὅτι ἐδέχθη αὐτῷ ἡ προσευχή, ἢ ὡς προφητικῷ Πνεύματι συνεὶς τοῦτο, ἢ καὶ κατὰ τὸ εἰκὸς τοῦτο λέγων. Οὐ γὰρ ἂν διετέλεσα ζῶν, φησί, μέχρι τοῦ νῦν, εἰ μὴ εἰσήκουσας τῆς προσευχῆς μου. Ἅδου δὲ κοιλίαν, τὴν τοῦ κήτους ὠνόμασε, καὶ ὅτι τὸ ζῶον θανατηφόρον, καὶ ὅτι τῇ φύσει τοῦ γεγονότος νεκρὸς ἦν· ἔζη δὲ μόνῃ Θεοῦ χάριτι. Ἄλλως τε καὶ ὡς τύπος Χριστοῦ, ἐν καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας διαγεγονότος, εἰκότως ἐν κοιλίᾳ ᾅδου διαγεγενῆσθαί φησι. Καὶ ὅρα τὸ παράδοξον· Ὁ μὲν ἀληθῶς τοῦ θανάτου γευσάμενος, ἐν τῇ καρδίᾳ τῆς γῆς ἔφη ἔσεσθαι τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, μὴ μνημονεύσας ᾅδου, ἢ θανάτου· ὁ δὲ ἐν σκιᾷ τοῦ θανάτου ὢν Ἰωνᾶς, καὶ μὴ ἀληθῶς θανών, ᾅδου μνημονεύει· ἵνα μάθῃς, ὅτι τῷ μὲν Κυρίῳ ὡς Θεῷ καὶ ὁ θάνατος αὐθαίρετος, καὶ ἡ ἀνάστασις αὐτεξούσιος· διὸ καρδίαν γῆς ὠνόμασεν, οὐχὶ θάνατον, οὐδὲ ᾅδην. Τῷ δὲ Ἰωνᾷ, οὐκ ἐν τῇ ἐξουσίᾳ ἦν ἡ ζωή· διὸ ὡς ἐν ᾅδῃ ὤν, ὅσον γε κατὰ τὴν φύσιν τοῦ γινομένου, κοιλίας ᾅδου ἐμνήσθη. Ἐβόησε δὲ καὶ ὁ Κύριος ἐν τῇ θλίψει τῇ κατὰ τὸν σταυρὸν, πρὸς τὸν Πατέρα· *Πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν* (13)· καὶ εἰσηκούσθη πάντως. Ἀφείθη γὰρ τοῖς μὴ τῇ ἀπιστίᾳ ἐμμείνασι. Κοιλίαν δὲ ᾅδου τάχ' ἂν τις εἴποι καὶ τὸν σταυρόν· οὗτος γὰρ τὸν ὑπὲρ ἡμῶν τοῦ Κυρίου θάνατον ἐγέννησεν.

Vers. 4. *Dejecisti me in profunda cordis maris, et flumina circumierunt me.* Cor maris audiens, memento Domini dicentis se futurum in corde terræ, videque typum veritati consonantem. Variis autem modis vates quod secum contigit enuntiat, magnificans Dei gratiam quæ sibi obvenit : juxta indicans potentiam Dei, ut qui ex quovis malo servare possit, etiamsi terribilissimum fuerit. Non enim simpliciter dixit, In profunda, sed apposuit etiam *Cordis*. Cum enim cor videatur esse intimum animantis, et præcipua pars, hyperbolen hic ostendens, *In profunda cordis*, dixit, pro intimis, ac si dicat : In maris intima me dejecisti (14) (balæna enim in profundo moratur), ipsius balenæ me intima comprehenderunt. Flumina vero dixit, fluctuum insultus, sive quod flumina sese in mare exonerent. Jam qui a mari cingitur, a fluminibus certe circumfluitur juxta.

Ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με. Καρδίαν θαλάσσης ἀκούων, μνήσθητι τοῦ Κυρίου εἰπόντος, ὅτι ἔσται ἐν τῇ καρδίᾳ τῆς γῆς, καὶ ὅρα τὸν τύπον τῇ ἀληθείᾳ συμφωνοῦντα. Πολυτρόπως δὲ ἐξηγεῖται τὸ συμβὰν ὁ προφήτης, μεγαλύνων τὴν εἰς αὐτὸν γενομένην χάριν τοῦ Θεοῦ, καὶ δεικνὺς ἅμα τὴν δύναμιν αὐτοῦ, ὡς ἰσχύοντος ἐκ παντὸς κακοῦ σώζειν, κἂν φοβερώτατον εἴη· οὐ γὰρ εἶπεν ἁπλῶς, Εἰς τὰ βάθη, ἀλλὰ προσέθηκε καὶ, *Καρδίας*. Ἐπειδὴ γὰρ ἡ καρδία δοκεῖ τὸ ἐσώτατον εἶναι τοῦ ζώου καὶ κυριώτατον, ὑπερβολὴν ἐνταῦθα δεικνὺς, *Εἰς βάθη καρδίας*, εἶπεν, εἰς τὰ ἐσώτατα· ὡς ἂν εἰ ἔλεγε· Τῶν ἐσωτάτων τῆς θαλάσσης με ἀπέρριψας (τὸ γὰρ κῆτος ἐν τοῖς βάθεσι διατρίβει)· αὐτοῦ δὲ τοῦ κήτους τὰ ἐσώτατά με περιέσχον. Ποταμοὺς δὲ λέγει τῶν κυμάτων τὰς προσβολάς. Ἢ ἐπειδὴ καὶ ποταμοὶ ἐμβάλλουσι τῇ θαλάσσῃ, ὁ ὑπὸ τῆς θαλάσσης κυκλούμενος, δηλαδὴ καὶ ὑπὸ τῶν ποταμῶν κυκλοῦται.

Cunctæ sublimitates tuæ (15) *super me transierunt.* Quando, inquit, in navi eram, sublimitates habebam, ceu navi a fluctibus in altum sublata. Tuæ vero istæ sublimationes fuerunt et fluctus, veluti ex tuo mandato suscitati.

Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον. Ὅτε ἦμην, φησὶν, ἐν τῷ πλοίῳ, μετεωρισμοὺς εἶχον, ἅτε τῆς νεὼς μετεώρου γινομένης ὑπὸ τῶν κυμάτων. Σοὶ δὲ ἦσαν οἱ τοιοῦτοι μετεωρισμοὶ καὶ τὰ κύματα, ὡς κατὰ τὴν σὴν πρόσταξιν συνιστάμενα.

[37] Luc. XXIII, 44.

Variæ lectiones et notæ.

(13) Τὴν ἁμαρτίαν ταύτην, *peccatum hoc*, Cod. Ven.

(14) *E maris intimis me ejecisti.*

(15) Uterque cod. addit, *et fluctus tui.*

Digitized by Google

Κἀγὼ εἶπον· Ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου. Ἆρα προσθήσω τοῦ ἐπιβλέψαι πρὸς ναὸν τὸν ἅγιόν σου; Τηνικαῦτα, φησὶν, ἐν μέσοις ὢν τοῖς δεινοῖς, ὑπενόουν, ὅτι τῶν σῶν ὀφθαλμῶν καὶ τῆς σῆς ἐπισκοπῆς καὶ ἐφορίας ἀπέρριμμαι, καὶ ἐνεδοίαζον· Ἆρα ἀπὸ τοῦ νῦν ζήσω, καὶ προσθήσω, τουτέστι, σπουδάσω καὶ προθυμήσομαι, ἀξιωθήσομαι ἐπιβλέψαι τὸν ἅγιόν σου ναὸν τὸν ἐν Ἱεροσολύμοις; Τινὲς δὲ, οὕτως· Οἶδα μὲν, ἐν τῇ κοιλίᾳ τοῦ κήτους ὤν, ὅτι σέσωκάς με παραδόξως· πλὴν ἐνδοιάζω, εἰ καὶ ἐκδοθήσομαι, καὶ εἰς φῶς ἥξω, ὥστε καὶ εἰς αὐτὸν φθάσαι τὸν θεῖον ναὸν, καὶ ἐν αὐτῷ δοξολογῆσαί σε. Καὶ ἐπὶ τὸν Κύριον δὲ μετεωρισμοὶ ἐπῆλθον αἱ σκιαὶ τῆς μετεώρου καὶ ὑπερηφάνου καὶ ἀστάτου Συναγωγῆς· καὶ κύματα, τὰ ποικίλα τοῦ πάθους εἴδη, ἃ ὡς κατὰ γνώμην τοῦ Πατρὸς ἐπελθόντα, ἐκείνου εἶναι λέγονται. Τότε δὴ καὶ εἶπεν· Ἵνα τί με ἐγκατέλιπες; ὅμοιον τῷ ἐνταῦθα, Ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου. Εἶπε δὲ τοῦτο ἀνθρωπίνως. Οἱ γὰρ ἄνθρωποι ἐγκαταλελεῖφθαι τοὺς εἰς τὰ τοιαῦτα περιπίπτοντας λέγουσιν. Ἀ γοῦν εἰκὸς ἦν τοὺς ἄλλους λέγειν ἀνθρώπους περὶ αὐτοῦ, αὐτὸς ταῦτά φησι περὶ ἑαυτοῦ. Διὸ καὶ ὡς πρὸς τὴν τοιαύτην διάνοιαν, λέγει· Ἆρα οὖν καὶ ἐπιβλέψω ἔτι πρὸς τὸ σῶμα, ὃ σός ἐστιν ἅγιος ναὸς, ὡς ὑπὸ σοῦ κατασκευασθείς μοι; Ἢ ὡς καὶ σὲ ἐν ἐμοὶ χωρῶν, καὶ ἀναλήψομαι αὖθις αὐτὸ ἐξ ἀναστάσεως; Μηδεὶς δὲ ἐπιφυέσθω τῷ λόγῳ, ὡς ἀγνοοῦντα τὸν Κύριον παρεισάγοντι, εἰ καὶ ἀναστήσεται· ἀλλὰ προσεχέτω οἷς εἴπομεν, ὅτι κατὰ τοὺς ἀνθρωπίνους λογισμοὺς ταῦτα εἴρηται.

A Vers. 5. *Egoque dixi: Depulsus sum ex oculis tuis. Proinde apponamne ego intueri in templum sanctum tuum?* Tum, inquit, cum in medio periculorum essem, cogitabam me ab oculis tuis, a visitatione, ab inspectione projectum esse, ac hæsitabam: Vivamne, **192** et posthac apponam, hoc est, conabor, desiderabo, cupiam intueri templum sanctum tuum Hierosolymis? Sunt qui sic intelligant: Novi equidem in alvo ceti exsistens, quod me mirifice præter opinionem etiam meam servaris, verumtamen dubito num hinc sim egressurus, reversurusque in lucem, ut vel in ipsum divinum templum perveniam, inque ipso glorificem te. Accesserunt et ad Dominum sublimationes, umbræ videlicet sublimis et arrogantis et inconsistentis B Synagogæ et fluctus, hoc est, variæ afflictionis species. Quæ cum juxta Patris consilium ipsum invaserint, ipsius esse dicuntur. Unde tum etiam dixit: *Utquid me dereliquisti* [18]? Quod simile est huic, quod hic ait: *Projectus*, seu *depulsus sum ab oculis tuis* [19]. Atque hoc humano more prolocutus est. Homines enim ubi in tam grandia pericula inciderint, se derelictos aiunt. Quod igitur verisimile erat alios homines de ipso dicere, ipse hæc de sese loquitur. Quare ad hanc veluti sententiam dicit: Respiciamne adhuc ad corpus, quod templum tuum sanctum est, tanquam abs te apparatum exstructumque mihi? Seu veluti te in me etiam capiens, et recipiam ipsum rursus ex resurrectione mea? Nemo autem hic insurgat sermoni, Dominum ceu ignorantem, num sit resurrecturus necne, introducenti: verum animadvertat quæ supra memoravimus, quod talia juxta humanas cogitationes dicta sint.

Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου· ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη· ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων. Κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς, κάτοχοι αἰώνιοι. Τὴν περὶ αὐτὸν τοῦ Θεοῦ χάριν ποικίλως ὁ προφήτης ἐξυμνῶν, καὶ ὑπὸ ὕδατος περισχεθῆναί φησιν, ὃ φύσιν εἶχε τὴν ψυχὴν ἀφαιρεῖσθαι, καὶ ὑπὸ τῆς ἐσχάτης ἀβύσσου κυκλωθῆναι, καὶ ἐν σχισμαῖς ὀρέων γενέσθαι. Αἰνίττεται δὲ διὰ τούτου καὶ τὸ τοῦ κήτους μέγεθος· καὶ ὄρη τινὰ καὶ σπήλαια, οἷς εἰκὸς τὸ κῆτος ἐγκαταδύεσθαι. Τοιαῦτα γὰρ ἐν τῇ θαλάσσῃ πολλὰ, οἷς τὰ σκάφη προσαραττόμενα διαφθείρονται. Ὁ δεδιότες οἱ ἐμπειρότατοι τῶν ναυτῶν, τὰς ὑφάλους πέτρας ἐκκλίνειν σπουδάζουσιν. Εἰς γῆν δὲ λέγει καταβῆναι τὴν τοῦ ᾅδου, οὐχ ὅτι ἐκεῖ κατέβη (οὐ γὰρ ἀπέθανεν ἀληθῶς), ἀλλ' ὅτι τοῦ κινδύνου τὸ μέγεθος τοῦτο ἀπῄτει, τὸ τεθνᾶναι δοκεῖν, καὶ εἰς αὐτὸν ἀφικέσθαι τὸν ᾅδην, εἰς ὃν καταβὰς, ὥσπερ ὑπό τινων μοχλῶν κατέχεται. Οὗτοι δέ εἰσι *κάτοχοι αἰώνιοι*, τουτέστιν, εἰς αἰῶνα κατέχοντες τοὺς ἐμπεσόντας. Ἢ ἀντὶ τοῦ, ἀσφαλῶς καὶ ἀῤῥήτως ἐῤῥιζωμένοι, καὶ ὑπ' οὐδενὸς ἐξ αἰῶνος (16)

C Vers. 6. *Circumfusa est mihi aqua usque ad animam meam, abyssus extrema me circumdedit, subiit caput meum ad rimas montium. Descendi in terram, cujus vectes detentiones æternæ.* Gratiam Dei erga sese propheta variis modis celebrans, ab aqua se circumfusum ait: cui, aquæ dico, natura est auferre animam et vitam, seque ab ultima abysso cinctum, et in fissuris montium fuisse inquit: per quod subobscure ceti magnitudinem exhibet. Montes dein et spelæa nominat, quæ verisimile est subire balænam: hujusmodi enim in mari pleraque sunt, quibus illisæ scaphæ pereunt. Quod peritiores nautæ formidantes, petras sub mari exstantes declinare student. In terram autem se Ditis descendisse ait, non quod illuc descenderit (nec enim D vere mortuus erat), cæterum quod periculi magnitudo exposceret, ut mortuus ille videretur, et ad ipsum Plutonem atque infernum pervenisse: ad quem qui descenderit, ceu a quibusdam vectibus detinetur. Illi porro sunt *detentiones æternæ*, hoc est, in æterna sæcula eos qui inciderint retinentes.

[18] Matth. xxvii, 46. [19] Marc. xv, 34.

Variæ lectiones et notæ.

(16) Verbum, ἐξ αἰῶνος, *a sæculo*, deest in Cod. Ven.

Digitized by Google

Vel æternæ, hoc est, firmiter et ita ut infringi nequeant radicatæ, atque nemine jam inde a principio dissolutæ, neque ullo unquam sæculo a propria sede vel mansione motæ. Abyssus extrema Domino mors est, quam postremam pro nobis sustinuit, post innumeras insidias. Subiit autem caput ejus sepulcri spelæum.

A παραλελυμένοι, καὶ τῆς οἰκείας ἐκστάντες ἕδρας καὶ μονιμότητος. Ἄβυσσος ἐσχάτη τῷ Κυρίῳ ὁ θάνατος, ὃν ἔσχατον ὑπὲρ ὑμῶν ὑπέστη, μετὰ τὰς μυρίας ἐπιβουλάς. Ἔδυ δὲ ἡ κεφαλὴ αὐτοῦ εἰς τὸ τοῦ τάφου σπήλαιον.

193 *Et ascendat ex corruptione vita mea ad te, Domine Deus meus.* Per hoc, quod in ceto servatus est, incipit credere, quod vitam denuo sit recepturus: eam ob rem hoc etiam exoptat, non utique exoptaturus, nisi ex illo hoc peræque Deo possibile credidisset. Cum enim ambo sint impossibilia, qui hoc potest, alterum itidem potest omnino. Vita igitur mea in ceto, ab hac corruptione qua jam interiisse videor, ascendat ad te, hoc est ad templum sanctum tuum, in quo cerneris et glorificaris, ut vel in hoc ego gratia tua fruar. Sic et Domini vita, non ex corruptione sui, quam nullam vidit, sed ex corruptione mortis, ascendit ad supercœleste templum, perinde ac dixit: *Ascendo ad Patrem meum* [30].

Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σέ, Κύριε ὁ Θεός μου. Ἐκ τοῦ ἐν τῷ κήτει σεσῶσθαι ἄρχεται πιστεύειν, ὅτι καὶ τοῦ ἀναζῆσαι τεύξεται· διὸ καὶ εὔχεται τοῦτο, οὐκ ἂν εὐξάμενος, εἰ μὴ ἐξ ἐκείνου καὶ τοῦτο ἐπίστευσε δυνατὸν εἶναι τῷ Θεῷ. Ἀδυνάτων γὰρ ὄντων ἀμφοῖν ἐπίσης, ᾧ τὸ ἕτερον δυνατόν, καὶ τὸ ἕτερον πάντως. Ἡ ζωή μου τοίνυν ἡ ἐν τῷ κήτει, ἀπὸ ταύτης τῆς φθορᾶς ἣν δοκῶ φθαρῆναι, ἀναβήτω πρὸς σέ, τουτέστι, πρὸς τὸν ναὸν τὸν ἁγιόν σου, ἐν ᾧ σὺ ὀπτάνῃ καὶ δοξολογῇ, ὥστε κἀμὲ ἐν τούτῳ ἀπολαύειν τῆς σῆς χάριτος. Καὶ τοῦ Κυρίου δὲ ἡ ζωή, οὐκ ἐκ φθορᾶς (οὐ γὰρ εἶδε ταύτην), ἀλλ' ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἀνέβη πρὸς τὸν ἐπουράνιον ναὸν καὶ τὸν Πατέρα, καθὰ καὶ ἔλεγεν· *Ἀναβαίνω πρὸς τὸν Πατέρα μου.*

B

Vers. 8. *Cum deficeret anima mea a me, Dominum recordatus sum. Et veniat, obsecro, oratio mea, ad templum sanctum tuum.* Non abeunt sanctis tribulationes citra lucrum. Hinc et David: *In tribulatione*, inquit, *mea invocavi Dominum, et exaudivit me ad latitudinem* [31]. Et Isaias: *In afflictione*, inquit, *tui mentionem feci* [32]. Tum Paulus: *Tribulatio patientiam efficit, patientia vero probationem* [33]. Consimilem ad modum Jonas, quando anima ejus periculi magnitudine deficeret, non ad convicia delapsus est, sed, *Dominum recordatus sum*, ait: hoc est, Invocavi ipsum, ut esset adjutor meus. Vel memini equidem Domini, quod amico erga mortales affectu est, ac negligat peccatum quod patravi, non obtemperans ipsi: propterea et precatus sum ipsum, ut posthac sim dignus quo perveniat ad te oratio mea, quam faciam ad templum sanctum tuum, quando prorsus revixero. Si enim vitam recuperavero, veniam ad templum Hierosolymorum, et preces meas ad te fundam. Vel hæc ipsa precatio, qua etiamnum te precatus sum, ut ascendat vita mea ex corruptione, et veniat ad te, sive ad templum sanctum tuum, sive supercœleste, sive illud quod in Jerusalem est. In eo enim solo, ut in præfatione dictum, credebant perspicuas Dei visiones et apparitiones fieri, omniumque in eo orationes suscipi. Dominus etiam, cum animam exhalaturus esset, meminit Patris sui, dicens: *Pater, in manus tuas depono spiritum meum* [34]. Ascendensque in cœlum corpore interpellat pro nobis apud Patrem, corpore legationis vice obtinente, quod pro magnæ supplicationis symbolo osten-

C

D

Ἐν τῷ ἐκλείπειν τήν ψυχήν μου ἀπ' ἐμοῦ (17), *τοῦ Κυρίου ἐμνήσθην. Καὶ ἐλθοί πρὸς σὲ ἡ προσευχή μου, πρὸς ναὸν τὸν ἅγιόν σου.* Οὐκ ἀκερδεῖς τοῖς ἁγίοις αἱ θλίψεις· οὕτω καὶ Δαβὶδ φησιν· *Ἐν θλίψει ἐπεκαλεσάμην τὸν Κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν.* Καὶ Ἡσαΐας, *Ἐν θλίψει ἐμνήσθην σου.* Καὶ ὁ Παῦλος, *Ὑπομονὴ ἡ θλῖψις κατεργάζεται· ἡ δὲ ὑπομονή, δοκιμήν.* Καὶ Ἰωνᾶς τοίνυν ὅτε ἐξελίμπανεν ἡ ψυχὴ αὐτῷ ὑπὸ τοῦ φόβου τοῦ κινδύνου, οὐκ, Εἰς βλασφημίαν ἐξέπεσον, φησίν, ἀλλ', *Ἐμνήσθην τοῦ Κυρίου*· τουτέστιν, Ἐπεκαλεσάμην αὐτὸν βοηθόν. Ἢ, ὅτι Ἐμνήσθην, ὅτι φιλάνθρωπός ἐστι, καὶ παρίσταται τὴν ἁμαρτίαν ἣν ἔδρασα παρακούσας αὐτοῦ· διὸ καὶ ἐδεήθην αὐτοῦ, καὶ λοιπὸν γενοίμην ἄξιος τοῦ ἀνελθεῖν πρὸς σὲ τὴν προσευχήν μου, ἣν ποιήσομαι πρὸς τὸν ναὸν τὸν ἅγιόν σου, ὅτε πάντως ἀναβιώσομαι. Εἰ γὰρ ἀναζήσω, καὶ ἐλεύσομαι πρὸς τὸν ἐν Ἱεροσολύμοις ναόν, καὶ προσεύξομαί σοι. Ἢ καὶ, Αὕτη ἡ νῦν προσευχή, ἣν προσηυξάμην σοι, ὥστε ἀναβῆναι τὴν ζωήν μου ἐκ φθορᾶς, καὶ ἐλθοί πρὸς σέ, ἤτοι πρὸς τὸν ναὸν τὸν ἅγιόν σου, ἢ τὸν ἐπουράνιον, ἢ τὸν κάτω. Ἐν τούτῳ γὰρ μόνῳ, ὡς καὶ ἐν προοιμίοις εἴρηται, ἐπίστευον τὰς ἐναργεῖς ἐμφανείας ποιεῖσθαι τὸν Θεόν, καὶ τὰς πάντων εὐχὰς ἐν τούτῳ δέχεσθαι. Ἀλλὰ καὶ ὁ Κύριος ὅτε ἔμελλε θανεῖν, ἐμνήσθη τοῦ Πατρὸς, εἰπών· *Πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου.* Καὶ ἀναβὰς εἰς τὸν οὐρανὸν μετὰ σώματος, ἐντυγχάνει ὑπὲρ ἡμῶν τῷ Πατρὶ, τοῦ σώματος εἰς πρεσβείαν ὄντος, καὶ ἀντὶ μεγάλης ἱκετηρίας προσδεικνυμένου τῷ Πατρὶ, πρὸς τὸ ἐλεηθῆναι ἡμᾶς, δι' οὗ (18) τοῦτο ὑπὸ τοῦ

[30] Joan. xx, 17. [31] Psal. xvii, 7. [32] Isa. xxvi, 5. [33] Rom. v, 3, 4. [34] Luc. xxiii, 46.

Variæ lectiones et notæ.

(17) Ἐξ ἐμοῦ τὴν ψυχήν μου, Cod. Ven.

(18) Δι' οὗς, *propter quos*, Cod. Ven.

Digitized by Google

Υἱοῦ προσελήφθη. Ἡ γοῦν μετὰ σώματος ἀνάβασις πρὸς τὸν θεῖον καὶ οὐράνιον ναὸν προσευχὴ νοηθήσεται τοῦ ὑπὲρ ἡμῶν, ὡς εἴρηται, διὰ τοῦ σώματος ἐντυγχάνοντος.

Φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτῶν ἐγκατέλιπον· ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι. Ὅσα ηὐξάμην ἀποδώσω σοι εἰς σωτηρίαν μου τῷ Κυρίῳ. Ἄλλοι μὲν, φησὶ, τὰ μάταια καὶ ψευδῆ διώκοντες εἴδωλα, καὶ τοῖς μὴ οὖσι θεοῖς λατρεύοντες, οὐκ ἐξαιτοῦσι παρὰ σοῦ τὸν ἔλεον. Ἢ, ὅτι Ἐλεηθέντες παρὰ σοῦ, καὶ ῥυσθέντες ἐκ συμφορῶν, οὐχ ὑμνοῦσι καὶ μεγαλύνουσι τὸν ἔλεον ὃν ἐποίησας μετ' αὐτῶν. Ἢ καὶ, Σὲ τὸν ἔλεον αὐτῶν ἐγκατέλιπον· διὰ γὰρ τὸν σὸν ἔλεον ζῶσιν· *ὡς Εἰ γε παρανομίας παρατηρήσῃ, τίς ὑποστήσεται;* Ἐγὼ δὲ σωθεὶς, σοὶ θυσίας προσάξω, μετὰ εὐχαριστηρίων φωνῶν· καὶ ὅσα ηὐξάμην, τουτέστιν, ὑπεσχόμην ἕνεκα τῆς σωτηρίας μου ταύτης, ἀποδώσω σοι. Ἦσαν γὰρ θυσίαι σωτηρίου παρὰ τῷ νόμῳ· διὸ καί τινα τῶν ἀντιγράφων, *εἰς σωτήριον*, ἔχουσι. Τινὲς δὲ οὕτως· Ἐκεῖνα, φησὶν, ἀποδώσω σοι, ὅσα τὴν σωτηρίαν προξενεῖ, καὶ τὴν ἐμὴν ὠφελεῖ ψυχήν· ταῦτα δέ εἰσι, τὸ ὑπακούειν σοι, καὶ τὸ τῆς προφητικῆς διανοίας ἔργον ἐκτελεῖν. Καὶ οἱ τὸν Κύριον δὲ φυλόττοντες, μάταια καὶ ψευδῆ ἐφύλαττον, οἳ καὶ τὸν ἔλεον αὐτῶν, τὸ τῆς ἀναστάσεως δηλαδὴ μυστήριον, τὸ ὑπὲρ πάσης ἀνθρωπίνης φύσεως τελεσθὲν, καὶ ὑπὲρ αὐτῶν δὲ πάντως, ἐπείπερ καὶ αὐτοὶ ἄνθρωποι ἐγκατέλιπον, μὴ θελήσαντες πιστεῦσαι, ὅτι ἀνέστη ὁ ὑπ' αὐτῶν φυλασσόμενος. Καὶ αὐτὸς δὲ ὁ Κύριος ἔλεος ἦν αὐτῶν, ἀλλ' οὐκ ἠθέλησαν αὐτόν. Ἐγὼ δὲ, φησὶν, ὁ Υἱός σου, θύσω σοι, τουτέστιν, αἴτιος γενήσομαι τοῦ θύεσθαί σοι ἐν τῷ κόσμῳ τὴν μυστικὴν θυσίαν, καὶ ἀποδώσω σοι τὴν σωτηρίαν τῶν ἀνθρώπων, ἣν ἡ ἐμὴ σάρκωσις ἐπηγγέλλετο. Ἀλλὰ καὶ προσηύξατο πρὸ τοῦ πάθους· *Πάτερ, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, ἵνα καὶ αὐτοὶ ἓν ὦσι.*

A

B

C

dit Patri, ut nostri misereatur ipse, cujus rei gratia a Filio quoque assumptum est. Ascensus itaque cum corpore ad divinum et supercæleste templum, oratio intelligetur ejus qui pro nobis, ut commemoratum est, per corpus intercedit.

Vers. 9, 10. *Custodientes mendacia et vana, misericordiam suiipsorum reliquerunt, ego autem* **194** *voce laudis et confessionis sacrum tibi faciam. Quæcunque vovi, reddam tibi ad salutem meam Domino.* Alii sane, inquit, vana et mendacia idola sectantes, et servientes iis qui non sunt dii, misericordiam abs te non postulant. Vel misericordiam a te consecuti, et liberati a calamitatibus, non celebrant, neque magnificiunt misericordiam quam fecisti cum ipsis. Vel, te misericordiam ipsorum reliquerunt: per tuam enim misericordiam vivunt. Nam *si tu iniquitates observaveris, quis sustinebit*[35]? Atenim ego servatus, tibi victimas et sacrificia adducam cum gratiarum actione: ac quæcunque vovi, hoc est, promisi propter salutem meam hanc, reddam tibi. Fuerunt autem et in lege sacrificia salutaris: propterea et exemplaria quædam *ad salutare* habent. Quidam sic accipiunt: Illa, inquit, reddam tibi, quæcunque salutem mihi conciliant, et animam meam juvant. Hæc autem sunt obedire tibi, et prophetici ministerii opus perficere. Jam et Dominum custodientes, vane et frustra observabant, qui misericordiam suiipsorum, nempe arcanum resurrectionis, pro universa humana natura peractum, adeoque pro ipsis custodibus omnino, quandoquidem et ipsi homines, reliquerunt, nolentes credere, quod resurrexisset ab ipsis custoditus. Porro Dominus etiam ipse misericordia ipsorum erat, verum noluerunt eum. Ego vero, inquit, Filius tuus, sacrum tibi faciam: hoc est, auctor ero, ut tibi in mundo sacrificetur sacrificium spirituale, reddamque tibi salutem hominum, quam tibi mea incarnatio promisit. Insuper et ante afflictionem suam et crucem oravit: *Pater, serva illos in nomine tuo, ut et ipsi unum sint*[36].

ΚΕΦΑΛ. Γ'.

Καὶ προσετάγη ἀπὸ Κυρίου τῷ κήτει, καὶ ἐξέβαλε τὸν Ἰωνᾶν ἐπὶ τὴν ξηράν. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν ἐκ δευτέρου, λέγων· Ἀνάστηθι καὶ πορεύου εἰς Νινευὶ τὴν πόλιν τὴν μεγάλην, καὶ κήρυξον ἐν αὐτῇ κατὰ τὸ κήρυγμα τὸ ἔμπροσθεν, ὃ ἐγὼ λελάληκα πρὸς σέ. Καὶ ἀνέστη Ἰωνᾶς, καὶ ἐπορεύθη εἰς Νινευὶ, καθὰ καὶ ἐλάλησεν ὁ Κύριος. Προστάττεται πάλιν τὸ κῆτος, τουτέστι, θείᾳ δυνάμει καὶ ἀπορρήτῳ πρὸς τὸ δοκοῦν τῷ Θεῷ κινεῖται, καὶ ἐκ λαγόνων ἀβλαβῆ τὸν προφήτην ἀνίησιν, ἐκ τοῦ παθεῖν κερδάναντα τὸ μαθεῖν τὴν ὑπακοήν. Προσταχθεὶς γὰρ ἐκ δευτέρου ἀπελθεῖν πρὸς τὴν Νινευὶ, καὶ κηρύξαι κατὰ τὸ ἔμ-

CAPUT III.

Cap. II, Vers. 11.—Cap. III, Vers. 1, 2. *Datumque est a Domino mandatum ceto, et ejecit Jonam super aridam. Factumque est verbum Domini secundo ad Jonam dicens: Surge et vade in Ninevi civitatem magnam, et concionare in ipsa juxta priorem concionem, quam ego locutus sum ad te.* (19) Præcipitur per divinam potentiam balænæ, quæ statim inexplicabili quadam ratione, ad divinæ majestatis voluntatem movetur, eque lateribus et ventre suo incolumem atque illæsum vatem reddit. Qui ex ea passione sua lucratus erat, ut disceret obtemperare Deo. Injuncto enim ei, secunda vice proficisci in urbem Ninevi, et prædicare juxta priorem prædica-

D

[35] Psal. CXXIX, 3. [36] Joan. XVII, 11.

Variæ lectiones et notæ.

(19) *Et surrexit Jonas, et profectus est Ninive, quemadmodum locutus est ei Dominus.* Ex Cod. Ven. et Bav.

Digitized by Google

tionem, quæ erat, quod ascendissent flagitia ejus ad Deum, non tergiversatur, sed illico surgit non corpore solum, sed animi etiam promptitudine, et resurrectione mentis : sibique demandatum perficit. Hunc ad modum non dissimiliter, tribulationes magna sunt eruditio animadvertentibus, **195** ut quæ divinæ voluntati placuerunt, persequantur. Atque hic contemplare, qui res gestæ Servatoris nostri Jesu cum Jonæ hisce factis conveniant. Siquidem Jonas priusquam pateretur quæ est perpessus, fugit, ne Ninevi perveniret : sic Dominus ante crucem et passionem suam cunctabatur gentibus annuntiare æternum regnum : unde discipulis suis etiam præcipiebat, In viam gentium ne eatis. Ite autem potius ad oves, mandabat, quæ in domo Israel perierunt [87] : quandoquidem neque ipse alio, præterquam ad has solas missus esset. Ubi vero ab afflictione et morte sua in corde terræ triduum et trinoctium egisset, tum alia, quorumcunque Jonas typus exstitit, suscepit. Siquidem ascendit et prodiit ipse ex interitu vita ; prædicat dein gentibus per apostolos, juxta priorem prædicationem : non enim alia Israelitis ante passionem suam, alia vero gentibus post passionem tradidit : sed enim unum super omnes Evangelium est, una fides, idem baptisma.

προσθεν κήρυγμα (τὸ δὲ ἦν, ὅτι ἀνέβη ἡ κακία αὐτῆς πρὸς τὸν Θεὸν), οὐκ ἀναδύεται, ἀλλ' εὐθὺς ἀνίσταται, οὐ σώματι μόνον, ἀλλὰ καὶ προθυμίᾳ, καὶ ἀναστάσει ψυχῆς, καὶ τὸ κελευσθὲν ποιεῖ. Οὕτως ἄρα τοῖς προσέχουσιν αἱ θλίψεις μέγα παίδευμα πρὸς τὸ πράττειν τὰ δοκοῦντα Θεοῦ. Παραθεώρει δέ μοι καὶ τὰ τοῦ Κυρίου πρὸς τὰ τοῦ Ἰωνᾶ. Οὗτος πρὸ τοῦ παθεῖν ἃ ἔπαθεν, ἀποδιδράσκει τὴν Νινευΐ· καὶ ὁ Κύριος πρὸ τοῦ πάθους, κατώκνει κηρύττειν τοῖς ἔθνεσιν, ὅς γε καὶ τοῖς μαθηταῖς ἀπηγόρευεν εἰς ὁδὸν ἐθνῶν μὴ ἐλθεῖν· πορεύεσθαι δὲ μᾶλλον ἐνετείλετο πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· ἐπεὶ μηδὲ αὐτὸς ἀλλαχόσε, ἢ εἰς ταῦτα, ἀποστελῆναι. Ἐπεὶ δὲ παθὼν, ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας γέγονε, καὶ τἄλλα, ὅσα προυετύπου Ἰωνᾶς, κατεδέξατο, καὶ ἀνέβη αὐτῷ ἐκ φθορᾶς ἡ ζωή· κηρύττει λοιπὸν καὶ τοῖς ἔθνεσι διὰ τῶν ἀποστόλων, κατὰ τὸ κήρυγμα τὸ ἔμπροσθεν. Οὐ γὰρ ἄλλα μὲν τοῖς ἐξ Ἰσραὴλ πρὸ τοῦ πάθους, ἄλλα δὲ τοῖς ἔθνεσι μετὰ τὸ πάθος παρέδωκεν· ἀλλ' ἓν ἐπὶ πάντας τὸ Εὐαγγέλιον, καὶ μία ἡ πίστις, καὶ ἓν τὸ βάπτισμα.

Vers. 3. *Ninevi autem urbs ingens erat Deo, veluti tridui iter complexa.* Grandis erat Ninevi magnitudine, ac propterea apud Deum quoque ingens erat, plurimique faciebat ejus salutem, ut qui non parum multos in ea homines finxisset, quos omnes servatum iri vellet. Quod ait : *velut iter profectionis trium dierum*, aliqui sane de spatio urbis intellexerunt, ceu trium dierum intervallo tota urbs circumiri potuerit.

Τὴ δὲ Νινευΐ ἦν πόλις μεγάλη τῷ Θεῷ ὡσεὶ πορείας ὁδοῦ τριῶν ἡμερῶν. Μεγάλη ἦν (20) Νινευΐ τῷ μεγέθει, καὶ διὰ τοῦτο καὶ παρὰ τῷ Θεῷ μεγάλη ἦν, καὶ περὶ πολλοῦ ἐποιεῖτο τὴν αὐτῆς σωτηρίαν, ἅτε δὴ πολλοὺς ἐν αὐτῇ διαπλάσας ἀνθρώπους, καὶ τούτους πάντας σωθῆναι θέλων. Τὸ δὲ, Ὡσεὶ πορείας ὁδὸν ἡμερῶν τριῶν, τινὲς μὲν περὶ τοῦ διαστήματος τῆς πόλεως ἐξειλήφασιν, ὡς διὰ τριῶν ἡμερῶν πᾶσαν (21) περινοστῆσαι δυναμένου τὴν πόλιν.

Vers. 4. *Orsus est ergo Jonas ingredi in urbem, ceu profectionem itineris diei unius, et concionatus est, et dixit : Post tres dies Ninevi subvertetur.* Non recta per urbem iter faciens concionabatur, sed per forum, vicos et plateas ingrediens. Ingens autem miraculum erat, virum Hebræum ex alia terra venientem, nemini cognitum, per urbem ingredi et vociferari : *Adhuc tres dies et Ninevi subvertetur.* Sed quærat hic aliquis, quomodo Deus juxta priorem concionem prædicare jusserit. Licet igitur hic dicere, quod prophetæ hoc tantummodo breviter nobis enarrent, quod missi sint. Non enim omnia verba quæ Deus ad ipsos, et illi ad ipsum fecerunt, expresse et plane annuntiant. Proinde et in principio vaticinii hujus videmus prophetam hunc ad Deum nihil locutum esse, et interim tamen inveniemus dicentem : *Domine, nonne hi sermones mei, cum adhuc in terra mea essem ? propterea præveni ut fugerem in Tharsis. Cognovi enim, quod tu*

Καὶ ἤρξατο Ἰωνᾶς τοῦ εἰσπορεύεσθαι εἰς τὴν πόλιν ὡσεὶ πορείας ὁδοῦ ἡμέρας μιᾶς. Καὶ ἐκήρυξε, καὶ εἶπεν· Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφήσεται. Οὐ κατ' εὐθὺ τῆς πόλεως ἰδεῖν ἐκήρυττεν, ἀλλ' ἀγορὰς καὶ ἀγυιὰς, καὶ ῥύμας περινοστῶν. Θαῦμα δὲ ἦν, ἀνὴρ Ἑβραῖος, καὶ ἐξ ἀλλοδαπῆς ἥκων, καὶ οὐδενὶ διεγνωσμένος, διὰ τοῦ ἄστεως καὶ βαδίζων καὶ κεκραγώς· Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφήσεται. Ἀλλὰ ζητήσει τις ἄν, πῶς ὁ μὲν Θεὸς κηρύττειν ἐκέλευε κατὰ τὸ κήρυγμα τὸ ἔμπροσθεν. Ἔστι τοίνυν εἰπεῖν, ὅτι οἱ προφῆται τοῦτο μόνον συνοπτικῶς ἡμῖν διηγοῦνται, ὅτι ἀπεστάλησαν· οὐ μέντοι πάντας τοὺς λόγους, οὓς ὅ τε Θεὸς πρὸς αὐτοὺς, καὶ αὐτοὶ πρὸς τὸν Θεὸν ἐποιήσαντο, διεξοδικῶς καὶ πλατέως ἀπαγγέλλουσιν. Ἀμέλει καὶ ἐν ἀρχῇ μὲν τῆς προφητείας οὐδὲν λαλήσας ὁ προφήτης οὗτος (22) πρὸς Θεὸν ἐπέγνωσται· πλὴν εὑρήσομεν λέγοντα· Ὦ Κύριε, οὐχ οὗτοι οἱ λόγοι μου, ὅτι ὄντος μου ἐπὶ τῇ γῇ

[87] Matth. x, 5, 6.

Variæ lectiones et notæ.

(20) Μεγάλη, φησὶν, ἦν, *magna, inquit, erat*, Col. Ven.

(21) Ὡς διὰ τριῶν ἡμερῶν ὁδὸν, κατά τε τὸ μῆκος καὶ εὖρος ἔχουσαν. Τινὲς δὲ τοῦ κηρύσσοντος διὰ τριῶν ἡμερῶν πᾶσαν.

(22) Deest οὗτος in Cod. Ven.

Digitized by Google

μου; Διὰ τοῦτο προέφθασα τοῦ φυγεῖν εἰς Θαρσεῖς, διότι ἔγνων, ὅτι σὺ ἐλεήμων καὶ οἰκτίρμων. Οὐδὲν οὖν θαυμαστὸν καὶ τὸ, *Ἔτι τρεῖς ἡμέραι καὶ Νινευὶ καταστραφήσεται*, εἰρῆσθαι μὲν ἐν ἀρχῇ πρὸς τὸν ὑποφήτην (24) ὑπὸ Θεοῦ, μὴ ἀναγραφῆναι δὲ ὑπ' αὐτοῦ. Ἰστέον δὲ, ὅτι οἱ λοιποὶ ἑρμηνευταὶ, *Τεσσαράκοντα ἡμέρας*, ἀντὶ τῶν τριῶν, ἔφησαν. Καί τινες ὡς ἔχοντά γε τὸ εἰκὸς τὸν ἀριθμὸν τοῦτον ἐδέξαντο. Ἐν γὰρ τρισὶν ἡμέραις, φασὶ, πότε μὲν αὐτὸς πᾶσαν περιενόστησε τὴν πόλιν· πότε δὲ τὴν ἐπίπονον ἐκείνην μετάνοιαν οἱ Νινευῖται τῷ Θεῷ προσήνεγκαν· πότε δὲ πρὸ τῶν πυλῶν καθήμενος ὁ Ἰωνᾶς, τὸ τῆς προφητείας ἀνέμεινε [*f.* -μενε] τέλος. Διὸ τὸ τῶν τεσσαράκοντα ἡμερῶν, ἀληθέστερον εἶναί φασιν. Εἰκὸς δὲ καὶ τοὺς Ἑβδομήκοντα τεσσαράκοντα θεῖναι ἡμέρας· τοὺς δὲ τὴν ἀρχὴν γράψαντας, σφαλῆναι, εἶτα ἐν πᾶσι τοῖς ἀντιγράφοις τὸ σφάλμα διαδοθῆναι. Πλὴν ὅρα, ὅτι οὐδὲ τὰς τρεῖς ἡμέρας παραδεχομένοις ἀπαντήσει τι ἄτοπον. Οὔτε γὰρ πᾶσαν τὴν πόλιν περινοστῆσαι τὸν προφήτην ἐπάναγκες ἦν, ἀλλ' ἅμα τε μιᾶς ἡμέρας ὁδὸν ἐπορεύθη κηρύττων, καὶ εἰς πάντας διεδόθη τὸ κήρυγμα, ὥστε καὶ εἰς τὸν βασιλέα φθάσαι, καὶ πρὸς τὸ ἐπιδειχθῆναι τὴν ἐπίπονον τῶν Νινευϊτῶν μετάνοιαν, καὶ παρὰ Θεοῦ προσδεχθῆναι, ἤρκουν καὶ αἱ μετὰ τὸ κήρυγμα ἡμέραι, εἴτε τρεῖς ταύτας θῶμεν, εἴτε δύο· ὅπου γε καὶ μία ἡμέρα ἤρκει δεῖξαι τοὺς ἀνθρώπους γνησίως μεταγνόντας. Ἐκάθισε δὲ πρὸ τῶν πυλῶν ὁ Ἰωνᾶς, εἴτε μεθ' εἷδε τούτους οὕτω μετανοεῖν ἐπιβαλλομένους (26), ἤτοι μετὰ τὴν πρώτην εὐθὺς τοῦ κηρύγματος ἡμέραν, ἤτοι μετὰ τὴν συμπλήρωσιν τῶν τριῶν ἡμερῶν, γινώσκων μὲν ὅτι ἱλαρὸς πρὸς αὐτοὺς διετέθη ὁ Θεὸς, καὶ οὐ καταστρέψει, τουτέστι, παντελῶς ἀπολέσει· πλὴν ἀλλ' ἀναμένων ἴσως ἐλαφροτέραν τινὰ τιμωρίαν αὐτοῖς ἐπαχθήσεσθαι. Εἴρηται τὰ ἡμῖν δοκοῦντα πρὸς τὸ μὴ ἀθετηθῆναι τὴν περὶ τῶν τριῶν ἡμερῶν ἀρχαίαν γραφήν· ὁ δ' ἀναγινώσκων, ἃ κρινεῖ κρείττονα, προελέσθω.

A *misericors et miserator esses.* Nihil igitur mirandum, dictum fuisse a Deo in principio ad subvertendam hunc : *Adhuc tres dies et Ninevi subvertetur :* (23) nec tamen ab ipso subvertendam. Observandum hic quod reliqui interpretes, *quadraginta dies* pro tribus dixerunt, ac quosdam ceu convenientem **196** numerum hunc recepisse. Siquidem in tribus diebus ille primum totam urbem circumivit, dein laboriosam illam pœnitentiam Ninevitæ Deo obtulerunt: postea ante portas urbis sedens propheta, prophetiæ suæ finem exspectavit : hinc et quadraginta dierum spatium verius esse dicunt. Atqui verisimile est Septuaginta primum quadraginta posuisse dies, ac eos qui principio descripserunt errasse, postea et in cuncta exemplaria B errorem esse transfusum. Attamen vide, quod neque tres dies accipientibus, aliquid absurdi obveniat. Neque enim totam urbem circumire prophetam necessum erat, verum simul unius diei iter profectus est prædicans, ut ista prædicatio ad omnes perferretur, atque ad ipsum usque regem perveniret. Atque ut gravis ista et anxia Ninevitarum pœnitentia demonstraretur, aque Deo susciperetur, sufficiebant post prædicationem dies, sive tres illas statuamus, sive duas. Quandoquidem una dies satis fuisset, ostendere homines germane resipuisse, et meliorem induisse mentem. Sedit autem ante portas urbis Jonas, (25) sive ne intueretur in eos adeo ad pœnitentiam conversos, sive C post primam statim prædicationis diem, seu post tridui completionem, cognoscens quod propitius esset illis Deus, et non subverteret, hoc est, funditus perderet: verumtamen exspectabat fortasse leniorem aliquam pœnam illis adducendam. Diximus quæ nobis visa sunt, ne rejiciatur de tribus diebus vetus scriptura. Qui hæc nostra legerit, quæ judicabit meliora, seligat.

Καὶ ἐπίστευσαν οἱ ἄνδρες Νινευὶ τῷ Θεῷ, καὶ ἐκήρυξαν νηστείαν, καὶ ἐνεδύσαντο σάκκους, ἀπὸ μεγάλου αὐτῶν ἕως μικροῦ αὐτῶν. Ἐμφαντικῶς εἴρηται τὸ, *Οἱ ἄνδρες Νινευὶ*, τουτέστιν, οἱ πᾶν ἄτοπον δρῶντες πρώην, οἱ γόητες, οἱ φαρμακεῖς, οἱ δαιμονοφόρητοι, ἐπίστευσαν τῷ ἀληθεῖ Θεῷ· οἱ πάσης τρυφῆς καὶ ἀσελγείας γέμοντες, ἐνήστευσαν· οἱ βλάκες, καὶ τρυφεροὶ τὴν ἀμφίασιν, σάκκους ἐνεδύσαντο. Καὶ οὐκ ἀπὸ τῶν μικρῶν καὶ πενεστέρων ἤρξατο ἡ τοιαύτη ἀγωγή· ἀλλ' ἀπὸ τῶν μεγάλων καὶ πλουσιωτέρων ἀρξαμένη, οὕτως ἤδη καὶ ἐπὶ τοὺς μικροὺς διέβη. Νόει μέντοι καὶ τὸ ἁπλῶς προσπίπτον, ὅτι ἀπό τῶν μεγάλων, τουτέστι, τῶν ἀνδρῶν, ἄχρι καὶ τῶν μικρῶν, ὃ ἐστι νηπίων,

D Vers. 5. *Et crediderunt viri Ninevi Deo, et indixerunt jejunium, et induti sunt sacco, a magno ipsorum usque ad parvum.* Significanter dictum est, *viri Ninevi*, hoc est, nihil non absurdi antea facientes, venefici et incantatores, dæmonibus agitati, crediderunt vero Deo; omnibus deliciis et lasciviis referti, jejunio se macerarunt; molles et delicati, sacci induerunt habitum. Neque tale studium a tenuioribus et pauperioribus initium duxit : verum a magnis et opulentioribus exordio sumpto, ad tenuiores etiam pervenit et minores. Observa autem hic simpliciter contingens, quod a magnis nempe viris, ad parvos, hoc est ad infantes usque pœnitentiæ indicia sint exhibita. Sic illi, qui neque

Variæ lectiones et notæ.

(23) *Minime tamen fuisse ab eo descriptum.* Sic ex utroque Cod. Ven et Bav. Lonicerus autem legisse videtur ἀναστραφῆναι, cum *subvertendum* reddiderit.

(24) Προφήτην, *vatem*, Cod. Ven.

(25) *Sive postquam eos ita pœnitentes vidit*, etc.

(26) Μεταβαλλομένους, Cod. Bav.

Digitized by Google

unquam animæ commodantem sermonem audivere, discipuli sunt facti hominis pauperis et ignoti: Judæi vero, et Mosen et prophetas deridentes, tandem et ipsi Deo minime obsequentes (27), deicidæ, ut ita dicam, facti sunt.

197 VERS. 6, 7. *Et appropinquavit sermo ad regem Ninevi, surrexitque a solio suo, et deposuit stolam suam a sese, et amictus est sacco, et sedit in cinere. Et promulgatum est, et indictum in Ninevi, a rege, tum proceribus ejus, dicentibus: Homines et jumenta et boves et oves non gustent quidquam, neque pascua carpant, et aquam non bibant.* Postquam magnates primi orsi sunt pœnitentiam, merito celeriter etiam ad ipsum usque regem perducta est fama prædicationis. Ac vide hic prudentem hominem, et propria mala agnoscentem. Non incredulus fuit, neque subsannavit sermonem, nec ægre tulit duram istam intermissionem, ac cognoscens quod male vixisset exacto tempore (natura enim ita comparatum est, ut conscientia peccatum indicet), desilit quidem a throno in quo sederat prius, multaque non optime judicaverat, mandaveratque, sedet in cinere et pulvere, ac auro interspersam, et gemmis glutinatam, delicatamque vestem exuit, aspero induto sacco, virosum et intolerabilem odorem præbente; adeo plane fit philosophus, severam vitam sumendo, omnibusque ostendit, nequidquam eos consuetudinem proponere, ut quæ vincire ipsos possit etiamnum ac perdere. Divulgatque, ut et bruta pecora simul jejunent: non veluti Deus hoc inquirat a jumentis, sed veluti illis magnitudinem alacritatis circa jejunium ostendentibus, propterea et bruta et jejuna manere animalia cogunt. Norant etiam alias, quod conferret eis ad majorem et operosiorem mentium suarum correctionem, jumentorum etiam afflictio. Cogitant autem secum in animo, quod si animantia, peccati expertia, jejunent, multo magis sese idem facere debere, ut qui peccatis sint obnoxii. Simul etiam hoc ratiocinabantur: quod irrationalibus animantibus fame pressis, aliis quidem balantibus, aliis vero mugientibus, et quibuslibet naturali usis voce, ipsi ad uberiores ardentioresque lacrymas, præ compassione, permoveantur: Deus autem eo pronius misertus, suam bonitatem impertiat. Quidam hic per jumenta efferos homines, atque ratione alieniores, monstrose putarunt.

VERS. 8. *Circumjeceruntque saccos homines et jumenta.* Per saccos, afflictionem illam intellige. Neque enim jumenta saccis amiciebantur.

Et clamaverunt ad Dominum extense. Si *clamaverunt* accipias, ut communiter hominibus et jumentis tribuas (etenim et famelicorum animantium

A τὰ τῆς μετανοίας γνωρίσματα ἐπεδείξαντο. Ἀλλ' οὗτοι μὲν οἱ μηδέποτε μηδενὸς λόγου ψυχωφελοῦς ἀκροασάμενοι, μαθηταὶ γεγόνασιν ἀνθρώπου πένητος καὶ ἀγνῶτος· Ἰουδαῖοι δὲ, καὶ Μωσέως καὶ προφητῶν καταγελῶντες, τελευταῖον καὶ αὐτῷ τῷ Σωτῆρι Θεῷ ἀπιστήσαντες, θεοκτόνοι γεγόνασιν.

Καὶ ἤγγισεν ὁ λόγος πρὸς τὸν βασιλέα τῆς Νινευΐ, καὶ ἐξανέστη ἀπὸ τοῦ θρόνου αὐτοῦ, καὶ περιείλετο τὴν στολὴν αὐτοῦ ἀφ' ἑαυτοῦ (28), *καὶ περιεβάλετο σάκκον, καὶ ἐκάθισεν ἐπὶ σποδοῦ. Καὶ ἐκηρύχθη, καὶ ἐρρέθη τῇ Νινευΐ παρὰ τοῦ βασιλέως καὶ τῶν μεγιστάνων αὐτοῦ, λεγόντων· Οἱ ἄνθρωποι, καὶ τὰ κτήνη, καὶ οἱ βόες, καὶ τὰ πρόβατα, μὴ γευσάσθωσαν μηδὲν, μηδὲ νεμέτωσαν, καὶ ὕδωρ μὴ πιέτωσαν.* Ἐπειδὴ οἱ μεγιστᾶνες πρῶτοι τῆς μετανοίας ἦρξαντο, εἰκότως ἀνηνέχθη ταχέως καὶ ἐπὶ τὸν βασιλέα ὁ λόγος τοῦ κηρύγματος. Καὶ ὅρα εὐγνώμονα ἄνθρωπον, καὶ τῶν οἰκείων κακῶν ἐπιγνώμονα· Οὐκ ἠπίστησεν, οὐ διεχλεύασε τὸν λόγον, οὐκ ἠγρίανεν ἐπὶ τῇ ἀποτομίᾳ τῆς ἀπειλῆς· ἀλλὰ γνοὺς, ὅτι κακῶς ἔζησε τὸν προδιανυσθέντα (29) χρόνον (φυσικῶς γὰρ τὸ συνειδὸς τὴν ἁμαρτίαν ἐπιδεικνύει), ἀποπηδᾷ μὲν τοῦ θρόνου, ἐφ' οὗ καθήμενος πρὶν, πολλὰ κακῶς ἔκρινέ τε καὶ διετάξατο, κάθηται δὲ ἐπὶ σποδοῦ καὶ κόνεως· καὶ τὴν μὲν χρυσόπαστον, καὶ λιθοκόλλητον, καὶ τρυφερὰν στολὴν ἐκδύεται, ἐνδύεται δὲ σάκκον τραχύν, καὶ οὐκ ἀνεκτῶς ὀδωδότα. Οὕτως ἀθρόον φιλόσοφος γίνεται, καὶ δείκνυσι πᾶσιν, ὅτι μάτην προβάλλονται B τὴν συνήθειαν, ὡς δεσμεῖν δυναμένην, καὶ κηρύττει ἵνα καὶ τὰ ἄλογα συννηστεύσωσιν· οὐχ ὡς τοῦ Θεοῦ τοῦτο ζητοῦντος παρὰ τῶν κτηνῶν, ἀλλ' ὡς ἐκείνων τὴν ὑπερβολὴν τῆς περὶ τὴν νηστείαν προθυμίας δεικνυόντων, διὰ τοῦ καὶ (30) τὰ ἄλογα καταναγκάσαι νηστεύειν. Καὶ ἄλλως δὲ ἤδεσαν, ὡς συμβαλεῖται αὐτοῖς εἰς ἐπιπονωτέραν μετάνοιαν ἡ τῶν κτηνῶν κακοπάθεια, ἐννοοῦσιν, ὡς εἰ τὰ ἀναμάρτητα κτήνη νηστεύουσι, πολλῷ μᾶλλον αὐτοὶ τοῦτο ποιεῖν ὀφείλουσιν, οἱ ταῖς ἁμαρτίαις ὑπεύθυνοι· ἅμα δὲ καὶ τοῦτο ἐλογίζοντο, ὡς τῶν ἀλόγων ζώων τῷ λιμῷ πιεζομένων, καὶ ἑκάστων τῇ φυσικῇ κεχρημένων φωνῇ, αὐτοὶ μὲν πρὸς θερμότερα δάκρυα ὑπὸ τῆς συμπαθείας ἀπενεχθήσονται· ὁ δὲ Θεὸς σπλαγχνιζόμενος, ἑτοιμότερον τὴν οἰκείαν ἐπιδώσει χρηστότητα. D Τινὲς δὲ, κτήνη, τοὺς ἀλογωτέρους τῶν ἀνθρώπων λέγεσθαι ἐνταῦθα ἑτερατεύσαντο.

Καὶ περιεβάλλοντο σάκκους οἱ ἄνθρωποι καὶ τὰ κτήνη. — *Σάκκους*, τὴν κακοπάθειαν νόει· οὐ γὰρ δὴ τὰ κτήνη ἐσακκοφόρουν.

Καὶ ἀνεβόησαν πρὸς τὸν Θεὸν ἐκτενῶς. Εἰ μὲν τὸ, *ἀνεβόησαν*, κοινὸν λαμβάνεις, ἐπί τε τῶν ἀνθρώπων καὶ τῶν κτηνῶν (καὶ γὰρ καὶ αἱ τῶν ζώων

Variæ lectiones et notæ.

(27) *Credentes.* Ex God. Ven. et Bav. Lonicerus forte legit ἀπειθήσαντες.

(28) Verba ἀφ' ἑαυτοῦ, *a seipso*, desunt in Cod. Ven.

(29) Προδιηνυσθέντα. Cod. Bav.

(30) Διὰ τοῦτο καὶ, *propterea et*, Cod. Ven.

Digitized by Google

τῶν λιμωττόντων φωναὶ, οἷα ἱκετηρία τις ἦσαν τῇ τοῦ Θεοῦ χρηστότητι), τὸ, *Ἐκτενῶς*, νοήσεις, ἀντὶ τοῦ, συντεταμένως, ὑπερβολικῶς· εἰ δὲ ἐπὶ τῶν ἀνθρώπων μόνων, νόει ὅτι καὶ τὰς χεῖρας ἐκτείνοντες, ἀνεβόων, ὃ φυσικὸν ὥσπερ ἐστὶν ἡμῖν ἐκτείνειν τὰς χεῖρας, ὅτε ἱκετεύομεν, οἰονεὶ δράξασθαι ἐπιποθοῦσι τοῦ ἱκετευομένου, καὶ λαβεῖν τάχιον ἀπ' αὐτοῦ ὃ αἰτοῦμεν.

Καὶ ἀπέστρεψεν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ἀπὸ τῆς κακίας (31) *τῆς ἐν χερσὶν αὐτῶν.* Οὐ μόνον τῇ νηστείᾳ καὶ τῷ σάκκῳ, ἤτοι τῇ κακοπαθείᾳ χρώμενοι τὸν Θεὸν ἱκέτευον, ἀλλὰ καὶ τρόπους διωρθώσαντο· οὗτος γὰρ τῆς ἀληθοῦς μετανοίας ὁ ὅρος, ὡς ἐν Ἡσαΐᾳ λέγει· *Οὐ ταύτην τὴν νηστείαν ἐγὼ ἐξελεξάμην, καὶ ἡμέραν, ταπεινοῦν ἄνθρωπον τὴν ψυχὴν αὐτοῦ. Ἀλλὰ λύε πάντα σύνδεσμον ἀδικίας.* Καὶ πάλιν, *Μάθε καλὸν ποιεῖν.* Οἱ μὲν οὖν πενέστεροι ἀπὸ τῆς ὁδοῦ τῆς πονηρᾶς ἀπέστρεψαν (32) μέθης, ψεύδους, ἀσελγείας, ὕβρεως, καὶ τῶν τοιούτων· οἱ δὲ δυνατώτεροι, καὶ ἀπὸ τῆς ἀδικίας τῆς ἐν χερσὶν αὐτῶν, τῆς ἐν βίᾳ (33) καὶ καταδυναστείᾳ τελουμένης· τὴν γὰρ βίαν αἱ χεῖρες σημαίνουσιν. Οὕτω καὶ ἐν τῇ συνήθει ὁμιλίᾳ λέγομεν· Ὅ δεῖνα χειρὶ ἔπραξε τόδε τι. Ἀλλὰ καὶ ὁ ἀδίκως κρίνων διὰ δῶρα, ἐν χερσὶν ἔχει τὴν ἀδικίαν, ἄδικον τὴν ψῆφον τιθείς· καὶ ὁ ἐκ τοῦ ἁρπάζειν πλουτῶν, ἐν χερσὶν ἔχει τὴν ἀδικίαν. Ὅταν δὲ ὁ μὲν ψηφηφορεῖ ἐννόμως, ὁ δὲ ἀποκτᾶται φιλανθρώπως, ἀποστρέφουσιν ἀπὸ τῆς ἀδικίας τῆς ἐν χερσὶν αὐτῶν.

Λέγοντες, Τίς οἶδεν, εἰ μετανοήσει καὶ παρακληθήσεται ὁ Θεὸς, καὶ ἀποστρέψει ἐξ ὀργῆς θυμοῦ αὐτοῦ, καὶ οὐ μὴ ἀπολώμεθα; Ὅρα συνετοὺς ἀνθρώπους· Οὐκ εἰς ἀπόγνωσιν ἔρριψαν ἑαυτοὺς, αἰσθόμενοι τοῦ μεγέθους τῶν ἁμαρτιῶν, ἀλλὰ συνελογίσαντο καὶ τὴν ἡμερότητα τοῦ Κριτοῦ, καὶ ὅτι μετανοήσει, τουτέστι μεταβουλεύσεται, καὶ μεταβαλεῖ τὴν ἀπειλὴν, καὶ παρακληθήσεται, τουτέστιν ἡμερωθήσεται. Ἀλλ' οὐχ οἱ Ἰσραηλῖται τοιοῦτοι· ἀλλὰ τί ἔλεγον, ἄκουσον· Αἱ ἀνομίαι ἡμῶν ἐφ' ἡμῖν εἰσι, καὶ ἐν αὐταῖς ἡμεῖς τηκόμεθα, καὶ πῶς ζησόμεθα; Ταῦτα δὲ ἔλεγον, μὴ θέλοντες ἀποστρέψαι ἀπὸ τῶν πονηριῶν, ἀλλ' ἐνηδόμενοι ταύταις, καὶ ἐπίτηδες προβαλλόμενοι τὸ ἀνίατον ἐξ ἀπογνώσεως. Ἀλλ' ὁ Θεὸς ἔλεγεν αὐτοῖς· Ἀποστροφῇ ἀποστρέψατε ἀπὸ τῆς ὁδοῦ ὑμῶν τῆς πονηρᾶς, καὶ ἵνα τί ἀποθνήσκετε, οἶκος Ἰσραήλ; Οὕτω δεῖ καὶ ἡμᾶς μετανοεῖν, ὡς οἱ Νινευῖται, ὅσῳ μείζω ἔχομεν κακὰ, τοσούτῳ μᾶλλον ἐννοοῦντες καὶ τὴν τοῦ Δεσπότου φιλανθρωπίαν, ἣ οὐδ' ἔστιν εἰπεῖν, ὅσῳ μέτρῳ ὑπερβάλλει τὸ πλῆθος τῶν ἡμετέρων ἁμαρτιῶν.

A voces, ceu quædam supplicatio fuerunt erga Dei benignitatem), *extense* intelliges pro impense, hyperbolice. Sin hominibus tantum accommodes, intellige, quod extensis manibus clamaverint. Natura enim veluti nobis adhærescit, expassis manibus supplicare, **198** ceu accepturis quidquam ab eo, cui supplicamus, ac velocius sumpturis id quod ab eo petimus.

Ac reversus est quisque a via sua prava, aque malo quod erat in manibus ipsorum. Non tantum jejunio et sacco, vel maceratione sui utentes, Deum supplices precabantur, cæterum et mores suos, et vitæ rationes correxerunt, quæ veræ est pœnitentiæ finitio, veluti in Isaia dicit: *Non hoc jejunium elegi, nec diem, quod humiliaret homo animam* B *suam. Enimvero solve omnem iniquitatis et injuriæ copulam* [38]. Et iterum: *Discite benefacere* [39]. Pauperiores ergo a via prava reversi sunt, nimirum ab ebrietate, mendacio, lascivia, injuria, ac talibus. Potentiores autem ab iniquitate discesserunt, quæ in manibus ipsorum erat, quam violenter et injuste, freti potentia sua, peregerunt: nam manus vim significant. Sic et in consueto et familiari colloquio dicimus: Quidam manu sua hoc egit. Jam qui injuste judicat, muneribus corruptus, in manibus habet iniquitatem, injustum calculum ponens: sic qui ex rapina ditescit, in manibus iniquitatem seu injuriam tenet. At quando alius sententiam fert legitime, et alius amice et humaniter obtinet, revertuntur ab injuria sua quæ in manibus ipsorum C erat.

Vers. 9. *Dicentes: Quis novit, si mutet sententiam et concilietur Deus, et avertat se ab ira indignationis suæ, et non pereamus?* Vide prudentes homines. Non ad desperationem projecerunt se, sentientes magnitudinem peccatorum, sed judicis mansuetudinem simul considerarunt, quod sententiam mutabit, hoc est, aliud deliberabit, et transmutabit minas, et adhortationem admittet: hoc est, tranquillus erit et mansuetus, pacabitur. Atqui Israelitæ tales non sunt, sed quid dixerint, audi: Iniquitates, inquiunt, nostræ, super nos sunt, et nos in ipsis liquescimus. Et quando vivemus? Hæc autem dixerunt, nolentes avertere sese a D pravitate, sed in ea se oblectantes, ac studiose ex desperatione opponentes immedicabilem partem, (34) nulla in se pharmaca quidquam posse autumantes. Deus tamen eis hunc in modum locutus est: Revertimini efficaciter a via vestra prava. Et cur mortem obitis, domus Israel? Sic igitur nos Ninevitarum instar vitam nostram corrigere par est. Quanto majora mala habemus, tanto magis Domini mansuetudinem reputantes, quam nullis verbis exprimere licet, quanta mensura exsuperet multitudinem peccatorum nostrorum.

[38] Isa. LVIII, 6. [39] Ibid. I, 17.

Variæ lectiones et notæ

(31) Ἀδικίας, *injustitiæ*, Cod. Ven.
(32) Ὑπέστρεψαν, Cod. Bav.
(33) Τουτέστι τῆς ἐν βίᾳ, Cod. Ven.
(34) Desiderantur in Cod. Ven. et Bav. verba, quæ latinis hisce *nulla in se pharmaca quidquam posse autumantes* respondeant.

Digitized by Google

Et revertatur ab ira indignationis suæ, et non pereamus. Indignatio quidem est judicium, quod tristitia quædam adducat ei qui demerucrit. Ira vero est labor jam et ipsa punitio, quæ ab justo judice adducitur. Perinde ac medicus, simul ac flammantem **199** et sanie refertam partem, latentem tamen observaverit, judicat necessariam esse sectionem, hoc ipsum Scriptura indignationem nominat: post hoc judicium, insequitur sectio, cruciatum parans in eo qui scinditur, atque istud ira nominata est. Avertetur igitur, inquit, Deus, ne laborem et pœnam super nos ducat, quæ indignationis ejus effectus est. Consimilem ad modum David inquit: *Quoniam ira in indignatione ejus* [40].

A *Καὶ ἀποστρέψει ἐξ ὀργῆς θυμοῦ αὐτοῦ, καὶ οὐ μὴ ἀπολώμεθα.* Θυμὸς μέν ἐστιν ἡ κρίσις τοῦ ἐπαχθῆναί τάδε τινὰ σκυθρωπὰ τῷ ἀξίῳ· ὀργὴ (35) δὲ, ὁ πόνος ἤδη καὶ ἡ κόλασις, ἡ ἀπὸ τοῦ δικαίου Κριτοῦ ἐπαγομένη. Οἷον, ὁ ἰατρὸς σημειωσάμενος τὸ φλεγμαῖνον μέρος καὶ ὕπουλον, κρίνει ἀναγκαίαν εἶναι τὴν τομήν· τοῦτο θυμὸν ὀνομάζει ἡ Γραφή. Μετὰ δὲ ταύτην τὴν κρίσιν ἐπακολουθεῖ καὶ ἡ τομή, ὀδύνην ἐμποιοῦσα τῷ διακοπτομένῳ· τοῦτο ὀργὴ Θεοῦ ὠνόμασται. Ἀποστρέψει οὖν, φησὶν, ὁ Θεὸς ἀπὸ τοῦ πόνον ἐπαγαγεῖν ἡμῖν καὶ κόλασιν, ἥτις κόλασις τοῦ θυμοῦ αὐτοῦ ἀποτέλεσμά ἐστι. Τοιοῦτον καὶ Δαβὶδ εἶπεν· *Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ.*

Vers. 10. *Respexit autem Deus opera ipsorum, quod reversi essent a viis suis pravis.* Jejunium ipsorum non aspexit, sed opera ipsorum, videlicet bona quæ fecerunt, eo quod declinassent a via scelerosa. *Declina*, inquit, David, *a malo et fac bonum* [41]. Proinde jejunium non fuit per sese sufficiens ut propitium redderet, ut placaret Deum, nisi et mores correxissent, et bona opera exhibuissent.

B *Εἶδεν* (36) *ὁ Θεὸς τὰ ἔργα αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν.* Οὐ τὴν νηστείαν αὐτῶν εἶδεν, ἀλλὰ τὰ ἔργα αὐτῶν, δηλονότι τὰ ἀγαθὰ ἃ ἐποίησαν, διότι ἀπέστρεψαν ἀπὸ τῶν πονηρῶν. *Ἐκκλινον* γάρ, φησὶν, *ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν.* Ὡς ἡ γε νηστεία οὐκ αὐτάρκης ἦν ἐξιλεώσασθαι τὸν Θεὸν, εἰ μὴ καὶ τὰ ἤθη διωρθώθησαν καὶ ἔργα ἀγαθὰ ἐπεδείξαντο.

Alteravitque sententiam super malo, quod locutus erat ut faceret eis, (37) *et non fecit.* Super pœnitentia Ninevitarum, et ipse Deus alterat institutum animi sui: non quod æque atque nos, eum alicujus rei pœniteat (non enim jam hoc, jam illud vult), sed permutationem minarum, ut supra dictum est, μετάνοιαν, hoc est sententiæ animi alterationem propheticus sermo nominat. Si enim Deus, hominis instar mutaretur, jam tum non interminatus fuisset, sed enim statim punivisset. At cum salute mortalium gaudeat, interminatur horrenda, ut ne eadem tandem adducere occasionem sumat. Malum autem hic, seu malitiam audiens, non intelliges pravitatem: non enim vitiorum operator est Deus, qui vitiositatis est destructor: verum per malitiam hic sermo propheticus afflictionem indicat, quam Deus ipsis antea interminatus, non erat super eos ducturus, ut qui resipuerint, itidem ut in alio propheta dictum est: *Non est malum in urbe, quod Dominus non fecerit* [42]. Et alio in loco: *Appone eis mala, Domine*, hoc est, afflictionem et perturbantia. Ac præter hos, paulo infra dicit de ipso Jona et cucurbita Scriptura, *Ut umbram præberet ei a malis*, hoc est ab afflictione ejus.

C *Καὶ μετενόησεν ἐπὶ τῇ κακίᾳ ᾗ ἐλάλησε τοῦ ποιῆσαι αὐτοῖς.* Τῇ μετανοίᾳ τῶν Νινευϊτῶν χαρίζεται καὶ ὁ Θεὸς μετάνοιαν, οὐχ ὡς ὁμοίως ἡμῖν μετανοῶν (οὐ γὰρ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο βούλεται), ἀλλὰ τὴν μεταβολὴν τῆς ἀπειλῆς, ὡς ἀνωτέρω εἴρηται, μετάνοιαν ὁ λόγος ὀνομάζει· τούτου γὰρ ἕνεκα οὐκ ἠπείλησεν ἂν (38), ἀλλ' ἐτιμωρήσατο εὐθύς. Ἀλλ' ἐπειδὴ τῇ σωτηρίᾳ χαίρει, ἀπειλεῖ τὰ φοβερὰ, ἵνα μὴ ἐπάγῃ αὐτά. Κακίαν δὲ ἀκούων, μὴ φαυλότητα ἐννοήσῃς. Οὐ γάρ ἐστι κακῶν ἐργάτης ὁ τῆς κακίας ἀναιρέτης· ἀλλὰ κακίαν ἐνταῦθα τὴν κάκωσιν ὁ λόγος δηλοῖ, ἣν ἀπειλήσας ὁ Θεὸς αὐτοῖς πρότερον, οὐκέτι ἔμελλεν ἐπαγαγεῖν ὡς μετανοήσασιν, ὡς ἐν ἄλλῳ προφήτῃ εἴρηται· *Οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε·* καὶ ἀλλαχοῦ, *Πρόσθες αὐτοῖς κακὰ, Κύριε*, τουτέστι τὰ κακοῦντα καὶ ἀνιῶντα. Καὶ παρὰ τούτῳ δὲ αὐτῷ τῷ Ἰωνᾷ, μικρὸν κατωτέρω, *Τοῦ σκιάζειν αὐτῷ*, φησὶν, *ἀπὸ τῶν κακῶν αὐτοῦ.*

CAPUT IV.

ΚΕΦΑΛ. Δ'.

Vers. 1, 2. *Constristatus est igitur Jonas tristitia magna, et confusus, oravit ad Dominum, ac dixit: Domine, nonne hi sermones mei, cum adhuc essem in terra mea? Propterea anteverti, ut fugerem in Tharsis. Quandoquidem cognovissem te esse miseri-*

D *Καὶ ἐλυπήθη Ἰωνᾶς λύπην μεγάλην, καὶ συνεχύθη, καὶ προσηύξατο πρὸς Κύριον, καὶ εἶπεν· Ὦ δὴ Κύριε, οὐχ οὗτοι οἱ λόγοι μου, ἔτι ὄντος μου ἐν τῇ γῇ μου; Διὰ τοῦτο προέφθασα τοῦ φυγεῖν εἰς Θαρσεῖς, διότι ἔγνων, ὅτι σὺ ἐλε-*

[40] Psal. xxix, 6. [41] Psal. xxxvi, 27. [42] Amos iii, 6.

Variæ lectiones et notæ.

(35) Ὥσπερ δὲ καὶ ὀργή, Cod. Ven.

(36) Καὶ εἶδεν, *et vidit*, seu *novit*, Cod. Ven.

(37) Verba *et non fecit* desunt in utroque laudato Cod.

(38) Τούτου γὰρ ἕνεκα ἠπείλησεν, ἵνα μὴ κολάσῃ, ὡς εἴγε κολάσαι ἐβούλετο, οὐδ' ἠπείλησεν ἄν. *Hac enim de causa minitatus est, ut ne puniret: quemadmodum si punire voluisset, ne minitatus quidem esset*, Cod. Ven.

Digitized by Google

ἡμῶν καὶ μακρόθυμος, καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ κακίαις. Αἱ μὲν τρεῖς ἡμέραι συνεπληρώθησαν, μεθ' ἃς ἡ καταστροφὴ τῇ Νινευῖ ἠπείλητο· τοῦ δὲ Θεοῦ μηδὲν τοιοῦτον ἐπενεγκόντος τοῖς πικρῶς μετανοήσασι, καὶ σφᾶς αὐτοὺς κολασαμένοις, διὰ τῆς συντονωτάτης κακοπαθείας λυπεῖται ὁ Ἰωνᾶς, οὐχ ὡς φθονῶν τοῖς σωθεῖσιν, οὐδὲ ὡς ἐφηδόμενος ἀπωλείαις ἀνθρώπων (πόρρω γὰρ ταῦτα τοῦ ἀγαθοῦ καὶ πραέος Πνεύματος, οὗ καταγώγιον ἦν οὗτος), ἀλλ' ὅτι ἐκινδύνευε ψεύστης λογισθῆναι, καὶ αὐτὸ τοῦτο ἀγύρτης, μάτην αὐτοὺς τεθορυβηκὼς, καὶ οὐκ ἀπὸ στόματος Κυρίου λαλῶν, ἀλλ' ἀπὸ κοιλίας φωνῶν. Ἔνθεν τοι καὶ δικαιολογεῖται πρὸς τὸν φιλάνθρωπον, καὶ, Οὐχὶ ταῦτα, φησὶν, ἔλεγον, ἔτι ὢν ἐν τῇ Ἰσραηλίτιδι γῇ, ὅτι σὺ ἐλεήμων εἶ; Ἑώρων γάρ σε καὶ περὶ τὸν Ἰσραὴλ πολλὴν μακροθυμίαν ἐπιδεικνύμενον, καὶ πεῖρα διεγίνωσκον τὰ σὰ σπλάγχνα· καὶ διὰ τοῦτο τὴν προφητικὴν (40) ἀξίαν ἀπέφευγον, ὅτι ἐγίνωσκόν σε μετανοοῦντα ἐπὶ ταῖς κακίαις, τουτέστι ταῖς κακώσεσιν, ὥστε μὴ ταύτας ἐπάγειν τοῖς τέως δόξασιν ἀξίοις.

cordem et longanimem, et multæ miserationis, mutantemque animi sententiam super malo. Tres dies completi fuere, post quas subversio Ninevi, juxta vatis Jona minas, secutura erat. Deo vero nihil tale adducente super Ninevitas, amare pœnitentes, sequeque **200** ipsos punientes vehementissima afflictione mœrore afficitur Jonas : non tanquam servatis invidens neque tanquam internecionibus hominum voluptatem capiens (procul enim hæc a bono et mansueto Spiritu, cujus domicilium et habitaculum erat ille), cæterum, quia periculum erat, ne ipse etiam mendax reputaretur, quique ceu præstigiator aliquis frustra turbaverit, non ex ore Domini locutus, sed (39) ex concavitate vocum, hinc et apud clementem Dominum sese defendens : Nonne, inquit, hæc dixi, cum adhuc in terra Israelitide eram, quod tu miserator es? Videbam namque te Israeli multam magnanimitatem exhibere, atque experientia tua misericordiæ viscera cognoscebam, eamque ob causam prophetæ functionem fugiebam : quandoquidem agnoscerem te mutare sententiam super malis, hoc est afflictionibus, ut eas non induceres super eos, qui sedulo commeruissent.

Νῦν (41), *Δέσποτα Κύριε, λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι καλόν τὸ ἀποθανεῖν με, ἢ ζῆν.* Πρότερον μὲν, φησὶ, κήτει καταποθεὶς, ηὐχόμην ἀναδῆναι ἐκ φθορᾶς τὴν ζωήν μου. Νῦν δὲ τοὐναντίον ἀποθανεῖν ἱμείρομαι· τοῦτο γὰρ κάλλιον, ἢ ζῶντα ψευδῆ με νομίζεσθαι, καὶ βλασφημεῖσθαι τῆς προφητείας τὸ χάρισμα. Τάχα μὲν οὖν ἄν τινι δόξειε μικρόψυχος ὁ προφήτης, καὶ μὴ τῷ Θεῷ παραχωρῶν (42) τῶν αὐτοῦ κριμάτων. Καὶ ἴσως οὐ θαυμαστόν· ἄνθρωπος γὰρ ἦν, καὶ ταῦτα τῆς Παλαιᾶς, ἔνθα καὶ οἱ δοκοῦντες τέλειοι, ἀτελεῖς ἦτι. Τάχα δὲ καὶ οὐχ ὡς μικρόψυχος ἀθυμεῖ· οὐ γὰρ ὑπὲρ τῆς οἰκείας δόξης, ἀλλ' ὑπὲρ τῆς τοῦ Θεοῦ, εἴπερ ἐκείνου χάρις ἡ προφητεία, ἧς διαπιπτούσης, ὁ Θεὸς τοῦ Ἰσραὴλ ἐβλασφημήθη ἂν παρὰ τοῖς ἔθνεσι.

VERS. 3. *Nunc itaque, Domine Deus, accipe animam meam a me, quoniam satius est mihi mori, quam vivere.* Antea, inquit, cum essem a balæna devoratus, precabar ascendere ex corruptione vitam meam : nunc contrarium desidero, nempe obire diem : hoc enim melius est, quam viventem mendacem reputari, ac prophetiæ donum vituperari. Forsan cuipiam pusillanimis propheta videri queat, qui Deo sua judicia non permittat. Neque hoc fors mirandum foret : homo enim erat, idque Veteris Testamenti, ubi et qui perfecti videbantur, imperfecti erant. Attamen non sic fortasse pusillanimis est, ut animum despondeat : non enim hoc pro sua gloria Deus facit. Siquidem illius gratia et donum prophetia est, qua intercidente, Deus Israelis a gentibus vituperaretur.

Καὶ εἶπε Κύριος· Εἰ σφόδρα λελύπησαι σύ; Λυπούμενον τὸν προφήτην ἀνακτᾶται ὁ Θεὸς, διὰ τοῦ ἐρωτᾶν, εἴπερ λελύπηται· ἐρωτῶν γὰρ, ἐπιπλήττειν αὐτῷ δοκεῖ, ὡς οὐ καλῶς λυπηθέντι. Τοῦτο δὲ σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν. Ἔφη γάρ· Ἆρα *δικαίως ἐλυπήθης;* Καί· *Εἰ καλῶς ἐλυπήθης;* τουτέστι, Σκόπησον παρὰ σαυτῷ (44), εἰ δικαίως (45) ἔχεις τὰς τῆς λύπης ἀφορμάς. Ἀλλ' ἐνταῦθα μὲν αὐτὸν ἑαυτῷ (46) καθιστᾷ ἰατρὸν, διεγείρων λογίσασθαι, ὅτι ἀδίκως λελύπηται, καὶ παύσασθαι τῆς ἀθυμίας. Ἐπεὶ δὲ οὐ συνῆκεν ὁ προφήτης, πρὸς τῷ τέλει αὐτὸς ὁ Κύριος τὴν αἰτίαν τοῦ μὴ δεῖν λυπεῖσθαι ἀριδηλότατα παρίστησιν αὐτῷ,

VERS. 4. *Dixitque Deus : Nonne tu vehementer constristatus es?* Conturbatum prophetam refovet Deus, interrogando, num sit contristatus. (43) Interrogatus enim, terrere ipsum videtur, ceu non recte mœrore affectum. Atque hoc apertius Symmachus. Dixit enim : *Nunquid jure contristatus es?* Et : *Num recte contristatus es?* hoc est, considera penes teipsum, an justam habeas mœroris ansam : hicque ipsum sibi medicum constituit, excitans considerare, quod injuste conturbatus sit, ac a desperatione ita cesset. Quæ dum propheta non intellexit, ipse tandem Dominus causam, cur minime tristari debeat, manifestissime ipsi exhibet,

Variæ lectiones et notæ.

(39) *Sed e ventre loquens*, tanquam ἐγγαστρίμυθος. Ita græca sonant.

(40) Προφητείαν, *prophetiam*, Cod. Bav.

(41) Καὶ νῦν, *et nunc*, Cod. Ven.

(42) Παραχωρεῖν, Cod. Bav.

(43) *Interrogans enim, ei vitio vertere videtur, quod non recte mœreret.*

(44) Περὶ σεαυτοῦ, *de teipso*, Cod. Ven.

(45) Δίκας, Cod. Ven. sed scribendum puto δικαίας, *justas*.

(46) Ἑαυτοῦ, *sui ipsius*, Cod. Ven.

Digitized by Google

et scite admodum et valde sapienter cucurbitam producens.

VERS. 5. *Egressus Jonas ex urbe, sedit ex adverso urbis, fecitque sibi attegiam, ac sedit sub ea, usque dum videret, quidnam obventurum esset civitati.* Hoc primo factum, **201** ut quidam dicunt, postremo posuit propheta. Explicata enim Ninevitarum correctione animi, huic simul divinam clementiam annectere voluit, ac mœrorem ex eo sibi factum, eaque verba, quibus Dominum convenit : quocirca eum posterius narrare apparet, quæ prius contigerunt. Jonas, concione sua peracta, exiit urbem : fixoque tabernaculo, exspectavit (47) concionis suæ eventum. Perspicuum enim, quod ista præ animi turbatione acciderint. Exactis enim definitis diebus, nihil eorum quæ minatus erat, evenire contemplatus, nec interire urbem, dolet animum. Hanc igitur ex mœrore ad Deum precationem facit, veluti cum Deo expostulans. Alii sunt diversæ sententiæ : nimirum, quod ista ex adverso sessio post animi desponsionem sive luctum contigerit, eo ordine, quem hic præ se fert Scriptura. Cum namque vidisset propheta Ninevi urbem non subverti, mente languit : dein egressus urbem ante ipsam sedit, non porro eversionem sperans, cæterum aliam quampiam mitiorem vindictam exspectans, perinde ac supra commemoravimus. Neque enim credere vatem aiunt, ipsam urbem in triduo delere posse tantos delictorum libellos.

VERS. 6. *Porro mandavit Dominus Deus cucurbitæ, ascenditque super caput Jona, ut umbram præberet capiti ejus, ipsumque obumbrando refocillaret a malis suis. Gavisus est ergo Jonas super cucurbita gaudio magno.* Consolationem ac refocillationem vati machinatur Deus, datque mandatum cucurbitæ æque atque ceto, hoc est, vult cucurbitam crescere, ac statim prodit germinans, ac hirsutam comam ex latis foliis extendens, demonstransque, ut opacam umbram Jona capiti subministraret, eumque refoveret a malis, hoc est afflictione solaris æstus. Atqui turbari prophetam ob salutem Ninevitarum, gaudere vero super oleris germinatione, simplicis hominis mores demonstrat, ingeniumque puerorum, adeoque infantium ἀκακίᾳ, hoc est, vitiorum ignorantiæ, quæ in pueris dum est, proximum. Pueri enim facile, qualicunque etiam occasione adveniente, ad gaudium et dolorem transmutantur.

VERS. 7, 8. *Mandavitque Deus vermi matutino in crastinum adfuturo, ac percussit cucurbitam, et exaruit. Exorto dein sole, datoque negotio a Deo, vento per æstum comburenti, verberavit sol caput Jonæ, adeo ut viribus deficiens, ac vitam perosus*

A εὐμεθόδως καὶ πανσόφως τὰ περὶ τὴν κολόκυνθαν διασκευάσας.

Καὶ ἐξῆλθεν Ἰωνᾶς ἐκ τῆς πόλεως, καὶ ἐκάθισεν ἀπέναντι τῆς πόλεως, καὶ ἐποίησεν ἑαυτῷ ἐκεῖ σκηνήν, καὶ ἐκάθητο ὑποκάτω αὐτῆς, ἕως οὗ ἀπίδῃ, τί ἔσται τῇ πόλει. Τοῦτο πρῶτον γενόμενον, ὡς τινες λέγουσι, τελευταῖον ἔθηκεν ὁ προφήτης· διηγησάμενος γὰρ τῶν Νινευϊτῶν τὴν μετάνοιαν, ἠβουλήθη ταύτῃ συνάψαι τὴν θείαν φιλανθρωπίαν, καὶ τὴν ἀπὸ ταύτης αὐτῷ συμβᾶσαν ἀθυμίαν, καὶ οὓς εἶπε πρὸς τὸν Θεὸν λόγους. Διὸ φαίνεται ὕστερον ταῦτα λέγων, ἃ πρότερον ἐγένοντο. Κηρύξας γὰρ ὁ Ἰωνᾶς, ἐξῆλθε τοῦ ἄστεος, καὶ πηξάμενος σκηνὴν, τὸ τέλος ἀνέμενε τῆς προῤῥήσεως. Τοῦτο γὰρ δῆλον ὡς πρὸ τῆς ἀθυμίας ἐγένετο. Μετὰ γὰρ B τὸ τέλος τῶν ὡρισμένων ἡμερῶν, θεασάμενος μηδὲν τῶν ἠπειλημένων ὑπομείνασαν τὴν πόλιν, ἀθυμεῖ, καὶ τὴν μετ' ὀδύνης ἐκείνην ποιεῖται προσευχὴν, δικαιολογούμενος πρὸς τὸν Θεόν. Τινὲς δὲ οὐχ οὕτω φασὶν, ἀλλὰ τοῦτο, ὃ ἐκάθισεν ἀπέναντι τῆς πόλεως, μετὰ τὴν ἀθυμίαν γενέσθαι, ὥσπερ κατὰ τὴν Γραφὴν τέτακται· ἰδόντα γὰρ ὡς οὐ κατεστράφη ἡ Νινευΐ, ἀθυμῆσαι τὸν προφήτην, καὶ εἰπεῖν ἃ εἶπε πρὸς τὸν Θεόν· εἶτα ἐξελθόντα τῆς πόλεως, πρὸ αὐτῆς καθῆσθαι, καταστροφὴν μὲν οὐκέτι ἐλπίζοντα, πλὴν ἀλλά τινα ἑτέραν τιμωρίαν μετριωτέραν καραδοκοῦντα, ὡς καὶ ἀνωτέρω εἴπομεν· μηδὲ γὰρ πιστεύειν, ὡς διὰ τριῶν ἡμερῶν ἰσχυσαν ἐξαλεῖψαι τοσούτων γραμματεῖα πλημμελημάτων. C

Καὶ προσέταξε Κύριος ὁ Θεὸς κολοκύνθῃ, καὶ ἀνέβη ὑπὲρ κεφαλῆς Ἰωνᾶ, τοῦ εἶναι σκιὰν ὑπεράνω τῆς κεφαλῆς αὐτοῦ, τοῦ σκιάζειν αὐτῷ ἀπὸ τῶν κακῶν αὐτοῦ. Καὶ ἐχάρη Ἰωνᾶς ἐπὶ τῇ κολοκύνθῃ χαρὰν μεγάλην. Παραψυχὴν τοῦ προφήτου μηχανᾶται ὁ Θεὸς, καὶ προστάττει κολοκύνθῃ, ὥσπερ τῷ κήτει, τουτέστι, βούλεται κολοκύνθην φῦναι, καὶ εὐθὺς γίνεται, ἅμα τε βλαστήσασα, καὶ ἐκταθεῖσα, καὶ κόμην δασεῖαν ἐκ φύλλων πλατέων ἐπιδειξαμένη, ὥστε σκιάζειν τὴν Ἰωνᾶ κεφαλὴν ἀπὸ τῶν κακῶν, τουτέστι τῶν κακώσεων τῆς ἡλιοκαΐας. Τὸ δὲ, λυπηθέντα ἐπὶ σωτηρίᾳ τῶν Νινευϊτῶν τὸν προφήτην, χαρῆναι ἐπὶ τῇ τοῦ λαχάνου ἀναβλαστήσει, ἐμφαίνει τὸ ἦθος τοῦ ἀνδρὸς ἁπλοῦν, καὶ τῇ τῶν νηπίων ἀκακίᾳ ἐγγίζον. Καὶ ταῦτα γὰρ ῥᾳδίως καὶ ὑπὸ τῆς προστυχούσης (48) οἱασδηποτοῦν αἰτίας πρός τε τὸ χαίρειν καὶ πρὸς τὸ ἀλγεῖν μεταφέρονται. D

Καὶ προσέταξεν ὁ Θεὸς σκώληκι ἑωθινῇ τῇ ἐπαύριον, καὶ ἐπάταξε τὴν κολοκύνθην, καὶ ἐξηράνθη· καὶ ἐγένετο ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον, καὶ προσέταξεν ὁ Θεὸς πνεύματι καύσεως συγκαίοντι, καὶ ἐπάταξεν ὁ ἥλιος ἐπὶ τὴν κε-

Variæ lectiones et notæ.

(47) *Prædictionis suæ eventum ; perspicuum enim est hoc factum fuisse ante animi turbationem ; cunctis enim præfinitis diebus, cernens urbem nil eorum subire quæ minitatus ei fuerat*, etc.

(48) Τυχούσης, Col. Ven.

Digitized by Google

φαλὴν Ἰωνᾶ, καὶ ὠλιγοψύχει, καὶ ἀπελέγετο τὴν ψυχὴν αὐτοῦ, καὶ εἶπε· Καλόν μοι τὸ ἀποθανεῖν με, ἢ ζῆν με. Σκώληκα μὲν ἑωθινὴν ὀνομάζει τὴν κάμπην, διὰ τὸ ἐκ δρόσου τῆς ὑπὸ τὴν ἕω πιπτούσης τὰς τῆς γενέσεως ἔχειν ἀρχάς. Προστάττεται δὲ καὶ αὕτη, ὥσπερ εἴρηται, τοῦ βουλήματος τοῦ θείου προστάγματος ὀνομαζομένου, ὥστε τὴν ῥίζαν τῆς κολοκύνθης φαγεῖν. Καὶ δὴ γέγονε τοῦτο, καὶ ἐξηράνθη τὸ λάχανον. Προστάττει δὲ Θεὸς, καὶ γίνεται πνεῦμα καύσεως (οὐ γὰρ ὁ ἥλιος μόνον ἦν φλογώδης, ἀλλὰ καὶ πνεῦμα καύσεως ἐπεγένετο, πλεονάζον τὴν φλόγωσιν), καὶ πατάσσεται μὲν ἡ Ἰωνᾶ κεφαλὴ ὑπό τε τοῦ ἡλίου, καὶ τοῦ καυσώδους ἐκείνου πνεύματος· ὁ δὲ δυσθυμῶν, ἀπολέγεται τὴν ζωήν. Πανσόφως δὲ ταῦτα οἰκονομεῖται, ἵνα μάθωμεν τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ μὴ περιεργαζώμεθα τοὺς λόγους τῶν ὑπὸ Θεοῦ γενομένων [*f.* γιν.] ἑκάστοτε.

Καὶ εἶπε Κύριος πρὸς Ἰωνᾶν· Εἰ σφόδρα λελύπησαι σὺ ἐπὶ τῇ κολοκύνθῃ; Καὶ εἶπε· Σφόδρα λελύπημαι ἐγὼ ἕως θανάτου. Καὶ εἶπε Κύριος· Σὺ ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας, οὐδὲ ἐξέθρεψας αὐτὴν, ἡ ἐγεννήθη ὑπὸ νύκτα, καὶ ὑπὸ νύκτα ἀπώλετο· ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ τῆς Νινευὶ πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες ἀνθρώπων, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν, ἢ ἀριστερὰν αὐτῶν, καὶ κτήνη πολλά; Λυπηθέντα τὸν προφήτην ἐρωτᾷ ὁ τῶν ἁμαρτωλῶν κηδόμενος καὶ τῶν δικαίων προμηθούμενος Κύριος, εἰ σφόδρα λελύπηται, οὐχ ὡς ἀγνοῶν, ἀλλ' ὡς μέλλων διδάξαι αὐτὸν, ὅτι οὐ δεῖ λυπεῖσθαι. Ὁμολογήσαντος γὰρ οὕτω λυπεῖσθαι, ὡς καὶ θανάτου ἐπιθυμεῖν, Σοὶ, φησὶν ὁ Θεὸς, χρῶμαι κριτῇ. Σκόπησον τοίνυν, εἰ δίκαιον, σὲ μὲν ὑπὲρ τῆς κολοκύνθης ἀλγεῖν, ἧς οὐ γέγονας γεωργός· οὔτε γὰρ ἐφύτευσας, οὔτε ἤρδευσας, ἀλλ' ὑπὸ τὸν ὄρθρον γενομένη, πάλιν τῇ ὑστεραίᾳ ὑπὸ τὸν ὄρθρον, σκώληκος γέγονε παρανάλωμα· ἐμὲ δὲ ἐβούλου ἀφειδῶς τηλικαύτῃ χρήσασθαι τῇ πόλει, ὑπ' ἐμοῦ τὸ εἶναι λαβούσῃ; Θαύμασον τοίνυν τὴν φιλανθρωπίαν μου, ὡς τὸ εὔλογον ἔχουσαν, καὶ μὴ ἀθύμει, ὡς τῆς προφητείας διαπιπτούσης. Τὸ δὲ, *Οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν, ἢ ἀριστερὰν*, τινὲς μὲν ἐπὶ τῆς ἁπλότητος τῶν Νινευϊτῶν ἀνδρῶν εἰρῆσθαι ἐνόμισαν, δοκεῖ δὲ μᾶλλον περὶ τῶν ἐν τῇ πόλει νηπίων λέγεσθαι τοῦτο, ἐξ οὗ τὸ πλῆθος τῆς πόλεως συλλογίζεσθαι πάρεστιν. Εἰ γὰρ οἱ νήπιοι μόνοι, πλείους, ἢ δώδεκα μυριάδες, τὸ λοιπὸν πλῆθος, πόσον; Καὶ ὁ σκοπὸς δὲ τῶν εἰρημένων ὑπὸ Θεοῦ, πρὸς ταύτην ἡμᾶς ποδηγεῖ τὴν διάνοιαν. Εἰ γὰρ οὐκ ἔδει, φησὶ, δέεσθαι τὴν τῶν ἁμαρτωλῶν μετάνοιαν, ἐχρῆν γοῦν οἶκτον λαβεῖν τινα τοσούτων μυριάδων νηπίων, οἳ διὰ τὸ νέον τῆς ἡλικίας οὐκ οἴδασι ποία μὲν αὐτοῖς ἡ δεξιὰ, ποία δὲ ἡ εὐώνυμος, καὶ διὰ τοῦτο οὐδὲ ἁμαρτίας ὄντες ἔνοχοι, οὐκ ὤφειλον πάντως δοῦναι δίκας ἢ ἀπολέσθαι (49). Ὡσαύτως καὶ τῶν κτηνῶν ἔδει φείσα-

A diceret : *Melius est mihi mori, quam vivere.* Vermem matutinum erucam nominat, quod ex rore, sub auroram decidente, generationis suæ principium ducat. Datur autem et ipsi mandatum (divina voluntate præcepto, ut **202** dictum est, appellato) ut cucurbitæ radicem arrodat. Factumque est hoc, et exaruit olus. Jubet porro, ac statim oritur ventus urens. Nedum enim sol flammis æstuabat, cæterum et ventus urens excitabatur, æstum ipsum majorem reddens : verberaturque caput Jonæ a sole, et urente illo spiritu. Is vero animo æger, vitam suam deponere avet. Hæc autem sapientissime divino ita consilio geruntur, ut discamus humanam imbecillitatem, neutiquam omnibus in locis, circa sermones ab Deo factos curiosam esse debere.

B

Vers. 9-11. *Dixit ergo Dominus ad Jonam : Vehementerne contristatus es ob cucurbitam? Qui respondit : Vehementer ego, Domine, etiam adusque mortem contristatus sum. Cui Dominus : Tu misericordiæ affectu tangeris erga cucurbitam, cujus tamen causa nihil duri perpessus es, neque educasti ipsam, quæ ut sub noctem nata est, ita sub noctem periit. Et ego nulla miseratione movebor erga Ninevi urbem magnam, in qua plura quam centum viginti millia hominum commorantur, qui neque dextram, neque sinistram agnoverunt, tum jumenta multa?* Mœstitia gravatum prophetam interrogat peccatores curans, et justorum rationem habens Dominus, anne valde contristatus sit : non veluti ignorans, verum enim ceu docturus ipsum, non oportere eum esse mœstum. Cum enim fassus esset sese adeo perturbatum, ut vel mortem expetat : Te, inquit Deus, judice utar. Reputa ergo tecum, num jure propter cucurbitam doleas, cujus non fuisti cultor : neque enim plantasti, neque rigasti, sed sub diluculum nata, postero die rursum sub diluculum vermibus cibus facta est. Me vero noluisti ulla miseratione tangi erga talem tantamque urbem quæ esse suum a me acceperit? Admirare igitur benignitatem meam atque clementiam, utque commode sese habeat, neque animo langueas, perinde quasi prophetia intercidat. Quod autem *non agnoverunt dextram suam, vel sinistram*, quidam de simplicitate Ninevitarum dictum putarunt. Videtur aut hoc ipsum magis de infantibus, qui sunt in urbe, dici : ex quo urbis frequentiam ratiocinari licet. Si enim soli infantes et pueri duodecim myriades excedunt, reliqua multitudo quanta? Ac scopus eorum, quæ a Domino dicta sunt, ad hanc nos perducit sententiam. Si enim non oportuit suscipere pœnitentiam a peccatoribus, decebat tamen miseratione permoveri in tot myriades infantium, qui propter pueritiam ætatem ignorant qualis dextra, quæve sinistra, ac pro-

C

D

Variæ lectiones et notæ.

(49) Καὶ ἀπολέσθαι, Cod. Ven.

Digitized by Google

pterea, neque peccati rei, non omnino luere pœnam debuerunt, vel interire. Similiter et jumentis parcendum erat ; neque enim ipsa pœnam peccatorum nomine debuerunt. Si igitur justus Deus miseratur animas jumentorum, quanto potius **203** conditor horum propriæ suæ possessioni parcet ? Quemadmodum igitur jumenta apposuit, ut ostenderet jure servatam urbem : sic et immaturam ætatem præposuit, ceu neque horum, neque illorum supplicia pro peccatis juste exigantur. Proinde hujus prophetiæ hic est finis. Nos vero benignum Dominum nostrum celebremus, qui nolens mortem peccatoris, vult ut convertatur et vitam ducat : qui interdum bene placentes ipsi sanctos contristare sustinet, contraque ipsorum voluntatem aliis misericordiam impertit. Sic cum Elias omnino pluviam cohibuisset, ad servum ipse Deus tanquam legatus accedit : et. *Vade*, inquit, *ad Achab, daboque pluviam super faciem terræ* [49]. Hunc ad modum Ninevi una cum jumentis servata est. Sic et Christus, dans se pretium redemptionis, omnes conservavit, sapientes et insipientes, divites et pauperes. Ad quem a Davide etiam dici nihil dubitamus : *Homines et jumenta servabis, Domine. Quoniam multiplicasti misericordiam tuam, Deus, filii hominum in protectione alarum tuarum sperabunt* [50]. Porro cætera quæ in hac sunt prophetia, digna sunt admiratione : maxime vero ipsius prophetæ mores, adeo placidos et veros, hic mirari par est, ut omnia citra tegumentum aperte dicat, suosque defectus denudet, nimirum inobedientiam, fugam, pusillanimitatem : nec horum ipsum, quominus aperiret, puderet, quin potius litteris mandaret ad nostram commoditatem . Tales certe omnes fuerunt sancti, non quod suum erat quærentes, sed quod multorum, ut servarentur. Sic David proprium quoque memoriæ prodidit peccatum, ut posteris utilitatem operaretur, quinquagesimo psalmo exarato, omni quidem compunctione referto, bonas autem spes desperantibus suggerente : nempe, nullum peccatum adeo esse grande et multum, quod lacrymis non deleatur. Etenim in hoc ipso psalmo in quo peccatum luget, de magnis adeoque cœlestibus mysteriis vaticinatur supernæ illius Sion, et altaris quod illic erat, atque sacrificiorum secretiorum ac ineffabilium, neque non ipso dignorum, abunde ostendens, quod non delictorum tantummodo condonationem animi correctio, sive pœnitentia efficiat, verum et donorum communicationem. (53) Nec hic ignoranter præterundum, quod quidam hanc Jonæ inobedientiam

σθαι · οὐδὲ γὰρ αὐτὰ δίκην ὑπὲρ ἁμαρτημάτων ὤφειλεν. Εἰ οὖν ὁ δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν, πόσῳ μᾶλλον ὁ ποιητὴς τούτων φείσεται τοῦ οἰκείου κτήματος ; Ὥσπερ οὖν καὶ τὰ κτήνη διὰ τοῦτο προστέθεικεν, ἵνα δείξῃ δικαίως σωθεῖσαν τὴν πόλιν · οὕτω καὶ τὴν ἄωρον ἡλικίαν προστέθεικεν (50), ὡς μήτε τούτων, μήτε ἐκείνων ποινὰς ὑπὲρ ἁμαρτημάτων δικαίως εἰσπραττομένων. Τῆς μὲν οὖν προφητείας τοῦτο τὸ τέλος · ἡμεῖς δὲ τὸν ἀγαθὸν Δεσπότην ἡμῶν ὑμνήσωμεν, ὃς μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτὸν, καὶ λυπεῖν ἔστιν ὅτε τοὺς εὐαρεστοῦντας αὐτῷ ἁγίους ἄνδρας ἀνέχεται, καὶ μὴ βουλομένων αὐτῶν, ὀρέγειν τὸν ἔλεον. Οὕτως Ἰλιοῦ τοῦ πάνυ τὸν ὑετὸν ἐπισχόντος, αὐτὸς οἷά τε (51) πρεσβευτὴς παραγίνεται πρὸς τὸν δοῦλον, καὶ, *Πορεύθητι*, φησὶ (52), *τῷ Ἀχαὰβ, καὶ δώσω τὸν ὑετὸν ἐπὶ προσώπου τῆς γῆς*. Ἀλλ' οὕτω μὲν ἡ Νινευὶ σὺν τοῖς κτήνεσι διεσώθη· οὕτω δὲ καὶ ὁ Χριστὸς δοὺς ἑαυτὸν ἀντίλυτρον, πάντας ἔσωσε, σοφοὺς καὶ ἀσόφους, πλουσίους καὶ πένητας, πρὸς ὃν λέγεσθαι ὑπὸ τοῦ Δαβὶδ πιστεύομεν· *Ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε · ὡς ἐπληθύνας τὸ ἔλεός σου, ὁ Θεός· οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι.* Καὶ τ' ἄλλα μὲν τῆς προφητείας ταύτης, θαύματος ἄξια · οὐχ ἥκιστα δὲ καὶ τὸ ἦθος τοῦ προφήτου, ὃ ἐν ταύτῃ διαφαίνεται, οὕτως εὐγνῶμον καὶ ἀληθὲς ὄν, ὥστε πάντα ἀπερικαλύπτως εἰπεῖν, καὶ ἀπογυμνῶσαι τὰ ἑαυτοῦ ἐλαττώματα, τὴν ἀπείθειαν, τὴν φυγὴν, τὴν μικροψυχίαν, καὶ μὴ ἐπαισχυνθῆναι τούτοις, ἀλλὰ στηλιτεῦσαι ταῦτα πρὸς ἡμετέραν ὠφέλειαν. Τοιοῦτοι πάντες ἦσαν οἱ ἅγιοι, οὐ τὸ ἑαυτῶν ζητοῦντες, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν. Οὕτω τοι καὶ Δαβὶδ τὴν οἰκείαν ἐστηλίτευσεν ἁμαρτίαν, ἵνα τοῖς ὀψιγόνοις ὠφέλειαν πραγματεύσηται, καὶ τὸν πεντηκοστὸν ψαλμὸν ἐνεγράψατο, πάσης μὲν κατανύξεως γέμοντα, χρηστὰς δὲ τοῖς ἀπογινώσκουσιν ἐλπίδας ὑποτιθέντα, ὡς οὐδέν ἐστι τῶν ἁμαρτημάτων οὕτω μέγα τε καὶ πολὺ, ὃ μὴ δάκρυσιν ἐξαλείφεται. Καὶ γὰρ ἐν αὐτῷ τούτῳ τῷ ψαλμῷ, ἐν ᾧ τὴν ἁμαρτίαν θρηνεῖ, προφητεύει περὶ μεγάλων μυστηρίων καὶ οὐρανίων τῆς τε ἄνω Σιὼν καὶ τοῦ ἐκεῖσε θυσιαστηρίου, καὶ θυμάτων ἀπορρήτοτέρων καὶ ἀξίων ἐκείνου, ἐκ περιουσίας δεικνύων, ὡς οὐχ ἁμαρτημάτων μόνον συγχώρησιν ἡ μετάνοια πραγματεύεται, ἀλλὰ καὶ χαρισμάτων ἐπίδοσιν. Οὐκ ἀγνοητέον δὲ, ὡς τὴν τοῦ Ἰωνᾶ παρακοὴν, καὶ φυγὴν, καὶ τ' ἄλλα, οὐδόλως παρεδέξαντό τινες καθ' ἱστορίαν γενέσθαι. Ἀλλ' ἐπειδήπερ, φασὶν, ἐώρα τὴν τοῦ Ἰσραὴλ ἔκπτωσιν, καὶ μεταβαίνουσαν εἰς τὰ ἔθνη τὴν προφητικὴν χάριν ἠσθάνετο,

[49] III Reg. XVIII, 1. [50] Psal. XXXV, 17.

Variæ lectiones et notæ.

(50) Desunt in Cod. Ven. verba hæc : ἵνα δείξῃ δικαίως σωθεῖσαν τὴν πόλιν, οὕτω καὶ τὴν ἄωρον ἡλικίαν προστέθεικε, *ut ostenderet jure servatam urbem : sic et immaturam ætatem apposuit.*

(51) Οἷά τις.

(52) In Cod. Ven. πορεύθητι, φησὶ, καὶ ὄψῃ.

(53) *Ignorandum vero non est, nonnullos Jonæ inobedientiam, et fugam cæteraque, non ita vere contigisse putare, quemadmodum historia narrat.* Sic ex utroque Cod. Ven. et Bav. Lonicerus autem legisse videtur ὑπούλως, pro οὐδόλως, cum *citra dolum* reddiderit.

Digitized by Google

διὰ τοῦτο ὑποχωρεῖ τῷ κηρύγματι, καὶ ἀναβάλλεται τὸ ἐπίταγμα· καὶ τὴν κατασκοπὴν τῆς χαρᾶς ἀφεὶς (τοῦτο γὰρ Ἑβραίοις Ἰόππη δύναται), τὸ παλαιὸν ὕψος λέγω καὶ τὸ ἀξίωμα, εἰς τὸ τῆς λύπης ἑαυτὸν ἔρριψε πέλαγος, καὶ χειμάζεται τοῖς λογισμοῖς, καί ναυαγεῖ, τουτέστι κυμαίνεται, ἐννοούμενος, πῶς τὸν υἱὸν τὸν πρωτότοκον, τὸ βασίλειον ἱεράτευμα, τὸν περιούσιον λαὸν παραιτεῖται τὸ Πνεῦμα, καὶ ἐπὶ τοὺς ἀκαθάρτους κύνας τὰ ἔθνη χωρεῖ. Εἶτα ὑπνώττει ὁ Ἰωνᾶς, ὅ ἐστιν, ἐξαπορεῖται παντάπασι, καὶ παύει τὰς οἰκείας αἰσθήσεις, ὡς μηκέτι νοεῖν ἔχων, πῶς τοῦτο γίνεται. Ἐπεὶ καὶ Παῦλος ἐπ' αὐτῷ τούτῳ ἐξαπορηθείς, ἐκβοᾷ· *Ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ! ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ!* Ἀλλ' ὁ πρωρεὺς αὐτὸν διϋπνίζει, ὁ πάντα προορῶν Λόγος, ὃς αὐτῷ προϋπέδειξεν, ὡς ἄρα Θεοκτόνοι μὲν ἔσονται οἱ αὐτοῦ ὁμόφυλοι, δικαίως δὲ αὐτῶν ἀποστήσει ἡ χάρις. Καὶ οὕτως ὑποπίπτει τῷ κλήρῳ, τῇ ἄνωθεν δῆ, λέγω, ἀποκληρώσει, καὶ τῇ δικαίᾳ τοῦ Θεοῦ κρίσει, ἢ [ἢ?] τὸ καθαρὸν καὶ ἅγιον πνεῦμα τοῖς ἀκαθάρτοις τοῦ Θεοῦ σταυρωταῖς δωρεῖσθαι οὐ δικαιοῖ. Εἶτα καὶ τῷ κήτει καταπίνεται μὲν, οὐκ ἀναλίσκεται δέ· ἐννοεῖ μὲν γὰρ τὴν ἔκπτωσιν τοῦ ἀπιστήσαντος Ἰσραὴλ, ἀλλὰ προσεννοεῖ καὶ τὴν σωτηρίαν τοῦ κατ' ἐκλογὴν λείμματος· οὐ γὰρ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ ὃν προέγνω. Καὶ τὸ θαῦμα, Χριστῷ τριήμερος συνεκδίδοται· πιστεύει γὰρ ὅτι διὰ λουτροῦ παλιγγενεσίας οἱ εἰς τὴν τριήμερον ἀνάστασιν βαπτιζόμενοι, ἀναζήσουσιν, οὐδὲν ὑπὸ τοῦ κήτους τῆς δευτέρας ἀπιστίας (55) παραβλαβέντες. Εἶτα τὸ κήρυγμα τρανότερον (56) προβλέπει εἰς τὰ ἔθνη ἐρχόμενον, καὶ μετανοοῦντα ταῦτα, καὶ ἄφεσιν ἁμαρτιῶν ἐκ Θεοῦ δεχόμενα· καὶ λυπεῖται, οὐχ ὅτι οὗτοι σώζονται, ἀλλ' ὅτι οἱ αὐτοῦ φυλέται καὶ συγγενεῖς ἀποβάλλονται. Καὶ μὴ θαυμάσῃς, ἐπεὶ καὶ Παύλῳ λύπη καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ, ἡ τοῦ Ἰσραὴλ ἔκπτωσις. Αἰνιττόμενος δὲ Ἰωνᾶς καὶ τοὺς ἐν τοῖς καιροῖς τῶν ἀποστόλων ἔτι τοῦ νόμου ἐξεχομένους (57), οἷος καὶ Πέτρος ἦν, πρὶν ἢ τὴν σινδόνα ἰδεῖν, ἀθέμιτον εἶναι οἰόμενος ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαι ἔθνεσι, τῆς πόλεως ἔξεισι, τῆς τῶν ἐθνῶν, φημὶ, Ἐκκλησίας, οὐ παραδεκτέους τούτους κρίνων ἐπὶ τὴν πίστιν, εἰ μὴ καὶ Ἰουδαΐσαι (58), καὶ ὑπὸ τῇ σκηνῇ κάθηται, τῇ παρούσῃ διαθήκῃ περιέπων ταύτην, καὶ δεῖν (59) λέγων περιτέμνεσθαι καὶ τὰ Μωσέως ἔθη τηρεῖν, καὶ τῇ σκιᾷ τῆς κολοκύνθης ἐπαναπαύεται, ἣν εἶναι τὸν νόμον μανθάνομεν, ὑπὸ νύκτα τε γεννηθέντα, ὅτε (60) δηλαδὴ νὺξ ἐκράτει τῆς ἁμαρτίας (νόμος γὰρ τῶν παραβάσεων χάριν προσετέλεσε), καὶ ἀπολλόμενον ὑπὸ νύκτα· κατήργηται γὰρ, ὅτε οὐκ ἠδύνατο τῆς ῥηθείσης νυκτὸς ἔξω γενέσθαι. Ἱρὸς γὰρ τῷ ἐξ ἔργων

et fugam, cæteraque, vere citraque dolum contigisse, ut historia habet, susceperunt, sed enim allegoriam adjiciendo. Postquam videbat, inquiunt, Israelis ruinam, lapsum, ac transeuntem ad gentes propheticam gratiam sentiebat, eapropter cedit prædicationi, non exsequitur, et rejicit mandatum; ac dimissa gratiæ contemplatione (hoc enim Hebræis Joppe valet), vetere altitudine dico et dignitate, in tristitiæ pelagus sese ipse projecit, suisque cogitationibus et mente 204 tempestatem et luctam sustinet, et periclitatur in navi, hoc est fluctuat: reputans secum, quomodo filium primogenitum, sacerdotium regale, eximium populum declinet Spiritus, et ad immundos canes, gentes nempe, vadat. Deinde indormiscit Jonas, id est, ambigit omnino, ac proprios sensus sedat, ut qui non amplius cogitare possit, quomodo hoc fiat. Quando quidem et Paulus ob illam ipsam rem exclamat: *O profunditatem divitiarum, sapientiæ et cognitionis Dei! quam inscrutabilia judicia ejus, et impervestigabiles viæ ejus*[55]! Atqui proræ observator expergefacit ipsum, omnia scilicet prospiciens Verbum, quod ipsi prædemonstravit, deicidas quidem fore ipsos contribules ejus, jure itaque ab ipsis gratiam decedere. Hinc sub sortem cadit vates, delectui videlicet obnoxius, a supernis advenienti; justoque Dei judicio, quod purum sanctumque spiritum immundis Dei crucifixoribus dari, non justum arbitratur. Deinde et a balæna quidem devoratur, verum non capitur contineturve. (54) Intellige enim lapsum Israelis in incredulitate remanentis, deinde perpende etiam salutem reliquiarum secundum electionem. Non enim repulit populum suum quem prædefinivit. Et en rem mirandam, tertio die una cum Christo redditur a balæna, et in lucem redit; credit enim, quod qui per lavacrum regenerationis in Christum tertio die resurgentem baptizati, reviviscent, nihil damni passi a balæna secundæ incredulitatis. Posthac prædicationem certiorem prævidet ad gentes euntem, easque resipiscentes, suorumque peccatorum dimissionem a Deo accipientes. Turbatur itaque, non quod serventur illæ, cæterum quod sui contribules et cognati rejiciantur. Nec hoc mireris, postquam et Paulo mœror et incessabilis dolor cordi ejus sit Israelis elapsio. Præterea adumbrans Jonas, et typum gerens eorum qui temporibus apostolorum adhuc lege tenebantur, qualis et Petrus erat priusquam sindonem videret, illicitum esse ratus homini Judæo gentibus associari, adhærescereve: urbem egreditur, gentium dico Ecclesiam, eos ad fidem non recipiendos judicans, nisi Judaismum assumant ac sub

[55] Rom. xi, 33.

Variæ lectiones et notæ.

(54) *Intelligit enim*: et paulo post: *Sed etiam perpendit* (vates nimirum).

(55) Τῆς προτέρας ἀπιστίας, *prioris incredulitatis*, Cod. Ven.

(56) Πραότερον, Cod. Ven.

(57) Ἐχομένους, Cod. Bav.

(58) Ἰουδαΐσειέ τις, *judaismum quis assumat*, Cod. Ven.

(59) Ἰδεῖν, Cod. Ven.

(60) Ὅτι, *quia*, Cod. Ven.

Digitized by Google

tabernaculo sedens, juxta viam, istud applicans testamento, oportere circumcidi gentes ratus, et Moseam servare legem : acquiescit sub umbra cucurbitæ, quam esse legem discimus, sub nocte natam, quando scilicet nox peccati sceptris potiretur : quippe quia lex transgressionum causa lata est. Eademque sub nocte periit, siquidem destructa est, quando non potuit extra dictam peccati noctem, veniente luce, permanere. Cum enim ex operibus legis non potuerit justificari quisquam, per ipsam eo magis exuberabat delictum : nam sine lege peccatum est mortuum. Quomodo vero periit? **205** Per efficaciam vermis matutini, hoc est, potentiam Dei magnam, per gratiam illustrantis et lumen præbentis Jesu, qui super nos resplenduit, ac auroram cognitionis Dei rectæque vitæ peperit, ubi ait : *Ego autem sum vermis, et non homo*[46]. Ipsa, inquam, Dei gratia legem percussit et abolevit. Tumque Jonas perfectius discit sacramentum, sive arcanum hoc, quod gentes jure et assumantur et serventur. Nonne et in Actis apostolorum, et alii et ipse Petrus ad gentes secernuntur prius? Deinde Petrus quoque ex velo gentium puritatem discit, aliosque docet, quod jugum nominetur lex, quod neque ipsi, neque patres ipsorum gestare potuerunt. Hæc omnia ceu per ænigma adumbrans Jonas, hanc ad rationem, hanc suam digessit prophetiam. Præterea et in cæteris ex hac prophetia commoditatem capere queamus, discendo, amaram esse retributionem transgressionis jussuum Dei. Quia enim Deo resistimus, tradimur tentationibus atque periculis maris, cumque tempestatibus luctamur : ac videtur quidem balæna omnia vorans, nos in tentationes traditos deglutire, perdereque, quod vituperemus forsan et obmurmurremus divinæ Providentiæ : verumtamen integros nos conservemus. Hoc autem continget, si precemur eum, qui ex interitu poterit reducere vitam nostram, ac pollicemur ei sacrificia spiritualia, operationes ad salutem nostram dico. Si enim ita nos gesserimus, non observabimus mendacia et vana, quod patiuntur illi qui misericordiam Dei relinquunt, et ad blasphemias se conferunt. Hi enim vere sunt vani, neque a tribulationibus propter blasphemiam se liberantes, Deumque magis exacerbantes, ac graviora super se flagra provocantes, cum misericordiam potius Dei invocare debuissent. Nonne et in hoc mundo servi, cum ab heris suis castigati rebellaverint, vel convicia in eos regesserint, vehementius herilem iram accendunt? at vero qui dicunt, Miserere mei, eamdem sedant, pacant, mitiorem reddunt, majoraque supplicia effugiunt? Eum in modum prudentes animæ, et in eum qui pro nobis supplicium subiit, defigentes oculos, tertio die suscitatum, et ipsi nos

A νόμου μὴ δικαιοῦσθαί τινα ἔτι ἐπλεόναζε δι' αὐτοῦ τὸ παράπτωμα· χωρὶς γὰρ νόμου, ἁμαρτία νεκρά. Πῶς δὲ καὶ ἀπώλετο; Διὰ τῆς ἐνεργείας τοῦ σκώληκος τοῦ ἐωθινοῦ, τῆς δυνάμεως τοῦ Θεοῦ τῆς μεγάλης, τῆς χάριτος τοῦ φωτεινοῦ καὶ φωτοδότου Ἰησοῦ, τοῦ ἐπιλάμψαντος ἡμῖν, καὶ τὴν ἓω τῆς τε θεογνωσίας καὶ τοῦ ὀρθοῦ βίου ποιήσαντος, τοῦ λέγοντος· *Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος*· αὕτη γὰρ ἡ τὸν νόμον κατάξασά τε καὶ καταργήσασα. Καὶ τότε δὴ μανθάνει ὁ Ἰωνᾶς τελεώτερον τὸ μυστήριον, ὅτι δικαίως τὰ ἔθνη παραλαμβάνεται καὶ σώζεται. Ἢ οὐχὶ καὶ ἐν ταῖς Πράξεσιν οἵ τε ἄλλοι, καὶ αὐτὸς ὁ Πέτρος πρὸς τοὺς ἐθνικοὺς διακρίνονται πρότερον; Εἶτα μανθάνει Πέτρος διὰ τῆς σινδόνος τὴν τῶν ἐθνῶν καθαρότητα, καὶ τοὺς ἄλλους διδάσκει, B ὅτι καὶ ζυγὸς ὀνομάζεται ὁ νόμος, ὃν οὔτε αὐτοὶ, οὔτε οἱ πατέρες αὐτῶν ἠδυνήθησαν βαστάσαι. Ταῦτα πάντα αἰνιττόμενος Ἰωνᾶς, οὕτω διεσκεύασε τὴν προφητείαν. Ἀλλὰ γὰρ τά τε ἄλλα ὠφελῃθείημεν ἐκ ταύτης, καὶ τὸ μαθεῖν πικρὰν εἶναι τὴν ἀντιμισθίαν τοῦ παρακούειν προσταγμάτων Θεοῦ. Διὰ γὰρ τὸ προσκρούειν Θεῷ, καὶ πειρασμῶν θαλάσσαις ἐκδιδόμεθα, καὶ κλύδωσι προσπαλαίομεν. Καὶ δοκεῖ μὲν τὸ κῆτος παμφάγον, ὁ εἰς πειρασμοὺς ἡμᾶς ἐκδότους λαμβάνων, καταπιεῖν ἡμᾶς καὶ ἀπολέσαι διὰ τὸ βλασφημῆσαι τυχὸν καὶ καταγογγύσαι τῆς Προνοίας· πλὴν ἀλλ' ἡμεῖς ἀκεραίους ἑαυτοὺς διασώσωμεν. Τοῦτο δὲ ἔσται εἰ εὐχόμεθα τῷ δυναμένῳ ἀνάγειν ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν, καὶ ὑπισχνούμεθα αὐτῷ C θυσίας πνευματικὰς, τὰς εἰς σωτηρίαν ἡμῶν πράξεις φημί. Οὕτω γὰρ ἔχοντες, οὐ φυλαξόμεθα μάταια καὶ ψευδῆ, ἃ πάσχουσιν οἱ τὸν ἔλεον τὸν θεῖον ἐγκαταλιμπάνοντες, καὶ εἰς βλασφημίας χωροῦντες. Οὗτοι γὰρ τῷ ὄντι μάταιοι, μήτε (61) τὰς θλίψεις διὰ του βλασφημεῖν ἀνιέντες, καὶ ἔτι τὸν Θεὸν παροξύνοντες, καὶ βαρυτέρας τὰς μάστιγας προκαλούμενοι, δέον τὸν ἔλεον τοῦ Θεοῦ ἐπικαλεῖσθαι. Ἢ οὐχὶ καὶ οἱ κατὰ κόσμον δοῦλοι, ἐπειδὰν ὑπὸ τῶν δεσποτῶν παιδευόμενοι βλασφημῶσιν, ἔτι μᾶλλον τὴν δεσποτικὴν ὀργὴν προσεκκαίουσιν· οἱ μέντοι, Ἐλέησον, λέγοντες, πραῢνουσιν ταύτην, καὶ τὸ ἐπιπλέον κολάζεσθαι διαφεύγουσιν; Οὕτω φρονοῦντες, καὶ εἰς τὸν παθόντα ὑπὲρ ἡμῶν ἀφορῶντες καὶ τριήμερον ἀναστάντα, καὶ αὐτοὶ τριήμεροι ἀναστησόμεθα, πίστιν, ἐλπίδα, D ἀγάπην, τὰ τρία ταῦτα φωτίζοντα ἡμᾶς ἐν τῇ νυκτὶ τῶν θλίψεων ἔχοντες, Πιστός τε ὁ Θεὸς, λέγοντες, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι, καὶ διὰ τοῦτο ὑπομένοντες, καὶ τὴν δοκιμὴν ἐκ τῆς ὑπομονῆς, καὶ ἐκ ταύτης τὴν ἐλπίδα δεχόμενοι. Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει πάντως. Καὶ οὕτως εἰς τὴν ἀγάπην τοῦ Πατρὸς τῶν οἰκτιρμῶν φθάνοντες ἐν τῷ ἐννοεῖν, ὅτι (62) *Τίς ἐστιν υἱὸς, ὃν οὐ παιδεύει πατήρ;* καὶ, *Ὃν ἀγαπᾷ, παιδεύει*· ὥστε καὶ ἡμᾶς ὀφείλειν αὐτὸν ἀγαπᾷν μετὰ τοῦ λέγοντος· *Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ;*

[46] Psal. xxi, 7.

Variæ lectiones et notæ.

(61) Μήτε, Cod. Ven. μήποτε.

(62) Ὅτι deest in Cod. Ven.

Digitized by Google

Ἐὰν ταῦτα (63) κατορθώσωμεν, καὶ κήρυκες ἐτόμεθα ἄλλοις ἁμαρτάνουσι, καὶ σώσομεν τούτους διὰ τοῦ καθ' ἡμᾶς παραδείγματος. Οὕτω καὶ ἔξω τῆς πόλεως γενησόμεθα, τοῦ κόσμου δηλαδὴ τούτου, ὡς ὁ Παῦλος παραινεῖ, ἔξω κελεύων ἔρχεσθαι, τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ φέροντας, τουτέστι πᾶσαν ἀτιμίαν, καὶ πᾶσαν κάκωσιν· οὕτω καὶ ἐν σκηνῇ ἀναπαυσόμεθα, οὐ μόνιμον, ἀλλὰ παροδικὴν ἐνταῦθα διατριβὴν νομίζοντες, ὡς Ἀβραὰμ καὶ οἱ λοιποὶ πατριάρχαι, οἱ συγκληρονόμοι τῆς ἐπαγγελίας, οἳ ἐν σκηναῖς πεμφύχησαν, ὡς τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν ἐκδεχόμενοι. Καὶ ἡ σκιὰ τῆς κολοκύνθης, τοῦ κόσμου τούτου τῆς δόξης (*Πᾶσα γὰρ δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου*), ἀναψύχειν δοκεῖ ἐν τῷ τῶν θλίψεων καύσωνι, καὶ διὰ τοῦτο ποθεῖται ἡμῖν. Ἀλλὰ πατασσέτω αὐτὴν ἡ σκώληξ ἡ ἐωθινή, ἡ συνείδησις ἡμῶν, ᾗ οὐδὲν τῶν ἡμετέρων σκοτεινὸν καὶ ἀφανές. Διὸ καὶ σκώληξ ἐστὶν, ἀεὶ τῶν ἁμαρτημάτων ἡμῖν αἴσθησιν διδοῦσα. Σὴς γὰρ ὀστέων, καρδίᾳ αἰσθητική. Αὕτη πρὸ ὀφθαλμῶν ἡμῖν τιθεῖσα τὰ ἡμέτερα κακὰ, καὶ διδάσκουσα, ὡς ἄξιοί ἐσμεν καὶ βαρυτέρων θλίψεων διὰ τὰς ἁμαρτίας ἡμῶν, πατάξει τὴν ἐπιθυμίαν τῆς δόξης, καὶ πείσει λέγειν μετὰ τοῦ προφήτου· *Ὀργὴν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ*· καὶ αὖ, *Ὀλίγα ὧν ἥμαρτον, μεμαστίγωμαι*. Χάρις οὖν τῷ διὰ πάντων ὠφελοῦντι ἡμᾶς; Πνεύματι, καὶ μυστήρια μὲν ἀποκαλύπτοντι διὰ τῆς τοῦ γράμματος περιαιρέσεως, οὐχ ἧκιστα δὲ καὶ διὰ τοῦ γράμματος διορθουμένῳ τὰς τῶν προσχόντων ψυχάς. Αὐτίκα γοῦν ἵνα ἐξ ἑνὸς τὸ πᾶν παραστήσωμεν, τὸ, *Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφήσεται*, μυστικώτερον μὲν σημαίνει τὴν διὰ τῆς τοῦ Κυρίου τριημέρου ταφῆς καταστροφὴν τῆς πονηρᾶς ἀντικειμένης βασιλείας τῆς πάλαι κρατούσης καὶ δυναστευούσης, ὥσπερ ἡ Νινευὶ ἐν τοῖς ἔθνεσι, πρὸς ἣν ἐμάχετο μὲν ὁ νόμος, ἀλλ' ἀσθενὴς ἦν· διὸ καὶ εἴρηται, *Ἔτι τρεῖς ἡμέραι*, καὶ ἡ τελεία αὕτη καταστροφὴ (66), ὅτι ἀπεκδύσεται τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, θριαμβεύσας αὐτὰς ἐν τῷ σταυρῷ, ὁ μέλλων διὰ τοῦ θανάτου καταργῆσαι τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου. Ἀλλὰ καὶ τοῦ Ἰησοῦ τὰς ἐν τῇ γῇ ποιουμένου διατριβὰς, κατελύετο μὲν οὕτως ἡ τῶν δαιμόνων ἀρχή· ἐσκύλευε δὲ τὸν ἰσχυρὸν, τὰ σκεύη αὐτοῦ διαρπάζων, καὶ τοὺς δαιμονῶντας ἰώμενος· πλὴν ἡ τελεία καταστροφὴ τῆς δαιμονικῆς τυραννίδος διὰ τῆς τριημέρου ἀναστάσεως ἐτελέσθη. Ἀλλὰ καὶ διὰ τῆς ἐν τῷ βαπτίσματι τριττῆς καταδύσεως, τῆς ὄντως ἡμερινῆς καὶ φωτιστικῆς, ἡ ἁμαρτία καταστρέφεται. Σημαίνεται μὲν οὖν καὶ ταῦτα μυστικῶς διὰ τοῦ, *Ἔτι τρεῖς ἡμέραι, καὶ*

excitabimur triduani, fidem, spem, charitatem, tria hæc illuminantia nos, in afflictionum nocte habentes, Fidelisque Deus, dicentes, qui non sinet nos tentari: ac propterea sustinentes, probationem ex patientia et ex hac spem accipientes. Spes autem prorsus non afficit contumelia, non pudefacit. Sicque tandem ad dilectionem Patris miserationum venientes, intelligendo id quod in Proverbiis dicitur: *Quis est filius, quem non castigat pater?* Et: *Quem diligit filium pater, hunc castigat*[67]. Ut adeo ipsum amore prosequamur cum eo qui ait: *Quis separabit nos a dilectione Dei, quæ est in Christo Jesu*[68]? Si hæc rite perfecerimus, et præcones **206** erimus aliis, et servabimus eos per exemplum nostrum, tum extra urbem habitabimus, mundum videlicet hunc, perinde atque Paulus hortatur, præcipiens egredi, improperium Christi ferentes, hoc est omnem ignominiam et omnem malitiam. Sic et in tabernaculo requiescemus, non stabiliter quidem, sed obiter et transitorie commorando, quemadmodum Abraham et reliqui patriarchæ, cohæredes promissionis, qui in ætegiis peregrinati sunt, veluti urbem fundamenta habentem exspectantes. Proinde et umbra cucurbitæ, hoc est, gloriæ hujus mundi (siquidem *omnis gloria hominis, sicut flos feni*[69]) refrigerare nos videtur, in hoc afflictionum æstu, ideoque a nobis expetitur. Enimvero feriat eam vermis matutinus, ipsa nimirum conscientia nostra, cui nihil eorum, quæ nostra sunt, tenebricosum, aut obscurum est. Hinc et vermis est, nunquam non peccatorum nobis sensum exhibens. (64) Ipsa enim sensibilis tinea ossium cordisque, ob oculos nobis ponens nostra scelera, docens juxta nos vel gravioribus pœnis dignos, peccatorum nostrorum causa: feriet cupiditatem gloriæ, persuadebitque dicere cum propheta: *Iram Domini sustinebo, quippe quia peccavi ipsi*[70]. Et paulo post: *Eo quod peccavi, cæsus sum flagris.* Gratiam igitur habemus et agimus Spiritui, per omnia nos adjuvanti, ac mysteria quidem per litteræ (65) considerationem revelanti, non minime vero et per litteram animadvertentium animas dirigenti. Ut igitur statim ex uno totum exhibeamus: quod ait propheta, *Adhuc tres dies, et Ninevi subvertetur:* secretiore quodam modo, per sepulturam, in qua Dominus noster triduum quievit, excidium pravi et opponentis sese regni, quod olim viguit ac præpotens fuit, perinde atque Ninevi inter gentes, significat. Adversus quod pugnabat lex, sed imbecilla erat, unde et

[67] Hebr. XII, 6. [68] Rom. VIII, 35. [69] Isa. XL, 6. [70] Micheæ VII, 9.

Variæ lectiones et notæ.

(63) Τοῦ Χριστοῦ· ἐὰν ταῦτα, Cod. Ven.

(64) *Tinea enim ossium est cor sensitivum. Hoc* etc. Sic habent Græca verba.

(65) *Detractionem revelanti, necnon et per litteram* etc. Sic Græce habetur.

(66) Ἔτι τρεῖς ἡμέραι, τοῦ λόγου δηλοῦντος, ὡς τὴν κακίαν καὶ ὁ λόγος μὲν κολάζει, πλὴν ἔτι τρεῖς ἡμέραι· καὶ τηνικαῦτα ἡ τελεία ταύτης καταστροφὴ, ὅτε κ. τ. λ. Adhuc tres dies, *docente sermone puniri quidem et ab lege nequitiam: verumtamen* adhuc tres dies, *atque tum perfecta nequitiæ ipsius eversio contingel, cum* etc. Cod. Ven. Sed scribendum puto νόμος, *lex*, pro λόγος, *verbum*.

Digitized by Google

dictum est : *Adhuc tres dies*, et extrema sequetur eversio, quippe quia exuet plane principatus et potestates, triumphans eas in cruce, qui per mortem suam destructurus est eum, cui est imperium mortis. Quin etiam Servatore Jesu in terris agente, ipsum adeo dæmonum imperium dissolvebatur : spoliabat namque fortem, direptis armis ejus, dæmonibusque obsessos curabat. Attamen novissima subversio pravorum spirituum tyrannidis, per triduanam istam resurrectionem consummata est. Præterea per triplicem in baptismate submersionem revera diurnam et lucidam, peccatum subvertitur : quæ hic etiam mystice indicantur, dum ait : *Adhuc tres dies* et *Ninevi subvertetur*. Atqui neque littera nobis inutilis est, discentibus ex ea nobis non desperandum **207** esse, sed Domini clementiæ et benignitati confidendum, ut qui propter trium dierum pœnitentiam, multorum annorum vitia, neque non flagitia neglexerit, ipsi gloria in sæcula sæculorum. Amen.

A *Νινευῖ καταστραφήσεται*. Πλὴν οὐδὲ τὸ γράμμα ἡμῖν ἄχρηστον, μανθάνουσι μὴ ἀπογινώσκειν, ἀλλὰ θαῤῥεῖν τῇ τοῦ Κυρίου φιλανθρωπίᾳ, ὃς διὰ μετάνοιαν τριῶν ἡμερῶν, πολλῶν ἐτῶν κακίας παρεῖδεν. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Jonas, si interpreteris, valet *Altissimo laborante*, sive *columbam*. Hic ex terra fuit Cariathiarim, ut quidam aiunt, prope Azotum urbem maritimam. B Ejectus e balæna, profectus in Ninevi, illic concionatus est, ac postea in terram suam reversus istuc manere noluit : cæterum, assumpta matre sua, peregrinus fuit in terra Assur, regione alienigenarum gentium. Dixit enim : *Hoc pacto auferam opprobrium meum, quippe quia mentitus sum, prophetiam contra Ninevi edisserens, civitatem magnam*. Porro (68) Elias propheta castigans regem Achab, accersita super terram fame, aufugit. Ubi ergo venisset Sarephta, reperit viduam una cum filio suo ; neque enim cum incircumcisis ducere spiritum potuit : beneque illi precatus est. Deique bonam voluntatem et benignitatem ei impetravit, hospitalitatis nomine. Hinc et filium ejus C vita defunctum ([70]) qui hic Jonas fuisse memoratur) resuscitavit ex morte, vita illi restituta. Hic itaque Jonas in Judæam venit, ubi mater ipsius diem suum obiit, quam et juxta glandem Deboræ tumularunt in via : commoratusque est tandem in terra Saraam, ac extremum ibidem fati diem sustinuit, funeratus in spelunca Cenez (71). Deditque prodigium multum Israeli ac universæ terræ, inquiens : *Quando viderint lapidem clamantem miserabiliter, ac ligni vermiculum ad Deum edentem vocem, tunc appetet ipsa salus, tumque videbant, Jerusalem obscuratam et exstinctam ad fundamenta usque penitus, ac in ipsa omnes gentes adorabunt Dominum, transponentque lapides occasum solis versus : ibique adorabunt Deum, qui relicti fuerint, eo* D *quod Jerusalem exsecrabilis facta sit, cum per bestias, tum omnem impuritatem vastata*. Tum demum veniet finis universi spiritus.

Ἰωνᾶς ἑρμηνεύεται, *Ὑψίστου πονοῦντος*, ἢ *περιστερά*. Ἰωνᾶς ἦν ἐκ γῆς Καραθιαρεὶμ (67), ὥς τινές φασι, πλησίον Ἀζώτου πόλεως, κατὰ θάλασσαν. Καὶ ἐκβρασθεὶς ἐκ τοῦ κήτους, ἀπελθὼν εἰς Νινευῖ, καὶ κηρύξας, καὶ ἀνακάμψας, οὐκ ἔμεινεν ἐν τῇ γῇ αὐτοῦ· ἀλλὰ παραλαβὼν τὴν μητέρα αὐτοῦ, παρῴκησεν ἐν γῇ Ἀσσὺρ, χώρᾳ ἀλλοφύλων ἐθνῶν. Ἔλεγε γάρ, ὅτι *Οὕτως ἀφελῶ τὸ ὄνειδός μου, ὅτι ἐψευσάμην, προφητεύσας κατὰ Νινευῖ τῆς πόλεως τῆς μεγάλης*. Ἦν δὲ τότε Ἠλίας ὁ προφήτης ἐλέγχων τὸν Ἀχαάβ, καὶ καλέσας λιμὸν ἐπὶ τὴν γῆν, ἔφυγε. Καὶ ἐλθὼν εἰς Σάρεφθα, εὗρε τὴν χήραν μετὰ τοῦ υἱοῦ αὐτῆς, (69) καὶ ἔμεινε *παρ'* αὐτοῖς· οὐδὲ γὰρ ἠδύνατο μένειν μετὰ τῶν ἀπεριτμήτων, καὶ εὐλόγησεν αὐτὴν διὰ τὴν ξενοδοχίαν· ἦν γὰρ προγινώσκων αὐτὴν ἐκ πρώτου. Θανόντος δὲ τοῦ υἱοῦ αὐτῆς ἐν μέσῳ ἀπεριτμήτων, πάλιν ἤγειρεν ὁ Θεὸς διὰ τοῦ Ἠλίου ἐκεῖ νεκρόν· ἠθέλησε γὰρ δεῖξαι αὐτῷ, ὅτι οὐ δύναταί τις διαδρᾶναι Θεόν. Καὶ ἀναστὰς Ἰωνᾶς μετὰ τὸν λιμὸν ἦλθεν εἰς τὴν Ἰουδαίαν, καὶ ἀπέθανεν ἡ μήτηρ αὐτοῦ κατὰ τὴν ὁδὸν, καὶ ἔθαψαν αὐτὴν ἐχόμενα τῆς βαλάνου Δεβώρας· καὶ κατῴκησεν ἐν γῇ Σαραάμ. Ἀπέθανε δὲ ἐκεῖ, καὶ ἐτάφη ἐν σπηλαίῳ Κενέζ, κριτοῦ γενομένου ἐν ἡμέραις τῆς ἀναρχίας. Καὶ ἔδωκε τέρας πολὺ ἐν Ἰσραὴλ, καὶ ἐφ' ὅλην τὴν γῆν. *Ὅταν*, φησὶν, *ἴδωσι λίθον βοῶντα οἰκτρῶς, καὶ κάνθαρον ἀπὸ ξύλου πρὸς Θεὸν φθεγγόμενον, τότε ἐγγίζειν τὴν σωτηρίαν, τότε δύσονται τὴν Ἱερουσαλὴμ ἠφανισμένην ἕως θεμελίων ὅλην· καὶ εἰς αὐτὴν πάντα τὰ ἔθνη προσκυνήσει τῷ Κυρίῳ, καὶ μεταθήσουσι τοὺς λίθους κατὰ δυσμὰς ἡλίου, καὶ ἐκεῖ ἔσται ἡ προσκύνησις τοῦ ἠλειμμένου, διὰ τὸ Ἱερουσαλὴμ βδελυχθῆναι, ἐν ἐρημώσει θηρίων καὶ πάσης ἀκαθαρσίας· καὶ τότε ἥξει τὸ τέλος πάσης πνοῆς.*

Variæ lectiones et notæ.

(67) Καριαθαλμ, Cod. Ven.

(68) *Erat vero tum Elias propheta reprehendens Achabum ; et accersita* etc. Ex Ven. Cod. et Bav.

(69) Hæc ita sonant : *Et mansit apud ipsos (non enim cum incircumcisis manere potuit) benedixitque ei propter hospitalitatem (erat enim prænoscens ipsam ex primo). Vita vero functo ejus filio in medio incircumcisorum, rursus suscitavit eum Deus, ibi mortuum, per Eliam* ; etc. *Ei quippe ostendere voluit, neminem effugere Deum posse*, etc.

(70) Frustra quæras in Cod. Ven. et Bav. verba latinis, ea parenthesi clausis, respondentia.

(71) *Qui judex fuit in diebus vacationis imperii.* Hæc ex Cod. Bav. et Ven.

Digitized by Google

ΤΟΥ ΑΥΤΟΥ

ΘΕΟΦΥΛΑΚΤΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ

ΕΞΗΓΗΣΙΣ ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΝΑΟΥΜ.

EJUSDEM

THEOPHYLACTI

ARCHIEPISCOPI BULGARIÆ

EXPOSITIO IN NAUM PROPHETAM.

ΥΠΟΘΕΣΙΣ.

Ἐκήρυξε μὲν Ἰωνᾶς ὁ θαυμάσιος τοῖς Νινευΐταις, ὡς εἰ μὴ μετανοήσαιεν, ἀπολοῦνται· Νινευὶ δὲ, πόλις τῶν Ἀσσυρίων ἡ προοῦχουσα. Πεισθέντες δὲ οὗτοι, καὶ διὰ τῆς μετανοίας τὴν θείαν ὀργὴν ἀποστρέψαντες, τότε μὲν οὐδενὸς τῶν ἀπειληθέντων δεινῶν ἐπειράθησαν· οἷα δὲ [τὰ] τῆς ἀνθρωπίνης ἀσθενείας, ὕστερον ἀπερράθυμηκότες, καὶ εἰς τὴν προτέραν πονηρίαν ἐπανελθόντες, ἄλλα τε παράνομα μυρία δεδράκασι, καὶ τὰς κατὰ τοῦ Ἰσραὴλ τετολμήκασιν ἐκστρατείας. Καὶ τὰς μὲν δέκα φυλὰς, ὅ τε Θεγλαθφαλασὰρ καὶ ὁ Σαλμανασὰρ ἐξανδραποδίσαντες, αἰχμαλώτους ἀπήγαγον. Τῇ δὲ τοῦ Ἰούδα φυλῇ Σεναχηρεὶμ ἐπιστρατεύσας, πολλὰς πόλεις ἑλὼν, καὶ τὴν Ἱερουσαλὴμ αὐτὴν πολιορκήσας, κατ' αὐτοῦ τοῦ Θεοῦ τὴν γλῶτταν κινήσας, ἀπέβαλε μὲν τὰς τοσαύτας χιλιάδας ἐν μιᾷ νυκτί· αὐτὸς δὲ διὰ ταύτην διαφυγὼν τὴν πληγὴν, καὶ οἶκοι γενόμενος, ἵνα κηρύξῃ τὴν θείαν δύναμιν (τούτου γὰρ ἕνεκα διεφυλάχθη), ἐν αὐτοῖς τοῖς βασιλείοις ὑπὸ τῶν ἰδίων υἱῶν δέχεται τὴν πληγήν. Εἶτα μικρὸν ὕστερον εἰς Πέρσας καὶ Μήδους τῆς βασιλείας μετατεθείσης, πανωλεθρίᾳ παρεδόθη ἡ Νινευὶ, ὅτε καὶ Κῦρος τοὺς Ἰσραηλίτας ἐλευθέρους ἀφῆκεν.

Ὁ τοίνυν ἀνὰ χεῖρα προφήτης Ναοὺμ, τοῦτον τὸν ὄλεθρον τῆς Νινευὶ προαναφωνεῖ· ἅμα μὲν διδάσκων πάντας, ὡς δίκαιος ὢν ὁ Θεὸς, οὐδὲν ἀπρονόητον ἐᾷ, ἀλλ' ἑκάστοις τὰς πρεπούσας ἐπιτίθησι δίκας. Διὸ τὸν μὲν Ἰσραὴλ ἡσεθηκότα παρέδωκεν Ἀσσυρίοις· αὐτοὺς δὲ τούτους πάλιν τοῖς Πέρσαις, διότι παραλαβόντες τὸν Ἰσραὴλ, θηριωδῶς αὐτοῖς ἐχρήσαντο. Οὐ γὰρ ὡς τῇ θείᾳ διακονοῦντες ὀργῇ, κατὰ τοῦ Ἰσραὴλ ἐστράτευσαν, ἀλλὰ τὴν οἰκείαν πλεονεξίαν

ARGUMENTUM.

Prædicavit admirandus ille Jonas Ninevitis, cum interitum, tum perniciem sui, nisi resipiscant, sanctioribusque moribus imbuantur. Erat autem Ninevi eximia Assyriorum civitas. Persuasi autem a vate, perque vitæ suæ correctionem divinam iram avertentes, nihil malorum quæ Jonas interminatus erat, sunt perpessi. At postea, ex humana imbecillitate, ut fit, desidiosi facti, ad priorem omnino pravitatem reversi, innumera alia flagitia patrarunt, adeo ut et adversus Israelem movere copias, eumque expugnare sint ausi : quo in prælio 210 Thaglathphalasar et Salmanasar, decem sibi tribus subjugantes, captivas abduxerunt. Sic adversus tribum Juda Sennacherim bellum faciens, plerisque civitatibus captis, ipsaque Jerusalem obsidione cincta, contra ipsum Deum linguam concitans, una etiam nocte tot tantasque suas chiliades amisit : ipse vero eam plagam, divinam videlicet ultionem fugiens, domum rediit, ut illic divinam potentiam evulgaret, ejus enim rei gratia servatus est : ubi et a propriis liberis, in regia captus, jugulatur. Paulo post ad Persas et Medos translato regno, funditus Ninevi interiit, quandoquidem et Cyrus Israelitas liberos dimisit.

Proinde hæc, quæ in manibus nostris est, prophetia Naum, hanc Ninevitis perniciem prænuntiat : cunctos mortales pariter docens, quod justus exsistens Deus, nihil extra suam providentiam relinquat, sed quibuslibet merita supplicia imponat. Eam ob causam Israelem negligentem Dei tradidit Assyriis, eos autem rursum Persis, quod assumptum ex captivitate Israelem, ceu feras tractaverint. Non enim tanquam divinæ iræ inservientes,

Digitized by Google

contra Israelem belligerati sunt, sed enim suam avaritiam, perditumque quæstum explentes, ac omnium plane dominari volentes. Deus itaque tum illis ceu tortoribus et lictoribus, neque non carnificibus, contra Israel usus est. Enimvero, ne arbitrarentur se propriis viribus transegisse, quæ fecerant, tot millia Sennacherim perdidit : tandem et ipsam Ninevi, una cum Assyriorum regno, Deus sustulit. Deus enim populum suum peccatis deturbatum, hostibus quidem tradit ; non vult autem istos penitus implacabili ira adversus divinum (72) templum grassari. Quocirca si viderit istos carnifices acerbius, quam par sit, infligere pœnam, super ipsos etiam suam iram effundit, ut vel experientia discant, quantum sit mali sævitia. Sin quis hic objiciat, cur Saul rejectus sit, qui Amalecitis tamen clementem se omnino ac mitem exhibuerat, illi audiant : Primum quidem, quod Amalecitæ non fuerint populus Dei, verum desertores et hostes : nos vero hic de populo Dei verba facimus, quem Deus, ut pater filium, castigare quidem vult, sed non exstirpare. Deinde noverit, quod palam Sauli præceperit Deus exterminare Amalecitas, quare non oportuit ipsum apertum Dei mandatum transgredi : præsertim, cum Saul Amaleco non propter mansuetudinem pepercerit, sed propter avaritiam potius. Docet itaque vates Naum omnes homines, curam ac providentiam Dei in omnibus esse. Peculiariter autem Israelitis bonam spem facit, ut ne desponsis animis, a spe in Deum excidant, sed in ipsum intuentes, fide in eum armati, consolationem habeant, ab eo tantummodo se redimi posse : tanquam Assyrii pœnam sint daturi Cyro, per quem et ipsi a captivitate sint absolvendi. Namque desperatio in 211 causa erat, cur gentes accederent, illorumque moribus assocIarentur. Est igitur tale præsentis vaticinii argumentum. Præterea et de Christo, Servatore nostro, sacramentum, sive arcanum, alte huic prophetiæ insitum hic intelligitur. Quod intueri donet ille ipse, qui illuminat omnem hominem venientem in hunc mundum [81], simul et vitam nostram dirigens per bonum rectumque Spiritum, cujus prophetia opus est.

ἀποπιμπλάντες, καὶ καταδυναστεύειν πάντων ἐθέλοντες. Διὸ ὁ Θεὸς τότε μὲν ἐχρήσατο αὐτοῖς κολασταῖς καὶ δημίοις κατὰ τοῦ Ἰσραήλ· ἵνα δὲ μὴ νομίσωσιν, ὡς οἰκείᾳ δυνάμει κατώρθωσαν ἃ ἐποίησαν, κατηκόντισε μὲν τὰς τοσαύτας χιλιάδας τοῦ Σεναχηρείμ· τέλος δὲ καὶ αὐτὴν τὴν Νινευὶ μετὰ τῆς τῶν Ἀσσυρίων βασιλείας καθεῖλεν. Ὁ γὰρ Θεὸς τὸν αὐτοῦ λαὸν ἁμαρτηκότα παραδίδωσι μὲν τοῖς ἐχθροῖς· βούλεται δὲ ὅμως αὐτοὺς μὴ ἀποτόμως τῇ κατὰ τοῦ θείου λαοῦ ὀργῇ χρῆσθαι. Διὸ εἴπερ ἴδῃ τούτους τοὺς δημίους πικρότερον κολάζοντας, ἐπαφίησι καὶ αὐτοῖς τὴν οἰκείαν ὀργήν, ἵνα πείρᾳ μάθωσιν, ὅσον κακόν ἐστιν ἡ ἀπήνεια. Εἰ δέ τις ἐρεῖ· Καὶ πῶς ὁ Σαοὺλ ἀπεβλήθη, διότι τοὺς Ἀμαληκίταις φιλανθρωπότερον προσηνέχθη· ἀκουσάτω πρῶτον μὲν, ὅτι Ἀμαληκῖται οὐκ ἦσαν λαὸς Θεοῦ, ἀλλ' ἀποστάται καὶ ἐχθροί· ἡμεῖς δὲ περὶ θείου λαοῦ λέγομεν, ὃν ὁ Θεὸς ὡς πατὴρ υἱὸν ἐθέλει παιδεύειν, ἀλλ' οὐκ ἀφανίζειν· ἔπειτα, ὅτι καὶ ῥητῶς προσέταξεν ὁ Θεὸς τῷ Σαοὺλ ἀφανίσαι τοὺς Ἀμαληκίτας· οὐκ ἔδει δὲ τὴν προφανῆ τοῦ Θεοῦ πρόσταξιν παραβῆναι. Καὶ ἄλλως δέ, οὐ διὰ φιλανθρωπίαν ὁ Σαοὺλ ἐφείσατο τοῦ Ἀμαλήκ, ἀλλὰ διὰ φιλοχρηματίαν. Διδάσκει μὲν οὖν καὶ τὴν θείαν, ὡς εἴρηται, πρόνοιαν ὁ προφήτης πάντας ἀνθρώπους· ἰδίως δὲ καὶ τοῖς Ἰσραηλίταις χρηστὰς ἐντίθησιν ἐλπίδας, ἵνα μὴ ἀπογνόντες παντελῶς, τῆς εἰς Θεὸν ἐλπίδος ἐκπέσωσιν· ἀλλὰ πρὸς αὐτὸν ὁρῶντες, καὶ τῇ εἰς αὐτὸν πίστει τεθωρακισμένοι, ὡς μόνον λυτροῦσθαι δυνάμενον, παράκλησιν ἔχωσιν, ὡς τῶν Ἀσσυρίων μελλόντων δίκας διδόναι τῷ Κύρῳ, ὑφ' οὗ καὶ αὐτοὶ τῆς αἰχμαλωσίας ἀπολυθήσονται. Ἡ γὰρ ἀπόγνωσις ἐποίει αὐτοὺς τοῖς ἔθνεσι προσχωρεῖν, καὶ τὰ ἐκείνων ἤθη μετιέναι. Τοῦτο μὲν οὖν τῆς παρούσης προφητείας πρόδηλον πρόβλημα (73). Καὶ τὸ κατὰ Χριστὸν δὲ μυστήριον βαθέως κείμενον, ἐνταῦθα κατανοεῖται. Ὁ δῴη αὐτὸς ἐκεῖνος κατιδεῖν, ὁ φωτίζων πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον, ἅμα καὶ τὸ ἦθος ἡμῶν καταρτύων, διὰ τοῦ ἀγαθοῦ καὶ εὐθέος Πνεύματος, οὗ ἡ προφητεία ἐνέργημα.

CAPUT PRIMUM.

Vers. 1. *Lemma Ninevi.* Spiritus Paracleti gratia, variis modis in prophetis operabatur. Nam alios quidem videre faciebat futura, ut Isaiam, Michæam, Danielem et Zachariam. Aliis vero quædam, ut volebat, inspirabat : videbanturque audire, veluti a disserente quopiam, vaticinia. Sic, *Audiam quid loquatur in me* [82] : et, *Quid respondeam interroganti me* [83]? inquit Abacuc. Perinde ac David : *Animadvertam, quid loquatur in me Dominus*, id quod et in jam commemoratis prophetis est vi-

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

Λῆμμα Νινευΐ. Ἡ τοῦ ἁγίου Πνεύματος χάρις διαφόρως ἐν τοῖς προφήταις ἐνήργει. Τοὺς μὲν γὰρ ὁρᾷν ἐποίει τὰ μέλλοντα, ὡς Ἡσαΐας, καὶ Μιχαίας, καὶ Δανιὴλ, καὶ Ζαχαρίας· τοῖς δὲ ἐνήχει τινὰ, ὡς ἐβούλετο, καὶ ἐδόκουν ἀκούειν προσδιαλεγομένου τινός. *Τί γὰρ λαλήσει ἐν ἐμοὶ*, καὶ, *Τί ἀποκριθῶ πρὸς ἔλεγχόν μου*; φησὶν ὁ Ἀμβακούμ· ὥσπερ καὶ Δαβὶδ λέγει· *Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός*. Ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς προφθεῖσι προφήταις ἔστιν ἰδεῖν καὶ τοῦτο. Τινῶν δὲ

[81] Joan. I, 9. [82] Psal. LXXXIV, 9. [83] Habac. II, 1.

Variæ lectiones et notæ.

(72) Lonicerus legit ναοῦ, cum *templum* reddidit, sed scribendum λαοῦ, *populum*, ut habet Codex Venetus.

(73) Βούλημα. Cod. Ven.

Digitized by Google

ἐξαπίνης ἐπελαμβάνετο, καὶ κατέχουσα αὐτοὺς, καὶ τῶν ἀνθρωπίνων χωρίζουσα, ἐλάλει διὰ τούτων τὰ μέλλοντα. Ταύτην τοίνυν τὴν τῆς διανοίας αἰφνίδιον κατάσχεσιν, λῆμμα προσηγόρευσεν ὁ Ναοὺμ, ὡσανεὶ τοῦτο λέγων, ὅτι Ληφθεῖσα ἡ διάνοιά μου ὑπὸ τοῦ Πνεύματος, προεῖδε τὰ τῇ Νινευῖ συμβησόμενα. Ἰστέον μέντοι, ὅτι πᾶσα προφητεία λῆμμα ἂν λεχθείη κοινῷ ὀνόματι· ἐκ Θεοῦ γὰρ ταύτην οἱ προφῆται ἐλάμβανον. Ἀλλὰ καὶ ἡ ὅρασις ὥσπερ κοινόν τι δοκεῖ εἶναι· ἐπὶ πάντων γὰρ τῶν τρόπων τῆς προφητείας, ὁ νοῦς ἦν ἐλλαμπόμενος τῷ φωτὶ τοῦ Πνεύματος. Ἄκουε γοῦν τί κάνταῦθα ἐπάγει·

A dere. Porro quosdam derepente Spiritus apprehendebat gratia, eosque detinens, et ab humanis separans, per ipsos futura loquebatur. Hanc igitur repentinam mentis detentionem, Lemma vocavit Naum, perinde quasi hoc dicat : Arrepta mens mea a Spiritu, prævidit quæ Ninevi essent obventura. Observandum quidem omnem prophetiam, communi vocabulo lemma dici posse, hoc est, acceptionem : etenim ex Deo hanc prophetæ accipiebant. Insuper et visio veluti commune vaticiniis videtur esse, siquidem in omnibus prophetiæ formis, mens, Spiritus lumine illustrabatur. Audi igitur, quid hic afferat.

Βιβλίον ὁράσεως Ναοὺμ τοῦ Ἐλκεσαίου. Τοῦτο, φησὶ, τὸ λῆμμα, τουτέστιν, ἡ κατὰ τῆς Νινευῖ προφητεία, ἣν ποιοῦμαι ληφθεὶς διὰ τοῦ Πνεύματος, ἤ, Ἣν ἔλαβον ἀπὸ Θεοῦ, βιβλίον ἐστὶ, περιέχον τὴν ὅρασιν ἐμοῦ τοῦ Ναοὺμ, τοῦ ὁρμωμένου (74) ἀπὸ κώμης Ἐλκασαΐ. Καὶ γὰρ προεῖδον τὰ μέλλοντα, καὶ ὡς προϊδὼν ταῦτα, λέγω. Τινὲς δὲ τὸ, *Λῆμμα*, τουτέστιν, Ἡ ἀνὰ χεῖρας ληφθεῖσά μοι ὑπόθεσις, περὶ τῆς Νινευῖ ἐστι, καὶ περὶ αὐτῆς μέλλω ποιεῖσθαι τοὺς λόγους. Τὸ δὲ βιβλίον τοῦτο, ὁράσεώς ἐστι τοῦ Ναούμ. Μήποτε δὲ ἀπὸ τῆς τοῦ Ἱερεμίου προφητείας οἰκειότερον νοηθείη, τί σημαίνει ἐνταῦθα τὸ λῆμμα. Ἔοικε γὰρ ἐκεῖνος λέγειν τὸ λῆμμα, τὴν μετὰ ζήλου ὀργὴν, ἐκ τοῦ τὸν ἰσχυρότερον λαβόντα τὸν ἀσθενέστερον καταῤῥηγνύναι. Καὶ ὅτιφ σχολὴ, ἀναγνώτω τὸ μέρος ἐκεῖνο τῆς προφητείας Ἱερεμίου. Κάνταῦθα τοίνυν, ἐπειδὴ τῇ Νινευῖ Θεὸς ὀργίζεται, καὶ μέλλει λαβεῖν αὐτὴν, καὶ καταῤῥῆξαι ἀπὸ τοῦ τῆς ἀρχῆς ὕψους, λῆμμα Θεοῦ ὠνόμασε τὴν Νινευῖ. Ἐπεὶ δὲ Ναοὺμ ἑρμηνεύεται *παράκλησις*, καὶ ἡ (75) Νινευῖ δὲ, εἰς τὴν κακίας οἰκειότητα ἂν ἐκληφθείη, ἣν ὁ κοσμοκράτωρ εἶχε βασίλειον (76), ὁ τὸ κράτος ἔχων τοῦ θανάτου. Παράκλησις μέν ἐστιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, κατὰ τὸν Ἰωάνγην λέγοντα· *Ἐὰν ἁμάρτωμεν, Παράκλητον ἔχομεν Ἰησοῦν Χριστόν.*—*Λῆμμα* δὲ κατὰ τῆς *Νινευῖ*, ἡ σὰρξ ἣν προσέλαβεν, ἵνα κατακρίνῃ τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, ἥτις βιβλίον ἐστὶν, ὡς τὸν Λόγον δεξαμένη, σκηνώσαντα ἐν αὐτῇ. Ἐπεὶ δὲ ὁ αὐτὸς Λόγος καὶ φῶς ἐστιν ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, καὶ ὁ ἀκολουθῶν αὐτῷ, οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ· καὶ ἐπὶ τούτῳ ἦλθεν, ἵνα οἱ μὴ βλέποντες βλέψωσιν· εἰκότως ἡ αὐτοῦ σὰρξ, βιβλίον ἐστὶν ὁράσεως. Ἀλλὰ καὶ πολλοὶ, φησὶ, βασιλεῖς καὶ προφῆται, οἱ πρὸ τῆς σαρκώσεως ταύτης δηλαδὴ, ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον· ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί. Καὶ εἴ τις δὲ κατὰ Βαρνάβαν ἀνὴρ ὢν ἀγαθὸς, καὶ πλήρης Πνεύματος ἁγίου καὶ πίστεως, δύναται παρακαλεῖν πάντας τῇ

212 *Libellus visionis Naum Helcesæi.* Hoc, inquit, lemma, id est, hæc contra Ninevi prophetia, quam vaticinor a Spiritu apprehensus, vel quam a Deo accepi, libellus est continens visionem quam ego Naum vidi, a vico Helcasai adveniens. Quippe quia futura prævidi, ut hæc prævidi, sic loquor. Sunt qui *Lemma Ninevi*, sic intellexere, quasi dicat vates : Lemma, hoc est, in manus acceptum mihi argumentum, urbs est Ninevi de qua sum facturus verba. Liber autem hic est visionis Nahumi. Fortasse ex Jeremiæ prophetia hic intelligi queat, quid significet hic lemma [84]. Videtur enim illic lemma appellare iram Dei cum zelo, ex eo quod fortior apprehendit imbecillior em, ut dilaniet. Cui vacat, legat partem illic prophetiæ Jeremiæ. Proinde et hic, postquam Deus indignatur urbi Ninevi, eamque apprehensurus est, et ab imperii altitudine dejecturus, lemma iram Dei in Ninevi appellavit. Quia vero Naum, *consolationem*, si interpretetur quispiam, valet, et ipsa Ninevi, in propria sua significatione accipi potest pro peccatrice conscientia, cujus regiam ille princeps obtinet, cui tradita est potestas et imperium in mortem. Consolatio itaque est Dominus noster Jesus Christus, secundum Joannem, **213** dicentem : *Si peccaverimus, Consolatorem, seu Advocatum, habemus Dominum Jesum. Lemma* vero contra *Ninevi*, est ipsa caro quam assumpsit, ut condemnaret peccatum in carne : quæ etiam est liber, veluti Verbum Dei accipiens, in ipsa commorans. Quoniam autem idem Sermo, lumen verum est, quod illuminat omnem hominem venientem in hunc mundum [85], et qui sequitur ipsum, non ambulat in tenebris [86], ac propter hoc venit, ut (77) videntes non videant : merito ejus caro liber est visionis. Multi, inquit, reges et prophetæ, ante incarnationem istam videlicet, expetierunt videre ista quæ vos cernitis, et non viderunt : vestri autem beati oculi. Et si quis, ut Barnabas, vir bonus, plenus Spiritu sancto et fide, potest consolari omnes, ut ex proposito cordis apud Dominum perseverent,

[84] Jerem. XXIII, 19. [85] Joan. II, 1. [86] Joan. I, 9.

Variæ lectiones et notæ.

(74) Ὁρωμένου, Cod. Bav.

(75) Hæc ita sonant : *Ninive autem, in improbitatis proprietatem.* Cod. Bav. habet εἰς τὴν οἰκείαν οἰκειότητα. Sed scribendum fortasse κακότητα pro οἰκειότητα.

(76) Βασιλεὺς, *rex*, Cod. Ven.

(77) Imo *ut non videntes, videant*, si græca verba reddere velimus.

Digitized by Google

dicetur etiam ipse filius consolationis. Habebit et is lemma adversum Ninevi, veluti apprehendens et captivans omnem intellectum ad obedientiam Christi, ac librum visionis impartiens sedentibus in tenebris et umbra mortis (78). Vide autem quod primum *Lemma Ninevi*, deinde *Librum visionis* dixerit. Nisi enim quisquam vitia spoliet, et sub jugum mittat, ad librum visionis non perveniet, qui est contemplatio. Utraque hæc consolationis sunt sive ad opus Consolatoris pertinent. Nam sermo sapientiæ per Spiritum datur, et operationes virtutum in eodem Spiritu.

προθέσει τῆς καρδίας προσμένειν τῷ Κυρίῳ, λεχθήσεται μὲν καὶ αὐτὸς υἱὸς παρακλήσεως· λῆμμα δὲ Νινευῖ ἕξει, ὡς λαμβάνων καὶ αἰχμαλωτίζων πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, καὶ βιβλίον ὁράσεως διδοὺς τοῖς καθημένοις ἐν σκότει καὶ σκιᾷ θανάτου, ὁπηνίκα φωτίζει τοῖς ἀγνοοῦσι φῶς γνώσεως. Ὅρα δὲ, ὅτι πρότερον, *Λῆμμα Νινευΐ*, εἶτα, *Βιβλίον ὁράσεως*. Εἰ μὴ γάρ τις τὴν κακίαν σκυλεύσει, καὶ ὑποχείριον λάβοι, οὐκ ἂν εἰς τὸ βιβλίον τῆς ὁράσεως φθάσοι, ὅπερ ἐστὶν ἡ θεωρία. Ἀμφότερα δὲ ταῦτα τῆς παρακλήσεώς εἰσιν, ἤτοι τῆς τοῦ Παρακλήτου ἐνεργείας· ὅ τε γὰρ λόγος τῆς σοφίας, ἐν Πνεύματι δίδοται, καὶ τὰ ἐνεργήματα τῶν δυνάμεων, ἐν τῷ αὐτῷ Πνεύματι.

A

Vers. 2. *Deus, zelotes.* Adversum Ninevitas hæc dicit. Postquam enim in rabiem acti contra Israelitas ferociter grassati sunt, ac in Deum convicia jactarunt, existimantes sese non illius permissu, sed propriis viribus vincere, vel imperium obtinere, dicit nunc ipsis : Videte quo ferimini, *Deus zelotes* est, hoc est, zelum suum in inique agentes et fastu inflatos exhibet. Zelum enim justam iram cum fervore factam nominat. Infert ergo :

Κύριος, ζηλωτής. Πρὸς τοὺς Νινευΐτας ταῦτά φησιν. Ἐπειδὴ γὰρ λελυττηκότες κατὰ τῶν Ἰσραηλιτῶν, ἀπηνῶς αὐτοῖς προσηνέχθησαν, καὶ κατὰ τοῦ Θεοῦ δὲ ἐβλασφήμουν, οἰόμενοι μὴ τῇ ἐκείνου παραχωρήσει, ἀλλὰ τῇ σφῶν αὐτῶν δυνάμει κρατῆσαι· λέγει νῦν αὐτοῖς· Ὁρᾶτε, ποῖ φέρεσθε· *Θεὸς ζηλωτής* ἐστι, τουτέστι, κατὰ τῶν παρανομούντων καὶ ὑπερηφανευομένων. Ζῆλον γάρ φησι τὴν δικαίαν ὀργὴν, τὴν μετὰ ζέσεως γινομένην. Ἐπάγει οὖν·

B

Ulciscitur se Dominus cum indignatione, ultionem sumit Dominus de adversantibus sibi. Adversarii ejus sunt, qui et idolorum cultura, et aliis in rebus peccaverunt, maxime vero hostes ejus superbi, siquidem Dominus superbis resistit (79). Adversum illos copias suas armat.

Ἐκδικῶν Κύριος μετὰ θυμοῦ, ἐκδικῶν Κύριος τοὺς ὑπεναντίους αὐτῷ. Οὗτοι δέ εἰσιν, οἱ *πρὸς* τῇ εἰδωλολατρείᾳ ἔτι καὶ ἄλλως ἁμαρτάνοντες· μάλιστα δὲ ὑπεναντίοι αὐτῷ οἱ ὑπερήφανοι. *Κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται.*

Et auferens ipse suos adversarios. Hoc est, e medio tollens, exterminans. Atqui hoc (80) significanter dictum est : *Ipse* enim, inquit, magnus et multus et fortis. Perinde ac demonstraturus aliquis, urbem quampiam funditus periisse, dicat : Iste, vel talis rex contra hanc bellum fecit, ac cum omni exercitu suo veniens diripuit. Simile huic : *Horrendum est incidere* **214** *in manus Dei viventis*[87]. Forsan et ad Israelitas tum temporis ægre ferentes Dei gubernationem, accusantesque Deum, hæc dicit vates, ostendens quod jure Babyloniis traditi sint. Idola enim coluerunt, cum essent populus ejus electus et peculiaris, majore autem in Deum indignatione filii et posteri ipsorum commoti sunt : quocirca iratus Deus, quod se reliquerint, hostibus eos tradidit, quemadmodum et in cantico Mosis dixit : *Ipsi provocaverunt me in non Deo, concitaverunt me ad iracundiam in idolis suis : et ego provocabo eos in non gente, super gente insipiente irritabo eos*[88]. Gens autem insipiens Babylonii et veluti arrogantes, et iis qui non sunt dii, servientes : jam arrogante idolorumque cultore, nihil insipientius.

Καὶ ἐξαίρων αὐτὸς τοὺς ἐχθροὺς αὐτοῦ. Τουτέστιν, ἐκ μέσου ποιῶν, ἀφανίζων. Ἐμφαντικὸν δὲ τὸ, *Αὐτός.* Αὐτὸς γὰρ, φησὶν, ὁ μέγας, καὶ πολὺς, καὶ ἰσχυρός· ὥσπερ ὅταν μέλλων ἐνδείξασθαί τις, ὅτι ἡ δεῖνα πόλις ἄρδην ἀπώλετο, εἴποι, ὅτι Ὁ βασιλεὺς ταύτῃ ἐπεστράτευσε, καὶ διήρπασε, μετὰ τοῦ στρατοῦ παντὸς ἐλθών. Ὅμοιον τῷ· *Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος.* Ἀλλὰ καὶ πρὸς τοὺς τότε Ἰσραηλίτας ἀσχάλλοντας, ἴσως δὲ καὶ αἰτιωμένους τὸν Θεὸν, ταῦτα λέγει ὁ προφήτης, δεικνὺς ὅτι δικαίως τοῖς Βαβυλωνίοις παρεδόθησαν. Εἰδωλολατρήσαντες (81) γὰρ, ἀντὶ τοῦ λαὸς εἶναι Θεοῦ, καὶ οἰκεῖοι αὐτῷ, μᾶλλον δὲ υἱοὶ, ἐχθροὶ αὐτῷ γεγόνασι. Διὸ καὶ ζηλώσας, ὅτι αὐτὸν ἐγκατέλιπον, παρέδωκεν αὐτοὺς τοῖς ἐχθροῖς. Τοῦτο καὶ ἐν τῇ ᾠδῇ Μωϋσέως εἶπεν· *Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ Θεῷ, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν· κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.* Ἔθνος δὲ ἀσύνετον οἱ Βαβυλώνιοι, καὶ ὡς ἀλαζόνες, καὶ ὡς τοῖς μὴ οὖσι θεοῖς λατρεύοντες. Οὐδὲν γὰρ ἀλαζόνος καὶ εἰδωλολάτρου ἀσυνετώτερον.

C

D

Vers. 3. *Dominus longanimis, et magnum robur*

Κύριος μακρόθυμος, καὶ μεγάλη ἡ ἰσχὺς αὐ-

[87] Hebr. x, 31. [88] Deut. xxxii, 16.

Variæ lectiones et notæ.

(78) *Ubi splendet ignorantibus lumen cognitionis.* Ex Cod. Bav. et Ven.

(79) Non exstant Græca verba Latinis istis, *adversum illos copias suas armat*, respondentia.

(80) *Significanter dictum est* ipse : *Ipse enim, ait, qui magnus est.* etc. Ita Græca.

(81) Hæc ita reddere placet : *Idola enim colentes, cum se populum Dei, et amicos ejus, imo vero filios exhibere deberent, ejus se inimicos ostenderunt.*

Digitized by Google

τοῦ, *καὶ ἀθωῶν οὐκ ἀθωώσει.* Οὐκ εὐθὺς μὲν ἐπάγει, φησὶ, τὴν δίκην ὁ Κύριος, ἀλλὰ μακροθυμίᾳ πλείστῃ πρὸς τοὺς ἁμαρτάνοντας χρῆται· ἐπιστρέψαι γὰρ αὐτοὺς βούλεται. Καὶ τούτου μάρτυρες ὑμεῖς, ὦ Νινευῖται, μεταμελείᾳ χρησάμενοι· εἶτα πάλιν πονηρίαν πολλὴν νοσήσαντες, καὶ ὅμως δίκας ὑπὲρ ταύτης μὴ δόντες. Πλὴν ἀλλὰ μακρόθυμος ὤν, καὶ φέρων ἐπὶ πολὺ τὰς τῶν ἀνθρώπων παρανομίας, οὐ δι' ἀσθένειαν τοῦτο ποιεῖ. Μεγάλη γὰρ ἡ ἰσχὺς αὐτοῦ, καὶ ὅτε μέλλει κολάσαι τοὺς μὴ μεταμελουμένους, σφοδρὰν ἐπάγει τὴν τιμωρίαν. Ἀθωῶν (82) γὰρ οὐκ ἀθωώσει, τουτέστι, πανωλεθρίαν ἐπάγει. Εἰ γὰρ καὶ δοκεῖ ἀθωοῦν, ἀλλ' οὐκ εἰς τέλος; ἀθωοῖ. Ἡ κατὰ ἰδίωμα τῆς Γραφῆς εἴρηται τὸ, *Ἀθωῶν οὐκ ἀθωώσει*, ὡς τὸ, *Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ Ἰσραήλ.* Κἀνταῦθα οὖν μέλλων εἰπεῖν, ὅτι οὐκ ἀθωοῖ, ἐδίπλωσε τὴν λέξιν. Καὶ τοὺς ἀπεκτονότας δὲ τὸν Υἱὸν αὐτοῦ ἐξεδίκησε μετὰ θυμοῦ, τουτέστι, δίκας εἰσεπράξατο μὴ μετανοήσαντας, καὶ ἐξῆρεν αὐτοὺς ἐκ τῆς Ἱερουσαλὴμ, ζηλώσας ὑπὲρ τοῦ δικαίου, οὗ φονεῖς αὐτοὶ ἐγένοντο. Καὶ πᾶς δὲ ὁ κατὰ σάρκα ζῶν, ἐχθρός ἐστι τοῦ Θεοῦ· τὸ γὰρ φρόνημα τῆς σαρκὸς, ἔχθρα εἰς Θεόν. Ἐκδικεῖ οὖν τὸν τοιοῦτον ἐχθρὸν ὁ Κύριος, τάχα μὲν καὶ ἐνταῦθα πειρασμοῖς παραδιδοὺς, ὥστε τὸ ἐχθρὸν αὐτοῦ φρόνημα ἐξαρθῆναι ἐκ τοῦ τοιούτου ἀνθρώπου. Εἰ δὲ ἐνταῦθα μακροθυμήσῃ, ὥσπερ εἴωθε πολλάκις ποιεῖν, ἵνα διὰ τῆς χρηστότητος πρὸς ἑαυτὸν ἑλκύσῃ· ἀλλ' οὖν ἐν τῇ τελευταίᾳ κρίσει οὐκ ἀθωώσει, καίτοι ἐνταῦθα ἀθωῶν. Ταῦτα δὲ ποιεῖ ὡς νυμφίος, ζηλῶν ὑπὲρ τῶν ψυχῶν, ἃς κτίσας ἵνα αὐτῷ ἁρμοσθεῖεν παρθένοι ἁγναὶ, ὁρᾷ τῷ ἐχθρῷ καὶ ἀποστάτῃ κολλωμένας, καὶ καταισχυνούσας τὴν εὐγένειαν, ἣν φύσει ἀπὸ τοῦ λόγου ἔσχον.

A *ejus, et innoxium sine noxa non dimittet.* Non statim, inquit, Dominus vindictam adducit, sed plurima longanimitate erga delinquentes utitur, ut quos a peccatis reverti velit. Cui rei vos, o Ninevitæ, testimonium dicere potestis, qui ad meliorem vitam per resipiscentiam translati, deinde rursum multa pravitate languentes, pœnas tamen istorum scelerum vestrorum non dedistis. Atqui Dominus longanimis et patiens super iniquitates peccantium, ob imbecillitatem hoc non facit : ingens enim robur ejus, puniturusque eos, qui non resipuerunt, vehemens ac grave supplicium affert : sine noxa enim exsistens, non est citra noxam : vel, innoxium sine B noxa non dimittet (nam duplex hic lectio, duplicem intellectum parit), hoc est, communem omnibus perniciem affert. Quamvis enim sine damno quod inferat esse videatur, non omnino tamen a supplicio abstinet. Vel juxta proprietatem Scripturæ hoc dictum est : *Expers supplicii, sine supplicio non erit :* itidem ut hoc, *Videns vidi afflictionem Israelis* [89]. Hic igitur dicturus, quod non sit citra ultionem, ingeminavit dictionem. Proinde et eos qui Filium ejus occiderant, ultus est cum indignatione, pœnam exigens ab iis qui non sunt perducti ad pœnitentiam, eosque ex Jerusalem abstulit, ira æstuans, ob justum suum, cujus interfectores exstiterunt. Præterea quilibet secundum carnem vivens, est hostis Dei : nam affectus carnis C est inimicus Deo. De tali igitur inimico se ulciscitur Dominus, protinus eum tentationibus tradens in hac vita, ut hostilis affectus ex tali homine tollatur. Sin hic longanimis fuerit, ut sæpe consuevit, ut per mansuetudinem suam ad sese peccantem trahat, in extremo tamen judicio, sine supplicio non erit, etiamsi hic non asper exstiterit. Hæc autem ceu sponsus quispiam facit, æmulationem habens pro animabus, quas cum condidisset, ut ipsi coagmentarentur virgines castæ, hosti ac desertori Satanæ videt agglutinatas, pudefacientes ita claritudinem generis sui, quam ex natura rationali sortitæ erant.

Κύριος ἐν συντελείᾳ, καὶ ἐν συσσεισμῷ ἡ ὁδὸς αὐτοῦ. Ὁδὸν λέγει τὴν κίνησιν, ἣν ποιεῖται Θεὸς κατὰ τῶν ἀξίων τιμωρίας. Αὕτη τοίνυν ἡ κίνησις, οὐχ ἁπλῶς τιμωρίας ἐπάγει, ἀλλὰ συντέλειαν ποιεῖται, ὅ ἐστι πανωλεθρίαν, καὶ συσσείει, τουτέστι, συνταράττει, μεθιστῶσα καὶ μεταβάλλουσα τὰ πράγματα, οὕτω τοίνυν καὶ τοῖς Νινευίταις προσενεχθήσεται. Καὶ λοιπὸν, μὴ ἀθυμῆτε [*f.* -μεῖτε], οἱ Ἰσραηλῖται, κακῶς ὑπ' αὐτῶν πεπονθότες. Ἥξει γὰρ καὶ ἐπ' αὐτοὺς ἡ συντέλεια.

215 *Dominus in consummatione et in concussione via ejus.* Viam appellat, motionem quam facit Deus in punitione eorum qui supplicium commeruerunt. Ipsa igitur motio non simpliciter pœnas adducit, sed consummationem, hoc est, perniciem et interitum : concutitque, hoc est, turbat, miscens ac permutans res. Hanc ergo ad rationem in Ninevitas feretur. Quapropter posthac ne despondeatis animum, Israelitæ, qui miseris modis accepti ab illis estis. Veniet namque super eos quoque consummatio, hoc est finis (83), vastatio, exterminatioque.

Καὶ νεφέλη κονιορτὸς ποδῶν αὐτοῦ. Ἁρμοδίως μᾶλλον τὸν κονιορτὸν τῇ ὁδῷ προστέθεικεν. Ἄνθρωπος μὲν οὖν, φησὶν, ὁδεύων, κονιορτὸν ἐγείρει· Θεὸς δὲ οὕτω τοι μεγαλοπρεπῶς κινεῖται, ὥστε νεφέλας ἐγείρειν. Καὶ κατὰ Νινευιτῶν οὖν κινηθεὶς, νέφη

Nubes et pulvis pedum ipsius. Haud inconvenienter pulverem itineri apposuit. Homo igitur, inquit, iter faciens, pulverem excitat. Deus vero adeo magnifice incedit ac movetur, ut nubes et nebulas excitet. Sic et contra Ninevitas motus, nubes malorum un-

[89] Exod. III, 7.

Variæ lectiones et notæ.

(82) Hæc ita sonant : *Absolvens enim, non absolvet : hoc est, excidium inducet : licet enim videatur absolvere, non tamen ad finem usque absolvit.*

(83) Postrema ea verba explanandi gratia adjecit Lonicerus.

Digitized by Google

dique adducet. Porro et unigeniti Dei Filii ad nostra confinia iter, quod in consummatione sæculorum fecit, concussit principatus et potestates. Ad hæc translatio a lege ad Evangelium, concussio intelligi queat. Mentales autem nebulæ, hoc est, prophetæ, adventum ejus nuntiarunt, perinde atque currentes excitatus pulvis nuntiat. Nubes vero istos appellat, ceu caliginosiore, nec admodum perspicuo sermone usos : attamen spirituali aqua prægnantes, suoque tempore dignis præbentes spiritualium intellectum. Ambulat porro et in nobis Dominus, cum iter honesti, adeoque virtutis ingressi fuerimus. Exstinctis itaque vitiis atque ejectis ex anima nostra, stirpitusque evulsis sive motis, nec ulterius stabilitatem seu firmam mansionem in ea habentibus, iter Domini locum invenit. Ex hac deinde via et motione, quod crassum in nobis est ac terreum, subtile ac aereum et spirituale redditur. Hinc et sublime raptum, in nubes transfertur, quæ aliis etiam imbrem mentium adstillare queant.

Vers. 4. *Minans mari, et arefaciens ipsum, omniaque flumina devastans.* Docet nos omnipotentem esse Deum, qui facile quidquid voluerit faciat : qui, si velit, universum mare exsiccet, omniaque flumina deleat. Atque hoc perspicuum est ex admirandis ejus factis, quæ temporibus Mosis, dum Rubens mare, ac Jordanem fluvium, temporibus Jesu filii Nave exsiccavit. Hinc et Ninevi urbem arefaciet, veluti vastum quoddam pelagus exsistentem, cum gloria, tum opibus altum, bellorum motibus fluctuans : ac gentes sub ipso, ceu amnes quosdam in eam se exonerantes et influentes, quibus intumescat et impleatur, desolabit. Mare, hujus vitæ est amaritudo, quam insipientes nos ceu flumina appetimus. Hanc Dominus exsiccavit, ac quod in ea potioni accommodum videbatur, oblitteravit, instituens nos, quod in mundo afflictionem **216** nos ferre oporteat : sin autem jugum ejus tulerimus, inveniemus requiem animabus nostris. Præterea si quisquam in tentationibus fuerit, in mari est et in fluminibus. Ad eum igitur tentato confugiendum est, qui interminatur mari, amnesque exsiccat.

Diminuta est Basanitis et Carmelus. Hoc ipsum etiam divinæ potentiæ signum est. Aiunt enim, Basaniten regionem Palæstinæ fertilissimam, tum Carmelum Judææ montem, a gentibus habitata fuisse pugnacibus et morosis ; attamen Deus eas evertit, ac Israelem eo introduxit : quocirca non est fidei absonum, Deum etiam ipsam Ninevi subversurum.

Efflorescentia Libani defecerunt. Libanus mons est Phœniciæ. Efflorescentia hujus, principes et reges appellat regionis Libano monti subjectæ, quos et ipsos debellatos, Israelitis subjecit Deus. Poteris etiam hæc in futuro accipere, quasi dicat propheta : Dominus ille adeo potens est, ut si velit, imminuatur Basanitis, etiamsi sit populosissima, ob fertilitatem suam : deinde Carmelus et Libanus, montes nemo-

A κακῶν ἐπιστήσει πάντοθεν. Καὶ τοῦ Μονογενοῦς δὲ ἡ πρὸς τὴν ἡμετέραν ἐσχατιὰν ὁδὸς, ἐν συντελείᾳ τῶν αἰώνων γενομένη, συνέσεισεν ἀρχάς τε καὶ ἐξουσίας. Καὶ αὐτὴ δὲ ἡ ἀπὸ τοῦ νόμου ἐπὶ τὸ Εὐαγγέλιον μετάστασις, σεισμὸς ἂν νοηθείη. Αἱ δὲ νοηταὶ νεφέλαι, τουτέστιν, οἱ προφῆται, τὴν παρουσίαν αὐτοῦ ἐμήνυσαν· ὥσπερ καὶ τοὺς τρέχοντας μηνύει κόνις ἀνισταμένη. Νεφέλας δὲ τούτους καλεῖ, ὡς σκοτεινοτέρῳ μὲν, καὶ οὐ λίαν ἐμφανεῖ κεχρημένους λόγῳ, πλὴν ἀλλὰ τὸ ὕδωρ τὸ πνευματικὸν ἐγκυμονοῦντας, καὶ ἐν καιρῷ ἀποδιδόντας τοῖς ἀξίοις συνιέναι πνευματικά. Ὁδεύει δὲ καὶ ἐν ἡμῖν ὁ Κύριος, τὸν σπουδαῖον καὶ κατ' ἀρετὴν μετιοῦσι βίον. Ὅτε οὖν ἡ κακία συντελεσθῇ καὶ ἐξολοθρευθῇ ἐκ τῆς ψυχῆς, ἤγουν σεισθῇ, καὶ οὐκέτι βεβαίωσίν τινα καὶ μονιμότητα
B ἔχῃ ἐν αὐτῇ, τότε ἡ ὁδὸς τοῦ Κυρίου χώραν εὑρίσκει. Ἐκ δὲ τῆς ὁδοῦ ταύτης καὶ τῆς κινήσεως, τὸ ἐν ἡμῖν παχὺ καὶ γεῶδες, λεπτόν τι, καὶ οἷον ἀερῶδες καὶ πνευματικὸν γίνεται. Ὥστε καὶ ἄνω φερόμενον, εἰς νεφέλας συνίσταται, ὄμβρον νοητὸν καὶ ἄλλοις ἐπιστάζειν δυναμένας.

Ἀπειλῶν θαλάσσῃ, καὶ ξηραίνων αὐτὴν, καὶ πάντας τοὺς ποταμοὺς ἐξερημῶν. Διδάσκων ἡμᾶς τὸ παντοδύναμον τοῦ Θεοῦ, καὶ ὅτι ῥᾳδίως πᾶν ὃ ἐὰν θελήσῃ ποιεῖ, ὅτι εἰ θελήσειεν, ἅπασαν ξηρανεῖ τὴν θάλασσαν, καὶ πάντας τοὺς ποταμοὺς ἀφανίσει. Καὶ τοῦτο δῆλον ἀφ' ὧν τε τὴν Ἐρυθρὰν θάλασσαν ἐπὶ Μωϋσέως, καὶ τὸν Ἰορδάνην ποταμὸν ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ ἐξήρανε. Καὶ τὴν Νινευὶ τοίνυν ξηρανεῖ, οἷόν
C τινα θάλασσαν οὖσαν πλατεῖαν, τῇ δόξῃ καὶ τῷ πλούτῳ βαθεῖαν, καὶ πάντας τοὺς πολέμους ἐπικυμαίνουσαν, καὶ τὰ ὑπ' αὐτὴν ἔθνη, ὥσπερ τινὰς ποταμοὺς, εἰς αὐτὴν εἰσβάλλοντα, καὶ συναιρόμενα αὐτῇ εἰς ὄγκον καὶ πληθυσμὸν, ἐξερημώσει. Θάλασσα, ἡ τοῦ παρόντος βίου πικρία, ἣν ἀνοηταίνοντες ἡμεῖς, ὡς ποταμοὺς προσιέμεθα. Ταύτην ὁ Κύριος ἐξήρανε, καὶ τὸ δοκοῦν αὐτῆς πότιμον ἐξηφάνισε, διδάξας ὡς ἐν τῷ κόσμῳ θλῖψιν ἔχομεν· ἐὰν δὲ τὸν ζυγὸν αὐτοῦ ἄρωμεν, εὑρήσομεν ἀνάπαυσιν ταῖς ψυχαῖς ἡμῶν. Ἀλλὰ κἂν ἐν πειρασμοῖς τις εἴη, ἐν θαλάσσῃ ἐστὶ, καὶ ἐν ποταμοῖς. Πρὸς ἐκεῖνον οὖν αὐτῷ καταφευκτέον, τὸν ἀπειλοῦντα θαλάσσῃ, καὶ ποταμοὺς ξηραίνοντα.

Ὠλιγώθη ἡ Βασανῖτις καὶ ὁ Κάρμηλος. Καὶ
D τοῦτο τῆς Θεοῦ δυνάμεως ἐνδεικτικόν. Καὶ γάρ, φησὶ, Βασανίτιν χώραν τῆς Παλαιστίνης ἀφορωτάτην, καὶ τὸν Κάρμηλον, τῆς Ἰουδαίας ὄρος ὄντα, ἔθνη ἐνέμοντο ἄμαχα καὶ δυσκαταγώνιστα· ἀλλ' ὅμως ὁ Θεὸς ταῦτα καθεῖλε, καὶ τοὺς ἐξ Ἰσραὴλ κατῴκισεν. Οὐδὲν οὖν ἄπιστον, εἰ καὶ τὴν Νινευὶ καθελεῖ.

Καὶ τὰ ἐξανθοῦντα τοῦ Λιβάνου ἐξέλιπον. Λίβανος, ὄρος τῆς Φοινίκης ἐστίν. *Ἐξανθοῦντα* δὲ τούτου φησὶ, τοὺς ἄρχοντας καὶ βασιλεῖς τῆς τῷ Λιβάνῳ ὑποκειμένης χώρας, οὓς καὶ αὐτοὺς ὁ Θεὸς καταγωνισάμενος, ὑποχειρίους τοῖς Ἰσραηλίταις ἐποίησε. Δύνασαι δὲ καὶ ἐπὶ μέλλοντος ἐκλαβεῖν ταῦτα, οἱονεὶ λέγοντος τοῦ προφήτου, ὅτι Οὕτω; ἐστὶ δυνατὸς ὁ Θεὸς, ὥστε εἰ θελήσει, ὀλιγωθήσεται ἡ Βασανῖτις,

Digitized by Google

καίτοι πολυανθρωποτάτη οὖσα διὰ τὴν εὐκαρπίαν· καὶ ὁ Κάρμηλος καὶ ὁ Λίβανος, καίτοι εὐδενδρότατα ὄρη, καὶ ἀμφιλαφῆ ὄντα, ἐκλείψουσι, εἰ μόνον ἐκεῖνος νεύσει. Ὡσαύτως καὶ πάντα τὰ ἐφεξῆς οὕτω νοήσεις καὶ ἐπὶ μέλλοντος λεγόμενα.

Καὶ ὄρη ἐσείσθη ἀπ' αὐτοῦ, καὶ οἱ βουνοὶ ἐσαλεύθησαν, καὶ ἀνεστάλη ἡ γῆ ἀπὸ προσώπου αὐτοῦ σύμπασα. Ἐπειδὴ γὰρ ὑπελάμβανον αὐτόν τινες ἐν Ἰουδαίᾳ μόνον δύνασθαι, καθὰ ἔλεγον· *Θεὸς ὀρέων, Θεὸς Ἰσραὴλ, καὶ οὐ Θεὸς κοιλάδων*· φησὶν, ὅτι Πάντα τὰ ὄρη σεισθήσονται ἀπ' αὐτοῦ, τουτέστιν, ἀπὸ μόνου τοῦ νεύματος αὐτοῦ· καὶ ἡ γῆ δὲ, οὐχ ἥδε ἢ ἥδε, ἀλλὰ σύμπασα ἀνεστάλη ἀπὸ προσώπου αὐτοῦ, τουτέστιν, ἔφριξεν, ἢ μετεκινήθη, καὶ τῆς οἰκείας ἕδρας ἐξέστη, ἐπιβλέποντος ἐπ' αὐτὴν δριμύτερον.

Καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Εἰ αὐτὸ τὸ στοιχεῖον, πολλῷ μᾶλλον οἱ κατοικοῦντες ἐν αὐτῇ, ἄνθρωποί τε καὶ λοιπὰ ζῶα. Ὠλιγώθη ἡ Βασανῖτις καὶ ὁ Κάρμηλος, ὅτε Ἰουδαῖοι διὰ τὸν σταυρωθέντα ὑπ' αὐτῶν Κύριον τῆς δόξης, τοῖς Ῥωμαίοις παρεδόθησαν. Ἀλλὰ καὶ διὰ τῆς Βασανίτιδος μὲν, ἡ ἠθικὴ πολιτεία καὶ πρακτική· διὰ δὲ τοῦ Καρμήλου, τὰ τῶν δογμάτων ὑψηλότερα δηλοῦται, ἅτινα πολλὰ ὄντα, ὠλιγώθη εἰς τὸν συντετμημένον καὶ συντετελεσμένον λόγον τοῦ Εὐαγγελίου συγκεφαλαιωθέντα. Ἐπεὶ δὲ ὁ Λίβανος εἰδωλολατρείας ἦν ἐργαστήριον, ἐξέλιπε καὶ τὰ ἐν αὐτῷ πρὶν ἀνθοῦντα τῆς εἰδωλολατρείας εἴδη, ἢ καὶ ἡ τῶν Ἑλλήνων σοφία, ἣν ἐμώρανεν ὁ Θεός. Ἐσείσθη δὲ ἐν τῷ σταυρῷ τὰ ὄρη, καὶ ἡ φύσις ἡμῶν, ἡ πρότερον οὖσα γῆ, ἀνεστάλη, ἄνω ἰδεύσασα, καὶ τὴν πρὸς οὐρανοὺς στειλαμένη πορείαν, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ γήϊνοι λογισμοὶ, θεῖοι καὶ οὐράνιοι ἐγένοντο. Ἀλλὰ κἂν τις καρποφορῇ ἐν κακίᾳ, καὶ θάλλῃ, ὀλιγοῦται, καὶ ἐκλείπει κατ' αὐτὴν, ὅταν ὁ Θεὸς ἐπιβλέψῃ, μετάνοιαν αὐτῷ ἐντιθείς, καὶ ἡ ὀρεινὴ σκληρὰ αὐτοῦ καρδία, καὶ τὰ τῆς γῆς φρονοῦσα, σείεται καὶ μετακινεῖται ἀπὸ τῆς ἐν τῷ κακῷ στάσεως.

Ἀπὸ προσώπου ὀργῆς αὐτοῦ τίς ὑποστήσεται; Εἰ καὶ ἐν πολλοῖς παρὰ τῇ Γραφῇ τὸ πρόσωπον τοῦ Θεοῦ ἐπὶ κολαστικῆς τινος δυνάμεως τάττεται, πλὴν ἀλλὰ καὶ ἐπὶ τοῦ ἱλαρωτέρου τρόπου ἔστιν ὅτε εὑρίσκεται, ὡς τὸ, *Ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα*· καὶ, *Ἱνατὶ τὸ πρόσωπόν σου ἀποστρέφεις;* διὰ τοῦτο ἐνταῦθα εἰπὼν, *Ἀπὸ προσώπου*, προσέθηκε τὸ, *Ὀργῆς*. Τίς οὖν ὑποστήσεται, φησὶν, ὅτε τὸ πρόσωπον ὀργῆς πλῆρες ἡμῖν ἐπιδείξει; Ἔοικεν οὖν ὁ μονογενὴς Υἱὸς πρόσωπον λέγεσθαι τοῦ Πατρὸς, ὡς χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, καὶ γνωριστικὸς αὐτοῦ, ὁ αὐτὸς καὶ κολάζειν καὶ σώζειν. *Οὗτος γὰρ, φησὶ, κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν.*

Καὶ τίς ἀναστήσεται ἐν ὀργῇ θυμοῦ αὐτοῦ; Ἐπίτασίν τινα ἐνταῦθα δηλοῖ εἰπὼν τὸ, *Ἐν ὀργῇ*

A rosissimi, et exuberantissimi materia sua, deficient tamen, quamprimum ille vel nutu decreverit. Consimilem ad modum cætera quæ sequuntur, intelligere poteris de futuro dicta.

VERS. 5. *Montes moti sunt ab ipso, collesque sunt concussi, ac sublimata est terra a facie ejus universa.* Quia enim quidam suspicabantur ipsum in Judæa tantummodo potentem esse, unde et dicebant : *Deus montium, Deus Israel, et non Deus vallium* [60] : ait etiamnum : Non solum omnes montes ab ipso commovebuntur, hoc est, a solo nutu ejus, verum ipsa etiam terra : nedum hæc vel illa, sed enim universa sublevata est a facie ejus, hoc est, horruit, vel transposita est, æque sua sede dimota, B ipso eam intuente acrius.

Et omnes habitantes in ipsa. Si ipsum elementum commoveatur, multo magis habitantes in ipsa, homines et animalia cætera. Atqui diminuta est etiam Basanitis et Carmelus, quando Judæi propter crucifixum ab se Dominum gloriæ, traditi sunt Romanis. Deinde per Basanitin in moribus et operibus versans respublica, per Carmelum vero dogmatum altitudo indicatur : quæ cum multa essent, diminuta sunt, in concisum et consummatum sermonem Evangelii summatim congesta. Quoniam vero Libanus, idololatriæ erat officina, defecerunt in eo prius florentes idolorum cultus species, vel Græcorum sapientia, quam sublevavit, hoc est, infatuavit, in supernis ingrediens Deus. C Concussi sunt autem et in cruce montes, ac natura nostra, terra antehac exsistens, sublimata est, ad superna iter faciens, ac profectionem ad cœlos instituens, omnesque **217** juxta in ipsa commorantes terrenæ cogitationes, divinæ adeoque cœlestes factæ sunt. Insuper si quis fructum ferat in vitiositate, et in ipsa floreat, imminuitur nunc et deficit ab ipsa. Quando Deus talem inspexerit, aliam illi eamque meliorem mentem indens, tum montanum durumque ejus cor, terrestria spirans, concutitur et commovetur a statu, qui in eo est, mali.

VERS. 6. *A facie iræ ejus quis subsistet?* Etiamsi in plerisque Scripturæ locis, facies Dei, de supplicium afferente potentia usurpetur, interdum tamen lætioribus rebus etiam accomodata reperitur, ut in D eo loco : *Ostende faciem tuam et servabimur* [61] ; et, *Faciem tuam cur avertis* [62] ? Quare cum hic dixisset, *A facie*, adjunxit, *Iræ*. Quis, inquit, subsistet, si quando faciem suam iræ plenam nobis ostendat ? Videtur igitur et unigenitus Dei Filius, facies esse Patris, tanquam character et forma substantiæ ejus, ipsiusque manifestator, idem punire et servare. *Ille namque*, inquit, *positus est in ruinam et resurrectionem multorum* [63].

Et quis opponet sese iræ concitati animi ejus? Epitasin quamdam hic exhibet, *Iræ concitati animi*

[60] III Reg. XX, 28. [61] Psal. LXXIX, 4. [62] Psal. XLIII, 24. [63] Luc. II, 34.

Digitized by Google

ejus, dicens : forsan ideo, quod secundum aliquos θυμὸς, id est, concitatus animus, seu furor, sit principium quidem perturbationis quæ fit ex inflammatione, vel suffumigatione ferventis sanguinis circum cor : ira vero sit animus, vel impetus irarum, ad efficiendum quidquam. Propterea hic dixit, *In ira indignationis ejus* [64], hoc est, cum indignabundus, et ira æstuans animus etiam opera facit, quibus ultionem sumat, hostesque suos conturbet. Quis tum opponet sese, ut avertat manum ejus, et pœnam imminentem auferat?

A θυμοῦ αὐτοῦ. Μήποτε δὲ ἐπειδὴ κατά τινας; Θυμὸς μέν ἐστιν ἡ ἀρχὴ τοῦ πάθους, ὃ γίνεται ἐξ ἀναθυμιάσεως τοῦ περικαρδίου αἵματος ζέοντος· ὀργὴ δὲ, θυμὸς ὀργῶν πρὸς τὸ ἐργάζεσθαί τι· διὰ τοῦτο ἐνταῦθα εἴρηκεν· Ἐν ὀργῇ θυμοῦ αὐτοῦ· τουτέστιν, Ὅταν ὁ θυμὸς αὐτοῦ καὶ ἔργα ποιεῖ πρὸς ἄμυναν καὶ ἀντιλύπησιν, τίς ἀντιστήσεται, ὥστε ἀποστρέψαι τὴν χεῖρα αὐτοῦ, καὶ ἀναστεῖλαι τὴν τιμωρίαν;

Impetus animi ejus liquefacit principatus, petræque contritæ sunt ab ipso. Amplissima, inquit, imperia subjugata sibi, quæ rupium habere robur putabantur, conterit et dissolvit concitatus animus ejus : eademque liquefacit, ut ceram ignis. Merito igitur nemo illi resistet. Quinetiam principatus tenebrarum ac potestates dissolvit animus ejus, quando demisit eos in abyssum. Judaicos item magistratus diruit, propter scelus quod Dominum crucifigendo patrarunt. Deinde petræ etiam contritæ sunt : partim revera petræ sensibus objectæ temporibus supplicii in cruce Domini nostri : partim duris cordibus exsistentes gentes, verbo Evangelii accepto. Porro cum in nobis intellectus vel mens dominatur, unus est ille principatus, unicum imperium, propterea ipsum non liquitur. Quando vero impetus et ardor animi, una cum cupiditate potitur sceptris, eo multi in nobis dominatus, multa imperia, quæ liquefacit Domini concitatus animus, seu indignatio in mentem nostram accepta, dicente Domino interdum **218** *Eos qui me noluerunt regnare super se, adducite et mactate* [65] : interdum vero : *Dissecabit talem mentem, et portionem ejus cum hypocritis ponet : illic est fletus et stridor dentium* [66]. Confringuntur etiam petræ a tali indignatione, seu impetu Domini, ipsi nimirum graves admodum, anxii et severi in vitiis habitus.

B Ὁ θυμὸς αὐτοῦ τήκει ἀρχὰς, καὶ αἱ πέτραι διεθρύβησαν ἀπ' αὐτοῦ. Τοὺς τὰς μεγίστας, φησὶν, ἀρχὰς ἐγκεχειρισμένους, καὶ πετρῶν ἰσχὺν ἔχειν ὑπολαμβανομένους, συντρίβει καὶ καταλύει ὁ θυμὸς αὐτοῦ, καὶ τήκει, ὥσπερ κηρὸν πῦρ. Εἰκότως οὖν οὐδεὶς ἀντιστήσεται αὐτῷ. Ἀλλὰ καὶ τὰς ἀρχὰς τοῦ σκότους, καὶ τὰς ἐξουσίας κατέλυσεν ὁ θυμὸς αὐτοῦ, ὅτε ἀπέστειλεν αὐτοὺς εἰς τὴν ἄβυσσον, καὶ τὰς Ἰουδαϊκὰς ἀρχὰς, διὰ τὸ ἐπὶ τῷ σταυρῷ αὐτῶν ἄγος· καὶ αἱ πέτραι διεθρύβησαν, ταχὰ μὲν καὶ αἱ αἰσθηταὶ ἐπὶ τοῦ σταυροῦ· τάχα δὲ, καὶ τὰ σκληροκάρδια ἔθνη, δεξάμενα τὸν λόγον τοῦ Εὐαγγελίου. Ὅταν οὖν ἐν ἡμῖν ἀρχὴ ὁ νοῦς, μία ἀρχή ἐστι· διὸ οὐ τήκεται αὕτη· ὅτε δὲ ὁ θυμὸς ἀρχὴ, καὶ ἡ ἐπιθυμία, ἰδοὺ πολλαὶ ἀρχαὶ, ἃς τήκει ὁ θυμὸς τοῦ Κυρίου, εἰς νοῦν ἡμῖν λαμβανόμενος, λέγοντος ποτὲ μὲν, ὅτι *Τοὺς μὴ θέλοντάς με βασιλεῦσαι ἐπ' αὐτοὺς, ἀγάγετε καὶ σφάξατε*· ποτὲ δὲ, *Διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει.* C Ἐκεῖ ἔσται ὁ κλαυθμὸς, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Διαθρύπτονται δὲ καὶ αἱ πέτραι ὑπὸ τοῦ τοιούτου θυμοῦ, αἱ τέως βαρεῖαι καὶ ἀνένδοτοι ἐν τῷ κακῷ ἕξεις.

Vers. 7. *Benignus est Dominus exspectantibus ipsum in die tribulationis.* Postquam horrendæ commemoravit, ac impetus, seu ardoris animi, et iræ Dei meminit, multæque atrocitatis : ut ne durum quempiam et pravum perversumque quidam arbitrentur Deum (id quod Simonis et Marcionis sectatores passi sunt), quæ ad mansuetudinem et benignitatem ejus pertinent nunc adducit, et ait : Etiamsi ingentem quampiam et intolerabilem Domini indignationem dixerim, hostibus tamen ejus hujusmodi indignatio segregata, definitaque est : sive illis qui nedum mala operantur, verumetiam iniquo animo ferunt castigationem, qua propter talia crimina sua puniuntur, atque vituperant Deum, conviciis lacessunt, ac fastidiunt ejus dispensationem. Etenim *Exspectantibus* ipsum in die tribulationis, hoc est, castigationem ab ipso adductam placida mente sustinentibus, tolerantibusque ipsum, ceu castigantem patrem, talibus, inquam, benignus, mansuetus, clemens est. Vel exspectantibus ipsum, pro, divinam ipsam ab eo consolationem excipientibus, et ad ipsum tantummodo defigentibus oculos, oculos, nec ad alia vel dæmonum vel hominum auxilia respicientibus. Tale est quod Propheta

D Χρηστὸς Κύριος τοῖς ὑπομένουσιν αὐτὸν ἐν ἡμέρᾳ θλίψεως. Ἐπειδὴ τὰ φοβερὰ εἶπε, καὶ θυμοῦ καὶ ὀργῆς ἐμνήσθη καὶ ἀποτομίας πολλῆς, ἵνα μὴ σκληρόν τινα καὶ πονηρὸν νομίσωσί τινες τὸν Θεὸν, ὃ ἔπαθον οἱ ἀπὸ Σίμωνος καὶ Μαρκίωνος, ἐπάγει καὶ τὰ τῆς χρηστότητος, καί φησιν, ὅτι Εἰ καὶ μέγαν τινὰ καὶ ἀνυπόστατον τὸν τοῦ Κυρίου θυμὸν εἶπον, ἀλλὰ τοῖς ἐχθροῖς ὁ θυμὸς ἀφώρισται, ἤτοι τοῖς οὐ μόνον κακὰ ποιοῦσιν, ἀλλὰ καὶ ἐν τῷ κολάζεσθαι δι' αὐτὰ μὴ εὐγνωμόνως δεχομένοις τὴν παιδείαν, ἀλλὰ βλασφημοῦσι καὶ ἀποδυσπετοῦσιν. Ἐπείτοιγε τοῖς ὑπομένουσιν αὐτὸν ἐν ἡμέρᾳ θλίψεως, τουτέστι, τὴν παρ' αὐτοῦ ἐπαγομένην παιδείαν φέρουσιν εὐχαρίστως, καὶ ὑπομένουσιν αὐτὸν ὡς Πατέρα παιδεύοντα, τοῖς τοιούτοις χρηστός ἐστιν. Ἢ τὸ, Ὑπομένουσιν, ἀντὶ τοῦ, Τὴν αὐτοῦ παράκλησιν ἐκδεχομένοις, καὶ πρὸς αὐτὸν ἀφορῶσι, καὶ μὴ πρὸς ἄλλας βοηθείας, ἢ δαιμόνων, ἢ ἀνθρώπων. Τοιοῦτον τὸ, *Ὑπομένων ὑπέμεινα τὸν Κύριον*· διὸ ἐπάγει· *Καὶ προσέσχε μοι, — καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας*· Ὅστις γὰρ αὐτὸν ἀναμένει βοηθὸν, ἐπακούσεται, καὶ τῆς χρηστότητος αὐτοῦ ἀπολαύει.

[64] Psal. xxix, 6. [65] Luc. xix, 27. [66] Matth. xxiv, 51.

Digitized by Google

inquit : *Expectans expectavi Dominum;* hinc subdit : *Et attenuit mihi* [67], — *et reduxit me e loco miseriæ* [68]. Quisquis enim ipsum præstolatur auxiliatorem, exauditur, ipsiusque benignitate fruitur.

Καὶ γινώσκων τοὺς εὐλαβουμένους αὐτόν. Τοῦτ- A ἐστιν ἀγαπῶν καὶ οἰκειούμενος τοὺς εὐλαβουμένους αὐτὸν, καὶ διὰ τοῦτο μὴ ἁμαρτάνοντας, ἢ τοὺς εὐλαβῶς δεχομένους ἅπερ αὐτὸς ἐπάγει.

Καὶ ἐν κατακλυσμῷ πορείας, συντέλειαν ποιήσεται τοὺς ἐπεγειρομένους. Δείξας ὅπως προσφέρεται Θεὸς τοῖς εὐλαβέσι, νῦν πάλιν τὴν κατὰ τῶν ἀνοσίων διεξέρχεται ἐπεξέλευσιν, καὶ φησιν, ὅτι ὁ Θεὸς τοὺς ἐπεγειρομένους αὐτῷ, τουτέστι, τοὺς τραχηλιῶντας, καὶ ὥσπερ δούλους πονηροὺς ἐπανισταμένους τοῖς θείοις αὐτοῦ νόμοις, τούτους ποιεῖται συντέλειαν, τουτέστιν, ἐξολοθρεύσει, αὐτοαπώλειαν τούτους τίθησιν, *ἐν τῷ κατακλυσμῷ τῆς πορείας αὐτοῦ*, τουτέστι πορευόμενος καὶ κινούμενός τι κατ' αὐτῶν, ὥσπερ ὕδωρ βίαιον κατὰ πρανοῦς φερόμενον, B καὶ κατακλυσμὸν ποιούμενον τῶν ὑποκειμένων.

Καὶ τοὺς ἐχθροὺς αὐτοῦ διώξεται σκότος. Τὸ τῶν συμφορῶν· εἰ γὰρ ἐν θλίψεσι καὶ κακώσεσιν ὄντες, σκοτίζονται τὴν διάνοιαν, καὶ ἐν ἡμέρᾳ, ὡς ἐν νυκτὶ, διάγουσι. Συνετέλεσε καὶ ὁ Μονογενὴς τοὺς ἀεὶ ἐπεγειρομένους καὶ ἀποστατοῦντας αὐτῷ δαίμονας ἐν τῷ κατακλυσμῷ τῆς αὐτοῦ πορείας, τουτέστι, τῷ βαπτίσματι ᾧ ἐβαπτίσατο πορευθεὶς ἐκ τῶν κόλπων τοῦ Πατρὸς πρὸς ἡμᾶς· καταδιώξεται αὐτοὺς τὸ σκότος τὸ ἐξώτερον, ὃ αὐτοῖς ἡτοίμασται. Ἀλλὰ καὶ τοὺς ἐπεγειρομένους αὐτῷ Φαρισαίους καὶ Γραμματεῖς, καὶ τοὺς λοιποὺς ἀπειθεῖς, συνεθανάτου, καὶ τὸ νοητὸν μὴ ἀκούσαντας τοῦ λέγοντος· *Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου* · καὶ, *Ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε ἐν τῷ φωτὶ, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ.* Καὶ ἐν ἡμῖν δὲ ὁ κατακλυσμὸς τῶν δακρύων, ἔχων καὶ πορείαν, ὃ ἐστι κίνησιν ἐν ἀρεταῖς, συντελεῖ τοὺς ἐπεγειρομένους ἡμῖν δαιμονιώδεις λογισμούς. Τοὺς ἐχθροὺς δὲ τοῦ Θεοῦ διώκει σκότος, αὐτὴ ἡ ἁμαρτία, τὸ συνειδὸς ἀεὶ σκοτίζουσα, καὶ τῇ αὐτῆς ἀσχημοσύνῃ μονονουχὶ συνωθοῦσα πρὸς τὰ τῆς ἀρετῆς εὐσχήμονα ἔργα.

Et cognoscit Dominus colentes ipsum. Hoc est, diligit, et in suum jus et curam accipit devenerantes eum, ac propterea non delinquentes, seu pie, cumque timore et reverentia accipientes, quæ illis allegat Deus.

VERS. 8. *In diluvio profectionis, finem faciet cum excitatis adversus ipsum.* Cum demonstrasset quod Deus piis sese offerret, adeoque suis cultoribus, nunc rursus suum erga impios excursum etiam enarrat, inquiens : quod Deus excitatis erga se, hoc est, duræ cervicis hominibus, ac veluti pravis servis insurgentibus contra divinam ejus legem, finem faciat, hoc est, funditus perdat, perniciem eis faciat, *in diluvio profectionis suæ*, id est, dum iter facit, et movetur aliqua ex parte contra ipsos, B quemadmodum aqua violenta per declive seu præceps acta, submergens ea quæ sibi subjecta reperit.

Et hostes ejus persequentur tenebræ. Hoc proprium calamitatis est, quod qui in tribulationibus et afflictionibus sint, mente obfuscentur, quadam caligine obducti, **219** ut etiam in die veluti in nocte agant. Porro unigenitus Dei Filius, perpetuo in se insurgentes, et ab se deficientes dæmones confecit exterminavitque, diluvio profectionis suæ, hoc est, baptismate quo baptizatus est, profectus e sinu Patris ad nos usque : hos et tenebræ persequuntur, exteriores nimirum, ipsis paratæ. Insuper Pharisæos, Scribas, et id genus cæteros, in ipsum concitatos, inobedientes, hujusmodi tenebræ ad interitum usque apprehenderunt, mentes illorum (84) excæcantes, quod non audierint dicentem, *Ego sum lux mundi* [69] ; et, *Usquedum lumen habetis, in lumine ambulate, ut ne tenebræ vos apprehendant* [70]. Ad hæc in nobis etiam ipsis lacrymarum est diluvium, habens profectionem, seu iter, hoc est, motum in virtutibus : quod intra nos dæmonem spirantes cogitationes excitatas conficiet, delebit, exterminabit. Inimicos autem Dei persequuntur tenebræ, ipsum nempe peccatum, conscientiæ caligi- C nem ac tenebras inducens, tum sua deformitate tantum non compellens ad formosa virtutis opera.

Τί λογίζεσθε ἐπὶ τὸν Κύριον ; Ἐρωτᾷ περὶ τοῦ Θεοῦ, καὶ φησι· Ποίαν δύναμιν ἔχειν αὐτὸν ὑπολαμβάνετε ;

VERS. 9. *Quid cogitatis adversus Dominum?* De Deo interrogat hunc ad modum : Qualem ipsum habere potentiam existimatis?

Συντέλειαν αὐτὸς ποιήσει, οὐκ ἐκδικήσει δὶς ἐπὶ τὸ αὐτὸ ἐν θλίψει. Ἐρωτήσας αὐτὸς, πάλιν ἀποκρίνεται, ὅτι Τοιοῦτός ἐστι τὴν δύναμιν ὁ Θεὸς, ὥστε D ὁπηνίκα τιμωρήσασθαί τινα ἀξίως βούλεται, συντελεῖ αὐτὸν ἀθρόως διὰ μιᾶς πληγῆς, καὶ οὐ δεῖται δευτέρας ἐκδικήσεως· πῶς γὰρ ἅπαξ συντελῶν αὐτόν; Τινὲς δὲ οὕτως ἀνέγνωσαν · *Τί λογίζεσθε*

Consummationem ipse faciet, non bis ultionem sumet de eadem re in tribulatione. Cum interrogasset, ipse sibi respondet. Talis est, inquit, potentia Dei, ut si aliquem punire pro meritis velit, hoc ipsum simul cumulate una plaga perficiat, nec altera vindicta opus habeat, semel quadantenus ipsum conficiens. Quidam sic legerunt : *Quid ratiocinamini,*

[67] Psal. xxxix, 1. [68] Ibid. 3. [69] Joan. viii, 12. [70] Joan. xii, 35

Variæ lectiones et notæ.

(84) Deest in utroque Cod. Græca vox, quæ Latinæ *excæcantes*, respondeat, quæ sane postulari videtur, nisi forte τὸ συνεθανάτου regere putetur τὸ νοητόν.

Digitized by Google

quid cogitatis erga Dominum? Anne quod ipse sit finem nobiscum facturus? Hactenus per interrogationem. Deinde respondet : *Non sumet ultionem bina vice, idem ob delictum, per tribulationem.* Affirmant ergo hæc ad Israelitas dici. Postquam enim Salmanasar decem tribus captivas duxisset, captis una ab eodem aliquot Judææ civitatibus, metuerunt sibi admodum relicti passim, ne ad sese fors reverterentur Babylonii : hinc ad finitimas regiones aufugerunt, atque cum gentibus polluebantur. Consolatur itaque eos propheta dicens : *Quid cogitatis* Dominum inhumanum esse, ipsumque vos exstincturum, ac in perniciem traditurum? Haud fiet hoc. Non enim bis sese vindicabit ob eamdem rem, secundas super nos inducens tribulationes. Semel, inquit, vos punivit, quare non iterabit plagam. *Ad* B *gentes* igitur ne accedite, sed Dominum exspectate, qui exspectantibus se, et bonus et benignus est.

A ἐπὶ τὸν Κύριον; Συντέλειαν αὐτὸς ποιήσει; μέχρι τούτου, ἐρωτηματικῶς· εἶτα ἀποκρίνεται· Οὐκ ἐκδικήσει δὶς ἐπὶ τὸ αὐτὸ ἐν θλίψει. Φασὶν οὖν ταῦτα λέγεσθαι πρὸς τοὺς Ἰσραηλίτας. Ἐπειδὴ γὰρ τοῦ Σαλμανασὰρ τὰς δέκα φυλὰς αἰχμαλωτίσαντος, καί τινας πόλεις τῆς Ἰούδα βασιλείας ἑλόντος, ἐδεδοίκεσαν οἱ περιλειφθέντες, μήπως πάλιν αὐτοῖς ἐπανέλθωσιν οἱ Βαβυλώνιοι, καὶ διὰ τοῦτο εἰς τὰς ὁμοχώρους ἔφευγον, καὶ συνεμιαίνοντο τοῖς ἔθνεσιν· ἐνταῦθα παραμυθεῖται αὐτοὺς ὁ προφήτης, λέγων· *Τί λογίζεσθε* ὅτι ὁ Κύριος οὐ φιλάνθρωπός ἐστι, καὶ ὅτι συντέλειαν ὑμῶν (85) ποιήσει καὶ πανωλεθρίαν; Οὐκ ἔσται τοῦτο. Οὐκ ἐκδικήσει γὰρ ὃς ἐπὶ τὸ αὐτὸ, θλίψεις ἡμῖν [*f.* ὑμ.] ἐπάγων δευτέρας· ἅπαξ, φησὶν, ὑμᾶς ἐτιμωρήσατο· οὐχὶ δευτέραν ἐπάξει πληγήν. Μὴ τοίνυν τοῖς ἔθνεσι προσχωρῆτε [*f.*-ρεῖτε], ἀλλὰ τὸν Κύριον ὑπομένετε, τὸν τοῖς ὑπομένουσιν αὐτὸν χρηστὸν ὄντα.

Vers. 10. *Quoniam usque ad fundamenta sua diruetur.* Vel a Deo punitus, vel ipsa Ninevi. Ab hoc enim loco aperte palam de ipsa et ad ipsam verba facit. Ait ergo : Quod subrutis fundamentis, ac solidis illis mœnibus, splendidisque ædibus, solo æquabitur, hoc est, plane desolabitur civitas **220** ista magna, neque ad habitandum commoda propter vastationem, neque ad agriculturam, propter ruinas ædificiorum, collapsumque.

Et veluti smilax expansa comedetur. Smilax planta est hederæ similis, perpetuo sursum tendens, subtilibus ramis, quæ proxime astant plantas comprehendens, maxime vero paliuros, adeo, ut illos quidem feriat, ipsa tamen suo etiam tempore pereat. Hujusmodi sane erat Babylon, nunquam non ad altiora scandere volens, ac undique potentiæ suæ retia extendens, ut deprimerentur et suffocarentur ab ipsa comprehensi, nec pauca regna dissolverentur. Comedetur itaque ipsa a Persis et Medis, Cyro ipsorum imperatore movente bellum : id est, obscurabitur, regno viduata.

Ὅτι ἕως θεμελίων αὐτοῦ χερσωθήσεται. Ἢ ὁ ὑπὸ Θεοῦ τιμωρούμενος, ἢ Νινευΐ. Τὸ ἀπὸ τοῦδε γὰρ, σαφέστατα περὶ αὐτῆς, καὶ πρὸς ταύτην ποιεῖται τὸν λόγον. Φησὶν οὖν, ὅτι καθαιρεθέντων τῶν θεμελίων καὶ τῶν στερρῶν ἐκείνων τειχῶν, καὶ τῶν λαμπρῶν οἴκων, χερσωθήσεται ἡ μεγάλη πόλις, τουτέστιν ἔρημος ἔσται, μήτε εἰς κατοικίαν χρησιμεύουσα διὰ τὴν καθαίρεσιν, μήτε εἰς γεωργίαν, διὰ τὰ συγχώσματα τῶν οἰκοδομημάτων.

Et veluti stipula ariditate referta. Propterea et igni hostium tradetur in comestionem.

Καὶ ὡς σμίλαξ περιπλεκομένη βρωθήσεται. Ἡ σμίλαξ κιττοειδὲς φυτὸν οὖσα, ἕρπει μὲν ἀεὶ πρὸς τὸ ἄνω· λεπτοὺς δὲ προΐησι κλῶνας, καὶ τῶν ἐγγὺς ἑστηκότων δράττεται φυτῶν, καὶ μάλιστα τῶν παλιούρων, ὥστε καταπνίγειν μὲν ἐκεῖνα, φθείρεσθαι δὲ καὶ αὐτὴ τῷ χρόνῳ. Τοιαύτη τις ἦν καὶ ἡ Βαβυλὼν, ἀεὶ πρὸς τὸ ὑψηλότερον ἀνατρέχειν ἐθέλουσα, καὶ πανταχοῦ τὰς τῆς δυναστείας πλεκτάνας ἐκτείνουσα· ὥστε καταπίέζεσθαι καὶ καταπνίγεσθαι τοὺς ὑπ' αὐτῆς συλληφθέντας, καὶ πολλὰς βασιλείας ὑπ' αὐτῆς καταλύεσθαι. Βρωθήσεται τοίνυν αὕτη ὑπὸ Περσῶν καὶ Μήδων, Κύρου αὐτῶν στρατηγοῦντος· τουτέστιν, ἀφανισθήσεται, τῆς βασιλείας ἐρημωθεῖσα.

Καὶ ὡς καλάμη ξηρασίας μεστή. Διὸ καὶ πυρὶ τῶν πολεμίων παραδοθήσεται εἰς κατάβρωσιν.

Vers. 11. *E quo* (86) *egredietur cogitatio contra Dominum prava consultans et contraria.* Ad ipsam Ninevi verba faciens, causas devastationis ejus subindicat : Quia, inquit, Deo tradente in manus tuas Israelitas, non ipsi erexisti tropæum, non retulisti ei acceptam victoriam, sed tuæ potentiæ imputasti : Deum vero imbecillum esse cogitasti, ut qui non possit servare confidentes ipsi. Unde et Sennacherim, *Ezechiæ*, inquit, *dicite : Hæc dicit rex magnus : Ne te decipiat Deus tuus, eo* (87) *quod fidu-*

B *Ἐκ σοῦ ἐξελεύσεται λογισμὸς κατὰ τοῦ Κυρίου πονηρὰ βουλευόμενος καὶ ἐναντία.* Πρὸς αὐτὴν τὴν Νινευΐ ποιούμενος τοὺς λόγους, τὰς αἰτίας αὐτῇ τῆς ἐρημώσεως δείκνυσι. Καὶ γὰρ, φησὶ, τοῦ Θεοῦ παραδόντος σοι τοὺς Ἰσραηλίτας, οὐκ αὐτῷ ἀνέθηκας τὸ τρόπαιον, ἀλλὰ τῇ δυνάμει· τὸν δὲ Θεὸν ἀσθενῆ ἐλογίσω εἶναι, μὴ δυνάμενον σώζειν τοὺς πεποιθότας ἐπ' αὐτόν. Καὶ γὰρ Σεναχηρεὶμ, *Εἴπατε*, φησὶν, *Ἐζεκίᾳ· Τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας· Μή σε ἀπατάτω ὁ Θεός σου, ἐφ' ᾧ σὺ*

Variæ lectiones et notæ.

(85) Cod. Ven. ἡμῶν, *nos.*

(86) Lonicerus legit ἐξ οὗ, cum reddiderit *e quo.* Uterque vero Cod. Ven. et Bav. habet ἐκ σοῦ, *ex te*

(87) *In quo confidebas, fore, ut ipse liberaret Israelem de manu mea.* Sic Græce.

Digitized by Google

πέποιθας ἐπ' αὐτῷ, ὅτι ῥύσεται τὸν Ἰσραὴλ ἐκ χειρός μου. Καὶ ὁ ὑποστράτηγος δὲ τούτου Ῥαψάκης, τοιουτότροπα ἐβλασφήμησε. Ταύτην αὐτοῦ τὴν ἀλαζονείαν ὑποδεικνὺς ὁ Θεὸς, διὰ τοῦ προφήτου φησίν· Ἐπισκέψομαι ἐπὶ τὸν νοῦν τὸν μέγαν τὸν βασιλέα τῶν Ἀσσυρίων. Καὶ αὖ διδάσκων αὐτὸν, ὅτι οὐ τῇ οἰκείᾳ δυνάμει κατώρθωσεν ἃ κατώρθωσεν, ἀλλὰ Θεοῦ συγχωρήσει, Μὴ δοξασθήσεται, φησὶν, ἀξίνη, ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ; ἢ ὑψωθήσεται πρίων, ἄνευ τοῦ ἕλκοντος αὐτόν; Ἐχερσώθη καὶ ἡ Κυριοκτόνος Συναγωγὴ, ἕως τῶν θεμελίων, τουτέστι, τῶν θυσιῶν, καὶ τῆς νομικῆς πάσης λατρείας· ἐπὶ τούτων γὰρ ἐδόκει βεβηκέναι. Οἱ περιάγοντες δὲ τὴν θάλασσαν καὶ ξηρὰν, ὥστε ποιῆσαι ἕνα προσήλυτον, εἶτα ποιοῦντες αὐτὸν υἱὸν γεέννης, σμίλαξ ἦσαν περιπλεκομένη, καὶ καταπνίγουσα τοὺς ὑπ' αὐτῆς συλληφθέντας· καὶ ὡς καλάμη ξηρὰ, οὐδὲ ἐδέξατο τὸν ὑετὸν καταβάντα, οὐδὲ τὸ ὕδωρ ἁλλόμενον εἰς ζωὴν αἰώνιον. Ἐλογίσαντο δὲ κατὰ τοῦ Κυρίου τῆς δόξης πονηρὰ καὶ ἐναντία οἷς παρ' αὐτοῦ εὐηργέτηντο, θανατῶσαι δηλαδὴ αὐτόν. Διὰ τοῦτο βρωθήσονται ὑπό τε τοῦ πυρὸς τῶν Ῥωμαίων, καὶ τοῦ τελευταίου καὶ δικαιωνίζοντος. Σμίλακι ἐοίκασι καὶ οἱ τὴν ἀγάπην ὑποκρινόμενοι, καὶ περιπλεκόμενοι μὲν διὰ τῆς χρηστότητος τοὺς πλησίον· τὰ δὲ πρὸς ἀπώλειαν αὐτῶν βουλευόμενοι. Ἐκ τούτων ἐξέρχεται λογισμὸς κατὰ τοῦ Κυρίου πονηρὸς καὶ ἐναντίος. Εὐθὺς γὰρ ὁ Κύριος, αὐτοὶ δὲ σκολιοί· καὶ ἀγάπη ὁ Κύριος, αὐτοὶ δὲ ἀγάπης ἐχθροί. Ἀλλὰ καὶ ἡ πλεονεξία, σμίλαξ, πάντων ἐπιδραττομένη, καὶ λογιζομένη κατὰ τοῦ Κυρίου πονηρὰ μὲν, ὅτι οὐ προνοεῖται τῶν τῇδε· οὐδεὶς γὰρ πλεονέκτης, πρόνοιαν εἶναι ἀληθῶς πιστεύει, εἰ καὶ σχηματίζεται τοῦτο· ἐναντία δὲ, διότι ὁ μὲν δίκαιος καὶ δικαιοσύνας ἠγάπησεν· ὁ δὲ πλεονέκτης, ἄδικος, καὶ ἀδικίας ἀγαπῶν. Ἐρωθήσεται τοίνυν ἡ τοιαύτη σμίλαξ αὐτὴ ὑφ' ἑαυτῆς· οὗτος γὰρ ὁ πλεονέκτης, ὑπ' ἐκείνου τοῦ πλεονεκτικωτέρου καταναλίσκεται.

Τάδε λέγει Κύριος, κατάρχων ὑδάτων πολλῶν, καὶ οὕτως διασταλήσονται. Ὕδατα πολλὰ, τοὺς Πέρσας καὶ τοὺς Μήδας [-δους ?] φησὶ, τῇ Νινευὶ ἐπιστρατεύσαντας, ὧν ὁ Κύριος κατῆρχε, ἄγων αὐτοὺς ἐπ' αὐτὴν, οἵτινες καὶ παρὰ τοῦ Κυρίου διασταλήσονται, τουτέστι, διαταχθήσονται, καὶ διαχωρισθήσονται, ὡς ὑπὸ στρατηγοῦ τινος· ὥστε τόνδε μὲν τόδε τὸ μέρος πολιορκεῖν, τὸν δὲ τόδε.

Καὶ ἡ ἀκοή σου οὐκ ἐνακουσθήσεται ἔτι. Διαβόητος γὰρ οὖσα πρώην ἐπὶ δυναστείᾳ, οὐκέτι ἀκοὴν καὶ φήμην τοιαύτην ἕξεις. Ἢ, ὅτι Οὐχ ὑπακούσουσί σου, οὐδὲ δουλεύσουσί σοι, οἱ πρώην ὑπακούοντες καὶ δουλεύοντές σοι. Κατάρχει δὲ

Καὶ μνησθήσονται οἱ μεγιστᾶνες αὐτῶν, καὶ φεύξονται ἡμέρας, καὶ ἀσθενήσουσιν ἐν τῇ πορείᾳ αὐτῶν, καὶ σπεύσουσιν ἐπὶ τὰ τείχη, καὶ ἑτοιμάσουσι τὰς προφυλακὰς αὐτῶν. Τῶν Νινευϊτῶν, φησὶν, οἱ μεγιστᾶνες, οἱ ἐπὶ τῇ δύναμει μέγα D φρονοῦντες, πάντας λογισμοὺς ἀναχινήσουσι, καὶ πάσης μηχανῆς ἀναμνησθήσονται· καὶ πειράσονται μὲν φυγεῖν ἡμέρας, ἅτε ὑπὸ τῶν δεινῶν συνεχόμενοι, καὶ μηδὲ τὴν νύκτα περιμεῖναι ἐώμενοι· οὐκ εὐοδωθήσονται δὲ ἐν τῇ κατὰ τὴν φυγὴν πορείᾳ, ἀλλὰ πάλιν ἐπὶ τὰ τείχη σπεύσουσιν ἀναβῆναι, ὡς ὑπὸ τοῦ-

Variæ lectiones et notæ.

(6) Ἐνιππάσωσι, Cod. Bav.
(7) Πάντων, Cod. Bav.
(8) Cod. Bav. habet ὡς ἡνίαι *veluti habenæ*, ut et Lonicerus id suo Cod. legit.
(9) Συγκρίνουσι, Cod. Bav.
(10) Cod. Ven. habet: Τότε βλέπομεν αὐτὴν ἄνισον ἑαυτῇ ἐν ὑπερβολαῖς καὶ ἐλλείψεσι θεωρουμένην, καὶ ἑαυτὴν ἑαυτῇ συγκρούουσαν, *tunc cernimus ipsum inæquale sibimetipsi, in excessibus atque defectibus consideratum, idemque secum ipso collidere.*
(11) Ἀσθενέστεροι, *imbecilliores*, Cod. Ven.
(12) Συναινέσεως αὐτῶν, Cod. Ven.

Digitized by Google

των σωθησόμενοι, καὶ τῆς φυλακῆς (13) φροντιοῦσι τῆς πόλεως. Ἢ τὸ, *Μνησθήσονται*, οὕτω νοήσεις, ὅτι Ἀναμνησθήσονται τῶν κακώσεων, ἃς ἐπέφερον τοῖς Ἰσραηλίταις, καὶ τῶν εἰς τὸν Θεὸν βλασφημιῶν, καὶ εἴσονται λοιπὸν, ὅτι τὸν Θεὸν ἔχουσι πολέμιον, καὶ διὰ τοῦτο φεύξονται οὐ κρύφα, ἀλλ' ἡμέρας· τοσαύτη γὰρ δειλία περιλήψεται αὐτούς. Ἔστι καὶ τῶν δαιμόνων ἡ ὅρασις, ὡς λαμπάδες μὲν διὰ τὴν φύσιν (*Εθεώρουν* γάρ, φησὶ, *τὸν Σατανᾶν, ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα*), τάχα δὲ καὶ ἐπειδὴ μετασχηματίζονται εἰς ἄγγελον φωτός. διατρέχουσαι δὲ, ὡς τὴν ὑπ' οὐρανὸν ἐμπεριπατοῦσαι. Ἢ καὶ ὅτι οὐκ ἀστραπαί εἰσι μόνιμοι, ἀλλὰ Διατρέχουσαι (14), τουτέστι, θᾶττον ἀποσβεννύμεναι. Τὸ (15) γὰρ φῶς αὐτῶν, ὃ ἐπιμορφάζονται, ταχὺ ἀποσβέννυται, κατὰ τὸ εἰρημένον· *Φῶς ἀσεβῶν σβέννυται*. Οἱ δὲ μεγιστᾶνες αὐτῶν, τουτέστιν, αἱ λεγεῶνες, μνησθήσονται τῆς τοῦ Κυρίου δυνάμεως, ὥστε λέγειν· *Ἔα· τί ἡμῖν καὶ σοὶ, Υἱὲ τοῦ Θεοῦ* (16); Καὶ ἀσθενήσουσιν ἐν τῇ πορείᾳ αὐτῶν, ὅτε μετὰ τῶν χοίρων κατακρημνισθῶσιν εἰς τὴν θάλασσαν, ἢ ὅτι οὐκέτι ἰσχὺν ἕξουσι κατὰ τῶν ἀνθρώπων πορεύεσθαι. Καὶ σπεύσουσιν, ὥστε τὸν σταυρὸν καὶ τὸν θάνατον τοῦ Κυρίου κατεργάσασθαι. Ὥσπερ γὰρ τείχη ταῦτα ᾠοντο αὐτοῖς εἶναι, ὡς ἀνωνύμου ἐσομένου, ἢ καὶ δυσωνύμου τοῦ Κυρίου, οἷα δὴ ὡς λῃστοῦ σταυρωθέντος. Ἡτοίμασαν δὲ καὶ τὰς προφυλακὰς αὐτῶν, ἢ τὰ πρὸ τοῦ σταυροῦ πάντα, τοὺς ἐμπαιγμοὺς καὶ τὰ ὀνείδη (ταῦτα γὰρ οἱόν τινες προφυλακαὶ ἦσαν τοῦ σταυροῦ καὶ τοῦ θανάτου), ἢ τὰς ἐπὶ τῷ τάφῳ φυλακὰς τῶν στρατιωτῶν. Ἀλλὰ καὶ ἐν τῇ ψυχῇ, μεγιστᾶνές εἰσιν, ὁ νοῦς καὶ ὁ λόγος. Μνησθήσονται οὖν τοῦ οἰκείου ἀξιώματος, καὶ φεύξονται τὴν τῶν παθῶν δουλείαν, ἡμέρας περὶ αὐτὴν οὔσης· οὐ γὰρ ὡς πρὶν ἐν σκότει διαπορεύονται. Καὶ ἐν τῇ προτέρᾳ ἐπισφαλεῖ (19) πορείᾳ ἀσθενήσουσι, μηκέτι εὐδρομοῦντες ἐν τῇ κακίᾳ· καὶ σπεύσουσιν ἐπὶ τὰ τείχη, τὰς ἐντολὰς, αἳ περιτειχίζουσιν ἡμᾶς. καὶ ἑτοιμάσουσι τὰς προφυλακὰς (20), τὰς φυσικὰς ἐννοίας· αὗται γὰρ πρὸ τῶν ἐντολῶν φυλάττουσιν. Ἀλλὰ καὶ τὸ ἅγιον βάπτισμα, καὶ τὸ χρίσμα, τείχη μεγάλα καὶ στερεὰ, ἐφ' ἃ σπεύδει πᾶς ἀμύητος, ὅταν ἐπιγνῷ τὸν σώζειν δυνάμενον Ἰησοῦν. Οὐ μέντοι οὕτως ἁπλῶς, ἀλλὰ καὶ προφυλάττεται, πρὸ τοῦ βαπτίσματος νηστεύειν καὶ ἁγνεύειν προσταττόμενος, ἵνα ἐν ἕξει τοῦ ἀγαθοῦ γένηται.

ac suam in urbe custodiam curaturi. Vel cum dicit, *Recordabuntur*, sic intelliges, quod Animo suo secum repetent afflictiones quas Israelitis intulerunt, blasphemaruntque, quibus Deum exasperarunt, scientes in posterum quod Deum pro hoste suo habeant, ac eam ob rem terga fugæ dabunt, non clanculum, sed in die : tanta eos apprehendet trepidatio. Est etiam dæmonum visio, seu aspectus, instar lampadum per naturam. *Videbam* enim, inquit, *Satanam de cœlo ut fulgur cadentem* [10] : forsan propterea quod transformatur in angelum lucis : vel quod fulgura et coruscationes discursent in regione sub cœlo, tanquam illic prodeambulent : sive quod coruscationes non sint stabiles, sed discursantis naturæ, hoc est facile exstinguantur : sic lumen Satanæ in quod efformatur, citra cunctationem exstinguitur, juxta id quod dictum est : *Lumen impiorum exstinguitur* [11]. Porro legiones ejus Satanæ, vel copiæ dæmonum, recordabuntur potentiæ Domini, ut adeo dicant : *Sine, quid nobis et tibi, Fili Dei ?* Debilitabunturque in profectione sua, quando cum porcis in mare præcipitatæ fuerint, vel quod non ultra potestas illis facta sit adversum homines eundi. Festinabunt ergo ut crucem et mortem Domini efficiant : hæc enim veluti **231** mœnia et munimenta sibi rebantur esse, perinde quasi Dominus ignobilis et flagitiosus esset futurus (17). Paraverunt autem et propugnacula, seu præcustodias (sit (18) venia verbo) sive cunctas istas ante crucem illusiones et opprobria : hæc enim ceu præcautiones quædam fuerunt et crucis et mortis, sive excubias militum apud monumentum. Sunt etiam in anima magnates, intellectus et ratio. Revolvent ergo secum propriam dignitatem, fugientque servitutem pravorum motuum, simul ac dies illis illuxerit, nec enim ut antea, sic posthac in tenebris iter faciunt ; et in priore fallaci itinere debilitabuntur, non amplius in malitia facile adeo currentes. Accelerabunt itaque ad muros, ipsa nimirum mandata, quæ nos muri in morem cingunt, et parabunt sibi propugnacula, naturales ipsos cogitationes : ipsæ enim ante mandata canunt excubias. Præterea sacrum baptisma et unctio, ingentia et solida sunt munimenta ad quæ festinant religionis Christianæ nondum imbuti sacris, simul ac agnoverint eum qui servare potest, Jesum. Nec simpliciter tamen, priusquam enim ad baptisma admittatur, primum custoditur ut jejunio intendat, seseque castum et purum ut servet illi imperatur, ut in habitum boni perveniat.

Πύλαι τῶν πόλεων διηνοίχθησαν, τὰ βασίλεια διέπεσε, καὶ ἡ ὑπόστασις ἀπεκαλύφθη. Οἱ μὲν

Vers. 6. *Portæ urbium apertæ sunt, regiæ deciderunt, et substantia revelata est.* Ninevitæ, inquit,

[10] Luc. x, 18. [11] Prov. xiii, 9.

Variæ lectiones et notæ.

(13) Φυσικῆς, Cod. Bav.
(14) Διατρέχουσι, Cod. Ven.
(15) Hæc ita sunt reddenda : *lumen enim ipsorum* (dæmonum scilicet) *in quod transformantur cito exstinguitur.*
(16) Ἰησοῦ, Υἱὲ, *Jesu, Fili*, Cod. Bav.
(17) Græce additur, *utpote qui tanquam latro crucifigendus.*
(18) Veniam petit Lonicerus, non Theophylactus.
(19) Ἀσφαλεῖ, Cod. Ven.
(20) Προφυλακὰς αὐτῶν, *propugnacula ipsorum*, Cod. Ven.

Digitized by Google

seu omnes illorum subditi, ad muros et munimenta ascendent, veluti ab illis custodiendi, at nihil illis commodabit. Siquidem portæ cum ipsius Ninevi, tum reliquarum civitatum, aperientur, et regia earum ad hostes transferetur, subjicieturque eis, gloria earum cadente et sublata ; ac universa illarum substantia, sive thesauri conclusi et obfirmati, retegentur, ut nulli non sint conspicui, exponenturque in direptionem. Portæ urbium sunt sensus animarum, qui aperiuntur dum citra imposturam rebus agendis inhiant, ac sine fraude negotia transigunt. Tum etiam regiæ peccati in mortali nostro corpore regnantis intercidunt, putridæ factæ, retegiturque virtuti substantia : tum enim manifestum fit peccatum carere bono adeoque non subsistere posse, virtutum autem revera habere basin eamque subsistere. Quod ipsum et Davidem sentire opinor, cum ad Deum inquit, *Substantia mea penes te est* [12]. Quando enim in Deo est homo, tum etiam subsistit : *In ipso* enim, inquit Paulus, *vivimus, movemur et sumus* [13]. Nam qui esse habet, ut rationalis sit, tumque in Deo est, cum juxta rationem vivit, merito in Deo subsistit, ut ne dicam, quod in ratione nostra exsistentes, in Deo qui est ratio, sumus : pars enim divinitatis nostra est ratio.

A Νινευῖται, φησὶν, ἥγουν πάντες οἱ ὑπήκοοι αὐτῶν, ἐπὶ τὰ τείχη ἀναβήσονται, ὡς ὑπὸ τούτων φυλαχθησόμενοι, ἀλλ' οὐδὲν αὐτοῖς ὄφελος. Αἵ τε γὰρ πύλαι καὶ αὐτῆς τῆς Νινευΐ, καὶ τῶν ἄλλων πασῶν πόλεων, διανοιγήσονται, καὶ τὰ βασίλεια ὑπὸ τοῖς ἐχθροῖς ἔσται, τῆς δόξης αὐτῶν πεσούσης καὶ ἀφαιρεθείσης, καὶ ἡ ὑπόστασις αὐτῶν πᾶσα, ἤτοι οἱ θησαυροὶ, οἱ ἀποκεκλεισμένοι καὶ κατησφαλισμένοι, ἀποκαλυφθήσονται, καὶ δῆλοι πᾶσιν ἔσονται εἰς διαρπαγὴν ἐκκείμενοι. Πύλαι πόλεων, αἱ αἰσθήσεις τῶν ψυχῶν, αἵ διανοίγονται, ὅτε ἐπιβάλλουσι τοῖς πράγμασι ἀνεξαπατήτως. Τότε καὶ τὰ βασίλεια τῆς ἁμαρτίας τῆς βασιλευούσης ἐν τῷ θνητῷ ἡμῶν σώματι, διαπίπτουσι, σαθρὰ φαινόμενα, καὶ ἀποκαλύπτεται ἡ τῆς ἀρετῆς ὑπόστασις. Τότε γὰρ δηλοῦται ὅτι ἡ μὲν ἁμαρτία, ἀνυπόστατος, ἡ δὲ ἀρετὴ ὑφίσταται ὄντως. Τοῦτο γὰρ οἶμαι λέγειν καὶ τὸν Δαβὶδ πρὸς τὸν Θεὸν, ὅτι *Ἡ ὑπόστασίς μου, παρὰ σοί ἐστιν.* Ὅτε γάρ ἐστιν ἐν τῷ Θεῷ ὁ ἄνθρωπος, τότε ὑφίσταται. *Ἐν αὐτῷ* γὰρ *ζῶμεν*, φησὶ, *καὶ κινούμεθα, καὶ ἐσμέν.* Ὁ γὰρ τὸ εἶναι ἔχων ἐν τῷ λογικὸς εἶναι, τότε δὲ καὶ ἐν Θεῷ ὢν, ὅτε κατὰ λόγον ζῇ, εἰκότως ἐν τῷ Θεῷ ὑφίσταται, ἵνα μὴ λέγω ὅτι καὶ ἐν τῷ λόγῳ τῷ ἡμετέρῳ ὄντες, ἐν τῷ Θεῷ Λόγῳ ἐσμέν· μοῖρα γὰρ τοῦ θείου ὁ ἡμέτερος.

B

232 VERS. 7. *Ipsaque ascendebat, et servæ ejus ducebantur, quemadmodum columbæ gementes in cordibus suis.* Quasi intueatur propheta Ninevi, quomodo in captivitatem abducatur, hæc dicit. Ascendebat, inquit, veluti in Persidem abducenda, cumque ipsa municipia, et subjectæ ejus civitates, in cordibus suis gementes, hoc est, clanculum murmur et gemitum columbarum imitantes. Quando substantia virtutis retegitur, ascendit anima ad divinos gradus. Nec porro ancillæ ejus, potentiæ eam ducunt, sed ducuntur ab intellectu et ratione, ipse motus et cupiditas, quocirca non injuria sunt columbulæ spiritus. Neque enim concupiscentia tum humanum diem desiderat, neque animus temere irascitur fratri, verum ipsa quidem porro concupiscentia, coram Domino semper sistitur : Dominus autem Spiritus est [14], perinde atque Daniel vir erat desideriorum Spiritus. Animus autem irascitur et non peccat, omnem vitiorum bilem evacuans : æque atque Moses omnium mansuetissimus, armavit levitas contra idolorum cultores : et Phinees et Elias æmulatores propterea vocati sunt. Ad hæc ipse mansuetudinis Spiritus exacerbari dicitur. Sic igitur acceptæ columbæ gemunt citra ingentem strepitum, contestanturque Christi potentiam, per quam sunt devictæ. Porro qui Christi sunt, carnem suam crucifixerunt cum cupiditatibus et passioni-

C

D

Καὶ αὐτὴ ἀνέβαινε, καὶ αἱ δοῦλαι αὐτῆς ἤγοντο καθὼς περιστεραὶ φθεγγόμεναι ἐν καρδίαις αὐτῶν. Ὡσανεὶ βλέπει ὁ προφήτης τὴν Νινευῒ ἀπαγομένην εἰς τὴν αἰχμαλωσίαν, καὶ φησιν, ὅτι ἀνέβαινεν ὡς πρὸς τὴν Περσίδα ἀγομένη. καὶ σὺν αὐτῇ αἱ ὑπήκοοι αὐτῆς πόλεις, στενάζουσαι ἐν καρδίαις, τουτέστι, κρυφαίως, καὶ τὸν γογγυσμὸν τῶν περιστερῶν μιμούμεναι. Ὅτε ἡ ὑπόστασις ἀποκαλύπτεται τῆς ἀρετῆς, ἀναβαίνει ἡ ψυχὴ τὰς θείας ἀναβάσεις· καὶ αἱ δοῦλαι αὐτῆς δυνάμεις, οὐκέτι ἦγον, ἀλλ' ἤγοντο ὑπὸ τοῦ νοῦ καὶ τοῦ λόγου, ὁ θυμὸς καὶ ἡ ἐπιθυμία· διὸ καὶ περιστεραὶ γεγόνασι τοῦ Πνεύματος εἰκότως (21). Οὔτε γὰρ ἐπιθυμία ἀνθρωπίνην ἡμέραν ἐπιθυμεῖ τότε, οὔτε ὁ θυμὸς εἰκῇ ὀργίζεται τῷ ἀδελφῷ· ἀλλ' ἡ μὲν ἔμπροσθεν τοῦ Κυρίου ἵσταται· ὁ δὲ Κύριος Πνεῦμά ἐστι, καθὸ καὶ Δανιὴλ ἀνὴρ ἦν ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος. Ὁ (22) δὲ ὀργίζεται, καὶ οὐχ ἁμαρτάνει, κατὰ τῆς κακίας πᾶσαν κενῶν τὴν χολὴν, καθὸ καὶ Μωσῆς ὁ πραότατος ὥπλισε τοὺς Λευΐτας, κατὰ τῶν εἰδωλολατρησάντων· καὶ Φινεὲς, καὶ Ἠλίας, ζηλωταὶ ὠνομάσθησαν. Καὶ τὸ Πνεῦμα δὲ αὐτὸ, πραότητος ὄν, λέγεται καὶ παροξύνεσθαι. Αἱ δὲ οὕτως νοηθεῖσαι περιστεραὶ, φθέγγονται ἀλαλήτως, καὶ μαρτυροῦσι τοῦ Χριστοῦ τὴν δύναμιν, δι' (23) ἣν ταῦτα κατωρθώθησαν· τῇ γὰρ τοῦ Χριστοῦ ἰσχύϊ τὴν σάρκα ἐσταύρωσαν, σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Ἠνοίγησαν καὶ

[12] Psal. xxxviii, 8. [13] Act. xvii 28. [14] II Cor. iii, 17.

Variæ lectiones et notæ.

(21) Πνεύματος εἰκόνες, *Spiritus imagines.* Cod. Ven.

(22) Horum sensus est : *Hic autem irascitur, et non peccat, contra vitium bilem omnem evacuans.*

(23) Græca ita habent : *Per quam hæc strenue gesta sunt : Christi namque ope carnem crucifixerunt.*

Digitized by Google

πύλαι τῶν πόλεων καὶ τῶν ὀχυρωμάτων τοῦ θανάτου, ὅτε ὁ Κύριος τὸν ὑπὲρ ἡμῶν ὑπέστη θάνατον, καὶ τὰ βασίλεια διέπεσε τοῦ ᾅδου, καὶ τοῦ ἔχοντος τὸ κράτος τοῦ θανάτου. Καὶ ἡ θεία τοῦ Λόγου ὑπόστασις ἀπεκαλύφθη, μετὰ τῆς ἡνωμένης ἁγίας ψυχῆς, τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις πύλας χαλκᾶς συντρίβουσα, καὶ μοχλοὺς σιδηροῦς συνθλῶσα, καὶ τὴν οἰκείαν ἐμφανίζουσα δύναμιν. Καὶ τῇ ψυχῇ (24) συνῆν ἐν τῷ ᾅδῃ θαυματουργοῦσα, καὶ τῷ σώματι ἐν τῷ τάφῳ ἀδιάφθορον αὐτὸ συντηροῦσα. Καὶ αὐτὴ δὲ ἡ τοῦ Κυρίου ψυχὴ ἀνέβαινεν ἐκ τοῦ ᾅδου, καὶ αἱ δοῦλαι αὐτῆς τῶν ἁγίων ψυχαὶ ἠκολούθουν αὐτῇ (26) ὡς περιστεραὶ ἀκέραιοι (27) καὶ ἄπλαστοι, καὶ εὐθύτητος καὶ ἀκακίας γέμουσαι, ᾅδουσαι· *Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος;*

A bus [15]. Apertæ sunt etiam portæ urbium et munimentorum mortis, quando Dominus mortem pro nobis sustinuit, et regia inferni decidit, ejusque potentia, cui imperium mortis erat, diminuta est. Divina etiam Verbi substantia retecta est, cum sancta coagmentata anima, in tenebris et in umbra mortis sedentibus [16] æreas portas conterens, vectesque ferreos confringens [17], ac propriam vim demonstrans, animæque ejus pariter aderat apud inferos miranda exercens, corporique in sepulcro, incorruptibile ipsum conservans. Præterea Domini anima ascendebat ex inferis, a Plutone (ut (25) poetice loquar), servæque ejus, nempe sanctorum animæ, comitabantur eam veluti columbæ simplices et integræ, rectitudine et sinceritate refertæ, B concinentes: *Ubi, o mors, stimulus tuus? Ubinam, o inferne, victoria tua* [18]?

Καὶ Νινευΐ, ὡς κολυμβήθρα ὕδατος τὰ ὕδατα αὐτῆς. Καὶ αὐτοὶ φεύγοντες, οὐκ ἔστησαν, καὶ οὐκ ἦν ὁ ἐπιβλέπων (28). Ἔμφασιν ὁ, *Καί*, σύνδεσμος ἔχει, ἀντὶ τοῦ, Καίτοι, φησὶ, τῆς Νινευῒ τὰ ὕδατα, τουτέστιν, οἱ κατοικοῦντες αὐτὴν καὶ συμπληροῦντες, τοσοῦτοι ἦσαν τὸ πλῆθος, ὥστε κολυμβήθρᾳ εἰκάζεσθαι, ὕδατος πεπληρωμένῃ καὶ ἐκβλυζούσῃ (29) τὰ περιττὰ (καὶ γὰρ πληθυνομένου τοῦ λαοῦ, ἀποικίας ἔστελλεν)· ἀλλ' ὅμως οἱ τοιοῦτοι εἰς φυγὴν ἀποβλέψαντες, οὐκ ἔστησαν· οὐδὲ ἦν ἐν αὐτοῖς ὁ εἰς τὰ ὀπίσω ἐπιβλέπων· ἀλλὰ πάντες εἰς τὰ ἔμπροσθεν ἔβλεπον, ἀποσκοποῦντες ποῦ φεύξονται. Ἀλλὰ καὶ ἡ ἐξ ἐθνῶν Ἐκκλησία (ἐθνικὴ γὰρ ἡ C Νινευΐ) ἔχει ὕδατα τοῦ βαπτίσματος, καὶ ταύτης οἰκήτορες, φεύγοντες τὴν κακίαν, οὐχ ἵστανται, ἵνα μὴ πάθωσιν, ὅπερ ἡ τοῦ Λὼτ γυνή· καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ὁ βλέπων ἐπὶ τὸ κατόπιν. Οὐ γὰρ ἐπιβαλόντες τὴν χεῖρα ἐπ' ἄροτρον, στρέφονται εἰς τὰ ὀπίσω· ἀλλὰ τῶν ὄπισθεν μὲν ἐπιλανθανόμενοι, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενοι, οὕτω τρέχουσιν, ὡς οὐκ ἀδήλως.

Vers. 8. *Et Ninevi, ceu piscina aquæ, aquæ ejus, et ipsi fugientes non steterunt, et non erat respiciens.* Peculiarem quamdam significationem conjunctio, *Et*, habet, pro, Atqui Ninevi urbis aquæ, hoc est inhabitantes ipsam et complentes, tot tantique fuerunt multitudine, ut piscinæ comparentur aqua refertæ, ebullienti et ejicienti lymphas superfluas. Etenim, multiplicato populo, **233** coloniam non (30) deduxerunt, sed tot tantique ex æquo ad fugam respicientes, non steterunt (31), sed in ea quæ ante sese essent, oculorum aciem direxerunt, contemplantes ubi quove fugiant. Gentium item Ecclesia (quæ et ipsa est gentilis Ninevi) baptismatis aquas habet, ejusque habitatores, declinantes vitia, non figunt gradum, ut ne patiantur, quod uxor Loti. Nec est inter eos qui retrospiciat: non enim admoventes manum ad aratrum, retrorsum post se tuentur [19], sed eorum quæ sunt pone et a tergo obliti, ad ea quæ sunt ante se et a facie, se accommodantes, sic currunt palam.

Διήρπαζον τὸ ἀργύριον, διήρπαζον τὸ χρυσίον, καὶ οὐκ ἦν πέρας τοῦ κόσμου αὐτῆς. Τὴν πρότερον τῶν Νινευϊτῶν διέξεισιν ἀδικίαν καὶ πλεονεξίαν, καὶ ὅτι ἐξ ἁρπαγῶν συνῆγον. Καὶ οὐκ ἔχει τις, φησὶν, εἰπεῖν, ὅτι διὰ χρείαν ἥρπαζον· μετριώτερον γὰρ ἂν ἦν τὸ κακὸν, ἀλλὰ δι' ὕβριν, καὶ τὸ θέλειν κόσμους ἔχειν διαφόρους καὶ πολυτελεῖς· *Οὐκ ἦν* D *γὰρ*, φησὶ, *πέρας τοῦ κόσμου αὐτῆς*. Θηλυπρεπῶς γὰρ καὶ ἄνδρες διὰ μαλακίαν καὶ βλακείαν ἐκοσμοῦντο.

Vers. 9. *Diripiebant argentum, diripiebant aurum neque finis erat mundi ejus.* Priorem Ninevitarum explicat injuriam et circumscriptionem, quodque ex rapinis eas collegerint. Neque potest quisquam eorum dicere, quod propter penuriam, vel egestatem ea diripuerint, tolerabilius enim hoc fuisset malum; sed per injuriam, et quia voluerint habere diversos eosque pretiosos ornatus. *Non erat* enim, inquit, *finis ornatus ejus*. Effeminate namque, seu feminarum instar, viri propter mollitiem et stultitiam ornabantur.

Βεβάρυνται ὑπὲρ πάντα τὰ σκεύη τὰ ἐπιθυμητὰ αὐτῶν. Τουτέστιν, ὁ κόσμος ᾧ κατεκόσμουν τὰ σώματα αὐτῶν, βάρος εἶχε πολὺ, τουτέστιν, ὄγκον, καὶ

Gravata sunt super omnia vasa desiderabilia ipsorum. Hoc est, ornatus quo exornabant corpora sua, grande habebat pondus, hoc est tumorem,

[15] Galat. v, 24. [16] Psal. cvi, 10. [17] Ibid. 16. [18] I Cor. xv, 55. [19] Luc. ix, 62.

Variæ lectiones et notæ.

(24) Ψυχῇ γὰρ, Cod. Ven.
(25) Verba *Ut poetice loquar* adjecit Lonicerus.
(26) Αὐτῷ, Cod. Ven.
(27) Ἀκέραιαι, Cod. Ven.
(28) Ὁ θλέπων, Cod. Bav. Ita et inferius.
(29) Ἐμβλυζούσῃ, Cod. Bav.
(30) In Græco deest particula negativa.
(31) Græce additur: *Nec erat in ipsis qui retro respiceret.*

Digitized by Google

opumque et abundantiæ indicium, adeo erat exuberans et sumptuosus, super omnia vasa pretiosa eorum quæ et ipsa tamen desiderabilia erant, id est, superfluo luxu ad delicias parata. Mundus itaque ille, sive ornatus, ea vasa exsuperavit. Vel sic etiam intelliges : Quæ ipsi pretiosa Ninevitæ congregaverant ac reposuerant ad thesaurum, hostes accipient, ipsis devictis, inque suam ea terram asportabunt, pondere suo gravantia ferentes ipsa. Porro futurorum, quasi exacta sint, mentionem facit, juxta Scripturæ proprietatem. *Gravata sunt* enim, pro, Gravabuntur, dixit. Gentes itidem quæ antehac idolorum fuere cultrices, nunc autem Christocredentium numero insertæ, cum argentum, hoc est legis oracula, tum aurum, hoc est, puram umbræque expertem Evangelii gratiam, diripiunt, pulchra insatiabilitate languentes. Propterea exornatur etiam Ecclesia, adeo ut non sit finis mundi ipsius. Nam mundus, sive ornatus ejus est ipsum Verbi regnum, habitantis in nobis, cujus regni non erit finis [20]. Talis proinde mundus etiam gravis est et ponderosus : non enim circumfertur omni vento doctrinæ [21], sed gravitatem et pondus habet, super omnia philosophica dogmata, quæ vasa fuerunt gentium pretiosa. Præterea dæmones ante argentum diripiebant et aurum, verbum nempe in **234** actione consistentis et speculatione vitæ, captivantes, sapientia Græcorum non rite usi : nunc gravior facta sunt, quam cunctorum hominum qui antea vixerunt, vasa ipsorum, apparata ad interitum. Puri enim redditi, vasa sunt honesto heri usui destinata. Siquidem ubi venisset Dominus ille in domum fortis, ligavit ipsum et vasa ejus hæc diripuit. Dæmones autem catenis caliginis traditi, in Tartara præcipitati, turbatique sunt [22].

πλούτου περιουσίας ἔνδειγμα· οὕτως ἦν πολὺς καὶ πολυτελὴς ὑπὲρ πάντα τὰ ἄλλα σκεύη αὐτῶν. Καίτοι κἀκεῖνα ἐπιθυμητὰ ἦν, ἀντὶ τοῦ, περιττά, καὶ πρὸς τρυφὴν κατεσκευασμένα, ἀλλ' ὅμως ὁ κόσμος ἐνίκα ταῦτα. Ἢ καὶ οὕτως· Ἅπερ ἀπεθησαύριζον, φησὶν, αὐτοὶ, οἱ πολέμιοι λήψονται, κρατήσαντες αὐτῶν, καὶ εἰς τὴν σφετέραν ἀποκομίσουσι ταῦτα, βαρύνοντα τοὺς διακομίζοντας αὐτά. Ὡς γεγεννημένα δὲ τὰ ἐσόμενα λέγει, κατὰ τὸ τῆς Γραφῆς ἰδίωμα· τὸ γὰρ, *Βεβάρυνται*, ἀντὶ τοῦ, Βαρυνθήσονται. Ἀλλὰ καὶ οἱ πρὶν εἰδωλολάτραι ἐθνικοὶ, νῦν δὲ τῆς Ἐκκλησίας, καὶ τὸ ἀργύριον, τὰ τοῦ νόμου λόγια, (32) καὶ τὸ χρυσίον, τὴν τοῦ Εὐαγγελίου καθαρὰν καὶ ἄσκιον χάριν διαρπάζουσι, τὴν καλὴν ἀπληστίαν νοσοῦντες. Διὸ καὶ κατακοσμεῖται ἡ Ἐκκλησία, ὥστε μὴ εἶναι πέρας τοῦ κόσμου αὐτῆς. Κόσμος γὰρ αὐτῆς ἡ βασιλεία τοῦ Λόγου, τοῦ σκηνώσαντος ἐν ἡμῖν, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Ὁ δὲ τοιοῦτος κόσμος, καὶ βαρύς ἐστιν· οὐ γὰρ περιφέρεται παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἀλλὰ βάρος ἔχει καὶ σταθηρότητα ὑπὲρ πάντα τὰ φιλόσοφα δόγματα, ἃ σκεύη ἦσαν τοῖς ἐξ ἐθνῶν ἐπιθυμητά. Ἀλλὰ καὶ οἱ δαίμονες, πρώην μὲν διήρπαζον τὸ ἀργύριον καὶ τὸ χρυσίον, τόν τε τῆς πρακτικῆς λόγον, καὶ τῆς θεωρητικῆς αἰχμαλωτίζοντες, καὶ τῇ σοφίᾳ τῶν Ἑλλήνων οὐκ εἰς δέον χρώμενοι· νῦν δὲ βεβάρυνται ὑπὲρ πάντας ἀνθρώπους, τοὺς πρώην ὄντας σκεύη αὐτῶν κατηρτισμένα εἰς ἀπώλειαν. Οἱ μὲν γὰρ καθαρισθέντες, σκεύη γεγόνασιν εὔχρηστα εἰς τιμὴν τοῦ Δεσπότου· ὃς ἐλθὼν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, αὐτὸν ἔδησε, καὶ τὰ σκεύη αὐτοῦ ταῦτα διήρπασεν· οἱ δὲ σειραῖς ζόφου παραδοθέντες, ἐταράχθησαν [*f.* — ἐταρταρώθησαν].

VERS. 10. *Excussio et succussio et ejectio, cordisque tremor, et dissolutio genuum, ac dolores super omnem lumbum.* Quæ in motibus, concussa terra, consueverunt fieri, ea nunc hostium attribuit adventui. Ipsi enim, inquit, quatient et concutient omnia. Corda vero Ninevitarum quassabuntur conterenturque, tanquam pavore trajecta. Genuum denique compages solventur, parturientiumque instar dolores habebunt, id est, intolerabiles dolores, ingentia mala progenerantes. *Omnem lumbum*, hoc est, omne virile robur. Lumbum enim de viribus etiam Scriptura usurpat, ut supra est commemoratum. Excutit itaque tellus, vel decutit, quando super ipsam stantia decutiuntur. Succutit vero, quando fundamenta produxerit, ex imo in altum projiciens. Ejicit autem, quando veluti cribro hinc inde permovens, inferiora secernit et in altum ducit, sæpenumero fontes dirumpens tam calentium quam frigidarum aquarum, quandoquidem tres etiam sint motuum species. Cyrus itaque una cum

Ἔκτιναγμὸς καὶ ἀνατιναγμὸς, καὶ ἐκβρασμὸς, καὶ καρδίας θραυσμὸς, καὶ ἀπόλυσις (33) γονάτων, καὶ ὠδῖνες ἐπὶ πᾶσαν ὀσφύν. Ἃ (34) ἐπὶ τῶν σεισμῶν εἰώθε γίνεσθαι, ταρασσομένης τῆς γῆς, ταῦτα καὶ ἐπὶ τῆς τῶν πολεμίων τέθεικεν ἐπελεύσεως. Καὶ αὐτοὶ γὰρ, φησὶ, τιναξουσι πάντα καὶ καταστήσουσιν· αἱ δὲ καρδίαι τῶν Νινευϊτῶν, θραυσθήσονται, καὶ συντριβήσονται, ὥστε τῷ δέει βαλλομένων καὶ αἱ τῶν γονάτων ἁρμονίαι λυθήσονται, καὶ παραπλησίως ταῖς τικτούσαις ὠδῖνας ἕξουσιν, τουτέστιν. ἀφορήτους πόνους, μεγάλα κακὰ ἀποτίκτοντας. Πᾶσα ὀσφὺς, τουτέστι, πᾶσα δύναμις ἀνδρική· τὴν γὰρ ὀσφὺν καὶ ἐπὶ τῆς δυνάμεως τίθησιν ἡ Γραφὴ, ὡς ἀνωτέρω εἴρηται. Ἐκτινάσσει μὲν οὖν ἡ γῆ, ἤτοι (35) ἀποτινάσσει, ὅταν τὰ ἐπ' αὐτῆς ἑστῶτα ἀποσείεται· ἀνατινάσσει δὲ, ὅταν τὰ θεμέλια ἀνάγῃ ἐκ βάθους εἰς ὕψος ἀναρριπτοῦσα· ἐκβράττει δὲ, ὅταν ὥσπερ ἐν κοσκίνῳ τῇδε κἀκεῖσε μετακινοῦσα, τὰ κάτω ἀναδιδοῖ, πολλάκις καὶ πηγὰς ἀναρρηγνῦσα ψυχρῶν τε καὶ θερμῶν ὑδάτων· ἐπιδὴ καὶ τρία φα-

[20] Luc. I, 33. [21] Ephes. IV, 14. [22] II Petr. II, 4.

Variæ lectiones et notæ.

(32) Λέγω, *dico*, Cod. Ven.
(33) Ὑπόλυτις, Cod. Ven.
(34) Ὃ, *quod*, Cod. Bav.
(35) Τουτέστι, *hoc est*, Cod. Ven.

Digitized by Google

σὺν εἶδη εἶναι τῶν σεισμῶν. Καὶ οἱ περὶ Κῦρον μὲν οὖν καὶ τὰ ἄνω καὶ ἐμφανῆ, καὶ τὰ κάτω καὶ ἀφανῆ μετακινήσουσι, καὶ πάντα συγχέαντες καὶ συνταράξαντες, οὐδὲν ἐπὶ τοῦ καθεστῶτος μένειν ἐάσουσι.

Τὸ (36) *πρόσωπον πάντων, ὡς πρόσκαυμα χύτρας.* Ἀπὸ τοῦ φόβου, φησὶ, παγήσεται τὸ αἷμα· τὰ δὲ πρόσωπα ἐκ πάντων περιδνωθήσονται [*f.* πελιδν.?] (37)· ὅπερ ἐν ταῖς μεγίσταις ψύξεσι γίνεται· ὥστε ἐκείνῳ τῷ μέρει τῆς χύτρας προσεοικέναι, ὃ τῷ πυρὶ προσομιλοῦν καὶ προσκαιόμενον, μελέλανται. Ταῦτα καὶ τοῖς τὸν Κύριον σταυρώσασι συνέβη, οἳ καὶ ἐξετινάχθησαν ἐκ τῆς παλαιᾶς αὐτῶν πατρίδος, διασπαρέντες εἰς πάντα τόπον. Ἐξετινάχθη δὲ καὶ ἡ πλάνη τῶν δαιμόνων, καὶ ἀνετινάχθη εἰς ὕψος ὁ κάτω κείμενος ἄνθρωπος, καὶ ἐξεβράσθη πᾶσα κακία, διὰ τῆς ἐξομολογήσεως, ἐπὶ τὰ ἔξω χεθεῖσα καὶ ἀναβραγεῖσα. Τῇ δὲ ἐξομολογήσει συνθεωρεῖται καὶ τῆς καρδίας θραυσμός· ὁ γὰρ τοῦ προτέρου καταγνοὺς βίου, πρόδηλον, ὡς συντριβήσεται μεταμελούμενος ἐφ' οἷς ἔπραξεν· οὗ καὶ τὸ πρόσωπον, ἤτοι ἡ παρρησία ἣν εἶχε, πράττων ἀπηρυθριασμένως τὰ κακὰ, μελαίνεται νῦν, κατηφιῶντος ἐπὶ τοῖς τότε ἔργοις, ἐφ' οἷς νῦν ἐπαισχύνεται. Ὑπολύονται δὲ αὐτῷ καὶ τὰ γόνατα, ἐφ' ὧν ἠρείδετο ἱστάμενος ἐν τῇ κακίᾳ· καὶ ἡ ὀσφὺς, ἐν ᾗ ἐστι τὸ ἐπιθυμητικὸν, ὠδῖνας ἔχει τοῦ θείου φόβου, ὃν συλλαμβάνουσα, Πνεῦμα θεῖον ἀποτίκτει, τὸ τοῦ ἁγιασμοῦ, οὗ χωρὶς, οὐδεὶς ὄψεται τὸν Κύριον.

Ποῦ ἐστι τὸ κατοικητήριον τῶν λεόντων, καὶ ἡ νομὴ ἡ οὖσα τοῖς σκύμνοις; Λέοντας μὲν καλεῖ τοὺς βασιλεῖς, κατοικητήριον λεόντων, τὴν Νινευΐ· σκύμνους δὲ, ἢ τοὺς τῶν βασιλέων υἱοὺς, ἢ τοὺς σατράπας καὶ ὑπάρχους τῶν βασιλέων· νομὴν δὲ τούτων, τὰς ὑπηκόους πόλεις, αἳ φόρους ἀπαιτούμεναι, καὶ χρήματα εἰσφέρουσαι, νομὴ ἦσαν αὐτῶν, τρέφουσαι αὐτούς· νομαὶ γὰρ πλουσίων, κατὰ τὸ γεγραμμένον, πτωχοί. Ἐπεὶ οὖν καὶ ἡ Νινευΐ σὺν τοῖς βασιλεῦσι, καὶ βασιλέων υἱοῖς, καὶ σατράπαις, καὶ αἱ ὑπ' αὐτὴν πόλεις διεφθάρησαν, ὥστε μηδαμοῦ φαίνεσθαι, Ποῦ ἐστι, φησὶν, ἡ τοσαύτη καὶ τηλικαύτη πόλις, καὶ αἱ ὑπήκοοι αὐτῆς;

Ποῦ ἐπορεύθη λέων τοῦ εἰσελθεῖν; Ἐπιμένων τῇ τροπῇ (38), φησὶν, ὡς εἰρωνευόμενος· Ἆρα μὴ ὁ λέων, τουτέστιν, ὁ βασιλεὺς τῆς Νινευΐ, ἀπεδήμησε πορευθεὶς, ὥστε εἰσελθεῖν εἰς ἄλλην χώραν, καὶ διὰ τοῦτο εὑρόντες οἱ πολέμιοι ἐρημίαν, κατεκράτησαν τῆς πόλεως;

Ἐκεῖ σκύμνος λέοντος, καὶ οὐκ ἦν ὁ ἐκφοβῶν· λέων ἥρπασε τὰ ἱκανὰ τοῖς σκύμνοις αὐτοῦ, καὶ ἀπέπνιξε τοῖς λέουσιν αὐτοῦ, καὶ ἔπλησε θήρας νοσσιὰν αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἁρπαγῆς. Ἐπειδὴ ἠρώτησε· *Ποῦ ἐπορεύθη ὁ λέων;* ὡσανεὶ ἀποκρίνεται, καὶ φησιν, ὅτι Οὐκ ἐπορεύθη οὐδὲ ἀπεδήμησεν· ἀλλὰ καὶ αὐτὸς ἐκεῖ ἦν, καὶ σκύ-

A copiis suis, superna nemini non patentia, et infera humano aspectui abdita, commovebit omnibusque confusis et turbatis, nihil immotum suo in loco permanere sinet.

Facies omnium, ceu adustio ollæ. Præ metu rigebit, inquit, sanguis : facies autem omnium lividæ reddentur, quod in maximis frigoribus contingit, ut illi parti ollæ similes fiant, quæ igni admota et propterea præusta, nigrescit. Hæc et Domini crucifixoribus obtigerunt, qui ex vetere patria sua excussi, dispersi sunt in omnem locum. Excussa est pariter impostura dæmonum : succussus juxta est in altum homo, omni vitiositate per confessionem ejecta, effusaque foras ac dirupta. In confessione autem simul perpenditur cordis trepidatio : qui enim priorem vitam condemnaverit, apparet quasi conteratur, ductus pœnitentia eorum quæ patravit. Cujus facies, sive fiducia quam habebat, mala citra ruborem perficiens, obfuscatur nunc, contristati ob opera quæ tum transigebat, quorum causa nunc verecundia perfunditur. Laxantur etiam illi genua, quibus fulciebatur stans in malitia, et lumbus, in quo est concupiscentia, **235** dolores seu parturientis persentiscit, præ divino pavore, quem concipiens per divinum Spiritum, parit sanctificationem, citra quam nemo videbit Dominum.

Vers. 11. *Ubi est habitaculum leonum, et pascuum catulorum?* Leones appellat reges, habitaculum leonum ipsam Ninevi : catulos vero leonum, sive regum liberos, sive satrapas, regumque subprincipes : pascuum horum, subjectas civitates, tributa pendentes, pecuniasque afferentes. Fuerunt ergo pascuum et pabulum leunculorum, nutrientes eos : Nam pascua divitum, ut scriptum est, sunt pauperes [23]. Postquam igitur Ninevi una cum regibus, satrapis atque subjectis urbibus interierunt, ut nusquam appareret, Ubi est, inquit, talis ac tanta civitas, una cum subditis sibi oppidis ?

Quo abiit leo, ut ingrediatur? Permanet in prophetia sua, veluti illudens : Nonne, inquit, leo, id est, rex Ninevi peregre profectus est, ut, aliam terram ingrediatur, et idcirco desertam reperientes, urbem hostes, eam obtinuerunt?

Vers. 11, 12. *Illic catulus leonis, et non erat perterrefaciens ipsum, rapuit quantum sufficiebat catulis suis, ac suffocavit leonibus suis, implevitque venatione nidum suum et habitaculum suum rapina.* Quia interrogavit, *Quo abiit leo?* jam veluti respondens ait : Non abiit, neque peregre profectus est, verum et ipse istic erat, et catulus leonis sive

[23] Eccli. XIII, 23.

Variæ lectiones et notæ.

(36) Καὶ τὸ, Cod. Ven.
(37) Ἑκάστων περιδνωθήσεται, Cod. Ven.
(38) *Insistens verborum immutationi, ait venti per ironiam.* Ita Græca sonant.

filii ejus et satrapæ, ducesque belli, quos antea nemo perterrefaciebat, vacabant enim metu, neminem antehac formidantes : quin potius, leonum in morem, aliorum regnorum pecunias rapientes, tributaque colligentes, liberis suis præbebant alimoniam. Hoc enim indicat, cum ait, *Suffocavit leonibus suis.* Quia enim bestiæ strangulare solent a se comprehensa animalia, tumque ex iis alimoniam capere : non dissimili ratione Assyrii, inquit, reges, alia dissolventes regna, propriis leonibus, hoc est, pueris suis et regibus, illorum opes et undecunque collecta vectigalia coacervarunt : quemadmodum Samariam quidem Salmanasar, Jerusalem vero Nabuchodonosor diripuerunt. Ninevi ergo, quæ erat nidus ipsorum et habitaculum, impleverunt venatione et rapina. Nidum, ceu avium esset mentio, appellavit, propter levitatem, altaque affectantem mentem regum, et quia hæc urbs facile citraque sudorem a Persis capta, avolaverit abducta in Persidem ; habitaculum leonum vocat, propter priorem, qua floruit, potentiam. Solet autem hic locus alias etiam hac ratione interdi-tingui : *Quo abiit, ut ingrediatur illic?* Deinde **236** ab alio principio, *Catulus leonis, et* quæ sequuntur. Tum hanc sententiam habet : Ubi est Ninevi, ad quam reges introibant, perseverabantque tuto, tanquam nulla populatione et expugnatione vastari posset ? Præterea catuli leonum, hoc est, filii regum etiam ingrediebantur, tuto illic permanentes, nec erat cujus gratia compavescerent, nemo terrebat eos. Ninevi enim inhabitantes citra trepidationem vivebant. Erat et Jerusalem habitaculum leonum, regum nimirum ex David ac reliquorum principum, qui diripiebant et strangulabant pauperiores populi. At ubi nunc est post Christi necem? In confitentium item animabus, morabantur intellectuales leones, quorum propagines, pravæ cogitationes, depascebantur et insumebant divinam in ipsis partem. Diabolus igitur, leonis instar circumiens, quærens quem deglutiat [a], ubi nunc est ? Quonam abiit ? Illic enim ubi antea demorabatur, jam nunc apud Jacob catulus leonis est ipse Dominus, nec est in posterum, qui hunc accipiens catulum exterreat. Nam abunde satisque exactis temporibus rapuit leo iste silvestris, quæ rapuit ac suffocavit eos, quos Spiritu sancto privavit : implevitque infernum venatione eorum qui in peccatis suis vita sunt defuncti : qui infernus etiamnum habitaculum ipsius est. Nec enim porro in aere imperium habet, sed ad inferos detrusus est.

Vers. 13. *Ecce ego super te, dicit Dominus omnipotens.* Quandoquidem, o Ninevi, diripuisti omnia regna, ideo ecce ego protinus adversum te

μνος λέοντος, ἤτοι οἱ υἱοὶ αὐτοῦ, ἢ οἱ σατράπαι καὶ οἱ στρατηγοί, οὓς ὁ ἐκφοβῶν πρὶν οὐκ ἦν (ἀκατάπληκτοι γὰρ ἦσαν πρώην, μηδένα φοβούμενοι), ἀλλὰ μᾶλλον ὥσπερ λέων, ἁρπάζοντες τὰ τῶν ἄλλων βασιλειῶν χρήματα, καὶ φόρους συναθροίζοντες, καὶ τοῖς ἐκγόνοις τροφὴν πορίζοντες. Τοῦτο γὰρ δηλοῖ διὰ τοῦ εἰπεῖν, Ἀπέπνιξε τοῖς λέουσιν αὐτοῦ. Ἐπεὶ γὰρ εἴωθε τὰ θηρία ἀποπνίγειν τὰ ὑπ' αὐτῶν θηρώμενα ζῶα, καὶ οὕτω τοῖς ἐξ αὐτῶν προσφέρειν τροφήν· τὸν αὐτὸν, φησὶ, τρόπον καὶ οἱ Ἀσσύριοι βασιλεῖς, τὰς ἄλλας καταλύοντες βασιλείας, τοῖς οἰκείοις λέουσι, τουτέστι, τοῖς παισὶν αὐτῶν καὶ βασιλεῦσι, τὸν ἐκείνων πλοῦτον, καὶ τοὺς ἑκάστοτε συναγομένους φόρους, ἤθροιζον. Ὥσπερ καὶ τὴν Σαμάρειαν μὲν Σαλμανασὰρ, τὴν δὲ Ἱερουσαλὴμ Ναβουχοδονόσορ διήρπασαν, καὶ τὴν Νινευὶ, ἥτις ἦν νοσσιὰ αὐτῶν καὶ κατοικητήριον, ἐνέπλησαν θήρας καὶ ἁρπαγῆς. Νοσσιὰν μὲν οὖν αὐτὴν ἐκάλεσεν, ὡς ἐπὶ ὀρνέων, διά τε τὸ κοῦφον καὶ ὑψηλόφρον τῶν βασιλέων, καὶ διὰ τὸ, εὐαλώτου ταύτης γενομένης τοῖς Πέρσαις, ἀποπτῆναι αὐτοὺς ἁπαχθέντας εἰς τὴν Περσίδα· κατοικητήριον δὲ ὡς λεόντων, διὰ τὴν προτέραν δύναμιν. Ἔστι δὲ καὶ ἑτέρα γραφή· *Ποῦ* (39) *ἐπορεύθη* (40) *τοῦ εἰσελθεῖν ἐκεῖ;* εἶτα ἀπ' ἄλλης (41) ἀρχῆς· *Σκύμνος λέοντος*, καὶ τὰ ἑξῆς· καὶ ἔχει νοῦν τοιοῦτον· Ποῦ ἐστιν ἡ Νινευὶ, ὅπου ἐκεῖ βασιλεῖς εἰσήρχοντο, καὶ ἔμενον ἀσφαλῶς, ὡς ἀπορθήτου τῆς πόλεως οὔσης ; ἀλλὰ καὶ οἱ σκύμνοι τῶν βασιλέων εἰσήρχοντο, καὶ οὐκ ἦν ὁ ἐκφοβῶν αὐτούς. Τὴν Νινευὶ γὰρ κατοικοῦντες, ἀδεῶς εἶχον· Ἦν δὲ καὶ Ἱερουσαλὴμ κατοικητήριον λεόντων, τῶν ἐκ Δαβὶδ βασιλέων, καὶ λοιπῶν ἀρχόντων, οἱ διήρπαζον καὶ ἀπέπνιγον τοὺς πενεστέρους τοῦ λαοῦ. Ἀλλὰ νῦν ποῦ ἐστι μετὰ τὴν Χριστοκτονίαν ; Ἀλλὰ καὶ ἐν ταῖς τῶν νῦν ἐξομολογουμένων ψυχαῖς κατῴκουν οἱ νοητοὶ λέοντες, ὧν γεννήματα ὄντες οἱ πονηροὶ λογισμοὶ, ἐνέμοντο καὶ κατεδαπάνων τὴν ἐν αὐταῖς θείαν μοῖραν. Ὁ οὖν διάβολος, ὁ ὡς λέων περιερχόμενος, καὶ ζητῶν τίνα καταπίῃ, ποῦ νῦν ἐστι ; ποῦ ἐπορεύθη ; Ἐκεῖ γὰρ, ὅπου αὐτὸς ἦν πρὶν, νῦν ὁ παρὰ τῷ Ἰακὼβ σκύμνος, τοῦ λέοντος, ἔστιν ὁ Κύριος Ἰησοῦς· καὶ οὐκ ἔστι λοιπὸν ὁ ἐκφοβῶν τοὺς παραδεξαμένους τοῦτον τὸν σκύμνον. Ἱκανῶς γὰρ τὸν διελθόντα χρόνον ἥρπασεν ὁ ἅγιος ἐκεῖνος λέων ἃ ἥρπασε, καὶ ἀπέπνιξεν οὓς τοῦ Πνεύματος τοῦ ἁγίου ἐστέρησε, καὶ ἔπλησε τὸν ᾅδην θήρας, τῶν διὰ τὴν ἁμαρτίαν νεκρουμένων· ὃς ᾅδης κατοικητήριον αὐτοῦ ἐστι νῦν· οὐκέτι γὰρ τὴν ἀρχὴν ἐν τῷ ἀέρι ἔχει, ἀλλὰ τῷ ᾅδῃ παραδέδοται.

Ἰδοὺ ἐγὼ ἐπὶ σὲ, λέγει Κύριος παντοκράτωρ. Οὕτω μὲν οὖν, ὦ Νινευὶ, διήρπαζες πάσας τὰς βασιλείας. Ἀντὶ τούτων οὖν ἰδοὺ ἐγὼ ταχὺ ἐπὶ σὲ ἐπ-

[a] I Petr. v, 8.

Variæ lectiones et notæ.

(39) Οὖ, Cod. Ven.
(40) Addit λέων, *leo*, Cod. Ven.
(41) Χώρας, Cod. Ven.

Digitized by Google

ανίσταμαι, εἰ καὶ μέχρι τοῦ νῦν ἐμακροθύμουν. Ἐμφαντικῶς δὲ πρόσκειται τὸ, *Παντοκράτωρ*. Εἰ γὰρ πάντων κρατῶ, καὶ σοῦ περιέσομαι.

Καὶ ἐκκαύσω ἐν καπνῷ τὸ πλῆθός σου, καὶ τοὺς λέοντάς σου καταφάγεται ῥομφαία. Ἐπειδὴ τροπικῶς ἄνω λεόντων, καὶ σκύμνων, καὶ θήρας, καὶ νομῆς ἐμνημόνευσεν, εἰκότως καὶ τὴν τούτων ἀναίρεσιν τροπικῶς προθεσπίζει. Ἐπειδὴ γὰρ τὰ ἐν σπηλαίοις τισὶ κεκρυμμένα θηρία, καὶ προκύπτειν οὐ βουλόμενα, οἱ θηραταὶ ἐξιέναι καταναγκάζουσι, καπνὸν τοῖς στομίοις τῶν σπηλαίων προσφέροντες, καὶ ἐξιόντα δέχονται δόρασι καὶ ῥομφαίαις, καὶ ἀποκτιννύουσι· φησὶν, ὅτι Τὸ πλῆθος τοῦ λαοῦ σου ἐκκαύσω ἐν καπνῷ, τουτέστι, τὴν πολυπληθῆ ταύτην πόλιν ἐμπρήσω, καὶ τοὺς βασιλεῖς καὶ ἄρχοντας, σφαγῇ παραδώσω· ὥσπερ δὴ καὶ τὴν Ἱερουσαλὴμ εἰς ἐμπρησμὸν παρέδωκε, καὶ τοὺς ἐν αὐτῇ στασιαστὰς λέοντας ὄντας, ὡς τοὺς ταπεινοτέρους κατεσθίοντας, κατέφαγεν ἡ τῶν Ῥωμαίων ῥομφαία.

Καὶ ἐξολοθρεύσω ἐκ τῆς γῆς τὴν θήραν σου, καὶ οὐ μὴ ἀκουσθῇ τὰ ἔργα σου ἔτι. Τουτέστιν, Οὐκέτι οὐ μὴ θηρεύσῃς καὶ διαρπάσῃς ἔθνη καὶ βασιλείας· οὐδὲ τὰ ἔργα σου τὰ πολεμικὰ, καὶ τὰ ἐκ τούτων κακὰ, ἃ ἐποίεις τοῖς ὑπὸ σὲ γενομένοις ἀκουσθήσονται· παύσῃ γὰρ ταῦτα ποιοῦσα. Ἐθήρευον καὶ οἱ Φαρισαῖοι τὰς ψυχὰς τῶν αὐτοῖς πειθομένων προσηλύτων καὶ Ἰουδαίων, διὰ τοῦ τὸ γράμμα ἐκδιδάσκειν αὐτοὺς, ἣν θήραν ἐξωλόθρευσεν ἐκ τῆς γῆς τῆς ἀνθρωπίνης φύσεως ὁ τὸν νόμον τοῦ Πνεύματος τῆς ζωῆς δοὺς αὐτῇ. Καὶ οὐκέτι τὰ ἔργα τῆς νομικῆς πολιτείας ἀκούεται, ὅτι μηδὲ δικαιωθήσεται ἐξ αὐτῶν πᾶσα σάρξ. Ἀλλὰ καὶ πρὸς τὴν τοῦ διαβόλου δύναμιν λέγοι ἂν ὁ Κύριος· Ἰδοὺ ἐγὼ ἐπὶ σὲ μετὰ σαρκός ἐφιστάμενος, καὶ τὸ πλῆθος τῶν ὑπὸ σὲ δαιμόνων ἐκκαύσω ἐν τῇ ἀτμίδι τῆς τοῦ Πνεύματος ἐνεργείας, ἢ καὶ ἐν τοῖς προοιμίοις τοῦ μέλλοντος πυρός. Ἃ γὰρ ἐβασάνιζε τοὺς δαίμονας, καπνὸς ἦσαν τοῦ ἡτοιμασμένου αὐτοῖς πυρός. Καὶ ἡ ῥομφαία, ὁ εὐαγγελικὸς λόγος, ἔφαγε τοὺς λέοντας αὐτοῦ, ἢ τοὺς δαίμονας αὐτοὺς τούτους, ἢ τοὺς σοφοὺς, καὶ τὰ μεγάλα ἐν λόγῳ δυναμένους. Καὶ ἡ πλάνη, δι' ἧς ἐθήρευε τοὺς ἀνθρώπους, ἐξωλοθρεύθη ἐκ γῆς· καὶ τὰ ἔργα, ἃ ἐν τοῖς ναοῖς τῶν εἰδώλων ἐτελοῦντο, οὐκέτι ἀκούονται.

ΚΕΦΑΛ. Γ'.

Ἡ πόλις αἱμάτων, ὅλη ψευδὴς, ἀδικίας πλήρης. Ἐκτραγῳδεῖ σχετλιαστικῶς τὸν τρόπον τῆς Νινευΐ, καὶ πόλιν αἱμάτων ταύτην ἀποκαλεῖ· φιλοπόλεμοι γὰρ οἱ Νινευῖται, καὶ σίμασι χαίροντες. Ὅλη δὲ ψευδὴς, καὶ καθὸ εἰδωλολάτρουν, πάντες ὁμοῦ τοὺς ψευδωνύμους θεοὺς σέβοντες, καὶ πένητες καὶ πλούσιοι, καὶ καθὸ φιλοψευδεῖς ἦσαν ἐν τοῖς λόγοις, δόλους καὶ πανουργίας μετιόντες, οἷς ἕπεται καὶ τὸ ἀδικεῖν. Πᾶς γὰρ δόλιος, καὶ πανοῦργος καὶ ἄδικος, εἰ μήτι ἄλλο, αὐτὸ τοῦτο τὸ τὸν πλησίον ἀδικεῖν καὶ ἐξαπατᾷν. Ἔοικε δὲ διδάσκειν ὁ προφήτης, πόθεν γέγονεν ἡ Νινευΐ πόλις αἱμάτων, ὅτι ἐκ τοῦ ψεύδε-

A exsurgo, tametsi hactenus sim cunctatus. Est autem peculiari significantia adjectum, *Omnipotens*, omnia vincens. Quod si cuncta exsupero, te superior etiam ero.

Exuram in fumo multitudinem tuam, leonesque tuos devorabit gladius. Postquam metaphorice supra leonum, catulorum, venationis et pascui meminit, merito istorum etiam sublationem et interemptionem tropice prædicit : quia enim in latibulis quibusdam abditas feras movere sese nolentes, venatores prodire cogunt, fumo spelæorum ori apposito, egressasque excipiunt hastis et ensibus, letho ita demittentes, ait jam : Multitudinem populi tui exuram in fumo : hoc est, Populosissimam hanc urbem flammis tradam, incendam, regesque ejus et
B principes mactationi dedam, perinde atque jam Jerusalem incendio tradidi, seditiososque in ea leones, tenuiores in populo veluti devorantes, exedit Romanorum ensis.

Disperdam quoque ex terra venationem tuam, neque quicquam audientur posthac opera tua. Hoc est, Nequaquam porro **237** venaberis neque diripies et gentes et regna : neque res tuæ bello gestæ, exque iis promanantes calamitates, quibus tibi subjugatos premebas, amplius audientur : desistes enim in posterum talia perficere. Venabantur etiam Pharisæi animas accedentium Judaismo, ab ipsis persuasorum, tum reliquorum Judæorum, litteram
C illos docendo : quam venationem oblitteravit ex terra humanæ naturæ Dominus, legem spiritus vitæ ei impertiens. Neque porro opera legalis administrationis audiuntur, quoniam neque justificabitur ex operibus legis omnis caro. Jam et ad diaboli potentiam Dominus dicere queat : En ego super te cum carne mea exsurgens, multitudinem subter te constitutorum dæmonum exuram, in suffimento operationis Spiritus, vel in præludiis futuri ignis: quæ enim torquebant dæmones, fumus erant jam inde a principio parati ipsis ignis. Gladius porro, id est, evangelicus sermo, exedit leones ipsius, vel hos ipsos dæmones vel sapientes et in oratione diserta valentes plurimum. Ac seductio errorve quo venabatur mortales, excisus est ex terra et
D opera quæ in templis idolorum perficiebantur, non amplius audiuntur.

CAPUT III.

Vers. 1. *O civitas sanguinum, tota mendax, plena injustitiæ!* Ninevi urbis conditionem, miserabiliter tragica seu acerba exclamatione luget, civitatem sanguinum eam appellans. Amantes enim bellorum Ninevitæ, et sanguine gaudentes erant. Tota mendax ideo vocatur, quod omnes plane idololatræ erant, vanos deos colentes, cum pauperes, tum divites, et quod mendacio studuerunt, in verbis suis dolum et fraudem committentes, quæ postea injustitia sequitur. Omnis enim dolosus, et fraudulentus est et iniquus, si nulla alia in re, vel in hac tamen sola, quod proximo sit injurius, cum-

Digitized by Google

que in fraudem inducat. Videtur autem docere vates, unde facta sit Ninevi civitas sanguinum, nempe ex mendacio et injustitia. Nam ubi vanitas et injustia, illic ne speres deesse sanguinis effusionem. Jerusalem quoque civitas est sanguinum, veluti prophetas occidens, ac lapidibus obruens ad sese missos [25] : totaque mendax fuit, ceu odio veritatem prosequens, quæ Christus erat, falsa de eo dicens, quod Samaritanus esset, dæmonibusque obsessus et impostor [26] : ac plena injustitiæ, ut quæ Dominum benefactorem suum affixerit cruci, sanctumque et justum abnegaverit, necnon impleverit per hoc, quod ipsa Deicida sit facta.

A σθαι καὶ τοῦ ἀδικεῖν· ἔνθα γὰρ ψεῦδος καὶ ἀδικία, μηδὲ αἵματα ἐκεῖ ἀπελπίσῃς. Ἀλλὰ καὶ Ἱερουσαλὴμ πόλις αἱμάτων, ὡς τοὺς προφήτας ἀποκτιννῦσα, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους· καὶ ὅλη ψευδής, ὡς μισοῦσα τὴν ἀλήθειαν, ἥτις ἦν Χριστός, καὶ λέγουσα περὶ αὐτοῦ ψευδῆ, ὅτι Σαμαρείτης ἐστὶ, καὶ δαιμονῶν, καὶ πλάνος, καὶ πλήρης ἀδικίας. ὡς τὸν Εὐεργέτην σταυρώσασα, καὶ τὸν ἅγιον καὶ δίκαιον ἀρνησαμένη, καὶ πληρώσασα τὸ μέτρον τῶν προφητοκτόνων πατέρων, ἐν τῷ αὐτὴ Θεοκτόνος γενέσθαι.

Non attrectabitur venatio. Quod supra dixit, Disperdam venationem tuam, hoc jam nunc repetens, Non porro, inquit, abs te tractabitur, vel attrectabitur venatio : hoc est, non vincetur abs te aliqua civitas **238** vel regnum, neque venaberis divitias et tributa : hæc enim exstitere venatio tua. Venatio autem veteris Jerusalem, omnes prophetæ fuerunt. Non igitur amplius in te vates erit, neque quemquam prophetarum venaberis, vel cassibus tuis irreties.

Οὐ ψηλαφηθήσεται θήρα. Ὅπερ ἀνωτέρω εἶπεν· Ἐξολοθρεύσω τὴν θήραν σου, τοῦτο καὶ νῦν φησιν, ὅτι Οὐκέτι ὑπὸ σοῦ ψηλαφηθήσεται θήρα, τουτέστιν, οὐ κρατηθήσεταί τις πόλις ἢ βασιλεία ὑπὸ σοῦ, οὐδὲ B θηρεύσεις πλοῦτον καὶ φόρους· ταῦτα γὰρ ἦσαν θήρα σου. Θήρα δὲ τῆς πάλαι Ἱερουσαλὴμ, πάντες οἱ προφῆται. Οὐκέτι οὖν, φησὶ, προφήτης ἔσται ἐν σοὶ, οὐδὲ θηρεύσεις καὶ παγιδεύσεις αὐτόν.

Vers. 2. *Vox flagellorum, et motus rotarum.* Tanquam audire videatur, et intueri propheta imminentia belli mala, sic ea denarrat, perinde quasi jam præsentia essent. Veluti enim vocem, vel sonitum, exprimit flagellorum, quibus equi ad acriorem cursum excitantur, et motui rotarum assimilari dicit strepitum.

Φωνὴ μαστίγων (42), *φωνὴ σεισμοῦ.* Ὥσπερ ἀκούειν δοκεῖ καὶ ὁρᾷν ὁ προφήτης τὰ τοῦ πολέμου κακὰ, καὶ οὕτως ἀφηγεῖται αὐτὰ, ὡς ἤδη παρόντα· οἱονεὶ γὰρ ἐνηχεῖται φωνὴν μαστίγων, δι' ὧν οἱ ἵπποι πρὸς τὸ ὀξύτερον τρέχειν διεγείρονται (43), καὶ σεισμῷ δὲ ἐοικέναι τὸν κτύπον λέγει τῶν τροχῶν.

Et equi persequentis. Repete, *Vox.* Videtur enim audire equi insequentis hinnitum, qui animadversa C velut victoria, ceu pro epinicio, hinnitum edat : superbum enim quiddam equus. Hic cum dixisset, *Vox flagrorum,* indicavit juxta quis esset, qui flagris cæderetur, equus videlicet, ut vehementius persequeretur.

Καὶ ἵππου διώκοντος. Κατὰ κοινοῦ τὸ, *Φωνή.* Δοκεῖ γὰρ ἀκούειν ἵππου χρεμετισμοὺς διώκοντος, καὶ οἷον ἐπαισθανομένου τῆς νίκης, καὶ διὰ τοῦτο χρεμετίζοντος ἐπινίκιον· γαῦρον δὲ ὁ ἵππος. Εἰπὼν δὲ, *Φωνὴ μαστίγων,* ἔδειξε καὶ τίς ἦν ὁ μαστιζόμενος, ὅτι ἵππος πρὸς τὸ διώκειν εὐτονώτερον.

Currusque subsultantis. Cum dixisset, *Vox motus rotarum,* apertius jam monstrat, quod ea vox sit plaustri sonitus, e cursus impetu succussi.

Καὶ ἅρματος ἀναβράσσοντος. Εἰπὼν, *Φωνὴ σεισμοῦ τροχῶν,* δείκνυσι σαφέστερον, ὅτι αὕτη ἡ φωνὴ, ἅρματος φωνὴ, ἀνατινασσομένου τῇ ῥύμῃ τοῦ δρόμου.

Et equitis ascendentis. Vox, inquit, *equitis ascendentis,* hoc est, turbulenta et alacris vociferatio : quippe quia equites ascensuri vel equos, vel plaustra, tumultuantur et vociferantur alacriter, sese invicem adhortantes.

Καὶ ἱππέως ἀναβαίνοντος. — *Φωνὴ,* φησὶν, *ἱππέως ἀναβαίνοντος,* τουτέστι, θόρυβος καὶ ἀλαλαγμός· οἱ γὰρ ἱππεῖς μέλλοντες ἀναβαίνειν ἢ ἵππους, ἢ ἅρματα, θορυβοῦσι, καὶ ἀλαλάζουσιν, ἀλλήλοις ἐγκελευόμενοι.

Vers. 3. *Fulgentis quoque mucronis, et coruscantium armorum, ac multitudinis vulnerum, gravisque lapsus.* Non amplius hic *vox* subaudienda est, sed *visio.* Videtur enim intueri in fulgentes gladios, thoraces, præterea et alia coruscantia arma, multitudinem etiam virorum, partim vulnera infligentium partim cadentium cum pondere armorum. Talia et de iis qui Hierosolyma obsederunt, depo-

Καὶ στιλβούσης ῥομφαίας, καὶ ἐξαστραπτόντων ὅπλων, καὶ πλήθους τραυματιῶν, καὶ βαρείας πτώσεως. Οὐκέτι ὀφείλεις ἐξακούειν φωνὴν, ἀλλ' ὁρᾶσιν. Δοκεῖ γὰρ ὁρᾷν τὰς μὲν ῥομφαίας στιλβούσας, τοὺς δὲ θώρακας καὶ τὰ ἄλλα ὅπλα ἐξαστράπτοντα, καὶ πλῆθος ἀνδρῶν, τῶν μὲν τρωματιζόντων, τῶν δὲ πιπτόντων μετὰ βάρους ὅπλων. Τοιαῦτα δὲ καὶ περὶ τῶν τὴν Ἱερουσαλὴμ πολιορκησάντων

[25] Luc. XIII, 35. [26] Joan. VIII, 48.

Variæ lectiones et notæ.

(42) Καὶ τροχῶν, *et rotarum.* Cod. Bav.

(43) Κατεπείγονται Cod. Ven.

Digitized by Google

καὶ πορθησάντων νοεῖσθαι καιρὸν ἔχει· καὶ γὰρ πολλὰ τοιαῦτα συνέβη καὶ τότε τοῖς καταράτοις Ἰουδαίοις. A pulatique sunt, opportune intelligi possunt. Multa enim talia contigerunt tum casecratis Judæis.

Καὶ οὐκ ἦν πέρας τοῖς ἔθνεσιν αὐτῆς, καὶ ἀσθενήσουσι τοῖς σώμασιν αὐτῶν ἀπὸ πλήθους πορνείας. Ἔθνη μὲν (44) πολλὰ, καὶ ἀριθμοῦ πέρα, τῇ Νινευῖ ὑπήκοα, πρὸς τὸ συμμαχῆσαι αὐτῇ ἐλεύσονται· πλὴν ἐν τοῖς σώμασιν αὐτῶν, οἷς πεποίθασιν ὡς δῆθεν εὐσωματοῦντες, ἀσθενήσουσι. Διὰ τί; Διότι πορνείαν ἐπετήδευσαν, τήν τε ἐν τοῖς τρόποις καὶ ἤθεσιν, ἐκ πάσης ἀρετῆς, καὶ αὐτῆς τῆς σωφροσύνης ἐκπορνεύσαντες, καὶ τὴν ἀπὸ Θεοῦ ἐπὶ εἴδωλα. Ἀλλὰ καὶ τοῖς ἔθνεσι τῆς Ἱερουσαλὴμ, τουτέστι, τοῖς οἰκήτορσιν αὐτῆς, τοῖς τῶν ἐθνῶν τοὺς τρόπους ζηλώσασιν, οὐκ ἦν πέρας· ἀριθμοῦ γὰρ κρείττους συνῆλθον εἰς ταύτην (45), ὡς Ἰώσηπος ἱστορεῖ. Ἠσθένησαν δὲ ἐν τοῖς σώμασιν αὐτῶν, λιμῷ τακέντες. Διὰ τί; Διότι ἐπόρνευσαν, καὶ ἀπέστησαν ἀπὸ Χριστοῦ εἰπόντες· *Μὴ γράφε· Ὁ βασιλεὺς τῶν Ἰουδαίων.* Ἀλλὰ κατὰ τὸ πρόχειρον, ἀσθένεια ἐν τοῖς σώμασιν γίνεται, ἀπὸ πλήθους πορνείας· οὐδεὶς γὰρ ἀσελγαίνων, ἰσχυρὸν ἔχει τὸ σῶμα. Ὥστε εἴ τις στρατιώτης ὤν, μάλιστα ἰσχύειν ἐθέλει, σωφρονείτω. B

Πόρνη καλὴ καὶ ἐπίχαρις. Καὶ κατὰ τὴν σωματικὴν πορνείαν πόρνη ἦν Νινευῖ, διὰ πολλὴν τρυφὴν ἀσελγῶς ζῶσα, καὶ κατὰ τὴν εἰδωλολατρείαν. *Καλὴ δὲ καὶ ἐπίχαρις,* ὡς περιφανείᾳ, πλούτῳ, καὶ τοῖς ἄλλοις ἀγαθοῖς αὐχοῦσα (46), καὶ λαμπρά τις οὖσα, καὶ πολλὰ χαρίεντα καὶ ἀστεῖα πλουτοῦσα, οἷα δὴ βασιλὶς τῶν ἄλλων πόλεων. C

Ἡγουμένη φαρμάκων. Τουτέστι, γέμουσα γοητείας, καὶ ἄρχουσα τῶν ἄλλων ἐν ταῖς φαρμακείαις· μαγείαις γὰρ καὶ γοητείαις οἱ Ἀσσύριοι τῶν ἄλλων ἐκράτουν.

Πωλοῦσα ἔθνη ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ φυλὰς ἐν τοῖς φαρμάκοις αὐτῆς. Οὐκ ἤρκου, φησὶ, τῇ οἰκείᾳ ἀσεβείᾳ, ἀλλὰ καὶ ὑπήκοά σοι ἔθνη ἠνάγκαζες τὰ αὐτὰ σοὶ δρᾷν, καὶ ἐπώλεις αὐτὰ, καὶ δοῦλα ἐποίεις, τῇ τε πορνείᾳ, καὶ τῇ φαρμακείᾳ. Ἢ καὶ οὕτως· Οἱ μάγοι ταῖς οἰκείαις μαγγανείαις χρώμενοι, ὑπισχνοῦντο πᾶσι τοῖς εἰς πόλεμον ἐξιοῦσι, τοὺς ἐχθροὺς ὑποχειρίους ποιήσειν, καὶ μισθὸν ἐπὶ τούτοις ἐλάμβανον. Ἐπώλουν τοίνυν τὰ ἔθνη καὶ τὰς φυλὰς, τοῖς μισθὸν διδοῦσι διὰ τῶν μαγειῶν, ἐπαγγελλόμενοι αὐτὰ ὑπήκοα θήσεσθαι. Οὕτω καὶ Βαλαὰμ τῷ Βαλὰκ ἐπηγγείλατο, ὑποχείριον θεῖναι τὸν Ἰσραηλίτην λαόν. Νοοῦντι δέ σοι ταῦτα περὶ τῆς Ἱερουσαλὴμ, φανήσεται ὁ Ναοὺμ μονονουχὶ τὰ αὐτὰ τῷ Ἡσαΐᾳ λέγων, σχετλιάζοντι· *Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιών;* Καὶ ἐνταῦθα γὰρ καλὴ καὶ ἐπίχαρις λέγεσθαι νοεῖται ἡ Ἱερουσαλὴμ, διὰ τὸ δέξασθαι τὸν νόμον, ὃς καὶ αὐτῆς χάρις ἦν (*Χάριν* D

Nec erat finis gentibus ipsius, et debilitabuntur corporibus a multitudine fornicationis. Gentes quidem multæ, adeoque numero vacantes, Ninevi urbi subditæ, venient ut ei suppetias ferant : verumtamen corporibus suis, quibus confidebant, ceu bene valentibus, ægrotabunt. Quam ob causam? Quia fornicationi plane studuerunt, vitæ conditione moribusque fornicantes, ex omni virtute, ipsa quoque temperantia excidendo, absque vero Dei cultu ad idola dilabendo. Gentibus dein Jerusalem, hoc est, habitatoribus ejus, gentium mores æmulatis, non aderat in copiis finis : convenerant enim potiores in ipsam, ut Josephus tradit. Debilitati sunt autem corporibus suis, fame macerati. Quam ob rem? Quoniam fornicati sunt et defecerunt a Christo, dicentes : *Ne scribe, Rex Judæorum*[37]. Atqui facile languore corripiuntur corpora **239** nimiæ scortationis causa. Nemo enim lascivus, libidini deditus, robustum corpus habet. Quocirca si quis miles maxime fortis esse gestiat, temperate vivat, et a scortatione abstineat.

Vers. 4. *Scortum pulchrum et jucundum.* Corporali etiam fornicatione meretrix erat Ninevi, ob deliciarum affluxum impudice vivens, deinde propter idololatriam scortum appellatur. *Pulchra et jucunda* ideo meretrix, quod excellentiæ, gloriæ, opum, aliorumque bonorum causa præclara sit, nec paucis amabilibus et urbanis rebus exuberet, veluti aliarum civitatum regina.

Dux incantationum. Hoc est, meretrix referta præstigiis, ac princeps aliarum in carminibus, seu veneficiis : magia enim et incantamentis, aliis Assyrii præeminebant.

Vendens gentes in fornicatione sua, et tribus in incantamentis suis. Non satis erat, inquit, propria impietate tibi ; gentes eadem tecum agere cogebas : venundabas eas, ac servas cum fornicationi, tum veneficiis faciebas. Vel, magi suis effascinationibus usi, pollicebantur cunctis ad bellum egredientibus, se hostes suos debellaturos, ac propterea mercedem accipiebant. Vendebant igitur gentes ac tribus, mercedem dantibus, per incantationes suas promittentes victoriam de hostibus. Sic et Balaam regi Balac promisit populum Israeliticum, sub jugum ejus olim venturum. Quod si intelligas hæc de Jerusalem, videbitur Naum tantum non eadem cum Isaia dicere : *Quomodo facta est meretrix civitas fidelis Sion*[38]? Atque hic pulchra, et jucunda, seu gratiosa Jerusalem dici intelligitur, quod acceperit legem quæ et ipsa gratia erat. *Gratiam* enim, inquit, *pro gratia.* Sed facta est scortum, quando

[37] Joan. XIX, 21. [38] Isa. I, 21.

Variæ lectiones et notæ

(44) Μέν φησι, Cod. Ven.
(45) Εἰς ταύτην εἰσῆλθον, Cod. Ven.
(46) Περιφάνειαν, καὶ δόξαν ἐπὶ πλούτῳ — ἔχουσα, Cod. Ven.

Digitized by Google

defecerunt a Domino, dicentes : *Durus est sermo ille. Quis potest ipsum audire*[20] ? et rursum quando dixerunt : *Tu es discipulus illius, nos vero Mosæ sumus discipuli*[20] ; ac tandem cum simul omnes clamarent : *Non habemus regem præter Cæsarem*[21]. Eadem est dux veneficorum, ducibus, primatibus et principibus ejus, hypocrisi, falsisque doctrinis intoxicantibus populum, ac vendentibus eum dæmonibus. Anima quoque pulchra sane a Deo condita est, et gratiosa, blanda, jucunda, inspirationis gratiam accipiens : fit autem meretrix, quando ab voluptate incantata fuerit, effascinataque, ut a vero bono deficiat usque adeo, ut vel ducatum præstet in veneficiis voluptatum.

A γὰρ, φησὶν, ἀντὶ χάριτος) · ἀλλ' ἐγένετο πόρνη, καὶ ὅτε ἀπέστησαν τοῦ Κυρίου οἱ εἰπόντες· *Σκληρός ἐστιν ὁ λόγος οὗτος · τίς δύναται αὐτοῦ ἀκούειν;* καὶ πάλιν ὅτε εἶπον · *Σὺ εἶ μαθητὴς ἐκείνου · ἡμεῖς δὲ, τοῦ Μωσέως ἐσμὲν μαθηταί* · καὶ τελευταῖον σύμπαντες εἰπόντες · *Οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα.* Καὶ φαρμάκων δὲ ἡγεῖται, ὡς τῶν ἡγουμένων αὐτῆς, καὶ ἀρχόντων, καὶ διδασκάλων καταφαρμακευόντων ταῖς ὑποκρίσεσι καὶ ψευδοδιδασκαλίαις τοὺς λαοὺς, καὶ πωλούντων αὐτοὺς τοῖς δαίμοσι. Καὶ ψυχὴ δὲ, καλὴ μὲν ἐκτίσθη παρὰ Θεοῦ, καὶ ἐπίχαρις, τὴν τοῦ ἐμφυσήματος χάριν δεξαμένη · πόρνη δὲ γίνεται, ὅταν ὑπὸ τῆς ἡδονῆς φαρμακευθεῖσα, καὶ καταγοητευθεῖσα, ἀποστατήσῃ τοῦ ἀληθῶς καλοῦ · καὶ τοσοῦτον, ὥστε καὶ ἄλλοις ἡγεμὼν εἶναι τῆς φαρμακείας τῶν ἡδονῶν.

Vers 5. *Ecce ego super te, dicit Dominus omnipotens.* Ne putes, inquit, hominem Cyrum bellum adversus te moturum, sed **240** enim ego exsurgo adversum te, Dominus nimirum omnipotens : itaque ingentem adversarium accipe.

B

Ἰδοὺ ἐγὼ ἐπὶ σὲ, λέγει Κύριος παντοκράτωρ. Μὴ οἷον, φησὶν, ὅτι ἄνθρωπός σοι πολεμήσει ὁ Κῦρος · ἀλλ' ἐγὼ ἐπανίσταμαί σοι ὁ παντοκράτωρ Κύριος · ὥστε μεγάλην προσδέχου τὴν ἐπίθεσιν.

Et revelabo posteriora tua in faciem tuam. Verba facit, veluti de muliercula loqueretur amata, quæ quantum ad vultum externamque pulchritudinem attinet, digna intuentibus eam, quæ ametur, apparet ; verum, sin quispiam ipsam nudaverit, corporisque deformia palam demonstraverit, omnino turpis erit. Quare hunc in modum ait : Retegam, o Ninevi, postrema tua, hoc est, quantum deformitatis in te antehac occultatum fuerit, nunc in propatulum collocabo, ut videatur ante conspectum tuum, utque contumelia pro gloria te comprehendat, ac omnino iniquitatem tuam patefaciam, per supplicium super te inducendum.

Καὶ ἀποκαλύψω τὰ ὀπίσω σου ἐπὶ τὸ πρόσωπόν σου. Ὡς ἐπὶ γυναικὸς ἑταιριζομένης ὁ λόγος ἐστὶν, ἢ ὅσον μὲν εἰς πρόσωπον καὶ τὸν ἔξωθεν ὡραϊσμὸν, ἀξιέραστος τοῖς ὁρῶσι δοκεῖ εἰ δέ τις ἀπαμφιάσῃ αὐτὴν, καὶ τὰ τοῦ σώματος ἀσχήμονα γυμνὰ παραδείξῃ, ἀσχημονήσει πάντως. Οὕτως οὖν, φησὶν, ὦ Νινευῖ, ἀποκαλύψω τὰ ὀπίσω σου · τουτέστιν, Ὅσον ἀσχημόν ἐστιν ἐν σοὶ, κρυπτόμενον πρώην, νῦν εἰς τὸ ἐμφανὲς καταστήσω, ὥστε φαίνεσθαι αὐτὸ ἀντὶ τοῦ προσώπου σου, καὶ ἀτιμία ἀντὶ τῆς δόξης περιλήψεταί σε, καὶ ὅλην τὴν παρανομίαν σου δήλην καταστήσω, διὰ τῆς ἐπαχθησομένης σοι τιμωρίας.

C

Ostendamque gentibus dedecus tuum, et regnis ignominiam tuam. Videbaris quidem nullis non gentibus et regibus formosa esse, incantamentis tuis munita, illisque te plurimum adversus hostes posse rata, me isthuc ipsum æquo animo ferente : at nunc excitatus adversum te, monstrabo gentibus quas vicisti, quod neque tum tu fortis fueris, quando eas subjeceris tuo imperio, sed me ea voluntate mea fecisse, ac regna, quæ te antea tanquam fortem devenerata sunt, nunc imbecillitatis tuæ ignominiam agnoscent. Hæc et ad futurum judicium referri queant, quando cuilibet peccatorum in faciem retegentur, quæ ipse in tergum et clam peregerit, hoc est, deformitas flagitiorum ab eo commissorum. Ostenditur etiam confusio et ignominia reliquis gentibus et regnis, juxta ac justis, qui una cum Christo regnabunt, si modo hic compassi sunt. Porro quando divinum verbum animum usque peccantis contigerit, ac ad sensum perduxerit prioris in malitia transactæ vitæ, talem tum ignominiæ revelationem facit, jamque prius abdita, per apertam promulgationem reserat, panditque. Commonstrat etiam verbum Dei dedecus operum

Καὶ δείξω ἔθνεσι τὴν αἰσχύνην σου, καὶ βασιλείαις τὴν ἀτιμίαν σου. Ἐδόκεις μὲν γὰρ πᾶσιν ἔθνεσι καὶ βασιλεῦσιν ὡραία τις εἶναι ταῖς μαγείαις ὠχυρωμένη, καὶ ταύταις νομίζουσα κατευμεγεθεῖν τῶν ἐχθρῶν, ἐμοῦ μακροθυμοῦντος · ἀλλὰ νῦν ἐπεγερθείς σοι, δείξω τοῖς ἔθνεσιν, ὧν ἐκράτησας, ὡς οὐδὲ τότε σὺ ἴσχυες, ὅτε αὐτῶν ἐκράτεις, ἀλλὰ τὸ ἐμὸν θέλημα ταῦτα ἐποίει · καὶ αἱ πρώην τιμῶσαί σε βασιλεῖαι, ὡς ἰσχυρὰν, νῦν τὴν ἀτιμίαν τῆς ἀσθενείας σου ἐπιγνώσονται. Ταῦτα καὶ εἰς τὴν μέλλουσαν κρίσιν ἀνενεχθεῖεν ἄν, ὅτε ἀποκαλύπτονται ἐπὶ τὸ πρόσωπον ἑκάστου τῶν ἁμαρτανόντων τὰ ὀπίσω αὐτῷ πραχθέντα, τουτέστιν, ἡ ἀσχημοσύνη τῶν προημαρτημένων. Καὶ δείκνυται ἡ αἰσχύνη ἑκάστου καὶ ἡ ἀτιμία, καὶ ἔθνεσι, τοῖς λοιποῖς ἁμαρτωλοῖς, καὶ βασιλείαις, τοῖς δικαίοις, οἳ συμβασιλεύσουσι τῷ Χριστῷ, εἴπερ καὶ συνέπαθον ἐνταῦθα. Ὅτε καὶ ὁ θεῖος λόγος ἅψεται ψυχῆς τέως ἁμαρτανούσης, καὶ εἰς αἴσθησιν αὐτὴν ἀγάγῃ τῆς προτέρας ἐν κακίᾳ ζωῆς · τοιαύτην ἀποκάλυψιν ποιεῖται, καὶ ἐμπομπεύεται διὰ τῆς ἐξαγορεύσεως τὰ πρώην κρυπτόμενα, καὶ δείκνυσιν ὁ λόγος τῶν ἔργων τὴν αἰσχύνην τοῖς ἔθνεσι, τουτέστι, τοῖς δαίμοσιν, ὡς ἂν

D

[20] Joan. VI, 61. [20] Joan. IX, 28. [21] Joan. XIX, 15.

Digitized by Google

γνόντες, ὅτι ἐπαισχύνεται ἐν τοῖς ἔργοις αὐτῶν, μηκέτι αὐτῷ ὡς οἰκείῳ προσέρχωνται. Οἱ δὲ αὐτοὶ, καὶ βασιλεῖαι λέγονται πολλαὶ, ὡς πολυειδῶς ἐν τῷ ἀνθρώπῳ βασιλεύοντες διὰ τῆς ἁμαρτίας, ὡς ἡ γε τοῦ Κυρίου βασιλεία, μία.

A gentibus, hoc est, dæmonibus, dum agnoscunt (47) mortales se propter opera, ipsorum ex instinctu promanantia, pudefieri, unde non amplius eos accedunt. Iidem, dæmones dico, multa etiam regna dicuntur, veluti multifariam in homine, per peccatum regnantes (48).

Καὶ ἐπιῤῥίψω ἐπὶ σὲ βδελυγμὸν κατὰ τὰς ἀκαθαρσίας σου. Τουτέστι, Τοιαύτην σε ποιήσω, ὥστε πάντας τοὺς ὁρῶντάς σε βδελύττεσθαι. Εἶτα ἵνα μή τις εἴπῃ, ὅτι ὁ Θεὸς ποιεῖ, τοὺς μὲν βδελυκτοὺς, τοὺς δὲ ἐνδόξους, καὶ λοιπὸν κατὰ ἀποκλήρωσιν πάντα γίνονται, ἐπήγαγε· *Κατὰ τὰς ἀκαθαρσίας σου·* δεικνύων, ὅτι Δικαίως σοι τὸν βδελυγμὸν ἐπάξω, διότι ἀκαθαρσίας ἔχεις. Τῷ δὲ ἀκαθάρτῳ τί ἄλλο πρσήκει, ἢ τὸ βδελυχθῆναι; Ὥστε μηδεὶς τὸν Θεὸν αἰτιάσθω, εἴ γε αὐτὸν οἱ ἄνθρωποι βδελύττονται, ἀλλὰ τὴν οἰκείαν ἀκαθαρσίαν. Οὕτω καὶ ἐπὶ τοὺς Ἑβραίους ἐπέῤῥιψε βδελυγμὸν διὰ τὰς ἀκαθαρσίας αὐτῶν, τάς τε ἄλλας, καὶ τὰς ἐκ τῆς Θεοκτονίας· αἱ γὰρ χεῖρες αὐτῶν, ἀκάθαρτοι, ὡς αἵματος πλήρεις. Κατὰ τὸ μέτρον δὲ τῆς ἑκάστου ἀκαθαρσίας, ἐπάγεται καὶ ὁ βδελυγμὸς, καὶ οὔτε πλείων, οὔτε ἐλάττων, τὴν χρηστότητα ἐνταῦθα μιγνύντος τοῦ Δεσπότου καὶ κριτοῦ. Ἀλλὰ καὶ ἐν τῷ μέλλοντι κριτηρίῳ ἄλλος ἄλλου βδελυκτότερος ἔσται, κατὰ τὸ μέτρον τῆς τῶν ἔργων ἀκαθαρσίας.

B

Verse. 6. *Et injiciam super te exsecrationem, secundum impuritates tuas.* Hoc est, Talem te faciam, ut omnes te videntes exsecrentur. Deinde, ne quis dicat quod Deus alios quidem exsecrabiles, alios vero celebres faciat, ac sic omnia juxta divinam dispensationem fiant, subintulit, *Secundum impuritates tuas:* indicans quod Juste super te inducam exsecrationem, eo quod impuritates habeas. Impuro autem quid aliud conveniat, quam ipsa detestatio? Quare nemo **241** Deum accuset, si ipse homines exsecretur, verum propriam impuritatem in judicium vocent. Hoc pacto super Hebræos projecit exsecrationem, propter impuritates ipsorum, tum alias, tum eas quas ex interfectione Domini contraxerunt. Manus enim eorum immunditie, velut sanguine, plenæ. Juxta mensuram autem immunditiei cujuslibet, inducitur etiam abominatio æque respondens, ut neque major neque minor sit, Domini et judicis mansuetudine ac bonitate hic ita miscente, dispensanteque. Insuper in futuro judicio, alius alio abominabilior erit, juxta mensuram operum impuritatis.

Καὶ θήσομαί σε (49) *εἰς παράδειγμα.* Τουτέστιν, Οὕτω περιβόητα τὰ σὰ πάθη καταστήσω, ὥστε ἐπειδὰν ἀπόληταί ποτε πόλις, ἢ χώρα, λέγειν τινὰς (50), ὅτι Οὕτως ἀπόλωλεν ἡ δεῖνα ἡ πόλις, ὡς ἡ Νινευΐ.

C

=*Et ponam te in exemplum.* Hoc est, ita celebria reddam, et divulgabo supplicia tua, ut si quando civitas quæpiam, vel regio pereat, dicant aliqui: Interiit ea civitas æque atque Ninevi.

Καὶ ἔσται πᾶς ὁ ὁρῶν σε, καταβήσεται ἀπὸ σοῦ. Κατεσκαμμένης γάρ σου, ἐπιστὰς τοῖς ἐρειπίοις πᾶς ὁστισοῦν καὶ συμπτώμασι, κἂν πρότερον ἐχθρὸς ἦν, καὶ τὴν σὴν ἐδυσχέραινε δυναστείαν· καὶ ἰδὼν ἐρημίαν μάλα πολλὴν, καταβήσεται ἀπὸ τῶν τοιούτων συμπτωμάτων, τουτέστιν, ἀποπηδήσει (51), μὴ φέρων ὁρᾷν τὴν τοσαύτην ἐρημίαν· ἢ καὶ δεδοικὼς, μή τι καὶ αὐτὸς πάθῃ κακὸν διὰ τὴν τοσαύτην (52) ἐρημίαν.

Verse. 7. *Et omnis qui te videbit, descendet a te.* Defossa etenim te ac diruta, quisquis astiterit cadaveribus tuis et ruinæ, etiamsi antea tibi infensus fuisset, ægreque tulisset potentiam tuam, inspecta jam vastitate tua valde grandi, descendet a talibus ruinis ac populatione, desilietque, ut qui tantam non possit intueri desolationem: vel metuens, ne et ipse hujusmodi aliquid patiatur incommodi tantam ob solitudinem.

Καὶ ἐρεῖ· Δειλαία Νινευΐ· τίς στενάξει αὐτήν; Ἀθλία καὶ ταλαίπωρος ἡ Νινευΐ· τίς εὑρεθήσεται θρηνῳδὸς τοιοῦτος, ὥστε αὐτὴν ἀξίως θρηνῆσαι; ἢ ὅτι οὐχ ὑπελείφθη τις οἰκεῖος αὐτῇ, ἵνα θρηνήσῃ ταύτην· διὸ καὶ ἐπάγει·

D

Dicetque: O miseram Ninevi! Quis deplorabit ipsam? O miseram et calamitosam Ninevi! quis tantus luctus invenietur, qui digne ipsam lugeat? Sive quod ei non sit relictus quispiam e suis, qui ejus infortunium defleat. Unde etiam subdit:

Πόθεν ζητήσω παράκλησιν αὐτῇ; Ἐπὶ μὲν γὰρ τῶν ἄλλων πόλεων, ἢ χωρῶν, καὶ ἀπόλλυνταί τινες καὶ σώζονται, καὶ οἱ σωθέντες, εἰσὶ παράκλησις· ἐπὶ δὲ τῆς Νινευΐ, παράκλησιν οὐκ ἔστιν εὑρεῖν· πανωλεθρίᾳ γὰρ παρεδόθη.

Unde quæram consolationem ipsi? Cum cæteris urbibus sic quidem agitur, vel regionibus, ut mortalium pars intereant, pars serventur, ac servati quidam consolationis loco sint: apud Ninevi vero non est invenire consolationem, tota enim interitui est tradita.

Variæ lectiones et notæ.

(47) Aliter Græca verba sonant: *Ut intelligentes ipsum* (nempe verbum) *operibus eorum dedecore affici, non amplius ad ipsum, uti familiare accedant.*

(48) Cod. Ven. et Bav. addunt: *Ut Domini regnum, unum.*

(49) Καθήσομαι, Cod. Bav.

(50) Desunt in Cod. Ven. verba λέγειν τινάς.

(51) Ἀποδημήσει, Cod. Bav.

(52) Desideratur verbum τοσαύτην in Cod. Ven.

Digitized by Google

Vers. 8. *Apta chordam, para te, pars Ammon.* Ad Alexandriam hæc adhortatio pertinet, etsi nondum sub id temporis eam habuerit nomenclaturam. Ipsa enim est, quæ vocatur On, sive Ammon, utpote quæ dicata sit Ammoni deo, adeo celebri apud Græcos, ut minime pauci ex Græcia, oraculorum causa eo sint profecti. Quin etiam Alexander ipse Macedonum rex fertur ad hunc veluti patrem suum se contulisse, oracula ab ipso accepturus. Postquam igitur universa Ægyptus, (53) deinceps ab Alexandro Alexandria appellata, ab isto dæmone pependerit, vocat eam vates Naum partem Ammonis. Proinde malorum sane plurimum et ipsa ab Ninevitis (54) sustinuit : siquidem bellum gesserunt adversus totam Ægyptum, unde inventos illic 242 Israeliticos transfugas, indignis admodum modis acceperunt. Præcipit itaque jam nunc ipsi On, ut aptet chordam, paretque citharam, tanquam voluptatem capiens Ninevitarum ex pernicie, ideoque festum diem instituens : quemadmodum et supra demandabat Judæ, ut ferias celebraret.

A

B

Habitans flumina. Nili derivationes, flumina nominat.

Cujus imperium est mare, et aqua muri ejus. Omni ex parte, inquit, Ammon tutam munitionem habet : a septentrione mari firmata, a meridie Mæotide palude, exuberans etiam Nili brachiis, ut mœnia sic paludes inaccessibiles efficiens.

C

Vers. 9. *Æthiopia robur ejus et Ægyptus, et non est finis fugæ tuæ. Phud et Libyes auxiliatores ejus.* Auxiliatores et socios numerat, ostendens nedum ex loci positu communitam, verum etiam eorum qui socia arma jungunt, potentia. Phud vero nominat occidentem versus sitos Libyas, qui nunc Aphri dicuntur. Quanquam adeo sis munita, inquit, pars Ammon, nimirum alveis et paludibus Niloæ aquæ, mari, et (56) amne Mæotide, jamque commemoratis adjutoribus : in fugam tamen verteris ipsa tu, nec finis erit fugæ tuæ. Pars Ammonis, ex gentibus etiam est constituta Ecclesia, quæ habitat fluvios, dulces nempe Evangelii gratiæ aquas, in cujus circuitu aqua est, spirituale dico baptisma, muniens ipsam undique. Hæc dominatur mari, id est, tentationem afferentibus, hujus vitæ fluctibus, marinisque hæresibus sive capturis : nec vincitur tamen a quopiam horum : etenim *Ditis portæ non prævalebunt adversus ipsam* [52]. Eadem et sua quæ baptisma mœnia habet, aquam puta pœnitentiæ lacrymarum. Tum Æthiopia et Ægyptus sunt fortitudo ejus : nam Æthiops eunuchus primus ex gentibus baptismate tingitur. Ac

D

Ἁρμόσαι χορδὴν, ἑτοιμάσαι, μερὶς [v. — ρίδα] Ἀμμών. Πρὸς τὴν Ἀλεξάνδρειαν ταῦτα παρακελεύεται, εἰ καὶ μήπω Ἀλεξάνδρεια ἐκαλεῖτο τότε· αὕτη γάρ ἐστιν ἡ καλουμένη Ὢν, ἤτοι Ἀμμὼν, ὡς ἀνακειμένη τῷ Ἄμμωνι, δαίμονι ὄντι, οὕτως ἐπισήμῳ παρ' Ἕλλησιν, ὥστε πολλοὺς ἀπὸ τῆς Ἑλλάδος χρησμῶν χάριν ἐκεῖσε φοιτᾷν. Καὶ Ἀλέξανδρος δὲ ὁ Μακεδόνων βασιλεὺς λέγεται πρὸς τοῦτον δραμὼν ὡς αὐτοῦ πατέρα, χρησμοὺς παρ' αὐτοῦ λαβεῖν. Ἐπειδὴ τοίνυν πᾶσα ἡ Αἴγυπτος, καὶ ἡ Ὢν, ἡ ὕστερον ἀπὸ Ἀλεξάνδρου κληθεῖσα Ἀλεξάνδρεια, ἐξήρτητο τούτου τοῦ δαίμονος, μερίδα Ἀμμὼν αὐτὴν ὀνομάζει. Κακὰ οὖν πολλὰ καὶ αὕτη ὑπὸ τῶν Νινευϊτῶν, ἤτοι Ἀσσυρίων, ὑπέστη· καὶ γὰρ ἐστράτευσαν πάσῃ τῇ Αἰγύπτῳ οὗτοι, ἔνθα καὶ τῶν Ἰσραηλιτῶν τοὺς ἀποφυγόντας εὑρόντες, οἰμῶς αὐτοῖς ἐχρήσαντο. Παρακελεύεται τοίνυν τῇ Ὢν, ὡς ἂν ἁρμόσῃ τε χορδὴν, καὶ ἑτοιμάσῃ τὴν κιθάραν, καὶ ὡς χαίρουσα ἐπὶ τοῖς Νινευϊτῶν κακοῖς, καὶ ὡς ἄλλως ἑορτάζουσα, ὥσπερ καὶ ἀνωτέρω τῷ Ἰούδᾳ παρεκελεύετο ἑορτάζειν.

Ἡ κατοικοῦσα ποταμούς. Τοὺς διώρυχας τοῦ Νείλου φησὶ ποταμούς.

Ἧς ἡ ἀρχὴ θάλασσα, καὶ ὕδωρ τὰ τείχη αὐτῆς. Πάντοθεν, φησὶν, ἔχει ἡ Ἀμμὼν τὸ ἀσφαλές· ἐκ μὲν τοῦ βορείου μέρους, τὴν θάλασσαν ἔχουσα· ἐκ δὲ τοῦ νοτίου, τὴν Μαιώτιδα (55) λίμνην· πλουτοῦσα δὲ καὶ τὸ τοῦ Νείλου ὕδωρ, οἷον τεῖχος, ὡς τέλματα ποιοῦν δυσέμβατα.

Αἰθιοπία, ἰσχὺς αὐτῆς καὶ Αἴγυπτος, καὶ οὐκ ἔστι πέρας τῆς φυγῆς σου. Φοὺδ, καὶ Λίβυες ἐγένοντο βοηθοὶ αὐτῆς. Τοὺς ἐπικούρους καὶ συμμάχους ἀπαριθμεῖται, δεικνύων αὐτὴν οὐ μόνον ἐκ τῆς τοῦ τόπου θέσεως κατωχυρωμένην, ἀλλὰ καὶ ἀπὸ τῆς τῶν συμμάχων δυνάμεως. Φοὺδ δὲ ὀνομάζει τοὺς Ἑσπερίους Λίβυας, τοὺς νῦν καλουμένους Ἄφρους. Ἀλλ' ὅμως, φησὶ, καίτοι οὕτως ὠχυρωμένη σὺ ἡ μερὶς τοῦ Ἀμμὼν, ὑπό τε τῶν διωρύχων καὶ τῶν τελμάτων τοῦ Νειλῴου ὕδατος, καὶ τῆς θαλάσσης, καὶ τῆς Λίμνης, καὶ τῶν ῥηθέντων συμμάχων· ὅμως εἰς φυγὴν τραπήσῃ καὶ αὐτὴ, καὶ οὐκ ἔσται τέλος τῆς φυγῆς σου. Μερὶς Ἀμμὼν καὶ ἡ ἐξ ἐθνῶν Ἐκκλησία, ἡ κατοικεῖ ποταμοὺς, τὰ γλυκέα τοῦ Εὐαγγελίου τῆς χάριτος ὕδατα, καὶ ὕδωρ κύκλῳ αὐτῆς, τὸ πνευματικὸν βάπτισμα, φυλάττον αὐτὴν πάντοθεν· ἢ καὶ ἄρχει τῆς θαλάσσης, τῶν πειρατικῶν κυμάτων τοῦ βίου, καὶ τῶν ἁλικῶν αἱρέσεων, μὴ νικωμένη ὑπό τινος τούτων· καὶ *Πύλαι γὰρ ᾅδου, οὐ κατισχύσουσιν αὐτῆς.* Ἔχει δὲ καὶ μετὰ τὸ βάπτισμα τεῖχη, τὸ ὕδωρ τῶν τῆς μετανοίας δακρύων. Καὶ Αἰθιοπία καὶ Αἴγυπτος, ἰσχὺς αὐτῆς. Ὅ τε γὰρ Αἰθίοψ εὐνοῦχος, πρῶτος ἐξ ἐθνῶν

[52] Matth. xvi, 18.

Variæ lectiones et notæ.

(53) *Et urbs On.* Ex utroque Cod. Ven. et Bav.
(54) Uterque Codex addit : *seu Assyriis.*
(55) Μαρεώτιδα, Cod. Ven. et bene.
(56) Græca vox nil aliud præter *paludem*, quam supra Cod. Ven. Mareotidem appellat, non Mæotidem.

Digitized by Google

βαπτίζεται· καὶ ὁ Κύριος πρώτην τὴν Αἴγυπτον ἐπεσκέψατο, ὅτε γεννηθεὶς, εὐθὺς ἔφυγεν. Οὐ μικρὰ δὲ ἡ ἰσχὺς τῷ τῆς Ἐκκλησίας κηρύγματι τὸ τοιαῦτα ἔθνη αὐτῇ προσδραμεῖν. Ἀλλὰ καὶ τοὺς Λίβυας, τοὺς ἐν τῇ Πεντηκοστῇ παρατυχόντας τῇ τοῦ Πνεύματος παρουσίᾳ, βοηθοὺς ἔχει, οἳ ἐπεμαρτύρουν ἐκ τοῦ τῶν γλωσσῶν χαρίσματος, ὅτι θεῖόν ἐστι τὸ κήρυγμα. Ταύτῃ τοι καὶ τὸ φεύγειν αὐτῇ ἀεὶ προσήκει, ἀπό τε τῆς ἀσεβείας, καὶ τοῦ ἀεὶ διώκοντος ἡμᾶς διὰ πάντων καὶ λόγων καὶ ἔργων, ἵνα μὴ στᾶσα τῆς φυγῆς καταληφθῇ.

A Dominus Ægyptum primum visitavit, quando a nativitate sua statim illuc fugit. Nec exiguum robur est Ecclesiæ præconio, tales gentes ad ipsam accurrere. Præterea Libyas etiam, qui in die Pentecostes Spiritus Paracleti præsentiæ inciderunt, auxiliatores habet, qui ex linguarum dono testificabantur, divinam esse eam prædicationem. Huic fugere quidem semper convenit, cum ab impietate, tum ab semper persequente nos per omnia et opera et sermones videlicet Satana, ut ne in fuga gradum figere deprehendatur.

Καὶ αὕτη εἰς μετοικεσίαν πορεύεται αἰχμάλωτος. Δηλαδὴ ἡ Ἀλεξάνδρεια, καὶ πᾶσα ἡ Αἴγυπτος· καὶ γὰρ ὅτε Ναβουχοδονόσορ ἐπόρθησε ταύτην, καὶ ὑπὸ Καμβύσου δὲ ὕστερον, ὃς ἦν Κύρου υἱὸς, τὴν βασιλείαν καταλύσαντος αὐτῆς, ὑπὸ τὴν τῶν Περσῶν δυναστείαν τελεῖν ἠναγκάσθη. Ἀλλὰ καὶ Ἀλέξανδρος ὑπὸ τὴν Μακεδονικὴν βασιλείαν τοὺς Αἰγυπτίους ἐποίησε.

VERS. 10. *Et ipsa ad transmigrationem proficiscitur captiva.* Alexandria videlicet, ac tota Ægyptus. Etenim Nabuchodonosor depopulatus est hanc : a Cambyse vero dehinc Cyri filio, regno ejus dissoluto, Persis tributum pendere coacta 243 est. Præterea Alexander Macedonico imperio Ægyptum etiam subjugavit.

B

Καὶ τὰ νήπια αὐτῆς ἐδαφιοῦσιν ἀπ' ἀρχῆς πασῶν τῶν ὁδῶν αὐτῆς. Τουτέστι, τοσαύτην ἀπήνειαν οἱ ἐχθροὶ ἐνδείξονται, ὥστε καὶ τὰ νήπια ἀπαντινύναι, τὰς αὐτῶν κεφαλὰς τῇ γῇ προσαράσσοντες· τοῦτο γάρ ἐστι τὸ ἐδαφίζειν αὐτά, καὶ τοῦ πεσεῖν ἐν ταῖς ἀρχαῖς τῶν ὁδῶν, τουτέστιν, ἐν ταῖς τριόδοις πρὸς φόβον πλείω τῶν διερχομένων, ὁρώντων, ὅτι οὐδὲ φειδοῦς ἀξίων νηπίων φείδονται.

Infantesque ejus in terram præcipites dabunt, ab initio cunctarum viarum ejus. Hoc est, tantam sævitiam inimici ejus demonstrabunt, ut vel infantes occidant, ipsorum capita terræ illidentes : hoc enim est in terram eos præcipitare, idque facient in principiis viarum, hoc est in triviis, ad majorem trepidationem pertranseuntium, quippe qui videant, quod neque dignissimis venia parcant.

Καὶ ἐπὶ πάντα τὰ ἔνδοξα αὐτῆς βαλοῦσι κλήρους. Ὥστε διανεμηθῆναι αὐτὰ ἀμάχως, οὐ μόνον κτήματα καὶ χρήματα, ἀλλὰ καὶ σώματα ἔνδοξα, C οἷον γυναῖκας καὶ παῖδας, ὥστε εἰς δούλους αὐτοὺς εἶναι τοῖς ἀπὸ κλήρου λαχοῦσι.

Ac super omnia pretiosa ejus jacient sortes. Ut dissipentur citra prælium ingens et effeminate, non solum facultates et pecuniæ, verum etiam corpora celebria, veluti uxores et pueri, ut serviant iis quibus sorte obtigerint.

Καὶ πάντες οἱ μεγιστᾶνες αὐτῆς δεθήσονται χειροπέδαις. Οὕτω; ἔσονται δειλοὶ, φησὶν, ὥστε μηδὲ ἐν πολέμῳ ἀναιρεθῆναι, ὅπερ ἀνδρῶν ἐστι γενναίων, ἀλλὰ δεθῆναι, γυναικῶν νόμῳ καὶ ἀγενῶν ἀνδραρίων, ὡς δοῦλοι. Καίτοι μεγιστᾶνες ὄντες, ἐπορεύθησαν εἰς μετοικεσίαν (57). Καὶ ἡ τῶν Κυριοκτόνων Συναγωγὴ, καὶ οἱ νήπιοι, τρόφιμοι αὐτῆς, οἱ τῷ στοιχειώδει τοῦ νόμου καὶ ἀτελεῖ τρεφόμενοι γάλακτι, ἐδαφίζονται, τῇ γῇ ἐναπομένοντες, ὡς μηδὲν ὑψηλὸν νοῆσαι δυνάμενοι. Τοῦτο δὲ πεπόνθασιν ἀπὸ οἰήσεως· αὕτη γάρ ἐστιν ἀρχὴ πασῶν τῶν ἐπικρήμνων ὁδῶν τῆς Θεοκτόνου Συναγωγῆς.

Omnesque optimates ejus ligabuntur manicis. Adeo erunt miseri, inquit, ut neque in bello occidantur, quod fortium est virorum, sed vinciantur mulierculatarum ad modum, ignobiliumque homuncionum instar, ut servi. Atqui optimates exsistentes abierant in transmigrationem. Et Synagoga eorum qui Dominum occiderunt, tum infantes Synagogæ alumni, elementari et imperfecto legis enutriti lacte, in terram illiduntur, in eo perseverantes, ut nihil sublime intelligere queant. Hoc vero patiuntur a fastu, qui est principium omnium in præceps vergentium viarum ipsi Synagogæ quæ Deum occi-

D

Καὶ ἐπὶ πάντα τὰ ἔνδοξα αὐτῆς, τό τε χρίσμα τῆς ἀρχιερωσύνης, καὶ τὴν στολὴν τοῦ ἀρχιερέως, καὶ τὰς θυσίας, ἐβλήθησαν οἱ ἐν τῇ Ἐκκλησίᾳ θεῖοι κλῆροι, ἀφ' ὧν καὶ κληρικοὶ ὀνομάζονται. Οὐ γὰρ ἀνθρωπίνη χάρις, ἀλλὰ θεῖος κλῆρος, ἤτοι χάρισμα ἔοικεῖ τὸ τῶν χειροτονουμένων. Τὰ τοίνυν ἐκείνων ἔνδοξα ἡμῖν ὁ Θεὸς ἀπεκλήρωσε πνευματικῶς. Καὶ οἱ μεγιστᾶνες ἐκείνων Φαρισαῖοι καὶ Γραμματεῖς, χειροπέδαις ἐδέθησαν, μηδὲν ἐνεργῆσαι τῶν τοῦ νόμου δυνάμενοι, ἀνθ' ὧν τὸν Κύριον ἔδησαν.

Ac super omnia celebria ejus, super ipsam nempe summi sacerdotii unctionem, atque vestem oblongam sacerdotum principis, et sacrificia, jactæ sunt divinæ in Ecclesia sortes, a quibus et sortiti, vel electitii, clerici vocantur. Non enim humana gratia, cæterum divina sors, sive donum electorum hujusmodi videtur. Illorum itaque celebria Deus spiritualiter nobis sorte quadam impertiit. Optimates eorum, Pharisæi Scribæque manicis ligati sunt, nihil legalium efficere valentes, eo quod Dominum vinxerunt.

Variæ lectiones et notæ.

(57) Εἰς μετοικεσίαν Βαβυλῶνος, *in transmigrationem Babylonis*, Cod. Ven.

Digitized by Google

VERS. 11. *Tu ebria redderis, erisque despecta.* De particula Ammonis hactenus memorata vaticinatus, rursum jam nunc sermonem ad Ninevi transfert, inquiens : Hæc illa quidem patietur, tu vero ceu temulentia quadam traderis calamitati. Neque a me Domino tuo, ut qui te aspernetur, servaberis, quovis, ut antea, malo superior, peccatis enim te tuis tradam.

Quæres tibi ipsa statum ex inimicis tuis. Postquam temulentiæ meminisset, perseverat in eodem tropo. Delata, inquit, et instabili gressu hinc inde nutans, temulentorum in morem, quæres tibi statum, seu libertatem ex hostibus, sed non invenies, **244** perpetuæ fugæ intenta. Ebrii facti sunt animo suo etiam qui Dominum occiderunt : virus enim draconum, vinum ipsorum : unde a Domino neglecti B sunt, nunquam non et ipsos et familiam ipsorum intuente. Audierunt ergo, quod Solomon precatus est : *Ecce relinquitur domus vestra deserta* [21]. Quærent stare denuo in Jerusalem, ut finis imponatur dispersioni et persecutioni, neque tamen quidquam, quod inquirunt, invenient.

VERS. 12. *Omnes munitiones tuæ, ut ficus fructus habentes, si quassatæ fuerint, cadent in os edentis.* Munitæ, inquit, civitates tuæ hostibus tradentur. Ut enim ficus fructus habentes, hoc est ficus tempestivos et prorsum maturos, si a vento concutiantur, vel ab homine potius, volente illis vesci, facile istos projiciunt a sese, quos arreptos homo comedit. non dissimili pactione, citra sudorem urbes C tuæ habitatores suos ejicient, ut in ora hostium incidant. Munimenta Synagogæ sunt Pharisæi : dein observationes legis secundum litteram, cum traditionibus ipsorum, quæ fructus quidem habent, dulcedinem tempestivam et mollem præ se ferentes. Istæ Christi adventu decussæ, ceciderunt in os humanas semper traditiones devorantis Satanæ, ut in posterum diabolici sint sermones, digni idcirco illius ore. Animæ quoque peccantis munimenta sunt voluptates. Nam per voluptatem detinemur in peccato. Hæ sunt, voluptates dico, ficus maturas, primo patri Adamo ostensas habentes. Formosus enim aspectu erat et pulcher esu, qui illum neci dedit fructus. Decutiuntur autem a verbo Dei, quod in nobis est, ipsam instabilitatem prodente, D nihilque uberius atque mœrorem easdem proferre indicante. Cadunt prius firmæ judicatæ. Non enim resistere queunt verbi motui, adeo ut qui antea tales manducaverit, aperto nunc ore diem illis dicat, tanquam deceptricibus, easque plane contemnat. Ficus hoc pacto fuerunt, in Bersabee et Uriam peccatum, tempestivo suo fructu demulcentes Davidem. At vatis Nathan reprehensione con-

Καὶ σὺ μεθυσθήσῃ, καὶ ἔσῃ παρεωραμένη. Περὶ τῆς μερίδος Ἀμμὼν προθεσπίσας τὰ εἰρημένα, πάλιν ἐπὶ τὴν Νινευὶ μεταφέρει τὸν λόγον, καί φησιν, ὅτι Τὰ μὲν ἐκείνη πείσεται· καὶ σὺ ὥσπερ τινὶ μέθῃ παραδοθήσῃ τῇ συμφορᾷ, καὶ παροραθήσῃ ὑπ' ἐμοῦ τοῦ Δεσπότου, οὐκέτι τηρουντός σε, ὡς πρότερον, ὑπερτέραν παντὸς κακοῦ, ἀλλὰ ταῖς ἁμαρτίαις σου παραδιδόντος.

Καὶ σὺ ζητήσεις σεαυτῇ στάσιν ἐχθρῶν σου. Ἐπειδὴ μέθης ἐμνήσθη, ἐπιμένει τῇ τροπῇ, καί φησιν, ὅτι Παραφερομένη τῇδε κἀκεῖσε, καὶ ἀσταθοῦσα, ὥσπερ οἱ μεθύοντες, ζητήσεις μὲν στάσιν, ἤτοι ἐλευθερίαν ἐκ τῶν ἐχθρῶν· οὐχ ἕξεις δὲ, ἀλλὰ διηνεκῶς φεύξῃ. Ἐμεθύσθησαν τῷ θυμῷ καὶ οἱ τὸν Κύριον κτείναντες (θυμὸς γὰρ δρακόντων, ὁ οἶνος αὐτῶν), καὶ διὰ τοῦτο παροραθέντες ὑπὸ Κυρίου, τοῦ ἀεὶ καὶ αὐτοὺς καὶ τὸν οἶκον αὐτῶν ἐφορῶντος, ὥσπερ καὶ Σολομὼν ηὔξατο, ἤκουσαν· *Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος.* Καὶ ζητοῦσι μὲν στῆναι ἐν Ἱερουσαλὴμ αὖθις, καὶ παύσασθαι τῆς διασπορᾶς καὶ τοῦ διωγμοῦ· οὐχ εὑρίσκουσι δὲ τὸ ζητούμενον.

Πάντα τὰ ὀχυρώματά σου, ὡς συκαῖ σκοπὸς ἔχουσαι, ἐὰν σαλευθῶσι, πεσοῦνται εἰς στόμα ἔσθοντος. Αἱ ὀχυραί σου, φησὶ, πόλεις τοῖς πολεμίοις παραδοθήσονται. Ὥσπερ γὰρ συκαῖ, σκοπὸς ἔχουσαι, τουτέστι, σῦκα πρώϊμα καὶ πάνυ πέπειρα, ἐὰν ὑπὸ ἀνέμου σαλευθῶσιν, ἢ καὶ μᾶλλον ὑπ' ἀνθρώπου βουλομένου σῦκα φαγεῖν, ῥᾳδίως ταῦτα ῥίπτουσι, καὶ λοιπὸν ἀνελόμενος ἄνθρωπος ἐσθίει· οὕτω καὶ αἱ πόλεις σου ῥᾳδίως τοὺς οἰκήτορας ἀποβαλοῦσιν εἰς στόμα τῶν ἐχθρῶν ἐμπεσόντας. Ὀχυρώματα τῆς Συναγωγῆς, αἱ φαρισαϊκαὶ καὶ κατὰ τὸ γράμμα παρατηρήσεις, καὶ αἱ παραδόσεις αὐτῶν, ἔχουσαι καρποὺς, γλυκύτητα πρόκαιρον καὶ ἁλυτον ἐνδεικνυμένους· αἵτινες σαλευθεῖσαι τῇ ἐπιδημίᾳ Χριστοῦ, ἔπεσον εἰς τὸ στόμα αὐτοῦ, τοῦ ἀεὶ τὰς ἀνθρωπίνας ψυχὰς ἔσθοντος διαβόλου· Ὥστε διαβολικοὶ λοιπὸν εἶναι λόγοι, καὶ τοῦ στόματος ἐκείνου ἄξιοι. Ἀλλὰ καὶ ψυχῆς ἁμαρτανούσης, ὀχυρώματα μέν εἰσιν αἱ ἡδοναί· διὰ γὰρ ἡδονὴν συνεχόμεθα τῇ ἁμαρτίᾳ. Αὗται δὲ σῦκα ἔχουσαι πρώϊμα τὰ ἐν τῷ προπάτορι Ἀδὰμ φανέντα (ὡραῖος γὰρ ἦν εἰς ὅρασιν, καὶ καλὸς εἰς βρῶσιν, ὁ ἐκεῖνον (58) θανατώσας καρπὸς), σαλεύονται μὲν ὑπὸ τοῦ ἐν ἡμῖν λόγου, δεικνύοντος τὸ ἀβέβαιον αὐτῶν, καὶ ὡς πλέον ἔχουσι τὸ λυποῦν· πίπτουσι δὲ (59) αἱ πρὶν δοκοῦσαι ὀχυραὶ εἶναι· οὐ γὰρ δύνανται ἀντιστῆναι τῷ τοῦ λόγου σεισμῷ· ὥστε καὶ αὐτὸν τὸν πρότερον ἐσθίοντα ταύτας, τὸ στόμα ἀνοίγειν κατ' αὐτῶν, καὶ κατύγορεῖν ὡς ἀπατηλῶν, καὶ ἐκπορεύειν (60). Οὕτως καὶ ἡ εἰς τὴν Βηρσαβεὲ ἁμαρτία, καὶ ἡ εἰς τὸν Οὐρίαν, συκαῖ μὲν ἦσαν, τέρτουσαι

[21] Luc. XIII, 35.

Variæ lectiones et notæ.

(58) Ἐμὲ, *me*, Cod. Ven.
(59) Δὲ εὐθὺς, Cod. Ven.
(60) Ἐκπομπεύειν αὐτὰς, Cod. Ven.

Digitized by Google

τῷ προσκαίρῳ καιρῷ τὸν Δαβίδ· ἀλλὰ σεισθεῖσαι τῷ τοῦ Νάθαν ἐλεγμῷ, ἐνέπεσον εἰς στόμα τοῦ πρότερον ἡδέως αὐτὰς ἔσθοντος, στηλιτεύοντος αὐτὰς ἐν τῷ ν' ψαλμῷ.

Ἰδοὺ ὁ λαός σου ὡς γυναῖκες ἐν σοί. Τουτέστιν, οἱ γενναιότατοί σου στρατιῶται δειλίᾳ συνεχόμενοι, οὐδὲν διοίσουσι γυναικῶν. Τοῦτο δὲ πείσονται ἐν σοὶ, τουτέστι, διὰ σὲ, καὶ τὰς ἁμαρτίας σου, καὶ τὴν ὑπερηφανίαν σου. Ἀνδρεῖοι μὲν γὰρ καθ' ἑαυτοὺς, ἀλλὰ σὺ αὐτοὺς δειλοὺς ἀπειργάσω, παροργίσασα τὸν Θεόν. Καὶ σοῦ δὲ τῆς ἀποβλήτου Ἱερουσαλὴμ ὁ λαὸς, ὡς γυναῖκές εἰσιν, οὐδὲν ἀνδρεῖον ἐπιδεικνύναι ἔχοντες κατὰ τῆς πλάνης, ἣν πλανῶνται, ἀλλὰ τοῖς τὰ πονηρὰ διδάσκουσιν αὐτοὺς, καὶ ἀποκατάστασιν ἐπαγγελλομένοις ὑποκατακλινόμενοι. Τοῦτο δὲ πάσχουσιν ἐν σοὶ, τουτέστι, διότι πρὸς σὲ ἀφορῶσι, καὶ σὲ ἀπολαβεῖν ἐλπίζουσιν, οὐκ ἐννοοῦντες, ὅτι ἄλλη Ἱερουσαλὴμ ἐστιν ἀκατάλυτος, ἡ ἐλευθέρα, ἡ μήτηρ πάντων τῶν Χριστῷ πιστευόντων.

Τοῖς ἐχθροῖς σου ἀνοιγόμεναι ἀνοιχθήσονται πύλαι τῆς γῆς σου. Καταφάγεται πῦρ τοὺς μοχλούς σου. Αἱ πύλαι, φησὶ, τῶν πόλεων τῆς γῆς σου ἀνοιχθήσονται τοῖς Πέρσαις· αἱ μὲν ἀπόνως, ἅτε τῶν ταύτας τηρούντων ἑκουσίως προσχωρούντων· αἱ δὲ ἐκπολιορκούμεναι, καὶ ὑπὸ πυρὸς τοὺς μοχλοὺς δαπανώμεναι. Ἢ οὐ περὶ πυλῶν πόλεων λέγει, ἀλλὰ βούλεται ἐνδείξασθαι, ὅτι Ἡ γῆ σου ἅπασα ἔσται ἀνειμένη εἰς καταδρομὴν καὶ διαφθοράν, ἥτις πρώην οὕτως ἦν ἀνεπίβατος τοῖς ἐχθροῖς, ὡς ἂν ὑπὸ πυλῶν τινων κατησφαλισμένη. Καὶ τοὺς μοχλοὺς δέ σου, τουτέστι, πᾶσαν τὴν δύναμίν σου καὶ ἀσφάλειαν, πῦρ, τουτέστιν, ἡ τῶν πολεμίων ἀνυπόστατος καὶ φλογώδης δύναμις, καταναλώσει. Γῆ τῶν Ἰουδαίων, ἡ κατὰ τὸ γράμμα πολιτεία κάτω κειμένη. Αὕτη μέντοι πύλας εἶχε πρὸς τὸ Πνεῦμα φερούσας, αἵτινες ἠνοίχθησαν τοῖς ἐθνικοῖς, οὓς ἐχθροὺς εἶχον οἱ ἐκ περιτομῆς καὶ βδελυκτούς. Καὶ τοὺς μοχλοὺς δὲ αὐτῶν, καὶ τὰ ὀχυρώματα τῆς Φαρισαϊκῆς διδασκαλίας, τὸ πῦρ τοῦ εὐαγγελικοῦ καὶ πνευματικοῦ λόγου κατέφαγεν.

Ὕδωρ περίοχῆς ἐπίσπασαι σεαυτῇ· κατακράτησον τῶν ὀχυρωμάτων σου. Οἱ Νινευῖται, Κύρου πολιορκεῖν αὐτοὺς μέλλοντος, δεδιότες τὴν ἅλωσιν, τάφους ἔξωθεν διωρύξαντες, καὶ ὕδωρ πολὺ τὸ μὲν εἰς αὐτὰς ἐπισπασάμενοι, τὸ δὲ καὶ κατὰ τῆς λοιπῆς ἐπαφιέντες πεδιάδος, ὥστε καὶ τὰ τέλματα γενέσθαι, ὥροντο τὴν εἰς τὴν πόλιν πάροδον τοῖς ἐχθροῖς ἀπείρξειν (61). Τοῦτο οὖν φησι κατ' εἰρωνείαν ὁ Θεὸς ἐνταῦθα· Ἀσφάλισαι σεαυτὴν, διά τε τοῦ ἐπισπάσασθαι ὕδωρ κύκλῳ περιέχον τὰ τείχη, καὶ διὰ τοῦ κρατῆσαι τῶν ὀχυρωμάτων σου, τῶν τε πύργων, καὶ τῶν λοιπῶν. Ὕδωρ περιοχῆς ἦν ἡ τῶν Φαρισαίων διδασκαλία, περιέχουσα καὶ συγκλείουσα

A cussæ, incidérunt in os jucunde ipsis antea vescentis, describentisque eas in psalmo quinquagesimo.

Vers. 13. *En populus tuus, ceu feminæ in te.* Hoc est, fortissimi quique milites trepidatione constricti, nihil discrepabunt a feminis. Hoc autem patientur in te, hoc est, propter te et peccata tua, superbiamque tuam. Strenui quidem sunt et fortes per sese, verum tu ipsos meticulosos reddidisti, ad iram commovens Dominum. Populus etiam tuus, o Jerusalem rejecta, feminarum induerunt mentem : nihil virile demonstrare possunt, contra errorem, quo sunt imbuti : cæterum prava docentibus eos, restitutionemque promittentibus animum
B advertentes : idque patiuntur **245** in te, hoc est, propterea quod respiciunt ad te : teque, o Domine, recipere sperant, ; non intelligentes aliam esse Jerusalem indissolubilem, ipsam Ecclesiam, quæ mater est omnium Christo credentium [34].

Hostibus tuis apertæ aperientur portæ terræ tuæ, absumet ignis vectes tuos. Portæ, inquit, urbium terræ tuæ recludentur Persis, aliæ quidem citra laborem, tanquam observarent eas illi, ideoque ultro admitterent : aliæ vero obsessæ, ac repagula igni absumpta tenentes. Vel non tantum de portis urbium hæc dicit, cæterum indicare vult, totam terram tuam ad impugnationem, incursionem et interitum traditam esse, quæ antehac adeo erat inaccessa hostilia audentibus, ut veluti quibusdam
C portis munimina sibi præberet. Vectes tuos, hoc est, omnem potentiam tuam et munitionem, securitatemve : ignis, hoc est, hostium intolerabilis et flammea vis, insumet, perdet. Terra Judæorum est respublica, juxta litteram legis traditionumque in imo jacens. Ea portas habebat ad Spiritum ducentes, quæ gentibus apertæ sunt : quas cum inimicas tum exsecrabiles, qui ex circumcisione erant, reputabant. Ipsorum repagula, id est, munimina pharisaicæ doctrinæ, ignis evangelici et spiritualis sermonis devoravit.

Vers. 14. *Aquam circùitus attrahe tibi ipsi, occupa munimenta tua.* (62) Hoc est, munito aquis propugnacula tua, teque ipsam. Ninevitæ, Cyro eos
D obsidione cincturo, metuentes captionem sui, fossis foris effossis, multum aquæ partim eisdem immittentes, partim per reliquam planitiem ducentes, ut palustria fierent, arbitrabantur se inimicis ad urbem aditum adempturos. Hoc igitur per ironiam inquit Deus : Munito te jam nunc per effusionem aquæ mœnia tua circumfluentis, ac præsidiis in propugnacula, turres, idque genus alias munitiones locandis. Aqua circumcirca cingens Pharisæorum etiam doctrina erat, ambiens (63) concludensque

[34] Ephes. v, 23.

Variæ lectiones et notæ.

(61) Ἀπείργειν, Cod. Ven.

(62) Desiderantur in utroque Cod. verba Latinis his, *Hoc est, munito aquis propugnacula tua teque ipsam*, respondentia.

(63) Græca sic habent : *Concludensque sub legem eos qui* (aquam) *ipsam attrahunt.*

Digitized by Google

legem, eamque sibi vindicantes. Munitiones, ut sæpe dictum, sunt traditiones quas tenent. Dicat et quispiam ad delinquentem animam, igni voluptatum perustam · Attrahe tibi ipsa aquam circuitus, hoc est, Dei continentis omnia, vel Evangelii continentis jam terrarum orbem. Occupa munimenta tua. Dedit enim tibi a natura Deus munitiones, intellectum et rationem, quam si tenueris, non facile ab inimicis tuis capieris.

Inscende in lutum, conculca paleas, obfirma te super laterem. Perseverat in ironia, videturque consulere ipsis, ut munitionum curam gerentes lutum fugant, istucque paleis misceant, ut ita lateres faciant. Later enim dum coquitur, ad firmas **246** structuras paratur. Ecquid dicam, para tibi lateres? imo lateribus quædam firmiora tibi compara, perque talia munitionem tibi instrue, fortisque esto.

Vers. 15. *Illic absumet te ignis, te funditus perdet ensis, devorabit te velut locusta, gravaberisque in morem bruchi. Illic*, pro, tum, intellige. Nihil, inquit, hujusmodi tibi cogitationes proderunt. Nam si ipsam coctis lateribus muniveris, vel alia materie lapides coctiles illos firmitate sua vincente, tum te urbem hostilis exedet ignis, incensam una cum ædificiis tuis. Cives et habitatores tuos absumet penitus gladius, locustæ in morem depascentis fruges. Erisque gravis ad fugam, veluti bruchus, quando irrigatæ ipsi fuerint alæ. Sive quod tu gravis sis futura, multisque instructa copiis, auxiliis undique accitis, ut bruchis innumerabilibus, copiarum tuarum causa æquipareris. Verum nihil tibi commodabit. Tale est ergo quod subditur.

Multiplicare velut bruchus. Hoc est, accerse adjutores et auxiliatores, nec paucas arma copias. Irridens autem, veluti in superioribus, hæc dicit. Lutum sunt legalia sacra, tanquam corporalia. Palea est littera, fructum non habens. Ridet igitur Spiritus hæc sibi vindicantes administrantesque, monstrans ipsis, quod corporalibus quidem sacrificiis inserviant, qui tametsi alia juxta litteram acciplant, Spiritus tamen ignem fortiorem fore, gladiumque verbi exterminaturum ipsos, quem et locustæ quidem æquat, celerem ob saltum ejus, quo modico vel temporis intervallo, super totam aliquam terram dispergitur, perinde ac alio in loco ait: *Celeriter curret sermo ejus* [35]. Quin etiam gravis eris, inquit, nimirum tu scriba, bruchi in morem, ut non possis ad spiritualis contemplationis altitudinem exsurgere, mentis tuæ alis uvida vita degravatis. Ubique deliciarum nomine male audiunt Hebræi. Sic apud Paulum, ubi ait: *Quorum deus*

A ὑπὸ τὸν νόμον τοὺς τοῦτο ἐπιτηρουμένους · ὀχυρώματα δὲ, ὡς πολλάκις εἴρηται, αἱ παραδόσεις, ἃς κρατοῦσι. Λέγοι δ' ἂν καὶ πρὸς τὴν ἁμαρτάνουσαν ψυχὴν, καὶ καιομένην τῷ πυρὶ τῶν ἡδονῶν · Ἐπίσπασαι σεαυτῇ τὸ ὕδωρ τῆς περιοχῆς, τουτέστι, τοῦ Θεοῦ τοῦ περιέχοντος πάντα · ἢ τοῦ Εὐαγγελίου τοῦ περιέχοντος τὴν οἰκουμένην, καὶ κατακράτησον τῶν ὀχυρωμάτων. Δέδωκε γάρ σοι, φησὶ, φυσικῶς ὁ Θεὸς ὀχυρώματα τὸν νοῦν, καὶ τὸν λόγον, ὃν ἐὰν κρατήσῃς, οὐκέτι εὐάλωτος ἔσῃ τοῖς ἐχθροῖς.

Ἐμβηθι εἰς πηλὸν, καὶ συμπάτησον ἐν ἀχύροις, καὶ κράτησον ὑπὲρ πλίνθον. Ἔτι τῇ εἰρωνείᾳ ἐπιμένει, καὶ δοκεῖ συμβουλεύειν αὐτοῖς, ἵνα τῶν ὀχυρωμάτων ἐπιμελούμενοι, καὶ πηλὸν ποιήσωσι, καὶ συμπατήσωσιν αὐτὸν ἐν ἀχύροις, ὥστε B πλίνθους ποιῆσαι (ἡ γὰρ πλίνθος ὀπτωμένη, εἰς ὀχυρὰ κτίσματα ἀναγκαιότατον). Καὶ τί λέγω, φησὶ, πλίνθους; ἄλλα τινὰ ὀχυροῦ ὑπὲρ πλίνθων, καὶ κατακράτησον δι' ἐκείνων.

Ἐκεῖ καταφάγεταί σε πῦρ, ἐξολοθρεύσει σε ῥομφαία, καταφάγεταί σε ὡς ἀκρὶς, καὶ βαρυνθήσῃ ὡς βροῦχος. Τὸ, ἐκεῖ, ἀντὶ τοῦ, τηνικαῦτα, νόμισον. Οὐδὲν γάρ, φησὶν, ὠφεληθήσῃ ἀπὸ τῶν τοιούτων ἐπινοιῶν, ἀλλ' ὅταν ὀχυρώσῃς αὐτὴν διὰ πλίνθων ὀπτῶν, καὶ δι' ἑτέρων τῶν ὑπὲρ πλίνθων · τηνικαῦτα σὲ μὲν τὴν πόλιν τὸ τῶν πολεμίων φάγεται πῦρ, ἐμπρησθεῖσαν σὺν τοῖς οἰκήμασι, τοὺς δὲ οἰκήτορας ἐξαναλώσει ῥομφαία, ὥσπερ ἡ ἀκρὶς δαπανᾷ τοὺς καρπούς · ἔσῃ δὲ βαρεῖα πρὸς τὸ φεύ- C γειν, ὥσπερ ὁ βροῦχος, ὅταν βραχῶσιν αὐτῷ τὰ πτερά (64). · Ἢ, ὅτι Σὺ μὲν βαρεῖα γενήσῃ, καὶ πολλῇ τῷ πλήθει, συμμάχους πάντοθεν προσκαλουμένη, ὥστε βρούχῳ παρεικάζεσθαι τὸ πλῆθος ἀναριθμήτῳ, ἀλλ' οὐδὲν ὠφεληθήσῃ. Τοιοῦτον δὲ τὸ ἑπαγόμενον ·

Πληθύνθητι ὡς βροῦχος. Τουτέστι, Μετακάλεσαι ἐπικούρους καὶ συμμάχους, καὶ γενοῦ εἰς πλῆθος. Διαγελῶν δὲ ταῦτά φησιν, ὡς καὶ ἀνωτέρω. Πηλὸς αἱ νομικαὶ θυσίαι, ὡς σωματικαί · ἄχυρον, τὸ γράμμα, καρπὸν οὐκ ἔχον. Ἐπεγγελᾷ οὖν τὸ Πνεῦμα τοῖς ταῦτα περιέπουσι, δεικνύον αὐτοῖς, ὅτι κἂν ταῖς σωματικαῖς θυσίαις δουλεύωσι, κἂν τ' ἄλλα κατὰ τὸ γράμμα ἐκδέχωνται, τὸ τοῦ Πνεύματος πῦρ ἐπικρατέστερον ἔσται, καὶ ἡ ῥομφαία τοῦ λόγου D ἐξολοθρεύσει αὐτοὺς, ὃς καὶ ἀκρίδι παρέοικε, διὰ τὸ ταχὺ αὐτοῦ πήδημα, εἰς πᾶσαν τὴν γῆν ἐξελθόντος ἐν ὀλίγῳ χρόνῳ, ὡς καὶ ἀλλαχοῦ λέγει · *Ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ.* Ἀλλὰ καὶ βαρὺς, φησὶν, ἔσῃ, ὁ Γραμματεὺς, ὥστε βροῦχος. ὥστε μὴ πρὸς ὕψος πνευματικῆς θεωρίας ἀναστῆναι δύνασθαι, ὡς τῶν νοητῶν σου πτερῶν τῷ ὑγρῷ βίῳ βεβαρημένων. Πανταχοῦ γὰρ εἰς τρυφὴν (65) διαβάλλονται οἱ Ἑβραῖοι, ὡς καὶ παρὰ Παύλῳ · *Ὧν Θεὸς ἡ κοιλία.* Ἀλλὰ καὶ παντὶ τῷ φιλοσωματοῦντι λέγει

[35] Psal. CXLVII, 5.

Variæ lectiones et notæ.

(64) Quæ duobus asteriscis continentur, desiderantur in Cod. Veneto.
(65) Τροφὴν, Cod. Ven.

Digitized by Google

ἐμβῆναι εἰς τὸν πηλόν, τουτέστι, κατιδεῖν καὶ κατασκέψασθαι τὸ οἰκεῖον σῶμα, ὅτι πηλός ἐστι. Τί οὖν τὸν πηλὸν ὑπὲρ τὸν μαργαρίτην τιμᾷς; Ἀπὸ τοῦ τοιούτου πηλοῦ τῆς ὕλυος ἀναχθεὶς ὁ Δαβὶδ, ηὐχαρίστει τῷ Θεῷ. Ἀλλὰ καὶ *συμπάτησον*, φησὶ, *τὰ ἄχυρα*, τὰ ἄκαρπα ἔργα, ἃ κατακαύσει (66) ὁ τὸ πτύον τῆς διακρίσεως ἔχων Λόγος τοῦ Θεοῦ πυρὶ ἀσβέστῳ. Τότε καὶ τὸ πῦρ καταφάγεται σε ζηλοῦντος ὑπὲρ τοῦ τιμίου χρήματός σου τῆς ψυχῆς σου, ἣν οἱ ἐχθροὶ ἄτιμον ἐποίησαν. Ἐπεὶ δὲ ἡ ἀκρὶς καὶ αὐτὴ δύναμις τοῦ Θεοῦ ἐστι μεγάλη, Χριστὸς δὲ, Θεοῦ δύναμις, ὁ δὲ αὐτὸς καὶ σοφία· εἰς Χριστὸν ἄν σοι, θεοπρεπῶς μέντοι νοοῦντι, ἐκληφθείη ἡ ἀκρὶς, ὃς ἐσθίει πάντα τὸν φιλοσώματον, λέγων· *Ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι*· καὶ πάλιν, *Ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν*. Καὶ μὴ θαυμάσῃς, εἰ ἀκρίδι τὸν Κύριον παραβάλλομεν, ὃς γε αὐτὸς ἑαυτὸν ὀνομάζει σκώληκα. Ἀλλὰ καὶ βαρυνθήσῃ, ὡς βροῦχος, φησί. Ὅταν γὰρ ὁ καταβὰς, ὡς ἡ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν, ἐπιπέσῃ τοῖς πτερυξὶ τοῦ πρὸς τὰ κακὰ κούφως φερομένου· τηνικαῦτα βαρὺς γίνεται οὗτος καὶ δυσκίνητος πρὸς τὰς τοῦ σώματος ἡδονάς.

A *venter est*[36]. Præterea unicuivis corporis amatori dicit ut in lutum conscendat, hoc est, ut intueatur atque perpendat proprium suum corpus, quid lutum sit. Quid igitur lutum majore quam margaritam honore afficis? A tali limoso cœno ereptus David gratias Deo agit. *Sed conculca*, inquit, *etiam pulea*, hoc est sterilia opera quæ comburet ventilabrum dijudicationis habens Verbum Dei, igni inextinguibili. Tum et ignis zelantis super pretiosa re animæ tuæ absumet te, quam hostes ignobilem fecerunt, suoque viduarunt honore. Quia vero locusta ipsa etiam magna Dei est potentia, Christus autem potentia Dei est, et idem sapientia, ad Christum etiam, minime impio intellectu, locusta referri queat: quippe qui ipse omnem corporis voluptatibus B deditum condemnans: *Qui*, inquit, *vult* **247** *me comitari, abneget sese ipse, tollatque crucem suam et sequatur me*[37]. Et iterum: *Caro nihil quidquam prodest*[38]. Neque demireris, si locustæ Christum Dominum æquemus, quandoquidem et ipse se vermem nominet. Denique gravaberis ut bruchus, infert, quando videlicet (69) verbum Evangelii descendens, guttæ instar stillicidii super terram, inciderit alis ejus, qui ad scelera, ad peccata levi vitam ferri consuevit, tum gravis sit ille, nec ob sui pondus facile ad corporis voluptates transmoveri potest.

Βροῦχος ὥρμησε, καὶ ἐξεπετάσθη, καὶ ἐξήλατο ὡς ἀντέλαβος (67) *ὁ σύμμικτός σου*. Σὺ μὲν, φησὶν, ἐπλήθυνας τοὺς συμμάχους σου, συμμίκτους ὄντας. Ἀπὸ πολλῶν χωρῶν μὲν, φησὶν, ἐπλήθυνας (68) νομίζουσα ἐν καιρῷ περιστάσεως ὠφεληθήσεσθαι ἐξ αὐτῶν. Πλὴν ὁ σύμμικτος οὗτος ὄχλος, ὁ σύμμαχός σου, βροῦχος ἀντικρὺς ἐξεφάνη. Ἀθρόον γὰρ ὥρμησε, καὶ ἐξεπετάσθη, καὶ ἀπεπήδησεν ὡς ἀντέλαβος· εἶδος δὲ ἀκρίδος ὁ ἀντέλαβος. Καὶ ὁ τῶν ἐθνῶν λαὸς βρούχῳ ἐοικὼς, ἀφῆκε ταχέως τὴν πατρῴαν ἀσέβειαν· καὶ ὁ προσήλυτος δὲ, ὁ συμμιγεὶς τοῖς Ἰουδαίοις, ἀπεπήδησεν ἀπὸ τῆς νομικῆς πλάνης.

VERS. 16. *Bruchus impetu facto avolavit, exiluit velut antelabus commistus tuus*. Tu, inquit, multiplicasti auxiliatores tuos, commistos, vel confœderatos tecum exsistentes. A multis quidem locis collegisti auxilia, ab illis tibi, obsidionis tempore, C opem sperans. Attamen commista illa turba, adjutrix tibi, bruchus propalam visa est. Confertim densoque agmine, pernici volatu venit, et evolavit, desiliitque instar antelabi. Est autem antelabus locustæ species. Gentium populus brucho etiam similis est, extemplo a majoribus acceptam impietatem missam faciens. Sic proselytus, commistus Judæis, destitit ab legali errore.

Ὡς ἀκρὶς ἐπιβεβηκυῖα ἐπὶ φραγμὸν ἐν ἡμέρᾳ πάγους· ὁ ἥλιος ἀνέτειλε, καὶ ἀφήλατο, καὶ οὐκ ἔγνω τὸν τόπον αὐτῆς. Καθάπερ, φησὶν, ἡ ἀκρὶς, καὶ τὰ τοιαῦτα ἄλλα ζῶα, δρόσου μὲν καὶ πάχνης ἐπικειμένης τοῖς πτεροῖς, ἐφιζάνει τοῖς φραγμοῖς καὶ τοῖς θάμνοις, ἀναπτῆναι μὴ δυνάμενα· ἡλίου δὲ ἀνατείλαντος, καὶ ἅμα τὴν τε δρόσον ἐκδαπανήσαντος, καὶ αὐτὰ θάλψαντος, ἀναπετάννυσι τὰ πτερὰ, καὶ εἰς ἄλλον μεταβαίνει τόπον· οὕτω καὶ ὁ σύμμαχός σου ὄχλος, ἕως μὲν οὔπω πάρεισιν οἱ πολέμιοι, προσμενεῖ σοι· ἐπειδὰν δὲ ἐκεῖνοι προσβάλωσι, τῆς οἰκείας φροντίσει σωτηρίας, καὶ σὲ ἀβοήθητον καταλείψει. Ἐπέβαινε δὲ καὶ ἐπὶ τὸν φραγμὸν τοῦ νόμου ἡ δύναμις τοῦ Θεοῦ, καθαρμούς τινας σω-

D

VERS. 17. *Ut locusta quæ descendit super sepem in die glaciei. Sol ortus est, ac desiliit, nec agnovit locum suum*. Quemadmodum, inquit, locusta, cæteraque id genus volatilia, rore ac pruina eorum alis superposita, sepibus insident atque fruticibus, ut quæ volare nequeant, sole autem exoriente, absumenteque rorem, ipsaque animalcula calefaciente, expandunt alas, et in alium transmeant locum: hunc in modum auxiliatrix tua turba, quandiu non præsto sunt hostes, apud te permanent: quamprimum vero hostes ingruerint, propriæ illi saluti consulent, teque citra ullam opem derelinquent. Ascendebat etiam super sepem legis potentia Dei, purificationes quasdam corporales

[36] Philipp. III, 19. [37] Matth. XVI, 24. [38] Joan. VI, 64.

Variæ lectiones et notæ.

(66) Συγκατακαύσει, Cod. Bav.

(67) Ἀττέλαγος, ita et paulo inferius, Cod. Ven.

(68) Desiderantur in Cod. Ven. verba μὲν, φησὶν, ἐπλήθυνας.

(69) *Quando is, qui descendit, guttæ instar*, etc. Sic Græca sonant.

Digitized by Google

perficiens, et mira signa operans, usque dum dies erat glaciei, hoc est, donec regnaret peccati ex Adamo contracti hiems. Quando vero secundus Adam peccati expers, Sol justitiæ exsistens, ortus est, desiliit divina potentia ex legali sepe, ostendens ipsam infirmam esse, ut quæ non possit mundam facere conscientiam, transiitque ad fidem quæ posset justificare, nec ulterius cognovit locum ejus, quem antea occuparit, legis. Possunt et aliter hæc omnia intelligi, veluti si Deus ad corporis servum dicat : Eia deliciis stude juxta voluntatem tuam; volutare in luto, opera paleam redolentia facito; verum quid sequetur tandem? Ignis absumet te, gladiusque te disperdet, Verbum videlicet judicans cupiditates et cogitationes cordis, quod ratiocinationes explorans, cuncta **248** dissecabit, et alia quidem ad dextram, alia vero ad sinistram collocabit, quando oneraberis pondere peccatorum, instar bruchi a pruina detenti victique, ad defensionem non transmeare valens. (70) Dein peccator haud desperans hic dicit, quod commista ex omnis generis afflictionibus ratiocinatio tua, evolabit denuo, si modo velis, tanquam bruchus, soluto errore. Porro locusta quæ in te est, sive verbi Dei potentia, ascendens jam nunc, acquiescens in sepi, hoc est in peccatis (sepes enim sunt illa dissociantia nos, ut sæpe diximus, a Deo) desiliet ab hac sepi, ubi a Christo calefacta fuerit.

Væ ipsis. Veluti compatiens, luget Ninevitarum auxilia. Væ, inquiens, illis, qualia quantaque patientur. Vel tanquam miseratione tactus, hæc ait, quod socii isti vocati periculorum communium in rebus bellicis, prodiderint eos, a quibus accisi essent, curantes quæ ad suam securitatem pertinerent, ac propterea terga fugæ dantes.

VERS. 18. *Dormitaverunt pastores tui.* Hoc est, reges tui et satrapæ tui in soporem delapsi sunt, id est, in dissolutionem prioris suæ potentiæ : vel in ipsam mortem ceciderunt, in prælio interfecti.

Rex Assyriorum sopivit potentes tuos. Cyrum intelligit Assyrium, ut qui ab Assyriis et ipse deductus sit. Etenim Persas Assyriorum esse surculos, et ab iis originem ducere aiunt. Ille, inquit, sopivit potentes Ninevi, in supra memoratum somnum eos inducens. Pastores Synagogæ, sacerdotes et reliqui principes sunt, quos dormitantes præ insania, qua contra Dominum laborabant, sopivit mentalis iste Assyrius, dormientes somnum ad animæ mortem. Quinetiam de unoquovis mortalium hoc locum habet, quod quando in soporem collocati fuerint pastores nostri, naturæ nimirum

ματικοὺς τελοῦσα, καὶ θαύματα ἐνεργοῦσα, ἄχρις οὗ ἡμέρα ἦν τοῦ πάγους, τουτέστιν, ἄχρις οὗ ἐκράτει ὁ τῆς ἐξ Ἀδὰμ ἁμαρτίας χειμών. Ἐπεὶ δὲ ὁ δεύτερος ἀναμάρτητος Ἀδὰμ, ἥλιος ὢν τῆς δικαιοσύνης, ἀνέτειλεν, ἀπεπήδησεν ἡ θεία δύναμις ἐκ τοῦ νομικοῦ φραγμοῦ, δείξασα αὐτὸν ἀνίσχυρον, καὶ μὴ δυνάμενον κατὰ συνείδησιν καθαρίσαι, καὶ μετέβη ἐπὶ τὴν πίστιν, ὡς δυναμένην δικαιῶσαι, καὶ οὐκέτι ἔγνω τὸν πρώην ὄντα τόπον αὐτῆς, τὸν νόμον. Ἔστι μέντοι καὶ ἑτέρως ἐκλαβεῖν ταῦτα πάντα, ὡσανεὶ τοῦ Θεοῦ λέγοντος πρὸς τὸν τοῦ σώματος δοῦλον· Ἔστω, κατατρύφησον τῶν θελημάτων σου· τῷ πηλῷ ἐγκυλίσθητι· ἔργασαι τὰς ἀχυρώδεις πράξεις. Εἶτα τί ; Τὸ τελευταῖον πῦρ καταφάγεταί σε, καὶ ἡ ῥομφαία ἐξολοθρεύσει σε, ὁ Λόγος ὁ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας, ὃς τότε τοὺς λογισμοὺς ἐξετάσας, διχοτομήσει πάντα· καὶ τὰ μὲν τοῖς δεξιοῖς, τὰ δὲ τοῖς ἀριστεροῖς συντάξει, ὅτε καὶ βαρυνθήσῃ ὑπὸ τοῦ φόρτου τῶν ἁμαρτιῶν, δίκην βρούχου, ὑπὸ πάχνης κρατουμένου, μὴ δυνάμενος εἰς ἀπολογίαν μεταβῆναι. Ἐπεὶ δὲ ὁ ἁμαρτάνων ἐνταῦθα, οὐκ ἀπογνωστέος, φησὶν, ὅτι Ὁ σύμμικτος νῦν ἐκ παντοδαπῶν παθῶν λογισμός σου, ἐκπετάσει πάλιν, εἴπερ θελήσεις, ὥσπερ βροῦχος, τῆς πλάνης (71) λυθείσης. Καὶ ἡ ἐν σοὶ (72) ἀκρὶς, ἤτοι, ἡ τοῦ λόγου (73) δύναμις, ἡ ἐπιβαίνουσα νῦν καὶ ἐπαναπαυομένη τῷ φραγμῷ, τουτέστι ταῖς ἁμαρτίαις (φραγμὸς γάρ εἰσιν αὗται, ὡς πολλάκις εἴπομεν, διιστῶσαι ἡμᾶς ἀπὸ τοῦ Θεοῦ), ὀποπηδήσει ἀπὸ τοῦ φραγμοῦ τούτου, ἐπειδὰν ὑπὸ τοῦ ἡλίου Χριστοῦ θαλφθῇ.

Οὐαὶ αὐτοῖς. Ὥσπερ συμπάσχων, θρηνεῖ τοὺς τῆς Νινευῖ συμμάχους, καί φησιν· Οὐαὶ αὐτοῖς, οἷα πείσονται ! καὶ ὡς σχετλιάζων, ὅτι σύμμαχοι κληθέντες, προὔδωκαν τοὺς καλέσαντας, τοῦ καθ' αὑτοὺς ἀσφαλοῦς φροντίσαντες, καὶ διὰ τοῦτο ἀποφυγόντες.

Ἐνύσταξαν οἱ ποιμένες σου. Τουτέστιν, οἱ βασιλεῖς σου καὶ οἱ σατράπαι σου εἰς ὕπνον ἔπεσον, τουτέστιν, εἰς ἔκλυσιν τῆς προτέρας αὐτῶν δυνάμεως· ἢ καὶ εἰς αὐτὸν τὸν θάνατον, ἐν τῷ πολέμῳ ἀναιρεθέντες.

Βασιλεὺς Ἀσσυρίων ἐκοίμισε τοὺς δυνάστας σου. Τὸν Κῦρον λέγει Ἀσσύριον, ὡς ἐκ τῶν Ἀσσυρίων καὶ αὐτὸν καταγόμενον. Καὶ γὰρ τοὺς Πέρσας ἀποσπάδας τῶν Ἀσσυρίων εἶναί φασιν. Οὗτος οὖν, φησὶν, ἐκοίμισε τοὺς δυνάστας τῆς Νινευῖ, εἰς τὸν ἄνω λεχθέντα ὕπνον αὐτοὺς καταγαγών. Ποιμένες τῆς Συναγωγῆς, οἱ ἱερεῖς καὶ οἱ λοιποὶ ἄρχοντες, οὓς νυστάξαντας ἀπὸ τοῦ μαθυσθῆναι τῇ τοῦ Κυρίου μανίᾳ, ἐκοίμισεν ὁ νοητὸς Ἀσσύριος, ὑπνώσαντας ὕπνον εἰς θάνατον ψυχικόν. Καὶ ἐπὶ παντὸς δὲ ἀνθρώπου, ὅταν νυστάξουσιν οἱ ποιμένες ἡμῶν, ὅ τε φυσικὸς νόμος, καὶ ὁ διδασκαλικὸς λόγος, τότε ἡμᾶς κοι-

Variæ lectiones et notæ.

(70) Aliter Græca verba sonant : *quoniam vero qui peccat in hoc mundo, desperare non debet, idcirco vates dicit*, etc.

(71) Πάχνης, Cod. Ven.
(72) Ἐν σαρκὶ, *in carne*, Cod. Ven.
(73) Λογισμοῦ, Cod. Ven.

Digitized by Google

μίζει ὁ Ασσύριος, ὃν ἡ ἡμετέρα βασιλεία ῥᾴθυμον A lex et doctrinæ verbum, tum nos in soporem etiam
ποιεῖ (74), δοῦλον ὄντα καὶ ἀποστάτην. delabi facit Assyrius ille, quem regnum nostrum strenuum efficit, cum servus sit atque desertor.

Ἀπῆρεν ὁ λαός σου ἐπὶ τὰ ὄρη, καὶ οὐκ ἦν ἐκδεχόμενος. Τῶν ἀρχόντων σου, φησὶ, καὶ σατραπῶν ἀπολωλότων, ὁ λοιπὸς λαὸς εἰς φυγὴν τραπεὶς, ἐπὶ τὰ ὄρη ἀνέδραμε, καὶ οὐκ ἦν ὁ ἀνακόπτων αὐτοὺς, καὶ ἱστῶν ἀπὸ τῆς φυγῆς· ἀλλ' ἀεὶ προσωτέρω ἔφευγον· ἢ ὁ συνάγων αὐτοὺς ἀπὸ τῆς φυγῆς. Οὕτως γὰρ οἱ λοιποὶ ἡρμήνευσαν. Καὶ ὁ λαὸς δὲ τῶν Ἑβραίων, ἐπὶ τὰ τοὺς νοητοὺς θῆρας ἔχοντα ὄρη ἀναδραμὼν, οὐκ ἔχει τὸν δεχόμενον, καὶ ἱστῶντα αὐτοῦ τὴν πλάνην. Πῶς γὰρ δέξεται αὐτὸν ὁ εἰπών· *Ἀποσώμαί σε τοῦ μὴ ἱερατεύειν μοι*; Ἀλλὰ καὶ ὁ ἁμαρτάνων, ὅταν ἀναβῇ ἐπὶ τὰ ὄρη τῆς ὑψηλοφροσύνης, ὡς μὴ οἰεσθαι ἁμαρτάνειν, οὐκ ἔχει τὸν ἐκδεχόμενον αὐτὸν B **249** ὡς μετανοήσαντα. Πῶς γὰρ μετανοήσει ὁ μὴ οἰόμενος ἁμαρτάνειν, φλεγμαίνων (75) τῇ οἰήσει, καὶ τῷ τῆς καρδίας οἰδαίνοντι ὄγκῳ; ὡς καὶ τὰ ἑξῆς δηλοῖ.

Abiit populus tuus super montes, et non erat qui exciperet. Principibus et satrapis pereuntibus, reliquus populus ad fugam conversus, super montes cucurrit, nec erat qui remoraretur eos, vel sistere eos gradum, ne porro fugerent, faceret : cæterum semper ulterius fugiebant : vel, non erat qui eos a fuga colligeret susciperetque. Sic enim reliqui interpretati sunt. Populus etiam Hebræorum, ad montes, mentales feras continentes procurrens, non invenit qui recipiat eum, vel errorem ejus sistat. Qui enim recipiat eum, cum dixerit : *Repellam te, ne fungaris sacerdotio mihi*[39]? Deinde peccator ubi ascenderit ad montes arrogantiæ, elationisve, eoque pervenerit, ut sese ne peccare quidem existimet, non habet qui ipsum resipiscentem suscipiat (quomodo enim resipiscat, quomodo meliorem animi sententiam induat, qui sese haudquaquam peccare arbitretur?), ardens fastu, intumescenteque cordis elatione, perinde ac sequentia planum faciunt.

Οὐκ ἔστιν ἴασις τῇ συντριβῇ σου, ἐφλέγμαινεν (76) *ἡ πληγή σου.* Ἐκ μεταφορᾶς τῶν ἀπὸ ὕψους μεγάλου καταπεσόντων, καὶ (77) συντριβέντων ἢ πόδας, ἢ χεῖρας, ἢ κεφαλὴν, ἀνιάτως φλεγμαινόντων, εἴρηται ταῦτα. Ἔπεσες γὰρ, φησὶ, καὶ σὺ, ἀπὸ ὕψους μεγάλου, τῆς προτέρας δυνάμεως καὶ δόξης, καὶ συνετρίβησαν τὰ καιριώτατά σου, οἱ βασιλεῖς καὶ οἱ σατράπαι· καὶ ἡ πηγή σου ἐφλέγμανεν, ὄγκον μέγαν σχοῦσα καὶ πύρωσιν ἀπὸ ὕλης πολλῆς. Ὅσον γὰρ ἦσθα πλουσία, τοσοῦτον ἡ φλεγμονή τῆς C δούνης σφοδροτέρα. Διὸ (78) ἴασις οὐκ ἔστιν, οὐδὲ ἀνακτηθήσῃ (79), καὶ τὴν προτέραν εὐκλειαν καὶ εὐσθένειαν ἀναλήψῃ. Ἀλλὰ καὶ ἡ Συναγωγὴ συντριβεῖσα, καὶ τὸν ναὸν καὶ τὴν πόλιν ἁφαιρεθεῖσα, ἀνιάτως ἔχει, καὶ οὐκ ἐπανακληθήσεται, κἂν πλανωμένη, ἐλπίζῃ τὴν ἐπανάκλησιν. Ἡ γὰρ πληγὴ, ἣν ἐπλήγη, φλεγμονὴν εἶχεν. Ὕλη δὲ τῆς φλεγμονῆς ταύτης, ἡ Θεοκτονία, πολλὴ οὖσα καὶ μεγάλη.

Vers. 19. *Non est sanatio contritioni tuæ, ardebat plaga tua.* Per metaphoram, ab excelso admodum loco decidentium, et contritorum, ideoque immedicabiliter æstuantium, hæc sunt dicta. Decidisti enim, inquit, et tu ab ingenti altitudine prioris potentiæ tuæ et gloriæ : collisique sunt et contriti, commodissima tua, reges dico et satrapæ : plaga et vulnus tuum inflammatum est, tumorem ingentem præ se ferens, et incensionem ab materie multa. Quanto enim opulentior fuisti, tanto nunc inflammatio æstusque doloris vehementior : quocirca non est sanitas, neque curatio porro, neque quisquam de tua tam adversa fortuna conquerens tui miserebitur, neque priorem celebritatem et fortitudinem recuperabis. Synagoga etiam contrita, templo et urbe spoliata, nullam jam medicinam admittit : neque amplius denuo ad pristinum statum revocabitur, etiamsi errans, revocationem sui tandem, assumptionemque speret. Plaga enim, qua percussa est, inflammationem nacta est. Materies autem inflammationis hujus est Domini interfectio, multa et magna exsistens.

Πάντες οἱ ἀκούσαντες τὴν ἀγγελίαν σου, κροτήσουσι χεῖρας ἐπὶ σέ· διότι ἐπὶ τίνα οὐκ ἐπῆλθεν ἡ κακία σου διὰ παντός; Οἱ ἀκούσαντες, φησὶ, τὴν περὶ σοῦ ἀγγελίαν, πῶς συνετρίβης, καὶ τί πέπονθας, ἀναμνησθέντες τῶν παρὰ σοῦ εἰς αὐτοὺς D γενομένων, κροτήσουσι χεῖρας ἐπὶ σὲ, εὐφραινόμενοι τῇ σῇ κακώσει. Καὶ γὰρ ἡ κακία σου ἐπὶ πάντας ἦλθε, καὶ πάντας ἐθλιβες· οὐ κατὰ τόνδε, ἢ τόνδε

Omnes qui audierint hanc de te famam, plaudent manibus super te. Quem enim non accessit afflictio tua semper? Audientes, inquit, quæ de te passim divulgantur, quomodo sis contrita, quidve sis perpessa, recordati mala, quæ abs te acceperint, plaudent manibus super te, gaudentes propter afflictionem tuam. Nam tua antehac malitia super omnes venit, neminemque non conturbasti. Non

[39] Osee IV, 6.

Variæ lectiones et notæ.

(74) Ὃν ἡ ἡμετέρα ῥαθυμία βασιλέα ποιεῖ, *quem desidia nostra regem facit*, Cod. Ven.

(75) Ἀλλὰ φλεγμαίνων, Cod. Ven.

(76) Ἐφλέγμανεν. Cod. Ven.

(77) *Quibus propterea frangantur vel pedes, vel manus, vel caput, ideoque insanabili laborent æstu*, etc., Ex Cod. Ven. et Bav.

(78) *Propterea curatio non est, neque recipieris, neque priorem celebritatem*, etc. Sic habent græca verba.

(79) Legendum fortasse ἀνακληθήσῃ vel ἐπανακληθήσῃ.

Digitized by Google

hoc tantum, vel illo tempore, sed semper. Quanto enim majore felicitate, lætioreque rerum successu fruebare, tanto acerbiorem et acriorem subditis tuis te exhibebas, iisque impendebas. Hæc omnes principes audientes, cogitemus Deum judicem, nostri in subjectos nobis affectus dispositionisque, astare : velleque, ut nos mansueti simus erga obtemperantes nobis, ut adeo nihil asperi illis injungamus, quod vires illorum ferre nequeant : quin potius quando res tales aliis injungendas, etiamsi ipsis impossibiles sint, dixerimus illis congruere, metuamus Dei longanimitatem. Nec enim quod sibi talia placeant, conticescit, verum ut sinat nos ostendere, adeoque proferre in medium nostram voluntatem atque consilium. Hinc est maxime trepidandum, ut ne plaga incurabili percussi, velut Ninevi, discamus ipsi **250** a nobis quantum sit malum, amarulentia, severitasque, ac multos deinde sortiamur, afflictionibus nostris sese oblectantes, quos nos prosperitatis nostræ temporibus nunquam non cruciantes, ceu divini judicii obliti, decipiebamur : cum tamen judicium illud Dei perpetuo excubias agens, dormitet quidem propter bonitatem ac mansuetudinem suam. Atqui bene dirigat, bonaque et mansueta reddat, eunctorum principum et magistratuum corda, bonus Dominus, donetque ipsis hic per mansuetudinem gubernare sibi concreditos, ut hic ejus fruentes benitate, nulla juxta amaritudine degustata, posthac cœlestibus e dulcibus delicias percipiant, qui est ipse dulcedo, totusque desiderium, resque fidelibus unice expetenda, cui gloria una cum Patre, et sancto Spiritu in sæcula sæculorum. Amen.

A τὸν καιρὸν, ἀλλὰ διὰ παντός. Ὅσῳ γὰρ εὐημέρεις καὶ εὐτύχεις, τοσούτῳ σφοδρότερον καὶ πικρότερον τοῖς ὑπὸ χεῖρα ἐπέκεισο. Ταῦτα πάντες ἄρχοντες ἀκούοντες, ἐννοῶμεν, ὅτι κριτὴς τῆς ἡμετέρας πρὸς τοὺς ἀρχομένους διαθέσεως ἐφέστηκεν ὁ Θεὸς, καὶ βούλεται ἡμᾶς πραεῖς εἶναι τοῖς ὑπηκόοις, μηδὲν πικρὸν ἐπιτάττοντας, καὶ τὴν αὐτῶν ὑπερβαίνον δύναμιν· καὶ μᾶλλον ὅτε κατὰ ῥοῦν (80) ἡμῖν τὰ πράγματα φέρεται, φοβώμεθα τὸ τοῦ Κριτοῦ μακρόθυμον. Οὐ γὰρ ὡς ἀρεσκόμενος σιωπᾷ, ἀλλ' ἐῶν ἡμᾶς ὅλην δεῖξαι τὴν ἡμετέραν προαίρεσιν, ὃ μάλιστα φοβητέον, ἵνα μὴ πληγὴν πληγέντες ἀνίατον, ὡς ἡ Νινευΐ, μάθωμέν τε αὐτοὶ ἀφ' ἑαυτῶν, ὅσον κακόν ἐστιν ἡ πικρία, καὶ πολλοὺς ὕστερον σχῶμεν τοὺς ἐφηδομένους ταῖς ἡμετέραις κακώσεσιν, οὓς B ἡμεῖς ἐν τοῖς τῆς εὐτυχίας καιροῖς διὰ παντὸς θλίβοντες, ὡς τὴν θείαν κρίσιν λαθόντες ἠπατώμεθα, ἡ ἀεὶ γρηγοροῦσα, νυττάζει διὰ τὴν χρηστότητα. Ἀλλ' ἀγαθύναι τὰς πάντων ἀρχόντων καρδίας ὁ ἀγαθὸς Κύριος, καὶ δῴη αὐτοῖς ἐν χρηστότητι διεξάγειν τοὺς πιστευθέντας αὐτοῖς, ἵνα καὶ ἐνταῦθα τῆς αὐτοῦ χρηστότητος ἀπολαύσαντες, καὶ μηδενὸς τῶν πικραινόντων γευσάμενοι, ἔτι καὶ τῆς ἐν οὐρανῷ γλυκύτητος κατατρυφήσαιεν (81), ὅς ἐστι γλυκασμὸς καὶ ὅλος ἐπιθυμία· ᾧ ἡ δόξα σὺν τῷ Πατρὶ, καὶ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Naum, si quispiam interpretetur, valet *consolationem*. Hic oriundus erat ab Helcasai trans Jordanem ad Bigabri, ex tribu Simeon. Post Jonam hic vates signum dedit, ab aquis dulcibus et igni interituram urbem Ninevi, quod et contigit. Ambiens enim ipsam palus, motu quodam eam demersit. Ignis item e deserto adveniens, altiorem ejus partem incendit. Mortuus est autem in pace, in terra sua.

C Ναοὺμ ἑρμηνεύεται *παράκλησις*. Οὗτος ἦν ἀπὸ Ἐλκασαΐ, πέραν τοῦ Ἰορδάνου, εἰς Βιγαβρὶ (82), ἐκ φυλῆς Συμεών. Οὗτος μετὰ τὸν Ἰωνᾶν τέρας ἔδωκεν, ὅτι ἀπὸ ὑδάτων γλυκέων καὶ πυρὸς ἀπολεῖται Νινευΐ, ὃ καὶ γέγονεν. Ἡ γὰρ περιέχουσα αὐτὴν λίμνη, κατέκλυσεν αὐτὴν ἐν σεισμῷ, καὶ πῦρ ἐκ τῆς ἐρήμου ἐπελθὸν, τὸ ὑψηλότερον αὐτῆς μέρος ἐνέπρησεν. Ἀπέθανε δὲ ἐν εἰρήνῃ, καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ.

Variæ lectiones et notæ.

(80) Κατὰ ῥοῦν, Cod. Ven. Sed legendum fortasse κατὰ νοῦν, ut sensus sit : *Maxime vero cum ad voluntatem nostram res fluunt, timeamus judicis longanimitatem.*

(81) Κατατρυφήσωμεν, Cod. Ven.

(82) Βιγαρὶ, *Bigari*, Cod. Ven.

Digitized by Google

ΤΟΥ ΑΥΤΟΥ

ΘΕΟΦΥΛΑΚΤΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ

ΕΞΗΓΗΣΙΣ ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΜΙΧΑΙΑΝ.

EJUSDEM

THEOPHYLACTI

ARCHIEPISCOPI BULGARIÆ

EXPOSITIO IN MICHÆAM PROPHETAM.

Cum Latina interpretatione notisque Antonii Bongiovanni.

ΥΠΟΘΕΣΙΣ.

Σκοπὸς μὲν εἷς πᾶσι τοῖς θείοις προφήταις, ἡ βελτίωσις τῶν ἀκροατῶν, πρός τε θεογνωσίαν ὁδηγουμένων, καὶ πρὸς βίον σπουδαῖον. Πολλοὶ δὲ γεγόνασιν οἱ προφῆται, καὶ συνεχρόνισαν δὲ ἀλλήλοις τινὲς, οὐ περιττῶς, οὐδὲ μάτην· ἀλλὰ τοῦ Θεοῦ διὰ πλειόνων στομάτων προσμαρτυρουμένου τὸν λαὸν, ὡς εἰ μὴ ἀποσταῖεν τῶν εἰδώλων, καὶ βιοῦν ὀρθῶς ἔλοιντο, αὐτοὶ καθ' ἑαυτῶν ἐπισπάσωνται τὰ κακὰ, καὶ ἀναίτιος αὐτὸς ἔσται. Ἵνα οὖν τοὺς τοσούτους κήρυκας καταιδεσθῶσι, τὰ σκυθρωπὰ καὶ φοβερὰ προαγγέλλοντας, καὶ διὰ τούτων ἐκφοβοῦντας, καὶ ἀπόσχωνται τῆς πονηρᾶς συνηθείας οἱ τέως ἀνάλγητοι, καὶ πεπωρωμένοι, τούτου ἕνεκεν ἀποστέλλει πολλοὺς προφήτας. Οὕτω ποιοῦσι καὶ ἰατροὶ, τοῖς χαλεπώτερα νοσοῦσι διὰ πλειόνων βοηθοῦντες φαρμάκων· οὕτω καὶ τοῖς παιδίοις πολλοὺς ἐφιστῶμεν παιδευτὰς καὶ νουθετητάς. Καὶ ὁ ἀνὰ χεῖρας ἡμῖν τοίνυν ἅγιος Μιχαίας προφήτης ἀπέσταλται ταῖς τε τὴν Ἱερουσαλὴμ κατοικούσαις δυσὶ φυλαῖς, καὶ ταῖς ἐν Σαμαρείᾳ δέκα, αἰτιώμενος ταῦτα, ἃ καὶ Ἰωὴλ, καὶ Ἀμὼς, καὶ Ὡσηέ· καὶ γὰρ σχεδόν τι σύγχρονος ἦν, εἰ καὶ σμικρῷ τινι προῦλαβον ἐκεῖνοι, ἐν τῇ Ὀζίου βασιλείᾳ τῆς προφητείας ἀρξάμενοι. Ὀζίας δὲ πατὴρ ἦν τοῦ Ἰωάθαμ, ἐφ' οὗ προφητεύει ὁ Μιχαίας οὗτος. Προσημαίνει δὲ τὴν τοῦ Σωτῆρος παρουσίαν, τῇ μὲν συνασκιασμένως, τῇ δὲ καὶ ἀριδηλότερον· οἰκοδομεῖ δὲ καὶ πρὸς ἠθικὴν πολιτείαν. Ζητήσεις δὲ, εἰ οὗτος ἦν Μιχαίας ὁ προφητεύσας τῷ Ἀχαὰβ τὰ συμβησόμενα αὐτῷ κακὰ, καὶ παταχθεὶς ἐπὶ σιαγόνα ὑπὸ τοῦ προφήτου Σεδεκίου. Εἰ γὰρ οὗτος ἐκεῖνος ἦν, πῶς ἐπὶ Ἰωάθαμ γέγραπται προφητεύειν; πολλοῖς γὰρ ἔτεσιν ὕστερός ἐστιν Ἰωάθαμ

A

251 ARGUMENTUM.

Unum divi prophetæ omnes finem spectant, auditorum emendationem, qua fit, ut hi Dei cognitione perfusi, ad bonam honestamque vitam ducantur. Multi vero fuere divini vates, et ex his nonnulli floruerunt iisdem temporibus, idque non ab re neque frustra; quippe Deus horum multiplici ore futurum prædixit, ut, ni relicto idolorum cultu, pie recteque illi viverent, calamitates in semetipsos arcesserent, testatus se harum calamitatum minime fore auctorem. Ut ergo tam multos reformidarent præcones, acerba et horrenda prænuntiantes, incutientesque propterea metum **252** atque terrorem; simul ut a prava consuetudine desisterent, qui ad ea usque tempora stupidi fuerant et obdurati: propterea complures misit vates. Ita faciunt et medici, qui graviore morbo laborantibus, plura per medicamenta opitulari conantur. Ita et pueris præficere solemus multos præceptores, rectoresque multos. Itaque et qui præ manibus nobis est sanctus Michæas vates, missus est duabus Hierusalem habitantibus tribubus, decemque reliquis, quæ Samariæ degebant, ut ea criminaretur, quæ et Joel, et Amos, et Oseas reprehenderant. Eodem enim fere tempore vixit; fere, inquam; nam ii paululum Michæam præcesserunt, cum sub Ozia vaticinari cœperint. Ozias vero pater erat Joatham, quo rerum potiente, oracula sua edidit noster hic vates Michæas. Hic itaque prædicit futurum Salvatoris adventum, modo subobscuris, modo perspicuis verbis, idemque simul ad morum disciplinam instituit. Quæres, num hic sit idem ille Michæas, qui futuras Achabo

B

C

Digitized by Google

calamitates denuntiavit, cui propterea in genas A τοῦ Ἀχαάβ. Ἢ οὖν οὐχ ὁ αὐτός ἐστιν, ἢ ὁ αὐτὸς
atapam impegit propheta Sedecias. Etenim si hic μὲν, ἐπεὶ καὶ τῷ Κύπρου Ἐπιφανίῳ τοῦτο δοκεῖ,
idem esset, atque ille, quomodo scriptum est, cum ἐμμελέστατα τοῖς τῶν Ἑβραίων, ἐξ ὧν καὶ ἦν,
sub Joatham imperio fuisse vaticinatum? multo ἐμμελετήσαντι· ἀγράφως δὲ πρότερον προφητεύσας
enim post Achabum floruit Joatham. Vel igitur ἐπὶ Ἀχαάβ, ὕστερον ἔγγραφον προφητείαν ἐπὶ
idem non est, vel idem omnino (quoniam hoc vi- Ἰωάθαμ ποιεῖσθαι ἤρξατο· ὥστε κατὰ τὸ ἐγγράφως
detur et sacro Cypri præsuli (82) Epiphanio, qui προφητεῦσαι, ὑστερίζειν τοῦτον τῶν ῥηθέντων προ-
in Hebræorum, unde originem traxit, historiis diu φητῶν, οὐχ ἁπλῶς κατὰ τὸν τῆς ζωῆς χρόνον.
multumque versatus est) qui primum ore tenus duntaxat, imperante Achabo, fuerit vaticinatus, deinde vero sub Joatham imperio scriptis oracula sua tradiderit. Quare si spectetur tempus, quo scriptis consignata oracula hæc edita sunt, posterior profecto est Michæas vatibus superius commemoratis; non item, si simpliciter vitæ tempus consideretur.

253 CAPUT PRIMUM.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

VERS. 1. *Verbum Domini, quod factum est ad Michæam.* Attentum reddit auditorem, quasi dicat: B Ne putes meum hunc sermonem esse, sed supremi rerum omnium Domini. Quam ob rem attendere te diligenter oportet, animumque ad audiendum adjicere. Dominus est, qui loquitur, qui se verbaque sua contemnentem punire potest. Si autem Dominus Spiritus est; vide, quemadmodum propheta nos ad ea quæ mox dicentur, spiritali quadam ratione percipienda cohortetur. Ne litteram attendas, ait; sed tanquam a divino Spiritu prolatum sermonem excipias ea, quæ dicenda sunt, in concisum sermonem redacta, de quo Isaias: *Sermonem breviatum faciet Dominus. Si enim corde credideris, et ore fatearis Dominum Jesum, salvus eris* [49]. Quoniam autem Michæas idem sonat, atque *humiliatio*, vel *humiliatus*, consideres oportet, hoc loco signi- C ficari Dei Verbum, quod natum est ex muliere, cujus anima Dominum magnificat, quia respexit humilitatem ancillæ suæ [51] (quæ verba non hæc modo mulier dicit, sed universi humani generis natura) et deposuit potentes de sede, et exaltavit humiles [52]. Quandoquidem autem cor contritum et humiliatum Deus non despicit [53], et ad omnes qui sese humiliant, fit Dei verbum, quo sua eos gratia donat, tum sapientia et intelligentia mentem replet, simulque iis revelat, quæ prudentibus atque sapientibus celata esse voluit. Si corpus tuum humiliasti per virtutis exercitationem, illud castigans rediigensque in servitutem; excipe et verbum, quod contemplatis montis est. Obeso enim et effeminato qui et cum vivit mortuus est, haud fit A tale verbum.

Λόγος Κυρίου, ὃς ἐγένετο πρὸς Μιχαίαν. Εἰς προσοχὴν ἐπιστρέφει τὸν ἀκροατὴν, μονονουχὶ τοῦτο λέγων· Μὴ οἰηθῇς ἐμοῦ τὸν λόγον εἶναι, ἀλλὰ τοῦ πάντων Κυρίου. Ὥστε δεῖ σε νήφειν, καὶ προσεκτικώτερον ἀκούειν. Κυριός ἐστιν, ἐξουσίαν ἔχων, δυνάμενος κολάζειν τὸν καταφρονητήν. Εἰ δὲ ὁ Κύριος τὸ Πνεῦμά ἐστιν, ὅρα, ὅτι διεγείρει ἡμᾶς πνευματικῶς ἀκούειν τῶν μελλόντων λεχθῆναι. Μὴ ἐναπομείνῃς, φησὶ, τῷ γράμματι, ἀλλ' ὡς Πνεύματος λόγον ἐκδέχου τὰ ῥηθησόμενα, εἰς ἕνα λόγον τὰ πάντα συγκεφαλαιούμενα, περὶ οὗ καὶ Ἡσαΐας εἶπεν, ὅτι *Λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ γῆς.— Ἐὰν γὰρ πιστεύσῃς τῇ καρδίᾳ, καὶ ὁμολογήσῃς ἐν τῷ στόματι, ὅτι Κύριος Ἰησοῦς, σωθήσῃ.* Ἐπεὶ δὲ Μιχαίας ἑρμηνεύεται *ταπεινωσις*, ἢ *τεταπεινωμένος*· νόει τὸν Λόγον τοῦ Θεοῦ ἐνταῦθα δηλούμενον, τὸν γενόμενον ἐκ γυναικὸς, ἧς ἡ ψυχὴ μεγαλύνει τὸν Κύριον, ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ, αὐτῆς τε ταύτης τῆς ταῦτα λεγούσης, καὶ ἁπλῶς τῆς ἀνθρωπίνης φύσεως, καὶ ὅτι καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς· ἐπεὶ δὲ [*f.* ἐπειδὴ] καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενοῖ, καὶ πρὸς πάντα τεταπεινωμένον ὁ Λόγος τοῦ Θεοῦ γίνεται, δι-δοὺς αὐτῷ χάριν, καὶ σοφίζων, καὶ συνετίζων (83), καὶ ἀποκαλύπτων αὐτῷ, ἃ ἀπέκρυψεν ἀπὸ σοφῶν καὶ συνετῶν. Εἰ δὲ καὶ διὰ τῆς πρακτικῆς ἐταπείνωτά σου τὸ σῶμα, ὑπωπιάσας αὐτὸ καὶ δουλαγωγήσας, προσδέχου καὶ τὸν λόγον τὸν τῆς θεωρητικῆς. Ἱρὸς γὰρ τὸν εὐσωματοῦντα καὶ σπαταλῶντα, ὃς καὶ ζῶν τέθνηκεν, οὐκ ἂν ὁ τοιοῦτος λόγος γένοιτο.

Filium Morathi. Alii Hebraici textus interpretes, cum *Morathitem* reddiderint, innuere volunt, non hominem eo nomine prophetæ patrem nobis intelligendum esse, sed locum, unde propheta ipse suam traxit originem.

Τὸν τοῦ Μωραθί. Οἱ ἄλλοι ἑρμηνευταὶ τῆς Ἑβραϊκῆς ἐκδόσεως, *τὸν Μωραθίτην*, εἰπόντες, διδάσκειν ἡμῖν νοεῖν, ὅτι οὐκ ἄνθρωπος ἦν ὁ Μωραθί, πατὴρ τοῦ προφήτου, ἀλλ' ὁ τόπος, ἐξ οὗ ὥρμητο.

In diebus Joatham, et Achaz, et Ezeciæ. Haud frustra recenset Michæas reges, quorum sub im-

Ἐν ἡμέραις Ἰωάθαμ, καὶ Ἀχατζ, καὶ Ἐζεκίου. Οὐχ ἁπλῶς ἀπηριθμήθησαν οἱ βασιλεῖς, ἐφ' ὧν προ-

[49] Isa. x, 23; Rom. x, 9. [51] Luc. I, 46, 47. [52] Ibid. 52. [53] Psal. L, 19.

Variæ lectiones et notæ.

(82*) Præter Epiphanium in eadem opinione sunt et Athanasius in Synopsi, et Eusebius in Chron. et alii complures.

(83) Καὶ συνετῶν· εἰ δὲ καὶ διὰ τῆς πρακτικῆς, κ. τ. λ. Cod. Bav.

Digitized by Google

φητεύει Μιχαίας, ἀλλ' ἐπειδὴ πόλεμοι μεγάλοι κατὰ τοὺς καιροὺς τούτων ἐγένοντο. Καὶ γὰρ ἐπὶ Ἰωάθαμ, ἐστράτευσεν κατὰ τῆς Ἱερουσαλὴμ Φοκεὲ, υἱὸς Ῥομελίου, καὶ Ῥασσὼν, βασιλεὺς Συρίας· εἶτα ἀποθανόντος, ἐβασίλευσεν Ἄχατζ, ὃς, ἐπιμένοντος ἔτι τοῦ πολέμου, τὸν Ἀσσύριον διὰ χρημάτων σύμμαχον ποιησάμενος, καθεῖλε τὸν Ῥασσών. Ἀπὸ τούτου δὲ βασιλευσάντων ἐν Σαμαρείᾳ δυσσεβῶν βασιλέων, οἱ Ἀσσύριοι ἐπελθόντες οὐκ ὀλίγα κακὰ ταῖς δέκα φυλαῖς ἐπεδείξαντο. Μνημονεύει δὲ καὶ Ἐζεκίου, διὰ τὸ ἐπὶ Σεναχηρεὶμ θαῦμα. Εἰκότως οὖν ἐπεμνήσθη τῶν βασιλέων τούτων. Τὰ γὰρ ἐν τοῖς τούτων χρόνοις γενησόμενα, ἐπὶ ταῖς δέκα φυλαῖς, καὶ ταῖς δυσὶ, προλέγει. Ἄκουε δὲ καὶ τῶν ἑξῆς·

A perio vaticinatus est, sed hoc ideo facit, quod istorum regum temporibus bella magna contigerunt. Etenim, imperante Joatham, exercitum in Hierusalem duxerunt Phocee, filius Rhomelii, et Raasson, rex Syriæ : mortuo autem Joatham, imperium occepit Achaz, qui, vigente adhuc bello, fœdere per pecuniam cum Assyriis inito, vicit debellavitque Raasson. Deinde cum Samariæ dominarentur impii quidam reges, Assyrii, impetu facto, non pauca mala decem **254** tribubus intulerunt. Mentionem autem Ezechiæ facit, ejus prodigii causa, quod in Senacherim patratum fuisse constat. Merito ergo mentio fit istorum regum; siquidem prænuntiat vates, quæ horum temporibus eventura erant decem simul et duabus reliquis tribubus. Audi vero et quæ sequuntur.

B

Περὶ ὧν εἶδε περὶ Σαμαρείας καὶ Ἱερουσαλήμ. Τεθέαται γὰρ, ὡς ἐν ὁράσει τὰ ἐσόμενα καὶ ἐκβησόμενα οὐ μόνον ἔγνω, ἀλλὰ καὶ ὡς ἤδη παρόντα εἶδεν. Ἵνα οὖν μὴ ἐκβῶσι, διὰ τοῦτο ὁ λόγος τε τοῦ Κυρίου πρὸς τὸν προφήτην ἐγένετο, καὶ ὁ προφήτης τοῦτον διαγγέλλει τοῖς ταῦτα πεισομένοις, εἰ μὴ βελτιωθῶσι. Ἴσθι μέντοι, ὡς τὰ πλείω τῶν, λεγομένων, εἰς τὴν Ἱερουσαλὴμ ἀποβλέπει.

De quibus vidit de Samaria, et de Jerusalem. Ob oculos enim quodammodo habebat futura mala et quæ eventura erant, non modo vates novit, sed quasi præsentia perspexit (84). Ne igitur hæc eveniret, idcirco sermo Domini factus est ad prophetam. Atque hic sermonem ipsum prædicat iis, qui prædicta mala passuri erant, ni se emendarent, et ad bonam frugem redigerentur. Scito vero, quæ dicenda sunt, majori ex parte ad Jerusalem pertinere.

Ἀκούσατε, λαοὶ πάντες. Ἐπεὶ περὶ Ἱερουσαλὴμ καὶ Σαμαρείας προφητεύει, εἰκότως οὐχ ἕνα καλεῖ λαὸν πρὸς τὴν ἀκρόασιν, ἀλλὰ λαοὺς, τοὺς τῶν δύο φημὶ βασιλειῶν. Ἐπεὶ δὲ τὸ ἀκοῦσαι δύο σημαίνει παρὰ τῇ Γραφῇ, τό τε ἁπλῶς ἐνωτίσασθαι, καὶ τὸ ὑπακοῦσαι· ἐνταῦθα ἀπαιτεῖ τοὺς λαοὺς, μὴ ἁπλῶς ἀκοῦσαι, ἀλλὰ ὑπακοῦσαι καὶ προσχεῖν τοῖς λεγομένοις. Ἐπάγει οὖν·

VERS. 2. *Audite, populi omnes.* Quoniam de Jerusalem atque Samaria vaticinatur; merito non unum ad audiendum vocat populum, sed duos, C unius scilicet et alterius regni. Quoniam autem audire duo in sacra Scriptura significat, aurem scilicet præbere simpliciter, et dictis audientes esse, populos hoc loco vates hortatur, non ut simpliciter audiant, sed ut verba diligenter attendant, eisque prompte obsequantur. Subjicit ergo :

Καὶ προσεχέτω ἡ γῆ, καὶ πάντες οἱ ἐν αὐτῇ. Ἡ γῆ τε τῆς Ἱερουσαλὴμ καὶ τῆς Σαμαρείας. Σαφέστερον δὲ ποιῶν τὸν λόγον, εἶπε· *Πάντες οἱ ἐν αὐτῇ*· οὐ γὰρ δὴ τὸ στοιχεῖον ἡ γῆ προσέχειν ἐμελλεν. Ἴσως δέ τις ἐπὶ τὸ φοβερώτερον ἐξάγεσθαι τὸν λόγον ὑπὸ τοῦ προφήτου ἐρεῖ. Ἐπειδὴ γὰρ καὶ ἡ γῆ καταφθαρήσεται, πυρπολουμένη ὑπὸ τῶν πολεμίων, καὶ τοὺς καρποὺς δηουμένη· καὶ ταύτην ἐπὶ τὸ προσέχειν καλεῖ. Ἔστι δὲ καὶ προφητικὸν ἰδίωμα, τὰ στοιχεῖα μάρτυρας καλεῖν. *Ἄκουε, οὐρανέ· καὶ ἐνωτίζου, ἡ γῆ,* ὥς φησιν Ἡσαΐας· καὶ αὐτὸς δὲ οὗτος, ἐν τοῖς ἑξῆς, τὰ ὄρη εἰς κρίσιν καλεῖ. Τοῦτο δὲ ποιοῦσιν οἱ προφῆται, ἐντρέποντες τοὺς ἐμψύχους καὶ λογικούς. Καὶ νῦν οὖν τὴν γῆν προτρέπεται προσέχειν πρότερον, εἶτα τοὺς ἐν αὐτῇ, δεικνύων, ὅτι δι' αὐτοὺς ἐπεμνήσθη ὅλως τῆς γῆς,

Auscultet terra, et omnes qui sunt in ea. Terra scilicet Jerusalem et Samariæ, quod ut planius dicat, subjicit, *et omnes qui in ea sunt.* Non enim auditura erat terra, quatenus elementum. Fortasse vero quispiam hæc prophetæ verba, quo majorem hominibus terrorem incutiant, ita intelligenda putabit. Cum enim futurum esset, ut hostili manu depopulatis agris, igne terra devastaretur; merito vates et hanc ad audiendum vocat. In more autem D apud sacros vates positum est, ut testes appellent vel ipsamet elementa, quemadmodum Isaias : *Audi, cœlum, et auribus percipe, terra* [a-a] : et infra idem hic montes ad judicium vocat. Id autem divini vates faciunt, ut anima et ratione præditos homines incitent. Itaque et in præsentia Michæas ad audiendum hortatur primum terram, deinde eos qui

[a-a] Isa. 1, 2.

Variæ lectiones et notæ.

(84) Si mala hæc tanquam præsentia propheta prævidebat, ut ais, Theophylacte, qui fieri poterat, ut non evenirent? et si fieri non poterat, ut non evenirent, quomodo Deus per vatem ea minitatur, ut ne evenirent? Hæc facile conciliari poterunt, si notemus ejusmodi sententiæ, quæ supplicium minitetur, tacitam subesse conditionem, supplicium certo futurum, ni suorum hominum pœniteat peccatorum.

Digitized by Google

in ipsa sunt, ostendens ipsorum causa terræ mentionem fieri, quo ipsum veriti, enuntianda verba diligenter attendant.

Et erit Dominus Deus vobis in testimonium, Dominus ex domo sancta sua. Animadvertat, ait, unusquisque vestrum, testari hæc non me Michæam, hominem vobis omnino similem, sed ipsum Dominum, qui ex domo sancta, scilicet templo, testimonium hoc perhibet. Attentas ergo aures adhibeatis oportet : etenim Dominus est, qui loquitur, et oracula ex domo illa profert, quam vos ædificastis, in qua debitum ei honorem tribuere jussi estis, ex qua domo prophetas semper affatur. Sin autem et cœlum Dei domum intelligas, multo magis **255** hoc fide dignum sermonem facit. Non enim a terra clamat qui loquitur, sed ab supernis regionibus, utpote Deus verax. Quoniam autem et de Christo magna quædam mysteria continet vaticinium : propterea convocat non homines modo, qui in lege sunt, eos populos appellando, quod et proselyti ingenuis Judæis accenseantur; sed etiam omnem terram, in quam exiit sonus apostolicæ prædicationis [46], ut impleretur universa terra cognitione Domini. In testimonium autem factus est unigenitus Dominus ac Deus, ut in Evangelio testatum ipse nobis reliquit, tradens modum quo salvari nos oporteat, et ut præclarum opportunis temporibus idem ille sub Pontio Pilato testimonium perhibuit. Utrumque autem hoc ex carne, quæ domus est ipsius sancta. Nisi enim carnem assumpsisset, neque Evangelium nobis attulisset, neque pro nobis passus esset. Audiant ergo verba quæ mox dicentur, quotquot in Ecclesia, Christi scilicet regno, sunt fideles et electi populi; et quotquot terra ipsius propria facti sunt, diligenter attendant testimonium hoc, quod ex domo sua sancta, suo scilicet propheta, Dominus perhibet. Domus quippe Dei sunt sancti.

A ὡς ἂν αἰδεσθέντες αὐτὸν, τοῖς ῥηθησομένοις πρόσχωσιν.

Καὶ ἔστω Κύριος ὁ Θεὸς ὑμῖν εἰς μαρτύριον, Κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ. Λογιζέσθω, φησὶν, ἕκαστος ὑμῶν, ὡς οὐκ ἐγὼ ὁ Μιχαίας, ὁ ὅμοιος ὑμῖν ἄνθρωπος, μαρτύρομαι ὑμῖν τοὺς λόγους τούτους· ἀλλ' αὐτὸς ὁ Κύριος διαμαρτύρεται ὑμῖν ἐκ τοῦ οἴκου τοῦ ἁγίου, ἤτοι τοῦ ναοῦ, τὴν διαμαρτυρίαν (85) ταύτην ποιούμενος. Ὥστε ἄξιον ὑμᾶς προσέχειν· καὶ Κύριος γάρ ἐστιν ὁ λαλῶν· ἐκ τοῦ οἴκου λέγει, ὃν ὑμεῖς ἀνηγείρατε, ἐν ᾧ τιμᾷν αὐτῷ προσετάγητε, ἐξ οὗ οἴκου ἀεὶ πρὸς προφήτας λαλεῖ. Εἰ δὲ καὶ οἶκον νοήσῃς τὸν οὐρανὸν, πολλῷ μᾶλλον ἀξιόπιστον τοῦτο τὸν λόγον ποιεῖ. Οὐ γὰρ ἀπὸ γῆς φωνεῖ ὁ λέγων, ἀλλ' B ἄνωθεν ὡς Θεὸς ἀληθινός. Ἐπεὶ δὲ καὶ περὶ Χριστοῦ μεγάλα τινὰ ἡ προφητεία περιέχει μυστήρια, διὰ τοῦτο συγκαλεῖ, οὐχὶ μόνους τοὺς ἐν τῷ νόμῳ, οὓς λαοὺς ὀνομάζει, διὰ τὸ καὶ προσηλύτους τοῖς εὐγενέσιν Ἰουδαίοις συντετάχθαι, ἀλλὰ καὶ πᾶσαν τὴν γῆν, εἰς ἣν ἐξῆλθεν ὁ φθόγγος τοῦ ἀποστολικοῦ κηρύγματος, ἵνα πλησθῇ ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν Κύριον. Εἰς μαρτυρίαν δὲ γέγονεν ὁ μονογενὴς Κύριος καὶ Θεὸς, καθὸ διεμαρτύρατο διὰ τοῦ Εὐαγγελίου, πῶς δεῖ σωθῆναι, καὶ καθὸ ἐμαρτύρησεν ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν καιροῖς ἰδίοις. Ἄμφω δὲ ταῦτα ἐκ τῆς σαρκὸς, ἤτις οἶκος ἅγιος αὐτοῦ. Εἰ γὰρ μὴ ἐσαρκώθη, οὔτ' ἂν εὐηγγελίσατο (86), οὔτ' ἂν ἔπαθεν ὑπὲρ ἡμῶν. Ἀλλὰ καὶ τῶν τῇ Ἐκκλησίᾳ πιστῶν ὅσοι λαοί εἰσιν ἐπίλεκτοι, C δηλαδὴ ὑπὸ τὴν τοῦ Χριστοῦ βασιλείαν ὄντες, ἀκουέτωσαν τὰ λεγόμενα· καὶ ὅσοι δὲ γῇ αὐτόχρημα γεγόνασι, προσεχέτωσαν τῇ διαμαρτυρίᾳ ταύτῃ, ἣν ποιεῖται ὁ Κύριος ἐκ τοῦ ἁγίου οἴκου αὐτοῦ, τουτέστι, τοῦ προφήτου. Οἶκοι γὰρ τοῦ Θεοῦ οἱ ἅγιοι.

Vers. 3. *Ecce enim Dominus egredietur de loco suo.* Vocabulum διότι, vel pro ὅτι sumendum, ut narrandi vim habeat, quasi vates dicat : Audite, Dominus advenit : vel id ipsum causam continet, perinde quasi diceret : Diligenter attendite, quia non parvi momenti res fiunt, nec ejusmodi, quæ despectui haberi debeant, sed Dominus e loco suo egreditur. Status autem ac motus proprie Deo non conveniunt; sed hæc de ipso dicuntur per verborum quamdam immutationem atque translationem, quomodo et hoc loco Deum egredi propheta dicit, hoc est, ab longanimitate et patientia excedere. Qui enim jamdiu patiens est, ait, nunc commotus est adversus eos qui ipsum leserunt.

Διότι ἰδοὺ Κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ. Τὸ, *διότι*, ἢ ἀφηγηματικὸν λάβε, ἀντὶ τοῦ, ὅτι, ὡσανεὶ λέγοντος τοῦ προφήτου· Ἀκούσατε, ὅτι ἐκπορεύεται Κύριος· ἢ αὐτὸ τοῦτο αἰτιολογικὸν, οἱονεὶ τοῦτο λέγοντος· Προσέχετε, διότι οὐ μικρά τινα γίνεται, καὶ οἷα καταφρονεῖσθαι, ἀλλ' ὁ Κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ. Κυρίως μὲν οὖν ἐπὶ Θεοῦ οὔτε στάσις, οὔτε κίνησις· κατὰ μεταφορὰν δὲ D καὶ τροπὴν ταῦτα λέγεται ἐπ' αὐτοῦ· ὥσπερ καὶ νῦν ἐκπόρευσιν λέγει τὴν ἐκ μακροθυμίας καὶ ἠρεμίας κίνησιν. Ὁ γὰρ πάλαι, φησὶ, μακροθυμῶν, νῦν κεκίνηται κατὰ τῶν προσκεκρουκότων αὐτῷ.

Vers. 3, 4. *Et ascendet super excelsa terræ, et commovebuntur montes subter eum.* Conculcabit, inquit, viros dignitate præstantes, vel ipsos etiam

Καὶ ἐπιβήσεται ἐπὶ τὰ ὑψηλὰ τῆς γῆς, καὶ σαλευθήσονται τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ. Καταπατήσει, φησὶ, τοὺς ὑπερέχοντας, ἢ καὶ τοὺς βασιλεύ-

[46] Rom. x, 18.

Variæ lectiones et notæ.

(85) Ἤτοι τὴν διαμαρτυρίαν, Cod. Ven.
(86) Verba, οὔτ' ἂν εὐηγγελίσατο, adjecimus ex Cod. Ven.

Digitized by Google

ωντας ἐν τε Σαμαρείᾳ καὶ Ἱερουσαλήμ· καὶ τοὺς ἐν ἀξιώμασιν ὑπεραίροντας, καὶ ὡς ὄρη ὑπερανεστηκότας, μετασαλεύσει καὶ μετακινήσει ἀπὸ τῆς νῦν προσούσης αὐτοῖς δόξης.

A Samariæ et Jerusalem principes; et eos qui gradu cæteris antestant, ac veluti montes supra reliquos extolluntur, ea depellet detrudetque gloria qua nunc ipsi gaudent.

Καὶ αἱ κοιλάδες ταχήσονται, ὡσεὶ κηρὸς (87) *ἀπὸ προσώπου πυρός.* Κοιλάδας τοὺς ταπεινοὺς τοῦ λαοῦ ὀνομάζει, τοὺς ὑποκειμένους τοῖς ὑψηλοῖς καὶ ἄρχουσιν, ὥσπερ αἱ κοιλάδες τοῖς ὄρεσι. Καὶ οὗτοι οὖν, φησὶ, εἰ καὶ σκληροὶ τέως εἰσὶ, καὶ πρὸς τὸ ὑπείκειν Θεῷ ἀνένδοτοι, ὅμως ὡσεὶ κηρὸς ταχήσονται ὑπὸ τῆς ὀργῆς τοῦ Κυρίου, δίκην πυρὸς καταπιμπρώσης αὐτούς.

Et valles tabescent, sicut cera a facie ignis. Valles appellat infimos homines, qui proceribus optimatibusque subsunt, uti valles montibus. Hi quoque, ait, etsi duro adhuc corde præditi, Deo parere detrectent; attamen, uti cera liquescent, ira Domini instar ignis eos absumente.

Καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει. Τουτέστιν, οὕτως ἐπὶ τὸ κάταντες χωρήσουσιν, ὥσπερ ὕδωρ κατὰ πρανοῦς φερόμενον· κατάβασιν μὲν γὰρ ὀνομάζει τόπον τὸν κατωφερῆ. Ἢ ὅτι ἐπὶ Περσῶν καὶ Μήδων χώραν ὀξέως ἀποικισθήσονται, δίκην ὕδατος καταφερομένου. Ἐξεπορεύθη καὶ ὁ μονογενὴς Υἱὸς ἐκ τοῦ τόπου αὐτοῦ, τοῦ κόλπου τοῦ πατρικοῦ, ἐπὶ τῆς γῆς ὀφθεὶς, καὶ τοῖς ἀνθρώποις συναναστραφεὶς, καὶ ἐπὶ τὰ ὕψη τῆς γῆς, τῆς νομικῆς, φημὶ, πολιτείας, διδάξας ἡμᾶς ὑψηλῶς ταύτην μετιέναι, καὶ μὴ ταπεινῶς καὶ γηΐνως, θυσίαις ἀνοήτοις, καὶ περιτομαῖς, καὶ τοῖς ἄλλοις τοιουτοτρόποις προσέχοντας. Τὸ μὲν οὖν, *Μὴ ἐπιορκήσῃς*, οἷόν τις γῆ ἐστι κάτω κείμενον· τὸ δὲ, *Μὴ ὀμόσῃς ὅλως*, ὕψος γῆς, καὶ ὅσα ἄλλα τοιαῦτα. Ἔσεισε καὶ τὰ ὄρη ἐν τῇ ἡμέρᾳ τοῦ σταυροῦ, ᾗ καὶ τὰς ἀντικειμένας δυνάμεις μετεκίνησε τῆς καθ' ἡμῶν ἐξουσίας. Καὶ οἱ ὑποκείμενοι τοῖς πονηροῖς ὄρεσι τούτοις, ὥσπερ κοιλάδες, καὶ πᾶσαν τὴν ἀπ' αὐτῶν ἐπιῤῥέουσαν αὐτοῖς μοχθηρίαν ὑποδεχόμενοι Φαρισαῖοι καὶ Γραμματεῖς, ἐτάκησαν ἀπὸ προσώπου πυρὸς τῆς θεότητος αὐτοῦ. Ἀναστάντος γὰρ ὡς θεοῦ, τὰ διαβούλια αὐτῶν ἠφανίσθησαν, καὶ ὡς ὕδωρ διεῤῥύησαν. Τὰ αὐτὰ καὶ Δαβὶδ περὶ τούτων δοκεῖ λέγειν· *Ἐξουδενωθήσονται ὡσεὶ ὕδωρ διαπορευόμενον, ὡσεὶ κηρὸς ταχείς, ἀνταναιρεθήσονται.* Νόει δὲ, ὅτι καὶ ὁ Κύριος ἐκπορεύεται (89) ἐκ τοῦ τόπου αὐτοῦ, τουτέστι τοῦ οἰκείου ὕψους, καὶ ἡ τῆς ἀνθρωπίνης φύσεως γῆ καὶ ταπεινότης ὑψοῦται, καὶ τότε ἐπιβαίνει ἐπὶ τὰ ὕψη αὐτῆς· εἰ μὴ γὰρ καὶ ἐκεῖνος συγκαταβῇ, καὶ ἡμεῖς ἀνυψωθῶμεν, ἄμικτος ἡ ἀγαθότης· καὶ τὸ φιλάνθρωπον, ἀκοινώνητον· καὶ μὴ εὑρίσκων ὕψη γῆς, οὐδὲ ἐπιβαίνει λοιπόν· τὰ γὰρ ὑψηλὰ δέχονται τὴν ἐπίβασιν αὐτοῦ. Τότε δὴ καὶ τὰ ὄρη ἡμῶν σείονται, ὁ πλοῦτος, καὶ ἡ δόξα, ἀβέβαια καὶ ἄστατα φαινόμενα ἡμῖν, ὅτε ἡ θεία δόξα ἀποκαλυφθῇ, ἡ ὄντως βεβαία καὶ μόνιμος. Καὶ γίνονται τηνικαῦτα ὑποκάτω τοῦ Κυρίου, χρωμένων αὐτοῖς ἡμῶν καλῶς, καὶ κατὰ τὴν τοῦ Κυ-

Et sicut aqua profluens in descensu. Præcipites videlicet ita ferentur, ut aqua **256** per declive. Descensum enim appellat declivem locum. Vel hoc ideo B dicit, quia celeriter, instar aquæ defluentis, in Persarum Medorumque regionem Hebræi erant transferendi. Loco item suo, paterno scilicet sinu (88), digressus est et unigenitus Filius, orbi terrarum sese visendum præbens versansque cum hominibus, idemque conscendit altitudines terræ, legalis videlicet provinciæ, quam nos obire docuit per excelsa gradientes, non per ima atque depressa, stultis victimis, circumcisionibus et aliis hujusmodi utentes. Illud porro *Ne pejeres*, humili cuidam humo quodammodo consimile est; illud vero, *Ne jures omnino*, et alia hujus generis, speciem quamdam excelsæ terræ præseferunt. Idem et montes concussit, in die crucis, qua die nostrorum inimi- C corum opes attrivit, eosque sua dejecit in nos potestate atque dominatione. Et qui nefariis hisce montibus, uti valles, subjiciuntur, et omnem inde manantem improbitatem atque nequitiam excipiunt Pharisæi et Scribæ, consumpti sunt igne divinitatis ipsius. Cum enim a mortuis utpote Deus surrexerit; evanuerunt ipsorum consilia, et quasi aqua dilabi cœperunt. Eadem et David de his ipsis dicere videtur, *Ad nihilum redigentur, ut aqua decurrens, et uti cera liquefacta auferentur* [17]. Consideres item velim et Dominum descendere de loco suo, sua videlicet celsitudine, atque hinc extolli (90) humanæ naturæ limum et vilem ipsius pulverem, et tum ipsum Dominum hujus terræ celsitudinem ascendere. Nisi enim simul ipse descenderet, et D nos in sublime tolleremur: nullam sui copiam faceret bonitas, nullique se participandam præberet clementia. Et si nullæ terræ celsitudines occurrerent, ascendere nunquam posset. Excelsa enim excipiunt ipsius ascensum. Tum quatiuntur et nostri ipsorum montes, opes nimirum et gloria, quæ fluxæ nobis videntur et instabiles, cum divina nobis gloria

[17] Psal. xxxvii, 6.

Variæ lectiones et notæ.

(87) Illud, ὡσεὶ κηρὸς, deest in Cod. Ven.

(88) Ita tamen, ut paternum sinum non desereret; non enim divinam naturam amisit, dum assumpsit humanam, ut adversus Eutychem Ecclesia Catholica docet.

(89) Ἐκπορεύσεται, Cod. Bav.

(90) Humanæ scilicet Christi naturæ, quæ personæ Verbi conjuncta est, per quam conjunctionem, quam hypostaticam theologi appellant, effectum est, ut Christus homo Deus vere diceretur, quo nihil profecto sublimius excogitari potest.

Digitized by Google

patefit, quæ vere firma est atque stabilis. Quæ quidem A tum Domini potestati subjiciuntur, cum nos iisdem, ut Dominus idem jubet, recte utimur; divitiis nimirum, pauperum necessitatibus opitulando; auctoritate et imperio, cum tenuioribus adversus potentiores insurgendo. Consumuntur item valles nostræ, pravæ scilicet cupiditates, quæ in se confluentia undique vitia suscipiunt; consumuntur, inquam, perinde ac si nostros ob oculos infernalis illius barathri ignis versaretur.

ρίου ἐντολήν, τῷ μὲν πλούτῳ, εἰς τὸ ἐπαρκεῖν πένησι τὰ χρειώδη· τῇ δὲ δόξῃ, εἰς τὸ τοῖς ταπεινοτέροις κατὰ τῶν δυνατωτέρων συναίρεσθαι. Καὶ αἱ κοιλάδες δὲ ἡμῶν, αἱ τὴν τῶν παθῶν σύρροιαν ὑποδεχόμεναι διαθέσεις, τήκονται, οἱονεὶ πρὸ ὀφθαλμῶν κειμένου τοῦ πυρὸς ἐκείνου τῆς γεέννης.

Vers. 5. *Propter impietatem Jacob omnia hæc et propter peccatum domus Israel.* Per hæc propheta nobis innuit, quæ superius de montibus atque vallibus dixit, non ad inanima pertinere, sed ad homines, qui acerba quædam mala passuri erant. Quid enim **257** valde curarent ii, qui Samariæ impium vitam degebant, et B Hierusalem habitatores, qui nefaria facinora patrabant, quod montes quaterentur, vallesque tabescerent? Appellat autem Jacob decem eas tribus, quæ Samariæ commorabantur, quas et impie vivere dicit, propterea quod a Deo ad idola defecerant; Israelem vero vocat reliquas duas, quæ Hierusalem incolebant, quas, uti peccantes, quod sane levius est, criminatur. Impie porro vivit, qui a Deo descivit omnino; peccat autem, qui divina præcepta violat. Hanc ob rem iis, qui Samariæ impiam vitam agebant, indidit nomen naturale et humilius, nempe Jacob; iis vero qui Hierusalem incolebant, nomen aliud sublimius atque præstantius. Cum enim hi divinum templum haberent, habebant item pios homines comptures.

Δι' ἀσέβειαν Ἰακὼβ τὰ πάντα, καὶ δι' ἁμαρτίαν οἴκου Ἰσραήλ. Δίδωσιν ἐντεῦθεν νοεῖν, ὅτι ἃ εἴρηκε περὶ ὀρέων καὶ κοιλάδων, οὐ περὶ τούτων ἦσαν τῶν ἀψύχων, ἀλλὰ περὶ ἀνθρώπων μελλόντων πείσεσθαί τινα δεινά (91). Τί γὰρ ἔμελλε τοῖς ἐν Σαμαρείᾳ ἀσεβοῦσιν, ἢ τοῖς ἐν Ἱερουσαλὴμ ἁμαρτάνουσιν, ἐὰν τὰ ὄρη ἐσείοντο, καὶ αἱ κοιλάδες ἐτήκοντο; Ἰακὼβ μὲν οὖν καλεῖ τὰς ἐν Σαμαρείᾳ δέκα φυλάς, ἃς καὶ ἀσεβῆσαι φάσκει, ὡς ἀπὸ Θεοῦ ἀποστάσας ἐπὶ τὰ εἴδωλα· Ἰσραὴλ δὲ τὰς ἐν Ἱερουσαλὴμ δύο, ἃς καὶ ὡς ἡμαρτηκυίας αἰτιᾶται, ὅπερ ἐστὶ κουφότερον· Ἀσεβεῖ μὲν γὰρ ὁ ἀπὸ Θεοῦ τέλεον ἀποστάς· ἁμαρτάνει δὲ ὁ περὶ τὴν τῶν θείων ἐντολῶν ἐργασίαν προσκόπτων (92). Διὰ τοῦτο τοῖς μὲν ἀσεβήσασι τὸ φυσικὸν καὶ ὑποδεέστερον ὄνομα ἐπιτίθησι, τὸ Ἰακώβ· τοῖς δὲ ἐν Ἱερουσαλὴμ, τὸ πνευματικώτερον καὶ τιμιώτερον· τὸν γὰρ θεῖον ναὸν ἔχοντες, πολλοὺς εἶχον εὐσεβεῖς.

Vers. 6. *Et ponam Samariam ut pomorum custodiam in agro.* Qui autumnales fructus custodiunt, construere solent exigua quædam tuguria, in quibus commorantes, agros observant, quoad in ipsis fructus sunt. Exacta vero autumni tempestate, ea deserta relinquunt. Futurum itaque minatur vates, ut divini angeli, qui Samariæ populum custodiunt, D illinc discedentes, urbem deserant, eaque propterea quasi tugurium dissolvatur.

Τίς ἀσέβεια οἴκου Ἰακώβ; οὐχὶ Σαμάρεια; καὶ τίς ἡ ἁμαρτία οἴκου Ἰούδα; οὐχ Ἱερουσαλήμ; Τουτέστι, τὰ ἐν Σαμαρείᾳ γινόμενα, ταῦτα ἦσαν ἀσέβεια· εἰδωλολάτρουν γάρ· καὶ τὰ ἐν Ἱερουσαλὴμ πραττόμενα, ταῦτα ἦσαν ἁμαρτία. Καὶ γὰρ ἠδίκουν καὶ ἐπλεονέκτουν τοὺς πενεστέρους, καὶ τοιαῦτα πολλὰ ἐποίουν· εἰ μὴ τυχόν τις ἐρεῖ, ὅτι ἐμφαντικώτατα τὰς πόλεις αὐτὰς ἔφησεν εἶναι, τὴν μὲν ἀσέβειαν, τὴν δὲ ἁμαρτίαν· ὥστε δεῖξαι ταύτας αὐτοασέβειαν καὶ αὐτοαμαρτίαν γενομένας.

Et in plantationem vineæ, et detrudam in voraginem lapides ejus et fundamenta ejus revelabo. Hoc est, quemadmodum qui vinetum conserere volunt, idoneum ad id locum aratro findentes, susque deque vertunt; ita patietur et Samaria. Hæc enim funditus evertetur, neque muros habebit, neque domus, neque idolorum altaria, neque locos. Quin

Καὶ θήσομαι Σαμάρειαν ὡς ὀπωροφυλάκιον ἀγροῦ. Οἱ τὰς ὀπώρας φυλάττοντες, καλύβας εὐτελεῖς τινας συνιστῶντες, ἐν αὐταῖς μένοντες, φυλάττουσιν ἐν ὅσῳ ὀπῶραί εἰσι· μετὰ δὲ τὸν τῆς ὀπώρας καιρὸν, καταλείπουσι ταύτας ἐρήμους. Ἀπειλεῖ οὖν, ὅτι οἱ φυλάττοντες ἐν Σαμαρείᾳ λαὸν θεῖοι ἄγγελοι, ἀναχωρήσαντες, ἔρημον αὐτὴν καταλείψουσιν, ὥστε ταύτην ὡς καλύβην καταλυθῆναι.

Καὶ εἰς φυτείαν ἀμπελῶνος, καὶ κατασπάσω εἰς χάος τοὺς λίθους αὐτῆς, καὶ τὰ θεμέλια τῆς γῆς ἀποκαλύψω. Τουτέστιν, ὥσπερ οἱ μέλλοντες ἀμπελῶνα καταφυτεῦσαι, τὸν ἐπιτήδειον τόπον ἀρότροις ἀνατέμνοντες, ἄνω καὶ κάτω στρέφουσιν· οὕτω καὶ ἡ Σαμάρεια πείσεται. Κατασκαφήσεται γὰρ, καὶ οὔτε τείχη ἔξει, οὔτε οἴκους· ἀλλ' οὐδὲ τοὺς

Variæ lectiones et notæ.

(91) Πείσεσθαι τὰ δεινά, Cod. Bav.

(92) Προκόπτων, Cod. Ven.

Digitized by Google

βωμοὺς τῶν εἰδώλων, καὶ τὰ τεμένη. Ἀλλὰ καὶ οἱ λίθοι αὐτῆς κατασπασθήσονται, τουτέστι, καθαιρεθήσονται εἰς χάος, ἧγουν βάθους (93) διαρκοῦς· ὥστε καὶ τὰ θεμέλια ἀποκαλυφθῆναι, καὶ λοιπὸν εἰς φυτείαν ἀμπέλων ἐπιτηδείαν εἶναι δοκεῖν.

Καὶ πάντα τὰ γλυπτὰ αὐτῆς κατακόψουσιν. Οὓς προσεδόκησαν, φησὶν, ἔσεσθαι αὐτοῖς σωτῆρας, ὡς θεοὺς, τούτους Βαβυλώνιοι κατακόψουσι· τοὺς μὲν, ὡς ξυλίνους ὄντας, εἰς καῦσιν· τοὺς δὲ, ὡς χρυσοῦς, καὶ ἀργυροῦς, εἰς πλούτου περιουσίαν.

Καὶ πάντα τὰ μισθώματα αὐτῆς ἐμπρήσουσιν ἐν πυρί· καὶ πάντα τὰ εἴδωλα αὐτῆς θήσομαι εἰς ἀφανισμόν. Διότι ἐκ μισθωμάτων πορνείας συνήγαγε, καὶ ἐκ μισθωμάτων πορνείας συνέστρεψε (94). Τοὺς ναοὺς, φησὶ, καὶ τοὺς βωμοὺς, καὶ τὰ ἀναθήματα, ἃ ἀνετίθει τοῖς εἰδώλοις, οἱονεί τινα μισθὸν ὡς εὐεργέταις, καὶ παντοίων ἀγαθῶν χορηγοῖς, ταῦτα ἐμπρήσουσιν οἱ Βαβυλώνιοι. Καὶ γὰρ πολύν τινα πλοῦτον, ἐν ἀναθήμασι καὶ κειμηλίοις θεωρούμενον, συνήγαγε καὶ συνέστρεψε· τουτέστι, συνεφόρησε καὶ συνεσώρευσεν εἰς τιμὴν εἰδώλων, ἐκ τῶν τοιουτοτρόπων μισθωμάτων τῆς πορνείας αὐτῶν, τουτέστι τῆς εἰδωλολατρείας· μισθώματα γὰρ διδοῦσα τοῖς δαίμοσιν, ὡς εὐεργέταις, καθὼς εἴρηται, πολυτελῆ, καὶ πολλὰ ἀναθήματα συνήγαγεν. Εἰκὸς δὲ, ὅτι καὶ αἱ πόρναι, μισθοὺς τῆς ἀκολασίας λαμβάνουσαι, ἐκ τούτων ἀπαρχὰς προσέφερον τῷ τῆς ἀκολάστου δαίμονος εἰδώλῳ τῆς Ἀστάρτης, ἤτοι τῆς Ἀφροδίτης. Ἢ τὰ μισθώματα καὶ ἑτέρως νοήσεις· τὸν γὰρ χρυσὸν αὐτῶν, φησὶ, καὶ τὸ ἀργύριον, καὶ τὸν οἶνον ἐμπρήσουσιν οἱ πολέμιοι, ἃ ἐνόμιζον Ἰσραηλῖται μισθώματα αὐτοῖς δοθῆναι παρὰ τῶν εἰδώλων, ἕνεκεν τῆς εἰδωλολατρείας. Εἶτα ὡσανεὶ ἐπιγελῶν τῷ Ἰσραὴλ, φησὶν ὁ Θεὸς κατ' εἰρωνείαν, ὅτι τὸν πλοῦτον, ὃν συνήγαγεν, ἐκ τῶν εἰδώλων εἶχεν, ὡς ἐδόκει, μισθὸν διδόντων αὐτῷ τῆς πορνείας, ἤτοι εἰδωλολατρείας, καὶ ἐκ τῶν τοιούτων μισθῶν συνέστρεψε, τουτέστι, στερεός τις, καὶ συνεστραμμένος, καὶ σταθηρὸς γέγονεν. Ὡς ὀπωροφυλάκιον γέγονεν ἡ κατὰ νόμον λατρεία, ἕως μὲν εἶχε καιρὸν ὁ νόμος, ἀξιουμένη λόγου· ἐπεὶ δὲ ἐκεῖνος παρῆλθεν, ὥσπερ ὀπώρα (ὀλιγοχρόνιος γὰρ καὶ οὗτος, καὶ οὐ στερεὰν παρέχων τροφὴν), τότε καὶ αὐτὴ ἐγκαταλειφθεῖσα, ὅτε καὶ οἱ λίθοι αὐτῆς κατεσπάσθησαν, ἤτοι τὰ βαρύτερα τοῦ νόμου, ἃ οὔτε αὐτοὶ, οὔτε οἱ πατέρες αὐτῶν ἠδυνήθησαν βαστάσαι. Καὶ τὰ θεμέλια αὐτῆς ἀπεκαλύφθη, τὸ Πνεῦμα, τὸ ἐν τῷ κρυπτῷ τέως κείμενον· καὶ γέγονεν ὄντως εἰς φυτείαν ἀμπελῶνος νέου, τοῦ ἐξ ἐθνῶν λαοῦ, ὅτε καὶ ἡ Φαρισαϊκὴ διδασκαλία ἐνεπρήσθη τῷ τοῦ Πνεύματος πυρὶ, δ ἐπὶ τοὺς ἀποστόλους ἐκάθισεν· ὑπὲρ ἧς μισθώματα παρὰ τοῦ λαοῦ ἐλάμβανον, ἐξ ὧν συνήγον πλοῦτον καὶ συνέστρεφον, τὰς ὁδοὺς Κυρίου, τὰς εὐθείας καὶ ἁπλᾶς, διαστρέφοντες, καὶ εἰς συζητήσεις καὶ συστροφὰς λόγων

A etiam ipsius lapides detrudentur, hoc est, in immensam voraginem deprimentur, ut et fundamenta retegantur, et urbs in posterum serendis vineis apta et idonea videatur.

VERS. 7. *Et cuncta sculptilia ejus conteident.* Quos, ait, servatores sibi deos fore Judæi sperabant, hos Babylonii conterent, partim uti ligneos comburendo, partim uti aureos et **258** argenteos ad opulentiæ ostentationem.

Et omnes mercedes ejus comburent in igni, et cuncta idola ejus ponam in perditionem. Quia ex mercibus fornicationis coegit, et ex mercedibus fornicationis congregavit. Templa, inquit, et aras atque donaria quæ tanquam mercedem idolis, uti benemeritis bonorumque omnium largitoribus, urbs dicavit; hæc omnia Babylonii comburent. Multas enim divitias quæ in sacrariis thesaurisque publicis visebantur, eas ad idolorum honorem urbs illa collegit atque congessit, hoc est, congregavit cumulavitque ex istiusmodi mercedibus fornicationis, idolorum scilicet cultus. Cum enim mercedes spiritibus nequam, tanquam bene sibi facientibus, uti supradictum, urbs ipsa præberet; multa ideirco atque pretiosa donaria congesserat. Verisimile quoque est et meretrices primitias ejus mercedis, quam ex flagitio capiebant, obtulisse impudici numinis idolo, Astartes nimirum, seu Veneris. Vel mercedes alio modo sic intelligere commode poteris. Aurum ipsorum, ait, atque argentum et vinum hostes igni corrumpent; quæ Israelitæ, tanquam mercedem, suis a numinibus ob cultum ipsis tributum sibi præberi putabant. Deinde Israelem quodammodo Deus irridens, quamdam per ironiam habere ipsum ait divitias quas collegisset, ab suis numinibus, uti putabat, acceptas, quasi mercedes fornicationis, idolorum scilicet cultus; eumque per hujusmodi mercedes in unum coaluisse, firmum videlicet, bene compactum stabilemque cœtum. Erat uti pomorum custodia et legalis cultus, qui quandiu floruit lex, in honore habebatur; postquam autem lex præteriit, instar autumni, brevis et ipsa ævi, neque solidum exhibens alimentum; tum et cultus ipse derelictus est, disjectique sunt et ipsius lapides, onera scilicet legis graviora quæ neque ipsi neque ipsorum patres ferre potuerunt [65]. Tum detecta sunt et ejus fundamenta, scilicet Spiritus, qui usque ad id temporis delituerat, et vere facta est in plantationem vineti novi, populi nimirum e gentibus conflati. Quo quidem tempore consumpta est et Pharisaica doctrina eo Spiritus igne, qui in apostolos delapsus est, resediitque in ipsis; pro qua doctrina Pharisæi mercedes a populo capiebant, colligebantque inde divitias. Qua doctrina ii detorserunt vias Domini rectas atque

[65] Act. xv, 16.

Variæ lectiones et notæ.

(93) Ἧγουν ἄχρι βάθους, Cod. Bav.

(94) Συνέτριψε, Cod. Bav. Ita et paulo post.

Digitized by Google

planas, eas depravantes implicantesque futilibus controversiis et ambagibus. Deseritur a Deo, ut agri tugurium, et anima, quæ Dei fructus non custodit, charitatem scilicet, gaudium, pacem, longanimitatem, et cætera quæ a Paulo recensentur, sed victum appetit atque caducum hujus sæculi fructum, qui similis pomis est, 259 ingeneratque tumorem atque inflationem iis qui avide ipsum consectantur. Quod ita porro deseratur, ipsimet animæ fortasse prodest. Tum enim ejus lapides dejiciuntur, cordis scilicet durities, et ipsius fundamenta reteguntur; siquidem anima tum in apertum profert sua cogitata, quæ sunt actionum fundamenta. Atque tum fit *in plantationem*, Christum excipiens, discipulis dicentem, *Ego sum vitis, vos palmites* [92]. Talis anima, cum inimico serviret, mercedes ab eo capiebat opes fortasse atque gloriam; quibus ipsam alliciebat, ei quodammodo dicens: *Hæc omnia tibi dabo, si cadens adoraveris me* [93]. Quæ sane omnia talis anima conjicit in Evangelii ignem, *quem mittere* Dominus *in terram* venit [94]. Quo enim pertingunt evangelica verba, ibi dissipantur opes et gloria.

Vers. 8. *Propter hoc planget, et lamentabitur, ibit discalceata et nuda.* Quoniam adultera instar a me descivit, atque idolis mercedes dedit, appenditque donaria, vel etiam quia cultus mercedem, opes et alia bona se ab idolis ipsis obtinuisse putavit: propterea incidet in calamitates, planget, et lamentabitur, et ibit discalceata, et nuda in captivitatem scilicet abducetur. Talis est enim captivorum habitus. Ita et Isaias, futuram populo captivitatem innuere volens, Hierusalem circuibat nudus calceisque destitutus [95].

Faciet planctum quasi draconum. Afflictionis magnitudinem per hæc vates indicat; ferunt enim dracones, cum percutiuntur, flebiles edere stridores, et cauda ferire solum.

Et luctum, quasi filiarum Sirenum. Græci Sirenas fabulantur aves quasdam, humana forma præditas, quæ dulce suaviterque canere norint: sacra vero Scriptura sirenas appellat garrulos passeres, qui dulces ore concentus fundere solent, vel ipsas etiam interdum alcyones, quæ flebiles cantus edunt. Quoniam ergo qui lugent, quadam id cum cantilena facere solent, idcirco mentio fit istorum musicorum animalium.

Vers. 9. *Quia obtinuit plaga ejus, quia venit usque ad Judam, et tetigit usque ad portam populi mei usque Hierusalem.* Hoc loco vates innuit Samariæ captivitatem a Thetlathphatar atque Salmanasar, Assyriæ regibus, illatam [96]. Hanc

προχωροῦντες. Ἐγκαταλιμπάνεται ὑπὸ Κυρίου, ὡς ὀπωροφυλάκιον, καὶ ψυχή, ἡ μὴ καρπὸν τοῦ Πνεύματος τηροῦσα, ὅς ἐστιν ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, καὶ τ' ἄλλα, ὅσα παρὰ τοῦ Παύλου ἀπηρίθμηται, ἀλλὰ τὸν ὀλιγοχρόνιον καὶ παροδικὸν τοῦ αἰῶνος τούτου καρπὸν περιέπουσα, ὅς ὀπώρᾳ ἔοικεν, ὄγκον καὶ φύσημα ἐμποιῶν τοῖς αὐτὸν προσιεμένοις. Τάχα δὲ ἡ ἐγκατάλειψις αὕτη, λυσιτελὴς αὐτῇ. Οἵ τε γὰρ λίθοι κατασπῶνται, ὅ ἐστιν ἡ πώρωσις τῆς καρδίας αὐτῆς, καὶ τὰ θεμέλια αὐτῆς ἀποκαλύπτεται, ὁπηνίκα τοὺς λογισμοὺς ἐξαγορεύει, οἵτινές εἰσι τῶν πράξεων θεμέλιοι· καὶ τότε γίνεται εἰς φυτείαν ἀμπελῶνος, δεχομένη Χριστὸν, εἰπόντα τοῖς μαθηταῖς· *Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα.* Ἡ τοιαύτη ψυχὴ, ὅτε (95) ἐβούλευε τῷ ἐχθρῷ, μισθώματα παρ' αὐτοῦ ἐλάμβανε, πλοῦτον τάχα καὶ δόξαν, διὰ τούτων σαίνοντος αὐτὴν, οἷονεὶ (96) πρὸς αὐτὴν λέγοντος· *Ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι,* ἅτινα πάντα δίδωσιν ἡ τοιαύτη ψυχὴ τῷ τοῦ Εὐαγγελίου πυρὶ, ὃ ἦλθεν ὁ Κύριος βαλεῖν ἐπὶ τῆς γῆς· ὅπου γὰρ ὁ εὐαγγελικὸς λόγος εἰσέλθοι, ἐκεῖ πλοῦτος καὶ δόξα δαπανῶνται.

Ἕνεκεν τούτου κόψεται, καὶ πενθήσει, καὶ πορεύσεται ἀνυπόδετος, γυμνή. Ἐπειδὴ, φησὶν, ἐξεπόρνευσεν ἀπ' ἐμοῦ, καὶ μισθοὺς ἐδίδου τοῖς εἰδώλοις τὰ ἀναθήματα· ἡ καὶ παρ' αὐτῶν ἐνόμιζε μισθοὺς ἔχειν τῆς λατρείας τόν τε πλοῦτον, καὶ τὰ ἄλλα ἀγαθά· τούτου ἕνεκεν συμφοραῖς περιπεσεῖται, καὶ κόψεται, καὶ πενθήσει, καὶ πορεύσεται ἀνυπόδετος καὶ γυμνὴ, ὅ ἐστιν, εἰς αἰχμαλωσίαν ἀπαχθήσεται. Τοιοῦτον γὰρ τὸ σχῆμα τῶν αἰχμαλώτων. Οὕτω καὶ Ἡσαΐας, τὴν ἐσομένην τῷ λαῷ αἰχμαλωσίαν ὑποδηλῶν, ἔλεγε· *Περιεπάτει τὴν Ἰερουσαλὴμ γυμνὸς καὶ ἀνυπόδετος.*

Ποιήσεται κοπετὸν, ὡς δρακόντων. Τὸ μέγεθος τῆς θλίψεως αὐτῶν δηλοῖ διὰ τούτων. Φασὶ γὰρ τοὺς δράκοντας, ἐπειδὰν πληγεῖεν, συριγμοὺς ποιεῖσθαι ὀδυνηροὺς, καὶ καταπαίειν τὴν γῆν τῇ κέρκῳ.

Καὶ πένθος, ὡς θυγατέρων Σειρήνων. Ἕλληνες μὲν Σειρῆνας λέγουσιν εἶναι πτηνά τινα ἀνθρωπόμορφα, μελῳδεῖν εἰδότα ἡδέως καὶ θελκτικῶς· ἡ δὲ θεόπνευστος Γραφὴ σειρῆνας καλεῖ τῶν στρουθίων τὰ λαλίστερα, καὶ εὐστομεῖν εἰωθότα· ἢ καὶ αὐτὰς ἔσθ' ὅτε τὰς ἀλκυόνας, αἳ γοερὰ μέλη ᾄδουσιν. Ἐπὶ οὖν οἱ πενθοῦντες εἰώθασι μετά τινος μέλους θρηνεῖν, διὰ τοῦτο τῶν μελῳδῶν τούτων ζώων ἐμνήσθη.

Ὅτι κατεκράτησεν (97) *ἡ πληγὴ αὐτῆς, διότι ἦλθεν ἕως Ἰούδα, καὶ ἥψατο ἕως πύλης λαοῦ μου ἕως Ἰερουσαλήμ.* Ἐνταῦθα σημαίνει μὲν τὴν ἐπαχθεῖσαν τῇ Σαμαρείᾳ αἰχμαλωσίαν, ὑπό τε Θετλαθφατὰρ (98) καὶ Σαλμανασὰρ, τῶν Ἀσσυρίων

[92] Joan. xv, 7. [93] Matth. v, 50. [94] Luc. xii, 59. [95] Isa. xx, 2. [96] IV Reg. xxi, 15.

Variæ lectiones et notæ.

(95) Καὶ ὅτε. Cod. Ven.
(96) Καὶ οἷονεὶ, Cod. Ven.
(97) Ἐκράτησεν, Cod. Bav.
(98) Θεγλαλφασὰρ, Cod. Bav.

Digitized by Google

βασιλέων· ταύτην γὰρ πληγὴν ὀνομάζει, κατακρατήσασαν αὐτῆς, διὰ τὸ πανωλεθρίᾳ αὐτοὺς παραδοθῆναι ὑπὸ Σαλμανασάρ. Σημαίνει δὲ καὶ τὴν τοῦ Σεναχηρεὶμ ἔφοδον, ἐπελθόντος τῇ Ἰουδαίᾳ, καὶ κατασχόντος μὲν καὶ πόλεις τινὰς τῶν ἔξωθεν· ἁψαμένου δὲ καὶ τῶν πυλῶν τῆς Ἱερουσαλήμ· ἐπολιόρκησε γὰρ αὐτὴν διὰ τοῦ ὑποστρατηγοῦντος αὐτῷ Ῥαψάκου. Δύνασαι δὲ πληγὴν νοῆσαι καὶ τὴν εἰδωλολατρείαν, ἥτις ἀπὸ Σαμαρείας ἀρξαμένη, τελευταῖον καὶ τὴν Ἱερουσαλὴμ ἐπενεμήσατο (99). Πενθοῦσι καὶ κόπτονται καὶ νῦν Ἰουδαῖοι, ἀλλὰ τὸ πένθος αὐτοῖς ἰοῦ δρακοντείου γέμει (1). Οὐ φέροντες γὰρ ὑπείκειν Χριστιανοῖς, ζητοῦσι τὴν παλαιὰν δόξαν, καὶ ἀνυπόδετοι πορεύονται. Οὐ γὰρ ὑπέδησαν τοὺς πόδας αὐτῶν ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης, ἀλλὰ σύντριμμα καὶ ταλαιπωρία (2) ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν· καὶ γυμνοί δέ εἰσιν, ὡς μὴ Χριστὸν ἐνδυσάμενοι. Ταῦτα δὲ γέγονεν αὐτοῖς, διότι κατεκράτησεν ἡ πληγὴ αὐτῶν, ἣν ἐπλήγησαν ἐπὶ Χριστῷ, ποιοῦντι θαύματα, ἥτις διῆλθεν ἕως Ἰούδα τοῦ προδότου, καὶ ἥψατο τῆς πύλης τοῦ λαοῦ, τῆς πλατείας, λέγω, ζωῆς, ἣν εἰσιόντες, ἐνεκότουν Χριστῷ, λέγοντι· *Εἰσέλθετε διὰ τῆς στενῆς πύλης*· καὶ ταῦτα, τὴν Ἱερουσαλὴμ κατοικοῦντές, τὴν πόλιν τοῦ βασιλέως τοῦ μεγάλου, ἐν ᾗ δικαιοσύνη ἐγεννήθη. Ἐν αὐτῇ κόπτεται κοπετὸν δρακόντων καὶ ὁ τὴν τοῦ κόσμου λύπην λυπούμενος, ἢ ἐπὶ χρημάτων ἀπωλείᾳ, ἢ ἐπὶ δόξης ἐφέσει (3), ἢ ἐπ' ἄλλῳ τινὶ τοιούτῳ πενθῶν. Οὗτος ὁ κοπετὸς δαιμόνων ἐστὶ, τῶν νοητῶν δρακόντων. Τοῦτο τὸ πένθος καὶ τῶν θυγατέρων τῶν Σειρήνων ἐστὶ, ψυχῶν οἰκειοτάτων ταῖς ἡδοναῖς τοῦ βίου, αἵτινές εἰσιν αἱ Σειρῆνες. Ὅρα μέντοι, ὅτι θυγατέρας ἔχουσιν αἱ Σειρῆνες, οὐχ υἱούς· οὐδὲν γὰρ ἄῤῥεν ἡδονῆς γέννημα. Ὁ τοιοῦτος πορεύσεται τὴν τελευταίαν ὁδὸν τοῦ βίου, ἀνυπόδετος μὲν, ὡς μὴ θελήσας ὑπὸ τοὺς πόδας αὐτοῦ τεθεῖναι (4) τὸν δερμάτινον βίον, κάντεῦθεν ἀσφάλειαν τοῖς αὐτοῦ διαβήμασι περιποιήσασθαι (τότε γὰρ τηρεῖ τις τοὺς πόδας τῆς ψυχῆς, ὅτε τούτοις ὑποθήσει τὰ σαρκικὰ, ὥστε ὑπ' αὐτῶν πατούμενα ὑποκεῖσθαι αὐτοῖς)· γυμνὸς δὲ, ὡς μηδὲν ἔχων ἐπικάλυμμα τῆς ἀσχημοσύνης τῶν ἔργων αὐτοῦ. Οἷόν τί φημι· Πολλάκις ἁμαρτάνων τις ἐν τῷδε, ἐν ἑτέρῳ κατορθοῖ· καὶ ἐν τῇ κρίσει ἀντισηκουμένων τῶν βελτιόνων τοῖς πονηροῖς, βοήθειά τις αὐτῷ γίνεται. Ὅταν δέ τις ἀβοήθητος ἐκεῖσε ἀπέλθοι, καὶ εἴ τι ἀγαθὸν εἶχεν, ἀπολαβὼν τοῦτο ἐν τῇ ζωῇ αὐτοῦ, κατὰ τὸν πλοῦτον ἐκεῖνον γυμνὸς πορεύεται, μόνα τὰ ἔργα τῆς αἰσχύνης ἀνακεκαλυμμένα ἔχων.

enim vocat plagam, quæ in ipsa obtinuerit, propterea quia habitatores ad internecionem usque deleti ab Salmanasare fuerunt. Innuit item Senacherim in Judæam irruptionem; qui cum exteras alias urbes expugnarat, tum ad Jerusalem portas pervenerat. Obsidione quippe cinxit ipsam, opera usus atque ministerio **260** Rhapsaci, qui sub ejus imperio militabat. Plagæ præterea nomine intelligere commode potes et idolorum cultum, qui cum Samariæ cœpisset, ad extremum et in urbe Jerusalem grassabatur. Lugent et conqueruntur etiam nunc Judæi; sed ipsorum luctus draconum veneno scatet. Cum enim Christi fidelibus obedire moleste ferant; veterem gloriam quærunt, inceduntque sine calceamentis. Non enim caligas induerunt, quo bonum pacis nuntium alacri animo exciperent; sed ubique tribulatio et angustia in viis ipsorum occurrit, et viam pacis non cognoverunt [84]; qui et nudi sunt, quia Christum non induerunt. Hæc illi quidem ob eam plagam, qua per patrata a Christo miracula perculsi fuere, quæ sane plaga pervenit usque ad Judam proditorem, attigitque populi portam, latam scilicet vitam, qua cum incederent irati sunt Christo, dicenti: *Intrate per angustam portam* [85]: idque cum habitarent Hierusalem, urbem magni regis, in qua orta est justitia. Stridorem in ea draconum emittit et qui mundano aliquo dolore cruciatur, vel ob amissas opes, vel ob gloriæ jacturam, vel ob aliam ejusmodi lugubrem causam. Stridor hic dæmonum est, qui spiritales sunt dracones. Idem fletus est et sirenum filiarum, animarum scilicet, quæ vitæ voluptatibus inhiant, quæ voluptates sirenum speciem præ se ferunt. Animadvertas porro velim sirenas habere filias, non filios; nihil enim masculi gignit voluptas. Qui ita vivit, incedet extrema vitæ via discalceatus, cum sub pedibus ponere nolit mollem et effeminatam vitam, atque inde tuto incedendi sibi potestatem comparare (tum enim animæ pedes quispiam custodit, cum pedibus ipsis ea, quæ carnis sunt, subjicit, ut iis protrita atque proculcata subjaceant), eademque via gradietur et nudus, utpote nullum habens tegumentum suæ ipsius turpitudinis suorumque facinorum. Dicam planius. Sæpenumero qui peccat in uno, et recte se gerit in altero; isque in die judicii, cum mala bonis pensentur, subsidium hinc aliquod capit. Cum contra præsidio omni destitutus e vivis abit, et si quid boni egit, mercedem in vita sua recepit; quod ad cœlestes illas opes attinet, nudus incedit, nefaria sua facinora in propatulo gerens.

Οἱ ἐκ Γὲθ, μὴ μεγαλύνεσθε· καὶ οἱ Ἐναχεὶμ, μὴ ἀνοικοδομεῖτε ἐξ οἴκου καταγέλωτα. Ἐπειδὴ

Vers. 10. *Qui in Geth, nolite magnificari: et Enacim, nolite reædificare ex domo derisum.*

[84] Psal. xiii, 3. [85] Matth. vii, 13.

Variæ lectiones et notæ.

(99) Ἐπενομήσατο, Cod. Bav.
(1) Deest τὸ γέμει in Cod. Ven.
(2) Ταλαιπωρίαν, Cod. Ven.
(3) Ὑφέσει, Cod. Ven.
(4) Αὐτοῦ ποτε θεῖναι, Cod. Bav.

Digitized by Google

Quoniam cunctis Israel tribubus luctum denuntiavit, simulque futurum animo suo prospexit, ut exteri populi de ipsarum calamitatibus lætarentur : idcirco suum ad ipsos vates convertens sermonem, hujuscemodi verbis alloquitur : Nolite magnificari, qui in Geth (quæ caput exterarum urbium erat) degitis, neve risum atque cachinnum **261** in Israelitas e domo vestra fundatis. Hoc est, vos, qui vitam in tuto ducere creditis, quique stabiles domi vestræ mansuros vos semper putatis, nolite deridere eos, qui in captivitatem abducti sunt, et ex suis quisque domibus ejecti. Enacim autem non est alia quædam urbs a Geth, ut quidam autumant, diversa; sed ipsosmet Geth habitatores eo nomine vates appellat, utpote ab Enach gigante descendentes.

A πάσαις ταῖς τοῦ Ἰσραὴλ φυλαῖς προσηγόρευσεν ἀλγεῖν, προεώρα δὲ τοὺς ἀλλοφύλους ταῖς τούτων συμφοραῖς ἐφησθησομένους, πρὸς αὐτοὺς τρέπει τὸν λόγον, καί φησι· Μὴ μεγαφρονεῖτε, οἱ κατοικοῦντες τὴν Γὲθ (αὕτη δὲ μητρόπολις ἦν τῶν ἀλλοφύλων)· μηδὲ γέλωτα ὑψηλὸν ἐπαίρετε κατὰ τῶν Ἰσραηλιτῶν ἐκ τοῦ οἴκου ὑμῶν· τουτέστιν, Ἐν ἀσφαλεῖ οἰκεῖν νομίζοντες, καὶ ἐν ταῖς κατοικίαις ὑμῶν μένειν, μὴ τοῖς αἰχμαλωτιζομένοις ἐπιγελᾶτε καὶ ἀπεσταμένοις ἐκ τῶν οἰκων αὐτῶν. Ἐνακεὶμ δὲ, οὐχ ὥς τινες ὑπέλαβον, ἄλλη τις πόλις ἐστὶ παρὰ τὴν Γέθ· ἀλλὰ τοὺς ἐνοικοῦντας τὴν Γὲθ, Ἐνακεὶμ ὀνομάζει, ὡς ἀπογόνους ὄντας Ἐνὰκ τοῦ γίγαντος.

Terram aspergite derisum vestrum. Derisionis videlicet loco terram aspergite, velut captivorum dolorem dolore prosequentes, et vobiscum simul reputantes calamitates, quæ vobismetipsis accident. Non enim illæsi manebitis; sed vos etiam Senacherim invadet, quod et contigit. Alii vero ita : Nunc vos risum captatis ex domo, ex eo videlicet, quod domum Israel in servitutem redactam conspiciatis. Verum nolite hoc facere, sed considerantes, vos quoque pejora mala passuros, quasi terram quamdam, eam quæ in vos excitabitur, irrisionem aspergite, vestrasque proprias lugete calamitates.

B *Γῆν κατασπάσασθε καταγέλωτα ὑμῶν.* Τουτέστιν, Ἀντὶ τοῦ καταγέλωτος, γῆν κατασπάσασθε, ἅμα μὲν ὡς συμπενθοῦντες (5) τοῖς αἰχμαλωτιζομένοις, ἅμα δὲ καὶ ἐννοοῦντες τὰς συμβησομένας καὶ ὑμῖν (6) αὐτοῖς συμφοράς. Οὐ γὰρ ἁπλῆγες καταλειφθήσεσθαι, ἀλλὰ καὶ ὑμῶν ὁ Σεναχηρεὶμ ἅψεται· ὃ καὶ συνέβη. Τινὲς οὕτως· Νῦν μὲν ὑμεῖς οἰκοδομεῖτε γέλωτα ἐξ οἴκου, τουτέστιν, ἐκ τοῦ ὁρᾶν τὸν οἶκον τοῦ Ἰσραὴλ αἰχμαλωτιζόμενον, ἀλλὰ μὴ οὕτως· ἀλλ' ὡς καὶ αὐτοὶ τὰ χείρω πεισόμενοι, οἷόν τινα γῆν κατασπάσθε (7) τὸν ἐσόμενον καθ' ὑμῶν γέλωτα (8), καὶ τὰς ὑμῶν αὐτῶν θρηνεῖτε συμφοράς.

VERS. 11. *Quæ habitas bene civitates ejus : non est egressa habitatrix Sennan plangere domum ipsi hærentem, accipiet ex vobis plagam doloris.* Quoniam, ait, existimavit Sennan, se pulchro fretam præsidio, vitam suis in oppidis bene munitis tutam ac securam degere, propterea que vos domum Israel, ipsi hærentem, proximam scilicet atque conjunctam, haud miserata est, neque flevit; idcirco particeps et ipsa erit vestrarum calamitatum, capietque ex vobis plagam doloris, talem scilicet, quales plagæ vestræ sunt, et afflictiones. Hæc quoque vobis adhortationi sunt, ne vestros hostes in acerbis eorum casibus derideatis, quemadmodum et sapiens quidam dixit : *Si ceciderit inimicus tuus, ne ejus calamitate gaudeas, ne forte videat Dominus, eique displiceat*[86]. Animadverte rectum adhortationis ordinem. Vetuit primum irridere : ostendit deinde reprehensione quoque dignum esse, ærumnosos homines et afflictos non miserari. Qui enim bene beateque vivit, et rebus utitur secundis, reus fit, ni misericordia commoveatur erga eos qui calamitatibus urgentur. Cum autem et calamitatum auctor ipse est, easque hominibus infert, quo supplicio dignus habendus? Is item, qui corpori suo blanditur, quod animæ domicilium est, per hoc sibi parat in futuro

Κατοικοῦσα καλῶς τὰς πόλεις, οὐκ ἐξῆλθε κατοικοῦσα Σεννὰν κλύσεσθαι οἶκον ἐχόμενον αὐτῆς, λήψεσθαι ἐξ ὑμῶν πληγὴν ὀδύνης. Ἐπειδή, φησὶ, ᾠήθη ἡ Σεννὰν, ὅτι καλῶς καὶ ἀσφαλῶς οἰκεῖ τὰς πόλεις αὐτῆς ὀχυρὰς οὔσας, καὶ διὰ τοῦτο οὐκ ἐκήδετο τὸν οἶκον τοῦ Ἰσραὴλ ὑμᾶς, ἐχόμενον αὐτῆς, τουτέστι, γειτονοῦντα, καὶ πλησιάζοντα, συμμεθέξει καὶ αὐτὴ τῶν συμφορῶν ὑμῶν, καὶ ἕξει καὶ αὐτὴ πληγὴν ὀδύνης ἐξ ὑμῶν, τουτέστιν, οἷαι εἰσὶν αἱ ὑμέτεραι πληγαὶ καὶ ὀδύναι. Ταῦτα καὶ ὑμῖν παραινέσεις εἰσὶ, πρὸς τὸ μὴ ἐπιγελᾷν τοῖς πτώμασι τῶν ἐχθρῶν, καθὰ καί σοφός τις εἶπεν· *Ἐὰν πέσῃ ὁ ἐχθρός σου, μὴ ἐπιχαρῇς αὐτῷ, μήποτε ἴδῃ Κύριος, καὶ οὐκ ἀρκέσῃ* [*f.* ἀρέσῃ] *αὐτῷ.* Καὶ ὁρᾶτε τὴν ἀκολουθίαν τῆς παραινέσεως· Πρῶτον τὸ ἐπιγελᾷν ἀπηγόρευσεν, εἶτα καὶ τὸ μὴ συναλγεῖν ὑπεύθυνον ἔδειξεν. Ὃς γὰρ αὐτὸς καλῶς οἰκεῖ, καὶ ἐν εὐθηνίαις ἐστὶ, κατάκριτος, ἐὰν μὴ συναλγῇ σοῖς ἐν συμφοραῖς· ὅταν δὲ καὶ αὐτὸς τὰς συμφορὰς ἐπάγῃ, ἢ ἐπιτείνῃ (9), τίνος ἄξιος; Καὶ ὁ τὸ σῶμα δὲ παίνων, ὅ ἐστιν οἶκος τῆς ψυχῆς, ἐκ τοῦ οἴκου τούτου οἰκοδομεῖ ἑαυτῷ καταγέλωτα καὶ αἰσχύνην ἐν τῷ μέλλοντι. Τάχα δὲ καὶ τοῖς Ἐνακεὶμ ἐξομοιοῖ τοὺς στρατιώτας, τοὺς τὸν Κύριον σταυρώσαντας, ὡς καὶ αὐτοὺς ἀντιθέους γίγαντας· πρὸς

[86] Prov. XXIV, 17.

Variæ lectiones et notæ.

(5) Ἀντὶ τοῦ · καταγέλωτα γῆν κατασπάσεσθε · ἅμα μὲν καὶ ὡς συμπενθοῦντες, Cod. Ven.
(6) Ἡμῖν, *nobis*, Cod. Bav.
(7) Καταπάττεσθε, Cod. Ven.
(8) Καταγέλωτα, Cod. Ven.
(9) Ἐπιφέρῃ, Cod. Bav.

Digitized by Google

οὗ; φησι μὴ μεγαλοφρονεῖν, ὅτι τοῦτον ἐσταύρωσαν, μηδὲ οἰκοδομεῖν, καὶ αὔξειν καταγέλωτα ἐκ τῆς σαρκὸς τοῦ Κυρίου, ἥτις ἦν οἶκος θεότητος. Ἐνέπαιζον γὰρ αὐτῷ, χλαμύδα περιτιθέντες, καὶ στέφανον τῇ κεφαλῇ ἐπιτιθέντες· ἀλλὰ καὶ ἡ Σεννὰν, φησὶν, ἥτις ἑρμηνευομένη *πέτρα*, νοηθείη ἂν ἡ σκληρὰ καὶ πετρώδης τῶν Ἰουδαίων Συναγωγὴ, οὐκ ἐκόψατο τὸν οἶκον, ὁπηνίκα ἐσταυροῦτο, καίτοι ἐχόμενον αὐτῆς, τουτέστι, γειτνιῶντα αὐτῇ, καὶ συγγενῆ ὄντα (ἐξ αὐτῆς γὰρ ὁ Χριστὸς τὸ κατὰ *σάρκα*)· ἢ ἀντεχόμενον αὐτῆς, καὶ πάντα ὑπὲρ αὐτῆς ποιοῦντα. Διὰ τοῦτο λήψεται πληγὴν ὀδύνης ἐξ ὑμῶν τῶν στρατιωτῶν Ῥωμαίων, ὅτε διαφθαρήσεται ὑπὸ τῶν ὑμετέρων στρατευμάτων.

A ævo derisionem et ignominiam. Fortasse gigantibus Enacim assimilat vates et alios milites qui Dominum crucifixerunt, tanquam gigantes et ipsos contra Deum pugnantes. Quos ne glorientur monet quod ipsum crucifixerint, neve concitare velint et augere derisionem ex Domini carne quæ (10) domus erat divinitatis. Illudebant enim ei, chlamydem circumponentes, imponentesque capiti ejus coronam [87]. Neque Sennan, ait (quæ cum **262** idem sonet, ac *petra*, intelligi posset aspera et saxea Judæorum Synagoga), dolens, miserata est domum istam, cum crucifigeretur, licet ipsi hærentem, hoc est proximam, atque sanguine conjunctam (ex ea quippe carnem corpusque suum traxit Christus) vel ipsi faventem, omniaque pro ipsa facientem. Propterea plagam a vobis capiet militibus Romanis, cum vestris ab exercitibus pessumdabitur.

Τίς ἤρξατο εἰς (11) *ἀγαθὰ κατοικούσῃ ὀδύνας; ὅτι κατέβη κακὰ παρὰ Κυρίου* (12) *ἐπὶ πύλαις Ἰερουσαλὴμ ψόφος ἁρμάτων καὶ ἱππευόντων.* Τινὲς μὲν οὕτως ἐνόησαν, ὅτι πρὸς τὴν Ἰερουσαλὴμ ποιούμενος τὸν λόγον, φησί· Τίς ἤρξατο εἰς ὀδύνας τῇ κατοικούσῃ ἀγαθά; τουτέστι, Τίς (13) τὰς ὀδύνας ἐπήγαγε τῇ πρὶν εὐθηνούσῃ Ἰερουσαλὴμ, καὶ κατοικούσῃ ἐν εἰρήνῃ, καὶ πολλοῖς ἀγαθοῖς, ἢ πάντως ὁ Κύριος; διὸ καὶ ἐπάγει, ὅτι Κατέβη κακὰ παρὰ Κυρίου ἐπὶ πύλας Ἰερουσαλὴμ, τουτέστι, τὰ κάκωσιν ἐμποιοῦντα, ἅτινά εἰσι ψόφος ἁρμάτων πολεμικῶν καὶ στρατιωτῶν, τῶν αὐτοῖς ἐποχουμένων καὶ ἱππευόντων. Τινὲς δὲ πρὸς τοὺς ἐν Γὲθ καὶ τοὺς λοιποὺς φασι λέγειν τὸν Θεὸν, ὅτι Ὑμεῖς οἴεσθε αὐτοὶ διαμεῖναι ἀνεπηρέαστοι διὰ τὴν τῶν ὑμετέρων θεῶν ἰσχὺν, τοὺς δὲ ἐξ Ἰσραὴλ παραδοθῆναι τοῖς ἐχθροῖς δι' ἐμὴν ἀσθένειαν· ἀλλὰ κακῶς οἴεσθε. Τίς γὰρ ἤρξατο εἰς ἀγαθὰ τῇ Ἰερουσαλὴμ, τῇ κατοικουμένῃ ὀδύνας; τίς ταύτην τοῦ Σενναχηρεὶμ ἠλευθέρωσεν; Οὐδεὶς πάντως ἄλλος, ἢ ἐγώ. Κατῴκει δὲ ἐν ὀδύναις, διότι παρεχώρησα ἐγὼ ὁ Κύριος καταβῆναι ἐπ' αὐτὴν τὰ τῆς πολιορκίας κακὰ, ὥστε ἐγὼ μὲν παραδοὺς αὐτὴν ὀδύναις, πάλιν ἤρξα αὐτῇ εἰς ἀγαθά· ὑμεῖς δὲ, ἐπειδὴν ἐν κακοῖς γένησθε, οὐχ ἕξετε τὸν ἀγαθοποιήσοντα ὑμῖν. Κατέβη κακὰ καὶ ἐπὶ τὰς πύλας Ἰερουσαλὴμ παρὰ τοῦ Κυρίου τῆς δόξης, ὃν (14) ἐσταύρωσαν, καὶ διὰ τοῦτο κατῴκησεν ἐν ὀδύναις ἡ Χριστοκτόνος πληθύς· ἀλλ' ἤρξατο αὐτῇ εἰς ἀγαθὰ ἡ Ἐκκλησία, καὶ ὁ ἐν ταύτῃ κηρυττόμενος (15) Χριστός. Ὅσοι γὰρ ἐπιστραφέντες, τὸν Χριστὸν ὡμολόγησαν, ἐν ἀγαθοῖς τῆς ἄνω Ἰερουσαλὴμ γεγόνασι. Κατοικεῖ ἐν ὀδύναις καὶ ἡ μετανοοῦσα ψυχὴ, ἢ ὅταν ἐν πύλαις εἴη τῆς Ἰερουσαλὴμ, ὅ ἐστιν ἐν ἀρχῇ (16) τῆς κατὰ Θεὸν πολιτείας, κακὰ ἔχει, ἀντὶ τοῦ, κάκωσιν καὶ θλῖψιν, καταβαίνουσαν αὐτῇ παρὰ Κυρίου,

B Vers. 12. *Quis cœpit in bona ei quæ habitat dolores? quia descenderunt mala a Domino super portas Hierusalem, sonitus curruum et equitum.* Quidam ita locum hunc exponunt, ut ad Hierusalem verba hæc fieri intelligantur, Quis cœpit in dolores ei, quæ habitat bona? Hoc est, quis dolores intulit urbi Hierusalem, quæ quidem bene beateque vivebat fruebaturque pace et rerum affluentibus copiis? Nemo profecto alius, nisi Dominus. Propterea subjicit, Quia descenderunt mala a Domino super portas Hierusalem; quæ scilicet vexationem afferrent, strepitus nimirum bellicorum curruum atque militum, quorum pars in curribus ipsis veheretur, pars equitaret. Quidam vero putant, Deum ad Gethæos et reliquos exteros populos hæc dicere: Creditis vos illæsos esse mansuros, vestrorum ope numinum fretos, Israelitas contra in hostium potestatem redactum iri, meam ob imbecillitatem; sed erratis, atque turpiter hallucinamini. Quis enim bene facere cœpit urbi Hierusalem, antea miseræ et afflictæ? quis hanc a Senacherim manu eripuit? Nemo profecto alius, nisi ego. In afflictionibus autem versabatur, propterea quia ego Dominus permisi, ut irruerent in ipsam obsidionis mala. Postquam autem eam afflictionibus objeci, rursus beneficiis cumulare cœpi. Vos contra, cum in calamitates incidetis, neminem habebitis, qui vobis sit opem laturus. Descenderunt item mala in portas Hierusalem a gloriæ Domino, quem Judæi crucifixerunt, propterea que vitam in afflictionibus egit Judæorum turba quæ Christum interemit. Verum huic ipsi benefacere cœpit Ecclesia, et qui in ea prædicatur Christus. Quotquot enim ad Christum ipsum converti Christum ipsum confessi sunt, bonorum supernæ Hierusalem effecti sunt par-

[87] Matth. xxvii, 37.

Variæ lectiones et notæ.

(10) Ita tamen ut et caro et divinitas in una eademque Verbi persona subsisteret, ut contra Nestorium catholica sancivit Ecclesia.

(11) Deest τὸ εἰς in Cod. Ven.

(12) Ὅτι κακὰ παρὰ Κυρίου, Cod. Ven.

(13) Deest verbum τίς in Cod. Ven.

(14) Ὃν αὐτοὶ, *quem ipsi* [crucifixerunt], Cod. Bav.

(15) Κρυπτόμενος, Cod. Bav.

(16) Ὃ ἐστιν ἀρχὴ, Cod. Ven. sed scribendum fortasse ἀρχῇ.

Digitized by Google

ticipes. Versatur in afflictionibus et anima, quam suorum pœnitet peccatorum; quæ, ubi ventum ad portas Hierusalem, divini scilicet regiminis ingressum, mala subit, ærumnas videlicet et afflictiones ei a Domino missas, ita jubente, *Intrate per angustam portam, et per afflictiones multas* [58], quæ vobis ingressum præbeant in cœleste regnum. Sed ei benefacere incipit nemo profecto alius, nisi Dominus, qui ait, *Beati qui lugent, quoniam ipsi consolabuntur* [59]: et, *Venite ad me omnes, qui laboratis et onerati estis, et ego reficiam vos* [60]. Quomodo vero benefacere incipit? Nobis videlicet innovando viam, quæ ducit ad cœlum, latronem ita affatus, *Hodie mecum eris in paradiso* [61]; ubi vero ipse est, illic et minister ejus erit [62].

A τοῦ ἐντελλομένου· *Εἰσέλθετε διὰ τῆς στενῆς πύλης καὶ διὰ πολλῶν θλίψεων*, ποιούντων ὑμᾶς (17) εἰσέρχεσθαι εἰς τὴν βασιλείαν. Ἀλλ' ἄρχεται αὐτῇ ἀγαθὰ οὐδεὶς ἄλλος, ἢ ὁ εἰπὼν Κύριος: *Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται*· καὶ, *Δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς*. Πῶς δὲ ἄρχεται εἰς ἀγαθά; Ὡς ἐγκαινίσας (18) ἡμῶν τὴν εἰς οὐρανοὺς ὁδὸν, καὶ εἰπὼν τῷ λῃστῇ· *Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ*. Ὅπου δὲ αὐτός ἐστιν, ἐκεῖ καὶ ὁ διάκονος αὐτοῦ ἔσται.

263

Vers. 13. *Quæ habitas Lachis, princeps peccati hæc est filiæ Sion, quia in te inventæ sunt impietates Israel.* Postquam urbem Lachis Senacherim invaserat, cum nihil contra Hierusalem proficere potuisset, eversaque jam fuerat urbs illa, Jure, inquit, ac merito cladem hanc subiisti tu, quæ Lachis habitas, quandoquidem et decem tribuum impietates in te repertæ sunt, et idola coluisti, quinimo et ipsimet Hierusalem dux impietatis hujus fuisti atque magistra.

Κατοικοῦσα Λάχις, ἀρχηγὸς ἁμαρτίας ἐστὶ B *τῇ θυγατρὶ Σιών, ὅτι ἐν σοὶ εὑρέθησαν ἀσέβειαι τοῦ Ἰσραήλ.* Ἐπειδὴ τὴν Λάχις ὁ Σεναχηρεὶμ ἐξεπόρθησε, μηδὲν ἰσχύσας κατὰ τῆς Ἱερουσαλὴμ, καὶ προτέρα ἡ Λάχις ἀπώλετο· φησὶν, ὅτι Δικαίως πανωλεθρίαν ταύτην ὑπέστης, σὺ ἡ κατοικοῦσα τὴν Λάχις, διότι καὶ αἱ ἀσέβειαι τῶν δέκα φυλῶν ἐν σοὶ εὑρέθησαν, καὶ εἰδωλολάτρησας καὶ αὐτὴ, μᾶλλον δὲ καὶ τῇ Ἱερουσαλὴμ διδάσκαλος καὶ ἀρχηγὸς τῆς ἀσεβείας ταύτης κατέστης.

Vers. 14. *Ideo dabis emissarias usque ad hæreditatem Geth, domos vanas.* Quoniam, ait, Lachis, impie egisti, dabis et tu, qui emittantur, habitatores scilicet, qui ducantur in captivitatem, transferanturque ex omnibus finibus usque Geth; idque propter vanas idolorum domus.

Διὰ τοῦτο δώσεις ἐξαποστελλομένοις ἕως κληρονομίας Γέθ, οἴκους ματαίους. Ἐπειδὴ, φησὶν, ὦ Λάχις, ἠσέβησας, δώσεις καὶ αὐτὴ ἐξαποστελλομένους, τουτέστιν, αἰχμαλωτιζομένους, καὶ ἀποικιζομένους ἐκ πάντων σου τῶν ὁρίων ἄχρι τῆς Γέθ, διὰ τοὺς οἴκους τοὺς ματαίους τῶν εἰδώλων.

Vers. 14, 15. *In vanum factæ sunt regibus Israel: donec hæredes adducam tibi.* Est et alia lectio, *Quoad hæredes adducent.* Rationem reddit, cur vanas appellarit idolorum domus, *in vanum* hasce fuisse docens Samariæ *regibus*; nullam enim utilitatem ex idolorum domibus ii perceperunt. Quemadmodum neque tu capies utilitatem ullam ab iisdem hisce domibus, quas coluisti, ut Samaritani. Hæc vero tibi, Lachis, evenient, quoad ego captivos in libertatem vindicans ad te reducam, faclamque ut li paterna quisque hæreditate perfruantur. Vel etiam hæredes appellat hostes, qui, tanquam hæreditatem, adituri erant eorum terram. Ait ergo Samariæ reges habuisse domus idolis dicatas, quoad per ea quæ patrarunt nefaria facinora, hostes in semetipsos acciverunt. Quidam autem hoc modo: Quoniam habitatores Geth impie deblaterabant, Deum, quod imbecillis esset, non potuisse Israelitas incolumes servare; planum facit Dominus, eos hostium potestati fuisse traditos, non propter ipsius imbecillitatem, sed propter eorum nequitiam et impietatem. Confirmat id exemplo Lachis; quæ cum impie egisset, Senacherim potestati tradita est. Divinus itaque vates, his quodammodo gaudens. Deum affatus, Dabis, ait, Domine, qui emittantur, captivas scilicet

Εἰς κενὸν ἐγένοντο τοῖς βασιλεῦσιν Ἰσραὴλ, ἕως τοὺς κληρονόμους ἀγάγω σοι. Ἔστι καὶ ἑτέρα γραφὴ· *Ἕως τοὺς κληρονόμους ἀγάγωσιν.* Ἑρμηνεύει, διὰ τί ὠνόμασε ματαίους τοὺς τῶν εἰδώλων οἴκους, καί φησιν, ὅτι *Εἰς κενὸν ἐγένοντο* οὗτοι *τοῖς* ἐν Σαμαρείᾳ *βασιλεῦσιν*· οὐδὲν γὰρ ὠφελήθησαν ἐκ τῶν εἰδωλικῶν οἴκων· ὥσπερ οὐδὲ αὐτὴ ὠφεληθήσῃ ἐκ τούτων τῶν οἴκων, οὓς ἐτίμησας, ὡς οἱ Σαμαρεῖται. Πλὴν ταῦτά σοι συμβήσεται, ὦ Λάχις, ἕως τοὺς αἰχμαλώτους ἐλευθερώσας ἐγὼ, ἐπαναγάγω σοι αὐτοὺς, καὶ εἰς πατρῴους ἀποκαταστήσω κληρονομίας. Ἢ καὶ κληρονόμους τοὺς ἐχθροὺς λέγει, τοὺς κληρονομήσειν μέλλοντας τὴν αὐτῶν γῆν. Λέγει οὖν, ὅτι οἱ βασιλεῖς τῆς Σαμαρείας εἶχον τοὺς οἴκους εἰδωλικοὺς, ἕως δι' ὧν ἔπραττον, ἤγαγον τοὺς πολεμίους ἐφ' ἑαυτούς. Τινὲς δὲ οὕτως· Ἐπειδὴ οἱ ἐν Γὲθ ἔλεγον, ὅτι ἀσθενὴς ὢν ὁ Θεὸς, οὐκ ἠδύνατο τοὺς Ἰσραηλίτας ἐξελέσθαι, δείκνυσιν αὐτοῖς ὁ Κύριος, ὅτι οὐχὶ διὰ τὴν αὐτοῦ ἀσθένειαν, ἀλλὰ διὰ τὴν οἰκείαν αὐτῶν ἀσέβειαν παρεδόθησαν, καὶ παράδειγμα ποιεῖται τὴν Λάχις, ἥτις ἀσεβήσασα, παρεδόθη τῷ Σεναχηρείμ. Ὁ οὖν προφήτης, οἷα ἐφηδόμενος τούτοις, φησὶν πρὸς τὸν Θεὸν, ὅτι Δώσεις, ὦ Κύριε, ἐξαποστελλομένους, τουτέστιν, αἰχμαλώτους τοὺς οἴκους τοὺς ματαίους, ἤγουν τοὺς οἰκήτορας τῆς Λάχεως καὶ τῆς Γέθ· καὶ τῆς κλη-

[58] Luc. VII, 13, 24. [59] Matth. V, 4. [60] Matth. XI, 28. [61] Luc. XXIII, 43.

Variæ lectiones et notæ.

(17) Ἡμᾶς, *nos*, Cod. Ven.

(18) Ὁ ἐγκαινίσας, Cod. Ven.

Digitized by Google

ρονομίας γὰρ Γὲθ ἡ αἰχμαλωσία καθάψεται. Οἶδε γὰρ ἡ Γραφὴ οἴκους ὀνομάζειν τοὺς οἰκήτορας καὶ τὰς πατριὰς, ὡς ἀλλαχόθεν δῆλον, οἷον τοῦ· *Οἶκος Λευΐ, καὶ οἶκος Ἀαρών*· καὶ ἐκ τούτου αὐτοῦ τοῦ προφήτου, τοῦ ἐν ἀρχῇ λέγοντος· « Τίς ἡ ἀσέβεια οἴκου Ἰακὼβ, καὶ ἡ ἁμαρτία οἴκου Ἰούδα; » Εἶτα σχετλιάζων ὁ προφήτης, φησὶν, ὅτι « τοῖς βασιλεῦσιν Ἰσραὴλ » τοῖς ἐν Σαμαρείᾳ, « εἰς κενὸν ἐγένοντο, » ἃ εἰδωλολάτρουν, καὶ ὡς ἔοικεν, ἐσπούδαζον πάντα ποιεῖν, ἃ ἐποίουν, ἕως ἀγάγωσι τοὺς κληρονόμους, τουτέστι τοὺς ἐχθροὺς, τοὺς κατακληρονομήσαντας τὴν γῆν αὐτῶν.

Κατοικοῦσα Λάχις κληρονομία ἕως Ὀδολὰμ ἥξει. Ἡ κληρονομία, φησὶν, αὕτη, ἣν μέλλουσιν οἱ ἐχθροὶ κατακληρονομῆσαι ἐν τοῖς ὑμετέροις, οὐκ ἄχρι σοῦ στήσεται, ὦ κατοικοῦσα τὴν Λάχις, ἀλλὰ καὶ ἕως Ὀδολὰμ ἥξει, ἥτις ἐν ἐσχάτοις τῆς Ἰουδαίας κεῖται· ὥστε εἶναι τὸ λεγόμενον τοιοῦτον· Ἀπὸ ἄκρου τῆς Ἰουδαίας ἄχρι τοῦ ἑτέρου ἄκρου ἡ αἰχμαλωσία ἐλεύσεται (19). Οἶκοι ἐξαποστελλόμενοι, αἱ Ἰουδαϊκαὶ συναγωγαί· ἐξαπέστειλε γὰρ αὐτὰς, καὶ ἐγκατέλειψεν ὁ εἰπών· *Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος*· οἵτινες οἶκοι ἐγένοντο (20) τοῖς ἄρχουσι τῶν Ἰσραηλιτῶν, εἰ καὶ εἰς κενὸν, ἕως οὗ ἦγαγε τοὺς ἀληθινοὺς κληρονόμους, τὰ ἔθνη, ὁ Κύριος. Ἐπεὶ δὲ ὁ Ἀκύλας ἑνικῶς τέθεικε τὸν κληρονόμον, δίδωσιν ἡμῖν νοεῖν, ὅτι ἔσονται οἱ οἶκοι, εἰ μάταιοι, οἵ τε τῶν εἰδώλων, καὶ αἱ συναγωγαί· καὶ αὗται γὰρ μάταιαι· εἰς γὰρ οἶκος τῷ Κυρίῳ, ὃν καὶ αὐτὸν σπήλαιον ὑαίνης ἐποίησαν. Ἔσονται οὖν ἕως ὁ κληρονόμος Χριστὸς ἥξει, ὃν οἱ κακοὶ γεωργοὶ ἰδόντες, *Οὗτος*, εἶπον, *ὁ κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτόν*. Οὗτος τοίνυν παραγενόμενος, τούς τε τῶν εἰδώλων οἴκους, καὶ τὰς Ἰουδαϊκὰς καταλύσει συναγωγάς· καὶ εἴ τινες ἰδιῶται τοῦ Θεοῦ γενόμενοι, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκῆσαν σχόντες ἐν αὐτοῖς, εἶτα τὸ Πνεῦμα τῆς χάριτος ἐνύβρισαν, καὶ ἐπέβλεψαν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς, λυττῶντες περὶ τὰς ψευδεῖς τοῦ κόσμου ἡδονὰς, οἶκοί τε μάταιοι ἐγένοντο, καὶ ἐξαποστελλόμενοι ἔσονται, ἀκούοντες· *Ἀπόστητε ἀπ' ἐμοῦ, οἱ ἐργάται τῆς ἀνομίας*· καὶ, *Πορεύεσθε εἰς τὸ πῦρ τὸ ἐξώτερον*· ὅτε καὶ τοὺς κληρονόμους ἀγάγῃ ἐγγυτέρω ὁ Κριτὴς καὶ συγκληρονόμος αὐτῶν, λέγων πρὸς αὐτούς· *Δεῦρο κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν.*

Ἡ δόξα τῆς θυγατρὸς Σιὼν, ξύρησαι καὶ κεῖρε [*f.* κεῖραι] *ἐπὶ τὰ τέκνα τὰ τρυφεράσου.* Οὐχ ἡ Λάχις, φησὶ, μόνη, οὐδὲ ἡ Ὀδολὰμ πείσονται τὰ δεινά· ἀλλὰ καὶ σὺ, ἡ Σιὼν, πεῖραν τούτων ἕξει. Διὸ ξύρησαι καὶ ἀποκάρηθι, πένθιμον ἀναλαβοῦσα σχῆμα, A domus vanas, habitatores nimirum Lachis et Geth. Captivitas enim et ad hæreditatem Geth pertinget. Sacra namque Scriptura domus appellare consuevit ipsosmet habitatores, ipsasque familias, quod cum aliis ex locis perspicuum, ut ex eo, *Domus Levi et domus Aaron* [61.63], tum ex hoc ipso propheta, qui vaticinii sui initio hæc habet, Quæ impietas domus Jacob? ecquod peccatum domus Juda? Dolens deinde vates ait, in vanum Samariæ regibus esse idola quæ colebant, eosque ut videbantur, ea omnia sedulo facturos, quæ faciebant, **264** quoad hæredes invecherent, hostes nimirum, qui ipsorum terram tanquam hæreditatem adirent.

Quæ habitas Lachis : hæreditas usque ad Odollam B *veniet.* Hæreditas, ait, hæc quam vestris in regionibus adituri sunt hostes, non intra fines tuos continebitur, tu quæ Lachis incolis ; sed pertinget usque ad Odollam, quæ procul in ultimis Judææ finibus jacet. Ut sensus sit, captivitatem ab uno Judææ fine usque ad alterum esse progressuram. Emissariæ domus sunt Judæorum synagogæ ; dimisit enim ipsas planeque dereliquit qui dixit, *Ecce relinquetur domus vestra deserta* [64]. Quæ quidem synagogæ domus fuere principibus Israelitarum, licet in cassum, quoad veros hæredes, gentiles scilicet populos, Dominus adduxit. Quoniam vero Aquila singulari numero hæredem reddidit, per hoc nobis innuit vanas eis domus futuras, cum eas quæ idolis dicatæ erant, tum C ipsasmet synagogas : nam hæ quoque vanæ sunt, (Una quippe Domino domus erat, quam et ipsam hyænæ speluncam fecerunt) per hoc inquam, innuit vanas hasce domus eis fore, quoad veniat hæres Christus quem improbi agricolæ conspicati dixerunt, *Hic est hæres, agite occidamus eum* [65]. Hic ergo cum adveniet, funditus evertet cum idolorum domus, tum Judaicas synagogas. Vanæ quoque domus evaserunt quotquot templa Dei facti, atque divinum Spiritum in semetipsis gerentes, hunc ipsum gratiæ Spiritum injuriis affecerunt, respexerunique ad vanitates et insanias falsas [66], inanes hujusce mundi voluptates insano impetu consectantes. Qui quidem et dimittentur, audientque D verba illa, *Discedite a me, operarii iniquitatis*, et, *Ite in ignem æternum* [67] ; atque tum simul adducet hæredes judex, suosque cohæredes, his verbis : *Venite, possidete paratum vobis regnum* [68].

Vers. 16. *Gloria filiæ Israel, decalvare et detondere super filios delicatos tuos.* Non solæ, inquit, Lachis et Odollam acerba mala patientur ; sed et tu, Sion, eadem experieris. Quare decalvare et detondere, lugubrem vestem induens, tuorum

[61.63] Psal. cxxxiv. 19, 20. [64] Matth. xxiii, 18. [65] Matth. xxi, 38. [66] Psal. xxxix, 5. [67] Luc. xiii, 27. [68] Matth. xxv, 41.

Variæ lectiones et notæ.

(19) Περιτελεύσεται, Cod. Bav.

(20) Ἔρημος· οἶκοι ἐγένοντο, Cod. Bav.

Digitized by Google

causa filiorum, qui pridem in deliciis cum viverent, in captivitatem abducentur, afficienturque magnis cruciatibus.

Dilata tonsuram tuam, sicut aquila ; quoniam captivi ducti sunt ex te. Ut aquila, inquit, stato quodam tempore, pennis omnibus exuitur, neque venari tum potest amplius quoad ei pennæ renoventur : ita et tu, patrocinio meo destituta, hostes subigere non poteris, sed ab ipsis potius in servitutem facile redigeris. Vel : Fac et tu penitus abradas tondeasque capillos capitis tui, ut aquila suas amittit pennas omnes, propterea **265** quod captivi abducti sunt filii tui, qui in deliciis omnibus educati nullum unquam incommodum subierunt. Ferunt vero aquilam tum vel maxime cruciari et angi, cum suis pullis destituitur.

διὰ τὰ τέκνα, τὰ πρώην μὲν ἐν τρυφῇ ζήσαντα, εἶτα εἰς αἰχμαλωσίαν καὶ κάκωσιν ἀπαχθησόμενα.

Ἐμπλάτυνον τὴν ξύρησίν σου, ὡς ἀετός, ὅτι ᾐχμαλωτεύθησαν ἀπὸ σοῦ. Ὥσπερ ὁ ἀετός, φησὶν, ἐν καιρῷ, πάντων ἀπογυμνοῦται τῶν πτερῶν (21), καὶ οὐδὲ θηρεύειν ἰσχύει ἐν πῷ καιρῷ τούτῳ, ἄχρι οὗ πάλιν ἀναχαινισθῶσιν αὐτῷ τὰ πτερά · οὕτω καὶ σὺ τῆς ἐμῆς γυμνωθεῖσα προνοίας, οὐκ ἰσχύσεις κατὰ τῶν ἐχθρῶν, ἀλλὰ μᾶλλον εὐάλωτος αὐτοῖς ἔσῃ. Ἢ, ὅτι Ἀκριβῶς καὶ σὺ ξύρησαι, καὶ πάσας (22) τὰς τρίχας ἀποκάρηθι, ὥσπερ ἀετὸς ἀποβάλλει πάντα τὰ πτερὰ, διότι ᾐχμαλωτεύθησαν τὰ τέκνα σου, ἃ ἐν πάσῃ τρυφῇ ἀνέτρεφες, μηδενός ποτε ἀνιαροῦ πειραθέντα. Φασὶ δὲ καὶ ἐπὶ τῇ τῶν νεοττῶν στερήσει σφόδρα τὸν ἀετὸν ἀλγεῖν.

CAPUT II.

VERS. 1. *Facti sunt cogitantes labores et operantes mala in cubilibus suis : et simul cum die cumulabant ea.* Cum divinus vates exposuerit, quæ subeunda mala sint, eos jure ac merito mala illa passuros ostendit. Etenim cum humanæ vitæ tempus in partes duas sit distributum, noctem scilicet et diem ; noctu nefaria ii facinora machinabantur, considerantes, qua ratione huic vel illi negotium facessere possent, atque damnum inferre ; interdiu prima statim luce, sine mora ulla, sua consilia cogitataque perficiebant. Animadverte verba, *operantes mala in cubilibus suis ;* pro cogitantes enim *operantes* dixit, ut ostenderet cogitationem opus esse mentis, qua de re etiam judicamur, planamque simul faceret eorum ad maleficia alacritatem atque celeritatem. Consilium enim ipsorum, ait, opus erat.

VERS. 1, 2. *Quia non levaverunt ad Deum manus suas : et desiderabant agros et diripiebant pupillos.* Mentem scilicet ad Deum diluculo non converterunt, manus ad eum tollentes, ut viris piis mos est ; sed prima statim luce male agere cœperunt. Vel : Non a Deo, inquit, bona quærebant supplices cum orantes, ut sibi vitæ necessaria præberet ; sed suis quisque cupiditatibus obnoxii pupillorum bona diripiebant. Vel etiam pupillos ipsos diripuerunt, hoc est, in servitutem redegerunt.

Et domos opprimebant. Non pupillos modo, ut supra dictum est, vexabant, sed domos etiam expilabant, splendidiores scilicet et opulentiores. Vel hoc ideo dicit, quod diriperent quæ in pupillorum domibus erant et ipsas etiam domos.

Et rapiebant virum et domum ejus. Utrumque hoc, ait, ii fecerunt : abduxerunt scilicet virum, in servitutem eum redigentes, ut solent exteri hostes ;

ΚΕΦΑΛ. Β'.

Ἐγένοντο λογιζόμενοι κόπους, καὶ ἐργαζόμενοι κακὰ ἐν ταῖς κοίταις αὐτῶν, καὶ ἅμα τῇ ἡμέρᾳ συνετέλουν αὐτά. Εἰπὼν, ἃ πείσονται, δείκνυσιν, ὅτι δικαίως ταῦτα πείσονται. Καὶ γὰρ, φησὶν, εἰς δύο ταῦτα διῃρημένης τῆς τῶν ἀνθρώπων (23) ζωῆς, εἰς νύκτα, καὶ ἡμέραν · τῇ μὲν νυκτὶ, ἐβουλεύοντο τὰ παράνομα, καὶ πῶς ἂν κόπους καὶ κάκωσιν ἐμποιήσωσί τινι · τῇ δὲ ἡμέρᾳ, τὰ βεβουλευμένα συνετέλουν ἅμα πρωΐᾳ, εὐδεμίαν ἀναβολὴν ἐνδεικνύμενοι. Ὅρα δὲ τὸ, Ἐργαζόμενοι κακὰ ἐν ταῖς κοίταις αὐτῶν · ἀντὶ γὰρ τοῦ, ἐννοούμενοι, ἐργαζόμενοι εἶπεν · ἅμα μὲν ἵνα δείξῃ, ὅτι ἡ ἐνθύμησις ἔργον ἐστὶ τῆς διανοίας, διὸ καὶ ἐπ' αὐτῇ κρινόμεθα · ἅμα δὲ, ἵνα δηλώσῃ τὸ πρὸς τὴν κακουργίαν αὐτῶν (24) δραστήριον · ἡ γὰρ βουλὴ (25), φησὶν, αὐτῶν, ἔργον ἦν.

Διότι οὐκ ἦραν πρὸς Θεὸν χεῖρας αὐτῶν, καὶ ἐπεθύμουν ἀγροὺς, καὶ διήρπαζον ὀρφανούς. Οὐκ ὠρθριζον πρὸς τὸν Θεὸν, ὥστε αἴρειν πρὸς αὐτὸν χεῖρας, ὡς τοῖς εὐσεβέσιν ἔθος, ἀλλ' ἅμα τῷ πρωῒ συνετέλουν τὰ κακά. Ἢ, ὅτι Οὐ παρὰ τοῦ Θεοῦ, φησὶν, ἐπεζήτουν τὰ ἀγαθὰ, ἱκετεύοντες αὐτὸν πορίστην αὐτοῖς γενέσθαι τῶν πρὸς τὸν βίον χρειωδῶν, ἀλλὰ ταῖς οἰκείαις ἐπιθυμίαις δουλεύοντες, διήρπαζον τὰ τῶν ὀρφανῶν. Ἢ καὶ αὐτοὺς τοὺς ὀρφανοὺς διήρπαζον, τουτέστιν, εἰς δουλείαν ὑπῆγον.

Καὶ οἴκους κατεδυνάστευον. Οὐ μόνον ὀρφανοὺς ἐκάκουν, ὡς προείρηται, ἀλλὰ καὶ οἴκους κατεδυνάστευον, τουτέστι, τοὺς τῆς ἐνδοξοτέρας τύχης καὶ δυνατωτέρας. Ἢ ὅτι τὰ ἐν ταῖς οἰκίαις τῶν ὀρφανῶν ἀφῃροῦντο, καὶ αὐτοὺς τοὺς οἴκους.

Καὶ ἥρπαζον τὸν ἄνδρα, καὶ τὸν οἶκον αὐτοῦ. Ἀμφότερα, φησὶν, ἐποίουν, καὶ τὸν ἄνδρα διαρπάζοντες, καὶ εἰς δουλείαν ἀπάγοντες, ὥσπερ ἀλλόφυ-

Variæ lectiones et notæ.

(21) Ἀπογυμνοῦται φυσικῶς τῶν πτερῶν, Cod. Bav.
(22) Πάντας, Cod. Ven.
(23) Τῆς ἀνθρωπίνης, Cod. Bav.
(24) Ἐκείνων, Cod. Bav.
(25) Βούλησις, Cod. Bav.

Digitized by Google

λοι πολέμιοι, καὶ τὸν οἶκον αὐτοῦ, τουτέστι, τὰ ἐν τῇ οἰκίᾳ αὐτοῦ πάντα, καὶ αὐτὴν, καὶ ὅλους τοὺς ἐν τῷ οἴκῳ αὐτοῦ καταδουλοῦντες.

Ἄνδρα, καὶ τὴν κληρονομίαν αὐτοῦ. Τὴν ἐν ἀγροῖς, καὶ κτήμασι (26) περιουσίαν. Δόξα τῆς τῶν Ἑβραίων Συναγωγῆς ὁ νόμος, ὃς νῦν ξυρηθεὶς τῇ μαχαίρᾳ τοῦ Πνεύματος, ὁ ἐστι ῥῆμα Θεοῦ, οὐ δεδόξασται διὰ τὸν ὑπερβάλλοντα φωτισμὸν τῆς δόξης τοῦ Χριστοῦ (27), οὗ τὰ τέκνα, τὰ τῇ τρυφῇ καὶ ἀκολασίᾳ ζῶντα, οἱ ἐχθροὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ, ὧν Θεὸς ἡ κοιλία, ἠχμαλωτεύθησαν ὑπὸ Ῥωμαίων, διότι ἃ ἐλογίζοντο ἐν νυκτὶ κατὰ τοῦ Κυρίου, μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβόντες αὐτὸν, ταῦτα ἅμα τῇ ἡμέρᾳ συνετέλουν, πρωΐᾳ ἀπάγοντες (28) αὐτὸν πρὸς Πιλάτον. Ταῦτα δὲ ἐποίουν, διότι τὰς οἰκίας τῶν χηρῶν κατήσθιον, καὶ τὸν ἄλλον βίον ἦσαν διεφθαρμένοι, καὶ τὸ φῶς ἐμίσουν· ἦν γὰρ πονηρὰ τὰ ἔργα αὐτῶν. Εἰ δὲ αἱ τρίχες νεκρόν τι χρῆμα καὶ ἄψυχον, Σιὼν δὲ *σκοπευτήριον* ἑρμηνεύεται· ὅρα, ὅτι παρακελεύεται τῷ σκοπευτηρίῳ τοῦ νοὸς ἡμῶν, μηδὲν τριχῶδες ἐν ἑαυτῷ ἔχειν. Οὐ γὰρ ἂν ἀποσκοπεύσειεν ὀφθαλμὸς, οὐδὲ ἴδοι καθαρῶς, τρίχα ἔχων. Ἀλλ' ὅταν ξυρηθῇ, τότε ὀξυωπέστατος γενήσεται, ὡς ἀετὸς, ὃν φασι μόνον τῶν ζώων ἀντοφθαλμεῖν ταῖς ἡλιακαῖς αὐγαῖς· οὕτω δὲ καὶ αὐτοῦ κρίνειν τέκνα, εἴτε νόθα ἐστὶν, εἴτε γνήσια. Ἀντιπρόσωπα γὰρ ἱστῶν τῷ ἡλίῳ, ὅταν ἴδοι μὴ ταῖς ἀκτῖσιν ἀντοφθαλμοῦντα, ἀλλὰ σκαρδαμύττοντα, κόπτων, ὡς νόθα τῆς νοσσιᾶς ἀπορρίπτει. Προτρέπεται δὲ ἡμᾶς ἐπὶ τὴν ξύρησιν, διὰ τὰ τρυφερὰ, φησὶ, τέκνα. Τέκνα δὲ τρυφερὰ ἔχει ὁ μὴ δυνάμενος μετὰ Δαβὶδ λέγειν· *Διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς*· ἀλλὰ τοῖς τὰ μαλακὰ φοροῦσι (30) συντεταγμένος, καὶ τὸν λεῖον καὶ ἡδὺν βίον μετιών. Ἅμα δὲ τῇ ἡμέρᾳ συντελεῖ τὰ κακὰ, ὁ μηδὲ φαῦλον ποιεῖν οἰόμενος, ἀλλ' ἀνερυθριάστως καὶ πεπαρρησιασμένως ἐμπομπεύων τῇ κακίᾳ, ὃς οὐκ αἴρει πρὸς Θεὸν τὰς χεῖρας αὐτοῦ. Οὐ γὰρ ἐργάζεταί τι θεῖον καὶ ἄνω κείμενον· ἀλλ' ἐπιθυμιῶν τὰ ἀγαθὰ τοῦ κόσμου, ὅς ἐστιν ἀγρὸς, καὶ ἄλλους διαφθείρει, διδάσκαλος κακίας γινόμενος τοῖς ὅσοι ὀρφανοὶ εἰσιν, ἀποπεσόντες τῆς οἰκειότητος τοῦ οὐρανίου Πατρός. Διαρπάζει δὲ ἄνδρα, τὴν ψυχὴν, καὶ τὸν οἶκον αὐτοῦ, τὸ σῶμα, καὶ ἀμφότερα ἀπολλὺς, καὶ τῆς ἄνω κληρονομίας τῆς ἀκαταλύτου ἀποστερῶν.

A et simul ejus domum, omnia scilicet quæ in domo erant diripuerunt, servitioque subjecerunt familiam ipsam et quotquot in ea continebantur.

Virum et hæreditatem ejus. Facultates scilicet quæ in agris erant atque possessionibus. Gloria Hebræorum Synagogæ lex est, quæ nunc gladio divini Spiritus, verbo scilicet Dei, recisa, non amplius celebratur ob ingentem splendorem gloriæ Christi; cujus filii, mollem et effeminatam vitam agentes, Christi ipsius **266** crucis inimici, quorum deus venter est [69], in captivitatem ab Romanis abducti sunt propterea quia, quæ noctu consilia contra Dominum ceperant ut cum cum fustibus ac lanternis comprehenderent [70], hæc prima statim luce perfecerunt, mane ipsum ad Pilatum adducentes. Hæc illi, propterea quia viduarum domos expilabant et in reliqua vita perversi erant, oderantque lucem : prava enim erant eorum opera (29). Porro si capillus mortua quædam res est et inanima, Sion autem idem sonat ac *specula* ; vide quemadmodum mentis nostræ speculæ præcipiatur, ne quidquam in se pilosi contineat. Non enim perspicere possit oculus, neque clare videre, qui capillis impediatur. Cum vero capillus omnis abraditur, tum oculi acies acutissima fit ut aquila, quam animantium unam in solares radios obtutum figere aiunt, atque hoc experimento dijudicare suos partus et explorare, spuriine sint an legitimi. Eos quippe contra solem statuit ; et ubi videt eos haud solares radios immotis oculis intueri, sed nictare, tum ipsos vellicans, uti spurios, nido abigit. Hortatur autem nos ad capillos tondendos, ob filios, ait, delicatos. Delicatos autem filios habet, qui cum Davide dicere nequit, *Propter verba labiorum tuorum custodivi vias duras* [71], sed in eorum numero censetur, qui mollia cogitant, suavem atque jucundam vitam traducens. Prima vero luce mala perficit, qui ne male quidem se agere putat, sed summam per impudentiam audaciamque sua de iniquitate gloriatur. Qui profecto manus suas ad Dominum non tollit ; nihil enim divini agit, nihilque cœlestis ac superni ; sed mundi qui ager est, bona concupiscens, alios etiam transversos agit, improbitatis magister factus iis omnibus, quotquot a familiaritate cœlestis Patris excidentes, pupilli quodammodo parentum orbi fiunt. Idem virum diripit, animam domumque ejus, corpus nimirum, et perdit utrumque, superna, semper stabili, privans hæreditate.

Διὰ ταῦτα τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ λογίζομαι ἐπὶ τὴν φυλακὴν ταύτην κακὰ, ἐξ ὧν οὐ μὴ ἄρητε τοὺς τραχήλους ὑμῶν, καὶ οὐ μὴ πο-

Vers. 3. *Propterea hæc dicit Dominus : Ecce ego cogito super tribum* (31) *istam mala, de quibus non auferetis colla vestra, non ambulabitis recti subi-*

[69] Philipp. III, 19. [70] Matth. XXVI, 47. [71] Psal. XVI, 4.

Variæ lectiones et notæ.

(26) Κτήσεσι, Cod. Bav.
(27) Τοῦ Χριστοῦ· ὧν Θεὸς ἡ κοιλία, Cod. Bav.
(28) Παράγοντες, Cod. Ven.
(29) Respicit interpres præcedentia prophetæ verba.
(30) Scribendum fortasse φρονοῦσι.
(31) Uterque Cod. habet φυλακὴν, *custodiam*. In Polyglottis autem habetur φυλὴν, *tribum*, ut et Theophylactus legisse videtur, cum in Commentario φυλὴν habeat.

Digitized by Google

to, quia tempus malum est. Meditabantur, inquit, ipsi mala contra proximum suum : en et ego mala meditor contra tribum hanc Juda, ut et contra decem reliquas ; quæ profecto mala adeo gravia vobis erunt et acerba, ut duras arrogantesque cervices vestras incurvare valeant. Tum vos non incedetis recti, sed proni ; propterea quod malum vobis tempus erit, acerbum scilicet atque molestum. Ita et ad Salomonis illud : *Malum occupationem dedit hominibus* [73], quidam vocabulum hoc πονηρὸν, cum accentu in ultima legunt, licet alii cum accentu in antepenultima legendum putent. Talia prædixit et David de iis qui Deum interfecerunt, *Obscurentur*, ait, *oculi* **267** *eorum, ne videant et dorsum eorum semper incurva* [74]. Eorum enim iniquitates graves factæ sunt super ipsos, nec audierunt Dominum dicentem : *Venite ad me omnes, qui laboratis et onerati estis, et ego reficiam vos* [75]. Utilis autem est afflictio superbo homini et arroganti, qui recta incedere sibi videtur. Quo de homine Salomon : *Rectæ videntur homini viæ, quæ tamen ad extremum in profundum ducunt* [76]. Pronus enim ille et humilis cum David dicet : *Bonum mihi, quia humiliasti me* [76].

Vers. 4. *In die illa sumetur super vos parabola.* In omnium videlicet ore versabimini, calamitatumque vestrarum fama longe lateque per totum terrarum orbem manabit. Siquidem eas alius alii narrabit. Vel : Exemplo omnibus eritis, ut quisque dicturus sit, Pati nollem quæ passi illi sunt.

Et plangetur planctus in cantico. Exteri quidem, ait, vestrum afferent exemplum : vestrates autem luctum quadam cum cantilena edent, ut et vos ipsi vestris in angustiis facietis. Tristes autem sunt et omnium maxime miserandi luctus, qui cum cantilena fiunt.

Dicendo : Miseria miseri sumus. Ut summam esse eorum calamitatem ostenderet vates, bis miseriæ nomen usurpavit. Non simplici, inquit, et levi miseria premimur ; sed tali quæ vere miseria dici potest.

Pars populi mei dimensa est in funiculo. Hæc aut ab iis enuntiantur, qui quadam cum cantilena lugentes dicunt, *Miseri sumus*, causam quodammodo assignando, cur in miserias inciderint, eaque sit, quod hæreditates populi mei distrahantur : aut etiam ab ipsomet Deo qui dicat, Ego equidem terram eis distribui, quæ nunc a vicinis accolisque dividitur. Cum enim terram illam desertam invenissent, eam inter se partientes, sibi ipsi colendam sumpserunt. Dimensa quoque est terra ab iis qui captivos homines in servitutem duxerunt, qui tributa reliquis imperabant, atque propterea metiebantur terram quam horum quisque possidebat.

A ρευθῆτε ὀρθοί, ὅτι καιρὸς πονηρός ἐστιν. Ἐλογίζοντο, φησὶν, αὐτοὶ κακὰ κατὰ τῶν πλησίον· ἰδοὺ καὶ αὐτὸς λογίζομαι κακὰ ἐπὶ τὴν φυλὴν ταύτην τοῦ Ἰούδα, ὥσπερ καὶ ἐπὶ τὰς ἄλλας δέκα· τὰ δὲ κακὰ ταῦτα οὕτως ἔσονται βαρέα καὶ ἐπαχθῆ, ὥστε κατακάμψαι τοὺς σκληροὺς ὑμῶν καὶ ἀλαζονικοὺς τραχήλους· καὶ οὐ μὴ πορευθῆτε ὀρθοὶ, ἀλλὰ συγκεκυφότες, διότι ὁ καιρὸς πονηρός ἐστι, δηλαδὴ ὑμῶν, τουτέστι δύσκολος, πόνους ἐπιφέρων. Οὕτω καὶ παρὰ τῷ Σολομῶντι τὸ, *Πονηρὸν περισπασμὸν ἔδωκε τοῖς ἀνθρώποις*, ὀξυτόνως ἀνέγνων τινὲς, εἰ καὶ ἄλλοι παροξυτόνως (32) ἀναγινώσκουσι. Τοιοῦτόν τι καὶ Δαβὶδ περὶ τῶν θεοκτόνων προεῖπε· *Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν, τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον διὰ παντὸς σύγκαμψον.* Αἱ γὰρ ἀνομίαι αὐτῶν ἐβαρύνθησαν ἐπ' αὐτοὺς, καὶ οὐκ ἤκουον τοῦ Κυρίου, λέγοντος· *Δεῦτε, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.* Ἀγαθὴ δὲ ἡ κάκωσις τῷ ὑπερηφάνῳ καὶ τραχηλιῶντι, καὶ οἰομένῳ περιπατεῖν ἐν ὀρθότητι. Περὶ οὗ Σολομὼν εἶπεν· *Εἰσὶν ὁδοὶ ὀρθαὶ δοκοῦσαι ἀνδρὶ· τὰ μέρτοι τελευταῖα φέρει εἰς πυθμένα ᾅδου.* Καμπτόμενος γὰρ καὶ ταπεινούμενος ὁ τοιοῦτος, ἐρεῖ μετὰ Δαβίδ· *Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με.*

B

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ληφθήσεται ἐφ' ὑμᾶς παραβολή. Τουτέστιν, ἀνὰ στόμα πᾶσιν ἔσεσθε, καὶ τὰ ὑμέτερα κακὰ διαφημισθήσονται ἐπὶ πάντας, ἄλλου πρὸς ἄλλον ταῦτα διηγουμένου. Ἢ, ὅτι Ἔσεσθε ὑπόδειγμα πᾶσιν, ὥστε λέγειν ἕκαστον· Μὴ πάθοιμι, ὡς ἔπαθον οἱ δεῖνες.

C

Καὶ θρηνηθήσεται θρῆνος ἐν μέλει. Οἱ μὲν ἀλλότριοι, φησὶ, παραβολὴν ὑμᾶς ἕξουσιν· οἱ δ' οἰκεῖοι ὑμῶν θρῆνον μετὰ μέλους συνθήσουσι (33), καὶ ὑμεῖς δὲ ἐφ' ἑαυτοῖς. Γοεροὶ δὲ οἱ μετὰ μέλους θρῆνοι καὶ ἐλεεινότεροι.

Λέγων· Ταλαιπωρίᾳ ἐταλαιπωρήσαμεν. Τὴν ὑπερβολὴν τῆς ἀσθενείας αὐτῶν δηλῶν ὁ λόγος, ἐδιπλασίασε τὸ τῆς ταλαιπωρίας ὄνομα. Οὐχ ὁπλῶς γὰρ, φησὶν, ἀλλὰ τῇ ὄντως ταλαιπωρίᾳ ἐταλαιπωρήσαμεν.

Μερὶς λαοῦ μου κατεμερίσθη ἐν σχοινίῳ. Ἢ τὸ πρόσωπον τῶν θρηνούντων ἐν μέλει, καὶ λεγόντων, ὅτι *Ἐταλαιπωρήσαμεν*, λέγει, καὶ ταῦτα οἱονεὶ τὴν αἰτίαν ἐπάγων (34) τοῦ ταλαιπωρῆσαι· ἡ δέ ἐστι τὸ, Μετρηθῆναι τὰς κληρονομίας (35) τοῦ λαοῦ μου· ἢ καὶ ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦτο λέγεται, ὅτι Ἐγὼ μὲν ἀφώρισα αὐτοῖς τὴν γῆν· νῦν δ' αὕτη μετρεῖται παρὰ τῶν γειτόνων καὶ περιοίκων. Καὶ γὰρ ἔρημον εὑρόντες τὴν γῆν, αὐτοὶ ταύτην διενέμοντο εἰς τὸ γεωργεῖν. Ἀλλὰ καὶ παρὰ τῶν αἰχμαλωτευσάντων αὐτοὺς, κατεμετρήθη, δασμοὺς καὶ φόρους ἐπιτιθέντων τοῖς ὑπολειφθεῖσι, καὶ διὰ τοῦτο μετρούντων τὴν ὑφ' ἑκάστου τούτων κατεχομένην γῆν.

[73] Eccli. I, 13. [74] Psal. LXVIII, 24. [75] Matth. XI, 28. [76] Prov. XVI, 25. [76] Psal. CXVIII, 1.

Variæ lectiones et notæ.

(32) Scribendum puto προπαροξυτόνως.
(33) Ἐφ' ἡμῖν συνθήσουσι, Cod. Bav.
(34) Ἐπάγοντα, Cod. Ven.
(35) Ἐκκλησίας, Cod. Bav.

Digitized by Google

Καὶ οὐκ ἦν ὁ κωλύσων αὐτὸν τοῦ ὑποστρέψαι. Οὔτε ὁ Χαμὼς, φησὶν, οὔθ' ὁ Βὴλ, οὔτ' ἄλλος τις τοιοῦτος ὑμῶν θεὸς, ἠδυνήθησαν κωλῦσαι αὐτὸν, τουτέστι τὸν μετροῦντα, τοῦ ἀποστρέψαι ἀπὸ τοῦ μετρεῖν. Τοῦτο δὲ λέγει, κωμῳδῶν τοὺς θεοὺς αὐτῶν. Ἢ, ὅτι Οὐκ ἦν ὁ κωλύσων τὸν λαόν μου, ὥστε μὴ τὴν πρὸς τὴν αἰχμαλωσίαν ὁδὸν πορεύεσθαι, ἀλλὰ ἀποστρέψαι ἀπὸ ταύτης.

Οἱ ἀγροὶ ὑμῶν διεμερίσθησαν· διὰ τοῦτο οὐκ ἔσται βάλλων σχοινίον ἐν κλήρῳ. Ἀπὸ ἀλλοτρίων μὲν, φησὶν, οἱ ἀγροὶ ὑμῶν κατεμετρήθησαν καὶ διεμερίσθησαν· ὑπὲρ σοῦ δὲ τοῦ λαοῦ οὐκ ἔσται ὁ βάλλων σχοινίον μετρητικὸν, ὥστε καὶ σοὶ ἀπονεμηθῆναι κλῆρον. Τοῦτο πεπόνθασι καὶ οἱ ἀλαζόνες Ἰουδαῖοι. Πρωτότοκοι μὲν γὰρ ἦσαν, καὶ σχοίνισμα κληρονομίας Θεοῦ, καὶ αὐτῶν αἱ ἐπαγγελίαι. Καὶ οἱ πατέρες ἐμπαροινήσαντες δὲ τῷ Χριστῷ, ἀπώλεσαν τὴν ἐν τοῖς ἡγιασμένοις κληρονομίαν. Καὶ λοιπὸν τὰ ἔθνη γεγόνασι συμπολῖται τῶν ἁγίων, καὶ κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ. Οἶδε δὲ ὁ Δαβὶδ καὶ τὰς ἐπιβουλὰς, καὶ τὰ πειρατήρια, σχοινία ὀνομάζειν, ὡς τὸ, *Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι·* καὶ, *Σχοινίοις διέτειναν παγίδα τοῖς ποσί μου.* Ὅταν οὖν τις ἐπιβουλευθεὶς ὑπὸ τοῦ πειραστοῦ, ἀπολέσῃ τὴν μερίδα αὐτοῦ τὴν θείαν, ἣν ἔχων ἠδύνατο λέγειν· *Μερίς μου εἶ, Κύριε·* τότε τὸ ἐνθειδὲς τῆς ἐν αὐτῷ (36) θείας μερίδος καταμετρεῖται, καὶ καταμερίζεται εἰς τὴν πολυσχεδῆ [*f.* -σχιδῆ] καὶ πλατεῖαν τῆς κακίας ὁδὸν, καὶ οὐκ ἔστιν ὁ κωλύσων αὐτὸν τοῦ ἀποστρέψαι ἀπὸ τῆς τοιαύτης ὁδοῦ. Βάλλει δὲ σχοινίον ἐν κλήρῳ, ὁ τὸν ὑπὸ τοῦ ἐχθροῦ ἐπαγόμενον αὐτῷ πειρασμὸν ἀφορμὴν ποιούμενος τοῦ σχεῖν τὸν ἐν οὐρανοῖς κλῆρον, οἷος ἦν ὁ λέγων· *Λοιδορούμενοι εὐλογοῦμεν·* καὶ, *Εὐδοκοῦμεν ἐν ἀσθενείαις, ἐν θλίψεσι, καὶ ἐν πᾶσι τούτοις ὑπερνικῶμεν, διὰ τοῦ ἐνδοκήσαντος Θεοῦ.* Ὅπερ οὐ γίνεται ἐν ἡμῖν, ὅταν οἱ ἀγροὶ ἡμῶν διαμερισθῶσιν, ἤγουν αἱ κατὰ κόσμον πράξεις ἡμῶν μερίδες ἀλωπέκων γένωνται, τῶν πονηρῶν δαιμόνων (37).

Ἐν ἐκκλησίᾳ Κυρίου μὴ κλαίετε δάκρυσι. Τὰ λυπηρὰ διαγγείλας, παραίνεσιν εἰσφέρει, πολὺ τὸ χρήσιμον ἔχουσαν, καί φησιν, ὅτι οὐ δεῖ ἡμᾶς ἐκκλησιάζοντας, ἤτοι, εἰς τὸν τοῦ Κυρίου συναγομένους ναὸν, ψιλῶς οὕτως καὶ ἐπιπολαίως δακρύειν, καὶ ἀφοσιοῦσθαι τὸν κλαυθμὸν μόνοις δάκρυσιν, ἀλλὰ καὶ ἔργα προστιθέναι συντριβῆς καὶ κατανύξεως.

Μὴ δακρυέτωσαν ἐπὶ τούτοις. Τουτέστιν, Οὐ δεῖ ὑμᾶς δακρύειν ἐπὶ τῷ αἰχμαλωτισθῆναι, καὶ καταμετρηθῆναι τὴν γῆν ὑμῶν, ἀλλὰ διότι παρωργίκατε τὸν Θεόν· τοῦτο γὰρ δακρύων ἄξιον. Ἡ δ' ἐπὶ τοῖς ἁμαρτήμασι τιμωρία, οὐ δακρύων, ἀλλὰ χαρᾶς ἀξία, διότι τῆς αἰωνίου τιμωρίας ἐστὶ κουφισμός. Οὕτω καὶ Παῦλος εἶπε· *Κριτόμενοι δὲ ὑπὸ*

Et non erat, qui prohiberet eum, ut averteretur. Neque Chamus, inquit, neque Belus, neque alius quisquam ejusmodi vestrorum numinum impedire ipsum potuerunt, metientem scilicet, quominus terram metiretur. Per hæc autem vates eorum numina perstringit. Vel : Non erat, ait, qui impediret, quominus populus meus iniret captivitatis viam, eumque procul ab hac arceret.

Vers. 4, 5. *Agri vestri divisi sunt ; propter hoc non erit tibi mittens funiculum in hæreditatem.* Exteris quidem, ait, dimensi sunt agri vestri atque divisi : tibi vero non erit, qui **268** funiculum dimensionis jaciat, ut et tibi distribuatur hæreditas. Id ipsum perpessi sunt et arrogantes Judæi. Primogeniti enim erant, et pars hæreditatis Dei, quibus ipsis factæ sunt promissiones. Verum cum eorum patres Christum injuriis affecissent, sanctorum hæreditatem amiserunt. Hinc gentium populi facti sunt hæredes Dei Christique cohæredes. Consuevit præterea David insidias atque tentationes appellare funiculos, ut ibi, *Funes peccatorum circumplexi sunt me* [77] : et alibi, *Funiculis intenderunt laqueum pedibus meis* [78]. Cum ergo quis tentatoris insidiis circumventus, partem suam divinam amittit, quam cum possideret, dicere poterat : *Pars mea es, Domine* [78*] ; tum simplicissima divina pars, quæ in eo est, dimensa quodammodo scinditur in multiformem latamque scelerum viam ; nec est, qui procul ab ejusmodi via eum arceat. Funiculum autem jacit in hæreditatem, qui ab objecta sibi per inimicum tentatione occasionem captat acquirendi cœlestem hæreditatem. Qualis erat qui dicit : *Maledicimur, benedicimus ;* et : *Gaudemus in infirmitatibus, in tribulationibus, et in omnibus his superiores simus per Deum benedictum* [79]. Quod in nobis profecto non fit, cum agri nostri dividuntur, cum mundanæ scilicet actiones nostræ partes vulpium fiunt [80], malorum videlicet dæmonum.

Vers. 6. *In ecclesia Domini nolite flere lacrymis.* Postquam vates acerba mala denuntiavit, perutilem inducit adhortationem, et ait, non oportere nos in unum, in templum videlicet Domini, convenientes, ita remisse leviterque lugere, ut lacrymis contenti simus ; sed adjicienda præterea nobis esse intimi doloris opera mœrorisque.

Neque plorent super his. Hoc est, Lugere vos oportet, non quod in captivitatem abducti sitis, et terra vestra sit dimensa, sed quia Deum ad iram provocastis ; id enim lacrymas omnino meretur. Pœna contra, qua quis ob peccata plectitur, non lacrymis, sed gaudio digna est, cum peccatorem æterno supplicio levet. Quamobrem et Paulus dixit :

[77] Psal. cxviii, 61. [78] Psal. lvi, 7. [78*] Thren. iii, 24. [79] 1 Cor. iv, 12. [80] Psal. lxii, 11.

Variæ lectiones et notæ.

(36) Τῆς ἑαυτοῦ, Col. Bav.

(37) Cod. Bav. addit, καὶ δολερῶν.

Digitized by Google

Cum judicamur, a Domino corripimur, ne cum hoc mundo damnemur [81].

A *Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.*

Vers. 7. *Non enim abjiciet opprobria, qui dicit : Domus Jacob ad iram provocavit Spiritum Domini, siquidem talia hæc sunt ipsius instituta.* Qui remisse leviterque luget, inquit, verbisque solis confessionem circumscribit, dicens, *Domus Jacob*, nos videlicet, ad iram Dominum provocavimus, per hoc profecto non avertet dedecus illud atque probrum, quo per captivitatem aliasque calamitates est afficiendus, siquidem hæc sunt ipsius instituta quæ supra commemoravimus, *trahere* scilicet *pupillos*, et reliqua; **269** sed tum demum dedecus illud avertet et ignominiam, cum instituta illa et consuetudinem obliterabit. Hæc et nobis apprime conveniunt, qui B peccata quidem nostra confitemur, sed nullos pœnitentiæ dignos fructus facimus. Vel, qui lugemus etiam, verum hoc tum demum, cum aut voti compotes fieri non possumus, nec obtinere caducum aliquod bonum, quod optamus; aut cum aliquid nobis accidit contra votum. Hæc eadem consentanea sunt et Hebræis nostrorum temporum ; qui quidem lugent, non ob flagitiosissimum ipsorum facinus, quod Deum occidendo perpetrarunt, sed ob angustias atque vexationes quas patiuntur, id ægre vel maxime ferentes, quod ea contra nos loquendi libertate uti nequeant, qua olim usi sunt in apostolos. Id ergo eis vetat divinus vates. Pater enim, ait (qui dicit, et simul judicat, atque palam aperteque declarat eos ad iram provocasse Spiritum C Domini, cum Christum non vi sua, sed ope Beelzebul mira facere deblaterarent [82]), Pater, inquam, non auferet ipsorum dedecus, et ignominiam : nec profecto negligenda putabit, quæ Christo cum in editis ab eo miraculis, tum in cæteris, vitio verterunt: siquidem ad hoc usque tempus eadem instituta sectantur, et eodem in Christum animo affecti, cum uti impostorem maledictis impie lacerant, nec ei, uti Deo, obsequendum putant.

Οὐ γὰρ ἀπώσεται ὀνείδη ὁ λέγων· Οἶκος Ἰακὼβ παρώργισε Πνεῦμα Κυρίου, εἰ ταῦτα τὰ ἐπιτηδεύματα αὐτοῦ ἐστιν. Ὁ δακρύων ψιλῶς, φησὶ, καὶ ἐπιπολαίως, καὶ λόγοις μόνοις περιγράφων τὴν ἐξομολόγησιν, καὶ λέγων, ὅτι *Ὁ οἶκος τοῦ Ἰακὼβ*, ἤτοι ἡμεῖς παρωργίσαμεν τὸν Κύριον, τὰ ὀνείδη, ἃ μέλλουσιν αὐτῷ ἐπαχθῆναι αἰχμαλωτιζομένῳ, καὶ ἄλλως κακουμένῳ, οὐκ ἀπώσεται, εἴπερ ἐπιτηδεύματα αὐτοῦ εἰσι ταῦτα, ἃ ἀνωτέρω εἴρηται, ὅτι *Ἥρπαζον ὀρφανούς*, καὶ τὰ λοιπά. Τότε γὰρ ἀπώσεται τὰ ὀνείδη, ὅτε τὰ ἐπιτηδεύματα ἐξαλείψει. Ταῦτα καὶ ἡμῖν ἁρμόζει, τοῖς δοκοῦσι μὲν ἐξομολογεῖσθαι, μὴ ποιοῦσι δὲ καρποὺς ἀξίους τῆς μετανοίας· ἢ καὶ τοῖς δακρύουσι μὲν, ἐπὶ ἀποτυχίᾳ δέ τινος τῶν φθειρομένων ἀγαθῶν, ἢ ἀβουλήτου τινὸς συντυχίᾳ. Ταῦτα καὶ νῦν τοῖς Ἰουδαίοις οἰκεῖα, οἱ δακρύουσιν, οὐ διὰ τὸ τῆς Θεοκτονίας μῦσος, ἀλλὰ διὰ τὸ ἐλαύνεσθαι, καὶ διώκεσθαι, καὶ μὴ ἔχειν παῤῥησίαν καθ' ἡμῶν, ὡς καὶ κατὰ τῶν ἀποστόλων. Ἀπαγορεύει οὖν τοῦτο αὐτοῖς (38) ὁ προφήτης. Ὁ Πατὴρ γὰρ, φησὶν, ὁ λέγων, καὶ κρίνων, καὶ ἀποφαινόμενος, ὅτι παρώργισαν τὸ Πνεῦμα Κυρίου, ὅτι ἔλεγον μὴ ἐν αὐτῷ θαυματουργεῖν τὸν Χριστὸν, ἀλλ' ἐν τῷ Βεελζεβοὺλ, οὐκ ἀπώσεται τὰ ὀνείδη αὐτῶν, οὐδὲ παραβλέψεται τά τε ἐπὶ ταῖς θαυματουργίαις, καὶ τὰ ἄλλα, ἃ ὠνείδιζον τῷ Χριστῷ· εἴπερ μέχρι τοῦ νῦν τοιοῦτα ἐπιτηδεύματα ἔχουσι, καὶ τοιαύτην κατὰ Χριστοῦ διάθεσιν, βλασφημοῦντες αὐτὸν, ὡς πλάνον, καὶ μὴ ὡς Θεῷ προσέχοντες.

Vers. 7, 8. *Nonne sermones ejus boni cum eo et recti ambulaverunt? Et anterius populus meus in inimicitia restitit contra pacem suam.* Per interrogationem legendum est usque ad *Ambulaverunt*, quod vero sequitur, more solito. Ait enim Deus : Haud rectæ confessionis verba profert populus meus, neque profecto recti sunt hi sermones, et ejusmodi, ut nihil præ se tortuosi ferant, nihil quod egeat correctione : ecce enim per opera manifeste declarat, se, tanquam inimicum, adversa mihi fronte stare (id enim significat per verbum hoc *anterius*), ac propterea pace se privavit, im- D plicuitque bellis et malis iis quæ inde proficiscuntur.

Οὐχ οἱ λόγοι αὐτοῦ καλοὶ μετ' αὐτοῦ καὶ ὀρθοὶ πορεύονται (39); *Καὶ ἔμπροσθεν ὁ λαός μου εἰς ἔχθραν ἀντέστη κατέναντι τῆς εἰρήνης αὐτοῦ.* Κατ' ἐρώτησιν ἀναγνωστέον ἄχρι τοῦ, *Πορεύονται*· τὸ δὲ ἑξῆς, ἐν ἤθει. Φησὶ γάρ· Οὐκ ἐξομολογήσεως μὲν λόγους λέγει ὁ λαός μου, καὶ ὀρθοί εἰσιν οὗτοι οἱ λόγοι, οὐδὲν ἐν τοῖς ῥήμασι στρεβλὸν, ἢ ἐπιλήψιμον, καὶ ἄξιον διορθώσεως ἔχοντες· ἀλλ' ἰδοὺ διὰ τῶν ἔργων ἐμφαίνει, ὅτι ὥσπερ ἐχθρὸς, ἀντιπρόσωπός μου ἵσταται. Τοῦτο γὰρ δηλοῖ διὰ τοῦ εἰπεῖν, *ἔμπροσθεν*, καὶ αὐτὸς ἑαυτὸν τῆς τε εἰρήνης ἐστέρησε, καὶ πολέμοις καὶ τοῖς ἐκ τῶν πολέμων κακοῖς παρέδωκε.

Vers. 9. *Pellem ejus excoriaverunt, ut auferrent spem, contritionem belli. Duces populi mei projicientur de domibus deliciarum suarum.* Cum superius populum reprehendisset, id ei exprobrans, quod per opera divinis legibus adversaretur, etsi

Τὴν δορὰν αὐτοῦ ἐξέδειραν, τοῦ ἀφελέσθαι ἐλπίδα, συντριμμὸν πολέμου· διὰ τοῦτο ἡγούμενοι λαοῦ μου, ἀπορριφήσονται ἐκ τῶν οἴκων τρυφῆς αὐτῶν. Κατηγορήσας τοῦ λαοῦ, ὡς τοῖς θείοις νόμοις ἀντιταξαμένου διὰ τῶν ἔργων, εἰ καὶ

[81] I Cor. xi, 12. [82] Matth. xii, 27.

Variæ lectiones et notæ.

(38) Ἀπαγορεύει τούτοις αὐτοῖς, Cod. Bav.

(39) Πεπόρευνται, Cod. Ven., ita et paulo post.

Digitized by Google

πεπλασμένην διάνοιαν ἐπεδείκνυντο, νῦν κατηγορεῖ τῶν ἡγουμένων, λέγων, ὅτι Οἱ ἡγούμενοι γεγόνασιν αὐτοῖς τῆς τοιαύτης διαθέσεως αἴτιοι· οἳ διὰ τοῦ πείθειν τὸν λαὸν εἰδωλολατρεῖν, τὴν δορὰν αὐτοῦ ἐξέδειραν, τουτέστι τὴν ἐμὴν σκέπην, ἥτις περιέσκεπεν αὐτὸν, ὥσπερ ἡ δορὰ τὴν σάρκα, πρὸς τὸ μὴ εὐκόλως πάσχειν, καὶ ἀφεῖλοντο ἀπὸ τοῦ λαοῦ τὴν εἰς ἐμὲ ἐλπίδα, ἥτις ἦν συντριμμὸς τοῦ πολέμου. Καὶ γὰρ ἐλπίζων ἐπὶ τὰ εἴδωλα, ἀφαιρεῖται τὴν εἰς Θεὸν ἐλπίδα, τὸν συντρίβοντα τοὺς πολέμους. Διὰ τοῦτο οὖν καὶ αὐτοὶ οἱ ἡγούμενοι, οἱ βασιλεῖς καὶ ἱερεῖς, σὺν τῷ λοιπῷ λαῷ ἀπορριφήσονται εἰς αἰχμαλωσίαν ἐκ τῶν οἴκων αὐτῶν, οὓς οὐχ ἁπλῶς οὕτως ᾠκοδόμησαντο λιτῶς καὶ ἀπεριέργως, καὶ πρὸς χρείαν τοῦ καταμένειν, ἀλλὰ πολυτελῶς, καὶ πρὸς τρυφὴν καὶ ὕβριν. Διὰ τὰ πονηρὰ ἐπιτηδεύματα αὐτῶν ἐξώσθησαν· μὴ ἐμὲ, φησὶν, αἰτιάσθωσαν, ὅτι ἐξώσθησαν εἰς Βαβυλῶνα, ἀντὶ τοῦ, ἐξωσθήσονται· ἀλλὰ τὰ ἐπιτηδεύματα αὐτῶν τάδ' ἦν, ὅτι καὶ αὐτοὶ κακὰ ἐπετήδευον, καὶ τὸν λαὸν ἔπειθον τὰ αὐτὰ μετιέναι. Ἦσαν καὶ τοῦ Χριστοκτόνου λαοῦ οἱ λόγοι καλοὶ καὶ ὀρθοὶ, λέγοντος, ὅτι *Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε· ἀλλ' ὅτι ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν Υἱὸν Θεοῦ*· καὶ πάλιν, *Κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι εἶπεν ἑαυτὸν Υἱὸν Θεοῦ*. Ἀλλὰ ταῦτα μὲν πρὸς ἀνθρώπους ἔλεγον· ἔμπροσθεν δὲ ἐμοῦ τοῦ Θεοῦ καὶ Πατρὸς, οὐχὶ ἐκδικηταὶ ἐμοὶ ἐφαίνοντο, ἀλλ' ἐχθροί. Διὰ τί; Διότι ἀντέστησαν τῇ εἰρήνῃ αὐτῶν, ὅς ἐστι Χριστός· ὁ δὲ μὴ τιμῶν τὸν Υἱὸν, οὐ τιμᾷ τὸν Πατέρα. Διὰ τοῦτο οἱ ἡγούμενοι τοῦ λαοῦ μου οἱ πολλοὶ ἀρχιερεῖς, ἀπερρίφησαν ἐκ τοῦ ναοῦ μου, ὃν ἕνα οἶκον ὄντα ἐμοὶ, αὐτοὶ πολλοὺς ἐποίησαν, διὰ τὸ μισθοῦσθαι καθ' ἕκαστον ἐνιαυτόν. Ἐν τούτῳ δὲ καὶ τὸν νόμον καπηλεύοντες, κατετρυφων τοῦ λαοῦ. Πολλάκις δέ τις καὶ χρηστολογίαν ὑποκρινόμενος πρὸς τοὺς ἀδελφοὺς, λόγους μὲν ἔχει καλοὺς καὶ ὀρθοὺς, ἀλλ' ἐχθρός ἐστι διὰ τῶν ἔργων, μηδὲν εἰρηνικὸν φρονῶν, ἀλλὰ δι' ὧν πράττει, ἱστάμενος κατέναντι τῆς εἰρήνης αὐτοῦ, ἣν λαλεῖ μετὰ τῶν πλησίον, καὶ τὴν δορὰν ἐκδέρων τοῦ πένητος, τοῖς τε ἄλλοις τρόποις, καὶ τῷ συντρίβειν αὐτὸν ἐν ταῖς ἐργασίαις, καὶ οὕτως αὐτὸν ἐκπιέζων, ὥστε ἀφαιρεῖσθαι αὐτοῦ καὶ τὴν χρηστοτέραν ἐλπίδα, ἥτις συντριμμὸς γίνεται τοῦ τῆς ἀπογνώσεως καὶ τῆς βλασφημίας, τῆς εἰς τὴν Πρόνοιαν, πολέμου. Ὁ γὰρ κακούμενος, καὶ πολεμούμενος εἰς τὸ βλασφημῆσαι κατὰ τῆς Προνοίας, ἐπειδὰν τῇ τῶν ἀγαθῶν ἐλπίδι βοηθηθῇ, συντρίβει τοῦτον τὸν πόλεμον. Τὰ δ' ἐφεξῆς δοκεῖ μὲν τιμωρίαν περιέχειν, καὶ οἰκοδομείτω γε καὶ τοῦτο τοὺς πολλοὺς, ἀπειλοῦντος τοῦ Θεοῦ ἐκπεσεῖσθαι ἐκ τῶν οἴκων τῆς τρυφῆς. Νοήσεις δὲ καὶ ἀξίως τοῦ Πνεύματος ἡγουμένους, καὶ ἄρχοντας, τὰς ψυχὰς, αἳ ἡγεμονεύειν ταχθεῖσαι, ἐπειδὴ μὴ καλῶς ἐχρήσαντο τῇ ἀρχῇ, ἐμπεσοῦσαι πειρασμοῖς καὶ θλίψεσιν, ἀπορριφήσονται ἐκ τῶν οἴκων τῆς τρυφῆς, τῶν σωμάτων δηλαδὴ, οἷς συν-

A contrarium operibus animum simularet : nunc accusat ipsius duces atque præsides, his verbis : **Ipsimet præsides, inquit, auctores eis fuerunt talis ipsorum voluntatis atque studii** ; qui profecto populum ad idola colenda inducendo, pellem ei detraxerunt, meam scilicet defensionem atque tutelam, quæ ipsum ita tegebat, ut pelle tegitur corpus, ne incommoda facile patiatur. Iidem et populum ea spe dejecerunt, quam in me locatam habebat ; quæ spes erat belli contritio. Sperans enim in idolis, excidit ea spe, quam repositam **270** habet in Deo, qui bella conterit. Hanc ob rem ergo et ipsi duces, tum reges, tum sacerdotes, cum reliquo populo captivi ducentur in servitutem, domibus quisque suis expulsi, quas con-
B struxerunt, haud simplici et moderato cultu, ad necessarium habitationis usum, sed nimis exquisito ac splendido, ad luxum inanemque ostentationem. Ejecti vero sunt ob ipsorum nefaria facinora. Ne causam, ait, in me conferant, quod abducti Babylonem fuerint (abducendi scilicet sunt), sed hac de re se suamque improbitatem accusent. Quandoquidem cum ipsi nefaria facinora patrarunt, tum populum ad eadem impulerunt. Bona item erant et recta turbæ, quæ Christum interfecit, verba, *De bono opere non lapidamus te, sed quia, homo cum sis, te Dei Filium facis*[83] ; et rursum, *Secundum legem nostram eum mori decet, quia semetipsum asseruit Filium Dei*[84]. Verum
C enimvero hæc illi apud homines : apud me vero Deum et Patrem, non tanquam expostulantes, sed tanquam inimicos sese gerebant. Quid ita ? Quia videlicet suæ ipsorum paci, Christo nimirum, adversabantur. Qui vero non honorat Filium, non honorat Patrem[85]. Propterea præsides populi mei, sacerdotum principes bene multi depulsi templo sunt, quod unica mihi domus cum esset, ipsi plures effecerunt, mercaturam ibi quotannis exercentes. Ubi et legem quæstui habentes, populum ludificabantur. Sæpe item quis se cum fratribus loqui simulat ad eorum utilitatem ; qui quidem sermones cum ipsis habet bonos et rectos, reipsa tamen inimicus est, verbis contraria agens. Atque hic nihil pacifici cogitat, sed per nefaria sua facta,
Inde liberabit te, et inde redimet te Dominus Deus tuus de manu inimicorum tuorum. Nondum malis prænuntiandis finem fecerat, cum statim consolatoria verba protulit. Inde enim, ait, Babylone scilicet, redimet te Dominus Deus tuus, de manibus inimicorum tuorum, in quas jamdudum incidisti, quibus arctissime teneris. Hæc item ita sunt accipienda, perinde ac si ad naturam quoque humanam dicantur. Quæ comedendo **291** lignum scientiæ boni ac mali, novit mala, experientia videlicet ipsa miseriam sensit et afflictionem, etsi regem haberet, mentem scilicet, qua moneri poterat, non oportere se Dei dicto reluctantem, morem gerere serpenti. Ex quo evenit, ut sententiam illam audiret, *In dolore paries*[41]; atque hinc dolores partus subire cœpit. Hæc superna ex urbe dejecta, tentoria fixit in hoc corruptionis loco, veluti campo; tentoria, inquam, transitoriam nimirum instabilemque commorationem. Eadem pervenit usque ad Babylonem, divinarum scilicet proprietatum omnium confusionem. Amisit (17) enim id quod erat ad imaginem Dei conditum, evasitque similis animantibus et pecudibus et serpentibus et pardis, mentis magis expers, quam ipsæmet formicæ agrestesque passeres, ut vatis verba innunt. At ipsam illinc, ab ejusmodi scilicet corruptione, liberavit redemitque Dominus Deus noster, qui proprium suum sanguinem, redemptionis pretium, pro ipsa pependit. Per hæc ad morum quoque disciplinam insti-

Ἐκεῖθεν ῥύσεταί σε, καὶ ἐκεῖθεν λυτρώσεταί σε Κύριος ὁ Θεός σου ἐκ χειρὸς ἐχθρῶν σου. Οὕπω τὰ δυσχερῆ λέγων ἐπαύσατο, καὶ εὐθὺς ἐπάγει τὰ τῆς παρακλήσεως. Ἐκεῖθεν γὰρ, φησὶν, τουτέστιν, ἐκ Βαβυλῶνος λυτρώσεταί (16) σε Κύριος ὁ Θεός σου, ἤδη ὑπὸ τὰς χεῖρας ἐχθρῶν γενομένην, καὶ ἀσφαλῶς ὑπ' αὐτῶν κρατουμένην. Ταῦτα καὶ ὡς πρὸς τὴν ἀνθρωπίνην φύσιν λεγόμενα ἐκδέχεσθαι εἰκὸς, ἤτις ἀπὸ τοῦ φαγεῖν τὸ ξύλον τὸ γνωστὸν καλοῦ καὶ πονηροῦ, ἔγνω τὰ κακὰ, τουτέστιν, ἐν πείρᾳ C τῆς κακίας ἐγένετο, καὶ συνδιετέθη πρὸς ταύτην, καίτοι βασιλέα εἶχε τὸν νοῦν, καὶ ἠδύνατο βουλεύσασθαι, ὅτι οὐ δεῖ παρακοῦσαι Θεοῦ, καὶ ὑπακοῦσαι ὄφει. Διὰ τοῦτο ἤκουσεν· *Ἐν λύπαις τέξῃ τέκνα·* καὶ ἔκτοτε ὠδῖνας ἔσχε· καὶ τῆς ἄνω πόλεως ἀποῤῥιφεῖσα, ἐν τῷ πεδίῳ τούτῳ τῆς φθορᾶς χωρίῳ τὴν σκηνὴν ἐπήξατο, τὴν παροδικὴν καὶ ἄστατον αὐτῆς πολιτείαν. Καὶ ἦλθεν ἄχρι τῆς Βαβυλῶνος, καὶ τῆς παντελοῦς τῶν θείων ἰδιωμάτων συγχύσεως. Τὸ γὰρ κατ' εἰκόνα ἀπώλεσε, παρασυμβληθεῖσα καὶ κτήνεσιν ἀνοήτοις, καὶ ὄφεσι, καὶ παρδάλεσι, καὶ μυρμήκων ἀνοητοτέρα γενομένη καὶ στρουθίων ἀγροῦ, ὡς ὁ προφητικὸς εἰσηγεῖται λόγος· ἀλλ' ἐῤῥύσατο αὐτὴν ἐκεῖθεν, ὅ ἐστιν ἐκ τῆς τοιαύτης ἀνιάτου (18) φθορᾶς· καὶ ἐλυτρώσατο ὁ τὸ ἴδιον αἷμα καταβαλόμενος λύτρον ὑπὲρ αὐτῆς Κύριος ὁ Θεὸς ἡμῶν. Παιδευόμεθα δὲ καὶ εἰς τὸ ἦθος διὰ τούτων, ἵνα μήτε βασιλικαῖς θαῤῥῶμεν δυνάμεσι, μήτε βουλαῖς συνεταῖς, ἀλλὰ τῷ Θεῷ, ὃς καὶ ἐν μέσοις

[41] Gen. III, 16.

Variæ lectiones et notæ.

(16) Ῥύσεται, Cod. Ven.

(17) Si Dei imago in libero arbitrio statuatur, ut Tito Bostrensi, et Joanni Damasceno, aliisque placuit, ut hoc non fuit amissum, ita nec imaginem illam amissam fuisse dicamus oportet : si in Dei justitia et sanctitate, per quam *secundum Deum* homo creatus ab Apostolo dicitur, hanc penitus hominem amisisse constat : si denique in mente atque intelligentia, hanc quoque per peccatum amissam quodammodo fuisse dici potest, cum mente præditus licet, intelligentiæ tamen expers homo nascatur.

(18) Ἀνοήτου, Cod. Ven.

Digitized by Google

τοῖς δεινοῖς ὄντα ῥύτασθαι δύναται. Ῥύσιον δὲ καὶ λύτρον καταβαλλόμενον ὑπὲρ ἡμῶν ἔσται ἡ εἰς αὐτὸν ἐλπίς· ὡς γὰρ εἰς αὐτὸν ἁμαρτάνοντας τοῖς δεινοῖς παρέδωκεν, οὕτως ἀντιλαβὼν τὴν πρὸς αὐτὸν ἐπιστροφὴν, ἀπολύσει τῶν φοβερῶν. Τίνι δὲ καταβαλεῖ τὸ λύτρον, ἢ τῇ αὐτοῦ δικαιοσύνῃ, παρ' ἧς καὶ ἐκολαζόμεθα;

A tuimur, docemurque, nos neque in regiis opibus ac viribus confidere debere, neque in consiliorum prudentia, sed in solo Deo, qui nos a malis atque calamitatibus eripere potest. Liberationis autem redemptionisque pretium, pro nobis persolvendum, erit spes in ipso locata. Quemadmodum enim peccatores, qui injuriis eum affecerunt, calamitatibus afflictionibusque tradidit, ita æquo animo excipiens nostram ad ipsum conversionem, a terribili nos supplicio liberabit. Cui vero persolvet liberationis pretium? Non alii profecto, nisi suæmet justitiæ, a qua supplicio sumus affecti.

Καὶ νῦν ἐπισυναχθήσεται ἐπὶ σὲ ἔθνη πολλὰ, οἱ λέγοντες· Ἐπιχαρούμεθα, καὶ ἐπόψονται ἐπὶ Σιὼν οἱ ὀφθαλμοὶ ἡμῶν. Περὶ τῶν Σκυθικῶν ἐθνῶν ποιεῖται τὸν λόγον, ἃ μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον τῷ Ἰσραὴλ ἐπεστράτευσαν, ὡς ἐξολοθρεύσοντες αὐτοὺς, καὶ ἐπαφώμενοι ἐπ' αὐτοὺς, τουτέστιν, ἐπευφρανθησόμενοι ἐν τῷ ἰδεῖν ἃ ἤθελον.

B

Vers. 11. *Et nunc congregatæ sunt super te gentes multæ, dicentes : Lætabimur, et videbunt in Sion oculi nostri.* De Scythicis gentibus loquitur vates, quæ post reditum e Babylonis urbe, exercitum contra Israelem duxerunt, populum hunc penitus delere cupientes, aspicientesque ipsum, lætitia scilicet gestientes, quod viderent, quæ maxime concupierant.

Καὶ αὐτοὶ οὐκ ἔγνωσαν τὸν λογισμὸν Κυρίου, καὶ οὐ συνῆκαν τὴν βουλὴν αὐτοῦ (19), *ὅτι συνήγαγεν αὐτοὺς ὡς δράγματα ἅλωνος.* Αὐτοὶ μὲν, φησὶν, οὕτως ἐπελεύσονταί σοι τῇ θυγατρὶ Σιὼν, ὡς κακώσοντες, καὶ διὰ τοῦτο ἄλλοθεν ἄλλος συνήχθησαν. Οὐ συνῆκαν δὲ ὅτι ἡ ἐμὴ περὶ σὲ πρόνοια συνεχώρησε τοῦτο γενέσθαι, ἵνα μᾶλλον αὐτοὶ ὁμοῦ ἀπόλωνται. Καὶ διὰ τοῦτο συνήγαγον αὐτοὺς, ἵνα καὶ τῶν ἄλλων αὐτῶν κακιῶν δῶσι δίκας, καὶ ὡς δράγματα ἐν ἅλωνι συντριβῶσι. Συνάγει δὲ ὁ Θεὸς, οὐκ ἀναγκάζων, οὐδὲ βιαζόμενος, ἀλλὰ ταῖς αὐθαιρέτοις ὁρμαῖς συγχωρῶν, καὶ τῷ αὐτεξουσίῳ παραχωρῶν, καὶ οὕτω τὴν δίκην ἐπάγων.

C

Vers. 12. *Ipsi autem nescierunt cogitationem Domini ; et non intellexerunt consilium ejus, quia congregavit eos, ut manipulos areæ.* Ipsi quidem, ait, in te, filia Sion, impetum facient, ut male te vexent, et propterea undique sese in unum collegerunt ; sed eos latet meo id consilio factum, ut ita congregati, majore cæde caderent, afficerenturque clade majore. Hanc ob causam eos in unum collegi, ut et aliorum suorum scelerum pœnas darent, et, manipulorum instar, in area contererentur. Convocat autem eos Deus, non vi, neque necessitate ulla ; sed spontaneo suo quemque impetu ferri sinit, atque ita ipsorum libero arbitrio quodammodo cedens, supplicium de illis sumit.

Ἀνάστηθι καὶ ἅλδα αὐτοὺς, θύγατερ Σιὼν, ὅτι τὰ κέρατά σου θήσομαι σιδηρᾶ, καὶ τὰς ὁπλάς σου θήσομαι χαλκᾶς. Ἐπειδὴ δράγματα εἶπεν, οἰκείως τῇ τροπῇ ἐπάγει ταῦτα· Ἀνάστηθι, ἡ δοκοῦσα νεκρὰ εἶναι, καὶ καταπάτει αὐτοὺς καὶ σύντριβε. Τῆς γὰρ ἐμῆς ἀπολαύουσα βοηθείας, δύναμιν ἕξεις ἀκαταμάχητον, οἷόν τις ταῦρος κέρατα ἔχων σιδηρᾶ, ὥστε δι' αὐτῶν ἀμύνασθαι τοὺς ἐπιόντας, καὶ ὁπλὰς χαλκᾶς, ὥστε συμπατεῖν καὶ συντρίβειν αὐτούς.

292 Vers. 13. *Surge, et tritura eos, filia Sion, quia cornua tua ponam ferrea, et ungulas tuas ponam æneas.* Quoniam manipulos dixit, eamdem verborum immutationem servans, apte nunc adjicit : Surge tu, quæ mortua videris ; fac eos proteras atque comminuas. Meo namque auxilio freta, vires habebis inexpugnabiles, uti taurus, ferreis cornubus præditus, ad irruentium inimicorum impetum propulsandum, et æneis ungulis munitus, ad eosdem proterendos atque proculcandos.

Καὶ κατατήξεις ἐν αὐτοῖς ἔθνη. Ἐν αὐτοῖς, τουτέστι, τοῖς κέρασι καὶ ταῖς ὁπλαῖς, τουτέστι, κατατήξεις ἔθνη τὰ νῦν δοκοῦντα ταχείαν (20) ἔχειν τὴν δύναμιν.

D

Et consumes in ipsis gentes. Ipsis videlicet cornubus atque ungulis proteres gentes quæ nunc ingentes opes, amplissimamque (21) potentiam habere videntur.

Καὶ λεπτυνεῖς λαοὺς πολλούς. Ὡς ἄχυρα δηλαδή· ἔτι γὰρ ἐμμένει τῇ τροπῇ τοῦ ἀλοᾶν.

Et comminues populos multos. Uti paleas videlicet : adhuc enim insistit præcedenti verborum immutationi atque translationi.

Καὶ ἀναθήσεις τῷ Κυρίῳ τὸ πλῆθος αὐτῶν, καὶ τὴν ἰσχὺν αὐτῶν τῷ Κυρίῳ πάσης τῆς γῆς. Οὐ τῇ σῇ δυνάμει, φησὶν, ἐπιγράψαι ὀφείλεις τὸ κατόρθωμα, ἀλλ' ἐμοὶ τῷ Κυρίῳ πάσης τῆς γῆς ἀναθεῖναι τὸ τρόπαιον, ὃ γέγονεν ἐπὶ τῷ πλήθει αὐ-

Et consecrabis Domino multitudinem eorum, et robur eorum Domino universæ terræ. Non tuis viribus, inquit, tribuere debes præclara hæc facinora, sed mihi, universi terrarum orbis Domino, tropæum est erigendum, insigne victoriæ, profligatæ-

Variæ lectiones et notæ.

(19) Κυρίου, *Domini*, Cod. Bav.

(20) Uterque Codex cum Ven. tum Bav. habet ταχεῖαν, scribendum tamen puto παχεῖαν, ut ex iis, quæ mox sequuntur, δι' ὧν κεράτων καὶ ὁπλῶν χαλκῶν τὰ σαρκικὰ πάχη τῶν ἐθνῶν κατετάκησαν, aperte colligi posse mihi videtur.

(21) Lego enim παχεῖαν, *crassam* pro ταχεῖαν, *celerem*.

Digitized by Google

que ipsorum ingentis multitudinis atque potentiæ. Non solum enim multi fuerunt, qui a te profligati sunt, sed etiam valde potentes, ut perspicuum sit, eos non humana potentia, sed ope omnino divina fuisse subactos. Illud autem, *Consecrabis*, ex consuetudine sacrarum Scripturarum usurpatur hortandi modo, pro imperativo, *Conseera*, ut ibi : *Dominum Deum tuum adorabis, et ipsum solum coles* [48], pro, Adora et colito. Utitur autem sacra Scriptura indicativis modis pro imperativis, ut rem certam significet quæ fieri omnino debeat. Hæc de Senacherim insigni clade atque cæde quidam intelligenda putarunt, qua clade centum octoginta hominum millia una nocte cæsa sunt, ex quo manifeste apparuit divinum prodigium. Congregatæ item sunt contra Dominum gentes multæ, adversus eum frementes, Romani videlicet milites et Judæi, qui de ipsius crucifixione magnopere lætarentur. Sed ignorabant, se per hujus ipsius resurrectionem esse confringendos. Si enim hoc novissent, profecto ii Dominum gloriæ non crucifixissent [49]. Surge itaque, Dei vehiculum (24) caro, quæ ab animata Sion Maria genita es, quam sibi sumpsit Dominus, incolendamque delegit : Surge, inquam, et fac ipsos tritures, partim in frumentum, quotquot ad Christi fidem sese recipiant, partim in paleas, ut in locum omnem disperdantur, atque sempiterno igne comburantur. Cornua enim habes ferrea, crucis videlicet vim potestatemque, necnon æneas ungulas, pedes nimirum apostolorum, qui tanquam equi descenderunt in procellosum gentium mare, turbantes **293** aquas multas. Quibus cornubus æneisque ungulis contrita fuit et imminuta carnalis gentium pinguedo; quo factum est, ut ii leviores facti, et magis magisque spirituales, Deo tum maxime dicari possent. Nemo enim obesus, qui nondum extenuatus sit et imminutus, Domino consecratur. Spiritus enim Deus est [50]. Et cum solliciti sumus animæ nostræ, quid manducet, et corpori nostro, quid induat, quæ a gentibus inquiruntur [51]; tum contra nos coeunt gentes multæ, gentiles nimirum cogitationes, quibus adeo distrahitur mentis acies, atque tot tantisque curis implicatur, ut non amplius in Deo, qui homines nutrit ac vestit, sed in suis propriis consiliis cogitatisque confidat. Sed cum evangelica verba monent, hæc omnia gentes inquirere, cumque cogitationes ejusmodi gentiles esse compertum habemus : tum eas in unum cogere dicitur Dominus, tanquam aream manipulos, ut a nobis tum demum proterantur atque conculcentur, cum, posita vilissima cura

A τῶν καὶ τῇ ἰσχύϊ. Οὐ μόνον γὰρ πολλοὶ ἦσαν οἱ παρὰ σοῦ καταπολεμηθέντες, οὐκ (22) ἀνθρωπίνῃ δυνάμεως, ἀλλὰ σαφῶς θείᾳ. Τὸ οὖν, *Ἀναθήσεις*, ὡς παραινετικόν ἐστι, κατὰ τὸ ἰδίωμα τῆς Γραφῆς, ἀντὶ τοῦ, *Ἀνάθες*, ὡς τὸ, *Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις*, ἀντὶ τοῦ, Προσκύνει καὶ λάτρευε. Ποιεῖ δὲ τοῦτο ἡ Γραφή, τοῖς ὁριστικοῖς χρωμένη, ἀντὶ προστακτικῶν, ἵνα δείξῃ τὸ πρᾶγμα ὁμολογούμενον, καὶ ἀναγκαίως ὀφεῖλον ἐκθέσθαι (23). Ταῦτα δέ τινες εἰς τὰ ἐπὶ Σεναχηρεὶμ γεγονότα ἐξεδέξαντο, ὅτε ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδες ἐν μιᾷ νυκτὶ ἀνῃρέθησαν, καὶ προδήλως ἐφάνη τὸ θαῦμα θεῖον. Ἐπισυνήχθησαν καὶ ἐπὶ τὸν Κύριον ἔθνη πολλὰ, τὰ κατ' αὐτοῦ φρυάξαντα, οἵ τε Ῥωμαῖοι στρατιῶται καὶ Ἰουδαῖοι, B ᾧ τῇ σταυρώσει αὐτοῦ ἐπέχαιρον. Αὐτοὶ δὲ οὐκ ἔγνωσαν, ὅτι ἀναστὰς, ἀλοήσει αὐτούς. Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. Ἀνάσθητι οὖν, ἡ θεοφόρος σὰρξ, ἡ ἐκ τῆς ἐμψύχου Σιὼν Μαρίας γενομένη, ἣν ἐξελέξατο Κύριος, ἠρτίσατο εἰς κατοικίαν ἑαυτῷ, καὶ ἄλοα αὐτούς· τοὺς μὲν εἰς σῖτον, ὅσοι τὴν πίστιν προσδέξονται· τοὺς δὲ εἰς ἄχυρα, πρὸς τὸ λιχμηθῆναι εἰς πάντα τόπον, καὶ τὸ κατακαῆναι πυρὶ ἀσβέστῳ. Κέρατα γὰρ ἔχεις σιδηρᾶ, τὴν τοῦ σταυροῦ δύναμιν, καὶ ὁπλὰς χαλκᾶς, τοὺς πόδας τῶν ἀποστόλων, οἳ ὡς ἵπποι ἐπέβησαν ἐπὶ τὴν τῶν ἐθνῶν πολυκύμονα θάλασσαν, ταράσσοντες ὕδατα πολλὰ, δι' ὧν κεράτων καὶ ὁπλῶν χαλκῶν, τὰ σαρκικὰ πίχη (25) τῶν C ἐθνῶν κατετάκησαν (26), καὶ ἐλεπτύνθησαν, ὥστε κουφοτέρους καὶ πνευματικωτέρους αὐτοὺς γενέσθαι, καὶ τότε ἀνατεθῆναι τῷ Κυρίῳ. Οὐδεὶς γὰρ παχὺς, καὶ ἄτηκτος (27), καὶ ἀλέπτυντος, ἀνατίθεται τῷ Κυρίῳ· πνεῦμα γὰρ ὁ Θεός. Καὶ ὅταν δὲ μεριμνῶμεν τῇ ψυχῇ ἡμῶν τί φάγεται (28), καὶ τῷ σώματι ἡμῶν, τί ἐνδύσηται, ἃ ὑπὸ τῶν ἐθνῶν ζητεῖται, συνάγονται ἐφ' ἡμᾶς ἔθνη πολλὰ, ἐθνικοὶ, φρμὶ, λογισμοὶ, οἳ περισπῶσι τὸ τοῦ νοῦ ἡμῶν σκοπευτήριον, ὥστε μὴ τῷ Θεῷ θαρρεῖν, τῷ τρέφοντι καὶ ἐνδύοντι, ἀλλ' οἰκείαις ἐπινοίαις καὶ φροντίσιν. Ἀλλ' ὅτε ὑποδείξει ἡμῖν ὁ τοῦ Εὐαγγελίου λόγος, ὅτι ταῦτα πάντα τὰ ἔθνη ἐπιζητεῖ, καὶ ἐπιγνῶμεν τοὺς τοιούτους λογισμοὺς ἐθνικοὺς ὄντας, λέγεται συνάγειν αὐτοὺς ὁ Θεὸς, ὡς δράγματα ἅλωνος, ἵνα D συμπατηθῶσιν ὑφ' ἡμῶν, ἀναστάντων ἀπὸ τῆς χαμαιπετοῦς διανοίας, τοῦ τὰ τοιαῦτα αἰτεῖν, καὶ ἀποσκοπευσάντων εἰς τὰ κρίνα τοῦ ἀγροῦ καὶ τὰ πετεινὰ, οἷς ὁ Θεὸς χαρίζεται σκέπην καὶ τροφήν. Κέρατα δὲ τίθεται σιδηρᾶ τῷ νοοῦντι τὸ καλόν· τῆς γὰρ κεφαλῆς τὸ κέρας, ἐν ᾗ τὸ ἡγεμονικόν· ὁπλαὶ δὲ χαλκαῖ, τῷ κινουμένῳ στερεῶς καὶ δυνατῶς,

[48] Exod. xx, 3, 4. [49] 1 Cor. II, 8. [50] Joan. IV, 24. [51] Matth. VI, 25.

Variæ lectiones et notæ.

(22) Desideratur aliquid, vel certe subauditur.

(23) Sic uterque Cod., mihi tamen magis arridet ἔσεσθαι.

(24) Dei Verbi nimirum, cujus personæ conjuncta Christi caro, merito Θεοφόρος dici potest, ita tamen, ut humana persona carere contra Nestorium putetur.

(25) Πάθη, *pravi affectus*, Cod. Ven.

(26) Κατεκάησαν, Cod. Bav.

(27) Ἄτακτος, Cod. Bav.

(28) Φθέγγεται, Cod. Ven.

Digitized by Google

πρὸς τὸ καὶ ἐργάζεσθαι τὰ νοηθέν. Πῶς δὲ τὸ τῶν τοιούτων λογισμῶν πλῆθος, καὶ ἡ ἰσχὺς αὐτῶν ἀνατίθεται τῷ Θεῷ; Ὅταν γὰρ τὰ πολλὰ παρέντες, ἓν μόνον ἐπιζητῶμεν τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστίθενται ἡμῖν, ὃ (29) ἐκεῖνοι ἐδόκουν ἰσχύειν.

talia quærendi, mentem ad agri lilia convertimus, contemplamurque cœli volucres, quibus omnibus Deus alimenta præbet, largiturque indumentum. Ferrea vero cornua insita sunt ei, qui recta et honesta cogitat (cornu enim capitis est, in quo præcipua pars hominis viget), æneæ vero ungulæ inditæ illi videntur, qui strenue ac viriliter etiam cogitata perficit. Quomodo autem ejusmodi cogitationum multitudo ac vis Deo dicatur? Cum scilicet, cæteris neglectis, hoc unum inquirimus, cœleste videlicet regnum; quo fit ut et ea omnia nobis adjiciantur, quibus vim inesse maximam gentiles illi populi arbitrabantur.

ΚΕΦΑΛ. Ε'.

Νῦν ἐμφραχθήσεται θυγάτηρ Ἐφραὶμ ἐμφραγμῷ. Περὶ τῆς Ἱερουσαλὴμ προειπὼν ἃ εἶπε, νῦν καὶ περὶ Σαμαρείας λέγει. Θυγατέρα γὰρ Ἐφραὶμ τὴν Σαμάρειαν ὀνομάζει, ὡς ὑπὸ τῆς τοῦ Ἐφραὶμ βασιλευομένην φυλῆς, διότι πᾶς βασιλεὺς δοκεῖ πατρὸς τάξιν ἐπέχειν πρὸς τοὺς ὑπηκόους. Ἢ αὐτὴν τὴν φυλὴν οὕτως ὀνομάζει, κατὰ τὸ ἰδίωμα τῆς Γραφῆς, θυγατέρα Σιὼν καὶ θυγατέρα Ἱερουσαλὴμ αὐτὴν τὴν Σιὼν καὶ τὴν Ἱερουσαλὴμ περιφραστικῶς ὀνομαζούσης, εἰ μή τις ἐρεῖ, ὅτι τὴν ἐν Σιὼν πληθὺν, καὶ τὴν ἐν Ἱερουσαλὴμ, θυγατέρας αὐτῶν ὀνομάζει, ὡς πατρίδων οὐσῶν. Προειπὼν οὖν περὶ τῆς Ἱερουσαλὴμ, ἃ ἔμελλεν αὐτῇ συμβῆναι λυπηρά τε καὶ ἀγαθὰ, νῦν καὶ περὶ τῆς Σαμαρείας λέγει, ὅτι *Ἐμφραγήσεται ἐμφραγμῷ*, τουτέστι, πολιορκηθήσεται.

CAPUT V.

VERS. 1. *Nunc obstruetur filia Ephræm vallo.* Cum de Jerusalem prænuntiarit vates quæ superius dixit, nunc et de Samaria verba facit. Filiam autem Ephræm ideo vocat Samariam, quia ab tribu Ephræm gubernata fuit; omnis enim rex erga subditos patris vicem gerere videtur. Vel tribum ipsam ita denominat more Scripturæ solito, qua filiam Sion et filiam Jerusalem, ipsammet Sion et Hierusalem per circumlocutionem appellare consuevit. Nisi dicere quis malit, multitudines populi Sion atque Hierusalem, filias ipsarum appellari, quod hæ urbes earum patriæ sint. Cum itaque urbi Jerusalem prænuntiasset vates, quæ ipsi eventura erant, cum prospera, tum adversa; nunc et de Samaria dicit, *Obstruetur vallo*, hoc est, obsidione cingetur.

Συνοχὴν ἔταξεν ἐφ' ὑμᾶς. Εἰ μὲν, *Ἐφ' ὑμᾶς*, γράφεται μετὰ τοῦ υ, *Ἐφ' ὑμᾶς*, φησὶ, τοὺς τῆς Σαμαρείας, *συνοχὴν*, ἤτοι πολιορκίαν ἔταξε. Τίς; Ὁ Θεὸς, ἢ ὁ Βαβυλώνιος. Εἰ δὲ μετὰ τοῦ η, *Ἐφ' ἡμᾶς*, ἑαυτὸν συντάττει ὁ προφήτης τοῖς ἐκ Σαμαρείας, διὰ τὸ φιλάδελφον.

Coarctationem posuit super nos. Si ὑμᾶς, *Vos*, cum υ scribatur, Contra vos, ait, Samariæ habitatores, *coarctationem*, obsidionem scilicet statuit. Quis? Deus, vel Babylonius. Si vero scribatur ἡμᾶς, *Nos*, cum η, seipsum vates in Samaritanorum numero **294** recenset, ob suum in fratres impensum amorem atque studium.

Ἐν ῥάβδῳ πατάξουσιν ἐπὶ σιαγόνα τὰς φυλὰς τοῦ Ἰσραήλ. Ἡ ἐπὶ σιαγόνα πληγὴ ὕβρεως σημεῖον δοκεῖ· εἰ δὲ μετὰ ῥάβδου γένοιτο, πόνον ἐπιφέρει. Αἰνίττεται τοίνυν, ὅτι καὶ ὑβριστικῶς οἱ Βαβυλώνιοι καὶ κολαστικῶς προσενεχθήσονται ταῖς δέκα φυλαῖς. Ἐπεὶ δὲ φραγμὸς ὁ νόμος. Ἡ θυγάτηρ, φησὶ, τοῦ Ἐφραὶμ, τουτέστιν, ἡ ἀποστατήσασα γενεὰ ἐκ τῆς βασιλείας τοῦ νοητοῦ Δαβὶδ Χριστοῦ, τοῦ ἰσχυοῦ τῇ χειρὶ (τοῦτο γὰρ Δαβὶδ ἑρμηνεύεται [30]), ἐγκλεισθήσεται τῷ νόμῳ, μὴ ἐκβαίνουσα (31) ἀπ' αὐτοῦ πρὸς τὴν τοῦ Εὐαγγελίου χάριν. Καίτοι τὴν συνοχὴν, τουτέστι, τὴν νομικὴν πολιτείαν, ἐφ' ἡμᾶς ἔταξεν ὁ Θεὸς, τουτέστιν, ἕως οὗ ἡμεῖς οἱ προφῆται προφητεύομεν. Ἐπειδὰν δὲ ὁ προφητευόμενος ἔλθῃ, προδρόμου αὐτοῦ γενομένου τοῦ Ἰωάννου, τότε ἡ συνοχὴ λυθήσεται· ὁ νόμος γὰρ καὶ οἱ προφῆται, ἕως Ἰωάννου. Συνοχὴν δὲ λέγει τὸν

In virga percutient super maxillam tribus Israel. Maxillæ percussio injuriæ signum videtur; eaque, si fiat virga, dolorem etiam affert. Innuit ergo vates Babylonios invasuros esse decem tribus, eas afficiendo cum injuriis, tum acerbis suppliciis. Quoniam autem vallum lex est: Filia, inquit, Ephræm, progenies scilicet, quæ a mystici David Christi regno defecit (David, inquam, hoc est, manu præstantis; ita enim, si interpretari velis, nomen hoc sonat), lege concludetur, ut hinc ad Evangelii gratiam prodire nequeat. Quanquam coarctationem, legale nempe regimen, statuit in nos Dominus; quoad scilicet nos vates vaticinamur. Cum autem advenerit, quem vates prænuntiarunt, cujus præcursor est Joannes; tum ea coarctatio tolletur. Lex enim et vates ad Joannem usque pertigerunt. Coarctationem autem legem vocat vates ob (32) minutis-

Variæ lectiones et notæ.

(29) Scribendum puto ἃ *quæ*, etiamsi uterque Cod. habeat ὃ, *quod*.

(30) Λέγεται, *dicitur*. Cod. Bav.

(31) Ἐκφαίνουσα. Cod. Bav.

(32) Ejusmodi item erant, quæ vetabant hœdum in lacte matris coquere, partus foventem suos avem in nido necare, et id genus aliæ, quæ quidem si per se spectentur, ineptissimæ videri poterunt, ut et impio Marshamo visæ sunt; si tamen considere-tur finis, ob quem Deus eas sanxerit, omnium maxime sapientes habebuntur. Cum enim speciem immanitatis præ se ferat hœdum, exempli gratia, coquere in lacte matris, quod ad ipsius nutrimentum a natura datum est, et id genus alia; merito sapientissimus Deus, ut ab omni feritate populum suum averteret, redderetque mitem atque mansuetum, tales leges sanxit.

Digitized by Google

simas res quas præcipit, quibus coarctantur quotquot ipsimet legi subsunt. Ejusmodi sunt ea, *Ne tangas, ne gustes, ne movearis a loco* [46]. Virga itaque ferrea, Romana scilicet potestate, percutientur Israelitarum maxillæ, qui ore quisque suo clamarunt, *Tolle, tolle, crucifige eum* [47], cujus etiam maxillas ipsi percusserunt. Vallum item est peccatum, in quo ita concluditur anima, ut ei splendor evangelicæ Christi gloriæ fulgere nequeat. Non dicit simpliciter *Anima*, sed *Filia Ephræm*, malorum videlicet amplificationis atque cumuli. Statuit autem contra nos angustias has Babylonius, qui ab ipso mundi exordio nobis inimicus exstitit : is enim in causa nobis est, cur nostrorum quisque peccatorum catenis constringamur.

A νόμον, διὰ τὰς μικρολογίας, ἐν αἷς συνεῖχε τοὺς ὑπ' αὐτόν· *Μὴ ἅψῃ, μηδὲ γεύσῃ, μὴ θίξῃς, μὴ κινηθῇς ἐκ τοῦ τόπου.* Ἐν ῥάβδῳ οὖν τῇ σιδηρᾷ, τῇ Ῥωμαϊκῇ δυνάμει, πατάξουσι τὰς σιαγόνας τῶν Ἰσραηλιτικῶν στομάτων, τῶν εἰπόντων· *Ἆρον, ἆρον, σταύρωσον αὐτόν*, οὗ καὶ τὰς σιαγόνας ἐπάταξαν αὐτοί. Φραγμός εἰσι καὶ αἱ ἁμαρτίαι, ἐν αἷς ἐμφράττεται ψυχή, ὥστε μὴ διαυγάζειν αὐτῇ τὸν φωτισμὸν τῆς δόξης τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ. Οὐχ ἁπλῶς δέ φησι, ψυχή, ἀλλ', *Ἡ θυγάτηρ Ἐφραΐμ*, τουτέστι, τῆς ἐν κακοῖς αὐξήσεως καὶ οἰκειώσεως (33)· ἔταξε δὲ τὴν συνοχὴν ταύτην ἐφ' ἡμᾶς ὁ Βαβυλώνιος, ὁ ἐξ ἀρχῆς ἐχθρὸς ἡμῶν· αὐτὸς γὰρ ὁ αἴτιος τοῦ συνέχεσθαι ἡμᾶς ταῖς σειραῖς τῶν οἰκείων ἁμαρτημάτων.

Vers. 2. *Et tu, Bethleem, domus Ephratha* (34), *nequaquam minima es in millibus Juda : ex te enim mihi egredietur, ut sit in principem Israel.* Samaria quidem, ait, obsidione cingetur redigeturque in hostium potestatem ; tu vero, Bethleem, magna gloria gaudebis. Noli enim attendere paucitatem tuorum habitantium, neve consideres, te esse tenuem atque parvam domum in *millibus* Judæi regni, tribuum scilicet principibus (quo in numero et Jerusalem per hæc vates recenset) ; tibi enim suppetit gloriandi argumentum, quale nulli urbium quæ sunt in orbe terrarum. Ex te enim egredietur Christus, qui universo Israeli, fideli scilicet populo, sit imperaturus. *Non enim omnes, quotquot ex Israele prodierunt, Israel sunt* [48]. Quomodo autem egredietur? Non humanæ **295** profecto sationis lege, sed *mihi*, mea scilicet potestate, atque meo Spiritu, qui carnem ei appinget, ut et angelus ad Virginem dixit, *Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi* [49]. Alio item modo : Alii quidem principes rempublicam sibi ministrant, propriam quisque utilitatem in suo regimine spectando ; hic vero mihi egredietur, omnia ad meipsum referendo, quod et pronomen *mihi*, proprietatem includens, manifeste declarat. Universa porro provincia vocabatur Ephratha ; vicus autem, Bethleem, unde tribus Jesse, et David, quo in (35) vico et Virgo peperit.

Β *Καὶ σὺ, Βηθλεέμ, οἶκος τοῦ Ἐφραθᾶ, μὴ ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ.* Ἡ μὲν Σαμάρεια, φησὶ, πολιορκηθήσεται, καὶ ἁλώσεται· σὺ δὲ, ὦ Βηθλεέμ, μεγάλης δόξης ἀπολαύσεις. Μὴ γὰρ ἀποβλέψῃς εἰς τὴν νῦν βραχύτητα τῶν ἐνοικούντων σοι, καὶ ὅτι οἶκος εἶ ὀλιγοστὸς καὶ μικρὸς ἐν ταῖς χιλιάσι τῆς τοῦ Ἰούδα βασιλείας, τουτέστιν, ἐν τοῖς φυλάρχοις (τοῦτο δὲ εἰπὼν, καὶ τὴν Ἱερουσαλὴμ περιέλαβεν)· ἔχεις γὰρ ἀφορμὴν εἰς περιφάνειαν, οἵαν οὐδεμία πόλις τῶν ἐπὶ γῆς. Ἐκ σοῦ γὰρ ἐξελεύσεται ὁ Χριστὸς, ὃς ἄρξει τοῦ Ἰσραὴλ, τοῦ πιστοῦ παντὸς λαοῦ. *Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραήλ.* Πῶς δὲ ἐξελεύσεται ; Οὐ νόμῳ σπορᾶς ἀνθρωπίνης, ἀλλ' ἐμοὶ, τουτέστι, τῇ ἐμῇ δυνάμει, καὶ τῷ ἐμῷ Πνεύματι, ὃ συμπήξει αὐτῷ τὴν σάρκα, ὡς καὶ ὁ ἄγγελος εἶπε πρὸς τὴν Παρθένον· *Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.* Καὶ ἄλλως δέ· Οἱ μὲν ἄλλοι ἄρχοντες ἑαυτοῖς ἐξήρχοντο, τὸ οἰκεῖον συμφέρον πραγματευόμενοι ἐν τῇ ἀρχῇ· οὗτος δὲ ἐμοὶ ἐξελεύσεται, πάντα ἐμοὶ προσάγων. Δηλοῖ δὲ καὶ οἰκειότητα τὸ, *Ἐξελεύσεταί μοι.* Ἡ μὲν οὖν χώρα ἐκαλεῖτο Ἐφραθᾶ· ἡ δὲ κώμη, Βηθλεέμ, ἐξ ἧς ἦν Ἰεσσαὶ, καὶ Δαβὶδ, ἐν ᾗ καὶ ἡ Παρθένος ἔτεκεν.

C

Et egressus ejus ab initio ex diebus sæculi. Egredietur quidem, ait, in novissimis diebus ex te, Bethleem, Princeps hic, qui Israeli sit imperaturus, verumtamen *egressus ejus ab initio*, ab omni retro æternitate fuere præordinati. Vel sensus est :

D *Αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς, ἐξ ἡμερῶν αἰῶνος.* Ἐξελεύσεται μὲν, φησὶν, ἐν ἐσχάτοις καιροῖς ἐκ σοῦ, ὦ Βηθλεὲμ, ὁ τοῦ Ἰσραὴλ οὗτος ἄρχων· πλὴν *αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς*, ἦγουν πρὸ πάντων (36) τῶν αἰώνων ἦσαν προωρισμέναι. Ἢ οὕτως· Ἵνα μὴ

[46] Levit. xxvii, 43. [47] Joan. xix, 15. [48] Rom. ix, 6. [49] Luc. i, 35.

Variæ lectiones et notæ.

(33) Ὀγχώσεως. Cod. Bav.

(34) Notanda est particula negativa, quam uterque Codex exhibet, quam et apud Tertullianum et Cyprianum videre est, ex quo conjicere licet, nonnullos in veteribus quibusdam exemplaribus aut expresse particulam illam comperisse, aut Hebraica verba ita legisse *et, tu, Bethleem, minima es!* ubi tacite subaudiretur *minime*. Quo celebris illa tollitur ἀντιλογία, quæ Matthæum inter et Michæam in Vulgata intercedit, quibus conciliandis diu multumque insudarunt Interpretes.

(35) Virginem non in Bethleem, sed in antro quodam prope Bethleem peperisse tradunt cum alii veteres Ecclesiæ Patres, inter quos Justinus Philosophus Martyr et S. Irenæus, tum maxime Basilius, vel quisquis auctor est orationis nondum editæ πρὸς τοὺς ἀσθενοῦντας, quæ in vetusto Cod. Græc. D. Marci Bibl. asservatur.

(36) Αἱ ἔξοδοι αὐτοῦ αὗται αἱ ἐκ σοῦ πρὸ πάντων, Cod. Ven.

Digitized by Google

νομίσῃς, τότε αὐτὸν τὴν ὕπαρξιν λαχεῖν, ὅτε ἐκ Βηθλεὲμ ἐξῆλθεν, ὅπερ Παῦλος ὁ Σαμοσατεὺς, καὶ Φωτεινὸς ὁ τοῦ Σιρμίου ἐπίσκοπος ἔπαθον· φησὶν, ὅτι *Αἱ ἔξοδοι αὐτοῦ*, τουτέστιν, ἡ ἐκ τοῦ Πατρὸς γέννησις αὐτοῦ, ἀπ' ἀρχῆς. Ὅμοιον τῷ· *Ὃ ἦν ἀπ' ἀρχῆς*· τὸ δὲ, *Ἐξ ἡμερῶν αἰῶνος*, ἀκούσας, μὴ νομίσῃς, ὅτι ἀρχήν τινα χρονικὴν τίθησι τῇ γεννήσει τοῦ Μονογενοῦς· ἀλλ' ὅμοιον τοῦτο τῷ ἀλλαχοῦ πρὸς τὸν Πατέρα λεγομένῳ, *Ὅτι ἀπὸ τοῦ αἰῶνος σὺ εἶ*. Ἰουδαῖοι δὲ εἰς τὸν Ζοροβάβελ ταῦτα ἐκλαμβάνουσι, προδήλως τῇ ἀληθείᾳ μαχόμενοι. Πῶς γὰρ αἱ ἔξοδοι τοῦ Ζοροβάβελ ἀπ' ἀρχῆς ἦσαν, ἐξ ἡμερῶν αἰῶνος, τοῦ κατὰ τοὺς τῆς αἰχμαλωσίας καιροὺς γεννηθέντος; Πῶς δὲ οὗτος ἐκ Βηθλεὲμ, ὃς ἐν Βαβυλῶνι ἐγεννήθη; Οὕτω γὰρ καὶ τὸ ὄνομα αὐτοῦ ἑρμηνεύεται, *σπορὰ Βαβυλώνιος*. Ἀλλ' οἵ γε πάλαι Ἰουδαῖοι οὐκ εἰς τὸν Ζοροβάβελ τὴν προφητείαν ἐξεδέξαντο· ὑπὸ Ἡρώδου γὰρ ἐρωτηθέντες, *Ποῦ ὁ Χριστὸς γεννᾶται;* ταυτην αὐτῷ τὴν προφητείαν προήνεγκαν.

Διὰ τοῦτο δώσεις αὐτοὺς ἕως καιροῦ τικτούσης. Ἐπειδὴ εἶπεν, ὅτι ἐξελεύσεται ἐκ Βηθλεὲμ ὁ ἄρξων τοῦ Ἰσραὴλ, εἶτα εἰκὸς ἦν ἐπαπορῆσαι· Πῶς οὖν ἃ εἶπας κακὰ συμβήσεται τοῖς Ἰουδαίοις, εἴ γε λυτρωτὴς ἔσται ἐκεῖνος; Φησὶν οὖν ὁ προφήτης πρὸς τὸν Θεὸν, ὅτι *Δώσεις αὐτοὺς*, τουτέστι, *παραδώσεις τοῖς ἐχθροῖς, ἕως καιροῦ τῆς τικτούσης* τὸν Ἐμμανουὴλ Παρθένου. Ἢ καὶ οὕτως· Ἐπειδὴ περὶ ἄρχοντος εἶπε μέλλοντος δοθήσεσθαι· φησὶν οὖν, ὅτι ἐν τῷ μέσῳ ἄχρις οὗ τέκῃ ἡ Παρθένος, *Δώσεις αὐτοὺς*, τοὺς Ἰουδαίων δηλαδὴ ἄρχοντας. *Οὐκ ἐκλείψει γὰρ ἄρχων ἐξ Ἰούδα, ἕως ἂν ἔλθῃ, ᾧ ἀπόκειται.* Ἀλλὰ καὶ τοὺς νομοδιδασκάλους δώσεις, ἄχρις οὗ τέκῃ ἡ τίκτουσα κατὰ Χριστὸν τῶν ἐθνῶν Ἐκκλησία· ἔκτοτε δὲ καταργηθήσεται τὰ τούτων νόμιμα καὶ δόγματα.

Τέξεται, καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτῶν ἐπιστρέψουσιν ἐπὶ τοὺς υἱοὺς Ἰσραήλ. Τέξεται οὖν, φησὶν, ἡ Παρθένος, καὶ πιστεύσουσι μὲν οἱ υἱοὶ Ἰσραὴλ, τουτέστιν, οἱ δώδεκα ἀπόστολοι, καὶ οἱ ἑβδομήκοντα, καὶ οἱ πεντακόσιοι, οἷς ὤφθη ὁ Κύριος ἀναστάς· εἶτα οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτῶν ἐπιστρέψουσιν ἐπὶ τούτους, καὶ πιστεύσουσι καὶ αὐτοὶ, ὅπερ δὴ γέγονεν, ἡνίκα οἱ τρισχίλιοι ἐπίστευσαν, καὶ οἱ πεντακισχίλιοι, οὓς ὁ ἁλιεὺς ἐσαγήνευσε Πέτρος, καὶ αἱ πολλαὶ μυριάδες, περὶ ὧν καὶ ὁ θεσπέσιος Ἰάκωβος τῷ θειοτάτῳ Παύλῳ φησί· *Θεωρεῖς, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶ τῶν πεπιστευκότων Ἰουδαίων;* Καὶ τοὺς καθ' ἑκάστην δὲ γενεὰν πιστεύειν μέλλοντας (38), ἐπιλοίπους φησὶν, ὡς παρὰ τοῦ Θεοῦ ὑπολειφθέντας, ἤτοι ἐκλεγέντας. Τινὲς δὲ οὕτως· Τέξεται, φησὶν, ἡ ἐξ ἐθνῶν Ἐκκλη-

A Ne putares eum tum subsistentiam esse nactum, cum ex Bethleem prodiit, ut Paulus Samosatenus, et Photinus (37), Sirmii episcopus, autumarunt, ait, *Ejus exitus*, scilicet ex Patre generationem, exstitisse ab initio, cui simile est illud : *Quod erat ab initio.* Cum autem audis *A diebus sæculi*, ne putes per ea temporale aliquod initium Unigeniti generationi vatem astruere; sed hoc omnino simile est ei, quod alibi ad Patrem dicitur, *Quoniam a sæculo tu es*[50]. Judæi autem hæc ad Zorobabelem referenda putant, qua in re veritati manifeste repugnant. Quomodo enim ab initio et a diebus sæculi fuerunt Zorobabelis exitus, qui Babylonicæ captivitatis tempore fuit prognatus? quomodo hic ex Bethleem, qui natus est Babylone? id enim innuit et ipsius nomen, quod si interpretari velimus, sonat *satio Babylonica.* Non ita sane de Zorobabele dicta hæc intelligenda putarunt veteres Judæi; quippe qui ab Herode interrogati, *ubi Christus esset nasciturus*[51], vaticinium hoc ei protulerunt.

B

Vers. 3. *Propterea dabis eos usque ad tempus parturientis.* Cum superius vates dixisset, egressurum ex Bethleem principem Israel, atque propterea ita dubitari merito posset, Qui fiat ergo, ut, quæ prænuntiasti, mala Judæis accidant, siquidem talis eis futurus est Redemptor? Idcirco Deum affatus, *Dabis*, ait, *eos*, hostibus nimirum trades, *quoad* Emmanuelem Virgo *pariat.* Vel ita dictum hoc accipe : Quoniam superius vates de principe, ipsis dando, verba fecerat; interim, ait, donec pariat Virgo, *Dabis eos*, Judæorum videlicet principes. *Non deficiet* enim *princeps de tribu Juda, donec veniat, cui repositum est*[52]. Dabis item legis doctores, quoad Christo pariat Ecclesia, gentilibus ex hominibus conflata, quo sane tempore cessabunt ipsorum instituta atque dogmata.

C

296 *Pariet, et reliquiæ fratrum eorum revertentur ad filios Israel.* Pariet ergo, ait, Virgo, et Christo nomen dabunt filii Israel, duodecim scilicet apostoli, et septuaginta discipuli, et quingenti illi viri, quibus post resurrectionem Christus apparuit : et reliqui deinceps eorum fratres ad hosce convertentur, Christique religionem amplectentur et ipsi; quod sane contigit, cum primum tria hominum millia ad Christi fidem sese receperunt[53], deinde alia quinque millia, quos, quodam quasi rete, Petrus cepit, tot demum alia millia, de quibus et divus Jacobus ad sanctum Paulum : *Vides, frater, quot millia sunt credentium Judæorum*[54]? Reliquias item divinus vates dicit eos, qui quoque tempore Christo nomen daturi essent, quasi reliqui a Deo facti, hoc est delecti. Quidam autem hoc

D

[50] Psal. xcii, 2. [51] Matth. ii, 4. [52] Gen. xlix, 10. [53] Act. ii, 41. [54] Act. xx, 20.

Variæ lectiones et notæ.

(37) Negabant ii Christi divinitatem, proindeque Christum tum subsistentiam nactum existimabant, cum e Virginis utero prod.it. Eos eorumque impiam sententiam Catholica damnavit Ecclesia.

(38) Πιστεύοντας, Cod. Bav.

Digitized by Google

modo. Pariet, ait, e gentibus conflata Ecclesia hos ipsos, qui ab initio Christo crediderunt gentiles, et quotquot ab ea posteris subinde temporibus gignentur homines gentilis generis (qui et fratres priorum credentium gentilium appellari merito possent, cujusmodi forte fortuna fuit Cornelius) accensebuntur Israelitis illis, qui Christum secuti sunt, cujusmodi fuerunt apostoli, et qui horum temporibus ad Christum ipsum sese converterunt. Quoniam autem Bethleem idem sonat, ac *domus panis;* panis autem, qui de cœlo descendit, est Christus, cujus domus habetur quisquis ejus præcepta servat : *Ego* enim, ait, *et Pater veniemus, et apud eum mansionem faciemus*[55] : merito et ex hac domo dux Israel egredietur. Siquidem Christus in eo, qui per virtutis exercitationem ipsum excipit, ducem et contemplanti se menti præbet, cui vel æterna ejus subsistentia manifestatur. Hinc docti Ecclesiæ præsules, et mundi sæculares principes videant, ne populorum regimen occipiant, priusquam talem præ se quisque mentem ferant, quæ domus venditi illius panis haberi merito possit.

A σία αὐτοὺς δὴ τούτους τοὺς ἐξ ἀρχῆς πιστεύσαντας ἐθνικοὺς, καὶ ἔκτοτε τικτούσης αὐτῆς, οἱ κατὰ καιροὺς τικτόμενοι ἐθνικοὶ (οἳ καὶ ἀδελφοὶ λεχθεῖεν ἂν τῶν προπιστευσάντων ἐθνικῶν, οἷον, εἰ τύχοι (39), τῶν περὶ Κορνήλιον) συναφθήσονται τοῖς ἐξ Ἰσραὴλ πιστεύσασιν, οἷοι ἦσαν, ὡς προείρηται, οἱ ἀπόστολοι, καὶ οἱ κατ' αὐτούς. Ἐπεὶ δὲ Βηθλεὲμ ἑρμηνεύεται *Οἶκος τοῦ ἄρτου*, ἄρτος δὲ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ Χριστός ἐστιν, οὗ οἶκος πᾶς ὁ τὰς ἐντολὰς αὐτοῦ ποιῶν, Ἐγὼ γάρ, φησὶ, *καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεν·* ἐξελεύσεται καὶ ἐκ τούτου ὁ ἄρχων τοῦ Ἰσραήλ. Ὁ γὰρ Χριστὸς τῷ διὰ τῆς πρακτικῆς δεξαμένῳ αὐτὸν, ἄρχων τοῦ θεωρητικοῦ μέρους ἀναδείκνυται, ὅτε καὶ ἡ προαιώνιος αὐτοῦ ὕπαρξις διατρανοῦται (40). Παιδευέσθωσαν δὲ καὶ οἱ τῆς Ἐκκλησίας ἄρχοντες, ἤδη δὲ καὶ οἱ κατὰ κόσμον (41), μὴ πρότερον ἄρχοντες γίνεσθαι, πρὶν ἂν οἶκον τοῦ ἀποδεδομένου ἄρτου τὸν νοῦν ἀποδείξωσι (42).

B

Vers. 4. *Et stabit, et videbit, et pascet gregem suum in fortitudine Dominus.* Illud, *stabit*, est pro præcerit, suis videlicet ovibus, eisque non, ut priscis temporibus, per Moysem, sed ipse per se consulet atque prospiciet. Non angelus, ait, non legatus, sed ipsemet Dominus salvabit eas, pascetque ipsas, non jugulabit, neque mactabit, neque vellera vendet, et lac bibet. Pascet item in fortitudine; est enim potestas Patris, atque Deus fortis. Quinetiam, quod ad ipsius humanam naturam spectat, non est ullo peccatorum onere fractus, ut cæteri pastores sacri præsules. *Et erat*, ait, *decens in potestate*, et non ut Scribæ. Stabit præterea, inquit, in Golgotha, pascetque in fortitudine crucis ovile suum, nos videlicet, qui nomen ipsi dedimus. Vel pascet, qui jamdudum ipsius ovile erant, Hebræos, in fortitudine, Romana scilicet virga ferrea. Quisquis item pascendo (gregi) præficitur, **297** stare debet, hoc est, firmus esse et inconcussus, et videre sapientiæ oculis, non ignorantia cæcus esse : tum etiam pascere, non vendere et mactare : pascere demum in fortitudine, scilicet Christo. *Ego* enim, ait, *sum janua : si quis per me ingredietur, salvabitur*[56]. In fortitudine præterea pascit et qui non reformidat imperantium iram, sed eos, cum peccant, audacter reprehendit.

C

D

Καὶ στήσεται, καὶ ὄψεται, καὶ ποιμανεῖ τὸ πολίτιον αὐτοῦ ἐν ἰσχύι Κύριος. Τὸ, *Στήσεται*, ἀντὶ τοῦ, ἐπιστατήσει αὐτὸς τῶν ἰδίων προβάτων, καὶ αὐτὸς ὄψεται αὐτὰ, οὐχ ὡς πάλαι διὰ Μωϋσέως, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ. Οὐκ ἄγγελος γάρ, φησὶ, οὐ πρέσβυς, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν αὐτούς. Καὶ ποιμανεῖ, ἀλλ' οὐ σφάξει, καὶ θύσει, καὶ τὰ ἔρια πωλήσει, καὶ τὸ γάλα πίεται. Ἀλλὰ καὶ *ἐν ἰσχύι* δύναμις γάρ ἐστι τοῦ Πατρὸς, καὶ Θεὸς ἰσχυρός. Ἀλλὰ καὶ κατὰ τὸ ἀνθρώπινον οὐ περιέκειτο τὴν τῶν ἁμαρτιῶν ἀσθένειαν, ὥσπερ οἱ λοιποὶ ποιμένες ἀρχιερεῖς. *Καὶ ἦν*, φησὶ, *διδάσκων ἐν ἐξουσίᾳ*, καὶ οὐχ ὡς οἱ Γραμματεῖς. Ἀλλὰ καὶ στήσεται, φησὶν, ἐν τῷ Γολγοθᾷ, καὶ ποιμανεῖ ἐν ἰσχύι τοῦ σταυροῦ (43) τὸ ποίμνιον αὐτοῦ, ἡμᾶς τοὺς πιστεύσαντας. Ἢ ποιμανεῖ τοὺς πρώην ὄντας ποίμνιον αὐτοῦ Ἑβραίους, ἐν τῇ ἰσχύι τῇ Ῥωμαϊκῇ, τῇ σιδηρᾷ ῥάβδῳ. Καὶ πᾶς δὲ ὁ τεταγμένος ποιμαίνειν, ὀφείλει ἵστασθαι, τουτέστι πάγιος εἶναι, καὶ μὴ εὐπαράγωγος· ἀλλὰ καὶ βλέπειν τοῖς τῆς σοφίας ὀφθαλμοῖς, καὶ μὴ τυφλὸς εἶναι ὑπὸ ἀμαθίας· καὶ ποιμαίνειν, ἀλλὰ μὴ πωλεῖν, καὶ σφάττειν· καὶ ἐν ἰσχύι ποιμαίνειν, τουτέστιν, ἐν Χριστῷ. Ἐγὼ γάρ *εἰμι*, φησὶν, *ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται.* Ἐν ἰσχύι ποιμαίνει καὶ ὁ μὴ ὑποπτήσσων θυμὸν ἀρχόντων, ἀλλ' ἐλέγχων αὐτοὺς ἁμαρτάνοντας.

Et in gloria nominis Domini Dei sui subsistent. Quinam subsistent? Scilicet qui pascuntur. Eo vel maxime, inquit, hi potentiam nanciscentur atque subsistentiam, quod Christi fideles appellantur. Vel potius cum (44) vocationis suæ viam insisterent :

Καὶ ἐν τῇ δόξῃ τοῦ ὀνόματος Κυρίου Θεοῦ αὐτῶν ὑπάρξουσι. Τίνες; Οἱ ποιμαινόμενοι. Ἐν τῷ καλεῖσθαι Χριστιανοὶ, φησὶν, ἐν τούτῳ ἕξουσι τὴν ἐξουσίαν αὐτῶν καὶ ὕπαρξιν. Μᾶλλον δὲ ἐπειδὴ τῆς κλήσεως περιπατούντων, φησὶν, ὅτι ἐν τούτῳ ὑπάρ-

[55] Joan. xiv, 23. [56] Joan. x, 9.

Variæ lectiones et notæ.

(39) Legendum fortasse ἡ τύχη.
(40) Διατυραννοῦται, Cod. Ven.
(41) Νόμον, *legem*, Cod. Ven.
(42) Δείξωσι, Cod. Ven.
(43) Τῷ σταυρῷ, *cruce*. Cod. Ven.
(44) Scribendum puto ἐπὶ pro ἐπεί.

Digitized by Google

ξουσι πολμνιον αὐτοῦ, ἐν τῷ δοξάζεσθαι διὰ τῶν ἔργων αὐτῶν τὸ ὄνομα τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ.

Διότι νῦν μεγαλυνθήσονται ἕως ἄκρων τῆς γῆς. Καὶ τοῦτο νῦν ἔστιν ἰδεῖν· ἄχρι γὰρ τοῦ Ὠκεανοῦ τό τε ὄνομα τοῦ Χριστοῦ μεγαλύνεται, καὶ οἱ τοῦτο κεκλημένοι πληθύνονται καὶ μεγαλύνονται, κἂν ὑπὸ τῶν ἀσεβῶν διώκωνται.

per hoc ait eos fore ipsius gregem, quod operibus, nomen Dei nostri Jesu Christi colerent atque vererentur.

Quia nunc magnificabuntur usque ad terminos terræ. Id videre est et in præsentia; nam et Christi nomen ad Oceanum (45) usque in honore habetur, et qui Christi fideles hoc ab nomine vocantur, in dies magis magisque crescunt amplificanturque, etsi persecutiones ab impiis patiantur.

Καὶ ἔσται αὕτη ἡ εἰρήνη, ὅταν Ἀσσύριος ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν, καὶ ὅταν ἐπιβῇ ἐπὶ τὴν χώραν ὑμῶν. Ἐπειδὴ, ἃ περὶ Χριστοῦ προεφήτευσε, μακροῖς ὕστερον χρόνοις ἔμελλε γενέσθαι, πιστοῦται τὴν περὶ τούτων πρόρρησιν ἀπὸ τῶν κατ' ἐκεῖνον τὸν καιρὸν γενησομένων. Ἵνα γὰρ, φησὶ, μάθητε, ὅτι ἔσται ἃ προεἴρηκα, ἐνέχυρον λάβετε τὰ παρόντα. Εἰρήνη γὰρ ἔσται βαθεῖα, καταλύσαντός μου τὸν Ἀσσύριον παρὰ πᾶσαν ἐλπίδα, ὅταν (46) ἐπέλθῃ ὑμῖν (47), τουτέστιν ἐπιστρατεύσῃ, καὶ ἐπιβῇ ἐπὶ τὴν χώραν ὑμῶν, τουτέστι, κυριεύσῃ ταύτης (48).

Vers. 5. *Et erit hæc pax: Assyrius quando supervenerit in terram vestram, et quando ascenderit super regionem vestram.* Quoniam, quæ de Christo vates prædixit, multa post sæcula eventura erant, fidem huic vaticinio conciliat per ea quæ tum temporis futura erant. Ut enim cognoscatis, ait, certo futura esse, quæ prædixi; pignus capite præsentia. Summa enim pax erit, atque tum ego præter spem omnem Assyrium delebo, cum hic impetum in vos faciet, exercitum contra vos ducens, invadetque vestram regionem, hac videlicet potietur.

Καὶ ἐπεγερθήσονται ἐπτὰ ποιμένες, καὶ ὀκτὼ δήγματα ἀνθρώπων· καὶ ποιμανοῦσι τὸν (49) *Ἀσσοὺρ ἐν ῥομφαίᾳ.* Ἑπτὰ, φησὶ, βασιλεῖς ἐπεγερῶ τῷ Ἀσσυρίῳ (ποιμένας γὰρ τοὺς βασιλεῖς ὀνομάζει)· οἳ ὀκτάκις πολεμήσαντες αὐτῷ, καὶ διὰ τῶν ὀκτὼ τούτων πολεμικῶν προσβολῶν, οἷά τινων δηγμάτων, καταδακόντες τὴν αὐτοῦ στρατιὰν, καταδαπανήσουσιν αὐτόν. *Καὶ ποιμανοῦσιν ἐν ῥομφαίᾳ,* κατακολουθοῦντες ὄπισω αὐτοῦ, καὶ ἐπιδιώκοντες, μὴ δυνάμενον ἀμύνασθαι ἐπίσης προβάτοις. Ἠθικώτατον δὲ τὸ, *Ποιμανοῦσι.*

Vers. 6. *Et consurgent super eam septem pastores, et octo morsus hominum: et pascent Assur in gladio.* Septem, ait, reges in Assyrium inducam (pastores enim reges vocat), qui octies cum eo pugnabunt, et per has octo bellicas irruptiones, quasi quosdam morsus, ejus exercitum quodammodo lacerabunt, penitusque delebunt. *Depascentque in gladio,* eum a tergo insequentes persequentesque, ut is, omnino viribus impar, suas oves tutari nequeat. Usitatissimum vero (sacris in Litteris) est illud, *Pascent.*

Καὶ τὴν γῆν τοῦ Νεβρὼδ ἐν τῷ τάφρῳ αὐτῆς. Γῆν Νεβρὼδ τὴν Βαβυλῶνά φησι. Νεβρὼδ γὰρ τὴν τυραννίδα (50) χρησάμενος, τὴν Βαβυλῶνα πρώτην ὑποχείριον ἔσχεν. *Ἐγένετο* γὰρ, φησὶν, *ἡ ἀρχὴ τῆς βασιλείας αὐτοῦ, Βαβυλὼν, Ὀρὲχ, καὶ Χαλάνη.* Ἐπεὶ οὖν ὁ Ἀσσύριος τὴν Βαβυλῶνα εἶχεν ὑφ' ἑαυτὸν, φησὶ νῦν ὁ Θεὸς, ὅτι οἱ ἑπτὰ βασιλεῖς ἐκεῖνοι τόν τε Ἀσσύριον καὶ τοὺς βασιλεῖς ταπεινώσουσι, καίτοι γε τάφρον ἐχούσης τῆς Βαβυλῶνος μεγίστην, τὰ ὄχυρὰ (51) τείχη περιζωννῦσαν. Ἢ καὶ οὕτως· Ἀναγκάσουσι τοὺς Βαβυλωνίους ἐν τῇ τάφρῳ περιωρίσθαι, καὶ μὴ περαιτέρω προβαίνειν.

Et terram Nebrod in vallo ejus. Terram Nebrod Babylonem vocat; Nebrod enim tyrannico usus imperio, Babylonem omnium primam in suam potestatem redegit. *Erat* enim, ait, *principium regni ejus Babylon, Orech et Chalane* [57]. Postquam ergo Babylonem subegit Assyrius, futurum ait Deus, ut septem illi reges Assyrium ipsum ejusque reges opprimant, etiamsi Babyloni muri longe omnium fortissimi sint, et ingenti vallo circummuniti. Potest **298** etiam locus hic ita intelligi: fore ut iis ab regibus Babylonii vallo se tenere cogantur, nec egredi audeant.

Καὶ ῥύσεταί σε ἐκ τοῦ Ἀσσὺρ, ὅταν ἔλθῃ ἐπὶ τὴν γῆν ὑμῶν, καὶ ὅταν ἐπιβῇ ἐπὶ τὰ ὅρια ὑμῶν. Ἐκεῖνος μὲν, φησὶ, ταῦτα (52) πείσεται· σὺ δὲ οὐ τότε μόνον, ὅτε ἐπαναστήσω τοὺς βασιλεῖς τῷ Ἀσσυρίῳ, ἀπαλλαγήσῃ τῶν ἐκ τούτου κακῶν, ἀλλὰ καὶ νῦν ἐπελθόντος σοι, ῥύσομαί σε, ἑκατὸν ὀγδοήκοντα

Et liberabit te de Assur, cum venerit super terram vestram, et cum ascenderit super terminos vestros. Hæc patietur ille quidem; tu vero, ait, non solum tum, cum reges in Assyrium inducam, liberaberis ab hujusce molestiis, sed etiam nunc ab ejus impetu et irruptione incolumis ope mea servaberis,

[57] Gen. x, 10.

Variæ lectiones et notæ.

(45) Atlanticum intelligit, ubi Britannicæ sunt Insulæ, ad quas, tanquam ad ultimas orbis cogniti regiones, pervenisse sonum apostolicæ prædicationis supra dixit.
(46) Ὅτε, Cod. Bav.
(47) Ἡμῖν, *nobis*, Cod. Ven.
(48) Κυριεύσῃ τῆς χώρας ταύτης, Cod. Ven.
(49) Τὴν, Cod. Bav.
(50) Mihi magis placeret, τῇ τυραννίδι.
(51) Τὰ ὀχυρὰ ἐκεῖνα, Cod. Bav.
(52) Τοιαῦτα, *talia*, Cod. Bav.

Digitized by Google

centum octoginta quinque ipsius hominum millibus cæsis atque profligatis [58]. Innuit enim Senacherim cædem, ejusque exercitum una nocte penitus deletum. Irruit et mysticus Assyrius in terram nostram, carnem scilicet, redegitque suam in potestatem membra nostra, quæ humi volutantur. Idem invasit et terminos nostros, mentem scilicet atque rationem; in his enim positi sunt hominis termini, quibus a brutis animantibus distinguitur. Cum igitur hic nobis dominari videretur, cumque terrarum orbis omni nequitiæ genere et impietate in Deum refertus esset: tunc suppetias nobis venit Christus, pax nostra; insurrexeruntque in Assyrium istum septem Spiritus potestates, quæ, bonorum instar pastorum, Spiritu dignos pascunt. Accesserunt et octo morsus hominum, illorum scilicet, qui humanam servant dignitatem; seu quinque sensus, fidei, spei et charitati copulati, vel cum Trinitatis confessione conjuncti, atque tum Spiritus gladio, verbo scilicet Dei, cæsus est inimicus hic, percussaque simul est terra Nebrod, peccati scilicet regio. In hoc enim sita est terra spiritalis Nebrod hujus, ad quem pertinet dictum illud, *Ipse cæpit esse robustus venator coram Deo* [59]. Is enim cervicem contra Dominum tollit, venaturque hominum animas. Vallum autem peccati caro est, quæ contra spiritum concupiscit, munitque propterea peccatum. Sed Dominus in similitudinem carnis peccati factus [60], peccatum proscripsit hac ipsa carne, quam assumpsit. Atque ita percussa est terra Nebrod in suo ipsius vallo. Septem præterea pastores intelligere commode poteris et divinos vates; septenarius enim numerus in Veteri Testamento (54) allegoricus est, cum ob alia, tum ob id maxime, quod præsentis sæculi bona polliceretur. Octo vero morsus, apostolorum sermones. Etenim cum dentes instrumenta sunt, proferendis verbis accommodata; tum apostoli momorderunt Assyrium, iis quibus resurrectionem denuntiarunt, verbis (quæ quidem resurrectio in Christo contigit octava, post septimam (56) Sabbati, die Dominica, quemadmodum et **299** in nobis omnibus accidet octava post (57) septimum hoc sæculum ætate) qui

πέντε χιλιάδας αὐτοῦ ἀνελών. Τὰ γὰρ κατὰ τὸν Σεναχηρεὶμ ἐνταῦθα λέγει, καὶ τὸν ἐν μιᾷ νυκτὶ ὄλεθρον τῆς ἐκείνου στρατιᾶς. Ἐπέβη καὶ ὁ νοητὸς Ἀσσύριος ἐπὶ τὴν ἡμετέραν γῆν, τὴν σάρκα φημὶ, τὰ μέλη ἡμῶν, τὰ ἐπὶ τῆς γῆς, οἰκεῖα ποιούμενος. Ἐπέβη δὲ καὶ ἐπὶ τὰ ὅρια ἡμῶν, τὸν νοῦν καὶ τὸν λόγον· ταῦτα γὰρ τοῦ ἀνθρώπου ὅρια διορίζονται αὐτὸν ἀπὸ τῶν ἀλόγων. Ὅτε οὖν ἔδοξε κρατῆσαι ἡμῶν, καὶ ἐπλήσθη ἡ γῆ πάσης κακίας καὶ ἀθεΐας, τότε ἐπέστη ἡμῖν ὁ Χριστὸς, ὃς ἐστιν ἡ εἰρήνη ἡμῶν, καὶ ἐπηγέρθησαν τῷ τοιούτῳ Ἀσσυρίῳ αἱ τε ἑπτὰ τοῦ Πνεύματος ἐνέργειαι, ποιμένες ἀγαθοὶ, ποιμαίνοντες τοὺς ἀξίους τοῦ Πνεύματος, καὶ τὰ ὀκτὼ δήγματα τῶν ἀνθρώπων, τῶν τὴν ἀνθρωπίνην ἀξίαν τηρούντων, ἤτοι αἱ πέντε αἰσθήσεις, πίστει, ἐλπίδι καὶ ἀγάπῃ συντεταγμέναι, ἢ τῇ τῆς ἁγίας Τριάδος ὁμολογίᾳ, καὶ ἐν τῇ ῥομφαίᾳ τοῦ Πνεύματος, ὃ ἐστι ῥῆμα Θεοῦ, ἐπατάχθη ὁ τοιοῦτος ἐχθρὸς, καὶ ἡ τοῦ Νεβρὼδ γῆ, ἤτοι ἡ ἁμαρτία. Αὕτη γὰρ γῆ τοῦ νητοῦ Νεβρὼδ, περὶ οὗ εἴρηται· *Αὐτὸς ἤρξατο γίγας κυνηγὸς ἔναντι Κυρίου*. Τραχηλιάσας γὰρ κατέναντι Θεοῦ (53), θηρεύει τὰς ψυχὰς τῶν ἀνθρώπων. Τάφρος δὲ τῆς ἁμαρτίας ἡ σὰρξ, ἐπιθυμοῦσα κατὰ τοῦ πνεύματος, καὶ διὰ τοῦτο ἀσφαλιζομένη τὴν ἁμαρτίαν. Ἀλλ' ὁ Κύριος ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας γενόμενος, κατέκρινε τὴν ἁμαρτίαν ἐν ᾗ προσέλαβεν. Οὕτω; οὖν ἐπατάχθη ἡ τοῦ Νεβρὼδ γῆ ἐν τῇ τάφρῳ αὐτῆς. Ἑπτὰ ποιμένας νοήσεις καὶ τοὺς προφήτας· ὁ γὰρ ἑπτὰ, τῇ Παλαιᾷ σύστοιχος, τά τε ἄλλα, καὶ ὅτι τὰ τοῦ ἐνεστῶτος αἰῶνος ἀγαθὰ ὑπισχνεῖτο· ὀκτὼ δὲ δήγματα, τοὺς τῶν ἀποστόλων λόγους. Οἵ τε γὰρ ὀδόντες ὄργανα, συνεργὰ πρὸς τὸν λόγον· οἵ τε ἀπόστολοι τὸν Ἀσσύριον ἐδάκνον, δι' ὧν (55) κατήγγελλον τήν τε ἀνάστασιν, ἣ ἐν τῇ ὀγδόῃ, τῇ μετὰ τὴν ἑβδόμην τοῦ Σαββάτου Κυριακῇ γεγένηται ἐπὶ Χριστοῦ· γενήσεται δὲ καὶ ἐφ' ἡμῶν πάντων, τῇ μετὰ τὸν ἕβδομον τοῦτον αἰῶνα ὀγδόῃ· καὶ πρὸς τῇ ἀναστάσει τὴν ἐν ἐκείνῃ τῇ ὀγδόῃ οὐράνιον βασιλείαν ἐκήρυττον. Εἰ δὲ τὰ κατὰ τὸν Ἀνανίαν καὶ τὴν Σαπφείραν λογίσῃ, καὶ τὰ κατὰ τὸν Ἐλύμαν τὸν μάγον, καὶ τοὺς παραδοθέντας τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ, καὶ ἵνα παιδευθῶσι μὴ βλασφημεῖν· τότε συνήσεις πῶς καὶ ἐν ῥομφαίᾳ

[58] IV Reg. XIX, 35. [59] Gen. X, 9. [60] Rom. VIII, 33.

Variæ lectiones et notæ.

(53) Κυρίου, Cod. Ven.

(54) Veteres Ecclesiæ Patres, quorum princeps Barnabas, existimabant septem in mundi creatione dies adumbrare totidem *αἰῶνας*, *sæcula*, seu ætates, quarum singulæ mille annis constarent. Mille namque anni coram Deo sunt *tanquam dies hesterna, quæ præteriit*, Psal. LXXXIX, 4; et quemadmodum septima die *quievit Deus ab omni opere quod patraverat*, ita eadem illa die significari quietem autumabant qua septimo millenario sæculo, sub Christi regno, cum bonorum omnium affluentibus copiis homines perfruerentur. Septima porro hæc ætas erat *ἀρχὴ τῆς ὀγδόης*, ut Barnabæ verbis utar ex ejus ep. num. 15, *initium octavæ*, quæ in futuro ævo transigeretur.

(55) Οὗ, Cod. Ven.

(56) Sabbatum hoc loco sumitur pro hebdomada, ut et ibi, *jejuno bis in Sabbato*. Qui fiat enim, ut bis una die quis jejunet? Clare se explicat Interpres Comm. *in Luc.* cap. XVIII. Ubi verba *una Sabb.* primam hebdomadæ interpretatur. Una vero dies comparata cum septem præcedentibus, octava dicitur, eademque, si cum subsequentis hebdomadæ diebus conferatur, primæ locum obtinet.

(57) Theophylacti namque temporibus septimum millenarium, uti vocant, sæculum vertebatur. Sive enim cum Julio Africano quinque annorum millia et 500 ante Christi adventum præteriisse putarit Interpres, sive cum Eusebio quinque millia et 200: merito sæculum, quo ipse vivebat, septimum appellare potuit, ut consideranti patebit.

Digitized by Google

ἐποίμαινον οἱ ἀπόστολοι, τῇ ἀποτομίᾳ ἐπὶ τοὺς ταύτης χρῄζοντας χρώμενοι.

præter resurrectionem prædicarunt et cœleste regnum, quod octava illa die fuit reseratum. Præterea si tecum ipse perpenderis historiam Ananiæ et Saphiræ, et Elymæ magi [61], et si diligenter considerare volueris eos, qui Satanæ traditi sunt ad carnis perditionem [62], ut salvaretur spiritus, et simul ab jactandis in Deum maledictis ii sese temperarent : tum profecto comperies, quemadmodum et gladio apostoli pascerent, uterenturque rescissione adversus eos qui hac ipsa egerent.

Καὶ ἔσται τὸ ὑπόλειμμα τοῦ Ἰακὼβ ἐν τοῖς ἔθνεσιν, ἐν μέσῳ τῶν λαῶν πολλῶν, ὡς δρόσος παρὰ Κυρίου πίπτουσα, καὶ ὡς ἄρνες ἐπ' ἄγρωστιν, ὅπως μὴ συναχθῇ μηδείς, μηδὲ ὑποστῇ ἐν υἱοῖς ἀνθρώπων. Καὶ ἔσται τὸ ὑπόλειμμα τοῦ Ἰακὼβ ἐν τοῖς ἔθνεσιν ἐν μέσῳ λαῶν πολλῶν, ὡς λέων ἐν τοῖς κτήνεσι τοῦ δρυμοῦ, καὶ ὡς σκύμνος ἐν ποιμνίοις προβάτων· ὃν τρόπον ὅταν διέλθῃ καὶ διαστείλας ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ἐξαιρούμενος. Δύναται μὲν ταῦτα κατὰ τὸ ῥητὸν ἐκλαμβάνεσθαι, ὑπισχνουμένου τοῦ Θεοῦ τοῖς ὑπολειφθεῖσι, καὶ εἰς σωτηρίαν τηρηθεῖσιν Ἑβραίοις μετὰ τὴν τοῦ Βαβυλωνίου καθαίρεσιν, ἀγαθῶν τε εὐετηρίαν τοσαύτην ὥστε καὶ ἄλλους δροσίζειν δύνασθαι καὶ ἀγαθοποιεῖν, καὶ κατὰ τῶν ἐχθρῶν δυναστείαν, ὥστε τούτους καταδαπανᾷν, καθάπερ οἱ ἄρνες τὸν τῆς ἀγρώστεως χόρτον, ὅπως μηκέτι συναχθῇ κατ' αὐτῶν, μηδὲ ὑποστῇ ἔμπροσθεν αὐτῶν ἄνθρωπός τις· ἀλλ' ὥσπερ λέων διαστέλλων τὰ πρόβατα, τουτέστιν, εἰς τὸ μέσον αὐτῶν εἰσερχόμενος, χωριζομένων ἀπὸ φόβου καὶ διασπειρομένων ἄλλου ἀλλαχοῦ, ἁρπάζει, καὶ οὐδείς ἐστιν ὁ ῥυόμενος· οὕτω καὶ αὐτοὶ τὰ τῶν ἐχθρῶν διαρπάζουσι. Πλὴν ἀλλὰ τὸ ἀληθὲς, περὶ τῶν ἀποστόλων ταῦτα λέγεται. Εἰπὼν γὰρ περὶ τῶν κατὰ τὸν αἰσθητὸν Βαβυλώνιον γενησομένων, ἀνατρέχει ἐπὶ τὰ κατὰ Χριστὸν, καὶ προαγγέλλει, ὅπως τὸ ἐκ τοῦ Ἰακὼβ λεῖμμα, τὸ κατ' ἐκλογὴν χάριτος, οἵ τε ἀπόστολοι, φημὶ, καὶ οἱ μετὰ τούτους (58) ἐξ Ἑβραίων ἐν τῇ Ἐκκλησίᾳ λάμψαντες· καὶ μέντοι ἁπλῶς πάντες οἱ τῆς Ἐκκλησίας διδάσκαλοι. Ὡς γὰρ καὶ ἀνωτέρω εἴρηται, *Οὐ πάντως* [f. *πάντες*] *οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραήλ.* Οὗτοι τοίνυν τοῖς ἔθνεσι τοῖς (59) τὸν καύσωνα τῆς εἰδωλολατρείας καὶ τῶν ἄλλων ψυχικῶν παθῶν ἔχουσι, δρόσος ἔσονται, προσφέροντες αὐτοῖς τὴν τοῦ Εὐαγγελίου διδασκαλίαν, ἥτις παρὰ τοῦ Κυρίου ἔπεσεν ἐπ' αὐτούς (60)· καὶ τὴν ἀσέβειαν ἐδαπάνησαν, ὡς ἄρνες τὴν ἄγρωστιν, ὅπως μηδεὶς ἔτι σύλλογος ἀσεβῶν συναχθῇ (61), ἢ ὑποστῇ, ἀλλὰ πάντες διορθωθῶσι. Τοῦτο δὲ λέγω, φησὶν, οὐ περὶ δαιμόνων (ἐκεῖνοι γὰρ ἀδιόρθωτοι), ἀλλ' ἐν υἱοῖς τῶν ἀνθρώπων, τὴν διόρθωσιν δεχομένοις. Ἡ, Ἐπειδὴ βρῶμά ἐστι τοῦ διδάσκοντος ἡ τοῦ διδασκομένου ὠφέλεια, ὥσπερ οἱ ἄρνες, φησὶν, ἐπι-

Σὺ σπερεῖς, καὶ οὐ μὴ ἀμήσῃς· σὺ πιέσεις ἐλαίαν, καὶ οὐ μὴ ἀλείψῃ ἔλαιον, καὶ ποιήσεις οἶνον, καὶ οὐ μὴ πίῃς οἶνον. Καὶ ὅτε μὲν θερίσας τις, οὐκ ἀξιόλογον δρέπεται τὸν καρπὸν, ὀργὴ Θεοῦ ἐστιν· ὅταν δὲ οὐδὲ δρέπανον ἐπιβάλῃ ταῖς ἀρούραις, ὑπερβολὴ θεομηνίας· καὶ ὅταν πιέζῃ ἐλαίαν, καὶ οὐδὲ τοσοῦτον ἔλαιον ἐκ τοῦ πιεσμοῦ ἀπολαμβάνει, ὥστε ἀλείψεσθε [*f.* — ψασθαι] γοῦν, ἀλλὰ κἂν οἶνον ποιήσῃ, ὄξοῖνον τοῦτον καὶ ἄχρηστον πρὸς πόσιν ποιεῖ· ἢ εὔχρηστον μὲν ἴσως τοῦτον γεωργεῖ, ἀθρόον δὲ ἀναρπάζεται ἢ φυσικῷ θανάτῳ, ἢ πολεμίων ξίφει, ὥστε μηδὲ καιρὸν σχεῖν ἀπολαῦσαι τούτου. Ἔσπειραν οἱ τῶν Ἰουδαίων Γραμματεῖς τὴν κατὰ τῆς Χριστοῦ ἀναστάσεως συκοφαντίαν, ἀλλ' οὐκ ἐθέρισαν πίστιν· τοὐναντίον γὰρ ἐν ὅλῳ τῷ κόσμῳ ἡ ἀνάστασις αὐτοῦ πιστεύεται. Ἐλαία ἦν ὁ νόμος, τὸ πνεῦμα γεννῶν· ἀλλ' αὐτοὶ πιέζοντες τὸν νόμον κακῶς, καὶ κατὰ τὸ γράμμα, καὶ εἰς τὸν πνευματικὸν μὴ διαβαίνοντες, οὐκ ἀλείφονται τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως, ἵνα καὶ αὐτοὶ ἔχοντες τὸ χρίσμα ἐκ τοῦ ἁγίου Πνεύματος Χριστοὶ γένωνται. Ἐποίησαν οἶνον (ἡ γὰρ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐγένετο, ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ οἶνος ὁ νοητὸς, ὁ τὴν τοῦ κατὰ ἀλήθειαν ἀνθρώπου καρδίαν εὐφραίνων), ἀλλ' οὐ δέχονται τοῦτον τὸν οἶνον. Καὶ ἄλλως δὲ ἐποίησαν οἶνον, σφάξαντες τὸν Κύριον, οὗ τὸ αἷμα, οἶνος, ἀλλ' οὐ πίνουσι τὸν οἶνον τοῦτον τὸν μυστικόν. Καὶ ὁ σπείρων δὲ εἰς τὴν σάρκα, καὶ ἐκ τῆς σαρκὸς θερίζων φθοράν, οὐδὲν θερίζει· ἐπειδὴ τὰ φθειρόμενα θερίζει. Πιέζει δὲ ὁ λυπῶν τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τῶν αἰσχρῶν πράξεων παρὰ τοὺς νόμους, τοῦ Ἀποστόλου λέγοντος· *Καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον*· διὸ οὐδὲ τῆς ἱλαρότητος τοῦ Πνεύματος ἐπιτεύξεται. Ποιεῖ οἶνον, καὶ οὐ πίνει οἶνον ὁ διδάσκων ἑτέρους, ἑαυτὸν δὲ μὴ διδάσκων.

Καὶ ἀφανισθήσεται νόμιμα λαοῦ. Ἃ εἶχες, φησὶ, παράνομα νόμιμα ἐπί τε τοῖς ἄλλοις, καὶ ἐπὶ τῷ προσάγειν τοῖς εἰδώλοις τοὺς παρ' ἐμοῦ διδομένους καρποὺς, ἀφανισθήσονται. Πῶς γὰρ ἀπαρχὰς προσάξεις τοῖς θεοῖς σου, τοσαύτης ἀφορίας κατασχούσης σε; Καλῶς δὲ εἶπεν *νόμιμα λαοῦ* (95), ἵνα μάθῃς, ὅτι οὐ περὶ ὧν αὐτὸς ἐνομοθέτησε λέγει, ἀλλὰ περὶ ὧν αὐτοὶ ἑαυτοῖς ἐπέθηκαν, ἄλλος ἄλλο ἐξευρόντες. non de iis quæ ipse sanxit, sed de iis quæ ipsi runt.

Καὶ ἐφύλαξας τὰ δικαιώματα Ζαμβρῆ, καὶ πάντα τὰ ἔργα οἴκου Ἀχαάβ. Ἰδοὺ καὶ ἐντεῦθεν δηλοῦται περὶ ποίων νομίμων ἀνωτέρω εἰρήκεν. *Ἐφύλαξας* γὰρ, φησὶ, *τὰ δικαιώματα Ζαμβρῆ.* Οὗτος δὲ τοῦ Ἀχαὰβ ἦν πατὴρ, ζηλώσας ἐπὶ τῇ ἀσεβείᾳ τὸν Ἱεροβοὰμ, υἱὸν Ναβάτ (96). Οἶκον δὲ

A rum fortasse, vel Ægyptiorum, vel Babyloniorum

Vers. 15. *Tu seminabis, et non metes : tu premes olivam, et non ungeris oleo : facies vinum, et non bibes vinum.* Ira Dei quidem est, cum aliquis metit, nec fructus, labore suo dignos, decerpit : sed ira tum profecto maxima est, cum ne falcem quidem arvis admovet, et cum olivas premit, neque tantum hinc olei exprimit, ut ungi queat, et cum denique vinum facere volens, acetum facit, ad potandum prorsus inutile, **309** vel vinum bonum etiam, sed ipse plerumque aut naturali morte præripitur, aut hostili gladio interimitur, ut vino isto frui commode nequeat. Severunt et Judæorum Scribæ contra Christi resurrectionem ca-
B lumnias; sed nullam inde fidem colligere potuerunt. Ea quippe contra in universo mundo creditur. Oliva lex erat, quæ spiritum gignebat : quam iidem Scribæ male premunt, exprimuntque litteralem tantummodo sensum, non intimum legis ipsius spiritum; propterea non unguntur oleo lætitiæ, quo et ipsi, unctionem a Spiritu sancto accipientes, uncti fiant. Iidem fecerunt et vinum (salus enim ab Judæis venit, ex quibus carnem assumpsit Christus, vinum mysticum, quo vino cor ejus, qui vere homo sit, lætitia perfunditur), sed vinum hoc ipsi non amplectuntur. Alia quoque ratione iidem Judæi vinum fecerunt, Dominum scilicet mactando, cujus sanguis vinum est : sed ii vinum hoc mysti-
C cum non bibunt. Qui seminat item in carne, cum corruptionem ex ipsamet carne metat, nihil metere videtur; quippe res corruptioni obnoxias metit. Premit autem olivam, qui per nefaria facinora, legi contraria, Spiritum sanctum lædit, qua de re Apostolus ait : *Nolite contristare Spiritum sanctum* [83]; propterea neque Spiritus hilaritatem obtinebit. Vinum denique facit, et non bibit, qui docet alios, non semetipsum.

Et dissipabuntur jura populi mei. Quæ habebas, ait, jura, sane iniqua, cum alias ob causas, tum ob eam maxime, quod idolis fructus, quos ego largior, offerri juberent, hæc omnia e medio tollentur, penitusque delebuntur. Quomodo enim in
D tanta, qua premeris, annonæ charitate primitias diis tuis offerre poteris? Recte vero dixit Jura populi, ut planum tibi faceret, sibi sermonem esse sibimetipsis, alii aliud excogitantes, præscripse-

Vers. 16. *Et custodisti jura Zambri, et omnia opera domus Achab.* En ex his quoque perspicuum fit, quibus de legibus institutisque superius vates verba fecerit; ait enim, *Custodisti jura Zambri.* Erat hic Achabi pater, qui cum Jeroboamo, Nabat filio, de impietate certavit. Domum Achabi cum

[83] Ephes. IV, 30

Variæ lectiones et notæ.

(95) Λαοῦ μου, *populi mei.* Cod. Ven.

(96) Ἀβάτ, *Abat.* Cod. Ven.

Digitized by Google

dicit, Jezabelem significat, cujus opera fuere divinæ legis violatio, prophetarum cædes, injuriæ et oppressiones. Hæc autem Deus dicit, ut ostendat eos suæ quemque perditionis auctores fuisse, quod prædictorum hominum impietatem æmulati fuerint. Subjicit ergo :

Et ambulastis in consiliis eorum, ut traderem te in perditionem, et habitatores ejus in sibilum, et opprobria populorum accipietis. Non ob eum sane finem ii Zambri jura servarunt, ut ipsos perderet atque deleret ; sed particula, ὅπως et ἵνα, *ut*, adhiberi **310** solet sacra in Scriptura, ut sæpe multisque in locis diximus, quo aliquid ex antecedentibus consequi significetur. Quemadmodum et hoc loco ex eo, quod in consiliis Zambri et Jezabelis ambularent, evenit, ut ab Deo penitus delerentur. Vel etiam hoc modo : Æmulati estis, ait, præcessores vestros, homines impios, quodammodo cupientes, optantesque, ut vos perderem atque delerem. Adeo vestram ipsorum perditionem consectamini. Sibilum autem dicit vel derisionem, (subjicit enim, *Et hominum opprobria accipietis*, hoc est, non uni duobusve, sed multis populis ludibrio eritis), vel admirationem, quæ fieri solet, cum domum aliquam, aut urbem, a summa claritate sua dignitateque decidentem quis videt. Opera domus Achab sectati sunt, qui Christi tempore vixerunt ; qui, quemadmodum Jezabel justum Naboth, ita et ipsi justum Jesum interfecerunt, ut vinea potirentur [84]. Ut enim populi, qui vinea est, ii magistri appellarentur, vocarenturque ab hominibus Rabbi, rabbi ; hæredem idcirco sustulerunt, atque propterea deleti sunt, et ludibrio sunt iis populis omnibus, apud quos dispersi sunt, omnium maxime viles facti et abjecti.

A Ἀχαὰβ εἰπὼν, τὴν Ἰεζάβελ ὅηλοῖ, ἧς ἔργα, νόμου θείου ἀθέτησις, καὶ προφητῶν σφαγαὶ, καὶ ἀδικίαι, καὶ πλεονεξίαι. Ταῦτα δέ φησιν ὁ Θεὸς, ἵνα δείξῃ, ὅτι αὐτοὶ ἑαυτοῖς αἴτιοι τῆς ἀπωλείας γεγόνασι ταύτης, ζηλώσαντες τὴν τῶν ῥηθέντων ἀσέβειαν. Ἑπάγει οὖν·

Καὶ ἐπορεύθητε ἐν ταῖς βουλαῖς αὐτῶν, ὅπως παραδῶ σε εἰς ἀφανισμὸν, καὶ τοὺς κατοικοῦντας αὐτὴν εἰς συριγμὸν, καὶ ὀνείδη λαῶν λήψεσθε. Οὐ διὰ τοῦτο ἐκεῖνοι ἐφύλαξαν τὰ νόμιμα τοῦ Ζαμβρῆ, ὅπως παραδῶ αὐτοὺς εἰς ἀφανισμὸν, ἀλλὰ τὸ, ὅπως, καὶ τὸ, *ἵνα*, σύνηθες τῇ Γραφῇ τιθέναι, ὡς πολλάκις καὶ πολλαχοῦ εἴπομεν, ὅταν ἐκ τῆς τῶν προηγουμένων ἀκολουθίας ἀποβῇ τι. Ὥσπερ οὖν καὶ ἐνταῦθα ἐκ τοῦ πορευθῆναι αὐτοὺς ἐν ταῖς βουλαῖς τοῦ Ζαμβρῆ καὶ τῆς Ἰεζάβελ, ἀπέβη τὸ παραδοθῆναι ὑπὸ Θεοῦ εἰς ἀφανισμόν. Ἢ καὶ οὕτως· Ἐζηλώσατε, φησὶ, τοὺς πρὸ ὑμῶν ἀσεβεῖς, ὥσπερ ἐπιθυμοῦντες καὶ ζηλοῦντες, ἵνα ἀπολέσω ὑμᾶς· οὕτως ἐπιτρέχετε τῇ σφετέρᾳ ὑμῶν ἀπωλείᾳ. Συριγμὸν δὲ ἢ τὸν καταγέλωτά φησιν (ἐπάγει γάρ· *Καὶ ὀνείδη λαῶν λήψεσθε*, τουτέστιν, οὐ παρ' ἑνὸς, ἢ δυοῖν, ἀλλὰ παρὰ πολλῶν λαῶν ὀνειδισθήσεσθε), ἢ τὸν εἰωθότα γίνεσθαι θαυμασμὸν, ὅταν τις ὁρᾷ ἢ οἰκίαν, ἢ πόλιν, ἀπὸ πολλῆς λαμπρότητος καταπεσοῦσαν. Τὰ ἔργα οἴκου Ἀχαὰβ ἐφύλαξαν οἱ ἐπὶ Χριστοῦ νομοδιδάσκαλοι, οἳ, ὥσπερ Ἰεζάβελ τὸν δίκαιον Ναβουθαὶ, οὕτως αὐτοὶ τὸν δίκαιον Ἰησοῦν ἀπέκτειναν, διὰ τὸ τὸν ἀμπελῶνα κερδῆσαι. Ἵνα γὰρ τοῦ λαοῦ, ὃς ἦν ἀμπελὼν, αὐτοὶ διδάσκαλοι ὀνομάζωνται, καλούμενοι ὑπὸ τῶν ἀνθρώπων, Ῥαββὶ, ῥαββὶ, διὰ τοῦτο τὸν κληρονόμον ἀπέκτειναν, διὸ (97) ἐτέθησαν εἰς ἀφανισμὸν, καὶ παρὰ πάντων λαῶν ὀνειδίζονται, ἐν οἷς διεσπάρησαν, ἀτιμότεροι πάντων ὄντες.

B

C

D

CAPUT VII.

Vers. 1. *Væ mihi, quia factus sum, sicut qui congregat stipulam in messe, et sicut racemulum in vindemia, cum non sit botrus. Comedere primogenita concupivit anima mea.* Cum prænuntiasset vates, quæ passuri erant mala, nunc multis se verbis aerem verberasse conqueritur. Similia enim iis facere videor, ait, qui spicas, quæ suam ob tenuitatem falcem effugerunt, a metentibus relictas, colligunt ; vel iis qui racemulos ultimos, qui foliis adnascuntur, decerpunt. Hi nimirum sunt parvi racemi, qui paucos, exilesque, et succo destitutos acinos habent. Qui ἐπιφυλλίδες ideo vocantur, vel quod a foliis suam ob tenuitatem tegantur, quam ob tenuitatem ne a vindemiatoribus quidem conspiciuntur. Et idcirco duobus λλ a plerisque vocabulum hoc scribitur. Vel, quod verosimilius est, ita vocantur, propterea quia vitis primogeniti non sunt : primum enim in vite gignuntur racemi, deinde ἐπιφύονται, adnascuntur hi

ΚΕΦΑΛ. Ζ'.

Οἴμοι ! ὅτι ἐγενήθην ὡς συνάγων καλάμην ἐν ἀμητῷ, καὶ ὡς ἐπιφυλλίδα ἐν τρυγητῷ, οὐχ ὑπάρχοντος βότρυος. Τοῦ φαγεῖν τὰ πρωτότοκα (98) *ἐπεπόθησεν ἡ ψυχή μου.* Προειρηκὼς ὁ προφήτης ἃ πείσονται δεινὰ, ὀλοφύρεται νῦν ὡς πολλοῖς μὲν χρησάμενος λόγοις, ἀνόνητα δὲ πονήσας (99). Ἔοικα γὰρ, φησὶ, τοῖς συνάγουσι τοὺς ἀστάχυας τοὺ; ὑπὸ τῶν θεριζόντων καταλειπομένους, διὰ σμικρότητα ἴσως διαδιδράσκοντας τὴν δρεπάνην· ἢ τοῖς ἀναλεγομένοις τὰς ἐπιφυλλίδας. Αὗται δέ εἰσι βότρυες, ὀλίγας ῥάγας (1) ἔχοντες, καὶ μικρὰς καὶ ἀτρόφους. Ἐπιφυλλίδες δὲ λέγονται, ἢ διὰ τὸ κεκαλύφθαι ὑπὸ τῶν φύλλων διὰ σμικρότητα, δι' ἣν οὐδὲ ὑπὸ τῶν τρυγητῶν θεωροῦνται, διὸ καὶ διὰ τῶν δύο λλ γράφεται πολλοῖς ἡ λέξις· ἢ καὶ, ὃ ἀληθέστερον, διὰ τὸ μὴ εἶναι πρωτόγονον τῆς ἀμπέλου (τοῦτο γὰρ βότρυς ἐστὶν), ἀλλ' ὕστερον ἐπιφύεσθαι, καὶ διὰ τοῦτο καὶ ἀσθενὲς εἶναι καὶ ὀλιγόῤῥαγον,

[84] III Reg. xxi, 10-13.

Variæ lectiones et notæ.

(97) Διότι. Cod. Ven.
(98) Πρωτόγονα. Cod. Ven.
(99) Ποιήσας. Cod. Bav.
(1) Ῥῶνας. Cod. Bav.

Digitized by Google

καὶ μικρόβραγον· διὸ καὶ δι' ἑνὸς λ τὴν λέξιν γράφεσθαι δεῖ (2). Ἔοικα οὖν, φησὶ, τοῖς συνάγουσι τοιούτους καρπούς. Εὐπειθείας γὰρ καρπὸν ἀληθινὸν οὐχ εὗρον ἐν τοῖς ἀκούουσι, τουτέστι βότρυν. Εἴπομεν γὰρ, ὅτι τὰ πρωτόγονα τῆς ἀμπέλου βότρυές εἰσι. Διὸ ποθεῖ ἡ ψυχή μου πρωτόγονον καρπὸν εὑρεῖν, καὶ φαγεῖν αὐτὸν, τουτέστιν, εὐπειθεῖ ἀνθρώπῳ ἐντυχεῖν, καὶ ἀπολαῦσαι αὐτοῦ. Τινὲς δὲ τὸν προφήτην ἐν τούτοις ἀποιμώζειν εἶπον τὴν μετὰ ταῦτα ἐσομένην διαφθορὰν ἐν τῷ λαῷ, τοσαύτην γενησομένην, ὥστε ὀλίγους περιλειφθῆναι, ἐοικότας καλάμῃ καὶ ἐπιφυλίσι. Δύνασαι δὲ νοῆσαι, ὅτι καὶ τὴν τῶν ἁγίων σπάνιν ὁρῶν, ἡ τότε ἦν, οἰμώζει ὁ ἅγιος. Εἰ γὰρ ἦσαν δίκαιοι πολλοὶ, οὐκ ἂν τοσούτοις (3) κακοῖς προσεπάλαιεν ὁ λαός. Ἀνίησι γὰρ τὰ ἐγκλήματα ὁ Θεὸς, πέντε που ἁγίων εὑρεθέντων. Καλάμη καὶ ἐπιφυλὶς τὸ τοῦ νόμου γράμμα, ὥσπερ σῖτος καὶ βότρυς τὸ πνεῦμα, ὃ οἱ παῖδες τῶν Ἰουδαίων γεωργεῖν οὐκ ἠθέλησαν. Πενθεῖ οὖν ὁ Κύριος τούτους, καὶ ἐπιποθεῖ φαγεῖν πρωτόγονα, οἷα ἔφαγεν ἐν Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ τοῖς λοιποῖς πατριάρχαις. Συνάγει καλάμην καὶ ὁ τὰ ἐλλείμματα καὶ ἐλαττώματα τῶν πρὸ αὐτοῦ συνάγων, καὶ ταῦτα ζηλῶν, οὐχὶ τὰς ἐκείνων ὀρετὰς, ὃς οἰμώξει ἐν τῷ ἀμήτῳ (5), ὅτε θερίζει ἕκαστος ἐν καιρῷ ἰδίῳ τὰ διὰ τοῦ σώματος. Ἐπεὶ δὲ φύλλα εἰσὶ τοῦ ἀνθρωπίνου δένδρου ἡ ἔξω ἐπίδειξις, ὅταν τις ἔργα ἔχῃ, ὑπὸ τοῦ πρὸς ἀνθρώπους φαντιασμοῦ περιεχόμενα, καὶ ἄτροφα διὰ τοῦτο γινόμενα, ἐπιφυλλίδα συνάγει ἐν τῷ τελευταίῳ ἐκείνῳ τρυγήτῳ (6), ὅτε ἐπιθυμήσει φαγεῖν τὰ πρωτόγονα, τουτέστι, τῆς καθαρότητος ἐκείνης | καὶ ἀφέσεως τῶν ἁμαρτιῶν ἀπολαῦσαι, ἣν ἔσχεν, ὅτε πρῶτον ἐγεννήθη ἐν τῇ τοῦ βαπτίσματος κολυμβήθρᾳ. Ἀλλὰ καὶ πρωτόγονος μὲν ἡ ἀρετή· ὁ Θεὸς γὰρ ἐποίησε τὸν ἄνθρωπον εὐθῆ, καὶ ἔκτισεν αὐτὸν ἐπ' ἔργοις ἀγαθοῖς (7)· ἐπιφυλλὶς δὲ ἡ κακία, ὕστερον ἐπεισαχθεῖσα διὰ τῆς παρακοῆς τῶν ἀνθρώπων (8) Τότε οὖν, ὅτε συνάγονται πάντα τὰ τῆς κακίας εἴδη πρὸ ὀφθαλμῶν τοῦ ἀνθρώπου, αἰσθάνεται οἰμωγῆς ἄξια πράξας. Ἀλλὰ σὺ μὴ περιμείνῃς τὴν ἐκεῖσε γενησομένην συναίσθησιν· ἀλλ' ἐντεῦθεν ἤδη αἰσθόμενος, τί μέλλεις τότε συνάγειν, οἰμωζε, ὡς ἐνεστῶτος τοῦ τότε καιροῦ, καὶ λέγε· *Οἴμοι! ὅτι ἐγενήθην συνάγων καλάμην*, καὶ τὰ ἑξῆς. doctus, quid tum sis collecturus, luge, quasi præsens tibi sit futurum tempus illud, atque dic, *Væ mihi, quia factus sum sicut qui stipulam colligit*, et quæ sequuntur.

racemuli, et idcirco debiles sunt, et paucis ac parvis acinis prædili. Propterea cum (2) uno duntaxat λ scribenda vox illa est. Similis ergo sum, ait, his, qui tales fructus colligunt; verum enim obedientiæ fructum, racemum videlicet (vitis namque primogenitos racemos esse diximus) in auditoribus non inveni. Propterea meus avet animus primogenitum fructum invenire et comedere; obedientem scilicet **311** hominem nancisci, eoque perfrui cupit. Quidam vero prophetam conqueri putant de ingenti populi clade, quæ quidem talis ac tanta futura est, ut pauci superstites mansuri sint, stipulæ, racemulisque plane similes. Ita præterea locum hunc intelligere potes, ut propheta sanctorum penuriam, quæ tum temporis erat, lugere dicatur. Si enim multi justi fuissent, in tales profecto tantasque calamitates populus non incidisset. Deus enim peccata condonat [85], ubi (4) quinque viri sancti reperiantur. Stipula quidem atque racemulus est legis littera; frumentum autem et racemus, legis ipsius spiritus, quem Judæi colere noluerunt. Hos itaque Dominus luget, avetque talia comedere primogenita, qualia comedit olim in Abraham, Isaac, Jacob, cæterisque patriarchis. Stipulam quoque colligit, qui suorum præcessorum vitia atque flagitia colligit, quique vitia hæc, non eorum virtutes æmulatus, consectatur. Qui profecto luget in messe, cum scilicet suo tempore metit, quæ per corpus seminavit. Quoniam autem humanæ arboris folia sunt exteriores ostentationes (cum scilicet opera quis edit, ut ab hominibus videantur, quæ propterea nullum afferunt nutrimentum), ultimos hic racemulos colligit in novissimo illo vindemiæ tempore, quo vel maxime primogenitos fructus comedere, puritate scilicet illa et peccatorum venia perfrui cupiet, qua venia et puritate donatus est, cum in sacro fontis lavacro progenitus primum fuit. Primogenita (7) quoque virtus est (Deus enim hominem rectum fecit [86], eumque condidit ad bona opera pronum), vitium contra, postremus quasi racemulus, homini per inobedientiam insitus. Tum ergo, cum ob hominis oculos omnia vitiorum genera congregantur, facinora is luctu maxime digna se perpetrasse comperit. Verum tu ne futuram tum temporis pœnitentiam exspectes; sed hinc jam

[85] Gen. XVIII, 32. [86] Eccle. VII.

Variæ lectiones et notæ.

(2) Ἐπιφυλὶς enim ex istorum sententia ἀπὸ τοῦ ἐπιφύεσθαι derivatur, quasi ἐπιφυὴς, et inserto λ, versoque η in ι, ἐπιφυλίς.

(3) Τοιούτοις. Cod. Bav.

(4) Respicit Interpres ad postremam Abrahami interrogationem, Gen. XVIII, 32: *Quid si inventi fuerint tibi decem?* (videlicet justi) *Et dixit, non delebo propter decem.* Memoria autem lapsus Theophylactus, vel per incuriam librarius aliquis pro decem, quinque posuit.

(5) Ἀμητῶς. Cod. Bav.

(6) Τρυγητῷ, *vindemiæ tempore*. Cod. Bav.

(7) Id Platonicæ philosophiæ adversatur; Plato enim in Menone docet virtutem haud hominibus innasci, sed acquiri per exercitationem. Et recte ille quidem. Verum et Interpres non humana, sed divina imbutus theologia, recte docet virtutem hominibus ingenitam, hominemque a Deo conditum ad bona opera pronum; siquidem ante progenitoris nostri lapsum, homo Dei gratia supernaque virtute præditus, in lucem prodire debuisset.

(8) Τῷ ἀνθρώπῳ, ut a verbo ἐπεισαχθεῖσα regatur. Cod. Bav.

Digitized by Google

VERS. 2. *Væ mihi, anima. Quia periit pius de terra, et qui corrigat, in hominibus non est.* Cum superius, quamdam per verborum immutationem translationemque, vates dixisset, se non habere, qui sibi morem gereret, cumque paucitatem Deum timentium hominum per stipulam atque racemulos innuisset: clarius nunc ostendit se ob id vel maxime lugere, quod nullum hominem, Deum timentem, in Judæorum regione, sanctis olim referta, reperiret, et neminem, qui inter illos homines recte ageret: qua de re conqueritur et Isaias: **312** *Quomodo facta est meretrix civitas fidelis Sion* [87]? Animadvertas autem velim, quandiu quis in terris degens, terrena cogitat, cum minime Deum timere, neque recte agere, quandiu in hominibus versatur, qui quidem homines dii facti sunt, et filii Altissimi, sed moriuntur, propterea quia neque divina cogitant nec quæ Altissimum decent, sed quæ carnis sunt, atque corporis infirmi. Luget ergo propheta, atque deinceps eorum hominum, qui tum temporis vixerunt, peccata recenset.

A *Οἴμοι, ψυχή! ὅτι ἀπώλετο εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει.* Εἰπὼν τροπικῶς, ὅτι οὐκ ἔχει τὸν πειθόμενον, καὶ τὴν σπάνιν τῶν τὸν Θεὸν φοβουμένων αἰνιξάμενος διά τε τῆς καλάμης καὶ τῆς ἐπιψιλίδος, νῦν ἀριδηλότερον δηλοῖ, ὅτι διὰ τοῦτο οἰμώζων ἦν, ὅτι μὴ ἐώρα εὐλαβῆ ἐν τῇ τῶν Ἰουδαίων γῇ, τῇ πάλαι πολλοὺς ἁγίους ἐχούσῃ, μηδὲ κατορθοῦντα ἐν τοῖς τότε ἀνθρώποις· ὃ καὶ Ἡσαΐας ὀδύρεται· *Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιών;* Ὅρα δέ, ἐν ὅσῳ τίς ἐστιν ἐπὶ τῆς γῆς τὰ γήϊνα φρονῶν, εὐλαβὴς οὐκ ἔστιν, οὐδὲ κατορθῶν (9) ἐν ὅσῳ ἐστὶν ἐν ἀνθρώποις, τοῖς γενομένοις μὲν θεοῖς καὶ υἱοῖς Ὑψίστου, ἀποθνήσκουσι δὲ, διὰ τὸ μὴ τὰ θεῖα, μηδὲ τὰ τοῦ Ὑψίστου φρονεῖν, ἀλλὰ τὰ τῆς σαρκὸς καὶ τοῦ τῆς ταπεινώσεως σώματος. Οἰμώξας τοίνυν ὁ προφήτης, εἶτα καὶ τὰς ἁμαρτίας τῶν τότε καταλέγει

B

Omnes in sanguines judicantur. Hac scilicet de re inter se judicio disceptant, et sibi judices captare quisque studet, ut ejus adversarius capitali supplicio plectatur. Non enim parvis de rebus controversia eis est, sed de capite.

Πάντες εἰς αἵματα δικάζονται. Τουτέστιν, ἐπὶ τοῦτο δικάζονται, καὶ ἕκαστος αὐτῶν ὑποποιεῖται τοὺς δικαστὰς, ὡς ἂν τῷ ἀντιδίκῳ τὴν θανατοῦσαν ψῆφον ἐπαγάγῃ· οὐ γὰρ περὶ μικρῶν αὐτοῖς ἡ διαφορὰ, ἀλλὰ περὶ αὐτῆς τῆς ζωῆς.

Unusquisque proximum suum tribulat tribulatione. Unusquisque scilicet proximi sui bona sibi usurpat, eumque in angustias redigit. Vel factis etiam potentiores exagitant tenuiores, eosque opprimunt.

Ἕκαστος τὸν πλησίον αὐτοῦ ἐκθλίβουσιν ἐκθλιβῇ. Τὰ τοῦ πλησίον, φησὶν, ἕκαστος σφετερίζονται, καὶ εἰς στένωσιν αὐτὸν συνωθοῦσιν. Ἢ καὶ τοῖς ἔργοις κατατρύχουσι οἱ δυνατώτεροι τοὺς ὑποδεεστέρους.

VERS. 3. *In malum manus suas præparant.* Non solum, ait, nil boni agunt, sed necesse putant, in unum toto pectore incumbere, ut manus ad male agendum, affligendosque homines, paratas habeant et expeditas.

C *Ἐπὶ τὸ κακὸν τὰς χεῖρας αὐτῶν ἑτοιμάζουσιν.* Οὐ μόνον, φησὶ, τὸ ἀγαθὸν οὐ ποιοῦσι, ἀλλὰ καὶ ἀναγκαῖον ποιοῦνται σπούδασμα, τὸ τὰς χεῖρας ἑτοίμους ἔχειν ἐπὶ μόνον τὸ κακοῦν (10) καὶ θλίβειν ἀνθρώπους.

Princeps postulat, et judex verba pacifica locutus est. Hæc, quæ hactenus dicta sunt, ait, facinora patrant non ii modo, qui in demisso et obscuro loco ætatem agunt, sed etiam ii, qui imperio præditi, vitam in excelso degunt, qui cum aliorum peccata corrigere debeant, in eadem et ipsi prolabuntur. Princeps enim ne exspectat quidem, qui munera afferant, sed ipse petit, atque judex pacifica verba loquitur, delinquentem scilicet non reprehendit, sed, acceptis ab eo muneribus, adversarium pacem inire cum ipso compellit, et pacifica, hoc est blanda et pacata, verba facit.

Ὁ ἄρχων αἰτεῖ, καὶ λόγους ὁ κριτὴς εἰρηνικοὺς ἐλάλησεν (11). Οὐχ οἱ κάτω καὶ ἀγελαῖοι, φησὶ, μόνοι τὰ ῥηθέντα ἁμαρτάνουσιν, ἀλλὰ καὶ οἱ ἄρχοντες, οἱ τὰ τῶν ἄλλων ὀφείλοντες πταίσματα διορθοῦσθαι, καὶ οὗτοι νοσοῦσιν. Ὁ γὰρ ἄρχων οὐδὲ ἀναμένει τοὺς προσάξοντας, ἀλλ' αὐτὸς αἰτεῖ δῶρα, καὶ ὁ κριτὴς λόγους εἰρηνικοὺς ἐλάλησεν. Οὐκ ἐλέγχει, φησὶ, τὸν ἀδικοῦντα ὁ κριτὴς, ἀλλὰ δῶρα λαμβάνων ἐξ αὐτοῦ, τὸν ἀντιδικοῦντα αὐτῷ πείθει πρὸς αὐτὸν εἰρηνεῦσαι, καὶ συμβατηρίους λόγους ποιεῖται καὶ εἰρηνικοὺς, ἤτοι εἰρηνοποιούς.

D

Placitum animæ suæ est. Ei videlicet placebit juris æquitatisque omnis eversio. Vel: placet ei, quod ab iniquo homine patratum fuerit, utpote et ipsi iniquo et injusto. Quidam autem ita locum hunc interpretantur: Judex dona capiens, verba pacifica, blanda scilicet et grata facit ei qui munera

Καταθύμιον ψυχῆς αὐτοῦ ἐστι. Τουτέστιν, ἀρκέσει αὐτῷ ἡ τοῦ δικαίου διαφθορά. Ἢ ὅτι ἀρέσκει αὐτῷ τὸ παρὰ τοῦ ἀδικήσαντος (12) γεγονὸς, ἅτε καὶ αὐτῷ ὄντι ἀδίκῳ (13). Τινὲς δὲ οὕτως· Ὁ κριτὴς λαμβάνων δῶρα, λόγους εἰρηνικοὺς, τουτέστιν ἡδεῖς καὶ καταθυμίους, λέγει τῷ τὰ δῶρα δόντι, τὴν νίκην

[87] Isa. i, 21.

Variæ lectiones et notæ.

(9) Κατορθοῖ. Cod. Bav.
(10) Κακοποιεῖν. Cod. Bav.
(11) Verba hæc καὶ λόγους ὁ κριτὴς εἰρηνικοὺς ἐλάλησε desiderantur in Cod. Ven.
(12) Ἀντιδικήσαντος Cod. Ven.
(13) Ἀντιδίκῳ. Cod. Ven.

Digitized by Google

αὐτῷ χαριζόμενος, ὃ καταθύμιόν ἐστι τῆς ψυχῆς αὐτοῦ, τοῦ ἀντιδικοῦντος δηλαδή.

Καὶ ἐξελοῦμαι τὰ ἀγαθὰ αὐτοῦ, ὡς σὴς ἐκτρώγων καὶ βαδίζων ἐπὶ κανόνος ἐν ἡμέραις σκοπιᾶς. Ἐπειδή, φησὶ, τὰ τοιαῦτα ἁμαρτάνει ὁ λαός μου, οἵ τε ὑπήκοοι καὶ οἱ ἄρχοντες, ἐξελοῦμαι τὰ ἀγαθὰ τοῦ τοιούτου λαοῦ, τουτέστι, δαπανήσω αὐτὰ, ὥσπερ σὴς ἔνδοθεν ξύλου, βαδίζων ἐπὶ τοῦ κανόνος, τουτέστι τοῦ μήκους τοῦ ξύλου, καὶ καταδαπανῶν αὐτό. Τοῦτο δὲ ἔσται ἐν ἡμέραις, ὅτε ἐπισκέψομαί σε. Σκοπιὰν γὰρ τὴν τοῦ Θεοῦ ἐπίβλεψιν καὶ ἐπιφάνειάν φησι, κατὰ τὸ ἐν Δαβὶδ λεγόμενον· *Πρόσωπον Κυρίου ἐπὶ ποιοῦντας κακά.* Τινὲς δὲ οὕτως· Τὰ ἀγαθά σου, φησὶ, καταφθερῶ (14), δίκην σητὸς, δαπανῶν ταῦτα καὶ βαδίζων ἐπὶ τοῦ κανόνος, τουτέστι τοῦ δικαίου, καὶ μήτε εἰς δεξιὰ ἐκκλίνων, μήτε εἰς ἀριστερὰ, ὥσπερ ἐν ταῖς ἡμέραις τῆς σκοπιᾶς, τουτέστι τοῦ βουνοῦ, ἤτοι τῆς Γαβαᾶ, ἐν ᾗ ἐγένετο τὸ μῖσος [*f.* μῦσ.] τῆς τοῦ Λευίτου παλλακίδος, δι' ἣν πολέμου γεγονότος ἐμφυλίου, πολλαὶ κατεφθάρησαν μυριάδες.

Οὐαὶ, ἐκδικήσεις σου ἦκασι· νῦν ἔσονται κλαυθμοὶ αὐτῶν. Ὡς πατὴρ φιλόστοργος ἀνακλαίεται, δεικνὺς, ὅτι οὐχ ἑκὼν κολάζει, ἀλλ' ἀναγκαζόμενος. Τοσαῦτα, φησὶν, ἥμαρτες, ὥστε ἐκδιάσασθαί με τὰς ἐκδικήσεις, καὶ κολάσεις ἐπαγαγεῖν σοι ἤδη. Νῦν γὰρ, φησὶν, οὐ μετὰ πολὺν χρόνον, ἔσονται κλαυθμοὶ αὐτῶν, λιμωττόντων, ὑπ' ἀλλήλων δαπανωμένων ἁπλῶς, ὑπὸ τῶν ἐχθρῶν πάντα, ὅσα ἀνωτέρω εἴρηται, πασχόντων.

Μὴ καταπιστεύετε ἐν φίλοις, μηδὲ ἐλπίζετε ἐπὶ ἡγουμένοις. Ἀπὸ τῆς συγκοίτου σου φύλαξαι, τοῦ ἀναθέσθαι τι αὐτῇ, διότι υἱὸς ἀτιμάζει πατέρα· θυγάτηρ ἐπαναστήσεται ἐπὶ τὴν μητέρα αὐτῆς, νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς, ἐχθροὶ ἀνδρὸς (15) *πάντες οἱ ἐν τῷ οἴκῳ αὐτοῦ.* Ἐπειδὴ οἱ Ἰσραηλῖται ἁμαρτάνοντες πρὸς Θεὸν, εἶτα τῶν προφητῶν ἀκούοντες ἀπειλούντων αὐτοῖς φοβερά τινα, ἐπήλπιζον ταῖς τῶν οἰκείων βασιλέων δυνάμεσι καὶ ἄλλαις ἀνθρωπίναις ἐπικουρίαις, φίλους ποιούμενοι, τοῦτο μὲν τοὺς γείτονας βασιλεῖς, τοῦτο δὲ τοὺς Αἰγυπτίους, καὶ αὐτοὺς δὲ τοὺς Ἀσσυρίους, ὡς ἐν τῷ Ὡσηὲ εἴρηται· παραινεῖ αὐτοὺς μὴ τοιαύταις ἐλπίσιν ἐξαπατᾶσθαι. Ἐν γὰρ τῷ καιρῷ τῶν δεινῶν οὔτε φίλος φίλου προστήσεται, οὔτε ἄρχων ἀρχομένου, οὔθ' οἱ καθ' αἷμα (16) οἰκεῖοι ἀλλήλων· ἀλλ' ἕκαστος τὸ συμφέρον πραγματεύσεται ἑαυτῷ, εἴ γε μέλλοι βλάψαι (17) τὸν οἰκειότατον. Ἀλλὰ καὶ ἐπαναστήσεται, καὶ τὰ τῶν ἐχθρῶν πρὸς αὐτὸν ἐπιδείξεται. Ὅτε γὰρ ὁ τῆς φύσεως Πλάστης ὀργίζεταί τινι, τότε τῆς φύσεως νόμους

A præbet, id ei largiens, ut victor in causa discedat, quod est ipsimet litigatori optatissimum.

VERS. 4. *Et auferam bona eorum, quasi tinea comedens, et ambulans super regulam in die speculæ.* Quoniam, ait, talia facinora patrat populus meus, principes simul et subditi, auferam talis populi bona, disperdam scilicet, ut intra lignum tinea quæ graditur per regulam, ligni videlicet ipsius longitudinem, ipsumque consumit. Idque fiet tum temporis, cum ego te inspiciam. Speculam enim vocat Dei inspectionem atque visitationem, ut est apud Davidem, **313** *Facies Domini super facientes mala*[88]. Quidam autem hoc modo: Bona tua, inquit, disperdam, tineæ scilicet instar consumam; incedamque per regulam, justitiam nimirum, neutram in partem, B nec ad dexteram nec ad sinistram vergens, ut in diebus speculæ, collis videlicet Gabaæ, ubi flagitium in Levitæ concubinam patratum est[89], propter quam, orto intestino bello, multa hominum millia cæsa sunt atque sublata.

Væ, ultiones tuæ venerunt: nunc erit fletus eorum Luget uti pater amantissimus, ostenditque se non sponte sua homines punire, sed invitum. Talia, inquit, ac tanta scelera patrasti, ut de te vindictam atque supplicium sumere plane cogar. Nunc enim, ait, non post multum temporis, audientur eorum fletus, qui fame laborantes, se invicem perditum ibunt, patienturque ab inimicis, quæcunque supra C diximus.

VERS. 5, 6. *Nolite credere in amicis, neque speretis in ducibus. Ab ea quæ cubat tecum, cave concredere quidquam ei. Quia filius contumeliam facit patri: insurgit adversus matrem suam, nurus contra socrum suam, inimici viri omnes domestici ejus.* Quoniam Israelitæ in Deum inique se gerebant, iidemque, cum horrenda quædam eis supplicia prophetæ minitarentur, in regum suorum potentia, aliorumque hominum auxiliis confidebant, fœdus percutientes cum finitimis regibus modo, modo cum Ægyptiis, et ipsis Assyriis, ut apud Oseam dicitur: monet eos, ne se istiusmodi spe decipi patiantur. Ubi enim adveniet suppliciorum tempus, nec amicus oppressum amicum proteget, neque D consanguineus consanguineum; sed suum quisque commodum captabit, vel si familiarissimum quemque sit læsurus. Propterea in hunc ipsum insurget, et hostilem in eum animum præseferet. Cum enim naturæ conditor Deus alicui succenset, tum, si libitum ei fuerit, ipsius ira naturæ leges (18) invertit. Verumtamen ne ii quidem ipsi, qui suos

[88] Psal. XXXIII, 17. [89] Jud. XIX, 24.

Variæ lectiones et notæ.

(14) Καταφερῶ. Cod. Bav.

(15) Ἄνδρες, *viri.* Cod. Ven.

(16) Προστήσεται διωκομένου, οὔθ' οἱ καθ' αἷμα. Cod. Bav.

(17) Προμηθούμενος ἑαυτῷ, οὐ φροντίσει, εἴγε μέλλει λαμβάνειν. Cod. Ven. Sed scribendum puto βλάπτειν pro λαμβάνειν.

(18) Permittit nimirum, ut homines vel ipsas naturæ leges pervertant eisque contraria agant. Cæterum quod naturalis ratio dictat, idem semper est, nec ullam subire potest mutationem.

Digitized by Google

in parentes, supplicio a Deo plectendos, insurgunt, divinam iram effugere poterunt. Si enim et ii, qui nullo consanguinitatis jure nobis conjuncti sunt, a Deo puniuntur, cum nos affligunt, licet eorum potestati tradamur; multo profecto magis supplicio plectentur ii, qui naturali aliquo vinculo nobis conjunguntur. Non enim id agunt Deo parentes obsequentesque, sed sua quisque improbitate atque nequitia ductus; quæ quidem improbitas ad aliquod usque tempus occultatur, sed tandem, Deo ita permittente, sese prodit. Testatur id Absalon, qui cum **314** insurrexisset in patrem, qui Deum ad iram provocarat, non multo post pœnas dedit. Placandus igitur est naturæ Dominus, nec in consanguineorum amore nimium est confidendum. Sciendum tamen est, cum pietatis causa tale inter consanguineos dissidium oritur, laudabile esse, atque Christo pergratum; qui se ob id ipsum venisse dicit, ut talem divisionem inter homines mitteret. Filius enimvero contumeliis affecit patrem, cum Joannes et Jacobus, relicto patre, secuti sunt Jesum [90]. Filia insurrexit in matrem, Nova scilicet Scriptura in Veterem, Spiritum inducens abrogansque litteram: Sponsa, Filio nupta Ecclesia adversus socrum, Hebræorum scilicet, qui etiamnum mordicus jura sua tenent, Synagogam, quæ Patri jam antea nupserat. Hunc tantummodo Deum illa norat; nunc odit et hunc ipsum. *Qui enim non honorat Filium, neque Patrem honorat* [91]. Inimici erant Domini Jesu [qui vir, scilicet homo factus est, viriliterque se gessit adversus eum (21), qui in nobis fortis est] quotquot in ejus domo ac templo versabantur sacerdotes atque pontifices: *In propria* enim *venit, et sui eum non receperunt* [92]; quinimo nec ipsius fratres in eum crediderunt. Domus ipsius, uti Domini, est et mundus, qui eum odit. Is item, qui jampridem iniqui patris diaboli filius erat, patrem hunc suum contumeliis afficit, cum Evangelii gladium arripit, quo istiusmodi conjunctiones resciduntur. Caro quoque, voluptatis peccati filia (in iniquitatibus enim concepti sumus, et in peccatis nascimur [93]), insurgit adversus istiusmodi suam matrem, cum ejus nulla nos cura tangit, neque cupiditas capit; sed eam una cum pravis affectibus cupiditatibusque crucifigimus. Si vero et mundus materiæ filius est, huic autem copulata jampridem est cupiditas: insurgit et hæc adversus socrum suam materiam, cum laudabilem subit ab ea separationem.

μους ἡ ὀργὴ αὐτοῦ ἀλλοιοῖ (19), εἴ γε τοῦτο δόξει αὐτῷ. Οὐ μέντοι οἱ τοί; ὑπὸ Θεοῦ κολαζομένοι; πατράσιν ἐπανιστάμενοι παῖδες, οὐδὲ αὐτοὶ τὴν θείαν ὀργὴν ἐκφεύξονται· εἰ γὰρ οἱ μηδεμίαν οἰκειότητα φυσικὴν ἔχοντες πρὸς ἡμᾶς κολάζονται παρὰ Θεοῦ, διότι ἡμᾶς κολάζουσι, καίτοι παραδοθέντας αὐτοῖς· πολλῷ μᾶλλον οἱ κατὰ φύσιν συνημμένοι. Οὐ γὰρ ὡς ὑπηρετοῦντες τῷ Θεῷ τοῦτο ποιοῦσιν, ἀλλ' οἰκείαν κακίαν ἀποπιμπλάντες, ἧτις τέως μὲν ἐκρύπτετο, τοῦ Θεοῦ δὲ ἐνδόντος, ἐξεφάνη. Καὶ μαρτυρεῖ Ἀβεσαλὼμ ἐπαναστὰς τῷ πατρὶ, παροργίσαντι τὸν Θεὸν, δοὺς δὲ δίκην τὴν προσηκουσαν, οὐ διὰ μακροῦ. Τὸν οὖν τῆς φύσεως Δεσπότην ἐξιλεωτέον, καὶ μὴ φυσικαῖς στοργαῖς ἐπιθαρρητέον. Πλὴν ἰστέον, ὅτι ὅταν διὰ τὸν τῆς εὐσεβείας λόγον ὁ διχασμὸς οὗτος τῆς φύσεως γένηται, ἐπαινετὸς, καὶ τῷ Χριστῷ φίλος, τῷ εἰπόντι, ὅτι ἦλθεν εἰς αὐτὸ τοῦτο, ἵνα τὸν τοιοῦτον διχασμὸν ἐν τοῖς ἀνθρώποις ἐργάσηται. Υἱὸς γὰρ ἠτίμασε πατέρα, ὅτε Ἰωάννης καὶ Ἰάκωβος, ἀφέντες τὸν πατέρα, ἠκολούθησαν τῷ Ἰησοῦ· θυγάτηρ ἐπανέστη ἐπὶ τὴν μητέρα, ἡ Νέα ἐπὶ τὴν Παλαιὰν, τὸ Πνεῦμα εἰσάγουσα, καὶ τὸ γράμμα καταργοῦσα· νύμφη, ἡ τῷ Υἱῷ ἁρμοσθεῖσα Ἐκκλησία, ἐπὶ τὴν πενθερὰν Συναγωγὴν τῶν ἔτι νομοφυλάκων (20) Ἑβραίων· ἡ τῷ Πατρὶ ἥρμοστο πρότερον, ἐκεῖνον ἐπιγινώσκουσα μόνον Θεόν· νῦν δὲ καὶ ἐκεῖνον ἀπέστερξεν. *Ὁ γὰρ μὴ τιμῶν τὸν Υἱὸν οὐ τιμᾷ τὸν Πατέρα.* Ἐχθροὶ ἦσαν τοῦ Κυρίου Ἰησοῦ, τοῦ γενομένου ἀνδρὸς, τουτέστιν ἀνθρώπου, καὶ ἀνδρισαμένου πρὸς τὸν ἐν ἡμῖν ἰσχυρὸν, πάντες οἱ ἐν τῷ οἴκῳ αὐτοῦ τῷ ἱερῷ, ἱερεῖς καὶ ἀρχιερεῖς. *Εἰς τὰ ἴδια* γὰρ *ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον*· ἀλλ' οὐδὲ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν. Οἶκος αὐτοῦ καὶ ὁ κόσμος ὡς Δεσπότου, ὃς μεμίσηκεν αὐτόν. Καὶ ὁ πρὶν δὲ υἱὸς ὢν τοῦ κακοῦ πατρὸς τοῦ διαβόλου ἀτιμάζει αὐτὸν, ὁπηνίκα τὴν τοῦ Εὐαγγελίου μάχαιραν λάβῃ, τὴν διχάζουσαν τὰς τοιαύτας συγγενείας. Καὶ ἡ σὰρξ, ἡ θυγάτηρ τῆς ἐξ ἁμαρτιῶν ἡδονῆς (ἐν ἀνομίαις γὰρ συνελήφθημεν, καὶ ἐν ἁμαρτίαις ἐκισσήθημεν), ἐπανίσταται τῇ τοιαύτῃ αὐτῆς μητρὶ, ὅτε μὴ ποιοῦμεν αὐτῆς πρόνοιαν εἰς ἐπιθυμίαν, ἀλλὰ σταυροῦμεν αὐτὴν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἰ δὲ καὶ ὁ κόσμος υἱὸς τῆς ὕλης, τούτῳ δὲ συνεζύγη πρώην ἡ αἴσθησις· ἐπανίσταται καὶ αὕτη τῇ πενθερᾷ (22) αὐτῆς ὕλῃ, ὁπηνίκα τὸν ἐπαινετὸν ὑφίσταται διχασμόν.

Verse 7. *Ego autem in Dominum respiciam; exspectabo Deum Salvatorem meum: exaudiet me Deus meus.* Hæc de semetipso propheta dicit, eos exem-

Ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἀποσκοπήσω (23), *ὑπομενῶ ἐπὶ τῷ Σωτῆρί μου· εἰσακούσεταί μου ὁ Θεός μου.* Ὁ προφήτης ταῦτα περὶ ἑαυτοῦ λέγει,

[90] Joan. I, 37. [91] Joan. V, 23. [92] Joan. I, 11. [93] Psal. L, 7.

Variæ lectiones et notæ.

(19) Τότε καὶ τοὺς λογισμοὺς ἡ ὀργὴ αὐτοῦ ἀλλοιοῖ, *tum et cogitationes ira ejus immutat* Cod. Bav.

(20) Νομοφυλακούντων. Cod. Ven.

(21) Appetitum scilicet, vel dæmonem, ἢ τὸν θάνατον, vel mortem. *Per unum* enim *hominem peccatum intravit in universum mundum, et per peccatum mors.*

(22) Τῇ πενθερᾷς. Cod. Ven.

(23) Ἀποσκοπεύσω Cod. Ven.

Digitized by Google

τύπον ἐκεινοι; διδοὺς, ὅπως δεῖ πιστεύειν εἰς τὸν Θεόν. Οἱ μὲν οὖν φίλοι, φησὶ, καὶ οἰκεῖοι, οὕτως ἔσονται ἄπιστοι, καὶ διὰ τοῦτο μάταιοι, οἱ ἐπ' αὐτοὺς ἐλπίζοντες· ἐγὼ δὲ πρὸς τὸν Κύριον ἀποβλέψω, καὶ τὴν ἐξ ἐκείνου ἀναμενῶ βοήθειαν, οὐχ ἡγουμένοις θαῤῥῶν, οὐ φίλοις πεποιθὼς, οὔ τινι τῶν κατὰ σάρκα οἰκείων ἐλπίζων. Καὶ πάντως οὕτως ἀδιστάκτως ἐλπίζοντος ἐπ' αὐτὸν, εἰσακούσεταί μου.

Μὴ ἐπίχαιρέ μοι, ἡ ἐχθρά μου, ὅτι πέπτωκα καὶ ἀναστήσομαι. Διδάξας τῆς εἰς Θεὸν ἐλπίδος τὸ πέρας, τὸ ἐπακουσθῆναι, φησὶ, παρ' αὐτοῦ, ἀναλαμβάνει τῆς Σιὼν τὸ πρόσωπον, καὶ πρὸς τὴν Ἰδουμαίαν ποιεῖται τοὺς λόγους, ἐχθρὰν οὖσαν ἀεὶ καὶ πολεμίαν. Μὴ ἐπίχαιρε γὰρ, φησίν· εἰ γὰρ καὶ πέπτωκα, συμφοραῖς περιπεσοῦσα, ἀλλ' ἀναστήσομαι αὖθις. Τινὲς δὲ πρὸς τὴν Βαβυλῶνα ταῦτα λέγεσθαί φασι· Μὴ ἐπαγάλλου, ὡς νικήσασά με· οὐ γὰρ διὰ τὴν σὴν δύναμιν (24) νενίκηκάς με· ἀλλὰ διότι πέπτωκα ἀπὸ τῆς ἐν Θεῷ στάσεως, μὴ ἐπιγινώσκουσα τὸν Θεόν (25)· ὅμως ἀναστήσομαι ἀπὸ τούτου τοῦ πτώματος. Πλὴν δοκεῖ μοι πρὸς τὴν Ἰδουμαίαν μᾶλλον λέγεσθαι ταῦτα, ὡς ἐκ τῶν κατωτέρω δῆλον. Εἴποι δ' ἂν καὶ ἡ ἐξ ἐθνῶν Ἐκκλησία πρὸς τὴν συναγωγήν· Μὴ ἐπίχαιρέ μοι, ἡ ἐχθρά μου, ἡ βδελυσσομένη τὰ ἔθνη· πέπτωκα μὲν γὰρ τῇ ἁμαρτίᾳ καὶ τῇ ἀσεβείᾳ, ἀλλ' ἐπιστρέψασα πρὸς Χριστὸν, ὃς ἐστιν ἀνάστασις, ἀναστήσομαι.

Διότι ἐὰν πορευθῶ ἐν τῷ σκότει, Κύριος φῶς μου. Ἢ ἐὰν τῷ σκότει τῶν συμφορῶν καὶ κακώσεων γένωμαι, φῶς μου ἔσται ὁ Κύριος καὶ παρασκευάσει με μὴ αἰσθάνεσθαι τοῦ τοιούτου σκότους· ἤ, ὅτι Εἰ καὶ ἐσκοτίσθην τὸν νοῦν, τῷ ξύλῳ λέγουσα· *Θεός μου εἶ σύ*· καὶ τῷ λίθῳ· *Σύ με ἐγέννησας*· ἀλλ' οὖν φωτισθήσομαι τῇ ἐπιγνώσει τοῦ ἀληθινοῦ Θεοῦ καὶ Πατρός. Καὶ ἡ Ἐκκλησία ἐρεῖ· Κἂν ὑπὸ τοῦ σκότους τῆς ἁμαρτίας κατεχομένη, πορεύομαι ἐν αὐτῇ, καὶ προκόπτω· ἀλλ' ὁ Κύριος ὁ εἰπών· *Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου*, αὐτὸς ἔσται μοι φῶς.

Ὀργὴν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ. Εἰς τὸ μέγεθος, φησὶ, τῶν ἁμαρτιῶν μου ἀποβλέπουσα, οἶδα τῆς τιμωρίας τὸ δίκαιον, καὶ ὑπομενῶ· τὴν ὀργὴν τοῦ διὰ τὰς ἁμαρτίας κολάζοντός με, τουτέστι, τὴν ἐκ τῆς ὀργῆς παιδείαν. Οὐ μὴν ἄχρι τέλους ἡ ὀργὴ ἐπιμένει· ὥστε μὴ ἐπίχαιρε.

Ἕως οὗ δικαιώσει τὴν δίκην μου, καὶ ποιήσει τὸ κρῖμά μου, καὶ ἐξάξει με εἰς τὸ φῶς, καὶ ὄψομαι τὴν δικαιοσύνην αὐτοῦ. Ἀναμενῶ, φησὶ, καὶ ὑπομενῶ, κολαζομένη διὰ τὰς ἁμαρτίας, ἕως οὗ τὴν δίκην, ἣν ἔχω πρὸς τοὺς θλίβοντάς (26) με, δικαιώσει. Εἰ γὰρ καὶ αὐτῷ προσκέκρουκα, ἀλλὰ καὶ πρὸς ἐκείνους ἔχω δίκαια πολλὰ, ὅτι μηδὲν δεινὸν ὑπ' A plo suo docens, quemadmodum sit in Deo fiducia omnis locanda. Amici itaque et familiares adeo, inquit, infideles erunt; et idcirco stulti, quotquot spem in hisce locatam habent. Ego vero Dominum aspiciam, ejusque opem exspectabo, nullis neque præfectis confisus, nec amicis, nec aliis consanguinitatis vinculo mihi conjunctis. Atque ita firma in eum spe defixum me Dominus exaudiet.

Vers. 8. *Ne insultes mihi, inimica mea, quia cecidi et resurgam.* Cum id per suam in Deo fiduciam se consecutum vates ostendisset, ut ab eo exaudiretur; rursus urbis Sion personam induit, et Idumæam, implacabilem ipsiusmet Sion inimicam hostemque **315**, sic affatur. Ne insultes, ait; B etsi enim cecidi, in calamitates delapsa, rursus tamen resurgam. Quidam hæc ad Babylonem dici autumant: Ne glorieris, quod me viceris; non enim me vicisti tuam per potentiam; sed quia ego a Deo descivi, Deum ipsum amplius non cognoscens; ab hoc tamen lapsu resurgam. Verum hæc ad Idumæam potius pertinere mihi videntur, ut ex iis quæ inferius sequuntur, aperte liquet. Hæc et e gentibus conflata Ecclesia dicere commode posset ad synagogam, Ne insultes, inimica mea, quæ gentes odio habes; cecidi enim peccatis et impietate; sed ad Christum, qui resurrectio est, me convertam, atque resurgam [94].

Quia si ambulavero in tenebris, Dominus lux mea. Si nimirum in calamitatum afflictionumque tenebris versabor, Deus mihi lux erit, efficietque ut ejusmodi tenebrarum incommoda minime sentiam. Vel sensus est: Si tenebris obducta mea mens est, ligno dicens: *Deus meus es tu*, et lapidi, *Tu me creasti* [95]; veri tamen Dei ac Patris cognitione perfusa illuminabor. Ecclesia quoque dicet: Etsi peccati tenebris obvoluta, in peccato ipso ambulem, et iniquitate proficiam; attamen Dominus qui dixit, *Ego sum lux mundi* [96], lux mihi erit.

Vers. 9. *Iram Domini sustinebo, quia peccavi ei.* Meorum, inquit, scelerum magnitudinem mecum ipse considerans, novi supplicium justitiam æquitatemque; propterea iram ejus (correctionem D scilicet ab ira profectam) sustinebo, qui propter peccata me plectit. Hæc tamen ira haud in perpetuum manebit. Quare ne insultes.

Donec ipse justificet causam, et faciet judicium meum et educet me in lucem, et videbo justitiam ejus. Perferam, inquit, et sustinebo supplicium, mea ob flagitia mihi inflictum, quoad ipse causam, quæ mihi cum affligentibus me inimicis est, justam et æquam esse judicio suo confirmet. Etsi enim eum injuriis lacessivi, mihi tamen cum illis admo-

[94] Joan. xi, 25. [95] Jerem. ii, 27. [96] Joan. viii, 12.

Variæ lectiones et notæ.

(24) Οὐ γὰρ τῇ σῇ δυνάμει. Cod. Ven.
(25) Αὐτὸν, *ipsum*. Cod. Ven.
(26) Θηρεύοντας. Cod. Bav.

Digitized by Google

dum justa est expostulatio. Quippe cum nihil mali passi a me sint, adeo crudeliter me vexarunt. Ipse propterea me a servitutis tenebris, in libertatis lucem educet ; *Et videbo justitiam ejus*, cum adeo me persequentes acerbo supplicio afficerit. Ecclesia quoque dicet : Etsi mihi succenseat Dominus, meque utpote idola resque creatas colentem, in reprobum sensum tradiderit [97] ; attamen æquo animo patiar, donec me per pœnitentiam, atque sacri fontis lavacrum, justam efficiat, proferatque judicium meum, hujusce mundi principem condemnans, et ad spiritale **316** me lumen Pater luminum educat, videamque justitiam ejus, Christum, qui nobis a Deo factus est justitia.

A ἐμοῦ παθόντες, οὕτως ἀπανθρώπως ἐχρήσαντό μοι. Καὶ ἐξάξει με εἰς τὸ φῶς τῆς ἐλευθερίας ἀπὸ τοῦ σκότους τῆς δουλείας· *Καὶ ὄψομαι τὴν δικαιοσύνην αὐτοῦ*, ὅτι τοὺς οὕτως ἀδίκως ἐπιτιθέντας μοι ἐτιμωρήσατο. Ἐρεῖ δὲ καὶ ἡ Ἐκκλησία· Εἰ καὶ ὠργίσθη μοι Κύριος, καὶ ἀπωσάμενος ὡς τοῖς εἰδώλοις λατρεύσασαν, καὶ τῇ κτίσει, εἰς ἀδόκιμον νοῦν παρέδωκέ με· ἀλλ' ὑπομενῶ, ἕως οὗ δικαιώσει με μετανοίας καὶ βαπτίσματος, καὶ ποιήσει τὸ κρίμά μου, κατακρίνων τὸν ἄρχοντα τοῦ κόσμου τούτου, τὸν πλανήσαντά με, καὶ ἐξάξει με εἰς τὸ φῶς τὸ νοητὸν (27) ὁ Πατὴρ τῶν φώτων. Καὶ ὄψομαι τὴν δικαιοσύνην αὐτοῦ τὸν Χριστὸν, ὃς ἐγεννήθη ἡμῖν δικαιοσύνη ἀπὸ Θεοῦ.

Vers. 10. *Et videbit inimica mea, et operietur confusione, quæ dicit : Ubi est Dominus Deus tuus ?* Idumæa, inquit, meam felicitatem videbit, Deique erga me benignitatem cernens, pudore suffundetur, quæ nunc eum uti debilem incusat, et ita viribus destitutum, ut ab inimicis eruere me nequeat.

B *Καὶ ὄψεται ἡ ἐχθρά* (27*) *μου, καὶ περιβαλεῖται αἰσχύνην* (28), *ἡ λέγουσα πρός με· Ποῦ Κύριος ὁ Θεός σου ;* Ἡ Ἰδουμαία, φησὶν, ὄψεται τὴν ἐμὴν εὐημερίαν, καὶ καταισχυνθήσεται, βλέπουσα τὴν τοῦ Θεοῦ περὶ ἐμὲ χρηστότητα, ἡ νῦν ὀνειδίζουσα τοῦτον, ὡς ἀσθενῆ, καὶ μὴ δυνάμενόν με ῥύσασθαι τῶν ἐχθρῶν.

Oculi mei videbunt eam. Non ipsa modo meam felicitatem videbit, sed et ego ipsius miserias intuebor. Non enim omnino suppliciorum immunis evadet.

Οἱ ὀφθαλμοί μου ἐπόψονται αὐτήν. Οὐ μόνον, φησὶν, αὐτὴ τὴν ἐμὴν εὐημερίαν ὄψεται, ἀλλὰ κἀγὼ τὴν αὐτῆς (29) δυσπραγίαν ὄψομαι· οὐ γὰρ ἀτιμώρητος ἔσται.

Vers. 10, 11. *Nunc erit in conculcationem, sicut lutum in viis. Dies lituræ lateris, deletio tua dies illa.* Quemadmodum, ait, jacens in viis lutum, præsertim quod liniendis lateribus præparatur, proteritur atque conculcatur ut mollius effectum, C designato operi accommodetur, ita et tu ab omnibus conculcaberis, eritque dies illa tui oblitteratio. Ecclesia quoque dicere queat : Pudore suffundetur inimica mea, cum gloriam videbit, qua per sacri fontis lavacrum donata sum ; et oculi mei vicissim eam, in futuro ævo in ignem conjectam, videbunt. *Filii* enim *regni ejicientur foras* [98], atque ego in eorum locum suffecta, cum Abraham, Isaac et Jacob versabor. Interim ipsa despectui omnibus erit, non secus ac lutum, quod proteritur in viis et assidue conculcatur ; idque vel maxime si liniendis lateribus præparari debeat. Dixit item Dominus : Jerusalem, ab gentibus conculcaberis ; eritque dies illa, qua conculcaberis tui deletio. Talis dies est et Christus ; quippe qui ab Judæis D crucifixus, factus est eorum excidium. Hæc omnia et communis omnium nostrum natura apte dicere potest ad inimicam suam, dæmonum turbam, necnon uniuscujusque anima, quam suorum pœnitere incipiat peccatorum.

Νῦν ἔσται ὡς καταπάτημα, ὡς πηλὸς ἐν ταῖς ὁδοῖς, ἐν ἡμέρᾳ ἀλοιφῆς πλίνθων ἐξάλειψίς σου ἡ ἡμέρα ἐκείνη. Ὥσπερ, φησὶν, ὁ ἐν ταῖς ὁδοῖς πηλὸς καὶ μάλιστα ὁ εἰς ἀλοιφὴν πλίνθων παρασκευαζόμενος, καταπατεῖται, ὡς ἂν εὐθρυπτότερος γένηται, καὶ χρησιμεύσῃ εἰς τὸ ἔργον· οὕτως καὶ σὺ ὑπὸ πάντων καταπατηθήσῃ, καὶ ἐξάλειψίς σου ἔσται ἡ ἡμέρα ἐκείνη. Φήσει δὲ καὶ ἡ Ἐκκλησία, ὅτι Καταισχυνθήσεται ἡ ἐχθρά μου, ὁρῶσα τὴν δόξαν, ἣν ἀπὸ τοῦ βαπτίσματος ἐνδέδυμαι· καὶ οἱ ὀφθαλμοί μου ἐπόψονται μὲν αὐτὴν, καὶ ἐν τῷ μέλλοντι εἰς τὸ πῦρ ἀποπεμπομένην. *Οἱ γὰρ υἱοὶ τῆς βασιλείας ἐκριφήσονται* ἔξω, ἐμοῦ ἀντεισαγομένης, καὶ ταττομένης μετὰ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ. Καὶ νῦν δὲ ἔσται ὑπὸ πάντων καταφρονουμένη, ὡς καταπάτημα, ὡς πηλὸς ἐν ταῖς ὁδοῖς, ὃς πατεῖται συνεχέστερον, καὶ μᾶλλον εἴπερ εἰς πλίνθων ἀλοιφὴν παρασκευάζεται. Εἶπε δὲ καὶ ὁ Κύριος· Ἔσται (30) Ἱερουσαλὴμ πατουμένη ὑπὸ τῶν ἐθνῶν· καὶ ἡ ἡμέρα ἐκείνη, καθ' ἣν πατηθήσῃ, ἡ τελευτὴ, ἔσται ἐξάλειψίς σου. Ἡμέρα καὶ ὁ Χριστὸς (31), ὃς ἐγένετο αὐτῶν (32) ἐξάλειψις, σταυρωθεὶς (33) ὑπ' αὐτῶν. Ταῦτα δὲ πάντα καὶ ἡ κοινὴ τῶν ἀνθρώπων φύσις ἔχει καιρὸν λέγειν πρὸς τὴν ἐχθρὰν αὐτῇ τῶν δαιμόνων πληθύν, καὶ ἡ ἑκάστου ψυχὴ, ἀρξαμένη (34) μετανοεῖν.

[97] Rom. I, 28. [98] Matth. VIII, 12.

Variæ lectiones et notæ.

(27) Ποερὸν. Cod. Bav.
(27*) Ὁ ἐχθρὸς, *inimicus*. Cod. Ven.
(28) Περιβαλεῖ τὴν αἰσχύνην. Cod. Ven.
(29) Τῆς αὐτῆς. Cod. Ven.
(30) Scribendum puto ἔσῃ· vel si retineri placeat, ἔσται, legendum, quod sequitur, πατηθήσεται.
(31) Καὶ ὁ Κύριος Ἰησοῦς Χριστὸς, *et Dominus Jesus Christus*. Cod. Bav.
(32) Ἐξ αὐτῶν, *ex ipsis*. Cod. Bav.
(33) Deest σταυρωθεὶς, *crucifixus*, in Cod. Ven.
(34) Ἀρξαμένου. Cod. Ven.

Digitized by Google

Καὶ ἀπώσεται νόμιμά σου ἡ ἡμέρα ἐκείνη. Τουτέστιν, οἱ παράνομοί σου νόμοι καταλυθήσονται. Ποῦ γὰρ λατρεύσεις, ἢ πῶς τοῖς εἰδώλοις καὶ τὰ ἐπὶ τῇ λατρείᾳ αὐτῶν νόμιμα ἐκτελέσεις, εἰς ἀφανισμὸν οὕτω παραδεδομένη; Ἀλλὰ καὶ ὁ Χριστὸς τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἀπώσατο τὰ νόμιμα τῶν Γραμματέων.

Καὶ αἱ πόλεις σου ἥξουσιν εἰς συγκλεισμόν. Τουτέστιν, εἰς πολιορκίαν καταντήσουσιν, ὃ ἐπὶ τῶν Ἰουδαίων γέγονεν.

Καὶ αἱ πόλεις σου ὀχυραὶ εἰς διαμερισμὸν Ἀσσυρίων. Ἐντεῦθεν δηλοῦται, ὅτι οὐ τῇ Βαβυλῶνι, ἀλλὰ τῇ Ἰδουμαίᾳ ἁρμόζει πάντα τὰ περὶ τῆς ἐχθρᾶς ῥηθέντα. Οὐ γὰρ δήπου αἱ πόλεις τῆς Βαβυλῶνος ἐδόθησαν εἰς διαμερισμὸν Ἀσσυρίων· (35) ἀλλ' αἱ τῆς Ἰδουμαίας διεμερίσθησαν, τουτέστι, διηρπάγησαν (36) ὑπὸ Βαβυλωνίων, ἢ κατεκληρονομήθησαν ἄλλη ὑπὸ ἄλλου, εἰ μή τις Ἀσσυρίους ἐρεῖ Μήδους τε καὶ Πέρσας. Εἶχον πόλεις ὀχυρὰς οἱ Ἑβραῖοι, τὰς νομικὰς ἐντολὰς καὶ παρατηρήσεις, ἀλλὰ παρεδόθησαν εἰς διαμερισμὸν τοῖς Ἀσσυρίοις, ἤτοι τοῖς ἔθνεσι. Μερίζομεν γὰρ ἡμεῖς νῦν καὶ διχοτομοῦμεν τὸ γράμμα ἀπὸ τοῦ πνεύματος. Εἶχε καὶ πόλεις ὀχυρὰς ἡ ἀνθρωπίνη φύσις, τὰ φιλόσοφα δόγματα καὶ τὰ μαγικά· ἀλλὰ τοῦ Παύλου ἐν Ἀθήναις γενομένου καὶ ἐν Κορίνθῳ, καὶ καταγγείλαντος τὸν ἄγνωστον ἐκείνοις Θεὸν Ἰησοῦν (37) Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον· ὁ Ἀρεοπαγίτης Διονύσιος, καὶ οἱ ἐν Κορίνθῳ σοφοὶ, οἱ πρότερον ἐπ' αὐτοῖς μεγαλοφρονοῦντες, διεμερίσαντο ταῦτα· τὸ μὲν ἐξεταστικὸν αὐτῶν καὶ θεωρητικὸν δεξάμενοι, ὅσον δὲ εἰς δαίμονας φέρει, καὶ πλάνην, καὶ ἀπωλείας βυθὸν, ἀπωσάμενοι. Ἀλλὰ καὶ ἐν Ἐφέσῳ οἱ τὰ περίεργα πράξαντες, τὰς μαγικὰς αὐτῶν βίβλους κατέκαυσαν. Ἔχει δὲ καὶ ἑκάστη ψυχὴ γαῦρον φρόνημα καὶ ὑψηλὸν, ὃ τοῖς Ἀσσυρίοις παραβάλλεται· ἔχει δὲ καὶ πόλεις, τὰ συστήματα τῶν ἐν αὐτῇ διαφόρων τῆς κακίας εἰδῶν. Ὅταν οὖν τὸ ὑψηλὸν ἐκεῖνο φρόνημα καὶ Ἀσσύριον μεταγάγῃ πρὸς τὴν ἐπίγνωσιν τῆς οἰκείας ἀξίας, καὶ τὰ ἄνω φρονήσῃ, καὶ ἄξια τοῦ κατ' εἰκόνα· τηνικαῦτα παραδίδονται τῷ τοιούτῳ φρονήματι αἱ τῆς κακίας πόλεις εἰς διαμερισμόν. Μερίζων γὰρ τὴν κακίαν εἰς ὑπερβολὰς καὶ ἐλλείψεις ὁ τὰ ἄνω φρονῶν νοῦς, εὑρίσκει τὴν τῶν ἀρετῶν μεσότητα.

Ἀπὸ Τύρου, ἕως ποταμοῦ Συρίας. Ἐπειδὴ καὶ ἄλλαι περίοικοι πόλεις ταῖς τῶν Ἰουδαίων ἐπέχαιρον συμφοραῖς, μέμνηται καὶ Τύρου, καὶ Συρίας, καὶ τῶν ἄλλων τῶν τοῖς Βαβυλωνίοις ἐκπορθηθεισῶν. Λέγει δὲ καὶ τίνες αὗται, δηλοποιῶν αὐτὰς ἀπὸ τῶν ὁρίων. Ποταμὸν μέντοι Συρίας τὸν Εὐφράτην λέγει.

Et atteret legitima tua dies illa. Iniquæ videlicet tuæ leges dissolventur; quomodo enim idola tua colere, lataque de eorum cultu jura servare poteris, ita male multata, penitusque deleta? Christus item sua per dogmata legalia præcepta sustulit, explositque Scribarum jura.

VERS. 12. *Et urbes tuæ munitæ venient in conclusionem.* Hoc est, in obsidionem incident, quod sub Judæorum imperio contigit.

Et civitates tuæ munitæ in divisionem Assyriorum. Hinc aperte liquet, omnia quæ de inimica superius dicuntur, **317** non ipsimet Babyloni, sed Idumææ convenire; non enim Babylonis urbes Assyriis dispertiendæ traditæ sunt, sed Idumææ civitates divisæ sunt a Babyloniis atque direptæ vel hæreditate aliæ ab aliis acquisitæ, nisi forte quis Assyrios Medos atque Persas esse dicat. Urbes munitas habebant et Hebræi, legis videlicet cæremonias et observantias, sed Assyriis, hoc est gentibus, dispertiendæ traditæ sunt. Nunc enim nos litteram a spiritu dividimus atque secernimus. Habebat urbes fortes atque munitas et humana natura, philosophica nimirum et magica dogmata; verum ubi Paulus Athenas attigit atque Corinthum et ignotum hominibus illis Deum, Jesum Christum, eumdemque crucifixum prædicavit [99]: Dionysius Areopagita, Corinthique sapientes qui antea de se magnifice sentiebant, dogmata hæc diviserunt amplectentes, quidquid ad contemplandam exquirendamque veritatem confert, et rejicientes quod ad dæmones, et in errorem perditionisque barathrum ducit. Quotquot item Ephesi vana prodigia patrabant, magicos suos libros combusserunt [1]. Habet et unaquæque anima sublimes elatasque cogitationes, quæ Assyriis assimilantur: habet item urbes varias, scilicet vitiorum compages ac species. Cum ergo sublimis illa mens, Assyrio similis, ad suæ dignitatis cognitionem perducitur, cogitatque superna et homine, ad imaginem Dei condito, plane digna: tum istiusmodi cogitationi ac menti dispertiendæ traduntur improbitatis atque nequitiæ urbes. Mens enim, quæ superna cogitat (38), vitia dividit in extrema quædam, quorum in medio mediocritatem virtutemque sitam comperit.

A Tyro usque ad flumen Assyriæ. Quoniam et aliæ finitimæ civitates Judæorum de calamitatibus lætabantur, mentionem idcirco propheta facit et Tyri, et Assyriæ, et aliarum quæ a Babyloniis eversæ sunt, penitusque deletæ. Quæ quales fuerint, ex earum finibus clare demonstrat. Assyriæ quidem flumen Euphratem vocat.

[99] Act. XVII, 27. [1] Act. XIX, 19.

Variæ lectiones et notæ

(35) Cod. Bav. addit: οἱ γὰρ Βαβυλώνιοι ἦσαν Ἀσσύριοι, *Babylonii enim erant Assyrii.*

(36) Διηρπάγησαν, τουτέστι διεμερίσθησαν. Cod. Ven.

(37) Θεὸν καὶ Ἰησοῦν. Col. Ven.

(38) Virtus enim quælibet inter nimium et parum sita est, ut præclare docet Aristoteles init. *Ethic. ad Nicomach.*

Digitized by Google

Et a mari usque ad mare. A mari scilicet orientali usque ad occidentale

Et a monte usque ad montem. Ab Judæorum monte Carmelo usque ad Libanum. Omnes itaque interjectæ urbes a Babyloniis diripientur, quæ Judæorum calamitatibus antea lætabantur.

A Καὶ ἀπὸ θαλάσσης ἕως θαλάσσης. Ἀπὸ τῆς πρὸς ἕω κειμένης, ἄχρι τῆς πρὸς ἑσπέραν.

Καὶ ἀπὸ ὄρους ἕως τοῦ ὄρους. Ἀπὸ τοῦ τῶν Ἰουδαίων ὄρους τοῦ Καρμήλου μέχρι τοῦ Λιβάνου. Ἅπασι οὖν αἱ ἐν τῷ μέσῳ πόλεις ἁλώσονται τοῖς Βαβυλωνίοις, αὐπρότερον ἐπιχαίρουσαι τοῖς Ἰουδαίων κακοῖς.

Dies aquæ et tumultus. Quemadmodum scilicet aqua vehementi cum impetu fluens, strepitum edit, affertque trepidationem; ita et hostium exercitus, impetu facto, omnia irruet, cuncta rumore ac formidine complens, urbesque prædictas devastabit.

Ἡμέρα ὕδατος καὶ θορύβου. Τουτέστιν, ὥσπερ ὕδωρ μετὰ ῥοίζου φερόμενον, καὶ θόρυβον ποιοῦν· οὕτως ἡ στρατιὰ τῶν ἐχθρῶν ἐπελεύσεται, πάντα συνταράττουσα, καὶ τὰς ῥηθείσας πόλεις πορθοῦσα.

318 Vers. 13. *Et erit terra in dissipationem cum habitatoribus suis.* Terra scilicet harum urbium et ipsa devastabitur, ferro ignique consumptis arboribus frugibusque; et simul ejus habitatores hostibus jugulandi tradentur.

Καὶ ἔσται ἡ γῆ εἰς ἀφανισμὸν μετὰ τῶν κατοικούντων αὐτήν. Ἡ γῆ τῶν πόλεων τούτων καὶ αὐτὴ καταφθαρήσεται, τῶν τε δένδρων δηουμένων, B καὶ τῶν καρπῶν φθειρομένων καὶ πυρπολουμένων· ἀλλὰ καὶ οἱ κατοικοῦντες; αὐτὴν σφαγῇ παραδοθήσονται

Propter fructus adinventionum eorum. Causam addit, cur hæc illis accident. Tales enim calamitates, ait, fructus eorum facinorum sunt. Terra facta est humana natura, suam ob inobedientiam, quippe quæ sibi dictum illud audivit, *Terra es et in terram revertieris* [1], cogitatque terrena: quam quidem terram incolebant tenebrarum principatus atque potestates. At, ubi advenit dies aquæ et tumultus, spiritus videlicet ac sonitus, quo repleta domus est, ubi congregati erant apostoli, protinus evanuit naturæ labes, atque terrena cogitatio, simulque dispersi sunt qui talem cogitationem præseferebant. Non amplius enim uti mortales cogitamus, qui Spiritus gratiam accepimus atque servamus. Disperdit et uniuscujusque animam, terram factam dies aquæ, sacri nimirum lavacri, et lacrymarum, necnon dies tumultus, quem ipsimet animæ injicit Verbum (41) eam præteritorum jam peccatorum pœnitentem exagitans atque conturbans. Disperdit autem non ipsius naturam, sed fructus adinventionum ejus et institutorum. Hæc enim sola evanescunt, non ipsiusmet animæ natura atque substantia.

Ἀπὸ καρπῶν ἐπιτηδευμάτων αὐτῶν. Τὴν αἰτίαν δείκνυσιν, ἀφ' ἧς ταῦτα αὐτοῖς συμβήσεται. Αἱ γὰρ τοιαῦται, φησὶ, κακώσεις καρποί εἰσι τῶν ἔργων αὐτῶν. Γῆ γέγονεν ἡ ἀνθρωπίνη φύσις, διὰ τὴν παρακοὴν, ἀκούσασα τὸ, *Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ*, καὶ τὰ τῆς γῆς φρονήσασα· κατῴκουν δὲ ταύτην τὴν γῆν αἱ τοῦ σκότους ἀρχαὶ καὶ ἐξουσίαι. Ἀλλ' ὅτε ἡμέρα γέγονεν ὕδατος καὶ θορύβου (39), τοῦ πνεύματος, φημὶ, καὶ τοῦ ἤχου, ὃς (40) ἐπλήρωσε τὴν οἰκίαν, ἐν ᾗ οἱ ἀπόστολοι ἦσαν, ἠφανίσθη καὶ ἡ φθορὰ τῆς φύσεως, καὶ τὸ γήϊνον φρόνημα μετὰ τῶν κατοικούντων αὐτὸ πρώην· οὐκέτι γὰρ ὡς θνητοὶ φρονοῦμεν οἵ γε τὴν τοῦ Πνεύματος χάριν δεξάμενοι καὶ τηροῦντες. Ἀφανίζει καὶ τὴν ἑκάστου ψυχὴν, γενομένην γῆν, ἡ ἡμέρα τοῦ ὕδατος, καὶ τοῦ βαπτίσματος, καὶ τῶν δακρύων, καὶ τοῦ θορύβου, ὃν ἐμποιεῖ αὐτῇ ὁ λόγος, κατασείων αὐτὴν, καὶ ταράττων μεταμελουμένην ἐπὶ τοῖς προτέροις. Ἀφανίζει δὲ οὐκ ἀπὸ τῆς οὐσίας αὐτῆς, ἀλλὰ ἀπὸ τῶν καρπῶν τῶν ἐπιτηδευμάτων· οὗτοι γὰρ ἀφανίζονται, ἀλλ' οὐχ ἡ φύσις τῆς ψυχῆς. C

Vers. 14. *Pasce populum tuum in virga tua, oves hæreditatis tuæ.* Cum finitimis gentibus prænuntiasset, quæ futura erant; populo deinceps prædicit futuram post reditum pacem tranquillitatemque, ad Israeliticam generationem omnem talia quodammodo fatus: Hæc illi quidem; tu vero pasce tuum populum et hæreditatis oves in virga tribus tuæ, sceptro nimirum unius tribus tuæ, Judæ. Ex ea quippe prognatus Zorobabel, populum post reditum rexit.

Ποίμαινε λαόν σου ἐν ῥάβδῳ φυλῆς σου, πρόβατα κληρονομίας σου. Τὰ ἐσόμενα τοῖς ὁμόροις ἔθνεσι προθεσπίσας, προαγγέλλει λοιπὸν τὴν μετὰ D ἐπάνοδον εἰρήνην τῷ λαῷ, μονονουχὶ ταῦτα λέγων πρὸς πᾶσαν τὴν Ἰσραηλίτην [*f.* -λῖτιν] γενεὰν, ὅτι Ἐκεῖνοι μὲν ταῦτα πείσονται· σὺ δὲ ποίμαινε τὸν λαόν σου, καὶ τὰ πρόβατα τῆς κληρονομίας σου, ἐν ῥάβδῳ φυλῆς σου, τουτέστι, τῷ σκήπτρῳ μιᾶς φυλῆς σου, τῆς τοῦ Ἰούδα. Ἐξ αὐτῆς γὰρ ὢν Ζοροβάβελ, μετὰ τὴν ἐπάνοδον ἐποίμανε τὸν λαόν.

Habitantes seorsum. Pacatam videlicet atque tranquillam vitam degentes, habentesque neminem,

Κατασκηνοῦντας καταμόνας. Τουτέστιν, ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ ὄντας καὶ μηδένα ἔχοντας τὸν

[1] Gen. III, 19.

Variæ lectiones et notæ.

(39) Desunt verba καὶ θορύβου, *et tumultus*, in Cod. Ven.

(40) Ὅ, *qui* (Spiritus). Cod. Bav.

(41) Seu *ratio*.

Digitized by Google

προπολεμοῦντα (42) · ἢ ὅτι μὴ ἐπιμιγνυμένους τοῖς ἔθνεσι, καὶ μανθάνοντας τὰ ἔργα αὐτῶν, ἀλλ' ἀμιγεῖς ὄντας ἐθνικῶν ἐπιτηδευμάτων. Λέγοι δ' ἂν καὶ πρὸς τὸν Υἱὸν ὁ Πατήρ · Ποίμαινε τὸν λαόν σου, τοὺς ἐκ περιτομῆς πιστεύσαντας, καὶ τὰ λοιπὰ πρόβατα τῆς κληρονομίας σου, τὰ ἔθνη δηλαδή, ἃ ἔδωκά σοι κληρονομίαν, ἐν τῇ ῥάβδῳ σου, οὐ τῇ κολαστικῇ, ἣ ὡς σκεύη κεραμέως συντρίβει τοὺς ἀπειθεῖς, ἀλλὰ τῇ παιδευτικῇ, ἣ ἐπισκέψεώς ἐστι ῥάβδος. *Ἐπισκέψομαι* γὰρ, φησὶν, *ἐν ῥάβδῳ τὰς ἀνομίας* (43) *αὐτῶν* · *τὸ δὲ ἔλεός μου, οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν*. Ποιμαίνονται τῇ ῥάβδῳ τοῦ σταυροῦ καὶ οἱ κατὰ Παῦλον δυνάμενοι λέγειν· *Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ,' δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ*. Οἱ δὲ τοιοῦτοι καὶ καταμόνας κατασκηνοῦσι, πάσης ἀπηλλαγμένοι τῆς πρὸς τοὺς πολλοὺς ἀνθρώπους καὶ τὴν τῶν πολλῶν πραγμάτων σύγχυσιν προσπαθείας, καὶ μόνῳ προσλαλοῦντες Θεῷ τῷ Κυρίῳ ἑνὶ, καὶ ὑπὲρ τὸ ἓν, καὶ ἐνοειδεῖς καὶ αὐτοὶ γινόμενοι. Οὕτω καὶ Δαβὶδ, *Καταμόνας εἰμὶ ἐγὼ*, ἔλεγε· καὶ Ἱερεμίας · *Οὐκ ἐκάθισα, φησὶν, ἐν συνεδρίῳ παιζόντων · καταμόνας ἐκαθήμην*.

Δρυμὸν ἐν μέσῳ τοῦ Καρμήλου νεμήσονται, τὴν Βασανῖτιν καὶ τὴν Γαλααδῖτιν. Ἐπειδὴ τροπικῶς τοὺς ἀνθρώπους ἐκάλεσε πρόβατα, ἐπιμένων τῇ τροπῇ, δρυμὸν ὀνομάζει καὶ νομήν· σημαίνει δὲ δι' ὧν λέγει, ὅτι ἐν πάσῃ εὐετηρίᾳ ἔσονται. Ἥ τε γὰρ ὑπὸ τοῦ Καρμήλου περιεχομένη χώρα, καὶ ἡ Βασανῖτις, καὶ ἡ Γαλααδῖτις, τὰ πίονα τῆς Παλαιστίνης ἦσαν μέρη. Ἵνα τοίνυν δηλώσῃ, ὅτι ἐν ἀφθόνοις ἀγαθοῖς ζήσουσι, τοῦ δρυμοῦ ἐμνήσθη. Φασὶ γὰρ τὰ πρόβατα ἐν τῷ δρυμῷ νεμόμενα, καὶ ὑπὸ τῶν βαλάνων τρεφόμενα, πιαίνεσθαι· ἐπεὶ καὶ ταῖς βαλάνοις ἐπιτρέχει, ἐνδόμενα (45) τῷ καρπῷ. Ἐπεὶ δὲ Κάρμηλος *ἐπίγνωσις περιτομῆς* ἑρμηνεύεται · Βασανῖτις δὲ, *αἰσχύνη* · Γαλααδῖτις δὲ, *διαθήκης μετάθεσις* · νεμηθήσονται ταῦτα οἱ ὑπὸ Χριστοῦ (46) ποιμαινόμενοι· τὸν μὲν Κάρμηλον, ὡς ἐπιγνόντες τὴν ἀληθῆ περιτομὴν τίς ἐστι, καὶ ὅτι οὐχ ἡ τῆς σαρκὸς, ἀλλ' ἡ τῆς σκληροκαρδίας ἀπόθεσις, ἡ πνευματική ἐστι (47) περιτομὴ, ἣν ὁ Θεὸς ἐπιζητεῖ, καθὸ εἴρηται · *Περιτμήθητε* (48) *Θεῷ* · καὶ, *Περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν*· καὶ οὕτως μετὰ τὸ ἐπιγνῶναι περιτεμνόμενοι καὶ αὐτοὶ τὸ σαρκικὸν τῆς καρδίας φρόνημα, καὶ τὸ ἀπὸ γενέσεως κάλυμμα· τὴν δὲ Βασανῖτιν νεμήσονται, αἰσχυνόμενοι ἐπὶ τοῖς προημαρτημένοις, καὶ τὴν κατὰ Θεὸν λύπην ἔχοντες, ἥτις χαρὰν ἰώνιον κατεργάζεται· τὴν δὲ Γαλααδῖτιν, ὡς τὴν

A qui oppugnaret : vel gentibus non permisti, nec eorum opera discentes, sed ab gentilibus disciplinis institutisque prorsus alieni. Hæc item cœlestis Pater ad Filium apte diceret : Pasce populum tuum, eos nimirum qui ex circumcisione Christo nomen dederunt ; et reliquas hæreditatis tuæ oves, gentes videlicet, quas tibi dedi hæreditatem, in virga tua, virga scilicet non afflictionis, quæ ut vasa finguli, contumaces conterit, sed correctionis, quæ virga visitationis est : *Visitabo*, ait, *in virga iniquitates eorum : misericordiam autem meam ab eis non avertam*[3]. Pascuntur virga crucis **319** et ii, qui cum Paulo dicere possunt, *Mihi autem absit gloriari, nisi in cruce Domini nostri Jesu Christi, per quem mihi mundus crucifixus est et ego mundo*[4]. Tales homines

B solitariam etiam vitam degunt, procul ab hominum frequentia negotiorumque sollicitudinibus remoti ; qui quidem uno cum Deo atque Domino colloquentes, plures uno, simul et unius instar et (44) ipsi fiunt. Ita et David : *In solitudine*, inquit, *sum*[5], et Jeremias, *Non sedi*, ait, *in concilio cum ludentibus, sed solitarius sedebam*[6].

Silvam in medio Carmeli, pascentur Basanitim et Galaaditim. Quoniam per verborum quamdam immutationem homines vocavit oves, eidem loquendi modo insistens, silvam memorat et pascua. Per hæc autem, quæ propheta dicit, eos in rerum omnium affluentibus copiis fore denotat. Nam regio,

C quæ sub Carmelo continetur, et Basanitis et Galaaditis, feraciores Palæstinæ partes erant. Ut ergo perspicuum fieret, eos immensa bonorum copia iri circumfusum, silvæ mentio facta est. Nam quæ pascuntur in silvis oves, quæque vescuntur glandibus, quibus maxime oblectantur, eas pingues fieri tradunt. Quoniam autem Carmelus idem sonat, ac *cognitio circumcisionis* ; et Basanitis, *turpitudo* ; et Galaaditis, *testamenti translatio* : pascent hæc omnia, qui a Christo ducuntur, Carmelum in primis, probe intelligentes, quæ sit vera circumcisio, nec ignorantes non in carnis abrasione, sed in cordis duritiei remotione sitam esse circumcisionem illam omnino spiritalem quam Deus quærit,

D quemadmodum dicitur, *Circumcidimini Deo*, *et*, *Circumcidite duritiam cordis vestri*[7], quod cum probe norint, amputabunt et ipsi carnalem cordis cogitationem, sibique inditum a nativitate velum : pascent deinde Basanitidem, dum eos turpium facinorum pudebit, cruciabitque dolor, ex intimo in Deum amore profectus, qui gaudium operatur sem-

[3] Psal. LXXXVIII, 33. [4] Galat. VI, 14. [5] Psal. LIV, 8. [6] Jerem. XV, 17. [7] Jerem. XIV, 4.

Variæ lectiones et notæ.

(42) Scribendum fortasse προσπολεμοῦντα.
(43) Ἀσθενείας, *infirmitates*. Cod. Ven.
(44) Quemadmodum Deus, qui persona multiplex, natura unus est : ita et ipsi ὑπὲρ τὸ ἕν, *supra unum*, hoc est plures cum sint, spiritu tamen atque charitate unius præ se speciem ferunt.
(45) Ἡδόμενα. Cod Ven.
(46) Χριστῷ. Cod. Ven.
(47) Ἔσται, *erit*. Cod. Bav.
(48) Περιτμήθητε, *circumcidere*.

Digitized by Google

piternum : Galaaditidem postremo, quippe qui testamenti translationem nacti, non amplius ipsismet legis verbis inhærent, neque rationis expertes victimas mactant, sed legis spiritum consectantes, vitam in spiritu ducunt, offeruntque semetipsos Deo hostiam viventem atque sanctam [8].

A τῆς διαθήκης μετάθεσιν κατακληρονομοῦντες· καὶ ἀντὶ τοῦ κατὰ τὸ γράμμα ζῆν, καὶ θυσίας ἀλόγους προσάγειν, κατὰ πνεῦμα ζῶντες, καὶ ἑαυτοὺς θυσίαν ζῶσαν ἁγίαν προσάγοντες τῷ Θεῷ.

Vers. 15. *Juxta dies sæculi, et juxta dies egressionis tuæ de Ægypto, ostendam ipsis mirabilia.* Dies sæculi vocans dies antiquos. Juxta veteres, ait, illos dies quibus opitulatus vobis sum, mirabilia ostendam hominibus, qui a captivitate domum redierunt. Et quemadmodum vobis, ex Ægypto exeuntibus, Palæstinæ terram hæreditate possidendam tradidi; **320** ita et nunc regionis hujus imperio potiemini, terramque illam adeo feracem et amplam possidebitis. Christus item regit eos, qui ab ipso pascuntur, cum in hac vita, tum in futuro ævo sempiterno. Cum enim ii superna cogitent, eorumque talis sit vitæ ratio, qualis cœlicolis; cum ipsi mortui mundo sint, atque vicissim ipsis mundus, et in carne cum sint, minime secundum carnem militent : nonne talis vitæ ratio imago est illius, quæ in futuro ævo transigetur? Præterea quemadmodum veteres Hebræi a Pharaonis, in mare submersi, dura servitute liberati sunt, Rubrum ipsi mare transeuntes, et post maris Rubri transitum cœlitus descendentem mannam comederunt, biberuntque aquam e petra manantem : ita et nos, cum sub mystico Pharaone essemus, tenebrosi peccati principe, liberati ab hoc sumus, in sacri fontis lavacrum jam submerso, et post lavacrum hoc panem comedimus, qui de cœlo descendit, carnem videlicet Verbi cœlestis ac Dei, bibimusque potum qui e petra manavit, Christi nimirum sanguinem. *Petra enim, ait, erat Christus* [9]. Quæ itaque apud eos contigerunt prodigia, tanquam figuræ quædam et imagines, hæc nostris temporibus completa esse propheta declarat. Mirabilia ostendit Deus et per apostolos, quemadmodum priscis illis temporibus per Moysem et Aaronem.

Κατὰ τὰς ἡμέρας τοῦ αἰῶνος, καὶ κατὰ τὰς ἡμέρας ἐξοδίας σου ἐκ γῆς Αἰγύπτου, δείξω αὐτοῖς θαυμάσια. Ἡμέρας αἰῶνος τὰς ἀρχαίας ὀνομάζων, φησὶν, ὅτι Κατὰ τὰς ἀρχαίας ἡμέρας ἐκείνας, ἐν αἷς ἀντελαμβανόμην ὑμῶν, δείξω θαυμάσια τοῖς ἐκ τῆς αἰχμαλωσίας ἐπανελθοῦσι. Καὶ ὥσπερ ἐξελθοῦσιν ἐξ Αἰγύπτου τὴν ἐν Παλαιστίνῃ γῆν κατεκληροδότησα ὑμῖν· οὕτω καὶ νῦν ταύτης ἐγκρατεῖς ἔσεσθε, καὶ τοσαύτην γῆν κατακτήσεσθε. Προΐσταται καὶ Χριστὸς τῶν ὑπ' αὐτῷ ποιμαινομένων, καὶ κατὰ τὸν παρόντα βίον, ὥσπερ καὶ ἐν τῷ μέλλοντι αἰῶνι. Ὅταν γὰρ φρονῶσι τὰ ἄνω, καὶ τὸ πολίτευμα αὐτῶν τοιοῦτον ᾖ, ὡς ἐν οὐρανοῖς ὄντων, καὶ νεκροὶ ὦσι τῷ κόσμῳ, καὶ αὐτοῖς ὁ κόσμος, καὶ ἐν σαρκὶ ὄντες, οὐ κατὰ σάρκα στρατεύωνται, οὐχὶ τῆς τοῦ μέλλοντος αἰῶνος καταστάσεως εἰκών ἐστιν ἡ τοιαύτη διαγωγή; Ἀλλὰ καὶ ὥσπερ οἱ πάλαι Ἑβραῖοι τῆς τοῦ Φαραὼ δουλείας ἠλευθερώθησαν καταποντισθέντος, αὐτοὶ τὴν Ἐρυθρὰν θάλασσαν διελθόντες, καὶ μετὰ τὸ διελθεῖν, ἔφαγόν τε τὸ ἐξ οὐρανοῦ μάννα, καὶ τὸ ἐκ πέτρας ἔπιον ὕδωρ· οὕτω καὶ ἡμεῖς ὑπὸ τὸν νοητὸν ὄντες Φαραὼ, τὸν τῆς σκοτεινῆς ἁμαρτίας ἄρχοντα, ἀπηλλάγημεν τούτου, ἀποπνιγέντος ἐν τῷ βαπτίσματι· καὶ μετὰ τὸ βάπτισμα, τόν τε ἄρτον ἐσθίομεν, τὸν ἐξ οὐρανοῦ καταβάντα, τὴν σάρκα φημὶ τοῦ οὐρανίου Λόγου καὶ Θεοῦ, καὶ τὸ ἐκ πέτρας πίνομεν πόμα, τὸ αἷμα τοῦ Χριστοῦ. *Ἡ γὰρ πέτρα*, φησὶν, *ἦν ὁ Χριστός*. Οὕτως οὖν τὰ τυπικῶς αὐτοῖς συμβάντα θαυμάσια, δεικνύει ἐφ' ἡμῖν ἀληθῶς. Ἔδειξε θαυμάσια καὶ διὰ χειρῶν τῶν ἀποστόλων, ὥσπερ ἐν ταῖς ἀρχαίαις ἡμέραις διὰ Μωσέως καὶ Ἀαρών.

Vers. 16. *Videbunt gentiles et confundentur ex omni fortitudine sua.* Pristina scilicet sua de potestate detrudentur, quod summo eis dedecori erit : qui quidem, ait, vestrum aggredi non audebunt imperium, meam ergo vos providentiam considerantes, vel si aggrediantur, victi fractique, non amplius vobiscum dimicabunt. Idipsum passi sunt et dæmones, gentes implacabili contra nos odio flagrantes. Omnia enim illusionum genera, quibus antea ii vel maxime pollebant, per Christi adventum evanuerunt.

Ὄψονται ἔθνη, καὶ καταισχυνθήσονται ἐκ πάσης τῆς ἰσχύος αὐτῶν. Τουτέστιν, ἐκπεσοῦνται τῆς προτέρας ἰσχύος αὐτῶν, ὃ μεγίστη αὐτοῖς αἰσχύνη· καὶ ἢ οὐδὲ τὴν ἀρχὴν προσβαλοῦσιν ὑμῖν, θεωροῦντα (49) τὴν ἐμὴν περὶ ὑμᾶς πρόνοιαν· ἢ προσβαλόντα, καὶ ἡττηθέντα, οὐκέτι οὐ πολεμήσουσιν, ὡς ἀνίσχυρα γεγονότα. Τοῦτο καὶ οἱ δαίμονες ἔπαθον, τὰ ἄσπονδα πρὸς ἡμᾶς ἔθνη. Πάντα γὰρ τὰ εἴδη τῆς πλάνης αὐτοῖς (50), ἐν οἷς ἴσχυον πρότερον, κατήργηται τῇ ἐπιδημίᾳ Χριστοῦ.

Imponent manus super os suum. Nihil amplius contra te loqui ausi, neque illudere, neque irridere, ut antea consueverant. Quinimo ne-

Ἐπιθήσουσι χεῖρας ἐπὶ στόμα αὐτων. Μὴ τολμῶντες εἰπεῖν τι κατὰ σοῦ, ἢ χλευάσαι, ἢ ἐπιγελάσαι, ὡς πρότερον. Ἀλλ' οὐδὲ οἱ δαίμονες δι' ἐγ-

[8] Rom. XII, 1. [9] I Cor. X, 4.

Variæ lectiones et notæ.

(49) Θεωροῦντες. Cod. Ven.

(50) Αὐτῆς, *ipsius*. Cod. Bav.

Digitized by Google

γαστριμύθων (51), ἢ δρυὸς, ἢ ἑτέρων τοιουτοτρόπων λαλοῦσι.

Τὰ ὦτα αὐτῶν ἀποκωφωθήσονται. Οὔτε ἑτέρων λεγόντων καθ' ὑμῶν ἀνέξονται, ἀλλ' ὡς κωφοὶ ἔσονται. Καὶ οἱ δαίμονες δὲ ἐκωφώθησαν, μὴ ἔχοντες, ὡς πρότερον, τοὺς ἐπικαλουμένους αὐτούς.

Λείξουσι χοῦν (53), *ὡς ὄφεις, σύροντες γῆν.* Ἀντὶ τοῦ, συρόμενοι ἐπὶ γῆς. Πεσοῦνται γὰρ, φησὶ, κάτω, δίκην ὄφεων συρομένων ἐπὶ γῆς, οὐδὲ τὴν κεφαλὴν ἄραι δυνάμενοι, διὰ τὸ κατεπτηχέναι. Ἢ τοῦτο λέγει, ὅτι οἱ ὄφεις μὴ εὑρίσκοντες ἑτέραν τροφὴν, τὸν χοῦν διαλείχουσι, καὶ σύρουσι τὴν γῆν, τουτέστιν, εἰς τὸ στόμα διὰ τῆς γλώττης ἀναλαμβάνουσιν. Ἀλλὰ καὶ οἱ δαίμονες πρώην μὲν ἐν πᾶσιν ἀνθρώποις τροφὴν εὕρισκον (πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦντο τῆς δόξης τοῦ Θεοῦ· καὶ ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως, ἐπὶ τοὺς ἁμαρτήσαντας)· νῦν δὲ ἐν πᾶσι μὲν τροφὴν οὐχ εὑρίσκουσι. Δικαιούμεθα γὰρ τῇ τοῦ Χριστοῦ χάριτι, οὗ εἰς τὸν θάνατον βαπτιζόμεθα· κατήργηται δὲ καὶ ὁ θάνατος. Τὸν μέντοι χοῦν λείχουσι, καὶ τὴν γῆν σύρουσι, τοὺς ἀπίστους δηλαδὴ, καὶ τοὺς κάτω κειμένους.

Ταραχθήσονται ἐν συγκλεισμῷ αὐτῶν. Συγκλεισμὸν αὐτῶν τὴν πανταχόθεν ὥσπερ ἐν πολιορκίᾳ στένωσιν λέγει. Εἰς ἀμηχανίαν οὖν, φησὶ, περιστήσονται, πανταχόθεν συγκλεισθέντες καὶ στενωθέντες. Καὶ ἐπὶ τῷ Χριστῷ οἱ δαίμονες ἐταράσσοντο, λέγοντες· *Τί ἡμῖν καὶ σοί;* καὶ παρεκάλουν, ἵνα μὴ ἀποστείλῃ αὐτοὺς εἰς ἄβυσσον, ἥτις ἦν συγκλεισμὸς αὐτοῖς.

Ἐπὶ τῷ Κυρίῳ Θεῷ ἡμῶν ἐκστήσονται. Τουτέστιν, ἐπὶ τῇ ἀφάτῳ σου περὶ ἡμᾶς χρηστότητι ἐκπλαγήσονται, ὅπως ἠλέησας τοὺς οὕτω σε παροργίσαντας.

Καὶ φοβηθήσονται ἀπὸ σοῦ. Οὐκ ἀπὸ τῆς ὑμετέρας δυνάμεως ἔσται ὁ φόβος αὐτοῖς, ἀλλ' ἀπὸ σοῦ. Ἢ, ὅτι Σὲ φοβηθήσονται, καὶ ἐπιγνώσονταί σε Θεὸν εἶναι φοβερὸν οἱ πρότερον τὰ εἴδωλα φοβούμενοι, καὶ σέβοντες αὐτὰ, καὶ θεοὺς ἰσχυροὺς εἶναι οἰόμενοι. Ἐξέστησαν καὶ αἱ ἀντικείμεναι (54) δυνάμεις ἐπὶ τῷ Κυρίῳ Θεῷ τῷ μονογενεῖ, σάρκα λαβόντι, καὶ θεανθρώπῳ κληθέντι τὸ καινότατον, καὶ ἐφοβήθησαν ἀπὸ σοῦ τοῦ Πατρός· τοῦτο δὲ καὶ ἀπ' ἐκείνου φοβηθῆναί ἐστιν· ὁ γὰρ Υἱὸς ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ. Καὶ δηλοῦσι μέχρι τοῦ νῦν, ἀπὸ τοῦ ὀνόματος τοῦ Χριστοῦ φεύγουσαι.

que per magos ariolosque, neque per quercum (52), aliave similia, mali spiritus loquuntur.

Aures eorum surdæ erunt. Nec alios contra vos loquentes sustinebunt, sed erunt uti surdi. Dæmones quoque surdi quodammodo evaserunt, cum non haberent amplius, qui eos, ut antea, invocarent.

Vers. 17. *Lingent humum, sicut serpentes, qui trahunt terram.* Pro, qui humi volutantur; decident enim, ait, serpentum instar, humi sese contorquentium; qui præ timore, ne caput quidem extollere audent. Vel hoc ideo dicit, quia serpentes, **321** ubi cibum alium non inveniunt, humum lingunt, trahuntque terram, hoc est in os per linguam attrahunt. Dæmones quoque jampridem in omnibus hominibus cibum inveniebant (peccabant enim omnes, atque divina gloria destituebantur, regnavitque propterea mors ab Adam usque ad Moysem, et in peccatores irruit), sed ii nunc non amplius in omnibus talem cibum inveniunt; justi enim evadimus per Christi gratiam, cujus per mortem sacri fontis unda lavamur, confractaque mors est atque sublata. Humum propterea lingunt, trahuntque terram, infideles scilicet homines, qui humi volutantur.

Turbabuntur in conclusione sua. Conclusionem vocat angustias, quæ undique eos, tanquam in obsidione, premerent. Undique ergo conclusi, ait, et obsidione cincti, summam ad inopiam redigentur. Dæmones quoque in Christi conspectu turbabantur, dicentes, *Quid nobis, et tibi*[10]? eumdemque rogabant, ut eos mittere nollet in abyssum, quæ carcer eis erat.

Super Domino Deo nostro stupebunt. Ad ineffabilem scilicet tuam erga nos humanitatem benignitatemque stupebunt, eo quod misertus eorum fueris, qui adeo te ad iram provocarunt.

Et perterrefient a te. Non ab nostra, inquit, potestate, sed a te metus eis incutietur. Vel ita: Te timebunt, atque formidabilem te Deum esse intelligent, qui antea idola reformidabant, eaque deos fortes esse arbitrabantur. Obstupuerunt et adversæ potestates ad prodigium hoc maximum, cum Dominus Deus unigenitus carnem assumpsit, et homo Deus vocatus (55) est; magnusque eis timor incussus a te, Pater, est, proindeque et ab Unigenito ipso; siquidem Filius in Patre est, et Pater in Filio. Quas quidem potestates ad hæc usque tempora Christi nomen aversari, idque audientes aufugere manifeste liquet.

[10] Matth. VIII, 31.

Variæ lectiones et notæ.

(51) Ἐν ἐγγαστριμίθου; hic appellat Interpres, quos alibi p. 9 ἀπὸ γαστρὸς φωνοῦντας dicit.

(52) Dodonæam scilicet, apud veteres celebrissimam.

(53) Χεῖρα, *manum*. Cod. Bav.

(54) Ἐναντίαι, *contrariæ*. Cod. Ven.

(55) Vocatus nomine, quod erat et re. Cum enim una Verbi persona duabus naturis distinctis prædita esset, idem et Deus et homo vere erat.

Digitized by Google

VERS. 18. *Quis Deus, sicut tu, auferens iniquitates, et transcendens impietates his, qui reliqui sunt de hæreditate tua?* Cum immensam Dei erga nos humanitatem propheta considerasset, vidisset-que ipsum tanta eos misericordia dignatum, qui nefaria scelera, venia prorsus indigna, patrarant; ingenti cum admiratione, tanquam ex populi persona, clamat, *Quis Deus, sicut tu?* Rationes enim non exigis patratorum scelerum, sed iniquitates aufers, hoc est, Oblitteras atque deles, et impietates transcendis, hoc est, omnino negligis atque nihili facis. Hæc autem nobis præstas, qui superstites ex populo tuo mansimus, quos, ut hæreditatis tuæ reliquias, Babylone reducendos putasti. Per sacri item fontis lavacrum **322** aufert Deus iniquitates Hebraici populi reliquiarum, quæ ad salutem servantur, quibus de reliquiis dictum est illud, *Et reliquiæ salvabuntur*[11]; idemque per pœnitentiam transcendit eorum omnium impietates, qui sese desperationi non dediderunt, sed bonæ spei reliquias aliquas in semetipsis custodierunt.

Et non tenuit in testimonium iram suam: quia cupidus misericordiæ est. Hæc similia sunt Davidicis illis dictis, *Non irascetur in perpetuum, nec in sæculum excandescet: non secundum iniquitates nostras fecit nobis, neque secundum peccata nostra retribuit nobis*[12]. Ita et in præsentia propheta clamat, non retinere Deum iram, neque diu eam asservare in argumentum atque testimonium populi iniquitatum, propterea quia Deus misereri mavult et parcere, quam arguere et punire.

VERS. 19. *Revertetur ab ira, et miserebitur nostri: demerget peccata nostra, et projicientur in profunda maris.* Quod per Isaiam Deus clamat, *Ego sum, qui iniquitates deleo, nec amplius injustitiæ tuæ recordabor*[13], id ipsum et hoc loco Michæas dicit, non modo condonaturum eum nobis peccata nostra, sed penitus oblitteraturum etiam a memoria sua, atque effecturum, ut ea perpetuæ oblivioni, quasi profundo mari tradantur. Id enim ostendit per ea: *Et projiciet in profunda maris.* Quemadmodum enim quod in profundum maris conjicitur, nostros omnino fugit oculos; ita et iniquitates perpetuæ Deus oblivioni tradet.

VERS. 19, 20. *Omnia peccata nostra dabit in veritatem Jacob, misericordiam Abraham, sicut jurasti patribus nostris juxta dies priores.* Omnia, inquit, peccata nostra in profundum maris conjiciet; ad antecedentia enim id referre oportet. Idque faciet, quo vera esse demonstret, quæ patriarchæ Jacob Deus promisit, et simul ostendat, misereri se cum Abrahami, tum ipsius seminis. Quemadmodum jurasti, inquit, Domine, talibus patribus nostris priscis temporibus. Ita et David: *Memor fuit in sæculum testamenti sui, verbi, quod mandavit in mille*

A *Τίς Θεὸς, ὥσπερ σὺ, ἐξαίρων ἀνομίας, καὶ ὑπερβαίνων ἀδικίας τοῖς καταλοίποις τῆς κληρονομίας αὐτοῦ;* Ἀποβλέψας εἰς τὸ ἄφατον πλῆθος τῆς χρηστότητος τοῦ Θεοῦ, καὶ ἰδὼν ὅπως τοὺς ἀσύγγνωστα πταίσαντας, ἐλέους τοσούτου ἠξίωσεν, ἀναφωνεῖ μετ' ἐκπλήξεως, ὡς ἐκ προσώπου τοῦ λαοῦ· *Τίς Θεὸς ὥσπερ σύ;* Οὐκ ἀπαιτεῖς γὰρ τῶν πλημμελημάτων εὐθύνας, ἀλλ' ἐξαίρεις τὰς ἀνομίας, τουτέστιν, ἐξαλείφεις, ἀφανίζεις καὶ ὑπερβαίνεις ἀδικίας· τουτέστι παροράς, ἐν οὐδενὶ λόγῳ ποιῇ. Ταῦτα δὲ ἐργάζῃ ἡμῖν τοῖς καταλειφθεῖσιν ἐκ τοῦ λαοῦ, οὓς ὡς λείψανα τῆς κληρονομίας σου εὐδόκησας ἐκ Βαβυλῶνος ἐπαναγαγεῖν. Ἀλλὰ καὶ διὰ τοῦ βαπτίσματος ἐξαίρει τὰς ἀνομίας τοῦ καταλείμματος τῶν Ἑβραίων, τοῦ εἰς σωτηρίαν
B τηρουμένου· περὶ οὗ γέγραπται· *Τὸ κατάλειμμα σωθήσεται.* Καὶ διὰ τῆς μετανοίας ὑπερβαίνει τὰς ἀδικίας τῶν ὅσοι μὴ ὑπὸ τῆς ἀπογνώσεως ἠχμαλωτίσθησαν· ἀλλὰ χρηστοτέρας ἐλπίδος τινὰ λείψανα ἔσχον ἐν ἑαυτοῖς.

Οὐκ ἐκράτησεν εἰς μαρτύριον ὀργὴν αὐτοῦ, ὅτι θελητὴς ἐλέους ἐστί. Ταῦτα ἔοικε τοῖς ὑπὸ τοῦ μακαρίου Δαβὶδ λεχθεῖσιν· *Οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ· οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.* Καὶ νῦν ὁ προφήτης βοᾷ, ὅτι τὴν ὀργὴν οὐ κατέσχε καὶ ἐφύλαξεν ἐπιπλεῖστον, εἰς ἔλεγχον καὶ μαρτύριον τῆς
C παρανομίας τοῦ λαοῦ, διότι θέλει μᾶλλον τὸ ἐλεεῖν, ἢ τὸ ἐλέγχειν καὶ κολάζειν.

Ἐπιστρέψει ἀπὸ τῆς ὀργῆς, καὶ οἰκτειρήσει ἡμᾶς· καταδύσει τὰς ἁμαρτίας ἡμῶν, καὶ ἀποῤῥιφήσονται εἰς τὰ βάθη τῆς θαλάσσης. Ὅπερ διὰ τοῦ Ἡσαΐου βοᾷ ὁ Θεὸς λέγων, *Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας* (56) *σου, καὶ οὐ μὴ μνησθῶ τῶν ἀδικιῶν σου,* τοῦτο καὶ νῦν φησι περὶ αὐτῶν ὁ Μιχαίας, ὡς οὐ μόνον ἀφήσει τὰς ἁμαρτίας ἡμῖν, ἀλλὰ καὶ τῆς μνήμης παντελῶς ἐκβαλεῖ, καὶ οἱόν τινι βυθῷ παραδώσει τῇ λήθῃ. Τοῦτο γὰρ παραδηλοῖ διὰ τοῦ εἰπεῖν· *Καταδύσει εἰς τὰ βάθη τῆς θαλάσσης.* Ὥσπερ γὰρ τὸ εἰς τὸν βυθὸν τῆς θαλάσσης ἀφιέμενον ἀφανές ἐστι παντελῶς· οὕτω καὶ τὰς ἁμαρτίας ἡμῶν λήθῃ παντελεῖ παραδώσει.

D *Πάσας τὰς ἁμαρτίας ἡμῶν δώσει εἰς ἀλήθειαν τῷ Ἰακὼβ, ἔλεον τῷ Ἀβραάμ, καθότι ὤμοσας τοῖς πατράσιν ἡμῶν κατὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν.* Πάσας, φησὶ, τὰς ἁμαρτίας ἡμῶν δώσει εἰς τὰ βάθη τῆς θαλάσσης· κατὰ κοινοῦ γὰρ δεῖ τοῦτο λαβεῖν. Ταῦτα δὲ ποιήσει εἰς τὸ φανῆναι ἀληθῆ, ἃ ἐπηγγείλατο τῷ Ἰακὼβ, καὶ ἵνα δείξῃ ὅτι ἐλεεῖ τὸν Ἀβραὰμ καὶ σπέρμα αὐτοῦ. Ὥσπερ ὤμοσας, φησὶ, ὦ Κύριε, τοῖς τοιούτοις πατράσιν ἡμῶν ἐν τοῖς πάλαι χρόνοις. Οὕτω καὶ Δαβὶδ λέγει· *Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, λόγου*

[11] Rom. IX, 17. [12] Psal. CII, 9. [13] Isa. XLIII, 25.

Variæ lectiones et notæ.

(56) Ἁμαρτίας, *peccata.* Col. Ver

οὗ ἐνετείλατο εἰς χιλίας γενεὰς, ὧν διέθετο τῷ Ἀβραὰμ, καὶ τοῦ ὅρκου αὐτοῦ τῷ Ἰσαάκ. Ἔστι δὲ καὶ ἑτέρα Γραφή· *Καταδύσει τὰς ἁμαρτίας ἡμῶν, καὶ ἀποῤῥιφήσονται εἰς τὰ βάθη τῆς θαλάσσης, πάσας τὰς ἁμαρτίας ἡμῶν* · καὶ ἄχρι τούτου ἱστᾷ· ὥστε νοεῖσθαι, ὅτι λέγει ὁ προφήτης, ὡς ἄρα ὁ Θεὸς καταδύσει τὰς ἁμαρτίας ἡμῶν · καὶ ἐπαναλαβὼν διὰ πλείω σαφήνειάν φησιν· Οὐ τάσδε ἢ τάσδε, ἀλλὰ πάσας. Ἀπ' ἄλλης δὲ πάλιν ἀρχῆς· *Δώσεις ἀλήθειάν σου τῷ Ἰακώβ*, καὶ τὰ ἑξῆς· τουτέστιν, Ὅταν τοῦτο ποιήσῃς, δώσεις ἀναμφιλόγως τὴν ἀλήθειάν σου τῷ Ἰακώβ. Εἰ δὲ ὁ νόμος ὀργὴν κατεργάζεται παραβαινόμενος (οὗ γὰρ οὐκ ἔστιν ὁ νόμος, οὐδὲ παράβασις)· μαρτύριον δὲ λέγεται ὁ αὐτὸς, ὡς διαμαρτυρόμενός τε τῷ λαῷ, ἃ δεῖ πράττειν, καὶ μή· καὶ ὅτι εἰ μὴ τὸν Θεὸν θεραπεύουσι, τάδε καὶ τάδε πείσονται· ὅρα, τί φησιν, ὅτι οἰκτίρμων καὶ ἐλεήμων ὢν, οὐκ ἐκράτησε τὴν ὀργὴν αὐτοῦ, ἣν ὁ νόμος κατειργάσατο παραβαινόμενος ὑφ' ἡμῶν, ἀλλ' ἐπιστρέψει πρὸς ἡμᾶς οὓς ἀπεστράφη, καὶ σάρκα λαβὼν, ἐπὶ τῆς γῆς ὀφθήσεται, καὶ καταδύσει τὰς ἁμαρτίας ἡμῶν ἐν τῇ τοῦ βαπτίσματος κολυμβήθρᾳ, καὶ ἀποῤῥιφήσονται εἰς τὰ βάθη τῆς θαλάσσης, ἔνθα ὁ τῆς ἁμαρτίας ἀρχηγός. Αὐτῷ γὰρ προσαναιμάχθησαν (57) αἱ ἁμαρτίαι ἡμῶν, καὶ αὐτός ἐστιν ἄξιος ὑπὲρ αὐτῶν δοῦναι λόγους, ἀνθ' ὧν τὸ τοῦ Θεοῦ πλάσμα ταύτας κατεμόλυνεν. Ἀλλὰ γὰρ χάρις τῷ καὶ τοὺς πάλαι ἐλεήσαντι, καὶ ἡμᾶς ἐλεοῦντι, καὶ τὰς ἁμαρτίας ἡμῶν εἰς τὰ βάθη τῆς θαλάσσης τῶν αὐτοῦ οἰκτιρμῶν ἀποῤῥίπτοντι καὶ ἀφανίζοντι· ὃς καὶ δύῃ ἡμῖν τοῦ τε Ἰακὼβ τὴν ἀρετὴν μιμουμένοις πτερνίσαι τὰ πάθη διὰ τῆς πρακτικῆς, τοῦ τε Ἀβραὰμ ζηλωταῖς γενομένοις μὴ συναπαχθῆναι τοῖς φθαρτοῖς τούτοις, καὶ ταῦτα θεοποιῆσαι διὰ τῆς πρὸς αὐτὰ σχέσεως· ἀλλὰ μᾶλλον ἐκ τῆς τούτων ἀνωμαλίας πρὸς αὐτὸν ἀναδραμεῖν, καὶ τὴν αὐτοῦ ἀσάλευτον βασιλείαν, ὥστε καὶ πατέρας κληθῆναι πολλῶν ἐθνων, γεννηθέντων ἡμῖν, καὶ διὰ τοῦ διδάσκεσθαι παρ' ἡμῶν τὸ καλὸν, καὶ διὰ τοῦ ζηλοῦν ἡμᾶς ἐπὶ τῷ ἀγαθῷ βίῳ, ἐν ᾧ καὶ στηριχθείημεν διὰ τῆς χάριτος αὐτοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα σὺν τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μιχαίας ἑρμηνεύεται *ταπείνωσις*, ἢ *ταπεινούμενος*. Οὗτος ἦν ἀπὸ Μοραθὶ, ἐκ φυλῆς Ἐφραὶμ, καὶ πολλὰ ποιήσας τῷ Ἀχαὰβ, ὑπὸ Ἰωὰβ τοῦ υἱοῦ αὐτοῦ ἀνῃρέθη κρημνῷ, ὅτι ἤλεγχεν αὐτὸν ἐπὶ ταῖς ἀσεβείαις τῶν πατέρων αὐτοῦ · καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ μόνος, σύνεγγυς πολυάνδρου Ἐνακείμ.

Τέλος τοῦ εἰς τὸν προφήτην Μιχαίαν συντάγματος, ἀπὸ φωνῆς τοῦ μακαριωτάτου ἀρχιεπισκόπου Βουλγαρίας κυροῦ Θεοφυλάκτου.

A *generationes, quod disposuit ad Abraham, et juramenti sui ad Isaac*[15]. Est et alia Scriptura: *Demerget peccata nostra, et abjicientur in profundum maris, omnia peccata nostra.* Atque hic sistenda oratio est, ut prophetæ sensus sit, demersurum Deum peccata nostra; quod ut clarius dicat, repetens, Non hæc, ait, aut hæc, sed omnia. Alio autem orationis initio facto, subjicit, *Dabis veritatem tuam Jacob*, et quæ sequuntur. Scilicet cum hoc facies, fidem profecto Jacob datam liberabis. Si vero legis violatio parit iram, ubi enim non est lex, neque violatio legis esse potest; **323** si lex eadem testimonium dicitur, propterea quia populo testatur, quid agendum sit, quidve fugiendum, denuntiatque, ni Deum colant, hæc et hæc eos mala B passuros: animadverte quid per hæc Deus dicere velit. Innuit nimirum se, cum patiens sit atque misericors, haud retinere iram, quam ei legis violatio movit, sed conversurum se ad nos, quos jam deseruerat, assumptaque carne, in terris versaturum, demersurumque peccata nostra in sacri fonti lavacrum, et in profundum maris conjectum iri peccata nostra, quo in mari demersus jacet peccati princeps et auctor. Ejus quippe ductu patrata sunt peccata nostra; propterea quæ dignus est, qui pœnas horum peccatorum luat, quibus Dei opus contaminavit. Sed grates agantur ei, qui priscorum hominum nostrumque simul misertus est, quique peccata nostra in profundum maris, suæ videlicet C misericordiæ, conjecit, penitusque delevit. Faxit idem Deus, ut Jacob virtutem æmulantes, pravos animi affectus per virtutis exercitationem supplantemus, et Abraham imitatores facti, non inhiemus vietis atque caducis hujusce mundi bonis, neve ea quasi numina, præ nimio in ipsa studio, colamus, sed potius ab horum inconstantia ad eum ejusque immobile regnum convolemus. Quo fiat, ut et patres multarum gentium appellemur, a nobis progenitarum, eo quod a nobis doceantur, quid æquum sit et honestum, æmulenturque nos, honestamque vitam nostram, in qua utinam confirmemur per gratiam ipsius Christi, cui una cum Patre et Spiritu sancto sit gloria nunc, et per omne D ævum. Amen.

Michæas idem sonat, ac *humiliatio*, seu, *qui humiliatur*. Hic erat ex regione Morathi, de tribu Juda, qui cum multa fecisset Achabo, demum ab hujusce filio præceps actus est, et interfectus, propterea quod eum, utpote patrum suorum impietatem consectantem, reprehendit; sepultusque est in terra sua solus, propter viris abundantem Enacim.

Finis syntagmatis in Michæam prophetam, ex voce beatissimi archiepiscopi Bulgariæ domini Theophylacti.

[15] Psal. civ, 8, 9.

Variæ lectiones et notæ

(57) Προσηνέχθησαν. Col. Ven.

Digitized by Google

APPENDIX AD THEOPHYLACTUM

MONITUM.

Operibus Theophylacti haud spernendam mantissam subjicimus, Vitam scilicet S. Clementis Bulgarorum archiepiscopi, anno 916 defuncti. Hujus Vitæ fragmentum ex codice Vaticano ediderat Leo Allatius *In Robertum Creyghtonum*, integra prodiit Moschopoli anno 1741, 4°, recusa deinde Vindobonæ 1802, et Vindobonæ iterum anno 1847, cum erudita Præfatione, per Franciscum Miklosich, philologum clarissimum. Huc usque tamen Græce tantum prodierat, nos interpretationem Latinam adjecimus. Operis inscriptioni, in qua Theophylacto nostro ascribitur, fidem omnem negat novissimus Editor Vindobonensis, et Theophylacti nomen majoris auctoritatis gratia operi conciliandæ additum fuisse putat. « Sanctum Theophylactum, inquit, Justinianæ primæ totiusque Bulgariæ archiepiscopum, hanc Vitam sancti Clementis scripsisse concedere non poterit hic qui in « ipso opere c. 18 legerit, auctorem ejus S. Clementi, mortuo 916, convixisse, cum notum « sit, Theophylactum anno 1107 diem obiisse supremum. Adde e c. 22 colligi, auctorem « fuisse natione Bulgarum, quippe qui narret : « Omnia ad Ecclesiam pertinentia Clemens « NOBIS Bulgaris tradidit, » cum Theophylactus, ut ipsius verbis utar (*a*), « hospitio tantum Bulgarus, revera Constantinopolitanus fuerit. » Scriptam esse hanc Vitam tempore « quo Bulgaria a Scythis vexaretur, patet e c. 29 : « Sancte pastor, serves a barbaricis incursionibus intactos nos alumnos tuos, maxime nunc, cum afflictio in propinquo, nec « est, qui adjuvet, cum scythicus gladius Bulgarico sanguine inebriatus est. » Auctor hic « loqui videtur de Hungaris, qui annis 934, 943, 959, 962 Byzantium petentes, Bulgariam « davastabant : illos enim etiam Scythas appellari a scriptoribus historiæ Byzantinæ notum « est.» Sed judicium penes Lectorem sit. Conferendus Bernardus de Rubeis in Dissertatione de Theophylacti ætate et patria, num. 1 seqq., tomo I hujusce editionis præmissa.

(*a*) In epistola prima ad Mariam imperatricem, supra col. 503 C.

Digitized by Google

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ, ΟΜΟΛΟΓΙΑ ΤΕ ΚΑΙ ΜΕΡΙΚΗ ΘΑΥΜΑΤΩΝ ΔΙΗΓΗΣΙΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΛΗΜΕΝΤΟΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΩΝ

ΧΕΙΡΟΓΡΑΦΕΙΣ

Παρὰ τοῦ ἁγιωτάτου καὶ ἀοιδίμου ἀρχιεπισκόπου τῆς πρώτης Ἰουστινιανῆς καὶ πάσης Βουλγαρίας, κυρίου ΘΕΟΦΥΛΑΚΤΟΥ, καὶ μαΐστορος τῶν ῥητόρων χρηματίσαντος ἐν Κωνσταντίνου πόλει.

PATRIS NOSTRI INTER SANCTOS

CLEMENTIS BULGARORUM ARCHIEPISCOPI

VITA, CONVERSATIO, CERTAMEN

RERUMQUE MIRABILITER AB EO GESTARUM COMPENDIOSA NARRATIO,

Quam scripsit

Sanctissimus illustrissimusque archiepiscopus primæ Justinianæ ac totius Bulgariæ Dominus THEOPHYLACTUS,

qui Constantinopoli magister rhetorum fuit.

Α'. Δεῦτε, τέκνα, ἀκούσατέ μου, δεῦτε, καὶ διηγήσομαι ὑμῖν, πάντες οἱ φοβούμενοι τὸν Θεὸν, ὅπως ἂν γνῷ γενεὰ ἑτέρα, υἱοὶ τεχθησόμενοι, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσῃ τὸν Κύριον. Ταῦτα μὲν Δαβὶδ εἴρηκεν, ἡμεῖς δὲ μετ' αὐτοῦ σήμερον. Δεῖ γὰρ τὴν θείαν μεγαλοσύνην ἐκδιηγεῖσθαι πάντοτε καὶ πρὸς ἅπαντας, οὐ ταύτῃ μόνον (ὅσα γὰρ ἂν ἀπαγγείλωμεν καὶ λαλήσωμεν, ὑπὲρ ἀριθμὸν ἐπληθύνθησαν τὰ λειπόμενα) · ἀλλ' ὅτι καὶ τοῖς ῥᾳθυμοτέροις καὶ πρὸς τὴν τοῦ καλοῦ ἐργασίαν ἀπονυστάξασι διυπνισμός τις γίνεται ἡ τῶν τοῦ Θεοῦ θαυμασίων κηρυττομένη μεγαλοπρέπεια. Οἴονται γὰρ οἱ πολλοὶ τοὺς καθ' ἡμᾶς καιροὺς οὐκ ἄν τι τῶν ἀρχαίων χωρῆσαι, ἀλλὰ τοὺς μὲν προτέρους χρόνους καὶ θαύμασι λαμπρυνθῆναι καὶ βίοις ἀνδρῶν κοσμηθῆναι, ἀσωμάτως σχεδὸν ζησάντων ἐν σώματι, τῇ δὲ ἡμετέρᾳ γενεᾷ οὐδὲν τοιοῦτον δωρηθῆναι παρὰ Θεοῦ, ὅθεν καὶ πρὸς τὸν ὀποσδαῖον βίον, ὡς τῆς νῦν φύσεως μὴ δεχομένης τοῦτον, ἐλλεινῶς γε ἀπενάρκησαν, κακῶς γε εἰδότες ἐκεῖνοι καὶ λίαν ἐπισφαλῶς. Ὁ τε γὰρ τῆς φύσεως λόγος ὁ αὐτός ἐστι καὶ οὐκ ἠλλοίωται, καὶ κατέλιπεν ἑαυτῷ Κύριος κἀν τοῖς ἡμετέροις χρόνοις ἄνδρας μάλα πολλοὺς, οἳ γόνυ τῶν κάτω συρομένων οὐδενὶ κάμψαντες εἰς δόξαν τοῦ οὐρανίου Πατρὸς τῷ τοῦ βίου φωτὶ διέλαμψαν, φωστῆρες ἐν κόσμῳ γεγονότες, λόγον ζωῆς ἐπέχοντες. Ὥσπερ οὖν καὶ τὴν τῶν Βουλγάρων χώραν ἐφώτισαν ἐν τοῖς ἐσχάτοις καιροῖς· Πατέρες μακάριοι καὶ διδάσκαλοι, λάμψαντες διδάγμασί τε καὶ θαύμασι καὶ βίῳ καὶ λόγῳ κατα-

I. Venite, filii, audite me, adeste et narrabo vobis omnibus qui timetis Deum, ut cognoscat generatio altera, filii nascituri et populus creatus laudet Dominum. Hæc quidem dixit David, nos autem cum ipso hodie dicimus. Oportet enim Dei magnitudinem ubique et apud omnes, non hic tantum enarrari (quidquid enim dixerimus, plura dicenda remanebunt); verum etiam languidis et in operatione boni ignavis quædam exhortatio est mirabilium Dei celebrata magnificentia. Plerique enim existimant, nostra tempora non posse cum antiquis comparari, quippe quæ illustrata ornataque rerum et virorum miraculis cum corpore viventium, nihilque tale nostræ generationi a Deo concedi : hinc quoque ad studiosam vitam, quasi nunc illam non ferret natura, ægre accedunt homines scioli. Etenim naturæ ratio eadem est et non mutatur, sibique reservavit Dominus pro nostris etiam temporibus homines valde multos, qui rebus terrestribus genu non flectentes, ad gloriam cœlestis Patris vitæ splendore luxerunt lumina mundi, normam vitæ servarunt; sicut quoque Bulgarorum regionem ultimis hisce temporibus illustrarunt beati Patres et magistri, doctrinis miraculisque celebres ac vita sermoneque clari apud Deum, quorum integram vitam memoriæ tradere mihi esset in voto, nisi hoc sermonis mei vim superaret : quædam vero pauca proponens, benevolentiam gratiamque Dei significabo, qui nobiscum est et erit omnibus diebus usque in finem,

Digitized by Google

ut promisit atque omnibus ostendam hominibus non naturam nobis immutari, sed depravari voluntatem.

στάντες παρὰ Θεῷ ἀμφιδέξιοι, ὧν τὸν πάντα μὲν βίον παραδιδόναι γραφῇ εὐχῆς ἔργον ἐμοί, πλὴν ἀλλὰ κρεῖττον τῆς τοῦ λόγου δυνάμεως. Ὀλίγα δέ τινα παραθέμενος τοῦ τε Θεοῦ τὴν φιλανθρωπίαν καὶ τὴν χάριν τεκμηριώσομαι, μεθ' ἡμῶν ὄντος καὶ ἐσομένου πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας, ὡς ἡ ὑπόσχεσις, καὶ δείξω πᾶσιν ἀνθρώποις, ὡς οὐχ ἡ φύσις ἡμῖν ἠλλοίωται, ἀλλὰ διέστραπται ἡ προαίρεσις.

II. Quinam igitur sint isti Patres, fortasse quæritis : Methodius, qui Panonum eparchiam ornavit, archiepiscopus Moraviæ creatus, et Cyrillus, multus quidem in exteriori philosophia, sed major in interiori, rerum creatarum scrutatus naturam, magis vero unius Entis, a quo cuncta ex invisilibus esse induerunt. Hi namque per vitæ innocentiam, Deum in semetipsis reponentes, et timoris pleni spiritum salutarem in corde generare studentes, satis quidem pollebant doctrina, quæ græca lingua traditur; et multos traxit hujusmodi sapientiæ catena. Cum vero Slovenorum sive Bulgarorum gens librorum græce conscriptorum intelligentiam non haberet, istud pro gravi damno reputabant sancti, facemque Scripturarum caliginosæ Bulgarorum regioni non accendi immensi mœroris faciebant materiam. Turbabantur, ægre ferebant, oneri vitam habebant. Quid igitur faciunt? Ad Paraclitum respiciunt, cujus primum donum linguæ, et sermonis auxilium; et ab illo petunt gratiam inveniendi litteras asperitati linguæ Bulgarorum analogas; ut valeant divinas Scripturas in linguam hujus gentis transferre. Insuper jejunio diuturno et orationi constanti, corporis mortificationi, mentisque humiliationi ac contritioni cum se dedissent, quod cupiunt consequuntur. « Prope enim Dominus, inquit Scriptura, omnibus qui invocant eum in veritate [1]; » et tibi adhuc loquenti dicet : Ecce adsum, Propugnans enim Deus ego sum et non a longe [2]. Recipiunt igitur et isti Spiritus gratiam, tanquam auroram benignam, oriturque justis lux cognitionis, simulque ipsorum lætitia priorem mœstitiam depellit. Nacti igitur hanc desideratam gratiam, excogitant slovenicas litteras et divinitus inspiratas Scripturas e græca lingua in bulgaricam vertunt, diligenterque student acutioribus discipulis sacras doctrinas tradere. Non pauci enim ex eorum doctrina fonte biberunt, quorum præcipui chorique coryphæi, Gorasdus et Clemens, et Nahum, et Angelarius et Sabbas.

Β'. Τίνες οὖν οἱ Πατέρες οὗτοι, τάχα ζητεῖτε μαθεῖν · Μεθόδιος, ὃς τὴν Πανόνων ἐπαρχίαν ἐκόσμησεν ἀρχιεπίσκοπος Μοράβου γενόμενος, καὶ Κύριλλος, ὁ πολὺς μὲν τὴν ἔξω φιλοσοφίαν, πλείων δὲ τὴν ἔσω, καὶ τῆς τῶν ὄντων φύσεως ἐπιγνώμων, μᾶλλον δὲ τοῦ ἑνὸς Ὄντος, παρ' οὗ τὰ πάντα ἐκ μὴ φαινομένων τὸ εἶναι ἔλαβον. Οὗτοι γὰρ δὴ διὰ τὴν τοῦ βίου καθαρότητα, Θεὸν βαλόντες ἐν ἑαυτοῖς, καὶ διὰ τοῦ τὸν φόβον λαβεῖν ἐν γαστρὶ τὸ σωτηριῶδες Πνεῦμα ἀποτεκεῖν σπεύδοντες εἶχοντο μὲν ἱκανῶς λόγου διδασκαλικοῦ, Ἑλλάδι γλώσσῃ προφερομένου, καὶ πολλοὺς εἵλκεν ἡ τῆς τοιαύτης σοφίας ἅλυσις. Ἐπεὶ δὲ τὸ τῶν Σθλοβενῶν γένος εἴτ' οὖν Βουλγάρων ἀσυνέτως εἶχον τῶν Ἑλλάδι γλώσσῃ συντεθειμένων γραφῶν, ζημίαν ἡγοῦντο τοῦτο μεγίστην οἱ ἅγιοι, καὶ τὸ μὴ τὸν λύχνον τῶν Γραφῶν ἐπανάπτεσθαι τῷ τῶν Βουλγάρων αὐχμηρῷ τόπῳ ἀπαρακλήτου λύπης ἐποιοῦντο ὑπόθεσιν · ἦλυον, ἐδυσφόρουν, ἀπελέγοντο τὴν ζωήν. Τί γοῦν ποιοῦσι; Πρὸς τὸν Παράκλητον ἀποβλέπουσιν, οὗ πρῶτον δῶρον αἱ γλῶσσαι καὶ τοῦ λόγου βοήθεια · καὶ παρὰ τούτου τὴν χάριν ταύτην αἰτοῦνται, γράμματά τε ἐξευρέσθαι, δασύτητι Βουλγάρου γλώσσης κατάλληλα, καὶ δυνηθῆναι τὰς θείας Γραφὰς πρὸς τὴν φωνὴν τοῦ ἔθνους τῇ ἑρμηνείᾳ μεταγαγεῖν. Ἀμέλει καὶ νηστείᾳ εὐτόνῳ καὶ προσευχῇ ἐπιμόνῳ κακώσει τε σώματος καὶ ψυχῆς συντριβῇ καὶ ταπεινώσει ἐκδόντες ἑαυτοὺς τοῦ ποθουμένου τυγχάνουσιν. Ἐγγὺς γάρ, φησί, Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ, καὶ ἔτι λαλοῦντός σου ἐρεῖ · Ἰδοὺ πάρειμι. Θεὸς γὰρ ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόρρωθεν. Ἀντακούουσιν οὖν καὶ οὗτοι τὴν τοῦ Πνεύματος χάριν, ὡς ὄρθρον ἕτοιμον, καὶ φῶς ἀνέτειλε τοῖς δικαίοις γνώσεως, καὶ ἡ σύζυγος αὐτῶν εὐφροσύνη τὴν προτέραν λύπην αὐτῶν ἀπήλασε. Τυχόντες οὖν τοῦ εὐκταίου τούτου χαρίσματος ἐξευρίσκουσι μὲν τὰ Σθλοβενικὰ γράμματα, ἑρμηνεύουσι δὲ τὰς θεοπνεύστους Γραφὰς ἐκ τῆς Ἑλλάδος γλώσσης εἰς τὴν Βουλγαρικήν, ποιοῦνται δὲ σπουδὴν τοῖς ὀξυτέροις τῶν μαθητῶν παραδοῦναι τὰ θεῖα μαθήματα. Οὐκ ὀλίγοι γὰρ τῆς διδασκαλικῆς αὐτῶν πηγῆς ἔπινον, ὧν ἐγκριτοί τε καὶ τοῦ χοροῦ κορυφαῖοι Γοράσδος τε καὶ Κλήμης καὶ Ναοὺμ καὶ Ἀγγελάριος καὶ Σάββας.

III. Cum autem scirent Paulum cum apostolis Evangelium communicasse, currunt et ipsi ad Romæ apostolum, beato Papæ opus interpretationis Scripturarum ostensuri : sors favit illis nec incassum cucurrerunt : nam qui tunc in apostolica sede fulgebat Adrianus, audito eorum adventu, exsultavit gaudio magno. E longinquo enim tonitru famæ sanctorum perculsus, fulgur gratiæ in eis lucentis videre cupiebat, non aliter affectus erga divinos homines ac Moyses erga Deum, cujus faciem sibi

Γ'. Ἐπεὶ δὲ καὶ Παῦλον ἐγίνωσκον τοῖς ἀποστόλοις τὸ Εὐαγγέλιον κοινωσάμενον, τρέχουσι καὶ αὐτοὶ πρὸς τὸν Ῥώμης, τῷ μακαρίῳ Πάπᾳ τὸ ἔργον τῆς ἑρμηνείας τῶν Γραφῶν ἐμφανίσοντες · ἐκατηυθύνθη ἐπ' αὐτούς, καὶ μὴ εἰς κενὸν ἔδραμον. Ὁ δὲ τηνικαῦτα τοῖς ἀποστολικοῖς ἐμπρέπων θρόνοις Ἀδριανός, τὴν τούτων ἀκούσας ἔλευσιν, ἐχάρη μὲν χαρὰν μεγάλην σφόδρα. Ἐκ μακροῦ γὰρ τῇ βροντῇ τῆς περὶ τῶν ἁγίων φήμης καταπληττόμενος ἐπόθει καὶ τὴν ἀστραπὴν ἰδεῖν τῆς ἐν αὐτοῖς χάριτος, ἐκεῖνο

[1] Psal. CXLIV, 18. [2] Jer. XXIII, 23.

Digitized by Google

πάσχων πρὸς τοὺς θείους ἄνδρας, ὁ Μωϋσῆς πρὸς Θεὸν, καὶ ὄψιν αὐτῷ ἐμφανισθῆναι καὶ γνωστῶς ἰδεῖν ἐφιέμενος. Οὐκ ἔτι δὲ κατέχειν οἷός τε ἦν ἑαυτὸν, ἀλλὰ τὸ ἱερατικὸν ἅπαν σὺν τῷ παρευρεθέντι ἀρχιερατικῷ προσλαβόμενος ἐξῆλθεν εἰς τὴν τῶν ἁγίων συνάντησιν, τὸ τοῦ σταυροῦ τε σημεῖον προπορευόμενον αὐτοῦ κατὰ τὸ εἰωθὸς ἔχων, καὶ τῷ τῶν λαμπάδων φωτὶ τὴν τῆς χαρᾶς ἐπισημαίνων φαιδρότητα, ἔστι δ' εἰπεῖν, ὅτι καὶ τὴν τῶν ἐπιξενουμένων λαμπρότητα, οὓς δοξάζων ὁ τοῖς ἁγίοις ἐνδοξαζόμενος Κύριος θαύματα πολλὰ τελεσθῆναι παρ' αὐτῶν κατὰ τὸν τῆς εἰσόδου καιρὸν εὐδόκησεν. Ὡς δὲ καὶ τὸ ἔργον ἐμφανισθείη τῷ Πάπᾳ, καὶ τὴν τῶν Γραφῶν ἐν γλώσσῃ μετάθεσιν κατασκέψαιτο, ἀποστολικὸν οὖσαν γέννημα· οὐκ εἶχεν ὁ χρήσαιτο τῇ χαρᾷ· ἐμακάριζε τοὺς ἄνδρας, παντοίοις ὀνόμασιν ἀνεκάλει, πατέρας, ἐπιπόθητα τέκνα, χαρὰν οἰκείαν, στέφανον πίστεως, δόξης καὶ κάλλους Ἐκκλησίας διάδημα. Ἐπὶ τούτοις τί ποιεῖ; Τὰς ἑρμηνευθείσας βίβλους λαβὼν, τῷ θείῳ θυσιαστηρίῳ προσήγαγεν, οἷόν τι ἀνάθημα ταύτας καθιερῶν τῷ Θεῷ καὶ δεικνὺς, ὡς τοιαύταις θυσίαις καρπῶν χειλέων εὐαρεστεῖται Θεὸς, καὶ εἰς ὁσμὴν εὐωδίας τὰς τοιουτοτρόπους καρπώσεις δέχεται. Τί γὰρ τῷ λόγῳ λόγου τοὺς λογικοὺς ἀλογίας λυτρουμένου τερπνότερον, εἴπερ τῷ ὁμοίῳ τὸ ὅμοιον ἥδεται; Ἀποστολικούς τε τοὺς ἄνδρας ἐπ' ἐκκλησίας ἐκήρυξε, τῷ Παύλῳ τὸν ἴσον ὑποδύντας ἀγῶνα, καὶ τὴν τῶν ἐθνῶν προσφορὰν τελείαν καὶ ἁγίαν τῷ Θεῷ προσενεγκεῖν σπεύσαντας· εἶτα τῶν ἑπομένων τοῖς ἁγίοις, ὅσοι καὶ Σθλοβενικῶν γραμμάτων ἱκανὴν πεῖραν ἔχειν καὶ βίῳ σεμνῷ κοσμηθῆναι παρὰ τῶν διδασκάλων ἐμαρτυροῦντο, τοὺς μὲν τοῦ τῶν πρεσβυτέρων, τοὺς δὲ τοῦ τῶν διακόνων, ἔστι δ' οὓς καὶ ὑποδιακόνων βαθμοῦ ἠξίωσεν, αὐτὸν δὲ τὸν μέγαν Μεθόδιον, καίτοι πολλὰ δραπετεύοντα καὶ ἀναδυόμενον, ἐπίσκοπον Μοράβου τῆς Πανονίας χειροτονεῖ, οὐχ ὅσιον εἶναι κρίνας ἀμοιρεῖν τοῦ ὀνόματος τὸν ἀξιωθέντα τοῦ πράγματος· ἴσον γὰρ πλημμελεῖσθαι, ὅταν τε τοῦ ὀνόματός τις τύχῃ πάμπολυ διῳκισμένος τοῦ πράγματος, καὶ ὅταν ἐπίσκοπός τις ὢν τοῖς ἔργοις καὶ τῷ ἀξιώματι παρορᾶται τάξει τῶν ἰδιωτῶν ὑποκρύπτεσθαι, καὶ λύχνος ὢν ὑπὸ τὴν κλίνην τῆς ἀφανείας τιθῆται. Ἀλλὰ Μεθόδιον μὲν οὕτως ὁ Ῥώμης ἀρχιερεὺς τῷ ἐπισκοπικῷ τιμᾷ ἀξιώματι, μᾶλλον δὲ τὴν ἐπισκοπὴν δι' αὐτοῦ· Κύριλλον δὲ τὸν ὄντως φιλόσοφον ὁ μέγας ἀρχιερεὺς εἰς τὰ τῶν ἁγίων προσκαλεῖται ἅγια, ἐκεῖ λειτουργήσοντα ἔνδον τῆς σκηνῆς τῆς ἀληθινῆς, καὶ τῶν μυστηρίων μεταληψόμενον πνευματικώτερον καὶ θειότερον καὶ ποτηρίου τοῦ καινοῦ κοινωνήσοντα. Ὥσπερ γὰρ ἐπὶ τούτῳ παραμεῖναι ἐάθεις τῇ σαρκὶ, ἵνα τήν τε τῶν γραμμάτων εὕρεσιν καὶ τὴν τῶν Γραφῶν μετάθεσιν πραγματεύσηται, μετὰ τὸ ταῦτα διακονῆσαι τῷ θείῳ βουλήματι παρὰ τοῦ διδάξαντος αὐτὸν τὴν γνῶσιν Θεοῦ προσλαμβάνεται. Προγνοὺς δὲ τὴν ἑαυτοῦ τελευτὴν τὸ τῶν μοναχῶν σχῆμα ἐπαμφιέννυται, καὶ πάλαι μὲν τοῦτο ποθῶν, διὰ δὲ μετριοφροσύνην ὡς μέγα τι καὶ τὴν αὐτοῦ ἰσχὺν ὑπερβαῖνον ἀναδυόμενος, καὶ φωτὶ

revelari clariusque ostendi exoptabat. Non se continere valens, omne sacerdotium cum antistite tunc præsenti accersivit, exiitque in sanctorum occursum, crucis signum, ut mos est, prælatum habens, faciumque nitore significans gaudii serenitatem, atque etiam, ut verum dicam, hospitum splendorem adventantium, quos glorificans in sanctis mirabilis Dominus miracula multa ab ipsis in tempore adventus, patrari dignatus est. Cum autem opus ostensum esset Papæ, hicque Scripturæ sacræ versionem, fructum vere apostolicum, inspexisset, non sensit se præ gaudio: Beatos prædicabat viros, omnimodis interpellabat nominibus, Patres, desideratissimos filios, gaudium suum, coronam fidei, gloriæ et decoris Ecclesiæ diadema. Quid insuper agit? Interpretatos libros divino altari imposuit, tanquam anathema Deo consecrans et offerens, ut talibus hostiis labiorum fructibus complaceat sibi Deus, et in odorem suavitatis hujusmodi fruges accipiat. Quid enim verbo jucundius quam verbum homines rationabiles ab irrationabilitate liberans, siquidem simile simili gaudet? Apostolicos proclamat in Ecclesia viros, non secus ac Paulum bonum certamen aggressos ac ethnicorum donum sacrum perfectumque Deo offerre connitentes. Deinde comitantium sanctis, quicunque Slovenicarum litterarum sufficientem habere peritiam ac honesta vita commendari testimonio magistrorum asserebantur, alios quidem presbyterorum, alios vero diaconorum, quosdam autem subdiaconorum gradu dignatus est; ipsum vero magnum Methodium, etsi multum deprecantem ac renitentem, episcopum Moraviæ et Panoniæ, consecrat, non æquum judicans carere nomine qui re dignus fuerit inventus. Jus enim æqualiter lædi dicebat, cum nomen aliquis obtinet rei prorsus alienus, et cum aliquis operibus meritoque episcopus, in ordine privatorum despectus relinquitur, et candelabrum tenebrose sub modio reponitur. Sic igitur Methodium Romæ pontifex episcopali dignitate, vel potius episcopatum per illum honorat. Cyrillum autem revera philosophum magnus pontifex in Sancta sanctorum advocat, in interiore veri tabernaculi litaturum, et mysteria magis spiritualiter ac divine participaturum, necnon novo calici communicaturum. Quasi enim ad hoc in carne permanere permissus, ut litterarum inventionem Scripturarumque versionem operaretur, postquam in hoc divinæ voluntati satis fecisset ab illo qui docuerat ipsum, etiam cognitionem Dei suscipit. Præsciens vero finem suum, monachorum habitum induit, hoc jamdudum desiderans, sed propter modestiam, ut quid magnum et suas excedens vires declinans; et lumini lumine adjecto migravit in cœlum, ubi Christus est, vallem lacrymarum, tenebrarum habitacula, limi cœnum, præsens exsilium derelinquens. Spiritum quidem Deo spirituum reddidit; corpus autem illud, quod voluntariis naturæ mortificatio-

Digitized by Google

nibus deservierat, cum hymnis a divino Papa et ab omni clero honorifice sepultum est in templo S. Clementis, Clementis illius qui apostolorum coryphæo Petro convixit et Christi sapientiæ hellenicam sapientiam, uti dominæ servam, subjecit. Tum philosophum philosophus recipit, magnus magister vocem verbi sibi adjungit, præceptor gentilium hunc qui reliquas gentes lumine cognitionis illuminavit, hospitatur. Significat vero quoque Deus in Cyrilli gratiam et testificatur gloriam in cœlis adeptam; invisibilium visibilia præcones facit. Nam dæmonio vexati ad feretrum accedentes sanationem inveniebant, et multis aliis morbis sancti Spiritus gratia depellens flagellum fuit. Simul enim atque feretro quis appropinquaret aut nomen divini Patris invocaret, doloris finis finem sequebatur: unde multus in ore Romanorum Cyrillus erat, magisque in eorum mentibus; ita ut prodigia ipsi gloriæ materia essent, gloria autem superioris honoris vehiculum, hæc vero sancti veneratio Dei gloriæ fulcimentum.

A φῶς προσλαβὼν εἰς οὐρανοὺς μετέστη, οὗ ὁ Χριστὸς, τὴν τοῦ κλαυθμῶνος κοιλάδα, τὰ τοῦ σκοτασμοῦ σκηνώματα, τὸν πηλὸν τῆς ὕλης, τὴν ἐνταῦθα παροικίαν λιπών· καὶ τὸ πνεῦμα μὲν τῷ Θεῷ τῶν πνευμάτων παρέθηκε, σῶμα δὲ ἐκεῖνο τὸ πρὸ τῆς φυσικῆς νεκρώσεως τῆς προαιρετικῆς ἀπολαῦσαν ὕμνοις ὑπό τε τοῦ θείου Πάπα καὶ τοῦ κλήρου παντὸς φιλοτιμηθὲν ἐγκατετέθη τῷ ναῷ Κλήμεντος, Κλήμεντος ἐκείνου τοῦ τῷ κορυφαίῳ τῶν ἀποστόλων Πέτρῳ πεφοιτηκότος καὶ τῇ τοῦ Χριστοῦ σοφίᾳ τὴν Ἑλληνικὴν, οἷον δεσποίνῃ δούλην, καθυποτάξαντος. Καὶ δέχεται τὸν φιλόσοφον ὁ φιλόσοφος, ὁ μέγας διδάσκαλος τὴν τοῦ λόγου φωνὴν προσλαμβάνεται, ὁ τῶν ἐθνῶν καθηγητὴς τὸν τὰ λοιπὰ ἔθνη φωτὶ τῆς γνώσεως φωτίσαντα εἰσοικίζεται. Ἐπισημαίνει δὲ B καὶ Θεὸς προσμαρτυρῶν τῷ Κυρίλλῳ τὴν ἐκδεχομένην δόξαν ἐν οὐρανοῖς, καὶ τὰ φαινόμενα τῶν μὴ φαινομένων ποιεῖται κήρυκας. Δαιμονῶντές τε γὰρ τῇ σορῷ προσελθόντες ἰάσεις εὕροντο, καὶ πολλαῖς ἄλλαις νόσοις ἡ τοῦ ἁγίου Πνεύματος χάρις μάστιξ ἐλάτειρα γέγονεν. Ἅμα τε γάρ τις ἢ τῇ σορῷ προσίοι καὶ τῆς τοῦ λυποῦντος ἀπαλλαγῆς μέτρον τὴν πίστιν ἔφερεν, ὅθεν πολὺς ἐν τοῖς Ῥωμαίων στόμασιν ὁ Κύριλλος ἔκειτο, καὶ πλείων ἐν ταῖς ψυχαῖς· ὡς εἶναι τὰς μὲν θαυματουργίας τῆς περὶ αὐτοῦ δόξης ὑποθέσιν, ταύτην δὲ τῆς περισσοτέρας τιμῆς ἐπίβασιν, τὴν δὲ τοῦ Ἁγίου τιμὴν τῆς τοῦ Θεοῦ δόξης βεβαίωσιν.

καὶ τῆς τοῦ λυποῦντος ἀπαλλαγῆς μέτρον τὴν πίστιν Κύριλλος ἔκειτο, καὶ πλείων ἐν ταῖς ψυχαῖς· ὡς εἶναι τὰς μὲν θαυματουργίας τῆς περὶ αὐτοῦ δόξης ὑποθέσιν, ταύτην δὲ τῆς περισσοτέρας τιμῆς ἐπίβασιν,

IV. Atque Cyrillo quidem sic finis et honor et a divinissimo Papa et a Deo contigit. Methodius vero, laborum itinerumque socio amisso, qui per omnia in carne et in Domino verus ipsi frater erat, mœrori cor tradebat, humanum hunc affectum sentiens, et necessitudine captus erat. Aliunde dein non minus, si non potius, consolabatur sperans habere Cyrillum in munere docendi auxiliatorem, et quo Deo propinquior erat extra carnem, eo efficaciorem habere libertatem. Cum autem tempus esset Methodio regionis illius episcopatum invisendi, fratris monumentum amplexus, sæpe charo nomine Cyrilli invocato, defletaque corporali solitudine, manu vero presbyterorum in auxilium advocata, viam cum discipulis ingressus est. Cum Moravum attigisset, tunc vere fuit episcopus, omnes colores, quibus a Paulo episcopi imago depicta fuit, in se majorem in modum demonstrans; nedum enim talentum in terra condidisset vendidissetve gratiam, spiritualis doni principium deliciarum principium faciebat; sed et omnibus bonum communicabat, æqualiter verbi solem oriri faciens, et in dispensando non cum mensura tradens Evangelium. Nam ante episcopatum ita verbo prædicationis studebat et hoc periculo rei semoto, quomodo, postquam officium concreditum fuisset, accepissetque depositum, et væ apostolo non evangelizanti sciret attributum, non debuit prædicationi operam dare et inhærere, et tota die exercere divina eloquia, quorum dulcedo super mel et favum ipsi inveniebatur? Certe non solum tunc temporis ducem Moravi Rasislavum quotidie hortabatur ejusque mentem divinis præceptis efformabat, sed et universæ Paeoniæ imperantem, cui nomen Kotzeles, institue

Δ'. Ἀλλὰ Κυρίλλῳ μὲν οὕτως ἡ τελευτὴ καὶ τιμὴ καὶ παρὰ τοῦ θειοτάτου Πάπα καὶ παρὰ Θεοῦ τετύχηκε. Μεθόδιος δὲ τὸν σύμπονον ἀποβαλὼν καὶ συνέμπορον, τὸν τὰ πάντα καὶ ἐν σαρκὶ καὶ ἐν Κυρίῳ γνήσιον ἀδελφὸν, λύπῃ μὲν τὴν καρδίαν ἐπεδάλλετο, C πάσχων τοῦτο δὴ τὸ ἀνθρώπινον, καὶ συνηθείας ἀλώσιμος ἦν. Παρεκαλεῖτο δ' ἐτέρωθεν οὐδὲν ἧττον, εἰ μὴ καὶ μᾶλλον, ἐλπίζων ἕξειν τὸν Κύριλλον τοῦ τῆς διδασκαλίας ἔργου συλλήπτορα, ὅσῳ καὶ Θεῷ πλησιάζοντα ἐκτὸς τῆς σαρκὸς, ἀνυσιμωτέραν ἔχειν τὴν παῤῥησίαν. Ἐπεὶ δὲ καιρὸς ἦν Μεθοδίῳ ἐπὶ τὴν τῆς χώρας ταύτης ἐπισκοπὴν ἀπιδεῖν, περιχυθεὶς τὸ μνῆμα τοῦ ἀδελφοῦ, καὶ θαμινὰ τὸ φίλον ὄνομα, τὸν Κύριλλον, ἀνακαλεσάμενος, καὶ τὴν σωματικὴν μὲν ἐρημίαν ἀνακλαυσάμενος, τὴν δὲ τῶν πρεσβειῶν χεῖρα εἰς βοήθειαν ἐπικαλεσάμενος ὁδοῦ σὺν τοῖς μαθηταῖς εἶχετο. Ὡς δὲ τὸν Μόραβον καταλάβοι, αὐτὸ τοῦτο ἐπίσκοπος ἦν, ὅσα παρὰ Παύλου χρώματα τῇ τοῦ ἐπισκόπου εἰκόνι ἐπεβλήθησαν, ἑαυτῷ ἐνεπιδεικνύ- D μενος, καὶ πάντων προλάμπων τὸ διδακτικόν. Οὐ γὰρ κατορύξας τὸ τάλαντον, οὐδὲ τὴν χάριν ἀπεμπολήσας τοῦ πνευματικοῦ δώρου τὴν ἀρχὴν τρυφῆς ἀρχὴν ἐποιήσατο, ἀλλὰ πᾶσιν ἐκοινοῦτο τὸ ἀγαθὸν, ἀνατέλλων ἐπίσης τοῦ λόγου τὸν ἥλιον, καὶ περὶ τὸ διδόναι μὴ ἐνδιδοὺς τὸ Εὐαγγελίου σιτομέτριον. Ὡς γὰρ καὶ πρὸ τῆς ἐπισκοπῆς οὕτω τῷ λόγῳ τῆς διδασκαλίας προσέκειτο, καὶ ταῦτα μὴ ἐγκινδυνεύων τῷ πράγματι· πῶς, ὅταν ἐπιστεύθη τὸ ἔργον καὶ τὴν παρακαταθήκην ἔλαβε καὶ τὸ οὐαὶ ἤδη τῷ ἀποστόλῳ μὴ εὐαγγελιζομένῳ ἀποκληρούμενον, οὐκ ἔμελλε τῆς διδασκαλίας ἀνθέξεσθαί τε καὶ περιέξεσθαι, καὶ ὅλην τὴν ἡμέραν μελέτην ἔχειν τὰ θεῖα λόγια, ὑπὲρ μέλι καὶ κηρίον αὐτῷ τασσόμενα τὴν γλυκύτητα; Ἔμελλε καὶ τῷ τότε ἄρχοντι Μοράβου Ῥασισθλάβῳ καθ'

Digitized by Google

ἑκάστην οὐ διέλιπε παραινῶν καὶ ταῖς θείαις ἐντολαῖς ῥυθμίζων αὐτῷ τὴν ψυχήν, ἀλλὰ καὶ τὸν τῆς Πανονίας συμπάσης κρατοῦντα, Κοτζέλης ὄνομα τούτῳ, παιδεύων ἦν καὶ νουθετῶν τῷ φόβῳ Κυρίου καθηλῶσθαι, καὶ τούτῳ ἐκκλίνειν ἀπὸ παντὸς κακοῦ, οἷόν τινι χαλινῷ ἀνακρουόμενον καὶ ἀναστελλόμενον. Οὐ μὴν ἀλλὰ καὶ τὸν τῶν Βουλγάρων ἄρχοντα Βορίσην, ὃς ἐπὶ τοῦ τῶν Ῥωμαίων βασιλέως Μιχαὴλ ἦν, καὶ τοῦτον ὁ μέγας Μεθόδιος καὶ πάλαι μὲν τέκνον ἐποιήσατο, καὶ τῆς οἰκείας γλώσσης τῆς πάντα καλῆς ἐξηρτήσατο, καὶ τότε δὲ ταῖς τῶν λόγων εὐεργεσίαις ἀδιαλείπτως εἶχε δωρούμενος. Ἦν γὰρ ὁ Βορίσης οὗτος καὶ ἄλλως γνώμης δεξιᾶς καὶ τοῦ ἀγαθοῦ δεκτικῆς, ἐφ' οὗ καὶ τὸ τῶν Βουλγάρων ἔθνος τοῦ θείου τε καταξιοῦσθαι βαπτίσματος καὶ χριστιανίζειν ἤρξατο. Ὅτε δὲ καὶ οἱ ἅγιοι οὗτοι, Κύριλλος, φημὶ, καὶ Μεθόδιος, τὸ πλῆθος τῶν πιστευόντων ἰδόντες, καὶ ὡς πολλὰ μὲν τέκνα γεννῶνται δι' ὕδατός τε καὶ Πνεύματος, καὶ τροφῆς δὲ πάντως πνευματικῆς δέονται, γράμματα ἐξεύροντο καθ' ὃ προειρήκαμεν, καὶ τὴν τῶν Γραφῶν ἐπὶ τὸ Βουλγαρικὸν μετάθεσιν ἐποιήσαντο, ἵνα τὰ γεννηθέντα τέκνα τοῦ Θεοῦ καὶ θείας τροφῆς ἱκανῶς ἔχοιεν, καὶ εἰς αὔξησιν πνευματικὴν καὶ εἰς μέτρον ἡλικίας τοῦ Χριστοῦ ἀνατρέχοιεν. Καὶ οὕτω τῆς Σκυθικῆς πλάνης τὸ τῶν Βουλγάρων ἔθνος ἀπαλλαγὲν, τὴν ἀληθινὴν καὶ ἁπλανεστάτην ὁδὸν, τὸν Χριστὸν, ἐπέγνωσαν, ὀψὲ μὲν καὶ περὶ τὴν ἐνδεκάτην ἢ δωδεκάτην τὸν θεῖον δ' οὖν ἀμπελῶνα εἰσεληλυθὸς τῇ τοῦ καλέσαντος χάριτι. Ἐν ἔτει γὰρ ἑξακισχιλιοστῷ τριακοσιοστῷ ἑβδόμῳ τῆς τοῦ κόσμου γενέσεως ἡ τούτου τοῦ γένους κλῆσις γεγένηται.

A hat, et monebat, ut timori Domini adhæreret, et isto, tanquam freno quodam contentus et repressus, ab omni malo declinaret. Quin etiam Bulgarorum ducem Borisen, tempore Romanorum imperatoris Michael regnantem, quem jam ante magnus Methodius suum effecerat filium et suæ linguæ omnino pulchræ affixerat, tunc sermonis beneficiis indesinenter captabat. Erat enim hic Borises, aliunde ingenii dexteri bonique capacis, sub quo gens Bulgarorum divino baptismate consecrari ac christianizari cœperat. Tunc sancti isti, Cyrillus, inquam, ac Methodius, videntes factam multitudinem credentium, ac multos filios renatos ex aqua et spiritu, cibum prorsus spiritalem expetere, litteras, ut diximus, invenerunt, et versionem B Scripturarum in linguam bulgaricam fecerunt, ut recentes filii Dei divinum cibum quantum satis haberent, et ad incrementum spiritale sicut ad Christi plenitudinem citius ascenderent. Sic gens Bulgarorum scythico errore liberata, veram rectissimamque viam, Christum, cognovit, sero quidem, circa undecimam vel duodecimam horam, sed tamen divinam vineam ingressa vocantis gratia. Anno enim sexties millesimo trecentesimo septuagesimo septimo a mundi creatione, hujus gentis vocatio facta est.

Ε'. Οὐκ ἔλεγεν οὖν ὁ μέγας Μεθόδιος πᾶσαν νουθεσίαν τοῖς ἄρχουσι προτάγων ἑκάστοτε, καὶ τοῦτο μὲν πρὸς βίον σεμνὸν ὁδηγῶν, τοῦτο δὲ τὸ τῆς Ἐκκλησίας ἀπαραποίητον δόγμα παρατιθεὶς οἷόν τι νόμισμα βασιλικὸν καὶ ἀκίβδηλον, καὶ ταῖς ψυχαῖς αὐτῶν ἐνσφραγίζων ἀνεπιβούλευτόν τε καὶ ἄσυλον. Ἦσαν γὰρ οἱ τοῦτο καὶ τότε παραχαράσσοντες καὶ μετακινοῦντες ὅρια, ἃ οἱ πατέρες ἡμῶν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ ἔθεντο, καὶ τῇ ὑπὸ τῶν Φράγγων εἰσαγομένῃ παραφθορᾷ πολλοὶ τὰς ψυχὰς ἐβλάπτοντο, οἱ τὸν μὲν Υἱὸν γεννηθῆναι ἐκ τοῦ Πατρὸς, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι διετείνοντο, οἷς ὁ Ἅγιος ἀνθιστάμενος τοῦτο μὲν ἐκ τῶν τοῦ Κυρίου λόγων, τοῦτο δὲ ἐκ φωνῶν Πατρικῶν λογισμοὺς καθῄρει καὶ πᾶν ὕψωμα τούτων κατὰ τῆς θείας γνώσεως ἐπαιρόμενον· πολλοὺς δὲ καὶ ἠχμαλώτιζεν εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, μετατιθεὶς ἀπὸ τῆς πλάνου δόξης ἐπὶ τὴν ἀληθῆ καὶ ἀμώμητον καὶ τιμίους ἐξάγων ἐξ ἀναξίων καὶ διὰ τοῦτο στόμα Θεοῦ καὶ γενόμενος καὶ λεγόμενος. Ὅθεν τοῖς πιστοῖς καθ' ἑκάστην πλατυσμὸς ἐπεγίνετο, καὶ ὁ λόγος τοῦ Θεοῦ ηὔξανεν, ὃ περὶ τῆς τῶν ἀποστόλων διδαχῆς Λουκᾶ λέγοντος ἀκηκόαμεν. Εἰ βούλει δέ μοι ἐκεῖνο τὸ παλαιὸν, ὁ μὲν οἶκος Δαβὶδ ἐπορεύετο, ὁ δὲ οἶκος Σαοὺλ ὑπεπόδιζε καθ' ἑκάστην ἐλασσονούμενος. Τὸ δὲ τῶν αἱρετικῶν σύστημα τῇ τοῦ λόγου δυνάμει καὶ τῇ ἀληθείᾳ νικώμενον, ὃ μόνον ἐδύναντο, μᾶλλον δὲ παρὰ τοῦ πατρὸς αὐτῶν ὑπεβάλλοντο, τοῦ ἐξ ἀρχῆς ἀνθρωποκτόνου καὶ τῷ κακοποιεῖν ἐγκαυχωμένου, τοῦτο δὴ καὶ εἰργάζοντο, μυρίαις κακώσεσι

V. Non igitur cessabat magnus Methodius omnem admonitionem quotidie ducibus administrare, vitam ad honestam eos dirigens, et Ecclesiæ dogma non adulteratum, velut quoddam numisma regium purissimumque eis tradens, et in eorum animis sicut in loco tuto et fideli illud imprimens. Erant enim tunc qui adulterarent et sede moverent terminos quos patres nostri Ecclesiæ Dei posuerunt; et ex corruptela a Francis invecta animas multi lædebant, Filium ex Patre generari, et Spiritum e Filio procedere contendentes. Quibus insurgens sanctus, partim ex Domini sermonibus, partim ex sententiis Patrum, eorum ratiocinationes et arrogantiam contra divinam doctrinam insultantem, evertit. Multos ita captivabat in obedientiam Chri- D sti transferens ex erronea doctrina ad doctrinam veram et irreprehensibilem, educensque sanctos ex indignis, et ideo os Dei factus et dictus. Unde quotidie credentium multitudo crescebat et verbum Dei multiplicabatur, sicut, teste Luca, de apostolorum prædicatione novimus. Sed si mavis juxta istud antiquum: Domus quidem David proficiebat, domus autem Saul imminuta quotidie retrogradiebatur. Hæreticorum autem turba sermonis potentia ac veritate devicta, id quod solum valebat aut potius fallaciter docebatur a patre suo qui homicida est ab initio, et de sceleribus gloriatur, faciebat, mille vexationibus tentamentisque sanctum affligens; siquidem et Sphendoplicum, qui post Rasislavum imperabat Moravo, circumvenientes dole

Digitized by Google

barbarum hominem et pulchri ignarum totum suæ partium fecerunt. Quomodo enim ille voluptatum venerearum mancipium et turpium actionum cœno volutus, non potius illis, qui omnium passionum januam ipsi reserabant, mentem suam traderet quam Methodio qui omnem voluptatem ut animarum perniciem stigmate notabat. Quod enim Eunomius ille, Anomœorum cœpit hæresim, invenit, ut plures attraheret discipulos, illud et gens Francorum amens excogitavit, peccantibus, inquam, omnia indulgere, ut faciliter et absque opera sic suis dogmatibus insererentur, vitamque concedere sordidam, ut tetrum dogma proficeret, quasi quidam mutuo sibi traderent hic quidem fimum, ille vero lutum, et isti viderentur digni talibus thesauris in qua merx est sordida mercesque fœda. Ab his igitur Sphendoplicus corruptus, omnia ei permittentibus, Methodii verbis minime animum applicabat, imo vero ut erga inimicum se gerebat. Horrida namque, inquit, res est peccatori, in Deum pietas. Quid tamen non dicebat hilare, quid non minabatur terribile magnus duci? A divinis Scripturis dogmatis rectitudinem inducebat et illis inhærendum tanquam vitæ ac salutis fontibus statuebat, juxta quod Dominus docuit, in scrutatione Scripturarum jacere vitam, et Isaias nobis præcepit haurire aquam non ex hæreseon cœno, sed de fontibus Salvatoris. Timebat enim quod, si hæreticis adjungeretur et seipsum et omnes sub ipso corrumperet, et sic inimicis domitu victuque facilis foret. Impietas enim etsi paulisper floreat, in se tamen cum tempore prolabitur, ne malitiam viri pii discant; et ista, inquiebat, post mortem ipsius imperanti superventura erant: quæ etiam juxta sancti prædicta evenerunt. Dum enim Methodius inter vivos connumeratus est, neque dux cordis partum prorupit, sed basiliscum ovis aspidum absconditum nutritumque habuit, neque justitia suum impulit flagellum, sed tensum tenuit arcum et ensem acuit, nondum tamen telum in cor inimici projecit, nec manum in plaga solidavit. Ubi vero sanctus obfuit adfuitque tota malitia, non sub velis et persona deformitatem suam abscondens, sed impudentem meretricis faciem ostentans, persecutionemque adversus orthodoxos suscitans, tum Deus principem tradere furiis non hesitavit. Sed hæc quidem posterius.

καὶ πειρασμοῖς τὸν Ἅγιον ὀλίσθοντες· ἐπεὶ καὶ τὸν Σφεντόπλικον, ὃς μετὰ Ῥασίσθλαβον ἦρξε Μοράβου, περιελθόντες ἀπάτῃ, βάρβαρον ἄνδρα καὶ τοῦ καλοῦ ἀνόητον, ὅλον τῆς δόξης ἑαυτῶν ἐποιήσαντο. Τί γὰρ οὐκ ἔμελλεν ἐκεῖνος, ἀνδράποδον ἡδονῶν γυναικείων ὢν καὶ τῷ βορβόρῳ τῶν μυσαρῶν ἐγκυλιόμενος πράξεων, ἐκείνοις μᾶλλον διδόναι τὴν οἰκείαν γνώμην τοῖς θύραν αὐτῷ πρὸς τὰ πάθη πᾶσαν ἀνοίγουσιν, ἢ Μεθοδίῳ τῷ πάσης ἡδονῆς πικρίαν ψυχόλεθρον στηλιτεύοντι; Ὅπερ γὰρ Εὐνόμιος ἐκεῖνος, ὁ τῆς τῶν Ἀνομίων ἄρξας αἱρέσεως, ἐξεῦρε πρὸς τὸ μαθητὰς ἐπισπᾶσθαι πλείονας, τοῦτο δὴ καὶ τὸ Φράγγων ἔθνος ἀνόητον ἐπενόησε, τὸ τοῖς ἁμαρτάνουσι, φημί, πάντα συγχωρεῖν, ἀπόνως οὕτω καὶ ἀταλαιπώρως ὑπὲρ ἑνὸς τοῦ τοῖς ἑαυτῶν συντίθεσθαι δόγμασι, καὶ βίον ῥυπαρὸν ἐνδιδόναι ὑπὲρ τοῦ δόγματος στρεβλὸν κερδῆσαι, ὥσπερ ἂν εἴ τινες ἀλλήλοις ἀντιδιδοῖεν, ὁ μὲν κοπρίαν, ὁ δὲ βόρβορον, ἄξιοί τε τῶν τοιούτων ἐκεῖνοι θησαυρισμάτων τῆς πραγματείας, ἐν ᾗ καὶ τὸ ἐμπόρευμα ῥυπαρὸν καὶ τὸ ἀντάλλαγμα βδελυρόν. Ὑπὸ τούτων οὖν ὁ Σφεντόπλικος διαφθαρεὶς τῶν πάντα χαριζομένων αὐτῷ, τοῖς Μεθοδίου λόγοις ἐλάχιστα προσεῖχε τὸν νοῦν, τοὐναντίον μὲν οὖν καὶ ὡς ἐχθρῷ προσεφέρετο. Βδέλυγμα γάρ, φησίν, ἁμαρτωλῷ θεοσέβεια· καίτοι τί μὲν οὐκ ἔλεγεν ἱλαρὸν, τί δὲ οὐκ ἠπείλει φοβερὸν ὁ μέγας τῷ ἄρχοντι; Τοῦτο μὲν ἀπὸ τῶν θείων Γραφῶν τὴν τοῦ δόγματος εἰσάγων ὀρθότητα, καὶ ταύταις προσέχειν ὡς τὴν ζωὴν προξενούσαις καὶ πηγαῖς οὔσαις τοῦ σωτηρίου διατασσόμενος. Ὅ τε γὰρ Κύριος ἐν τῇ ἐρεύνῃ τῶν Γραφῶν τὴν ζωὴν κεῖσθαι ἐδίδαξεν, Ἡσαΐας τε ἀντλεῖν ἡμῖν ὕδωρ οὐκ ἐκ τοῦ τῶν αἱρέσεων βορβόρου, ἀλλ' ἐκ τῶν πηγῶν τοῦ σωτηρίου ἐντέλλεται, τοῦτο δὲ καὶ ἐκφοβῶν, ὡς, εἰ τοῖς αἱρετικοῖς προσθῆται, καὶ ἑαυτὸν διαφθερεῖ καὶ πάντας τοὺς ὑπ' αὐτὸν, τοῖς ἐχθροῖς γινόμενος εὐεπιχείρητος καὶ εὐχείρωτος. Δυσσέβεια γὰρ κἂν πρὸς ὀλίγον ἀνθῇ, ἀλλὰ τῷ χρόνῳ περὶ αὐτὴν καταῤῥεῖ, ἵνα μὴ κακίαν εὐσεβεῖς μάθωσι, καὶ ταῦτα, ἔλεγε, μετὰ τὴν αὐτοῦ τελευτὴν τῷ ἄρχοντι προσγενήσεται, ἅπερ οὖν καὶ κατὰ τὰς τοῦ Ἁγίου προῤῥήσεις γέγονε. Καὶ γὰρ ἕως μὲν Μεθόδιος ἐν τοῖς ζῶσιν ἐξεταζόμενος ἦν, οὔτε ὁ ἄρχων τὴν ὠδῖνα τῆς καρδίας ἐξέῤῥηξεν, ἀλλ' εἶχε τὸν βασιλίσκον τοῖς ᾠοῖς τῶν ἀσπίδων ἐγκρυπτόμενόν τε καὶ ἐντρεφόμενον, οὔτε ἡ δίκη τὴν οἰκείαν ἐπήγαγε μάστιγα, ἀλλ' εἶχε μὲν ἐντεταμένον τὸ τόξον καὶ τὴν ῥομφαίαν ἐστιλβου, οὔπω δὲ βέλος ἀπέστειλεν ἐν καρδίᾳ τοῦ ἐχθροῦ, οὐδὲ τὴν χεῖρα τῇ πληγῇ ἐπεστήριξεν. Ἐπεὶ δὲ ὅ τε Ἅγιος ἀπῆν καὶ ἡ κακία πᾶσα παρῆν, οὐκ ὑπὸ παραπετάσματι καὶ προσωπείῳ τὴν ἀσχημοσύνην καλύπτουσα, ἀλλὰ κατὰ τὴν τῆς πόρνης ὄψιν ἀναισχυντήσασα καὶ διωγμὸν κατὰ τῶν ὀρθοδόξων ἐγείρασα, τότε δὴ καὶ Θεὸς τὸν ἄρχοντα ποινηλατῶν οὐκ ἐνέλειψεν. Ἀλλὰ ταῦτα μὲν ὕστερον.

VI. Tunc vero Methodius principi finem suum post tres dies futurum prædixit, frequentium adhortationum prædictionem hanc fulcimentum, uti ego judico, faciens. Si enim prædictio impleta eum prophetam faciebat, cui futurorum prævisio a spiritu data sit, manifestum erat dogma ab ipso prædicatum spirituale et a Deo inspiratum esse.

Ϛ'. Τότε δὲ Μεθόδιος τῷ ἄρχοντι προεῖπε τὴν οἰκείαν τελευτὴν μετὰ τρεῖς ἐσομένην ἡμέρας, τῶν συχνῶν παραινέσεων τὴν πρόῤῥησιν ταύτην βεβαίωσιν, ὡς ἐγὼ κρίνω, ποιούμενος. Εἰ γὰρ ἡ πρόῤῥησις προφήτην αὐτὸν ἐποίει εἰς ἔργον ἐκβᾶσα, καὶ τῶν μελλόντων τὴν προοψίαν λαχόντα τῷ Πνεύματι, πρόδηλον, ὡς καὶ τὸ παρὰ τούτου συνεργούμενον δό-

Digitized by Google

γμα πνευματικὸν καὶ θεόπνευστον. Καὶ τοὺς ὁμιλητὰς αὐτοῦ συγκαλέσας μιμεῖται Παῦλον, μᾶλλον δὲ τὸν ἐμὸν Ἰησοῦν, καὶ τοῖς ἐξιτηρίοις αὐτοὺς παρακαλεῖ καὶ στηρίζει ῥήμασι, καλόν γε κλῆρον τοῖς παισὶν ἐκεῖνος διατυπούμενος καὶ τῶν καμάτων ἐπάξιον ὧν ἠνέσχετο, ἵνα τὴν τοιαύτην περιουσίαν ἑαυτῷ κτήσηται. Τίς ὁ κλῆρος, τάχα ποθεῖτε μαθεῖν· τὰ τοῦ Θεοῦ λόγια τὰ ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν, καὶ ἡ σοφία, ἣν κρεῖττον ἐμπεπορεῦσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Οἴδατε γὰρ, φησὶν, ὦ σπλάγχνα ἐμά, τὴν τῶν αἱρετικῶν ἐν κακίᾳ δύναμιν, καὶ ὅπως δολοῦντες τὸν λόγον τοῦ Θεοῦ πάντα τρόπον, τοὺς πλησίον ἀνατροπὴν θολερὰν ποτίζειν σπουδάζουσι, δύο ταῦτα προσλαμβανόμενοι καὶ προσάγοντες, πιθανότητά τε καὶ αὐστηρότητα, τὴν μὲν τοῖς ἁπλουστέροις, τὴν δὲ τοῖς δειλοτέροις. Ἀλλ' ὑμῖν ἀμφοτέρωθεν καλῶς ἔχειν τὰς ψυχὰς ἐλπίζω καὶ εὔχομαι. Οὔτε γὰρ πιθανότητι λόγων παρασυρήσεσθε καὶ διὰ τῆς κενῆς ἀπάτης συλαγωγηθήσεσθε· τεθεμελίωσθε γὰρ ἐπὶ τὴν τῆς ἀποστολικῆς ὁμολογίας καὶ διδασκαλίας πέτραν, ἐφ' ἣν τῆς Ἐκκλησίας ᾠκοδομημένης πύλαι ᾅδου οὐ κατισχύσουσι. Πιστὸς γάρ ἐστιν ὁ ἐπαγγειλάμενος, οὔτε φοβερῷ τινι τοὺς τῶν καρδιῶν πύργους διασεισθήσεσθε· ἐμάθετε γὰρ, Μὴ φοβεῖσθε ἀπὸ ὕψους ἡμέρας μηδὲ ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων κακῶσαι. Μᾶλλον μὲν οὖν τοὺς ἄλλους ἐπιστηρίζετε φυλάττειν τὴν παρακαταθήκην, ἣν παρὰ τῶν ἀποστόλων καὶ τῶν κατὰ καιροὺς Πατέρων ἐλάβομεν, ἣν ἀπαιτήσουσιν ἡμᾶς ἐν ἡμέρᾳ ἀνταποδόσεως. Ἰδοὺ, προεῖπον ὑμῖν καὶ ἁμαρτίας ἐνόγους διὰ τοῦ προειπεῖν ἐποίησα. Εἰ μὴ γὰρ ἦλθον, φησὶ, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. Ἀθῷός εἰμι ἐκ τοῦ αἵματος ὑμῶν· οὐ γὰρ ὑπεστειλάμην τοῦ λαλῆσαι ὑμῖν, αλλὰ τῷ τοῦ σκοποῦ ἔργῳ κατὰ τὸν Ἰεζεκιὴλ ἐπηγρύπνησα. Βλέπετε πῶς ἀκριβῶς περιπατεῖτε μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοὶ, καὶ πάσῃ φυλακῇ τὰς ὑμῶν τε αὐτῶν καὶ τὰς τῶν ἀδελφῶν καρδίας τηρήσατε· ἐν μέσῳ γὰρ παγίδων διαβήσεσθε καὶ ἐπὶ ἐπάλξεων πόλεων περιπατήσετε. Καὶ γὰρ μετὰ τὴν ἐμὴν τελευτὴν εἰσελεύσονται καθ' ὑμῶν λύκοι βαρεῖς μὴ φειδόμενοι τοῦ ποιμνίου, τοῦ ἀποσπᾶν τὸν λαὸν ὀπίσω αὐτῶν· οἷς ἀντίστητε στερεοὶ τῇ πίστει, ὁ Παῦλος ὑμῖν ταῦτα δι' ἐμοῦ διατίθεται. Ὁ δὲ ἐπὶ πάντα Θεὸς καὶ Πατὴρ καὶ ὁ ἐξ αὐτοῦ πρὸ αἰώνων γεννηθεὶς ἀπαθῶς Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν, καὶ ἀμέμπτους παραστήσει εἰς καύχημα ἐμὸν εἰς ἡμέραν Χριστοῦ. Ταῦτα καὶ πλείω τούτων εἰπὼν τὸ πνεῦμα τοῖς δορυφορήσασιν αὐτὸν ἀγγέλοις καὶ ἐν πάσαις ταῖς ὁδοῖς φυλάξασιν ἄγειν δέδωκε, τέταρτον μὲν πρὸς τῷ εἰκοστῷ ἔτος τῇ ἀρχιερωσύνῃ ἐμπρέψας, πολλῷ δὲ μόχθῳ καὶ κόπῳ οὐ τὴν ἑαυτοῦ μόνον, ἀλλὰ καὶ τὴν τῶν ἄλλων σωτηρίαν κατεργασάμενος. Οὐ γὰρ ἐσκόπει τὸ ἑαυτοῦ, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι, καὶ νυκτὸς καὶ ἡμέρας τοῦτο ζῶν μόνον, ὅ τοὺς ἄλλους ὠφέλει· δηλοῖ δὲ καὶ τὸ πλῆθος τῶν τε

A Convocatosque discipulos, Pauli vel potius mei Jesus ad instar, ultimis verbis consolatur et confirmat, hæreditatem suis filiis satagens relinquere bonam dignamque laboribus quos pertulerat ad acquirendam sibi talem substantiam. Quæ hæreditas fortasse discere vultis? eloquia Dei, desiderabilia super aurum et lapidem pretiosum multum, et sapientia, cujus acquisitio auri et argenti thesauris præstat. Videte, enim inquit, o viscera mea, quanta sit hæreticorum in malitia potestas, et quomodo verbum Dei omni modo adulterantes, ad hauriendam aquam turbidam ac cœnosam propinquos adducere conentur, duo hæc scientes et adhibentes, seductionem et violentiam, illam quidem simplicibus, hanc vero timidioribus reservantes. B Vobis autem ut utrinque bene preparatas teneatis animas spero ac precor. Neque enim verborum seductione deviabitis nec vana fallacia deprædationem patiemini. Fundati enim estis super apostolicæ confessionis et prædicationis petra, in qua ædificatam adversus Ecclesiam portæ inferi non prævalebunt[3]; fidelis namque est qui repromisit. Neque timore aliquo cordium arces concuti sinetis; didicistis enim: Nolite timere neque ab altitudine diei, neque ab iis qui occidunt corpus, animam vero non possunt lædere[4]. Potius igitur alios confirmate ad custodiendum depositum, quod ab apostolis et a Patribus juxta tempora accepimus, quodque a nobis in die redditionis reposcent. Ecce prædixi vobis et hac præ- C dictione vos peccato obnoxios feci: Si enim non venissem, inquit, nec locutus fuissem eis, peccatum non haberent. Purus sum a sanguine vestro; non enim abstinui quin loquerer vobis, et juxta Ezechielem ad speculæ operam evigilavi. Videte quomodo recte ambuletis non sicut imprudentes, sed sicut prudentes, et omni custodia corda vestra fratrumque animos servetis. In medio enim insidiarum pertransietis et super mœnium pinnas ambulabitis. Nam post meam mortem irruent in vos lupi rapaces, gregi non parcentes, conantesque populum post se attrahere; quibus resistite fortes in fide; per me Paulus vobis ista præscribit. Sed super omnia Deus et Pater, et ex ipso ante sæcula impassibiliter genitus Filius, et D Spiritus sanctus ex Patre procedens, diriget vos in omnem veritatem irreprehensibilesque perferet in gloriam meam in diem Christi. Hæc et his plura dicens spiritum angelis ipsum stipantibus et in omnibus viis custodientibus ducendum tradidit, postquam quatuor et viginti annos in episcopatu refulsit, multo labore et ærumnis non solum suam, sed et aliorum salutem operatus. Non enim sua spectabat, sed multorum, ut salvarentur, et nocte ac die ad hoc tantum vivebat ut aliis utilis esset. Hoc etiam ostendit multitudo presbyterorum, diaconorum et subdiaconorum, quos moriens numero ducentos in finibus suæ Ecclesiæ reliquit.

[3] Matth. xvi, 18. [4] Matth. x, 28.

Digitized by Google

Porro si solum in gradibus sanctuarii tot erant, quanta fuerit laicorum multitudo conjiciamus. Tenebat autem horum primas Gorasdus, quem jam supra præcipuis Methodii discipulis adnumeravimus, quique ab ipso sancto, finis sui conscio, archiepiscopus Moravi renuntiatus est.

A πρεσβυτέρων καὶ διακόνων καὶ ὑποδιακόνων, οὓς τελευτῶν διακοσίους τῇ ἐνορίᾳ τῆς οἰκείας ἐκκλησίας ἐγκατέλιπεν. Εἰ γὰρ οἱ τοῦ βήματος μόνοι τοσοῦτοι, πόσον εἶναι τῶν λαϊκῶν τὸ πλῆθος εἰκάσωμεν. Ἐφέρετο δὲ ἄρα τούτων τὴν πρώτην Γοράσδος, ὃν καὶ προφθάσας ὁ λόγος ἐν τοῖς μάλιστα τῶν Μεθοδίου ὁμιλητῶν ἀπηρίθμησεν, ὃς καὶ ἀρχιεπίσκοπος Μοράβου παρ' αὐτοῦ τοῦ Ἁγίου τὰ τελευταῖα γνόντος ἀνακεκήρυκτο.

VII. Non tulit autem audacissima hæreticorum multitudo Methodium habere etiam post mortem vivum propugnatorem : sed venite, inquiunt, Gorasdo insidiemur, eumque opprimamus; abhorret enim a nobis hujus vita, dissimilesque sunt viæ ejus, et exprobrat nobis delicta, et si vivere iste permitteretur, nobis revivisceret Methodius. Hunc ergo ab episcopali dignitate removent, et Vichnicum quemdam, hæreseos mero inebriatum aliosque B inebriare valentem, quem propterea Methodius unaque chorum cum ipso insanientium, anathematis Satanæ tradiderat, istum, o labores agonesque Methodii, et Trinitas speciales infundens qualitates! in sedem episcopalem evehunt, aut potius sedem per hunc devehunt, et quantum per Methodium illustris erat et plerisque fulgentior, tantum per Vichnicum dedecoris profundo subjicitur.

Ζ'. Ἀλλὰ γὰρ οὐκ ἤνεγκεν ἡ πάντολμος πληθὺς τῶν αἱρετικῶν τὸν Μεθόδιον ἔχειν καὶ μετὰ θάνατον ζῶντα ἀντίμαχον· ἀλλά, Δεῦτε, εἰπόντες, Γοράσδον καταδυναστεύσωμέν τε καὶ ἐνεδρεύσωμεν· ἀνόμοιος γάρ ἐστιν ἡμῖν ὁ βίος αὐτοῦ, καὶ παρηλλαγμέναι αἱ τρίβοι αὐτοῦ, καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα, καὶ εἰ ζῇν οὗτος ἐαθείη, ἀναβιώη ἂν ἡμῖν ὁ Μεθόδιος· τοῦτον μὲν τῆς ἐπισκοπικῆς ἀρχῆς παραλύουσι, Βιχνίκον δέ τινα τοῦ τῆς αἱρέσεως ἀκρίτου μεθυσθέντα καὶ τοὺς ἄλλους μεθύσκειν δυνάμενον, καὶ μέντοι διὰ τοῦτο παρὰ τοῦ Μεθοδίου τῷ τοῦ ἀναθέματος Σατανᾷ παραδοθέντος μετὰ τοῦ θιάσου τῶν σὺν αὐτῷ μαινομένων, τοῦτον, ὦ πόνοι καὶ ἀγῶνες τοῦ Μεθοδίου καὶ Τριὰς συγχεομένη τὰς ἰδιότητας, ἐπὶ τὸν θρόνον ἀνάγουσι, μᾶλλον δὲ τὸν θρόνον διὰ τοῦτον κατάγουσι, καὶ ὅσον διὰ Μεθόδιον ἔνδοξος ἦν καὶ τῶν πολλῶν προφαινόμενος, τοσοῦτον διὰ Βιχνίκον τῇ τῆς ἀδοξίας κοιλάδι ἐπικλινόμενος.

VIII. Ille tamen episcopatum ipsi minime competentem sic illegitime occupavit, assumens sibi honorem, rapto exercito, et a Deo vocatum violentia criminosi brachii propulsans. Caput vere tollit hæresis et adversus orthodoxam discipulorum Methodii multitudinem superbit. Et tumultuantes C fidelibusque insurgentes, Quare, inquiunt, adhuc Methodii verbis fœtidis et mortuis libentius adhæretis quam viventi archiepiscopo, et non confitemini ex Patre Filium genitum et ex Filio Spiritum procedentem? Hi vero per Gorasdum et Clementem dixerunt : Quod Methodius quidem adhuc vivat, hoc a Domino certe didicimus, tum in ipsum credentem, etsi mortuus sit, victurum asserente, tum Deum Abraham, Isaac et Jacob ut viventibus et non mortuis dicendum esse docente. Unde igitur erramus, si magistrum in Deo viventem habemus, spiritualiter nobis conviventem et colloquentem, nosque contra vos confirmantem? Hanc autem novam vestram fidem, nec Scripturæ D testimonio qualitercunque comprobatam, nec a sanctis Patribus stabilitam invenientes, ne nos anathemati subjiciamus veremur, Paulo non ambigue clamante : Si quis vobis evangelizat præter id quod accepistis, anathema sit[8]. Nos enim Filii Spiritum, utpote Spiritum vitæ et veritatis, quæ est Filius, mentemque Christi Spiritum credimus; hunc autem ex Filio procedentem nec didicimus nec discemus, nec fidem negabimus, pejores infidelibus facti, non certe, per Spiritus sancti gratiæ sanctificationem; imo ex Patre procedere Spiritum genitoremque Filii esse istius principium ac pro-

Η'. Ἀλλ' ὁ μὲν οὕτω τῆς ἐπισκοπῆς παρανόμως καὶ μηδὲν αὐτῷ προσῆκον ἐδράξατο, ἑαυτῷ λαβὼν τὴν τιμὴν καὶ ἁρπαγμὸν ἡγησάμενος, τὸν δὲ ὑπὸ Θεοῦ κληθέντα τυραννίδι βραχίονος ἁμαρτωλοῦ παραγκωνισάμενος. Κεφαλὴν δὲ ἡ αἵρεσις αἴρει, καὶ κατὰ τῆς ὀρθοδοξούσης πληθύος τῶν Μεθοδίου μαθητῶν γαυριᾷ· καὶ δὴ θορυβήσαντες καὶ τοῖς πιστοῖς ἐπαναστάντες, Διὰ τί, φασὶν, ἔτι τοῖς Μεθοδίου λόγοις τοῖς ὀδωδόσι καὶ νεκροῖς εὐνούστερον προσδιάκεισθε, ἀλλὰ μὴ τῷ ζῶντι ἀρχιεπισκόπῳ συνίστασθε, καὶ ὁμολογεῖτε ἐκ Πατρὸς Υἱὸν γεννηθέντα καὶ ἐξ Υἱοῦ τὸ Πνεῦμα ἐκπορευόμενον; Οἱ δὲ διὰ Γοράσδου καὶ Κλήμεντος ἔφασαν· Ὅτι μὲν Μεθόδιος ἔτι ζῇ, ἐκ τοῦ Κυρίου πάντως ἐμάθομεν, ποτὲ μὲν τὸν εἰς αὐτὸν πιστεύσαντα κἂν ἀποθάνῃ ζήσεσθαι φάσκοντος, ποτὲ δὲ διδάσκοντος τὸν Θεὸν τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ὡς ζῶσιν, ἀλλ' οὐ νεκροῖς ἐπιλέγεσθαι. Τί γοῦν ἁμαρτάνομεν, εἰ τὸν ἐν Θεῷ ζῶντα διδάσκαλον ἔχομεν, πνευματικῶς ἡμῖν συνόντα καὶ συλλαλοῦντα καὶ καθ' ὑμῶν συνεπιῤῥωννύοντα; Τὴν δὲ καινὴν ταύτην πίστιν ἡμῶν οὔτε ὑπὸ Γραφῆς μαρτυρουμένην οἱασοῦν εὑρόντες οὔθ' ὑπὸ Πατέρων ἁγίων συντεθειμένην, ὀκνοῦμεν ὑποβαλεῖν ἑαυτοὺς ἀναθέματι, τοῦ Παύλου διαῤῥήδην βοῶντος· Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. Ἡμεῖς γὰρ Πνεῦμα μὲν Υἱοῦ, ἐπεὶ καὶ Πνεῦμα ζωῆς καὶ ἀληθείας, ἃ ὁ Υἱὸς, καὶ νοῦν Χριστοῦ τὸ Πνεῦμα πιστεύομεν, ἐξ Υἱοῦ δὲ τοῦτο προερχόμενον οὔτε μεμαθήκαμεν, οὔτε μαθησόμεθα, οὔτε τὴν πίστιν ἀρνησόμεθα, καὶ χείρονες ἀπίστων ἐσόμεθα, οὐ μὰ τὸν ἁγιασμὸν τῆς τοῦ ἁγίου Πνεύματος χάριτος, ἀλλ' ἐκ Πατρὸς μὲν προϊέναι τὸ Πνεῦμα

[8] Galat. I, 8.

Digitized by Google

καὶ εἶναι τούτου αἴτιον καὶ προβολέα τὸν τοῦ Υἱοῦ γεννήτορα πεπιστεύκαμεν· εἶναι δὲ καὶ τοῦ Υἱοῦ οἰκεῖον καὶ δι' αὐτοῦ χορηγεῖσθαι τοῖς ἀξίοις ἑκάστοτε· ἕτερον δὲ τὸ ἐκπορεύεσθαι, καὶ ἕτερον τὸ χορηγεῖσθαι· τὸ μὲν γὰρ τοῦ πῶς εἶναι τὸ Πνεῦμα ἐκφαντορικόν, ὡς γὰρ ὁ Υἱός ἐστιν ἐκ τοῦ Πατρὸς γεννητός, οὕτω καὶ τὸ Πνεῦμα ἐκπορευτόν· τὸ δὲ χορηγεῖσθαι οὐ τὸ πῶς εἶναι δηλοῖ, ἀλλὰ πλουτισμὸν ἐνδείκνυται καὶ διάδοσιν. Καὶ ἵνα παραδείγματί τινι τὸν λόγον, ὡς ἐγχωρεῖ, φωτίσωμεν, ἐννόησόν μοι βασιλέα τινὰ πλοῦτον μάλα πολὺν ἐκ τῶν οἰκείων θησαυρῶν προβαλλόμενον, τοῦτον δὲ τὸν υἱὸν παραλαβόντα οἰκεῖόν τε αὐτοῦ ἔχειν καὶ διανέμειν τοῖς εὐαρεστοῦσιν αὐτῷ· βασιλεὺς ὁ Πατήρ· πλοῦτος, ὡς ἐν εἰκόνι φάναι, τὸ Πνεῦμα ἐκ τῶν τοῦ Πατρὸς ἀῤῥήτων θησαυρῶν προβληθέν· υἱὸς βασιλέως ὁ τοῦ Πατρὸς Υἱός, οὗ τὸ Πνεῦμα, καὶ δι' οὗ χορηγεῖται. Ὁρᾶτε τὸ Πνεῦμα, πῶς ἡμεῖς οἴδαμεν, οὐ προερχόμενον, δι' Υἱοῦ δὲ χορηγούμενον. Εἰ δὲ τὸ ἐμφυσῆσαι τὸν Υἱὸν τοῖς ἀποστόλοις καὶ εἰπεῖν, Λάβετε Πνεῦμα ἅγιον, τοῦτό σε ταράττει, παχέως τοῖς Εὐαγγελίοις ὡμίλησας. Χάρισμα γὰρ τοῖς ἀποστόλοις ἓν τῶν τοῦ Πνεύματος δέδωκε, τὸ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, ὡς δηλοῖ τοῖς ἑξῆς· πνεύματα δὲ τὰς ἐνεργείας τοῦ Πνεύματος καὶ τῷ Ἡσαΐᾳ φίλον καλεῖν· ἀλλ' οὐκ αὐτὸ τὸ Πνεῦμα τηνικαῦτα τοῖς μαθηταῖς ἐχαρίσατο. Δῆλον δέ· καὶ γάρ, εἰ τότε τὸ Πνεῦμα δέδωκεν, ἡ περισσὴ λοιπὸν ἡ ἐν τῇ πεντηκοστῇ τούτου κάθοδος, ἢ ἄλλου πνεύματος, εἰ μὴ περισσή. Ποῖον οὖν τοῦτο; Ὡς εἶχεν ἡ Ἐκκλησία, ἓν ἅγιον πρεσβεύουσα φαίνεται. Εἰ δὲ δύο εἶεν, ὁπότερον οὖν τούτων οὐχ ἅγιον; Εἰ τοίνυν τὸ ἅγιον διὰ τοῦ ἐμφυσήματος, καὶ ὁ Κύριος δέδωκεν αὐτὸ ἐκεῖνο, ἀλλ' οὐχ ἓν πνευματικὸν χάρισμα, τὸ κατελθὸν ἐν τῇ πεντηκοστῇ, δῆλον ὡς οὐχ ἅγιον· ἀλλ' εἰς κεφαλὰς ὑμῶν τὸ βλάσφημον τράποιτο. Δύο δὲ ποιοῦντες ὑμεῖς ἀρχάς, τοῦ μὲν Υἱοῦ τὸν Πατέρα, τοῦ δὲ Πνεύματος τὸν Υἱόν, ἄλλην τινὰ μανίαν μανιχαϊκὴν μαίνεσθε. Ἡμῖν δὲ εἷς μὲν Θεός, μία δὲ τῶν ἐξ αὐτοῦ ἀρχή, ὁ Πατήρ· τοῦ μὲν Υἱοῦ Πατήρ, τοῦ δὲ Πνεύματος προβολεύς· ὥσπερ οὖν καὶ εἷς ἥλιος ἀρχὴ τῆς τε ἀκτῖνος καὶ τῆς λάμψεως εἴτε θάλψεως. Τῇ τοίνυν ἀκτῖνι καὶ ἡ λάμψις σύνεστι εἴτε θάλψις, ὥσπερ καὶ τῷ Υἱῷ τὸ Πνεῦμα, καὶ τῆς ἀκτῖνος ἡ λάμψις ἐστὶν, ὥσπερ τὸ Πνεῦμα τοῦ Υἱοῦ· ἄμφω μέντοι ἐκ μιᾶς ἀρχῆς. Καὶ ὥσπερ ἐν τῷ ὑποδείγματι διὰ τῆς ἀκτῖνος ἡ λάμψις ἤτοι θάλψις τῷ σωματικῷ κόσμῳ δίδοται, οὕτω διὰ τοῦ Υἱοῦ χορηγεῖται τῇ νοητῇ κτίσει τὸ Πνεῦμα τὸ ἅγιον ἐπὶ πᾶσιν. Εἰ μὲν ὡς Μανιχαῖοι τὸ κατὰ Θωμᾶν Εὐαγγέλιον, οὕτως ὑμεῖς ἄλλο προενεγκεῖν ἔχετε τὴν τοιαύτην περὶ τοῦ Πνεύματος διδασκαλίαν εἰσηγησάμενοι, δείξατε τοῦτο κεκανονισμένον, καὶ σιωπήσομεν, μᾶλλον δὲ καὶ ὡς εὐεργέτας τιμήσομεν. Εἰδὲ τέσσαρσι μὲν ἀρχαῖς ὁ τῆς Ἐκκλησίας παράδεισος ἐκ μιᾶς πηγῆς χεομέναις ποτίζεται, Ματθαίῳ, Μάρκῳ, Λουκᾷ καὶ Ἰωάννῃ, οἶμαι, συνήκατε. Ὁ δὲ πέμπτον εἰσάγων εὐαγγέλιον τρισκατάρατος· Ἰωάννης δὲ ἡμῖν τὸν Υἱὸν παρεισάγει λέγοντα τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ

A ductorem credidimus; illum etiam esse Filii proprium et semper ab ipso ad dignos mitti; aliud autem esse procedere atque aliud mitti; illud quidem ad expositionem mysterii, quomodo sit pertinere Spiritus, siquidem, quemadmodum Filius est ex Patre genitus, ita et Spiritus procedens; missionem vero, quomodo sit natura, non demonstrare, sed ditatoris dispensatorisque actionem ostendere. Utque rem, sicut licet, illustremus exemplo; puta quemdam regem ex suis thesauris divitias multas expandentem, ejus autem filium sic eas accipientem, ut ipsius sit proprium eas habere distribuereque placentibus ipsi: Rex est Pater; divitiæ, ut figurate loquar, est Spiritus ineffabilibus ex thesauris Patris depromptus;
B filius regis est Patris Filius, cujus est Spiritus et per quem mittitur. Videtis Spiritum, sicut nos cognoscimus, non ex Filio procedere, sed ab ipso mitti. Si vero quod Filius insufflaverit super apostolos et dixerit: Accipite Spiritum sanctum, hoc te conturbat, evangeliis crasse assuevisti. Unum quippe ex Spiritus sancti muneribus dedit apostolis, donum remittendi peccata, ut ex sequentibus patet: Spiritus autem vocare virtutes Spiritus sancti Isaiæ quoque solemne est: sed non ipsum Spiritum tunc discipulis gratificatus est. Hoc est evidens; namque, si tunc Spiritum dedit, vel posthac supervacua fuit in die Pentecostes ejus descensio, vel si non supervacua, alius fuit Spiritus. Quisnam igitur iste? Sicut tenuit Ec
C clesia, scitur unum sanctum esse venerata. Si vero duo essent, uter igitur eorum non esset sanctus? Si sanctus fuit ille per insufflationem, et illum ipsum; non autem unum spirituale charisma. Dominus dedit, istum qui venit in die Pentecostes non esse sanctum patet. Ast in capita vestra blasphemia convertatur. Vos autem duo facientes principia; Filii quidem Patrem, Spiritus vero Filium, aliam insaniam quæ est Manichæorum insanitis. Nobis unus Deus, et eorum qui de ipso sunt unum principium, Pater; pater quidem Filii, productor autem spiritus, quemadmodum et unus sol est principium radii et luminis aut caloris. Una porro cum radio lux sive calor constat, sicut cum Filio
D Spiritus; radiique lux est, sicut Spiritus Filii. Verumtamen ambo sunt ex uno principio. Et sicut in exemplo per radium lux aut calor corporali mundo datur, sic per Filium intellectuali creaturæ Spiritus super omnia sanctus tribuitur. Quod si velut Manichæi secundum Thomam Evangelium, ita vos aliud proferre habetis hanc de Spiritu sancto doctrinam introducens, illud ostendite canonicum et silebimus, imo tanquam benefactores vos æstimabimus. Si vero quatuor fluminibus ex uno fonte scaturientibus Ecclesiæ paradisus irrigatur, Matthæo, dico, Marco, Luca et Joanne, hoc, puto, novistis: ille autem qui quintum introducit evangelium, exsecrabilis est. Joannes nobis Filium exhibet loquentem de Spiritu veritatis, qui a Patre

Digitized by Google

procedit. Cessate gladium defigere contra vos magis renitentem; cessate contra Filium Dei, magnum evangelistam, ex quo et per quem et in quem totum Evangelium, pugnare, et absque Spiritu ea quæ sunt Spiritus dogmatizare, vel potius contraria Spiritui susurrare.

IX. Hæc cum ferre nequirent qui Vichnici partes tenebant, aures continentes, velut qui Stephanum, nobilem Verbi martyrem, olim lapidabant, et hoc solum bene agentes, utpote qui talia audire non erant digni, tumultuari omniaque miscere cœperunt, et parum abfuit, quin manus conserercnt cum orthodoxis linguæ defessæ vim adjungentes manum sociam. Tandem præcipites ad ultimum venere refugium suum; ad sordidum Sphendoplicum; et, calumniantur orthodoxos, ut rebus novis studentes, et contra potestatem ipsius insurrecturos, nisi de dogmate principi consentiant: quod enim sensu, etiam actu pugnat. Ille, convocatis Methodii discipulis, Quid, inquit, hoc schisma apud vos agitatur, et quotidie alii aliis hostiliter congredimini? Nonne omnes fratres estis, nonne omnes ex christianorum parte? Cur igitur non estis unanimes in fide, nec in unitate servanda studiosi? Hi vero, quasi ore usi Gorasdo et Clemente, qui in oratione tenenda duces erant, Oporteret quidem de istis, inquiunt, o princeps, longos habere sermones: non enim de minimis nec circa minima nobis periculum imminet, sed de dogmate Ecclesiæ ad beatam Trinitatem attinente, et circa animam, quod omnium nobis est maxime proprium. Cum autem litterarum imperitia longiores aut graviores audire sermones tibi non permittit, simplex erit interrogationi tuæ nostra responsio: Separamur quidem, quia Dominus venit mittere gladium et melius a pejore secernere, et David audimus odientem eos qui Dominum oderint, valde autem amicos Christi honorantem. Christianos vero reputare non possimus eos qui nôn recipiunt Evangelium: ibi enim uno de Trinitate, Filio Dei, dicente, Spiritum veritatis, qui a Patre procedit, isti dicunt ex Filio processisse Spiritum. Si tamen hoc verum esset, quid prohibuit Dominum, quominus diceret, Spiritum veritatis, qui a me procedit? Unum est hoc; secundum autem pontificum ex universo orbe coadunatorum Constantinopoli secunda synodus de sancto Spiritu declaravit, utpote quæ ideo congregaretur, ut hæresim Macedonii, numen Spiritus lacessentis, condemnaret: exposuit fidei symbolum quod ad evertendum in Nicæna synodo præscriptum non vergebat; sed quod ista reliquerat, qualiter quæstiones de Spiritu nondum agitatæ, hæc complevit; et filia quod matri defuerat, resarsit. Videamus igitur ex hoc symbolo, quod et tu, princeps, in Ecclesia, ex græcis libris versum, quotidie recitas, quid potius de Spiritu credendum, num ex Filio, an ex Patre procedentem? Quomodo ergo concineremus eis qui præter Evangelium

A Πατρὸς ἐκπορεύεται. Παύσασθε καθ' ἑαυτῶν πηγνύντες τὸ ξίφος ἐνστατικώτερον, παύσασθε τῷ Υἱῷ τοῦ Θεοῦ, τῷ μεγάλῳ εὐαγγελιστῇ, καὶ ἐξ οὗ καὶ δι' οὗ καὶ εἰς ὃν Εὐαγγέλιον πᾶν, μαχόμενοι καὶ χωρὶς τοῦ Πνεύματος τὰ περὶ τοῦ Πνεύματος δογματίζοντες, μᾶλλον δὲ τῷ ἐναντίῳ ὑποφθεγγόμενοι πνεύματι.

Θ'. Ἐπὶ τούτοις οὐκ ἀνεγκόντες, οἱ τοῦ Βιχνίκου στασιῶται, τὰ ὦτα συσχόντες, καθάπερ οἱ Στέφανον πάλαι λιθοβολοῦντες τὸν τοῦ Λόγου γενναῖον μάρτυρα, καὶ τοῦτο μόνον καλῶς ποιοῦντες ὡς οὐκ ἄξιοι τούτων ἀκούειν, θορυβεῖν καὶ πάντα συγχεῖν ἐπεβάλλοντο, καὶ μικροῦ μὲν καὶ εἰς χεῖρας ἦλθον τοῖς ὀρθοδόξοις, τῇ γλώττῃ καταπονηθείσῃ τὴν χεῖρα διδόντες σύμμαχον. Τέλος δ' οὖν ἀποπηδήσαντες ἐπὶ τὴν τελευταίαν ἦλθον καταφυγὴν αὐτῶν τὸν κονιορτὸν B Σφεντόπλικον, καὶ διαβάλλουσι μὲν τοὺς ὀρθοδόξους ὡς νεώτερα φρονοῦντας, καὶ κατὰ τῆς ἀρχῆς αὐτοῦ κινηθησομένους ἄν, εἰ μὴ περὶ τὸ δόγμα τῷ ἄρχοντι συμφωνήσαιεν. Τὸ γὰρ ἀντίδοξον καὶ ἀντίμαχον. Ὁ δὲ τοὺς τοῦ Μεθοδίου προσκαλεσάμενος, Τί, φησὶ, τοῦτο τὸ σχίσμα ἐν ὑμῖν πολιτεύεται, καὶ καθ' ἑκάστην ἀλλήλοις πολεμίως συμπλέκεσθε; Οὐκ ἀδελφοί πάντες ἐστὲ, οὐ τῆς χριστιανῶν μερίδος; Διὰ τί οὖν μὴ συμφρονεῖτε ἀλλήλοις, μηδὲ τὴν ἕνωσιν ἐπισπεύδετε; Οἱ δὲ, ὅσα στόματι Γοράσδῳ καὶ Κλήμεντι χρώμενοι (οὗτοι γὰρ ἦσαν οἱ τοῦ λόγου ἡγούμενοι), Ἔδει μὲν περὶ τούτων, ἔφασαν, ὦ ἄρχον, μακροὺς ἡμᾶς ποιεῖσθαι τοὺς λόγους. Οὐ γὰρ περὶ ἐλαχίστων, οὐδὲ περὶ τὰ ἐλάχιστα ἡμῖν ὁ κίνδυνος ἵσταται, ἀλλὰ περὶ δόγματος μὲν ἐκκλησιαστικοῦ C τοῦ περὶ τῆς μακαρίας Τριάδος, περὶ δὲ ψυχὴν, τὸ πάντων ἡμῖν οἰκειότατον. Ἐπεὶ δέ σοι τὸ τῶν γραφῶν ἀνομίλητον μακροτέρων λόγων ἢ βαθυτέρων ἀκούειν οὐ δίδωσιν, ἁπλοῦς ἡμῖν ὁ πρὸς τὴν σὴν ἐρώτησιν λόγος, ὅτι σχιζόμεθα μὲν, ἐπειδὴ καὶ ὁ Κύριος μάχαιραν ἦλθε βαλεῖν καὶ διχάσαι τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, καὶ τοῦ Δαβὶδ ἀκούομεν μισοῦντος τοὺς μισοῦντας τὸν Κύριον, λίαν δὲ τιμῶντος τοὺς φίλους Χριστοῦ· χριστιανοὺς δὲ οὐκ ἄν ποτε ἡμεῖς θείημεν τοὺς μὴ παραδεχομένους τὸ Εὐαγγέλιον. Ἐκεῖ γὰρ τοῦ ἑνὸς τῆς Τριάδος, Υἱοῦ τοῦ Θεοῦ, εἰπόντος, Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, οὗτοι φασὶν ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα. Καίτοι πάντως εἰ τοῦτ' ἦν, τί D τὸ κωλύον τὸν Κύριον εἰπεῖν· Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρ' ἐμοῦ ἐκπορεύεται; Ἓν μὲν οὖν τοῦτο· τὸ δεύτερον δὲ ἡ ἐν Κωνσταντίνου πόλει δευτέρα τῶν ἐκ πάσης τῆς οἰκουμένης ἀθροισθέντων ἀρχιερέων σύνοδος περὶ τοῦ ἁγίου Πνεύματος ἀπεφήνατο, ἐπεὶ καὶ τούτου χάριν συνήθροιστο ἐπὶ καθαιρέσει τοῦ πνευματομάχου Μακεδονίου· ἐξέθετό τε πίστεως σύμβολον οὐκ ἐπ' ἀνατροπῇ τοῦ ὑπὸ τῆς ἐν Νικαίᾳ συνόδου τεθεσπισμένου, ἀλλ' ὅπερ ἐκείνη ἐνέλιπεν, οἷα δὴ μὴ κινηθέντων τότε τῶν περὶ τοῦ Πνεύματος ζητημάτων, τοῦτο αὕτη ἀναπληροῦσα καὶ σώζουσα τὸ τῆς μητρὸς ἡ θυγάτηρ ὑστέρημα. Ἴδωμεν οὖν ἐν τούτῳ τῷ συμβόλῳ, ὃ καθ' ἑκάστην ἐπ' Ἐκκλησίᾳ, ἐκφωνεῖς, ὦ ἄρχον, καὶ σὺ, ἐκ τῶν γραικικῶν βιβλίων μεταληφθὲν, πότερον πιστεύειν εἰς Πνεῦμα τὸ ἐκ

Digitized by Google

τοῦ Υἱοῦ ἐκπορευόμενον, ἢ τὸ ἐκ τοῦ Πατρὸς ὁμολογούμενον; Πῶς τοίνυν συμφωνήσομεν τοῖς παρὰ τὸ Εὐαγγέλιον φρονοῦσι καὶ τὴν μετὰ τοῦ Πνεύματος τῶν Πατέρων ἔκθεσιν, τοῖς ἀπὸ γῆς φωνοῦσι κατὰ τὰς ἐγγαστριμύθους; τίς κοινωνία φωτὶ πρὸς σκότος; φησὶν ὁ θεῖος Ἀπόστολος. Εἰ μὲν οὖν μεταβαλοῦνται τὰς γνώμας καὶ μετὰ τοῦ Εὐαγγελίου καὶ τῶν Πατέρων στήσονται, ὡς ἀδελφοῖς προσδραμοῦμεν καὶ περιπλακησόμεθα καὶ περιπτυξόμεθα. Εἰ δὲ τὸν ἕνα καθηγητὴν ἡμῶν τὸν Χριστὸν ἀποποιούμενοι ὀπίσω τῆς διανοίας αὐτῶν πορεύονται καὶ ἐν τοῖς διαλογισμοῖς αὐτῶν ματαιοῦνται, σχολῇ γ' ἂν ἡμεῖς ὑπ' αὐτοῖς καθηγηταῖς τὸ περὶ τῆς Τριάδος δόγμα μαθεῖν δεξαίμεθα. Ταῦτα ἡ περὶ τοὺς ὀρθοδόξους πληθύς, προηγόροις Γοράσδῳ καὶ Κλήμεντι χρώμενοι.

A sentiunt, eis qui de Spiritu Patrum expositionem contradicunt, eis qui de terra contra divinitus inspiratos loquuntur? Quæ communio luci ad tenebras? inquit divinus Apostolus. Si igitur opiniones mutent, et cum Evangelio Patribusque stare velint, ad eos ut fratres curremus, eosque stricte amplexabimur. Si vero unum præceptorem nostrum Christum abnegantes, post cogitatum suum abeunt, et in ratiocinationibus suis frustra permaneant, nos ab istis præceptoribus dogma de Trinitate discere ægre consentiremus. Hæc orthodoxorum multitudo, Gorasdo et Clemente advocatis usa.

Ι'. Ὁ δὲ ἄρχων μόλις μὲν συνῆκεν ὀλίγα τινὰ τῶν λεχθέντων· ἦν γὰρ παντάπασι γνῶναί τι τῶν θείων ἠλιθιώτατος, ἅμα μὲν ὡς ἀνηγμένος βαρβαρικώτερον καὶ συνόλως εἰπεῖν ἀλογώτερον, ἅμα δὲ καὶ τὸν νοῦν ὑπὸ τῆς μιαρᾶς ἡδονῆς παρασεσυλημένος, ὡς εἴρηται. Πῶς γὰρ καὶ ἔμελλε τοῖς περὶ Τριάδος λόγοις ἐμβῆναι ἄνθρωπος, πάμπολυ τοῦ τῆς σωφροσύνης ἀπέχων ἁγιασμοῦ, οὗ χωρὶς οὐδεὶς τὸν Κύριον ὄψεται; Ὑπὸ δὲ τῶν αἱρετικῶν προβιβασθεὶς (ἦν γὰρ ὅλως αὐτοῖς προσκείμενος) τοιάνδε τοῖς ὀρθοδόξοις ἀπόφασιν ἔδωκεν· Ἐγὼ μὲν ἐμαυτῷ πολὺν τὸν ἰδιωτισμὸν σύνοιδα, καὶ ἁπλοῦς εἰμι τὰ δογματικά· καὶ τί γὰρ ἡ ἀγράμματος; Τοῦ μέντοι Χριστιανισμοῦ μεταποιοῦμαί τε καὶ μεταποιήσομαι· ἀμφιβολίας δὲ τοιαύτας, οἵας ἀνεγείρετε, λύειν οὐχ ἱκανὸς ἐγὼ διὰ λόγων, οὐδὲ διακρίνειν ὀρθοδόξου ψευδοδιδάσκαλον. Ὡς οὖν χριστιανὸς δικάσω ὑμῖν· ἀμέλει καὶ περὶ τούτου τοῦ δόγματος ἀποφαίνομαι ὡς καὶ περὶ τῶν ἄλλων ἀποφαίνεσθαι εἴθισμαι· ὃς ἂν παριὼν πρῶτος ὁμόσειεν, ὡς καλῶς καὶ ὀρθοδόξως πιστεύει, τοῦτον εἶναι τὸν κατὰ τὴν ἐμὴν κρίσιν μηδέν τι τοῦ ἀκριβοῦς περὶ τὴν πίστιν σφαλλόμενον, τούτῳ καὶ τὴν Ἐκκλησίαν παραδώσω καὶ τὸ τῆς Ἐκκλησίας ἐπιδώσω κατὰ τὸ εἰκὸς πρεσβυτέριον.

B X. Princeps autem pauca intellexit dictorum: erat enim ad intelligendas res divinas stolidissimus, et quia educatus barbarorum, utque uno verbo dicam, brutorum more; et quia, ut dictum est, mens ejus a spurca voluptate abrepta erat. Quomodo enim de Trinitate sermones ingrederentur in animum hominis, castimoniæ sancto muneri prorsus alieni, sine quo nemo Christum videbit? Impulsus ab hæreticis quibus erat ex toto deditus, hujusmodi responsionem orthodoxis dedit: Ego quidem magnæ imperitiæ mihi conscius sum, et simplex quoad dogmatica. Quid enim nisi illitteratus? Christianismum tamen vindico et vindicabo. Ambiguitates autem illas, quales excitatis, ego verbis solvere non valeo, neque ab orthodoxo C falsum magistrum discernere. Ut igitur christianus jus vobis dicam; et certe de hac dogmatis quæstione pronuntiabo sicut de aliis pronuntiare consuevi; qui palam primus juraverit se recte atque orthodoxe credere, hunc judicabo de rectitudine fidei minime errare, ipsique Ecclesiam dabo, cui adjiciam, ut convenit, Ecclesiæ presbyterium.

ΙΑ'. Οἱ τοίνυν Φράγγοι, προθυμότατα περὶ τὸν ὅρκον διατεθέντες, οὐδὲ τὸ τέλος τῆς τοῦ ἄρχοντος ἀναμείναντες ἀποφάσεως, ὤμοσαν καὶ ἔστησαν τὴν κακοδοξίαν αὐτῶν, ἀνοήτῳ κρίσει πέρας ἐπιθέντες κατάλληλον. Παρὰ τοιούτοις κριταῖς ἡ αἵρεσις κατὰ τῆς ὀρθοδοξίας ἐστεφανώσατο, καὶ πᾶσαν ἔσχεν ἐξουσίαν ἄγειν καὶ φέρειν τοὺς Χριστοῦ γνησίους δούλους καὶ τῆς πίστεως φύλακας. Εἰ γάρ τις, φησί, φωραθείη μὴ πιστεύων κατὰ τὴν τῶν Φράγγων ἔκθεσιν, αὐτοῖς ἐκείνοις παραδοθήσεται χρησομένοις ὅ τι καὶ βούλονται. Τὰ ἐπὶ τούτοις τίς ἂν ἐκδιηγήσαιτο λόγος, ὅσα κακία, λαβομένη δυναστείας, εἰργάσατο; Πῦρ ἀτεχνῶς ἐν ὕλῃ πνεύματι ῥιπιζόμενον· οἱ μὲν ἠνάγκαζον συνθέσθαι τῷ πονηρῷ δόγματι, οἱ δὲ τὴν τῶν Πατέρων πίστιν ὑπελογίζοντο· οἱ μὲν πάντα πράττειν, οἱ δὲ πάντα πάσχειν παρεσκευάζοντο· τοὺς μὲν ἀπανθρώπως ἠκίζοντο, τῶν δὲ τὰς οἰκίας διήρπαζον μιγνύντες ἀσεβείᾳ πλεονεξίαν, ἄλλους γυμνοὺς ἐπ' ἀκανθῶν ἔσυρον, καὶ ταῦτα γέροντας ἄνδρας καὶ τοὺς δαβιτικοὺς ὅρους τῆς ἡλικίας ὑπερπηδήσαντας. Ὅσοι δὲ τῶν πρεσβυτέρων καὶ

D XI. Franci igitur ad jusjurandum promptissimi, nec finem sententiæ principis exspectantes juraverunt, statueruntque suam malam fidem insipido judicio analogum finem imponentes. Talibus judicibus hæresis adversus orthodoxiam palmam obtinuit, habuitque ducendi ac tollendi Christi veros servos et fidei custodes omnem facultatem. Si quis enim, inquit princeps, inventus fuerit juxta Francorum doctrinam non credens, ipsis tradetur ut illum tractent sicut libuerit. Rebus ita se habentibus, quæ oratio enarret, quidquid malitia potestate potita operata sit? Ignis aperte in rogo spiritu animatur: illi cogebant pravo dogmati subscribere, hi fidem patrum prætendebant; illi omnia facere, hi omnia pati parati erant. Alios inhumane lædebant aliorum domus spoliabant, impietati avaritiam addentes; alios nudos in carduis pertrahebant, eosque senes ultra Davidicos longævitatis fines provectos. Quotquot autem ex presbyteris et diaconis juniores erant, hos Judæis vendebant. Judæ sorte suspendioque dignissimi. Sicut enim

Digitized by Google

ille Christum, sic hi Christi servos, aut, ut cum ipso Christo loquar, amicos; atque etiam ausim dicere christos, semper furentibus tradiderunt. Pauci vero minime erant, sed, ut antea diximus, qui de altari erant, ad ducentos numerabantur.

A διακόνων ἦσαν νεώτεροι, τούτους δὴ τοῖς Ἰουδαίοις ἐπώλουν οἱ τῆς Ἰούδα μοίρας καὶ τῆς ἀγχόνης ἐπάξιοι. Ὡς γὰρ ἐκεῖνος Χριστὸν, οὕτως οὗτοι τοὺς Χριστοῦ δούλους, μᾶλλον δὲ φίλους, κατ' αὐτὸν ἐκεῖνον εἰπεῖν, θαῤῥήσας δὲ φήσαιμι καὶ χριστοὺς,

τοῖς ἀεὶ παραπικραίνουσιν ἀπεδίδοσαν. Οὐκ ὀλίγοι δὲ πάντως ἦσαν, ἀλλ' εἰς διακοσίους ἀπαριθμούμενοι, καθ' ἃ δὴ προειρήκαμεν, οἱ τοῦ βήματος.

XII. Quotquot vero magistrorum tenebant ordinem, ut iste Gorasdus, cujus sæpe fecimus mentionem, quem ex Moravo oriundum et in utraque lingua slovenica græcaque versatissimum, auctoritas Methodii ad sedem episcopalem evexit, cujus dein degradatione hæreticorum malitia sedem dedecoravit; quales etiam Clemens presbyter, vir facundissimus, et Laurentius et Nahum, et Angelarius; hos pluresque clari nominis alios, catenis ferreis vinctos, in carceribus condiderunt. Ibi omne solatium demebatur, propinquis et cognatis quocunque modo eos adire non audentibus. Attamen qui consolatur humiles et contritos corde subleval, Dominus, solatiis animam recreans multitudini dolorum proportionatis, consolatus est sanctos, ipsis emittens auxilium de sancto. Licet enim catenarum ferro gravati, non tamen orationem prætermittebant, sed, canticis tertiæ horæ decantatis, psalmorum prosequebantur carmen, quo sanctissimum Spiritum, apostolis tertia hora immissum, nobis renovari deprecamur, cum Deus, aspiciens in terram, eam tremefecit, tunc motus factus est magnus, qualis olim fuit Paulo in catenis precante, et quasi de cœlo sonus, et catenæ ceciderunt, et qui fuerant vincti jam liberi, solo insolubili Christi desiderio captivabantur. Tremefecit igitur Deus et conturbavit terram: Sed simul hanc urbem inhabitantes, tremefacti sunt, et eo, quod factum erat, conturbati, ita ut mirarentur et cum tremore requirerent quid sibi vellet ista Dei manifestatio: Cum autem appropinquassent carceri, et vidissent quod circa sanctos evenisset, qui catenis solutis, in omni libertate agerent, exandita, sicut ait David, divina exsultatione, cursim ad principem venientes: Quid est hoc? inquiunt; usquequo contra Dei potentiam pugnabimus? Usquequo ad lumen veritatis non suspiciemus? Oculos habemus, et non videmus? aures, et non audimus, sicut idola, de quibus loquitur David, aut si velis, illo, de quo Isaias, a nobis spiritu soporis accepto. Nonne miraculum quod factum est intelligemus? Nonne de divina manifestatione obstupescemus? Annon potius honoris erga eos qui ex vinculis erepti sunt, captivi nos erimus? Sed hæreticorum lingua mira culum calumniari, tentat, velut lingua Pharisæorum, ea quæ tunc a Domino erant facta: fraudes artesque magorum evidentes sunt ista: altera modo Beelzebub in operis novitate imitati sunt homines ejus virtute repleti. Denuo posthac, decebat enim non intelligere principem intelligentia carentem, catenæ prioribus graviores circumda-

IB'. Ὅσοι δὲ διδασκάλων ἐπεῖχον τάξιν, οἷος δὴ Γόρασδος ἐκεῖνος, οὗ πολλάκις ἐμνήσθημεν, ὃν ἐκ Μοράβου γενόμενον καὶ ἄμφω τὰ γλῶττα τήν τε Σθλοβενικὴν ὄντα καὶ τὴν γραικικὴν ἱκανώτατον ἡ μὲν ἀρετὴ Μεθοδίου τῷ θρόνῳ δέδωκεν, ἡ δὲ τῶν αἱρετικῶν κακία τὸν θρόνον τῇ στερήσει τοῦ ἀνδρὸς ἀπεκόσμησεν· καὶ μέντοι καὶ Κλήμης πρεσβύτερος, ἀνὴρ λογιώτατος, καὶ Λαυρέντιος καὶ Ναοὺμ καὶ B Ἀγγελάριος, τούτους δὴ καὶ ἄλλους πλείους ὀνομαστοὺς σιδηροδέτους φυλακαῖς εἶχον ἐγκλείσαντες, ἐν αἷς πᾶσα παράκλησις ἀπηγόρευτο, οὐ συγγενῶν, οὐ συγγνωστῶν θαῤῥούντων οὐδ' ὁπωσοῦν τὴν προσέλευσιν. Ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς Κύριος, ὁ τοὺς συντετριμμένους τὴν καρδίαν ἰώμενος, ὁ διὰ τῶν παρακλήσεων εὐφραίνων ψυχὴν ἀντιμετρουμένων τῷ πλήθει τῶν ὀδυνῶν παρεκάλεσε τοὺς ἁγίους, ἐξαποστείλας αὐτοῖς τὴν ἐξ ἁγίου βοηθείαν. Οἱ μὲν γὰρ καὶ τῷ σιδήρῳ τῆς ἀλύσεως βαρυνόμενοι οὐδ' οὕτως ἠμέλουν τῆς προσευχῆς, ἀλλὰ τὰς τῆς τρίτης ὥρας ᾠδὰς ὑπᾴδοντες, εἶτα καὶ τὸ τῶν ψαλμῶν ἐφύμνιον προσεπῇδον, δι' οὗ τὸ πανάγιον Πνεῦμα τὸ ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς ἀποστόλοις ἐπιC πεμφθὲν ἐγκαινισθῆναι ἡμῖν εὐχόμεθα· Θεὸς δὲ ἐπιβλέψας ἐπὶ τὴν γῆν ἐποίησεν αὐτὴν τρέμειν, καὶ σεισμὸς μέγας ἐγένετο, ὥσπερ ἐν τοῖς δεσμοῖς ποτε Παύλου προσευχομένου, καὶ ὡς ἐξ οὐρανοῦ ἦχος, καὶ αἱ ἁλύσεις ἐξέπιπτον, καὶ οἱ τέως δέσμιοι ἄνετοι, μόνῳ τῷ τοῦ Χριστοῦ πόθῳ ἁλύτῳ δεσμούμενοι. Συνέσεισε μὲν οὖν τὴν γῆν ὁ Θεὸς καὶ συνετάραξεν· ἐσείσθησαν δ' ἄρα καὶ οἱ περὶ τὴν πόλιν ἐκείνην, καὶ τῷ γεγονότι διεταράχθησαν, ὥστε θαυμάζειν καὶ διαπορεῖσθαι, τί ποτ' ἄρ' ἡ θεοσημεία βούλοιτο. Ὡς δὲ πλησιάσαιεν μὲν τῇ φυλακῇ, ἴδοιεν δὲ τὸ περὶ τοὺς ἁγίους γενόμενον, καὶ ὡς τῶν ἁλύσεων ἐκπεσουσῶν ἐν ἀνέσει πάσῃ διῆγον τὴν θείαν ἀκουτισθέντες, ὡς ὁ Δαβὶδ φησιν, ἀγαλλίασιν, δρομαῖοι προσελθόντες, τῷ ἄρχοντι, Τί τοῦτο; φάναι, μέχρι τίνος πρὸς τὴν τοῦ Θεοῦ μαχόμεθα δύναμιν; Μέχρι τίνος πρὸς τὸ φῶς τῆς ἀληθείας οὐκ ἀναβλέπομεν; Ἀλλ' ὀφθαλμοὺς ἔχομεν, καὶ οὐ βλέπομεν, ὦτα, καὶ οὐκ ἀκούομεν, οἷα τὰ παρὰ τῷ Δαβὶδ εἴδωλα, εἰ βούλει δέ μοι, οἱ παρὰ τῷ Ἡσαΐᾳ τὸ πνεῦμα λαβόντες τῆς κατανύξεως. Οὐ συνήσομεν τὸ γενόμενον θαῦμα; Οὐ τὴν θεοσημείαν δυσωπησόμεθα; Οὐ δεσμῶται μᾶλλον ἡμεῖς τῆς πρὸς τοὺς ἐκ τῶν δεσμῶν λυθέντας τιμῆς ἐσόμεθα; Ἀλλ' ἡ τῶν αἱρετικῶν γλῶσσα τὸ θαῦμα διαβάλλειν πειρᾶται πάλιν, ὥσπερ ἡ τῶν Φαρισαίων τὰ τότε παρὰ τοῦ Κυρίου τελούμενα, καὶ, Γοητεῖαι, φασὶ, καὶ μάγων τέχναι προφανεῖς ταῦτα, τρόπον ἕτερον τὸν Βεελζεβοὺλ τῇ καινότητι τοῦ ἔργου ἐπιγραφόμενοι οἱ τῆς ἐκείνου ἐνεργείας κατάπλεῳ. Εἶτα πάλιν (ἔδει γὰρ μὴ συν-

Digitized by Google

